ΣΟΦΟΚΛΕΟΥΣ ΤΡΑΓΩΔΙΑΙ Ζ.

SOPHOCLIS TRAGOEDIÆ VII.

Unà cum omnibus græcis Scholiis ad calcem adnexis.

Editio Postrema.



Ἐν τῇ Καντα-βριγίᾳ.
Ἐξετυπώθη παρ' ΙΩΑΝΝΟΥ ΦΙΕΛΔΟΥ, τοῦ τῆς Ἀκαδημίας τυπογράφου. Ἔτει ἀπὸ τῆς Θεογονίας. α χ ξ η.

SOPHOCLIS
Tragœdiarum personæ.

AJAX FLAGELLIFER.

ELECTRA.

OEDIPUS TYRANNUS.

ANTIGONE.

OEDIPUS COLONEUS.

TRACHINIÆ.

PHILOCTETES.

ΣΟΦΟΚΛΕΟΥΣ
Τραγῳδιῶν ὀνόματα.

ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ.

ΗΛΕΚΤΡΑ.

ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

ΑΝΤΙΓΟΝΗ.

ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

ΤΡΑΧΙΝΙΑΙ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ARGUMENTUM FABULÆ
ex Græco traductum.

FAbula ad res Trojanas ſpectat, quemadmodum Antenoridæ, Captivæ, Helenæ raptus, & Memnon. Nam cæſo in pugna Achille, inter Ajacem & Ulyſſem de corpore ferendo incidit controverſia, quòd alter altero in hoc munere obeundo ſibi videretur præſtantior. Ac quum in judicio de armis ejus contenderent, Ulyſſes illa obtinuit. Unde Ajax, quòd causâ cecidiſſet, nimio dolore in furorem actus invaſit gregem, exiſtimans ſe Græcos trucidare, ac alias quidem ex quadrupedibus jugulat, alias verò colligatas in tentoria abducit. Inter quas eximia quadam magnitudine aries eſt: quem Ulyſſem eſſe ſuſpicans, ligatum flagellat: unde titulus huic tragœdiæ inditus eſt Ajax μαστιγοφόρος, id eſt flagellifer, aut ad differentiam Locri. Dicæarchus autem titulum præfigit, Ajacis mors. Sed quum exhibetur fabula, Ajax ſimpliciter inſcribitur. Hæc igitur facit Ajax. Ulyſſem autem in tentoriis deprehendit Minerva ſpeculantem quidnam agat Ajax, ac quæcunque geſta ſunt ei narrat: vocátq; tandem ut foras prodeat, Ajacem etiamnum furioſum & ſuperbè ſe efferentem gloriantémq; de interfectis hoſtibus ſuis. Deinde ſe in ædes recipit, Ulyſſem flagris cæſurus. Accedit interea chorus ex nautis Salaminiis, ſciens quidem mactatum eſſe Græcorum gregem, autorem verò ignorans. Egreditur etiam Tecmeſſa, quam bello captam Ajax pro concubina habebat, ſciens quidem ab Ajace ſtragem gregis editam: verùm cujuſnam gregis, ignara. Uterq; igitur quod ignorabat ab utroq; edoctus: chorus quidem à Tecmeſſa, quòd Ajax cædis eſſet autor: Tecmeſſa viciſſim Græci exercitus eſſe gregem: lugent, maximè chorus. Deinde Ajax jam ad ſe reverſus mentiſq; compos egreditur, & ſua facta deplorat. Tecmeſſa eum ut iram remittat, obſecrat. Ille vero jam ſe remiſiſſe ſimulans, exit tanquam ſe cædémq; expiaturus, ac mortem ſibi conſciſcit. Sub finem fabulæ contentiones ſunt, Teucri adverſus Agamemnonem non permittentem cadaver ſepeliri, tandem autem ſepultum Teucer luget. Porrò fabula hoc innuit, ex ira nimiáq; vincendi cupiditate hujuſcemodi morbos exiſtere. Quemadmodum Ajax ſperans ſe armis potiturum & fruſtratus, ipſe ſibi manus adfert. Atque id genus contentiones ne ipſis quidem qui videntur ſuperiores evaſiſſe ſunt utiles. Vide quid Homerus de hac Ajacis calamitate breviter quidem ſed patheticè ſcribat, Sola ſed Ajacis reliquis procul umbra receſſit, Arma ob Pelidæ magno commota furore. Deinde audi quid victor dicat, O utinam haud eſſem tali in certamine victor. Nihil igitur utilitatis attulit ei victoria tanti viri morte redempta.

Fabulæ actio conſtituitur prope tentoria Ajacis in navalibus. Mirè autem inducit Minervam initio loquentem. Abſurdum enim fuiſſet Ajacem

ΥΠΟΘΕΣΙΣ ΑΙΑΝΤΟΣ ΜΑΣΤΙΓΟΦΟΡΟΥ.



Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ Ἀντηνορίδαι, καὶ Αἰχμαλωτίδες, καὶ Ἑλένης ἁρπαγή, καὶ Μέμνων. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως, ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλων, κρατεῖ Ὀδυσσεύς· ὅθεν ὁ Αἴας τῆς κρίσεως μὴ τυχὼν παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην, ὥστε ἐφαπτόμενος τῶν ποιμνίων καὶ τέμνων, δοκεῖν τοὺς Ἕλληνας διαχειρίζεσθαι· καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας, ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστι καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα· ὃν δήσας ἐμαστίγωσεν· ὅθεν καὶ τῇ ἐπιγραφῇ προσκεῖται Αἴας μαστιγοφόρος· ἢ πρὸς ἀντιδιαστολὴν τοῦ Λοκροῦ Αἴαντος. Δικαίαρχος δὲ Αἴαντος θάνατον ἐπιγράφει· ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς Αἴας ἀναγέγραπται. ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ τὸν Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ἄρα πράττει ὁ Αἴας, καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τοὐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα ὡς τῶν ἐχθρῶν ἀνῃρημένων· καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ τὸ μαστιγοῦν τὸν Ὀδυσσέα· παραγίνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονός, ὅτι ποίμνια ἐσφάγη Ἑλληνικά, ἀγνοῶν δὲ τὸν δράσαντα· ἔξεισι δὲ καὶ Τέκμησσα τοῦ Αἴαντος αἰχμάλωτος παλλακίς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων ὅτι Αἴας ἐστίν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια· μαθόντες οὖν παρ' ἀλλήλων τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι Αἴας ταῦτ' ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται, καὶ μάλιστα ὁ χορός· ἐντεῦθεν ὁ Αἴας προελθὼν, καὶ ἔμφρων γενόμενος, ἑαυτὸν ἀπολοφύρεται, καὶ τοῦτο Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς· ὁ δ' ἀποκριθεὶς πεπαῦσθαι, ἔξεισι δῆθεν καθαρσίων ἕνεκεν, καὶ ἑαυτὸν διαχειρίζεται· εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, καὶ πρὸς Ἀγαμέμνονα οὐκ ἐῶντας θάπτειν τὸ σῶμα· τὸ δὲ πέρας, θάψας αὐτὸν ὁ Τεῦκρος, ἀπολοφύρεται· πρόκειται δὲ ὁ λόγος τῆς τραγῳδίας, ὅτι ἐξ ὀργῆς καὶ λύπης ἀκρατοὶ ἄνθρωποι εἰς μανίαν περιτρέπονται· ὃ δὴ καὶ Αἴας πέπονθε, τῶν Ἀχιλλείων ὅπλων ἀποτυχών.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ κεῖται πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος· δαιμονίως δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν· ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα, εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀπορρήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δεδρακότος· θεοῦ οὖν ἦν τὸ ταῦτα διασαφῆσαι. περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν· οἱ μὲν γάρ φασιν ὅτι ὑπὸ Πάριδος τρωθεὶς

jacem egressum narrare quæ à se fuerant gesta, & ipsum se reprehendere: neque quisquam alius potuisset rescire quæ secretò & noctu ab Ajace designata erant. Dei fuerat ista palàm facere, & quidem Minervæ, quæ Ulyssis partes studiosè fovebat, ut in fabula est: Et hanc ideo prodii in viam Custos tibi & tuo favens venatui. *De morte Ajacis variant apud autores sententiæ. Alii aiunt à Paride vulneratum venisse in castra sua sanguine diffluentem: alii Trojanis oraculum editum, ut luto eum cœnóque peterent, (ferro enim vulnerari non poterat) & hoc modo obiisse: alii rursus, ipsum sibi mortem conscivisse asserunt, quorum est in numero Sophocles. De latere verò quòd illud solùm vulnerabile esset, Pindarus meminit: Corpus quidem quâ parte leonino tegebatur exuvio, vulnerari non potuisse: qua verò patebat fuisse vulneribus obnoxium.*

PERSONÆ FABULÆ.

MINERVA,

ULYSSES,

AJAX,

CHORUS senum Salaminiorum,

TECMESSA,

NUNCIUS,

SEMICHORUS,

TEUCER,

MENELAUS,

AGAMEMNON.

SOPHOC-

ἦλθεν εἰς τὰς ναῦς αἱμοῤῥοῶν· οἱ δὲ, ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν· (σιδήρῳ γὰρ οὐκ ἦν τρωτός) καὶ οὕτω τελευτᾷ· οἱ δὲ ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστι καὶ Σοφοκλῆς· περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα (ὅπερ ἐκάλυπτεν ἡ τοῦ Ἡρακλέους λεοντῆ) ἄτρωτον ἦν· τὸ δὲ μὴ καλυφθὲν (ὅπερ ἦν ἡ πλευρὰ) τρωτὸν ἦν· τὸ κεφάλαιον δὲ τοῦ δράματος, Αἴαντος μανία καὶ τελευτή.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ

ΠΡΟΣΩΠΑ.

ΑΘΗΝΑ,

ΟΔΥΣΣΕΥΣ,

ΑΙΑΣ,

ΧΟΡΟΣ ἐκ Σαλαμινίων ναυτῶν,

ΤΕΚΜΗΣΣΑ,

ΑΓΓΕΛΟΣ,

ΗΜΙΧΟΡΟΣ,

ΤΕΥΚΡΟΣ,

ΜΕΝΕΛΑΟΣ,

ΑΓΑΜΕΜΝΩΝ.

SOPHOCLIS

AJAX

FLAGELLIFER.

Iambi. Min. Semper, ô fili Laertis, video te
Insidias quasdam hostium præripere captantē,
Et nunc inter tabernacula nautica te cerno
Ajacis, ubi locum extremum tenet,
Jampridem venantem, & metientem
Vestigia illius recens impressa, ut videas
Utrum intus an verò non intus sit. Sed bene ducit te
Quasi sagacis Laconicæ canis vestigatio.
Intus enim jam vir hic est. Caput
Stillans sudore, & manus cæde respersas.
Nec te intra hanc portam introspectare
Amplius opus est, dicere autem cujus causa (cognoscas.
Operam hanc susceperis, ut à me sciente ipsum adesse
Uly. O vox Minervæ charissimæ mihi ex Diis, (attamen
Quam facile perceptibilis: tuam, & si inconspicua eras,
Vocem exaudio, & apprehendo mente
Tanquam sonum tubæ Tyrrhenicæ.
Et nunc intelligis me propter virum inimicum
Hîc ambulare, Ajacem dico scutiferum.
Nam illum, nec quenquam alium, quæro jamdudum.
Hac nocte enim rem inopinatam contra nos
Perpetravit, ut quidem hæc facta sunt:
Nam nihil certi habemus. sed adhuc dubitamus:
Et ego mea sponte suscepi hunc explorandi laborem.
Nam corruptam jam esse deprehendimus
Prædam omnem, & greges pecorum jugulatos
Manu, unà cum ipsis pastoribus:
In Ajacem verò omnes culpam conferunt.
Et mihi quidam, qui fuit spectator, & ipsum vidit solū
Exultantem per campum cum recenti cruore manante
Retulit, ac significavit. Ego vero statim (gladio
Ejus cœpi vestigia persequi, & quædam animadverto:
Quibusdam vero perturbor, nec possum scire cujus sint
Sed tu opportunè ades. Nam, ut omnia priora,

Ita

ΣΟΦΟΚΛΕΟΥΣ

ΑΙΑΣ

ΜΑΣΤΙΓΟΦΟΡΟΣ

ΙΑΜΒΟΙ.

ΑΘ. Ἀεὶ μὲν, ὦ παῖ λαερτίου, δέδορκά σε
πεῖραν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον·
Καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
πάλαι κυνηγετοῦντα, καὶ μετρούμενον
ἴχνη τὰ κείνου νεοχάραχθ', ὅπως ἴδῃς
εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον· εὖ δέ σ' ἐκφέρει
κυνὸς λακαίνης ὥς τις εὔρινος βάσις·
ἔνδον γὰρ ἁνὴρ ἄρτι τυγχάνει, κάρα
στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους·
καί σ' οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
ἔτ' ἔργον ἐστὶν, ἐννέπειν δ' ὅτου χάριν
σπουδὴν ἔθου τήνδ', ὡς παρ' εἰδυίας μάθῃς.

ΟΔ. Ὦ φθέγμ' ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς, ὅμως
φώνημ' ἀκούω, καὶ ξυναρπάζω φρενὶ,
χαλκοστόμου κώδωνος ὡς τυρσηνικῆς.
καὶ νῦν ἐπέγνως εὖ μ' ἐπ' ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ' αἴαντι τῷ σακεσφόρῳ·
κεῖνον γὰρ, οὐδὲν ἄλλον, ἰχνεύω πάλαι.
νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
ἔχει περάνας, εἴπερ εἴργασται τάδε.
ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ' ἀλώμεθα.
κἀγὼ 'θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ.
ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
λείας ἁπάσας, καὶ κατηναρισμένας
ἐκ χειρὸς αὐτοῖς ποιμνίων ἐπιστάταις.
τήνδ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν τρέπει,
καί μοι τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει
φράζει τε, κἀδήλωσεν, εὐθέως δ' ἐγὼ
κατ' ἴχνος ᾄσσω· καὶ τὰ μὲν σημαίνομαι,
τὰ δ' ἐκπέπληγμαι, κοὐκ ἔχω μαθεῖν ὅτου.
καιρὸν δ' ἐφήκεις· πάντα γὰρ τά τ' οὖν πάρος,

τάτ'

Ita & futura, te duce, geram.
Min. Scio Ulysse, & jampridem custos prodii
In viam, tuæ favens venationi.
Uly. Utrum chara domina tempestivè hanc operam sumo?
Min. Ut quidem ab Ajace hæc facta sunt.
Uly. Quidnam ad rem tam inopinatam impulit manum?
Min. Incensus ira propter arma Achillis.
Uly. Cur igitur in greges fecit impetum?
Min. Putans se cæde Principum polluere manum.
Uly. An erat hoc ejus consilium, quasi in Græcos ista faceret?
Min. Et quidem perfecisset, si ego neglexissem.
Uly. Qua audacia, vel qua mentis ferocia?
Min. Nocte solus ex insidiis coortus contra vos tendebat.
Uly. Utrum & propius accessit, atque ad metam pervenit?
Min. Et quidem jam juxta principales castrorum portas erat.
Uly. Quomodo igitur cohibuit à cæde furentem manum?
Min. Ego repressi eum, oculis ambiguas
Opiniones objiciens, ab illo immenso gaudio,
Et ad greges converto, ac varias pecudes
Prædæ, quæ non divisæ à pastoribus custodiebantur.
In eas irruens cæde inter cornutas bestias sæviebat,
Passim mactans: ac videbatur sibi nunc
Geminos Atridas manu suâ occidere,
Nunc alios ex ducibus irruens.
Ego verò grassantem furenti morbo
Impuli, & in mala septa deduxi.
Tandem ubi à cæde conquievit,
Quosdam boves vivos ligavit vinculis,
Et omnem gregem captivum abducit domum,
Quasi viros, ac non prædam cornutam cepisset:
Et domi vinctos flagris cædit.
Ostendam verò tibi hunc manifestum morbum,
Ut ubi videris rem omnibus Græcis narrare possis.
Fortiter veò sustine conspectum viri, nec perturberis.
Ego enim oculorum ipsius aversos
Radios arcebo, ne te videant.
Heus tu te voco, qui manus captas
Vinculis coerces, ut accedas huc.
Ajacem appello, progredere huc, ante vestibulum.
Uly. Quid agis Minerva: nequaquam ipsum foras evoces.
Min. Non tacebis, neque metum demes?
Uly. Non per Deum, sed intus satis sit ut maneat.
Min. Quare hoc non fiat? an non & antè hic vir fuit?
Uly. Hostis quidem mihi etiam nunc est.

πά τ' εἰσέπειτα, σῇ κυβερνῶμαι χερί....
Αθ. Ἔγνων Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.
Οδ. Ἦ καὶ φίλη δέσποινα πρὸς καιρὸν πονῶ;
Αθ. Ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
Οδ. Καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα;
Αθ. Χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
Οδ. Τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;
Αθ. Δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.
Οδ. Ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;
Αθ. Κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.
Οδ. Ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;
Αθ. Νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
Οδ. Ἦ καὶ παρέστη, κἀπὶ τέρμ' ἀφίκετο;
Αθ. Καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
Οδ. Καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
Αθ. Ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς
καὶ πρὸς τὰς ποίμνας ἐκτρέπω, σύμμικτά τε
λείας, ἄδαστα βουκόλων φρουρήματα.
ἔνθ' εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ' ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ' ἄλλοτ' ἄλλον, ἐμπίτνων, στρατηλατῶν.
ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις,
ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
κἄπειτ' ἐπειδὴ τοῦδ' ἐλώφησεν φόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν,
ποίμνας τε πάσας, εἰς δόμους κομίζεται,
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων.
καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.
δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς.
θαρσῶν δὲ μίμνε, μηδὲ συμφορὰν δέχου
τὸν ἄνδρ'· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω, σὴν πρόσοψιν εἰσιδεῖν.
οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
δεσμοῖς ἀπευθύνοντα, προσμολεῖν καλῶ.
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.
Οδ. Τί δρᾷς Ἀθάνα; μηδαμῶς σφ' ἔξω κάλει.
Αθ. Οὐ σῖγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς;
Οδ. Μὴ πρὸς θεῶν, ἀλλ' ἔνδον ἀρκείτω μένων.
Αθ. Τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ' ἦν;
Οδ. Ἐχθρός γε τῷδε τἀνδρί, καὶ τανῦν ἔτι.

Οὐκοῦν

Min. An non dulcissimus risus est in calamitate inimici ridere
Uly. Mihi satis est ut in domo maneat.
Min. Utrum manifestè furentem times aspicere?
Uly. Sanum eum non timerem.
Min. Sed nunc te non videbit, & si prope adsis.
Uly. Quomodo, siquidem oculis iisdem utetur?
Min. Ego caliginem palpebris etiam videntibus objiciam.
Uly. Fiant omnia Deo gubernante.
Min. Tace nunc, & mane sic in isto loco consistens.
Uly. Manebo, & si malim procul abesse.
Min. Heus tu Ajax, iterum te evoco.
Quid adeo parum revereris auxiliatricem tuam?
Aja. O salve Minerva, Salve Jovis filia.
Quàm opportunè ades: te aureis ego
Ornabo spoliis, propter hanc venationem.
Min. Pulchrè dixisti, sed hoc mihi narra,
Tinxisti hastam probè in Græcorum exercitum?
Aja. Est quod glorier, neque me fecisse nego.
Min. An & adversus Atridas armasti manum?
Aja. Ita ut non amplius Ajacem contumelia sint affecturi.
Min. Mortui sunt viri quantum tuum verbum intelligo.
Aja Mortui. Jam mea mihi, sibi libet eripiant arma.
Min. Age, quid filius Laërtis,
In qua fortuna tibi constitutus est, utrum è manibus effugit tuis?
Aja. De astutissima vulpecula interrogas me ubi sit?
Min. Ego quidem Ulyssem tuum adversarium dico.
Aja. Jucundissimus, ô domina, intus captivus
Sedet, mori enim eum nondum volo.
Min. Quid igitur ei pejus facies aut quid lucri capies?
Aja. Prius alligatus ad columnam vestibuli.
Min. Quid igitur infelici infliges mali?
Aja. Flagris primum cruentato tergo, deinde morietur.
Min. Ne miserum sic flagelles.
Aja. Sine me in hac re gaudere ô Minerva:
Ipse verò hanc & non aliam pœnam dabit.
Min. Tu igitur, quandoquidem tibi voluptas est ista facere,
Utere manu, nec peperceris, quemadmodum in animo
Aja. Accedo ad opus, in hoc tibi pareo, & peto (habes.
Ut semper mihi talis adsis auxiliatrix.
Min. Vides Ulysse quanta sit potentia divina.
Hoc viro enim quis prudentior?
Aut ad res præclarè gerendas paratior inventus est?
Uly. Ego quidem neminem scio: miseret me verò ejus,

Αθ. Οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν.
Οδ. Ἐμοὶ μὲν ἀρκεῖ τοῦτον εἰς δόμους μένειν.
Αθ. Μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;
Οδ. Φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ἰδεῖν.
Αθ. Ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας.
Οδ. Πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
Αθ. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
Οδ. Γένοιτο μέντ' ἂν πᾶν, θεοῦ τεχνωμένου.
Αθ. Σίγα νῦν ἑστὼς, καὶ μέν' ὡς κυρεῖς ἔχων.
Οδ. Μένοιμ' ἄν· ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
Αθ. Ὦ οὗτος, Αἶαν, δεύτερόν σε προσκαλῶ.
τί βαιὸν οὕτως ἐντρέπῃ τοῦ συμμάχου;
Αι. Ὦ χαῖρ' Ἀθάνα, χαῖρε Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.
Αθ. Καλῶς ἔλεξας· ἀλλ' ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
Αι. Κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
Αθ. Ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;
Αι. Ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι.
Αθ. Τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
Αι. Θανόντες, ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.
Αθ. Εἶεν· τί γὰρ δὴ παῖς ὁ τοῦ λαερτίου,
ποῦ σοι τύχης ἕστηκεν; ἢ πέφευγέ σε;
Αι. Ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;
Αθ. Ἔγωγ' Ὀδυσέα τὸν σὸν ἐνστάτην λέγω.
Αι. Ἥδιστος ὦ δέσποινα δεσμώτης ἔσω
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔ τί πω θέλω.
Αθ. Πρὶν ἂν τί δράσῃς, ἢ τί κερδάνῃς πλέον;
Αι. Πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκίου στέγης.
Αθ. Τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακόν;
Αι. Μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.
Αθ. Μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
Αι. Χαίρειν Ἀθάνα τἄλλ' ἐγώ σ' ἐφίεμαι·
κεῖνος δὲ τίσει τήνδε, κοὐκ ἄλλην δίκην.
Αθ. Σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
χρῶ χειρὶ, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
Αι. Χωρῶ πρὸς ἔργον· τοῦτό σοι δ' ἐφίεμαι,
τοιάνδ' ἀεί μοι σύμμαχον παρεστάναι.
Αθ. Ὁρᾷς Ὀδυσσεῦ τὴν θεῶν ἰσχὺν ὅση,
τούτου τίς ἄν σοι τἀνδρὸς ἦν προνούστερος,
ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;
Οδ. Ἐγὼ μὲν οὐδέν' οἶδ', ἐποικτείρω δέ νιν

δύστηνον

Cum ita miserè affectum video, quamvis mihi infensum esse sciam,
Propterea quòd noxæ copulatus est malæ:
Et ejus exemplum me meæ conditionis quoq; admonet.
Video enim nos homines nihil aliud esse quàm
Simulachra, quicunq; vivimus, & inanem umbram.
Min. Hæc igitur exempla te moveant, superbè
Ne quid dicas adversùs Deum,
Neque insolescas, si fortè plus aliis
Vel manu polles, vel magnarum opum pondere:
Quia dies inclinat, & excitat rursùm
Omnia humana: modestos verò
Dii amant & oderunt malos.

ANAPAESTI.

Cho. O fili Telamonis, qui tenes sedem
Salaminiæ insulæ maritimæ:
Quando bene tecum agitur, tunc tibi gratulor.
Et contrà, cùm aliqua plaga divinitus te oppressit,
Aut Græci maledicta in te jactant,
Sic trepido, & in metum propter te conjicior,
Ut volucris trepidat columba.
Sicut & præterita nocte
Magni tumultus nos terruerunt
In mala fama, quòd ferebant te furentem
Egressũ in cãpos perdidisse Græcorũ pecora & prædã,
Quæ in bello capta adhuc reliqua erat:
Ac interfecisse lucenti ferro.
Tales sermones calumniosè confingens
In aures omnium insusurrat Ulysses,
Et admodum persuadet: de te enim nunc
Plausibilia dicit, & quicunque audiunt
Hæc ipsum dicentem, valde gaudent,
Et tuis ærumnis insultant.
Nam qui maledicta jaciunt in magnos viros,
Facilè inveniunt applausores: si quis autem ad me
Talia diceret, non persuaderet:
Nam qui habet, is invidiæ obnoxius est.
Sed cives humiles præstantium virorum ope destituti,
Infirmum sunt propugnaculum.
Verùm cum magnis viris tenues optimè
Simul erigunt, ac sustentant se,
Et magni cum tenuibus.

Sed

δύστηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ,
ὅθ' οὕνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.——

Αθ. Τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃς μηδέν, εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάρει·
ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,
σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω·
σὲ δ' ὅταν πληγὴ Διὸς, ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω, καὶ πεφόβημαι
πτηνῆς ὡς ὄμμα πελείας.——
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ
λειμῶν' ἐπιβάντ', ὀλέσαι Δαναῶν
βοτὰ, καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπή,
κτείνοντ' αἴθωνι σιδήρῳ.——
τοιούσδε λόγους ψιθύρους πλάττων
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεύς,
καὶ σφόδρα πείθει· περὶ γὰρ σοῦ νῦν
εὔπειστα λέγει· καὶ πᾶς ὁ κλύων
τοῦ λέξαντος χαίρει μᾶλλον,
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.——
τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
οὐκ ἂν ἁμάρτοι, κατὰ δ' ἄν τις ἐμοῦ
τοιαῦτα λέγων, οὐκ ἂν πείθοι.
πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
καίτοι σμικροὶ μεγάλων χωρὶς,
σφαλερὸν πύργου ῥῦμα πέλονται.
μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν,
καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικρῶν.——

ἀλλ'

Sed non facilè est stultis
Hæc vera esse persuadere,
Propter hominum talium clamores.
Et nos nihil possumus his rebus
Opis afferre, sine te, ô Rex noster.
Sed quando illi, qui nunc maledicunt, faciē tuam vident,
Trepidant, velut avium greges
Magnam aquilam vel vulturem metuentes.
Sed si tu fortè subitò illis conspectus fueris,
Multi silentio & metu perculsi tacebunt.

EPODICA, *strophe.*

Sin autem, quæ in Tauris colitur,
Filia Jovis Diana,
(O fama ingens,
O Diana hujus dedecoris nostri mater)
Si ea te impulit, ut in publicos boves sævires,
Indignans fortè victoriæ causa gratiā non esse relatam:
Vel ex inclytis spoliis se esse
Frustratam sua parte, vel ex venatione.
Aut ferreus Mars aliquam cur succenseat
Causam habens ex bello, nocturnis insidiis
Te exercet, propter acceptam injuriam.

Antistrophe.

Nunquam enim mentis compos ad sinistra,
O fili Telamonis, processisses,
Ita in greges irruens.
Potest incidere morbus divinitus, sed arceant precor
Jupiter & Apollo malam inter Græcos famam.
Si verò à subornatis hominibus
Captant sermones magni reges,
Aut à scelerato genere Sisyphi,
Ne mihi, ne Rex amplius
Ita in nauticis tentoriis abditus,
Malam famam in te recipias.

EPODOS.

Sed surge & progredere isto ex loco, ubi jam diu
Hæres, in hoc longo & molesto otio, (accendis:
Atque interim noxam, quæ te divinitus affligit, magis

Et

ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.---
ὑπὸ τοιούτων ἀνδρῶν θορυβῇ.
χ' ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦ-
τ' ἀπαλέξασθαι, σοῦ χωρίς.---
ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
παταγοῦσιν, ἅτε πτηνῶν ἀγέλαι
μέγαν αἰγυπιὸν ὑποδείσαντες·
τάχ' ἂν ἐξαίφνης εἰ σὺ φανείης,
σιγῇ πτήξειαν ἄφωνοι.--

ΕΠΩΔΙΚΑ. στροφή.

1 ἦ ῥά σε ταυροπόλα διὸς ἄρτεμις,
2 (ὦ μεγάλα φάτις, ὦ
3 μᾶτερ αἰσχύνας ἐμᾶς)
4 ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας,
5 ἦπου τινὸς νίκας ἀκάρπωτον χάριν,
6 ἢ ῥα κλυτῶν ἐνάρων
7 ψευσθεῖσα δώροις, ἤτ' ἐλαφηβολίαις.
8 ἢ χαλκοθώραξ, ἤ τιν' ἐνυάλιος
9 μομφὰν ἔχων
10 ξυνοῦ δορὸς ἐννυχίοις μαχαναῖς
11 ἐτίσατο λώβαν;---

ἀντιστροφή.

1 οὔποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ
2 παῖ τελαμῶνος ἔβας,
3 τόσσον ἐν ποίμναις πίτνων.
4 ἥκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
5 καὶ Ζεὺς κακὰν καὶ φοῖβος ἀργείων φάτιν.
6 εἰ δ' ὑποβαλλόμενοι
7 κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
8 ἢ τᾶς ἀσώτου σισυφιδᾶν γενεᾶς,
9 μὴ μή μ' ἄναξ,
10 ἔθ' ὧδ' ἐφάλοις κλισίαις ὄμμ' ἔχων,
11 κακὰν φάτιν ἄρῃς.---

ΕΠΩΔΟΣ.

1 ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι
2 στηρίζῃ ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ,
3 ἄταν οὐρανίαν φλέγων.

Et inimicorum petulantia absque metu libere,
Ac velut apertis vallibus, contra te erumpit.
Semper rident te, & linguis de te
Tristia spargunt, quæ me dolore afficiunt.

ANAPÆSTI.

Tec. O socii navis Ajacis,
Genere ab indigenis ac nobilibus Atheniensibus orti.
Nos conflictamur cum dolore gravi, qui curamus
Telamonis filium, procul à patria.
Nunc enim ille acer & magnus & fortis
Ajax, atra
Jacet oppressus tempestate.
Cho. Quod pro tranquillitate priore
Nox hæc attulit calamitatum onus,
O filia Phrygii Teleutantis,
Narra nobis, quoniam te conjugem bello captam
Amans sustinet Martius Ajax:
Quapropter hæc non ignara dixeris.
Tec. Quomodo vero narrabo rem infandam?
Nam non minus morte triste malum audies.
Furore enim captus nobis inclitus
Hac nocte Ajax rem fœdam perpetravit.
Hæc videre poteris in tabernaculo:
Nempe manu cæsas pecudes cruentas,
Quæ sunt hujus viri facinora.

ANTISTROPHICA. strophe.

Cho. Qualem affers de viro
Incenso nuncium ac famam,
Intolerandam, nec evitabilem,
Et ab exercitu magno Græcorum
Rumoribus antè sparsam,
Quam multorum sermo in immensum auget.
Hei mihi metuo impendens malum:
Vir enim hic inclytus & illustris
Per furorem ipse sibi furentes
Afferet manus, postquam interfecit
Cruento gladio pecudes,
Et pastores gregibus præfectos.

ANA-

4 ἐχθρῶν δ' ὕβρεις ὧδ' ἀτάρβητα
5 ὁρμᾶται ἐν εὐανέμοις βάσσαις,
6 πάντων καγχαζόντων γλώσσαις
7 βαρυάλγητ'. ἐμοὶ δ' ἄχος ἕστακε.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδῶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
νῦν γὰρ ὁ δεινὸς, ὁ μέγας ὠμοκρατὴς
Αἴας, θολερῷ
κεῖται χειμῶνι νοσήσας.---
Χο. Τί δ' ἐνήλλακται τῆς ἀμερίας
νὺξ ἥδε βάρος;
παῖ τοῦ Φρυγίου Τελεύταντος,
λέγ', ἐπεί σε λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας.
ὥς οὐκ ἂν ἄιδρις ὑπείποις.---
Τε. Πῶς δῆτα λέγω λόγον ἄρρητον;
θανάτῳ γὰρ ἴσον βάρος ἐκπεύσῃ.
μανίᾳ γὰρ ἁλοὺς ἡμῖν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη.
τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφή.

Χο. 1 Οἵαν ἐδήλωσας ἀνδρὸς
2 αἴθωνος ἀγγελίαν
3 ἄτλατον, οὐδὲ φευκτὰν,
4 τῶν μεγάλων Δαναῶν
5 ὑποκληϊζομέναν,
6 τὰν ὁ μέγας μῦθος ἀέξει.
7 ὤ μοι, φοβοῦμαι τὸ προσέρπον.
8 περίφαντος ἀνὴρ
9 θανεῖται, παραπλήκτῳ
10 χερὶ συγκατακτὰς
11 κελαινοῖς ξίφεσιν βοτὰ,
12 καὶ βοτῆρας ἱππονόμους.---

ANAPAESTI.

Tec. Hei mihi, hinc nobis
Captivas pecudes ducens venit,
Ex quibus alias intus humi ſtratas jugulavit,
Alias cæſas in duas partes diſſecuit.
Duos vero arietes candidos accipiens
Alterius caput & extremam linguam
Abjecit præcidens, Alterum rectum ſurſum
Ad columnam alligans
Accepto grandi loro equeſtri
Cædit miſere duplici ſcutica,
Mala convicia addens, quæ furor illi
Et nemo hominum ſubjiciebat,

ANTISTROPHE I.

Cho. Nunc tempus eſt ut quiſque noſtrum caput
Operiat & involvat velis,
Ac pedibus ſe in fugam conjiciat,
Aut celeri remigio
Nauticis tranſtris inſidens
Pontigradæ navi habenas laxet,
Tales movent minas
Gemini Atridæ, qui rerum potiuntur,
Adverſus nos: nunc metuo
Sententiam, qua condemnati lapidibus obruamur,
Ut ſimul cum illo pœnam luamus,
Quem furor inſanabilis tenet.

ANAPAESTI.

Tec. Atqui non furit amplius, ſed
Velut ex coruſco fulgure
Vehemens ventus coortus deſiit tandem,
Et nunc ſanus novo dolore angitur.
Nam propriorum malorum conſideratio,
Cum neminem habeas cui poſſis imputare,
Ingentes dolores parit.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Ὤμοι· κεῖθεν κεῖθεν ἄρ' ἡμῖν
δεσμῶτιν ἄγων ἤλυθε ποίμναν·
ὧν τὴν μὲν ἔσω σφάζ' ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν, δίχ' ἀνερρήγνυ.
δύο δ' ἀργίποδας κριοὺς ἀνελών,
τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥιπτεῖ θερίσας, τὸν δ' ὀρθὸν ἄνω
κίονι δήσας,
μέγαν ἱπποδέτην ῥυτῆρα λαβών,
παίει λιγυρᾷ μάστιγι διπλῇ·
κακὰ δεννάζων ῥήμαθ', ἃ δαίμων
κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν.

ἀντιστροφή.

Χο. 1 Ὥρα τιν' ἤδη κάρα κα-
2 λύμμασι κρυψάμενον,
3 ποδοῖν κλοπὰν ἀρέσθαι,
4 ἢ θοὸν εἰρεσίας
5 ζυγὸν ἑζόμενον
6 ποντοπόρῳ ναῒ μεθεῖναι.
7 τοίας ἐρέσσουσιν ἀπειλὰς
8 δικρατεῖς Ἀτρεῖδαι
9 καθ' ἡμῶν, πεφόβημαι
10 λιθόλευστον Ἄρη,
11 ξυναλγεῖν μετὰ τοῦδε τυ-
12 πείς, τὸν αἶσ' ἄπλατος ἔχει.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Οὐκέτι· λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς
ᾄξας ὀξὺς νότος ὣς λήγει.
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

IAMBI.

Cho. Sed si conquievit furor, tunc præclare nobiscum agitur?
Minor enim sublato malo cura est.
Tec. Utrum vero si quis optionem det eliges?
An afflictis amicis etiam lætari malis,
Quam una cum illis affici communi dolore simul?
Cho. Geminum malum ô Mulier, gravius est.
Tec. Nos igitur absque morbo nunc miseri sumus.
Cho. Quid hoc rei est? non enim intelligo quod dixisti.
Tec. Sic est: cum hic vir morbo oppressus esset,
Ipse quidem lætabatur illis malis, quibus tenebatur,
Nos vero sanos magna tristitia afficiebat.
Nunc ut desiit furere, ac respiravit à morbo,
Ipse totus affligitur dolore,
Et nos simul ingenti tristitia,
Non minus quam ante, afficit.
Sunt ergo hæc duplicia ex simplicibus mala.
Cho. Assentior tibi, & metuo ne à Deo
Aliqua plaga immineat. Sed qui fit, ut laxato morbo,
Non magis quam cum ægrotaret lætetur?
Tec. Oportet te scire, ut hæc res se habeat.
Cho. Quomodo igitur hoc malum incepit?
Indica nobis infortunium, non minus enim & nos dolemus.
Tec. Rem totam cognosces, siquidem & tu communi dolore afficeris.
Ipse nocte summa, quo tempore vespertini
Lychni non amplius lucebant, ancipitem arripiens
Hastam volebat temere exire.
Cumque ego increparem, ac dicerem, quam rem agis
Ajax? cur hanc injussus, & à nullo nuncio
Vocatus suscipis explorationē? neq; tubæ signū audisti:
Et nunc quidem universus exercitus dormit.
Tunc ad me brevem hunc sed usitatum sermonem dixit
Mulier, Silentium decus affert mulieribus.
Quo ego sermone admonita destiti, ipse autem foras erupit solus,
Neque quid ibi gesserit dicere possum.
Intro vero rediens captivos adduxit simul,
Tauros, canes pastorales, & cornutam prædam,
Ex quibus alias pecudes decollavit: alias sursum alligatas
Mactabat ac dissecabat: alias ceu captivos homines
Flagris cædebat, & sic in pecora sæviebat.
Tandem ad fores procurrens, cum umbra quadam
Sermones habuit: nunc quasi de Atridis,

ΙΑΜΒΟΙ.

Χο. Αλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ·
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.
Τε. Πότερα δ' ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών.
Χο. Τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
Τε. Ημεῖς ἄρ' οὐ νοσοῦντες, ἀτώμεσθα νῦν.
Χο. Πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.
Τε. Ανὴρ ἐκεῖνος ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ' ὡς ἔληξε, κἀνέπνευσε τῆς νόσου,
κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ,
ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον, ἢ πάρος.
ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;
Χο. Ξύμφημι δή σοι, καὶ δέδοικα μὴ 'κ θεοῦ
πληγή τις ἥκοι· πῶς γάρ, εἰ πεπαυμένος
μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται---
Τε. Ως ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή.
Χο. Τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.
Τε. Απαν μαθήσῃ τοὔργον, ὡς κοινωνὸς ὤν.
κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ' ἕσπεροι
λαμπτῆρες οὐκέτ' ἦθον, ἄμφηκες λαβὼν
ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κενάς.
κἀγὼ 'πιπλήσσω, καὶ λέγω, τί χρῆμα δρᾷς
Αἴας; τί τήνδ' ἄκλητος, οὔθ' ὑπ' ἀγγέλων
κληθείς, ἐφορμᾷς πεῖραν, οὔτε του κλύων
σάλπιγγος· ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα,
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ', ἔληξ'· ὁ δ' ἐσσύθη μόνος.
καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν τύχας·
ἔσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔκερών τ' ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δ' ἄνω τρέπων,
ἔσφαζε, κἀρράχιζε· τοὺς δὲ δεσμίους
ᾐκίζεθ' ὥστε φῶτας, ἐν ποίμναις πίτνων.
τέλος δ' ἐπαΐξας διὰ θυρῶν σκιᾷ τινὶ
λόγους ἀνέσπα, τοὺς μὲν Ατρειδῶν κάτα,

Nunc de Ulysse loquens, magnosque risus edebat,
Commemorans quam eos ulcisceretur ob acceptam injuriam.
Deinde, cum rursum huc intro irrupisset,
Ad sese vix tandem rediit.
Atque ut cæde pecorum plenam vidit domum,
Pulsans caput exclamavit, inque cadaverum strage
Volutus, recubuit in illa ovium cæde,
Comam manibus acerrime vellens,
Et diu sic tacitus sedit.
Postea mihi atrociter comminatus est,
Nisi, ut hæc calamitas accidisset, commemorarem,
Quærens in quod negotium incidisset,
Atque ego, amici, metuens, rem ut acta erat
Exposui totam quantum quidem noram.
Ipse vero statim cœpit ejulare vociferatione tristi,
Cujusmodi lamentationes antehac nunquam ex eo audivi.
Nam viri timidi, & pusilli animi, luctus
Tales esse, semper antea solebat dicere.
Et prius cum aliquid ægre erat, temperans à claris ejulatibus
Gemebat tantum, ut Taurus fremens.
Nunc vero ista calamitate tristissima oppressus,
Absque cibo potuque inter media pecora
Ferro contrucidata, tacitus jacet prolapsus:
Et manifeste præ se fert, quasi aliquid moliens mali,
Tales sermones, questusque edit.
Sed ô amici, nam ob hanc causam huc prodii,
Huc introite, & ferte opem, si quid potestis.
Ab amicis enim viri tales flecti solent.

Cho. Horribilia narras nobis, ô Tecmessa,
Quæ dicis Ajacem ex rebus adversis insanire,

Aja. Hei mihi.

Tec. Statim acrius, ut videtur, vociferabitur. An non audistis
Ajacem? quales clamores ciet?

Aja. Hei mihi.

Cho. Hic vir videtur vel jam affligi morbo,
Vel à priore ægritudine adhuc dolore affici.

Aja. Ah Puer, Puer.

Tec. Me miseram, Eurysaces, de te clamat,

Aja. Quam rem agit? Ubi tandem es? miseram me!
Teucrum voco, ubi es Teucer? An ille perpetuo
Prædas aget? Ego vero pereo.

Cho. Hic vir jam apud se esse videtur. Sed aperite:
Fortasse enim me conspecto verebitur.

τοὺς δ' ἀμφ' Ὀδυσσεῖ, συντιθεὶς γέλων πολύν,
ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσαιτ' ἰών.
κἄπειτ' ἐπᾴξας αὖθις ἐς δόμους πάλιν
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται·
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα, θώϋξεν· ἐν δ' ἐρειπίοις
νεκρῶν ἐρειφθεὶς ἕζετ' ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον,
ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη,
εἰ μὴ φανείην πᾶν τὸ συντυχὸν πάθος·
κἀνήρετ' ἐν τῷ πράγματος κυρεῖ ποτέ.
κἀγὼ φίλοι δείσασα, τοὐξειργασμένον
ἔλεξα πᾶν ὅσον περ ἐξηπιστάμην.
ὁ δ' αὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγρὰς,
ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους,
τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν·
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων,
ὑπεστέναζε ταῦρος ὣς μυκώμενος.
νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ,
ἄσιτος ἀνὴρ, ἄποτος, ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν. ἥσυχος θακεῖ πεσών.
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.
ἀλλ' ὦ φίλοι, (τούτων γὰρ οὕνεκ' ἐστάλην)
ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε νικῶνται φίλοι.

Χο. Τέκμησσα δεινὰ παῖ Τελεύταντος λέγεις
ἡμῖν τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

Αι. Ἰώ μοι μοι.

Τε. Τάχ', ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκούσατε
Αἴαντος, οἵαν τήνδε θωΰσσει βοήν;

Αι. Ἰώ μοι μοι

Χο. Ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

Αι. Ἰώ, παῖ, παῖ.

Τε. Ὦ μοι τάλαιν', Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.

Αι. Τεῦκρον καλῶ· ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.

Χο. Ἀνὴρ φρονεῖν ἔοικεν· ἀλλ' ἀνοίγετε.
τάχ' ἂν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.

Tec. Ecce aperio, licet tibi videre
Quomodo rem gesserit, & quomodo ipse affectus sit.

ANTISTROPHICA. strophe 1.

Ajax. O Socii navales, soli mihi amici,
Et soli manentes in recta lege,
Videtis ne, quanta tempestas
Purpureo velut è mari
Undique me oppresserit?
Cho. Hei mihi, quam nimis vera dixisti Tecmessa,
Res ipsa ostendit Ajacem furere.

ANTISTROPHE 1.

Aja. O socii genus Nauticæ artis,
Qui nâves ascendistis & agitastis remos in mari,
Vos, vos, inquam solos video
Ex proceribus curantes me:
Sed me simul interficite.
Ch. Bona verba, quæso, nec malo malum addens
Remedium, damnum in majus accumules:

STROPHE 2.

Ajax. Vides hunc ferocem, hunc magnanimum,
Inque bellicis præliis imperterritum,
Interque feras intrepidas manibus acrem?
Hei mihi quantos risus præbebo, quanto me probro (contaminavi.
Tec. Ne Ajax Here, ne quæso ista dicas.
Ajax. Non tu hunc abis? non foras effers pedem?
Cho. Per deum oro, ut flecti te patiaris, & rectius sapias.

STROPHE 3.

Ajax. O ego infœlix qui ex manibus meis
Emisi illos execrabiles,
Inque armenta boum,
Et greges innoxios incurrens,
Atrum sanguinem fudi.
Cho. Quid adeo doles ob facta,
Quæ jam infecta fieri non possunt?

Τε. Ἰδοὺ διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ ά.

1 Ἰώ μοι φίλοι ναυβάται,
2 μόνοι ἐμῶν φίλων, μόνοι
3 τ' ἐμμένοντες ὀρθῷ νόμῳ·
4 ἴδεσθέ μ' οἷον ἄρτι κῦμα
5 φοινίας ὑπὸ ζάλης
6 ἀμφίδρομον κυκλεῖται---
Χο. Οἴμ', ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.
δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.---

ΑΝΤΙΣΤΡΟΦΗ ά.

1 Ἰώ μοι γένος ναΐας
Αι. 2 ἀρωγὸν τέχνας, ἁλίαν
3 ὃς ἐπέβας ἑλίσσων πλάταν·
4 σέ τοι σέ τοι μόνον δέδορ-
5 κα ποιμένων ἐπαρκέσον-
6 τ'· ἀλλά με συνδάϊξον.--
Χο. Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.--

ΣΤΡΟΦΗ β'.

Αι. 1 Ὁρᾷς τὸν θρασὺν, τὸν εὐκάρδιον,
2 τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
3 ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
4 ὤ μοι γέλωτος, οἷον ὑβρίσθην ἄρα--
Τε. Μὴ δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε.
Οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμῇ πόδα;
Αι. αἶ, αἶ, αἶ, αἶ.
Χο. Ὦ πρὸς θεῶν ὕπεικε, καὶ φρόνησον εὖ.---

ΣΤΡΟΦΗ γ'.

1 Ἰὼ δύσμορος, ὃς χεροῖν
Αι. 2 μεθῆκα τοὺς ἀλάστορας,
3 ἐν δ' ἑλίκεσσι βουσὶ καὶ
4 κλυτοῖς πεσὼν αἰπολίοις,
5 ἐρεμνὸν αἷμ' ἔδευσα--
Χο. Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν--

ΑΝ-

ANTISTROPHE 2.

Ajax. O qui omnia vides, & omnium qui es
Malorum organum, fili Laertis,
Sordidissime impostor exercitus,
Cho. Quam tu suaviter & cum voluptate alicubi nunc rides.
Ajax. Omnes, Deo volente, vel rident, vel lugent.
Utinam videam ipsum, quamvis ita afflictus,
Hei mihi misero.
Cho. Ne quid elate dicas, an non vides quantũ mali habeas?

ANTISTROPHE 3.

Ajax. O Jupiter majorum meorum progenitor,
Utinam occiso garrulo
Veteratore & geminis
Regibus prius perditis,
Deinde & ipse moriar.
Tec. Quando hæc imprecaris, simul & mihi mortem
Opta: ad quid enim me vivere oportet te mortuo?

STROPHE 4.

Ajax.
O lux mea, quàm in tenebras mutata es:
O lux olim clarissima mihi, ut nunc atra nox facta es.
Tollite me dominum vestrum,
Tollite. non enim deorum
Genus neque mansuetorum
Amplius dignus sum ut intuear
Hominum, cum aliqua utilitate mea.
Sed me filia Jovis, potens dea,
Noxium excruciat.
Nam quo quis effugerit?
Quo curram? aut ubi manebo?
Siquidem prior gloria & fama periit.
Et jam simul alia instant,
Egoque in ista infami venatione jaceo,
Totusque exercitus jam ambabus manibus,
Ut me interficiat, concurret.
Tec. Me miseram, hunc tantum virum
Ista loqui, quæ ante hoc tempus non sustinuisset?

AN-

ΑΝΤΙΣΤΡΟΦΗ β'

Αἰ. 1 Ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ
2 κακῶν ὄργανον τέκνον Λαρτίου,
3 κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
Χο. 4 ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.--
Αἰ. Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται.
Ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.
Ἰώ μοι μοι.
Χο. Μηδὲν μέγ' εἴπῃς· οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;

ΑΝΤΙΣΤΡΟΦΗ γ'

Αἰ.
1 Ἰὼ Ζεῦ προγόνων πάτερ.
2 πῶς ἂν τὸν αἱμυλώτατον,
3 ἐχθρὸν, ἄλημα, τούς τε δισ--
4 σάρχας ὀλέσσας βασιλῆς,
5 τέλος θάνοιμι κ' αὐτός;
Τε. Ὅταν κατεύχῃ ταῦτ', ὁμοῦ κἀμοὶ θανεῖν
εὔχου. τί γὰρ δεῖ ζῆν με σοῦ τεθνηκότος;

ΣΤΡΟΦΗ δ'.

Αἰ. 1 Ἰὼ σκότος, ἐμὸν φάος, ἔρεβος
2 ὦ φαεννὸν ὡς ἐμοὶ,
3 ἕλεσθ' ἕλεσθ' οἰκήτορα,
4 ἕλεσθέ μ'· οὔτε γὰρ θεῶν
5 γένος, οὔθ' ἁμερίων
6 ἔτ' ἄξιος βλέπειν τι-
7 ν' εἰς ὄνησιν ἀνθρώπων.
8 ἀλλά μ' ἁ Διός γ' ἀλκίμα θεὸς
9 ὀλέθριον αἰκίζει.
10 ποῖ τις οὖν φύγῃ;
11 ποῖ μολὼν μενῶ;
12 εἰ τὰ μὲν φθίνει φίλοι,
13 τοῖς δ' ὁμοῦ πέλας,
14 μωραῖς δ' ἄγραις προσκείμεθα;
14 πᾶς δὲ στρατὸς δίπαλτος
16 ἄν με χειρὶ φονεύοι.---
Τε. Ω δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον
φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν;

ANTISTROPHE 4.

Ajax. O fluvii in mare labentes, & antra maritima,
Ac nemus littorale,
Longo, longo tempore, diuque me
Tenuistis ad Trojam,
Sed non amplius me, non amplius
Habentem spiritum tenebitis.
Hoc sciat, qui ista intelligit.
O Scamandri vicinæ undæ,
Faventes Græcis,
Non amplius me virum
Hunc videbitis, Verbum
Dicam magnum, Qualem non alium
Troja in exercitu
Vidit à terra profectum
Græca, Sed nunc ita inglorius
Contemptusque hic jaceo.

IAMBI.

Cho. Neque quomodo prohibeam, neque ut sinam te ista dicere
Invenio, cum in tanta incideris mala.
Ajax. Ah, ah, Quis unquam putasset sic consentiens
Meum convenire nomen malis meis?
Nunc enim tempus est, quo bis lugere me
Et ter oporteat, in tantis demersum malis.
Cujus Pater ex hac ipsa Idæa terrâ,
Re præclare gesta, primos honores in exercitu
Domum retulit, parta ingenti gloria.
Ego verò illius filius in eundem locum
Veni non minore virtute præditus:
Neque minoribus rebus manu gestis,
Infamis inter Græcos ita pereo,
Sed & hoc satis certo scio,
Si vivus Achilles de suis armis
Et de virtutis primatu sententiam dicturus esset,
Non aliquis ea mihi ornamenta præripuisset.
Nunc vero Atridæ homini impostori
Hunc honorem tribuerunt, neglecta mea virtute.
Et nisi oculi mei atque mens alio versa
A meo proposito me avertissent, Non illi amplius
Posthac sententiam contra quenquam talem ferrent.

ΑΝΤΙΣΤΡΟΦΗ δ'

Αἰ. Πόροι ἁλίρροθοι, πάραλά τ' ἄντρα,
καὶ νέμος ἐπάκτιον,
πολὺν πολὺν δαρόν τε με
κατείχετ' ἀμφὶ Τροίαν
χρόνον· ἀλλ' οὐκέτι μ' οὐ-
κέτ' ἀμπνοὰς ἔχοντα·
τοῦτό τις φρονῶν ἴστω.
ὦ Σκαμάνδριοι γείτονες ῥοαὶ
εὔφρονες Ἀργείοις,
οὐκέτ' ἄνδρα μὴ
τόνδ' ἴδητ' (ἔπος
ἐξερέω μέγ') οἷον οὔ-
τινα Τροία στρατοῦ
δέρχθη, χθονὸς μολόντ' ἀπὸ
Ἑλλανίδος· τανῦν δ' ἄ-
τιμος ὧδε πρόκειται.

ΙΑΜΒΟΙ.

Χο. ΟΥ'τοι σ' ἀπείργειν, οὐδ' ὅπως ἐῶ λέγειν
ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.
Αἰ. Αἰ, αἰ τίς ἂν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοί,
καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω.
ὅτου πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς
τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ,
πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
ἐγὼ δ' ὁ κείνου παῖς τὸν αὐτὸν εἰς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει
οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
ἄτιμος ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
καίτοι τοσοῦτόν γ' ἐξεπίστασθαι δοκῶ,
εἰ ζῶν ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι
κρίνειν ἔμελλ[illegible]άρτος ἀριστείας τινί,
οὐκ ἂν τις αὐ[illegible] ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ·
νῦν δ' αὔτ' [illegible]εῖδαι φωτὶ παντουργῷ φρένας
ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη.
κεἰ μὴ τόδ' ὄμμα καὶ φρένες διάστροφοι
γνώμης ἀπῇξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.

νῦν

Sed Pallas terrifica & invicta Dea
Me jam illis manum intentantem
Fefellit, objiciens animo rabiem,
Ut pecudum cæde manus contaminarem.
Illi vero nunc irrident, elapsi
Me invito. Sed cum Deus (fortium.
Adversatur, tunc etiã ignavi effugiunt è manib. virorũ
Nunc igitur quid oportet me facere, cum manifeste diis
Invisus sim? Oditque me Græcorum exercitus,
Odit & universa Troja, atque hæc ipsa terra.
Utrum patriam petens, relictis his nauticis castris,
Et relictis solis Atridis Ægæum mare trajiciam?
At quo vultu ad Patrem redibo
Telamonem? Quomodo me sustinebit aspicere, (nero
Si nudus, & absq; primis præmiis virtutis ad illum ve-
Quorum ipse obtinuit coronam gloriæ magnam.
Non possum ista perpeti. Sed quid si irruens
Ad stationes hostium, & solus cum illis conserta manu
Aliquid præclare geram, atq; ita tandẽ & ipse moriar?
Sed hoc si fecero gratificabor Atridis.
Non igitur faciam. Verum aliquid tentandum est
Tale, quo seni ostendam patri
Me ex illo neutiquam degenerem natum esse:
Turpe enim est homini longam expetere vitam,
Qui non liberatur à calamitatibus & malis.
Quid enim dies ad diem juvare potest
Addita, quæ differt mortem?
Pro nihilo enim hominem puto,
Qui inani spe concepta incalescit,
Sed vel honeste vivere, vel honeste mori
Generosum oportet: Hæc summa est sermonum meorũ.
Cho. Nemo hoc dixerit, quod indigna
Locutus sis. Attamen istum animi tui impetum
Reprime quæso & da hoc amicis,
Ut ipsorum sententia vincat, atque hanc curam omitte.
Tec. O Here, Necessitate fortunæ
Non est aliud majus hominibus malum.
Ego ex patre nata sum libero,
Isq; opibus affluebat, ut quisquam alius inter Phrygas.
Nunc serva sum, sic forte Deo visum est,
Et tuæ virtuti. Sed postquam
Veni ad lectum tuum, te unice amo.
Quapropter te obtestor per Jovem Ephestium,
Et per connubium, quo junctus es mihi,

Ne

νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάμαστος θεὰ
ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπεντύνοντ' ἐμὴν
ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον,
ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς.
κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,
ἐμοῦ μὲν οὐχ ἑκόντος· εἰ δέ τις θεῶν
βλάπτοι, φύγοι γ' ἂν χὠ κακὸς τὸν κρείσσονα.
καὶ νῦν τί χρὴ δρᾶν, ὅστις ἐμφανῶς θεοῖς
ἐχθαίρομαι· μισεῖ δέ μ' Ἑλλήνων στρατός·
ἔχθει δὲ Τροία πᾶσα, καὶ πεδία τάδε
πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας,
μόνους τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν
γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;
οὐκ ἔστι τοὔργον τλητόν· ἀλλὰ δῆτ' ἰὼν
πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις,
καὶ δρῶν τι χρηστόν, εἶτα λοίσθιον θάνω;
ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράνοιμί που.
οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
τοιάδ', ἀφ' ἧς γέροντι δηλώσω πατρὶ
μή τοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.
αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει,
προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται·
ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή· πάντ' ἀκήκοας λόγον.

Χο. Οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον
Αἴας ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
παῦσαί γε μέντοι, καὶ δὸς ἀνδράσιν φίλοις
γνώμης κρατῆσαι, τάσδε φροντίδας μεθείς.

Τε. Ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης
οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.
ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρός,
εἴπερ τινὸς, σθένοντος ἐν πλούτῳ Φρυγῶν·
νῦν δ' εἰμὶ δούλη. θεοῖς γὰρ ὧδ' ἔδοξέ που,
καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν ἐπεὶ
τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σά,
καί σ' ἀντιάζω πρός τ' ἐφεστίου Διὸς,
εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοί,

Ne me sinas tristem fabulam fieri,
Cùm alicui inimicorum captivam relinques.
Nam si te mortuo relicta fuero,
Hoc certo statuas, quod illo ipso die
Me Græci vi abripient,
Unà cum filio tuo, ac duram in servitutem tradent.
Et aliquis acerbè de nobis herus loquetur,
Talibus sermonibus perstringens: Videte Ajacis conjugem,
Qui fuit vir in exercitu præstantissimus.
In qua nunc est servitute, pro illa priore gloria.
Sic dicet aliquis: at ego fato quidem meo afflicta ero,
Tibi autem & tuo generi hæc indecora erunt.
Sed reverere quæso patrem tuum, quem tristi
Senio confectum relinquis: reverere matrem
Multos jam annos sortitam, quæ multiplicibus votis
Deos precatur, ut domum salvus redeas.
Misereat te, ô Rex, filii tui, puerili
Educatione destitutus, te patre orbatus, ac solus,
Sub iniquis tutoribus erit. Quantum miseriarum
Illi & mihi, si moriere, relinques.
Nam mihi quidem nihil est, quò respiciam,
Præter te. Tu enim mihi patriam vastasti bello,
Matrem sustulisti, mors verò patrem
Abripuit ad manes, qui apud inferos sunt.
Quæ mihi posthac pro te patria erit?
Quæ divitiæ? in te enim omnis mihi spes salutis posita est.
Sed memento quæso mei. Decet enim virum
Memorem esse, si quid illi suave accidit:
Gratia semper parit gratiam.
Si cui verò excidit accepti beneficii memoria,
Is neutiquam vir generosus est.

Ch. Utinam sic affectus esses, ut ego sum,
Haud dubiè hæc istius verba laudares.

Ajax. Et quidem valde laudabitur à me,
Si modo id quod jussero audebit exequi.

Tec. Chare Ajax, omnibus mandatis tuis obediam.

Ajax. Adduc mihi nunc puerum meum, ut videam.

Tec. Atqui propter metum ipsum ablegaveram.

Ajax. Utrum ob hanc calamitatem meam, an ob aliã causam?

Tec. Eò feci, ne miser tibi occurrens moreretur.

Ajax. Conveniens hoc meæ fortunæ fuit.

Tec. Itaque ego intenta fui, hoc ut præstarem.

Ajax. Laudo factum, & diligentiam, qua usa es.

Tec. Quid igitur hac in re tibi potero gratificari?

Concede

μή μ᾽ ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
τῶν σῶν ὑπ᾽ ἐχθρῶν, χειρίαν ἀφείς τινί.
ἣν γὰρ θάνῃς σὺ, καὶ τελευτήσας ἀφῇς,
ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ᾽ ἡμέρᾳ,
βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο,
ξὺν παιδὶ τῷ σῷ δουλίαν ἕξειν τροφήν.
καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ,
λόγοις ἰάπτων, ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
οἵας λατρείας ἀνθ᾽ ὅσου ζήλου τρέφει.
τοιαῦτ᾽ ἐρεῖ τις· κἀμὲ μὲν δαίμων ἐλᾷ,
σοὶ δ᾽ αἰσχρὰ τἄπη ταῦτα καὶ τῷ σῷ γένει.
ἀλλ᾽ αἴδεσαι μὲν πατέρα τὸν σὸν, ἐν λυγρῷ
γήρᾳ προλείπων· αἴδεσαι δὲ μητέρα
πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν.
οἴκτειρε δ᾽ ὦ ᾽ναξ παῖδα τὸν σὸν, εἰ νέας
τροφῆς στερηθεὶς, σοῦ διοίσεται μόνος
ὑπ᾽ ὀρφανιστῶν μὴ φίλων· ὅσον κακὸν
κείνῳ τε κἀμοὶ τοῦθ᾽, ὅταν θάνῃς, νεμεῖς.
ἐμοὶ γὰρ οὐκέτ᾽ ἐστὶν εἰς ὅ, τι βλέπω
πλὴν σοῦ, σὺ γάρ μου πατρίδ᾽ ᾔστωσας δορὶ,
καὶ μητέρ᾽, ἀλλ᾽ ἡ μοῖρα τὸν φύσαντά με
καθεῖλεν ᾅδου θανασίμους οἰκήτορας·
τίς δῆτ᾽ ἐμοὶ γένοιτ᾽ ἂν ἀντὶ σοῦ πατρίς;
τίς πλοῦτος; ἐν σοὶ, πᾶσ᾽ ἔγωγε σῴζομαι·
ἀλλ᾽ ἴσχε κἀμοῦ μνῆστιν· ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ᾽ ἀεί.
ὅτου δ᾽ ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτο πόθ᾽ οὗτος εὐγενὴς ἀνήρ----

Χο. Αἴας, ἔχειν σ᾽ ἂν οἶκτον ὡς κἀγὼ φρενὶ,
θέλοιμ᾽ ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ᾽ ἔπη.

Αι. Καὶ κάρτ᾽ ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.

Τε. Ἀλλ᾽ ὦ φίλ᾽ Αἴας, πάντ᾽ ἔγωγε πείσομαι.

Αι. Κόμιζε νῦν μοι παῖδα τὸν ἐμὸν, ὡς ἴδω.

Τε. Καὶ μὴν φόβοισί γ᾽ αὐτὸν ἐξελυσάμην.

Αι. Εν τοῖς δὲ τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;

Τε. Μή σοί γέ που δύστηνος ἀντήσας θάνοι.

Αι. Πρέπον γέ τἂν ἦν δαίμονος τοὐμοῦ τόδε.

Τε. Ἀλλ᾽ οὖν ἐγὼ φύλαξα, τοῦτό γ᾽ ἀρκέσαι.

Αι. Ἐπῄνεσ᾽ ἔργον, καὶ πρόνοιαν ἣν ἔθου.

Τε. Τί δῆτ᾽ ἂν ὡς ἐκ τῶνδ᾽ ἂν ὠφελοῖμί σε;

Ajax. Concede ut puerum videam & alloquar.
Tec. Atqui prope hic à ministris custoditur.
Ajax. Quid igitur obstat, cur non præsto adsit?
Tec. O puer, pater vocat te, Huc minister
Ipsum adduc, qui manibus nunc eum regis.
Ajax. Utrum à te vocatus venit, an non audit?
Tec. Jam vero huc prope ipsum minister adducit.
Ajax. Leva puerum, leva, non enim expavescet
Intuens hanc recentem pecorum cædem,
Siquidem verè meus est à paterna origine,
Sed statim à primis annis in mores patrios
Erudiri ipsum convenit, & similem fieri natura.
O nate, utinam patre fortunatior fias,
In aliis verò rebus similis, & eris non malus,
Sed nunc ob hoc te beatum duco,
Quòd nihil horum malorum intelligis: (ta est.
In non sentiendo enim præsentia mala dulcissima vi-
Siquidem desipere malum est non dolens.
Donec gaudere ac dolere discas.
Quæ ætas cùm accesserit, tunc te oportebit
Inter hostes ostendere, quali ex patre natus sis.
Interim hunc tenerum spiritum sic alens
Puerilem animam sustentes, matríque sis gaudio.
Nemo, sat scio, Græcorum te afficiet
Odiosa contumelia, & si ego abs te absim.
Talem custodem Teucrum tibi
Relinquam, educationis tuæ sedulũ curatorẽ, etsi nunc
Procul ab st prædam agens ex agro hostili.
Sed à vobis, milites, Nautica turba,
Hoc beneficium communiter peto,
Ut fratri hoc meum mandatum nuncietis,
Puerum in patriam ad domum meam deducat,
Patríque Telamoni exhibeat, & matri Eribœæ,
Qui ipsis erit senectæ præsidium semper,
Donec & ipsi ad inferos subierint.
Atque arma mea nemo, ut de illis certetur,
Proponat Græcis, Neque id faciat Pestis mea.
Sed tu puer accipe Clypeum, qui nomen tuum habet,
Eurysaces, ac tene per multiplex vertens
Lorum, septemplicem & invictum clypeum,
Cætera arma unà mecum sepeliri volo.
Sed quàm primum puerum hunc accipe,
Ac foras educito, neque in tentorio luge,
Valde enim luctu & misericordia afficitur mulier.

Αἰ. Δός μοι προσειπεῖν αὐτὸν, ἐμφανῆ τ' ἰδεῖν.
Τε. Καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.----
Αἰ. Τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;
Τε. Ὦ παῖ, πατὴρ καλεῖ σε. δεῦρο προσπόλων
ἄγ' αὐτὸν ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
Αἰ. Ερποντι φωνεῖς ἢ λελειμμένῳ λόγου;
Τε. Καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.
Αἰ. Αἶρ' αὐτὸν αἶρε δεῦρο· ταρβήσει γὰρ οὔ,
νεοσφαγῆ τοῦτόν γε προσλεύσσων φόνον,
εἴπερ δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν.
ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
δεῖ πωλοδαμνεῖν, κἀξομοιοῦσθαι φύσιν.
ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.
καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
ὁθούνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν.
ἐν τῷ φρονεῖν γὰρ μηδὲν, ἥδιστος βίος.
τὸ μὴ φρονεῖν γὰρ, κάρτ' ἀνώδυνον κακὸν,
ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς·
ὅταν δ' ἵκῃ πρὸς τοῦτο, δεῖ σ' ὅπως πατρὸς
δείξῃς ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης.
τέως δὲ, κούφοις πνεύμασιν βόσκου, νέαν
ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
οὔτοι σ' ἀχαιῶν οἶδα μή τις ὑβρίσῃ
στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ' ἐμοῦ.
τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι
λείψω, τροφῆς ἄοκνον ἔμπας· εἰ τανῦν
τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
ἀλλ' ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεὼς,
ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν,
κείνῳ τ' ἐμὴν ἀγγείλατ' ἐντολὴν, ὅπως
τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων,
Τελαμῶνι δείξῃ, μητρί τ' Ἐριβοίᾳ λέγω,
ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεὶ,
μέχρις ἂν μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.
καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς
θήσουσ' ἀχαιοῖς, μήθ' ὁ λυμεὼν ἐμός.
ἀλλ' αὐτό μοι σὺ παῖ λαβὼν ἐπώνυμον
Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων
πόρπακος ἑπτάβοιον ἄρρηκτον σάκος.
τὰ δ' ἄλλα τεύχη κοίν' ἐμοὶ τεθάψεται·
ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου,
καὶ δῶμ' ἀπάκτου, μηδ' ἐπισκήνους γόους
δάκρυε· κάρτα τοι φιλοίκτιστον γυνή.

Obfirma fores celeriter. Non eſt ſapientis medici
Incantationes recitare in morbo, qui habet opus ſecti-
Cho. Metuo cùm audio iſtam promptitudinem : (one.
Non enim mihi placet lingua tua ſic acuminata.
Tec. O Domine Ajax, quam rem agis? quid moliris?
Ajax. Ne judica, ne exquire. Modeſtia pulchra eſt.
Tec. Hei mihi, quàm animo angor, & te per filium,
Atque per deos oro, ne nos perditum eas.
Ajax. Valde quidem me perturbas an non ſcis quòd diis
Nihil amplius præſtare debeo?
Tec. Ne quæſo iſta abominanda dicas.
Ajax. Loquere audienti.
Tec. Tu verò an non obtemperabis?
Ajax. Multum ac nimis jam vociferaris.
Tec. Metuo enim, ô Rex.
Ajax. Non jam hanc alicubi concludetis quàm celerrimè?
Tec. Per deum oro, ut flecti te patiaris.
Ajax. Stulta mihi videris,
Quæ ingenium meum nunc mitigare cogites.

ANTISTROPHICA. ſtrophe 1.

Ch. O inclyta Salamis, tu quidem
Sita in mari, beata es,
Et ab omnibus celebrata ſemper:
Ego verò infelix.
Jam longum eſt tempus, ex quo
Ad montem Idam hìc maneo
In pratis, ubi pecora paſcuntur
Inglorius, in locis ubi ſemper paſcua ſunt,
Confectus longi temporis militia,
Ac ſemper expectans, quando migrare oporteat
Ad abominandum
Obſcurum Plutonem.

ANTISTROPHE 1.

Jam mihi ad illa mala incurabilis Ajax
Accedit ſucceſſor, Hei mihi,
In furore divinitus immiſſo perſeverans,
Quem tu Salamis emiſiſti
Prius bellicis
Victorem in præliis.
At nunc animo à commercio hominum refugiens,
Luctum amicis parat,

Et

πύκαζε θᾶσσον. οὐ πρὸς ἰατροῦ σοφοῦ
θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.

Χο. Δέδοικ' ἀκούων τήνδε τὴν προθυμίαν.
οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.

Τε. Ὦ δέσποτ' Αἴας, τί ποτε δρασείεις φρενί;

Αι. Μὴ κρῖνε, μὴ 'ξέταζε· σωφρονεῖν καλόν.

Τε. Οἴμ' ὡς ἀθυμῶ, καί σε πρὸς τοῦ σοῦ τέκνου,
καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.

Αι. Ἄγαν γε λυπεῖς. οὐ κάτοισθ' ἐγὼ θεοῖς
ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι;

Τε. Εὔφημα φώνει.

Αι. Τοῖς ἀκούουσιν λέγε.

Τε. Σὺ δ' οὐχὶ πείσῃ;

Αι. Πόλλ' ἄγαν ἤδη θροεῖς.

Τε. Ταρβῶ γὰρ ὦ 'ναξ.

Αι. Οὐ ξυνέρξεθ' ὡς τάχος;

Τε. Πρὸς θεῶν μαλάσσου.

Αι. Μῶρά μοι δοκεῖς φρονεῖν,
εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.

ΑΝΤΙΣΡΟΦΙΚΑ. στροφὴ α'.

Χο.
1 Ὦ κλεινὰ Σαλαμὶς σὺ μέν που
2 ναίεις ἁλίπλακτος εὐδαίμων,
4 πᾶσιν περίφαντος αἰεί·
3 ἐγὼ δ' ὁ τλάμων.
5 παλαιὸς ἀφ' οὗ χρόνος
6 ἰδαῖα μίμνω
7 λειμωνία μήλων πόα
8 ἀνήριθμος, αἰὲν εὐνώμαι
9 χρόνῳ τρυχόμενος·
10 κακὰν ἐλπίδ' ἔχων
11 ἔτι με πότ' ἀνύσειν
12 τὸν ἀπότροπον
13 ἀΐδηλον ᾅδαν.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

1 καί μοι δυσθεράπευτος Αἴας
2 ξύνεστιν ἔφεδρος, ὤ μοι μοι,
3 θείᾳ μανίᾳ ξύναυλος,
4 ὃν ἐξεπέμψω
5 πρὶν δή ποτε θουρίῳ
6 νικῶντ' ἐν ἄρει·
7 νῦν δ' αὖ φρενὸς γ' οἰοβότας
8 φίλοις μέγα πένθος εὕρηται.

Et priora facta manuum ipsius maxima,
Ac virtutis decora ingrata apud ingratos
Jacent, jacent,
Apud infœlices Atridas.

STROPHE 2.

Quàm tu multis annis,
Et cano confecta senio,
Mater, quando ipsum ægrotum,
Et animo desipientem audieris,
Miserabiliter, miserabiliter,
Non miseræ in modum aviculæ luscíniæ,
Infœlix plorabis, sed
In magnos ejulatus
Erumpes, & manuum planctus
In pectus tuum irruent:
Et lacerationes cani capillitii fient.

ANTISTROPHE 2.

Satius enim est mori, quàm incurabili morbo teneri.
Nam Ajax ex familia paterna progressus
Achæorum, qui res magnas gesserunt,
Non amplius usitatis
Moribus afficitur, sed versatur extra sese,
O infœlix Pater, qualem
Auditurus es
De filio tristissimam calamitatem,
Qualem nulla unquam vidit
Ætas in familia Æacidarum, excepto hoc unico.

IAMBI.

Omnia longum & infinitum tempus
Occulta in lucem producit, & abolet præsentia,
Nec quidquã est quod quis fieri nõ posse credat: omnia
Etiã grave jusjurandũ, & obstinatæ mentes. (vincuntur
Ita ego qui dudum vehementer obdurueram,
Ut ferrum tinctum, nunc mollius loqui coactus sum
Ab ista muliere. Miseret enim me ejus, (num relinquo.
Quòd & ipsam viduam inter hostes, & filium orpha-

Sed

9 τὰ πρὶν δ' ἔργα χεροῖν
10 μεγίστας ἀρετᾶς
11 ἄφιλα παρ' ἀφίλοις
12 ἔπεσ' ἔπεσεν
13 μελέοις ἀτρείδαις.----

ΣΤΡΟΦΗ. β.

1 ἦ που παλαιᾶ μὲν
2 ἔντροφος ἁμέρα,
3 λευκῷ τε γήρᾳ
4 μάτηρ νιν ὅταν νοσοῦντα
5 φρενομόρως ἀκούσῃ,
6 αἴλινον αἴλινον,
7 οὐδ' οἰκτρᾶς γόον
8 ὄρνιθος ἀηδοῦς
9 ἥσει δύσμορος·
10 ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς
11 θρηνήσει· χερόπληκτοι
12 δ' ἐν στέρνοισι πεσοῦνται
13 δοῦποι, καὶ πολιᾶς
14 ἀμύγματα χαίτας.----

ΑΝΤΙΣΤΡΟΦΗ. β'.

1 κρείσσων γὰρ ἅδᾳ κεύ-
2 θων, ἢ νοσῶν μάταν,
3 ὃς ἐκ πατρῴας
4 ἥκων γενεᾶς ἄριστος
5 πολυπόνων ἀχαιῶν,
6 οὐκέτι συντρόφοις
7 ὀργαῖς ἔμπεδος,
8 ἀλλ' ἐκτὸς ὁμιλεῖ.
9 ὦ τλᾶμον πάτερ,
10 οἵαν σε μένει πυθέσθαι
11 παιδὸς δύσφορον ἄταν,
12 ἂν οὔπω τις ἔθρεψεν
13 αἰὼν αἰακιδᾶν
14 ἄτερθε γε τοῦδε.

ΙΑΜΒΟΙ.

Α. Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται.
κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται
χὡ δεινὸς ὅρκος, καὶ περισκελεῖς φρένες.
κἀγὼ γὰρ ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
βαφῇ σίδηρος ὥς, ἐθηλύνθην στόμα
πρὸς τῆσδε τῆς γυναικός· οἰκτείρω δέ νιν
χήραν παρ' ἐχθροῖς, παῖδά τ' ὀρφανὸν λιπεῖν.

ἀλλ'

Sed eo ad undam, & littoralia
Prata, ut cædem qua contaminatus sum abluens
Gravem iram Deæ effugiam.
Et ibo donec inveniam aliquem solum locum,
Ubi hunc meũ gladium occultabo, quem ex omnibus telis
In effossa terra, Ne quis videat. (maximè odi,
Sed nox atque inferi sub terra ipsum servabunt.
Ego enim ab illo die, quo hunc accepi gladium
Dono ab Hectore viro inimicissimo,
Omnem apud Achivos effudi gratiam.
Sed verum est, quod vulgo fertur proverbium,
Hostium dona non dona, nec utilia sunt.
Nos igitur posthac sciemus Diis
Cedere, ac discemus Atridas venerari.
Duces sunt, quare illis obtemperandum est: quid ni?
Nam & quæ firmissima ac potentissima sunt
Magistratibus cedere solent: faciunt hoc nivosæ
Hyemes: nam frugiferæ æstati cedunt.
Cedit & noctis obscuræ circulus,
Cùm lucida dies orbem illuminat.
Et sævorum Nimborum flatus aliquando sopiunt
Frementem Pontum: atque ipse validus somnus
Nunc membra ligat, nunc eadem rursum dimittit.
Cur igitur & nos non discamus esse modestiores?
Ego verò scio nunc, quòd
Cùm hostis essem, ita eram odio habendus,
Ut qui rursus amicus fieri possem, Porrò amicitias
Ita colendas esse censeo,
Ut cogitemus eas non fore perpetuas: nam multi
Non fidelem amicitiæ Portum experti sunt.
Sed hæc rectè se habebunt. Tu verò
Mulier intro abi, atque deos sedulo
Comprecare, ut conficiant ea quæ cupio,
At vos socii eodem modo Deos precemini,
Et Teucro ubi venerit significate,
Nos ut curet, & vobis sit benevolus.
Ego enim eò vado, quò eundum est mihi.
Vos verò quæ dico facite: & fortè paulò post
Cognoscetis, & si nunc miser sum, tamen ab his malis
me esse liberatum.

ANTISTROPHICA. Strophe.

Ch. Commotus est amore erga mulierem, quàm lætus exilui.
Jo Pan, pan.

O pan

ἀλλ' εἶμι πρός τε λουτρὰ καὶ παρακτίους
λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ,
μῆνιν βαρεῖαν ἐξαλύσωμαι θεᾶς.
μολὼν δὲ χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω,
κρύψω τόδ' ἔγχος τοὐμὸν ἔχθιστον βελῶν,
γαίας ὀρύξας ἔνθα μή τις ὄψεται,
ἀλλ' αὐτὸ νὺξ ᾅδης τε σῴζοντων κάτω.
ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία,
ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα.
τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον. τί μή;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.
ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος,
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.
δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ὅτι,
ὅτ' ἐχθρὸς ἡμῖν, ἐς τοσόνδ' ἐχθραντέος,
ὡς καὶ φιλήσων αὖθις· ἔς τε τὸν φίλον
τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι
ὡς αἰὲν οὐ μενοῦντα· τοῖς πολλοῖσι γὰρ
βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμήν.
ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει· σὺ δὲ
ἔσω θεοῖς ἐλθοῦσα, διὰ τέλους, γύναι,
εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ.
ὑμεῖς θ' ἑταῖροι ταὐτὰ τῇδέ μοι τάδε
τιμᾶτε· τεύκρῳ τ' ἢν μόλῃ, σημήνατε,
μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἅμα.
ἐγὼ γὰρ εἶμ' ἐκεῖσ' ὅποι πορευτέον.
ὑμεῖς δ' ἃ φράζω δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως
πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφή.

Χο. 1 Ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμην.
2 ἰὼ, ἰὼ, Πὰν Πὰν ὦ

O pan marine, à Cyllenio,
Nivibus conſperſo,
Vertice nobis adpareas,
Chorearum dux, ut mihi
Quales ſaltationes in Nyſſa, in Cnoſſo fiunt ſpontaneæ,
Tales immittas
Nunc enim me choreas ducere juvat.
Túque per mare Icarium
Qui ambulas, Rex Apollo,
Delie mihi dexter adſis, ad omnia benevolus.

ANTISTROPHE.

Nam triſtis dolor furórque mitigatus eſt.
Io, io, nunc rurſum
Nunc ô Jupiter adeſt lux candida,
Diéſque tranquilla, qua nobis licet
Rurſus ad naves Græcorum accedere Nam ipſe Ajax
Sui oblitus doloris, Deorum rurſum
Ritè jura ſervans, pietate
Colit ea maxima.
Omnia longum tempus conſumit atque accendit,
Et nihil inſperandum amplius dixero,
Siquidem præter ſpem & expectationem
Ajax mutatus eſt
Animo erga Atridas, ex ingenti contentione atque

IAMBI.

Nu. Amici hoc primum nunciare volo.----
Teucer jam recens advenit à Myſiis
Rupibus, & media vadens per caſtra,
Conviciis urgetur ab omnibus Argivis ſimul.
Procedentem enim eum ulterius, undique
Circumſteterunt, ubi ipſum agnoverunt, atq; maledictis
Proſcindebant ab omni parte, neque quiſquam erat, qui (non
Ipſum furentis & inſidiantis exercitui
Fratrem adpellaret, ut parum abeſſet,
Quin ſaxis totus laceratus occumberet;
Eóque res proceſſerat, ut jam manibus
E vaginis ſtricti educerentur gladii.
Conquievit tamē contentio, cùm vehementer exarſiſſet
In commutatione ſermonum inter Seniores.
Verùm ubi eſt Ajax? ut quæ mihi dicenda ſunt dicam.
Nam

3 πάν˙ πὰν ἁλίπλαγκτε,
4 κυλλανίας χιονοκτύπου
5 πετραίας ἀπὸ δειράδος φάνηθ᾽, ὦ
6 θεῶν χοροποί᾽ ἄναξ, ὅπως μοι
7 νύσια κνώσια
8 ὀρχήματα αὐτοδαῆ
9 ξυνὼν ἰάψῃς.
10 νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
11 ἰκαρίων δ᾽ ὑπὲρ πελαγίων
12 μολὼν ἄναξ ἀπόλλων
13 ὁ δάλιος, εὔγνωστος
14 ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων.----

ΑΝΤΙΣΤΡΟΦΗ.

1 ἔλυσε γὰρ αἰνὸν ἄχος ἀπ᾽ ὀμμάτων ἄρης.
2 ἰὼ, ἰὼ νῦν αὖ νῦν.
3 ὦ ζεῦ, πάρα λευκὸν
4 εὐάμερον πελάσαι φάος
5 θοᾶν ὠκυάλων νεῶν, ὅτ᾽ αἴας
6 λαθίπονος πάλιν, θεῶν δ᾽ αὖ
7 πάνθυτα θέσμια
8 ἐξήνυσεν, εὐνομίᾳ
9 σέβων μέγιστα.
10 πάνθ᾽ ὁ μέγας χρόνος μαραίνει
11 τε καὶ φλέγει· κοὐδὲν ἀναύδη-
12 τον, εὖτέ γ᾽ ἐξ ἀέλπτων
13 αἴας μετανεγνώσθη
14 θυμῶν ἀτρείδαις μεγάλων τε νεικέων.

ΙΑΜΒΟΙ.

Αγ. Ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω·
τεῦκρος πάρεστιν ἄρτι μυσίων ἄπο
κρημνῶν· μέσον δὲ προσμολὼν στρατήγιον,
κυδάζεται τοῖς πᾶσιν ἀργείοις ὁμοῦ.
στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
μαθόντες, ἀμφέστησαν, εἶτ᾽ ὀνείδεσιν
ἤρασσον ἔνθεν κἄνθεν· κοὔτις ἔσθ᾽ ὃς οὔ,
τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ
ξύναιμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσοι
τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν.
ὥστ᾽ εἰς τοσοῦτον ἦλθον, ὥστε καὶ χεροῖν
κουλεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.
λήγει δ᾽ ἔρις δραμοῦσα τοῦ προσωτάτου,
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
ἀλλ᾽ ἡμὶν αἴας ποῦ ᾽στιν, ὡς φράσω τάδε;

Nam Dominis oportet rem omnem narrare.
Ch. Non est intus, sed jam abiit nova
Consilia novis componens moribus.
Nu. Heu, heu
Tardè ne ergo hac via
Teucer huc me misit? an ego tardius veni?
Ch. Quid igitur commodi interceptum est?
Nu. Teucer edixit, ut hic vir intra tectum
Retineretur, nec prius exiret foras, quam ipse veniret.
Ch. Sed abiit jam conversus ad meliorem mentem,
Deorum ut iram expiaret,
Nu. Hic est sermo dementiæ plenus,
Siquidem Calchas vera vaticinatur.
Ch. Quod hoc est? aut quid ille hac de re scit?
Nu. Tantum scio, & præsens adfui:
Ex consilio enim & consessu Regum
Calchas secedens, relictis Atridis,
Dextra Teucrum amanter
Excipiens dixit, & mandavit, omnibus artibus
Cohibere per hunc præsentem diem
Ajacem intra tentorium, neque foras dimittere,
Si vivum ipsum videre unquàm vellet.
Agitat enim hac die sola eum
Inclytæ Minervæ ira, ut ille ait.
Nam homines magni & immodesti
Incidunt in graves pœnas Deorum.
Sic inquit vates. Si quis conditione mortali
Natus est, nec juxta humanum morem sapit.
Ajax verò statim initio cum à domo proficisceretur,
Patri bene monenti, ut homo amens respondit.
Pater enim: mi fili, inquit, Virtute
Velis vincere, Sed, auxiliante Deo, semper velis vincere.
Ipse verò superbè ac stultè respondebat:
Adiuvante Deo, inquit, etiam ignavi
Vincere solent, Ego vero vel absque
Auxilio divino, confido me istã attracturũ esse gloriam.
Tam superbos jactabat sermones. Atq; deinde iterum,
Cùm Minerva ipsum hortaretur,
Jubens, ut contra hostes manum cruentam verteret,
Tunc atrocem & infandam vocem emisit:
Domina, inquit, aliis Græcis auxilio
Adsistas, nostro loco non unquam perrumpent hostes.
Talibus sermonibus implacabilem
Deæ in se concitavit iram, non ut hominẽ decet sapiens.

Sed

τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.
Χο. Οὐκ ἔνδον, ἀλλὰ φροῦδος ἀρτίως, νέας
βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.
Αγ. Ἰού, ἰού------------------
βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
πέμπων ἔπεμψεν, ἢ φάνην ἐγὼ βραδύς;
Χο. Τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;
Αγ. Τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
μὴ ἔξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχῃ.
Χο. Ἀλλ' οἴχεταί τοι πρὸς τὸ κέρδιστον τραπεὶς
γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλου.
Αγ. Ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.
Χο. Ποῖον; τί δ' εἰδὼς τοῦδε πράγματος πάρει;
Αγ. Τοσοῦτον οἶδα, καὶ παρὼν ἐτύγχανον.
ἐκ γὰρ συνέδρου καὶ τυραννικοῦ κύκλου
Κάλχας μεταστὰς οἶος Ἀτρειδῶν δίχα,
εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
θεὶς, εἶπε, κἀπέσκηψε παντοίᾳ τέχνῃ
εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι, μηδ' ἀφέντ' ἐᾶν,
εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
ἐλᾷ γὰρ αὐτὸν τῇδε θ' ἡμέρᾳ μόνῃ
δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.
τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
βλαστὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.
κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος,
ἄνους καλῶς λέγοντος εὑρέθη πατρός.
ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, τέκνον, δορὶ
βούλου κρατεῖν μὲν, σὺν θεῷ δ' ἀεὶ κρατεῖν.
ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο,
πάτερ, θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ,
κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα
κείνων, πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.
τοσόνδ' ἐκόμπει μῦθον· εἶτα δεύτερον
δίας Ἀθάνας, ἡνίκ' ὀτρύνουσά νιν
ηὐδᾶτ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
τοῦτ' ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ' ἔπος,
ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
ἵστω, καθ' ἡμᾶς δ' οὔποτ' ἐκρήξει μάχη.
τοιοῖσδε τοῖς λόγοισιν ἀστεργῆ θεᾶς
ἐκτήσατ' ὀργὴν, οὐ κατ' ἄνθρωπον φρονῶν.

ἀλλ'

Sed si per hunc diem vivet, tum fortè
Auxiliante Deo poterimus ipsum servare incolumem,
Sic vates ait: Ille verò statim ex eo loco
Mittit me, ut tibi hæc mandata feram, (strati sumus,
Teucer, nempe ut adserves Ajacem. Si verò jam fru-
Non amplius vivit vir ille, si non rectè sapit Calchas.
Ch. O misera Tecmessa, infelix genus,
Prodi ac vide, quos iste sermones affert: (calamitas.
Prope enim & in ipso articulo oppressit nos tristissima
Teo. Quid me miseram jam defatigatam
Malis assiduis, ex sede rursum excitatis?
Ch. Hunc audi virum, qui venit nuncians,
Ut cum Ajace agatur, quod me dolore afficit.
Tec. Hei mihi quid narras? num nam periimus?
Nu. De te quid fiat, non scio, verùm de Ajace,
Si jam foras egressus est, spem habeo non bonam.
Tec. Est ille quidem jam foris, quam verò doleo, quid narras?
Nu. Illum cohibere mandat Teucer
Intra tentorium, neque solum dimittere.
Tec. Ubi est Teucer? & quare dicit ista?
Nu. Jam inquam aderit ipse hunc vero exitum
Exitialem Ajaci existimat fore.
Tec. O me miseram, à quo id homine cognovit?
Nu. A Calchante audivit, Quòd hæc dies
Ajaci vel mortem esset allatura, vel vitam
Tec. Hei mihi, amici, opem ferte in hac inevitabili fortuna,
Et ex vobis alii properent Teucrum celeriter advocare:
Alii ad occidentalia montium juga, alii ad orientalia
Currentes, quærant infœlicem exitum viri.
Animadverto enim me ab eo deceptam esse,
Et à veteri apud ipsum gratia excidisse.
Me miserã, quid ago, fili, non r sic tempus est quiescendi
Sed curram & ego quocunque potero: (sedere,
Eamus, in pulvere fatigemur, non est nunc opportunum
Qui servare cupimus ad mortem festinantem virum.
Verùm celeritas facti & pedum simul aderit.
Jam gladius mactator adstat, qua parte maximè acutus
Esse potest, si cui & hoc considerare vacat.
Donum quidem Hectoris, quem ex peregrinis
Omnium maximè odi, & cujus aspectus mihi tristis-
simus fuit.
Fixus verò est in hac terra hostili,
Acie penetrante recens acuminatus:
Quem ego fixi, undique bene obmuniens

Gratissimum

ἀλλ' εἴπερ ἔστι τῇδ' ἔθ' ἡμέρᾳ, τάχ' ἂν
γενοίμεθ' αὐτοῦ σὺν θεῷ σωτήριοι.
τοσαῦθ' ὁ μάντις εἶφ'· ὁ δ' εὐθὺς ἐξ ἕδρας
πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς
Τεῦκρος φυλάσσειν. εἰ δ' ἀπεστερήμεθα,
οὐκ ἔστιν ἁνὴρ κεῖνος, εἰ Κάλχας σοφός.

Χο. Ὦ δαΐα Τέκμησσα, δύσμορον γένος,
ὅρα μολοῦσα τόνδ', ὁποῖ' ἔπη θροεῖ.
ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.

Τε. Τί μ' αὖ τάλαιναν, ἀρτίως πεπαυμένην
κακῶν ἀτρύτων ἐξ ἕδρας ἀνίστατε;

Χο. Τοῦδ' εἰσάκουε τἀνδρὸς, ὡς ἥκει φέρων
Αἴαντος ἡμῖν πρᾶξιν, ἣν ἤλγησ' ἐγώ.

Τε. Οἴμοι, τί φῄς, ὤνθρωπε; μῶν ὀλώλαμεν;

Αγ. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν· Αἴαντος δ' ὅτι
θυραῖος εἴπερ ἔστιν, οὐ θαρσῶ πέρι.

Τε. Καὶ μὴν θυραῖος, ὥστε μ' ὠδίνειν, τί φῄς;

Αγ. Ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
σκηνῆς ὕπαυλον, μηδ' ἀφιέναι μόνον.

Τε. Ποῦ δ' ἐστὶ Τεῦκρος, κἀπὶ τῷ λέγει τάδε;

Αγ. Πάρεστι κεῖνος ἄρτι· τήνδε δ' ἔξοδον
ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν.

Τε. Οἴμοι τάλαινα, τοῦ ποτ' ἀνθρώπων μαθών;

Αγ. Τοῦ θεστορείου μάντεως, καθ' ἡμέραν
τὴν νῦν, ὅ τ' αὐτῷ θάνατον ἢ βίον φέρει.

Τε. Οἲ 'γώ, φίλοι, πρόστητ' ἀναγκαίας τύχης·
καὶ σπεύσαθ' οἱ μὲν, Τεῦκρον ἐν τάχει μολεῖν·
οἱ δ', ἑσπέρους ἀγκῶνας, οἱ δ', ἀντηλίους
ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη,
καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
οἴμοι τί δράσω τέκνον; οὐχ ἱδρυτέον.
ἀλλ' εἶμι κἀγὼ κεῖσ' ὅποι περ ἂν σθένω.
χωρῶμεν, ἐγκονῶμεν· (οὐχ ἕδρας ἀκμή)
σώζειν θέλοντες ἄνδρα γ' ὃς σπεύδει θανεῖν.

Χο. Χωρεῖν ἕτοιμος, κοὐ λόγῳ δείξω μόνον.
τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.

Αι. Ὁ μὲν σφαγεὺς ἕστηκεν ᾗ τομώτατος
γένοιτ' ἄν, εἴτῳ καὶ λογίζεσθαι σχολή.
δῶρον μὲν ἀνδρὸς Ἕκτορος, ξένων ἐμοὶ
μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾶν.
πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
σιδηροβρῶτι θηγάνῃ νεηκονής.
ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγὼ

Gratissimum mihi telum, ut eo celeriter vitam finiam;
Sic quidem parati sumus. Jam vero me
Tu primus ô Jupiter, sic enim decet, juva,
Petam verò à te non magnum beneficium,
Mitte aliquem nuncium, qui hanc tristem famam
Teucro ferat, ut ille me primus asportet
Collapsum in hunc cruentum gladium
Ne ab aliquo ex inimicis conspectus prius
Objiciar canibus & vulturibus laniandus.
Hæc tibi, ô Jupiter. committo, atque advoco simul
Mercuriū deductorē animarum subterran. ut me suavi-
Et facili ac celeri saltu ad inferos deducat, (ter sopiat
Ubi latus hoc gladio perrupero.
Atque in auxilium advoco illas semper virgines
Et semper aspicientes calamitates mortalium,
Graves Erinnyas celerrimas, ut videant
Quàm miserè me perdant Atridæ,
Illosque sceleratos, & malos, male
Perdant, quemadmodum vident me
Manu mea cadere, ita & ipsi hujus cædis authores
Manibus charissimorum pignorum intereant.
Ite veloces ultrices furiæ,
Gustate, nec parcite universo exercitui.
Tuque per altum cœlum, qui currum agis
Sol, cum terram quæ me genuit
Aspicies, paulisper cohibe aureas habenas,
Meámque cladem, ac infœlicem interitum nuncia
Grandævo patri, ac miserrimæ genitrici.
Quæ infœlix ubi hanc audierit famam,
Ingenti luctu totam complebit urbem.
Sed nihil attinet hæc frustra deplorare,
Verum rem incipere oportet celeriter.
O mors mors, nunc accede, ac me specta:
Nam & posthac tecum mihi conversatio erit.
Teque adeo lux hujus diei,
Et te Solem Aurigam nunc appello
Postremum quidem, & nunquam posthac amplius.
O lumen, ô sacrum patriæ solum
Salaminos, ô paterni penates,
Atque inclytæ Athenæ, nobis cognatum genus,
Fontesque & flumina & hi Trojani
Campi, vos appello: valete mihi ô parentes mei,
Jam vobis Ajax vocem postremam emittit:
Nam cætera in inferno inferis dicam.

ἀνύστατον τῷδ᾽ ἀνδρὶ διὰ τάχους θανεῖν.
οὕτω μὲν ἀσκαλεύμεθ᾽· ἐκ δὲ τῶνδέ μοι
σὺ πρῶτος ὦ Ζεῦ (καὶ γὰρ εἰκὸς) ἄρκεσον.
αἰτήσομαι δέ σ᾽ οὐ μακρὸν γέρας λαβεῖν,
πέμψον τιν᾽ ἡμῖν ἄγγελον, κακὴν φάτιν
τεύκρῳ φέροντα, πρῶτος ὥς με βαστάσῃ
πεπτῶτα τῷδε περὶ νεοῤῥάντῳ ξίφει,
καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος,
ῥιφθῶ κυσὶ πρόβλητος, οἰωνοῖς θ᾽ ἕλωρ.
τοσαῦτά σ᾽ ὦ Ζεῦ προστρέπω· καλῶ δ᾽ ἅμα
πομπαῖον ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,
πλευρὰν διαῤῥήξαντα τῷδε φασγάνῳ.
καλῶ δ᾽ ἀρωγοὺς τὰς ἀεί τε παρθένους,
ἀεί θ᾽ ὁρώσας πάντα τὰν βροτοῖς πάθη,
σεμνὰς ἐριννῦς, τανύποδας, μαθεῖν ἐμὲ
πρὸς τῶν ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
ξυναρπάσειαν, ὥσπερ εἰσορῶσ᾽ ἐμὲ
αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.
ἴτ᾽ ὦ ταχεῖαι ποίνιμοί τ᾽ ἐριννύες,
γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
σὺ δ᾽ ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ᾽ ἐμὸν
γέροντι πατρὶ, τῇ τε δυστήνῳ τροφῷ.
ἦ που τάλαινα τήνδ᾽ ὅταν κλύῃ φάτιν,
ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
ἀλλ᾽ οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην.
ἀλλ᾽ ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
ὦ θάνατε θάνατε νῦν μ᾽ ἐπίσκεψαι μολών.
καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών.
σὲ δ᾽ ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν ἥλιον προσεννέπω
πανύστατον δὴ, κοὔποτ᾽ αὖθις ὕστερον.
ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
κλειναί τ᾽ ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
κρῆναί τε, ποταμοί θ᾽ οἵδε, καὶ τὰ τρωϊκὰ
πεδία προσαυδῶ· χαίρετ᾽ ὦ τροφεῖς ἐμοί,
τοῦθ᾽ ὑμὶν αἴας τοὔπος ὕστατον θροεῖ·
τὰ δ᾽ ἄλλ᾽ ἐν ᾅδου τοῖς κάτω μυθήσομαι.

Sem. Labor labori laborem cumulat.
Quo, quo,
Quonam non ambulavi ego?
Neque ullus me locus docere poteſt:
Sed ecce ſtrepitum quendam audio.
Sem. Et quidem navis noſtræ ſocium cœtum.
Sem. Quid nam igitur?
Sem. Totum mihi peragratum eſt latus occidentale caſtrorū.
Sem. Habes ne igitur?
Sem. Laborem quidē habeo, neq; aliquid præterea quidquā.
Sem. Sed neque mihi in via, verſus ortum Solis
Vir hic uſquam apparuit.

PERICOMMATA ſtrophe 1.

Cho. Quis igitur mihi, quis nam
Ex laborioſis numinibus maris,
Habens irrequietam ſedem,
Aut ex diis ſuperis, aut perenniter fluentibus
Ad Boſphorum fluminibus, ſciens
Sævum oſtendet Ajacem errantem,
Cumque ipſe viderit nobis eum judicabit?
Miſerum enim eſt, cum tanto oberraverim
Cum labore, me irritos peregiſſe curſus,
Neque hominem, qui evanuit, uſquam potuiſſe videre.

SYSTEMA 1.

Tec. Hei mihi.
Chō. Cujus nam vox è ſylva ad caſtra uſq; inſonuit?
Tec. Heu me infœlicem
Cho. Captivam miſeram ſponſam video
Tecmeſſam hoc luctu conſternatam.
Tec. Actum eſt, perii, expugnata ſum, amici.
Cho. Quid vero eſt?
Tec. Ajax nobis recens jugulatus
Jacet, & occulto ſeſe induit gladio.

STROPHE 2.

Cho. O meum reditum,
Hei mihi occidiſti Rex
Me tuum ſocium Navalem,
Heu me miſerum, teque infœlicem mulierem.

Ημ. Πόνος πόνῳ πόνον φέρει.
πᾷ πᾷ γὰρ οὐκ ἔβαν ἐγώ;
κοὐδείς ἐπίσταταί με συμμαθεῖν τόπος·
ἰδοὺ, ἰδοὺ· δοῦπον γὰρ κλύω τινά.
Ημ. Ημῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.
Ημ. Τί οὖν δή;
Ημ. Πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.
Ημ. Εχεις οὖν.
Ημ. Πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
Ημ. Αλλ' οὐδ' ἐμοὶ δὴ τὴν ἀφ' ἡλίου μολὼν
κέλευθον ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.

ΠΕΡΙΚΟΜΜΑΤΑ. στροφὴ ά.

Χο. 1 Τίς ἂν δή μοι, τίς ἂν
2 φιλοπόνων ἁλιαδᾶν,
3 ἔχων ἀΰπνους ἄγρας,
4 ἢ τίς ὀλυμπιάδων
5 θεῶν, ἢ ῥυτῶν
6 βοσπορίων ποταμῶν
7 ἴδρις, τὸν ὠμόθυμόν γε,
8 εἴ ποθι πλάζοιτ', ἂν
9 προσβλέπων ἀπύοι;
10 σχέτλια γὰρ ἐμοί, τὸν
11 μακρῶν πόνων οὐρίῳ
12 μὴ πελάσαι δρόμῳ.
13 ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.

ΣΥΣΤΗΜΑ ά.

Τε. 1 Ιώ μοι μοι.
Χο. 2 Τίνος βοὴ πάραυλος ἐξέβη νάπους;
Τε. 3 Ιὼ τλήμων.
Χο. 4 Τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ
5 τέκμησσαν οἴκτῳ τῷδε συγκεκραμένην.
Τε. 6 Οἴχωκ', ὄλωλα, διαπεπόρθημαι φίλοι.
Χο. 7 Τί δ' ἐστίν;
Τε. 8 Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
9 κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.

ΣΤΡΟΦΗ β'.

Χο. 1 Ω μοι ἐμῶν νόστων·
2 ὤμοι κατέπεφνες
3 ἄναξ τόνδε τὸν συν-
4 ναύταν ὦ τάλας,
5 ὦ ταλαίφρον γύναι.

SYSTEMA 2.

Tec. Nunc ut res se habet, lugendi tempus est.
Cho. Cujus manu rem infœlix perpetravit?
Tec. Manifestum est propria ipsum manu concidisse, Nam in
Fixus ensis, in quem prolapsus est, hoc arguit. (terra

STROPHE 3.

Cho. Heu culpam meam, quantus vir occidisti,
Destitutus amicorum præsidio?
Et ego ille omnium Stolidissimus,
Atque omnium inscientissimus, neglexi.
Ubi igitur, ubinam
Jacet ille intractabilis,
Ille infausti nominis Ajax.

SYSTEMA 3.

Tec. Non est aspiciendus, sed ipsum circumjecta
Veste operiam hac undique. Etenim
Nemo amicorum ipsum videre sustinuerit,
Spirantem graviter naribus, & ex cruento
Vulnere, quod ipse sibi inflixit, atrũ exhalantẽ cruorem
Hei mihi, quid faciam? quis te sustollet amicorum?
Ubi Teucer est? quam nunc in ipso tempore veniret,
Ut fratrem extinctum componeret. (jaces
O Miserrime Ajax, Quantus vir, quã misere nũc affect.
Cujus aspectus etiam hosti lacrymas excutere possit.

ANTISTROPHE 1.

Cho. Ah satis apparebat te esse miserum,
Et satis apparebat te pertinacia tua diuturna
Confecturum esse malum
Tristissimum, ita mihi
Per totas noctes ac dies
Sævo animo ingemiscens edebas
Inimicas voces contra Atridas,
Diro cum affectu.
Illud nimirum tempus initium fuit
Malorum, quo nobile
De armis propositum est certamen.

ΣΥΣΤΗΜΑ β.

Τε. 1 Ὡς ὧδε τοῦδ' ἔχοντος, αἰάζειν πάρα.
Χο. 2 Τίνος ποτ' ἆρ' ἔπραξε χειρὶ δύσμορος;
Τε. 3 ΑΥ'τὸς πρὸς αὐτοῦ δῆλον, ἐν γάρ οἱ χθονὶ
4 πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.-

ΣΤΡΟΦΗ γ'.

Χο. 1 Ὤ μοι ἐμᾶς ἄτας.
2 οἷος ἄρ' ἡμάχθης,
3 ἄφρακτος τῶν φίλων.
4 ἐγὼ δ' ὁ πάντα κωφὸς, ὁ πάν-
5 τ' ἄϊδρις, κατημέλησα.
6 πᾶ πᾶ
7 κεῖται ὁ δυστράπελος, ὁ
8 δυσώνυμος αἴας

ΣΥΣΤΗΜΑ γ'

Τε. 1 ΟΥ' τοι θεατός· ἀλλά νιν περιπτυχεῖ
2 φάρει καλύψω τῷδε παμπήδην, ἐπεὶ
3 οὐδεὶς ἂν ὅς τις καὶ φίλος τλαίη βλέπειν
4 φυσῶντ' ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
5 πληγῆς μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
6 οἴμοι, τί δράσω; τίς σε βαστάσει φίλων;
7 ποῦ τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι,
8 πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
9 ὦ δύσμορ' αἴας, οἷος ὢν, οἵως ἔχεις
10 ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.-

ΑΝΤΙΣΤΡΟΦΗ α'

Χο. 1 Εμελλες δὴ τάλας,
2 ποτὲ χρόνῳ στερεόφρων
3 ἄρ' ἐξανύσειν κακὰν
4 μοῖραν ἀπειρεσίων
5 πόνων· τοῖά μοι
6 πάννυχα καὶ φαέθον-
7 τ' ἀνεστέναζες ὠμόφρων
8 ἐχθοδόπ' ἀτρείδαις
9 οὐλίῳ σὺν πάθει.
10 μέγας ἄρα γ' ἐκεῖνος
11 ἄρχων χρόνος πημάτων
12 ἦμος ἀειστόχειρ
13 ἀχιλλέως ὅπλων ἔπειτ' ἀγὼν πέρι.

ANTISYSTEMA 1.

Tec. Hei mihi.
Cho. Ad hepar penetrat generosum vulnus.
Tec. Hei mihi.
Cho. Non miror te lugere, mulier,
Tali amico jam orbatam,
Tec. Tu hoc cogitas, ego vero sentio.
Cho. Assentior tibi.
Tec. Hei mihi nate, quod nunc servitutis jugum
Subituri sumus: quos nunc habituri curatores?

ANTISTROPHE 2.

Cho. Hei mihi de crudeli
Facto dixisti
Atridarum in hoc luctu,
Sed Deus prohibeat.

ANTISYSTEMA 2.

Tec. Hæc quidem sic acta sunt non sine Deo.
Cho. Nimis vero atroces pœnas sumpserunt dii.
Tec. Talem quidem pœnam sæva Jovis filia
Pallas inflixit, Ulyssi gratificans.

ANTISTROPHE 3.

Cho. Certe virulento
Animo injuriam facit
Varie exercitatus Ulysses:
Et ridet Ajacem furentem
Multo risu: Ah ah:
Unaque gemini Reges
Audientes hæc Atridæ.

ANTISYSTEMA. 3.

Tec. Rideant illi sanè, & alienis gaudeant
Malis, forte & si vivum desiderarunt minus,
Mortuum lugebunt, in necessitate pugnæ.

Nam

ΑΝΤΙΣΥΣΤΗΜΑ α'.

Τε. 1 Ἰώ μοι μοι.
Χο. 2 Χωρεῖ πρὸς ἧπαρ (οἶδα) γενναία δύη.
Τε. 3 Ἰώ μοι μοι.
Χο. 4 Οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι γύναι,
5 τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου.
Τε. 6 Σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν.
Χο. 7 Ξυναυδῶ.
Τε. 8 Οἴμοι τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
9 χωροῦμεν, οἷοι νῷν ἐφεστᾶσι σκοποί.

ΑΝΤΙΣΤΡΟΦΗ β'

Χο. 1 Ὤ μοι ἀναλγήτων
2 δισσῶν ἐθρόησας
3 ἄναυδον γ' ἀτρειδῶν
4 ἔργον τῷδ' ἄχει.
5 ἀλλ' ἀπείργοι θεός.

ΑΝΤΙΣΥΣΤΗΜΑ β'.

Τε. 1 Οὐκ ἂν τάδ' ἔστη τῇδε, μὴ θεῶν μέτα.
Χο. 2 Καὶ μὴν ἄγαν ὑπερβριθὲς ἄχθος ἤνυσαν.
Τε. 3 Τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
4 Παλλὰς φυτεύει πῆμ' ὀδυσσέως χάριν.

ΑΝΤΙΣΤΡΟΦΗ γ.

Χο. 1 Ἦ ῥα κελαινώπαν
2 θυμὸν ἐφυβρίζει
3 ὁ πολύτλας ἀνήρ.
4 γελᾷ δὲ τοῖσι μαινομένοις
5 ἄχεσιν πολὺν γέλωτα.
6 φεῦ φεῦ,
7 ξὺν διπλοῖ βασιλέες
8 κλύοντες ἀτρεῖδαι.

ΑΝΤΙΣΥΣΤΗΜΑ γ'.

Τε. 1 Οἱ δ' οὖν γελώντων, κἀπιχαιρόντων κακοῖς
2 τοῖς τοῦδ', ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθουν
3 θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.

Nam homines stulti bonum in manibus
Cum habent, non sentiunt prius quàm amiserint.
Mihi ejus mors magis dolori est quam illis voluptati esse
Ipsi quidem Ajaci optata fuit: nã id quod opta y. (potest
Adeptus est, sibi mortem, quemadmodũ voluit.
Quid igitur habent quod irrideant.
Deo n. volente sic mortuus est, & nequaquam per illos.

IAMBI.

Cho. Insultet ergo Ulysses, si libet, mortuo.
Ajax enim illis non amplius est, sed mihi
Relinquens dolorem & luctum periit.
Teu. Hei mihi misero.
Cho. Tace, vocem Teucri mihi videor audire--
Edentis clamorem his malis consentaneum.
Teu. O amantissime Ajax, ô fraternum caput.
An vero ita, ut fama fert, tecum actum est?
Cho. Periit vir iste, hoc scito.
Teu. O miseram meam fortunam.
Cho. Rebus quidem sic se habentibus.
Teu. O me multipliciter infoelicem.
Cho. Nunc quidem lugendi tempus est.
Teu. Heu malum repentinum.
Cho. Nimium quidem.
Teu. Hei miser, ubi filius
Hujus est? Quonam in loco Troadis inveniam ipsum?
Cho. Solus quidem in tentoriis est.
Teu. Cur non eum quam primum
Huc adducis? ne quis tanquam mortuæ
Catulum leænæ inimicorum rapiat.
Vade, festina, labora: mortuis enim
Et jacentibus omnes insultare solent.
Cho. Et quidem cum viveret ille, ut tibi curæ esset
Filius mandabat, Quemadmodum & curæ est.
Teu. O spectaculum spectaculorum omnium
Quæ unquam hisce oculis vidi miserrimum.
O viam tristissimam
Cordi meo, qua huc veni.
O charissime Ajax, ut tuam rescivi
Mortem, persequens ac investigans:
Nam fama de te vehemens tanquam à Deo aliquo
Per totum exercitum sparsa est, quod interiisses.
Quam ego miser, etsi procul aberam, tamen audiens
Ingemui

4 οἱ γὰρ κακοὶ γνώμαισι, τἀγαθὸν χεροῖν
5 ἔχοντες οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
6 ἐμοὶ πικρὸς τέθνηκεν, ἢ κείνοις γλυκὺς
7 αὐτῷ δὲ τερπνός· ὧν γὰρ ἠράσθη τυχεῖν,
8 ἐκτήσαθ' αὐτῷ, θάνατον ὅνπερ ἤθελε.
9 τί δῆτα τοῦδ' ἐπεγγελῷεν ἂν κάτα;
10 θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.

ΙΑΜΒΟΙ.

Πρὸς ταῦτ' ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Χο. αἴας γὰρ αὐτοῖς οὐκέτ' ἐστὶν, ἀλλ' ἐμοὶ
λιπὼν ἀνίας τε καὶ γόους διοίχεται.---
Τε. Ἰώ μοι μοι.
Σίγησον· αὐδὴν γὰρ δοκῶ τεύκρου κλύειν,
Χο. βοῶντος ἄτης δ' ἐπίσκοπον μέλος.
Ὦ φίλτατ' αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοὶ,
Τε. ἆρ' ἠμπόληκας ὥσπερ ἡ φάτις κρατεῖ;
Ὄλωλεν ἀνὴρ τεῦκρε, τοῦτ' ἐπίστασο.
Χο. Ὤ μοι βαρείας ἆρα τῆς ἐμῆς τύχης.
Τε. Ὡς ὧδ' ἐχόντων.
Χο. Ὦ τάλας ἐγὼ, τάλας.
Τε. Πάρα στενάζειν.
Χο. Ὢ περισπερχὲς πάθος.
Τε. Ἄγαν γε τεῦκρε.
Χο. Φεῦ τάλας· τί γὰρ τέκνον
Τε. τὸ τοῦδε, ποῦ μοι γῆς κυρεῖ τῆς τρῳάδος.
Χο. Μόνος παρὰ σκηναῖσιν.
Τε. ΟΥ'χ ὅσον τάχος
δῆτ' αὐτὸν ἄξεις δεῦρο; μή τις ὡς κενῆς
σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ·
ἴθ', ἐγκόνει, σύγκαμνε· τοῖς θανοῦσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.---
Χο. Καὶ μὴν ἔτι ζῶν, τεῦκρε, τοῦδέ σοι μέλειν
ἐφίετ' ἀνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.---
Τευ. Ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
ἄλγιστον, ὧν προσεῖδον ὀφθαλμοῖς ἐγὼ
ὁδός τ' ἀνιάσασα δὴ πασῶν ὁδῶν
μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην,
ὦ φίλτατ' αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην
μόρον, διώκων κἀξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου βάξις ὡς θεοῦ τινὸς,
διῆλθ' ἀχαιοὺς πάντας, ὡς οἴχῃ θανών.
ἁ 'γὼ κλύων δύστηνος, ἐκποδὼν μὲν ὢν,

ὑπε-

Ingemui, nunc vero rem ipsam videns dolore cõficior.
Vade, retege, ut totum hoc malum videam. (Hei mihi
O miserum aspectum, & horribilem audaciam,
Quantum miseriarum mihi moriens relinquis?
Quo enim aut ad quos homines confugiam?
Cum tibi in his malis non præsidio fuerim.
An vero tuus Pater meusque simul
Læto me vultu, & placato accipiet
Venientem sine te? Quid ni? Cui hic mos est
Ut ne lætis quidem in rebus ridere soleat unquam,
Ille quid reticebit? quid mali, probrique de me non
Me ex matre bello capta susceptum nothum (dicet?
Ignavia & timiditate prodidisse
Te amantissime Ajax, aut etiam dolo, ut tuas
Opes emortui ac domum possiderem tuam.
Talia vir iracundus, & propter senectutem morosus,
Ad me ob rem nullam dicet, ad contentionem irritat.
Futurum itaque est, ut tandem ex solo paterno ejiciar,
Atq; pro libero servus propter convicia patris habear
Sic domi mecum agetur. Hic vero in Troade mihi
Multi sunt infensi, pauci vero qui me adjutum velint:
Et hæc omnia te mortuo mihi accidunt.
Hei mihi quid faciam: quonam modo te avellam ab im-
Et cruento isto gladio, O misera quali (mani
Occisore expirasti, Non te fefellit quod aliquando
Hector etiam mortuus te esset occisurus.
Videte propter Deum fortunam duorum virorum,
Hector quidem eodem illo, quem ab hoc dono accepe-
Balteo lacer ab equestri curru (rat
Raptatus est, usque donec exhalavit animam.
Hic vero ensem ab illo donatum habens,
Eo ipso concidit letali affectus vulnere.
An non Erinnys hunc fabrefecit gladium,
Et illum Balteum sævus Pluto opifex?
Ego igitur & hæc, & alia omnia
Hominibus accidere consilio divino judico.
Quibus vero hæc non placent,
Hi suas opiniones ament, mihi ista probantur.
Cho. Ne producas rem in longum, sed ut sepulchro condas
Hunc virum cogita, & quid tam subito responsurus sis:
Video enim hominem inimicum huc venire, & fortasse
in his nostris malis
Ridens, ea dicet, quæ vir improbus dixerit.
Teu. Quis vero ille vir est de exercitu, quem te videre ais?

Menelaus

κατεσκεύαζον· νῦν δ' ὁρῶν ἀπόλλυμαι.
οἴ μοι.--
ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
ὦ δυσθέατον ὄμμα, καὶ τόλμης πικρᾶς,
ὅσας ἀνίας μοι κατασπείρας, φθίνεις.
ποῖ γὰρ μολεῖν μοι δυνατόν, εἰς ποίους βροτούς,
τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
ἦ που Τελαμὼν, σὸς πατὴρ ἐμός θ' ἅμα,
δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἴσως
χωροῦντ' ἄνευ σοῦ; πῶς γάρ; οὐχ ὅτῳ πάρα
μηδ' εὐτυχοῦντι, μηδὲν ἥδιον γελᾶν.
οὗτος, τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν;
τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σὲ φίλτατ' Αἶας, ἢ δόλοισιν, ὡς τὰ σὰ
κράτη θανόντος, καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρὺς
ἐρεῖ πρὸς οὐδὲν, εἰς ἔριν θυμούμενος.
τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δέ μοι
πολλοὶ μὲν ἐχθροί, παῦρα δ' ὠφελήσιμοι.
καὶ ταῦτα πάντα, σοῦ θανόντος ηὑρόμην.
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ
φονέως ἄρ' ἐξέπνευσας, εἶδες ὡς χρόνῳ
ἔμελλέ σ' Ἕκτωρ, καὶ θανὼν, ἀποφθίσειν;
σκέψασθε πρὸς θεῶν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μὲν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
ζωστῆρι πρισθεὶς, ἱππικῶν ἐξ ἀντύγων
ἐγνάπτετ' αἰὲν, ἔστ' ἀπέψυξεν βίον.
οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων,
πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι.
ἆρ' οὐκ ἐριννὺς τοῦτ' ἐχάλκευσε ξίφος,
κἀκεῖνον ᾅδης δημιουργὸς ἄγριος.
ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς.
ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
κεῖνός τ' ἐκεῖνα στεργέτω κἀγὼ τάδε.--

Χο. Μὴ τεῖνε μακρὰν, ἀλλ' ὅπως κρύψεις τάφῳ
φράζου τὸν ἄνδρα, χ' ὤ, τι μυθήσῃ τάχα.
βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
γελῶν, ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.--

Τει. Τίς δ' ἐστὶν ὅντιν' ἄνδρα προσλεύσσεις στρατοῦ;

Μενέλαος

Cho. Menelaus, cujus causa huc navigavimus.
Teu. Video, nam prope existens facile agnosci potest.
Me. Heus tu, tibi dico hoc cadaver manibus
Ne componas, sed sinas ita ut est.
Teu. Quam ob causam edictum tam durum proponis?
Me. Quia sic mihi placet, & illi qui præest exercitui.
Teu. An non & causam, cur hoc fiat, dices?
Me. Propterea quod cum speraremus nos ipsum ex patria
Adduxisse confoederatum & amicum,
Re ipsa magis inimicum, quam Trojan. experti sumus,
Qui exercitui universo machinatus necem,
De nocte hostiliter contra nos irruit, ut armis oppri- (meret
Et nisi Deus aliquis has insidias avertisset,
Nos hac ipsa fortuna, quam ipse sortitus est,
Cæsi jaceremus foedissima morte,
Ipse vero viveret: nunc autem mutavit Deus
Hujus violentiam, fecitque ut pro nobis in pecudes sæ- (viret.
Quapropter nemini quantumvis sit potens
Permittetur, ut hoc sepulchro condat cadaver,
Sed in viridem arenam abjectum
Avibus marinis erit pabulum.
Neque est ut ob hoc valde succenseas:
Nam si viventem reprimere non potuimus,
Mortuo certe imperabimus, etiam te invito,
Ac vi coercebimus: nunquam enim
Vivus mandata mea audire voluit.
Et hocquidem viri mali est, cum subditus sit,
Non velle audire eos qui præsunt.
Non enim unquam in civitate leges
Bene se habebunt, si absit metus.
Neq; exercitus moderato imperio regi poterit,
Si nullum metûs aut pudoris munimentum habeat.
Sed oportet virum ut ut magnis viribus præditus est,
Cogitare tamen, quod aliquando, & quidem levi mo. (cadere possit.
Metus n. cui adest & pudor simul,
Hunc posse salvum esse scito.
Ubi vero injuriæ prævalent, & quisq; quod vult facit,
Eam urbem tandem existima
Ex secundo cursu præcipitem ruituram esse.
Constituatur itaque opportunus metus,
Et non putemus, cum quæ jucunda nobis fuerunt fece- (rimus
Nos non vicissim, quæ tristia sunt, passuros esse.
Hæc inter se mutua sunt, Nam ante hic erat
Clarus & contumax, nunc ego vicissim superbio,

Ac

Χο. Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.
Τευ. Ὁρῶ· μαθεῖν γὰρ, ἐγγὺς ὢν, οὐ δυσπετής.
Με. Οὗτος, σὲ φωνῶ τόνδε τὸν νεκρὸν χεροῖν
μὴ συγκομίζειν, ἀλλ᾽ ἐᾶν ὅπως ἔχει.
Τευ. Τίνος χάριν τοσόνδ᾽ ἀνήλωσας λόγον;
Με. Δοκοῦντ᾽ ἐμοί, δοκοῦντα δ᾽ ὃς κραίνει στρατοῦ.
Τευ. Οὔκουν ἂν εἴποις ἥντιν᾽ αἰτίαν προθείς;
Με. Ὁθ᾽ οὕνεκ᾽ αὐτὸν ἐλπίσαντες οἴκοθεν
ἄξειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξεύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν·
ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον,
νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δορί.
κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ᾽ ἣν ὅδ᾽ εἴληχεν τύχην,
θανόντες ἂν προὐκείμεθ᾽ ἐχθίστῳ μόρῳ·
οὗτος δ᾽ ἂν ἔζη· νῦν δ᾽ ἐνήλλαξεν θεὸς
τὴν τοῦδ᾽ ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν.
ὧν οὕνεκ᾽ αὐτὸν οὔτις ἔστ᾽ ἀνὴρ σθένων
τοσοῦτον, ὥστε σῶμα τυμβεῦσαι τάφῳ·
ἀλλ᾽ ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος,
ὄρνισι φορβὴ παραλίοις γενήσεται.
πρὸς ταῦτα μηδὲν δεινὸν ἐξάρῃς μένος.
εἰ γὰρ βλέποντος μὴ δυνήθημεν κρατεῖν,
πάντως θανόντος ἄρξομεν, κἂν μὴ θέλῃς,
χερσὶν παρευθύνοντες, οὐ γάρ ἐσθ᾽ ὅπου
λόγων ἀκοῦσαι ζῶν ποτ᾽ ἠθέλησ᾽ ἐμῶν.
καίτοι κακοῦ πρὸς ἀνδρὸς, ἄνδρα δημότην
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ᾽ ἂν ἔνθα μὴ καθεστήκοι δέος,
οὔτ᾽ ἂν στρατός γε σωφρόνως ἄρχοιτ᾽ ἔτι,
μηδὲν φόβου πρόβλημα μηδ᾽ αἰδοῦς ἔχων.
ἀλλ᾽ ἄνδρα χρή, κἂν σῶμα γεννήσῃ μέγα,
δοκεῖν πεσεῖν ἂν, κἂν ἀπὸ σμικροῦ κακοῦ.
δέος γὰρ ᾧ πρόσεστιν, αἰσχύνη θ᾽ ὁμοῦ,
σωτηρίαν ἔχοντα τόνδ᾽ ἐπίστασο.
ὅπου δ᾽ ὑβρίζειν, δρᾶν θ᾽ ἃ βούλεται πάρα,
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ,
ἐξ οὐρίων δραμοῦσαν, εἰς βυθὸν πεσεῖν.
ἀλλ᾽ ἑστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν, δρῶντες ἂν ἡδώμεθα,
οὐκ ἀντιτίσειν αὖθις, ἂν λυπώμεθα.
ἕρπει παραλλὰξ ταῦτα· πρόσθεν οὗτος ἦν
αἴθων ὑβριστής· νῦν δ᾽ ἐγὼ μέγ᾽ αὖ φρονῶ,

καὶ

Ac tibi denuncio, ne hunc sepelias,
Ne forte istum sepeliens ipse sepeliendus sis.
Cho. Menelae, vide ne dum hæc gravia dicta allegas,
Interim ipse contumeliosus sis in mortuos.
Teu. Non ego amplius mirabor
Cum peccant, qui genere ignobiles sunt,
Quando hi, qui summo loco nati videntur,
Peccant, ita stulte loquentes.
Sed age repete sermonem ab initio: An non te hunc
Ut socium Græcis & fœdere junctum? (adduxisse ais
An non ipse navigavit tanquam sui compos?
Ubi tu dux illius fuisti unquam? Aut quo jure tibi pop.
Imperare licet, quorum ille a domo usque dux fuit?
Venisti huc Dominus Spartæ non nobis imperans?
Neque est in hunc regendum
Plus tibi juris, quam huic in te.
Aliorum imperio subjectus huc navigasti, non univer-
Imperator, ut Ajaci præesses unquam: (sorum
Sed tuis subditis impera, & istis severis dictis
Illos coerce: Hunc vero sive tu prohibeas,
Seu aliis ex ducibus, tamen ego in sepulchro
Ut justum est ponam, nihil metuens os tuum.
Non enim ille propter tuam hic militavit
Uxorem, ut mercede conducti milites,
Sed propter jusjurandum, quo tenebatur obligatus,
Tua vero causa nequaquam: nemini enim ille supplex
factus est (vel neminem dignum duxit, cujus causa
Præter hæc præcones plures adducens, (huc veniret
Et peculiare imperium habens, advenit: ob tuum verò
Non manũ verterim, utcunq; fueris talis, qualis es. (stre.
Me. Non amo linguam talem in rebus adversis.
Teu. Nam dura, etsi valde justa, tamen acerba sunt!
Me. Iste levis armaturæ jaculator non leviter superb. videt.
Teu. Non enim sordidam artem didici.
Me. Quam insolens esses si scutum ferres.
Teu. Etiam leviter armatus non fugerim te totum a um
Me. Lingua tua præse fert non parvam ferociam.
Teu. In causa justa decet esse ingenti animo.
Me. An hoc justum est, bene agi cum eo, qui me occiderit?
Teu. Qui occid. mira narras, si occisus es, & tamẽ adhuc viv.
Me Deus me conser. nam quod ad hunc atti. jam perierã.
Teu. Ne igitur cõtumelia afficias deos, quorũ ope servatus es.
Me. An tu me leges deorum violare dices?
Teu. Dico equidem, si mortuos sepultura prohibes.

Eos

καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
μὴ τόνδε θάπτων, αὐτὸς εἰς ταφὰς πέσῃς.

Χο. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς,
εἶτ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ——

Τευ. Οὐκ ἂν ποτ' ἄνδρες ἄνδρα θαυμάσαιμ' ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ' ἁμαρτάνει,
ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
ἄγ' εἴπ' ἀπ' ἀρχῆς αὖθις, ἦ σὺ φὴς ἄγειν
τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δὲ σοὶ λεῶν
ἔξεστ' ἀνάσσειν ὧν ὅδ' ἡγεῖτ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν·
οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς, ἢ καὶ τῷδε σέ.
ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων
στρατηγὸς, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.
ἀλλ' ὧνπερ ἄρχεις, ἄρχε, καὶ τὰ σέμν' ἔπη
κόλαζ' ἐκείνους· τόνδε δ', εἴτε μὴ σὺ φὴς,
εἴθ' ἅτερος στρατηγὸς, εἰς ταφὰς ἐγὼ
θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
οὐ γάρ τι τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
γυναικὸς, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ.
ἀλλ' οὕνεχ' ὅρκων οἷσιν ἦν ἐπώμοτος.
σοῦ δ' οὐδέν· οὐ γὰρ ἠξίου τοὺς μηδένας.
πρὸς ταῦτα, πλείους δεῦρο κήρυκας λαβὼν,
καὶ τὸν στρατηγὸν, ἧκε· τοῦ δὲ σοῦ ψόφου
οὐκ ἂν στραφείην, ὡς ἂν ᾖς οἷός περ εἶ——

Με. Οὐκ αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.

Τευ. Τὰ σκληρὰ γάρ τοι κἂν ὑπέρδικ' ᾖ, δάκνει.

Με. Ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.

Τευ. Οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.

Με. Μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.

Τευ. Κἂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.

Με. Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς μέγαν τρέφει.

Τευ. Ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστι φρονεῖν.

Με. Δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;

Τευ. Κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.

Με. Θεὸς γὰρ ἐκσώζει με, τῷδε δ' οἴχομαι.

Τευ. Μή νυν ἀτίμα θεοὺς, θεοῖς σεσωσμένος.

Με. Ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;

Τευ. Εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.

Me. Eos qui mei hostes sunt, quàm malè factum.
Teu. An tibi Ajax hostis fuit unquam?
Me. Infensum sibi oderat, hoc tibi denuncio:
Teu. Deceperas enim ipsum, injustè dicta sententia.
Me. Hoc judicium, non mea culpa factum est.
Teu. Sic multa clam furari posses, ut postea te non fecisse (diceres.
Me. Hic sermo ad quendam irritandum pertinet.
Teu. Non nunc acerba dico, sed postea fortè dicturus.
Me. Unum hoc tibi denuncio, ne vir hic sepeliatur.
Teu. Et tibi contra denuncio, quod hic quidē citò sepelietur.
Me. Vidi ego aliquando virum lingua ferocem,
Qui nautas impellebat, ut in hyeme navigarent,
Cujus vocem tu non audires cùm sævâ
Tempestate oppressus esset, sed sub stragulis latitans
Proculcandum se præbuit cuivis ex nautis.
Sic & te & hoc tuum protervum os
Aliqua ex parva nubecula coorta
Tempestas facilè compresserit, & feroces istos clamores.
Ego verò etiam virum vidi stultitiæ plenum,
Qui in rebus adversis petulanter insultabat sociis,
Tunc eum aliquis intuens, similis mei,
Et similiter indignans, tali sermone redarguit:
O homo inquit: noli contumelia afficere mortuos,
Nam si facies scito te Deo pœnas daturum esse.
Sic stolidum illum monebat alter, qui aderat,
Aspicio verò jam illum, nec est ut mihi videtur
Alius quisquam quam tu, num rectè conjectavi?
Me. Abeo, nam turpe auditu fuerit
Verbis cum eo rixari, quem vi coercere possis.
Teu. Apage te, nam & mihi turpissimum est audire
Hominem stolidum inania verba effutientem.

ANAPAESTI.

Ch. Instat magnæ contentionis certamen:
Verùm quantum potes Teucer properans,
Festina fossam aliquam circumspicere
Huic, ubi ad posteros celebre
Monumentum sub terra habeat.

IAMBI.

Teu. Et quidem in ipso tempore
Adsunt hujus viri filius & conjux,

Με. Τοὺς γ' αὐτὸς αὑτοῦ πολεμίους· οὐ γὰρ καλόν.
Τευ. Ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
Με. Μισοῦντ' ἐμίσει· καὶ σὺ τοῦτ' ἠπίστασο.
Τευ. Κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς ηὑρέθης.
Με. Ἐν τοῖς δικασταῖς οὐκ ἐμοὶ τόδ' ἐσφάλη.
Τευ. Πόλλ' ἂν καλῶς λάθρα σὺ κλέψειας κακά.
Με. Τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.
Τευ. Οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.
Με. Ἕν σοι φράσω, τόνδ' ἐστὶν οὐχὶ θαπτέον.
Τευ. Σὺ δ' ἀντακούσῃ τοῦτον, ὡς τεθάψεται.
Με. Ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν,
ναύταις ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
ᾧ φθέγμ' ἂν οὐκ εὗρες, ἡνίκ' ἐν κακῷ
χειμῶνος εἴχετ', ἀλλ' ὑφ' εἵματος κρυφεὶς,
πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων·
οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα,
σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας
χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.
Τευ. Ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων,
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας·
κᾆτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ,
ὀργήν θ' ὅμοιος, εἶπε τοιοῦτον λόγον,
ὤνθρωπε μὴ δρᾷ τοὺς τεθνηκότας κακῶς.
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος·
τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ' ἄλλος ἢ σύ. μῶν ἠνιξάμην;
Με. Ἄπειμι· καὶ γὰρ αἰσχρὸν εἰ πύθοιτό τις
λόγοις κολάζειν, ᾧ βιάζεσθαι πάρα.
Τευ. Ἄφερπέ νυν· κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἔσται μεγάλης ἔριδός τις ἀγών,
ἀλλ' ὡς δύνασαι Τεῦκρε ταχύνας
σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὐρώεντα καθέξει.

ΙΑΜΒΟΙ.

Τευ. Καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή,

Ut exequias parent infœlici mortuo,
O puer huc accede, ac prope hîc consiste,
Atque ut supplex, apprehende patrem, qui te genuit.
Procumbens verò flexis genibus, manu tene
Capillos meos, & matris, & tuos
More supplicantium. Quòd si de exercitu
Aliquis vi te avellet ab isto funere,
Malus malè insepultus abjiciatur ex terra
Radicitus cum toto genere suo extirpatus,
Impunè, quemadmodum ego hunc præcido capillum.
Tene hunc, & serva, neque te
Moveat quisquam, sed adhærens tene.
Vos verò mulieres ne pro viris propius
Accesseritis, sed juvate, donec ego eo
Ac sepulchrum paro, etsi nemo me sinit.

ANTISTROPHICA. Strophe 1.

Ch. Quis ultimus mihi finiet
Errantium numerus annorum
Semper inexhaustos
Militiæ labores,
Cui ærumnæ cumulantur
In hac caliginosa terra Troadis,
Quæ probro est Græciæ.

ANTISTROPHE 1.

Utinam prius vel aerem subjisset
Densum, vel communes inferos,
Ille vir, qui tristium
Ostendit armorum Græcis communem usum.
Heu labores alii ex aliis nati:
Ille vir enim exitium invenit hominibus.

STROPHE 2.

Ille neque coronarum,
Neque gratam poculorum
Concedit oblectationem,
Neque dulcem tibiarum cantum
Infœlix, neque nocturnæ
Delicias quietis.

Amores

τάφον περιστελοῦντε δυσλύτου νεκροῦ.
ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας,
ἱκέτης ἔφαψαι πατρὸς ὅς σ' ἐγείνατο.
θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων
κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτον,
ἱκτήριον θησαυρόν· εἰ δέ τις στρατοῦ
βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς,
γένους ἅπαντος ῥίζαν ἐξημημένος,
αὔτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον,
ἔχ' αὐτὸν ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
παρέστατ', ἀλλ' ἀρήγεθ', ἔστ' ἐγὼ μόλω,
τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφὴ α'.

1 Τίς ἄρα νέατος ἐς πότε λήξει
2 πολυπλάγκτων ἐτέων ἀριθμὸς,
3 τὰν ἄπαυστον γ' αἰὲν ἐμοὶ
4 δορυσσοόντων μόχθων
5 ἄταν ἐπάγων
6 ἀνὰ τὰν εὐρώδη Τροίαν,
7 δύστανον ὄνειδος ἑλλάνων; ——

ΑΝΤΙΣΤΣΟΦΗ. α'.

1 Ὄφελε πρότερον αἰθέρα δῦναι
2 μέγαν, ἢ τὸν πολύκοινον ἅδαν
3 κεῖνος ἀνὴρ, ὃς στυγερῶν
4 ἔδειξ' ὅπλων ἕλλα---
5 σι κοινὸν ἄρην.
6 ὦ πόνοι πρόγονοι πόνων·
7 κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους. ——

ΣΤΡΟΦΗ. β'.

1 κεῖνος οὔτε στεφάνων,
2 οὔτε βαθειᾶν κυλίκων
3 νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
4 οὔτε γλυκὺν αὐλῶν ὄτοβον,
5 δύσμορος, οὔτ' ἐννυχίαν
6 τέρψιν ἰαύειν ἐρώτων·

Amores vero
Amores prorsum sustulit. Hei mihi,
Jaceo incuratus temere,
Semper crebro rore
Coma miserè madefacta.
Hæc sunt monumenta Trojæ.

ANTISTROPHE 2.

Et prius quidem adversus nocturnos
Metus erat mihi munimentum,
Et adversus tela Martius Ajax.
Nunc ille jacet extinctus tristi
Fato, Quænam igitur, Quænam posthac
Erit recreatio ?
Utinam essem in illo loco,
Ubi sylvosa imminet ponto
Rupes maritimi promontorii,
Sub alta terra Sunii,
Sacras ubi salutare
Liceat Athenas.

JAMBI.

Teu. Properavi, nam videbam ducem
Agamemnonem ad nos huc tendentem,
Quem apparet afferre convicia.
Aga. Nunciatur mihi te atrocia dicta
Contra nos impune effudisse,
Te inquam dico, qui ex bello capta natus es.
Si te mater nobilis peperisset,
Quàm superbè loquereris, & quàm altè incederes:
Quando nunc homo nobili, pro eo qui non est, adeo depugnas,
Et nos neque duces esse nec gubernatores
Græcorum, aut tuos, dejerasti,
Sed Ajax ipse dux, ut tu ais, fuit.
Hæc, an non turpe est, ex homine servo audiri ?
De quo viro ita superbè vociferari ausus es ?
Quid ille gessit? aut ubi ille constitit, ubi non & ego steterim ?
An Græcis nulli alii viri sunt præter hunc ?
Triste videmur de armis Achilleis
Principibus certamen proposuisse.
Si ab eo tempore prorsus, te judice, mali videbimur,
An ne victis quidem aliquandò libebit
Cedere, cùm contra vos tot pronunciârint Judices ?
Sed semper in nos vel jaculabimini convitia,

Vel

7 ἐρώτων δ' ἀπέπαυσεν, ὤ μοι,
8 κεῖμαι δ' ἀμέριμνος οὕτως,
9 ἀεὶ πυκιναῖς δρόσοις
10 τεγγόμενος κόμας λυγραῖς·
11 μνήματα Τροίας.——

ΑΝΤΙΣΤΡΟΦΗ. β'.

1 πρὶν μὲν οὖν ἐννυχίου
2 δείματος ἦν μοι προβολὰ
3 καὶ βελέων θούριος Αἴας·
4 νῦν δ' οὗτος ἀνεῖται στυγερῷ
5 δαίμονι. τίς μοι, τίς ἔτ' οὖν
6 τέρψις ἐπέσται; γενοίμαν
7 ἵν' ὑλᾶεν ἔπεστι πόντῳ
8 πρόβλημ' ἁλίκλυστον, ἄκραν
9 ὑπὸ πλάκα Σουνίου,
10 τὰς ἱερὰς ὅπως προσεί-
11 ποιμεν Ἀθάνας.

ΙΑΜΒΟΙ.

Τευ. Καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον.
δῆλος δέ μοι 'στὶ σκαιὸν ἐκλύσων στόμα.
Αγα. Σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτεὶ χανεῖν,
σέ τοι τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω.
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο,
ὑψήλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις,
ὅτ' οὐδὲν ὢν, τοῦ μηδὲν ἀντέστης ὕπερ.
κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν
ἡμᾶς ἀχαιῶν, οὔτε σοῦ, διωμόσω,
ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φής, Αἴας ἔπλει.
ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
ποῦ βάντος, ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;
οὐκ ἆρ' ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
πικροὺς ἔοικεν τῶν ἀχιλλείων ὅπλων
ἀγῶνας ἀργείοισι κηρύξαι τότε,
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοί·
κοὐκ ἀρκέσει ποθ' ὑμὶν οὐδ' ἡσσημένοις
εἴκειν ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς·
ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που,

Vel insidiose nos pungetis victi?
Et his quidem moribus nunquam
Ullæ bonæ leges poterunt constitui,
Si qui judicio superiores fuerunt, cedere cogentur,
Et qui superati sunt, potiore loco habebuntur:
Sed prohibenda hæc sunt. Neque grandia
Semper & vasta corpora sunt firmissima,
Sed qui ingenio valent dominantur ubíque.
Nam & amplissimi corporis bos, ab exigua tamen
Scutica, ut rectè in via incedat, perpellitur.
Et tibi ego fore, ut hoc remedium adhibeatur,
Denuncio, ac statim quidem, nisi modestior eris:
Qui viro non amplius vivente (tulanter uteris.
Fretus, contra nos contumeliose loqueris, & lingua pe-
An non modestiá aliquando disces? nec expendes unde
Quin huc adducis virum aliquem ingenuum (natus sis?
Ad nos, qui pro te verba faciat.
Nam te quidem dicentem non intelligo:
Neque hanc Barbaricam vocem audire possum.

Ch. Utinam uterque vestrum rectius sapiat,
Neque quidquam melius quod nunc vobis optem habeo

Teu. Hei mihi quàm cito apud homines emortui
Gratia perit, & prodita deprehenditur.
Siquidem hic vir adeo levem amplius
O Ajax tui memoriam ducit, pro quo tu quam sæpe
Animam tuam periculo exposuisti, cum hoste dimicans:
Sed perierunt etiam illa beneficia.
O quàm multa jam & stulta verba effudisti
Neque amplius memor es illius temporis, quando
Nos intra vallum ille conclusos & obsessos,
Iámque fusos ac fugatos prælio,
Solus suo eripuit adventu, cùm jam in navium
Summis tabulatis
Arderet ignis, & in nostra navigia
Prorsum insiliret Hector superatis fossis.
Quis ea pericula propulsavit? nonne hic solus fecit?
Quem nunc ais nusquam congressum esse pede:
Nam hic quidem hæc egregia facinora effecit.
Et quemadmodum rursum cum Hectore solo solus
Sortitus, & injussus depugnavit.
Non fraude in sortiendo usus, (qui ex cristata
Neque ex humido limo calculum immittens, sed eum
Galea primus mox prósiliret foras.
Hic erat qui ea faciebat, egóque simul.

Qui

ἢ σὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι·
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν,
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
ἀλλ' εἰρκτέον τάδ' ἐστίν· οὐ γὰρ οἱ πλατεῖς
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι·
ἀλλ' οἱ φρονοῦντες εὖ, κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰς βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καί σοι προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσῃ τινά·
ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάθοιμ' ἐγώ.
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.

Χο. Εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.---

Τευ. Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαρρεῖ, καὶ προδοῦσ' ἁλίσκεται.
εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν πόνων
Αἴας ἔτ' ἴσχει μνῆσιν, οὗ σὺ πολλάκις
τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορί·
ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐρριμμένα.
ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη·
οὐ μνημονεύεις οὐκέτ' οὐδέν, ἡνίκα
ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλεισμένους,
ἤδη τὸ μηδὲν ὄντας ἐν τροπῇ δορὸς
ἐρρύσατ' ἐλθὼν μοῦνος· ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,
ὃν οὐδαμοῦ φὴς οὐδὲ συμβῆναι ποδί;
ἆρ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἔνδικα;
χὤτ' αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου
λαχών τε κἀκέλευστος ἦλθεν ἀντίος,
οὐ δραπέτην τὸν κλῆρον εἰς μέσον καθεὶς
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου
κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;
ὅδ' ἦν ὁ πράσσων ταῦτα· σὺν δ' ἐγὼ παρὼν

Qui nunc tibi Barbarus, & ex peregrina matre natus
Infœlix quò respectabas cùm ista diceres? (sum.
Non tibi in mentem venit tui patris progenitorem
Antiquum illum Pelopem Barbarum ac Phrygẽ fuisse:
Atrea verò, qui te genuit, hominem impientissimum,
Qui fratri apposuit epulandos proprios liberos.
Túque adeo ex Cretensi matre natus es, apud quam
Cùm pater tuus adulterum deprehendisset,
Jussit eam mutis piscibus laniandam in mare abjici.
Tali tu ex genere natus, tali viro genus exprobras,
Qui patre Telamone natus sum, (habitus est,
Cui propter egregiam præ cæteris virtutem hic honos
Ut matrem meam acciperet, quæ genere erat
Regina filia Laomedontis: extra sortem vero
Hoc donum patri præbuit Hercules.
Cum itaq; vir præstans ex optimis duobus parentibus
Natus sim, dedecorarem sanguine junctos?
Quos tu nunc in his ærumnis jacentes
Abjici insepultos jubes, neque pudet te ista dicere.
Hoc itaque scito, si quò hunc abjeceritis,
Eodem & nos tres unà abjicietis.
Nam mihi honestius est pro isto decertanti
Præclarè occumbere, potius quàm pro tua
Aut tui fratris conjuge. (quod ad me:
Proinde non minus expende ad te quod attinet, quàm
Nam si in me delinques, optabis aliquando
Te timidum magis quàm ferocem adversus me fuisse.
Cho. O rex Ulysse in tempore ipso ades, (venis.
Siquidem non ut committas certamen sed ut solvas ad-
Ul. Quid verò est viri? nam procul hinc audivi
Clamorem Atridarum circa hoc egregii viri cadaver.
Aga. Non enim dignum est, nos audire turpissimos sermones
O Ulysse ab hoc homine.
Ul. Quales? nam ego quidem illi ignosco,
Qui maledictis provocatus remaledicit.
Teu. Male audivit: nam mihi malefaciebat.
Aga. Quid igitur fecit, quamobrem hanc pœnam commeruit?
Ul. Ait se non passurum ut hoc cadaver insepultum
Jaceat, sed vi, & me invito in sepulchro positurum esse.
Aga. Licetne mihi amico vera dicenti
Apud te ut antea conversari?
Ul. Dic, nam hoc nisi sinerem, valde desiperem:
Ex Græcis enim te maximum amicum judico.
Aga. Audi igitur: Virum hunc per Deos

ὁ δοῦλος, οὑκ τῆς βαρβάρου μητρὸς γεγώς.
δύστηνε, ποῖ βλέπων ποτ' αὐτὰ καὶ θροεῖς;
οὐκ οἶσθα, σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ
ἀρχαῖον ὄντα πέλοπα βάρβαρον φρύγα;
ἀτρέα δ', ὃς αὖ σ' ἔσπειρε, δυσσεβέστατον,
προθέντ' ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
αὐτὸς δὲ μητρὸς ἐξέφυς κρήσσης, ἐφ' ᾗ
λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατὴρ,
ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν·
τοιοῦτος ὢν τοιῷδ' ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μὲν εἰμὶ τελαμῶνος γεγὼς,
ὅς τις στρατοῦ τὰ πρῶτ' ἀριστεύσας, ἐμὴν,
ἴσχει ξυνευνον μητέρ'· ἣ φύσει μὲν ἦν
βασίλεια λαομέδοντος· ἔκκριτον δέ νιν
δώρημα κείνῳ δῶκεν ἀλκμήνης τόκος·
ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,
οὓς νυν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους
ὠθεῖς ἀθάπτους, οὐδ' ἐπαισχύνῃ λέγων;
εὖ νυν τόδ' ἴσθι, τοῦτον εἰ βαλεῖτέ που,
βαλεῖτε χ' ἡμᾶς τρεῖς ὁμοῦ συγκειμένους.
ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ
θανεῖν προδήλως μᾶλλον ἢ τῆς σῆς ὑπὲρ
γυναικὸς, ἢ τοῦ σοῦ θ' ὁμαίμονος λέγω.
πρὸς ταῦθ', ὅρα μὴ τοὐμὸν ἀλλὰ καὶ τὸ σόν·
ὡς εἴ με πημανεῖς τι, βουλήσῃ ποτὲ
καὶ δειλὸς εἶναι μᾶλλον, ἢ 'ν ἐμοὶ θρασύς—

Χο. Ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθὼς,
εἰ μὴ ξυνάψων ἀλλὰ συλλύσων πάρει.

Οδ. Τί δ' ἔστιν ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
βοὴν ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ.

Αγα. Οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίστους λόγους
ἄναξ Ὀδυσσεῦ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;

Οδ. Ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
κλύοντι φλαῦρα, συμβαλεῖν ἔπη κακά.

Αγα. Ἤκουσεν αἰσχρά· δρῶν γὰρ ἦν τοιαῦτά με.

Οδ. Τί γάρ σ' ἔδρασεν ὥστε καὶ βλάβην ἔχειν;

Αγα. Οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.

Οδ. Ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ
σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετεῖν;

Αγα. Εἴπ'· ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
φίλον σ' ἐγὼ μέγιστον ἀργείων νέμω.

Οδ. Ἄκουέ νυν. τὸν ἄνδρα τόνδε πρὸς θεῶν

Ne finas insepultum ita crudeliter abjici.
Neque te sæva usque adeo vincat violentia,
In tantũ ut oderis ut etiã divina jura pedibus proculces.
Nam & mihi hic vir fuit inimicissimus in exercitu,
Postquam vici in certamine de armis Achillis,
Sed ipsum quamvis tali erga me animo affectus fuerit,
Nolim tamen probro afficere, quin dicam
Me unum hunc virum vidisse præstantissimũ ex omnibus
Qui ad Trojam pervenerunt excepto Achille.
Quare non rectè à te honore suo privatur:
Non enim hunc, sed divinas leges
Violas: neque justum est mortuum
Lædere, virum præstantem, ne si quidem ei infensus sis.
Aga. Túne igitur Ulysse mecum pro isto depugnas?
Ul. Pugno inquam, & oderam tunc, cùm odisse fas erat.
Aga. An non & mortuo te insultare conveniebat?
Ul. Ne gaudeas Atrida turpi lucro.
Aga. Regi non semper facile est pietatem colere. (tribuendũ.
Ul. Sed præclarè dicitur, amicis bene monẽtibus honorẽ esse
Aga. Virum bonum decet tamen obedire magistratibus.
Ul. Quiesce, tunc vinces, cùm vincêris ab amicis.
Aga. Memento cui jam viro tribuas beneficium.
Ul. Erat quidẽ ille aliquãdo inimicus, attamẽ vir præstans.
Aga. Quid ita inimicum mortuum tanti facis?
Ul. Nam virtus apud me plus valet, quàm inimicitia.
Aga. Tales verò homines sunt inconstantes.
Ul. Multi nunc sunt amici, mox deinde acerbè inimici.
Aga. An tales amicos si habeas laudabis?
Ul. Durum & præfractum ingenium non laudo.
Aga. Tu quidem facies ut hodie timidi videamur.
Ul. Faciam ut exercitui toti videamur viri justi.
Aga. Jubesne igitur, ut hoc cadaver sepeliri finam?
Ul. Jubeo. nam & ipse unà ibo.
Aga. Ut quisque sibi quæ congruunt facit.
Ul. Cui enim magis, quam mihi consulere me convenit?
Aga. Tuum quidem Hercle hoc opus non meum vocabitur:
Ul. Ut itaque facies, ita ubique bonus habeberis.
Aga. Verùm hoc scito, quòd tibi ego
Etiam majore in re obsecundarem.
Nam hic quidem mortuus & vivus mihi pariter
Invisus erit, tibi verò facere, quæ voles, licebit.
Cho. Si quis Ulysse te negat virum sapientem
Esse, hunc ego valde stultum judico.
Ul. Et jam Teucro hoc denuncio,

Me

μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν·
μηδ' ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν.
κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ,
ἐξ οὗ 'κράτησα τῶν Ἀχιλλείων ὅπλων·
ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τοιόνδ' ἐμοὶ,
οὐκ ἂν γ' ἀτιμάσαιμ' ἄν, ὥστε μὴ λέγειν
ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
ὥστ' οὐκ ἂν ἐνδίκως ἀτιμάζοιτό σοι.
οὐ γάρ τι τοῦτον ἀλλὰ τοὺς θεῶν νόμους
φθείροις ἄν· ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλὸν, οὐδ' ἐὰν μισῶν κυρῇς.---

Αγα. Σὺ ταῦτ' Ὀδυσσεῦ τοῦδ' ὑπερμαχεῖς ἐμοί;
Οδ. Ἔγωγ'· ἐμίσουν δ' ἡνίκ' ἦν μισεῖν καλόν.
Αγα. Οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
Οδ. Μὴ χαῖρ' Ἀτρείδη κέρδεσιν τοῖς μὴ καλοῖς.
Αγα. Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.
Οδ. Ἀλλ' εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
Αγα. Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.
Οδ. Παῦσαι· κρατεῖς τοι τῶν φίλων νικώμενος.
Αγα. Μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως.
Οδ. Ὅδ' ἐχθρὸς ἁνήρ, ἀλλὰ γενναῖός ποτ' ἦν.
Αγα. Τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ' αἰδῇ νέκυν;
Οδ. Νικᾷ γὰρ ἡ ἀρετή με τῆς ἔχθρας πολύ.
Αγα. Τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν.
Οδ. Ἦ κάρτα πολλοὶ νῦν φίλοι καὖθις πικροί.
Αγα. Τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
Οδ. Σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
Αγα. Ἡμᾶς σὺ δειλοὺς τῇδε θ' ἡμέρᾳ φανεῖς.
Οδ. Ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
Αγα. Ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
Οδ. Ἔγωγε· καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.
Αγα. Ἦ πάνθ' ὅμοια· πᾶς ἀνὴρ αὑτῷ πονεῖ.
Οδ. Τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν;
Αγα. Σὸν ἆρα τοὔργον οὐκ ἐμὸν κεκλήσεται.
Οδ. Ὡς ἂν ποιήσῃς, πανταχοῦ χρηστός γ' ἔσῃ.
Αγα. Ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·
οὗτος δὲ κἀκεῖ κἀνθάδ' ὢν, ἔμοιγ' ὅμως
ἔχθιστος ἔσται· σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρή.---
Χο. Ὅστις σ' Ὀδυσσεῦ μὴ λέγει γνώμῃ σοφὸν
φῦναι τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.---
Οδ. Καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι,

Me quam tunc inimicus fuerim, tam nunc amicum esse:
Et simul, ut hic sepeliatur adjuvabo,
Nec ullum laborem aut officiũ prætermittã, quantum
Decet viris præstantissimis laboris impendere homines
Teu. Optime Ulysse, omnino tibi laudem tribuo:
Nam alium te quàm putáram invenio.
Quamvis enim huic ex Græcis inimicissimus esses,
Solus tamen ei opitulatus es, neque sustinuisti,
Ut ipse vivus mortuum contumelia afficeres,
Quemadmodum ille furiosus dux
Ipse & frater in animo habebant,
Cum probro hunc insepultum abjicere.
Utinam illos qui coelum regit Jupiter,
Et memores diræ, & poenarum exactrix vindicta
Malos male perdant: ficut voluerunt ipsi
Hunc virum probro affectum indignè abjicere.
Te verò Ulysse
Pati, hoc funus attingere vereor,
Ne quid, quod huic mortuo triste sit, faciam (citu alium
In cæteris verò rebus nos adjuva, & si quem de exer-
Curare pro te voles, non grave nobis fuerit.
Nam ego reliqua administrabo: Et tu quidem
Viri boni erga nos officio functus es.
Uly. Atqui volebã quidẽ adjuvare, quia verò tibi non placet
A nobis ista fieri, abeo, nec tuam improbo sententiam.

ANAPAESTI.

Teu. Satis est, jam enim multum præteriit
Temporis. Sed vos alii fossam concavam
Manibus celeriter parate. Alii vero altum
Tripodem in igne, ad sacra lavacra
Sistite idoneum: una vero ex castris
Militum turma, armorum
Ornatum efferat.
Tu, fili, patrem quantum potes
Amanter apprehende, & latera unà mecum
Hæc alleva: adhuc enim calidæ
Venæ sursum efflant atrum
Sanguinem. Sed agite quicumque amici
Adestis, adjuvate manibus, movete vos, ite,
Operam date huic præstanti viro,
Quo non alius melior fuit mortalium,
Ajacem inquam, donec vixit, hoc affirmo.
Ch. Quàm multa homines experientia
Docet, priusquam verò eventum videas, nullus vates
Tibi quò res sit processura dixerit. ARGUMEN-

ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' ἐστὶ φίλος.
καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν ὅσων
χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.

Τε. Ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι· καί μ' ἔψευσας ἐλπίδος πολύ.
τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ,
μόνος παρέστης χερσὶν, οὐδ' ἔτλης παρὼν
θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα,
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν,
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.
τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ,
μνήμων τ' Ἐρινὺς, καὶ τελεσφόρος Δίκη,
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ' ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρὸς,
τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ·
τὰ δ' ἄλλα καὶ ξύμπρασσε· κεἴ τινα στρατοῦ
θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.

Οδ. Ἀλλ' ἤθελον μέν· εἰ δὲ μή 'στί σοι φίλον
πράσσειν τάδ' ἡμᾶς, εἶμ' ἐπαινέσας τὸ σόν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται
χρόνος· ἀλλ' οἱ μὲν κοίλην κάπετον
χερσὶ ταχύνατε, τοὶ δ' ὑψίβατον
τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
θέσθ' ἐπίκαιρον· μία δ' ἐκ κλισίας
ἀνδρῶν ἴλη τὸν ὑπασπίδιον
κόσμον φερέτω.
σὺ δὲ παῖ τοῦ πατρὸς ὅσον ἰσχύεις
φιλότητι θιγὼν, πλευρὰς σὺν ἐμοὶ
τάσδ' ἐπικούφιζ'· ἔτι γὰρ θερμαὶ
σύριγγες ἄνω φυσῶσι μέλαν
μένος· ἀλλ' ἄγε πᾶς φίλος ὅστις ἀνὴρ
φησὶ παρεῖναι, σούσθω, βάτω,
τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ,
καὶ οὐδενί πω λῴονι θνητῶν
αἴαντος ὅτ' ἦν, τότε φωνῶ.

Χο. Ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσι
γνῶναι· πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις
τῶν μελλόντων ὅ,τι πράξει.

ARGUMENTUM FABULÆ

quæ inſcribitur Electra.

HAC fabula ſenex educator ſive pædagogus proponitur, qui, quæ Argis patrata fuerant, Oreſti aperit. Electra enim generoſi animi virgo fratrem Oreſtem etiamdum infantem clàm ſurreptum, educatori traditum, ne cum patre interficeretur, in Phocidem ad Strophium ablegat. Vigeſimo tandem poſt interemptum patrem anno, Argos reverſus, patris mortem ulciſcitur.

Fabulæ Actio Argis fingitur. Chorus ex Indigenis virginibus conſtat, præloquitur pædagogus.

PERSONÆ FABULÆ.

PÆDAGOGUS.

ORESTES.

ELECTRA.

CHORUS conſtat ex virginibus indigenis.

CHRYSOTHEMIS.

CLYTEMNESTRA.

ÆGISTHUS.

SOPHOC-

ΥΠΟΘΕΣΙΣ ΗΛΕΚΤΡΑΣ.

Υπόκειται ὧδε τροφεὺς πρεσβύτης, ἤτοι παιδαγωγὸς, δεικνὺς τῷ Ὀρέστῃ, τὰ ἐν ἄργει· μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ ἀδελφὴ αὐτοῦ ἠλέκτρα, ἡνίκα ὁ πατὴρ αὐτῶν ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, φοβουμένη μὴ καὶ αὐτὸν φονεύσωσι σὺν τῷ πατρί· ὁ δὲ τροφεὺς ὑπεξέθετο τὸν ὀρέστην εἰς τὸν φωκίδα πρὸς τὸν στρόφιον, καὶ δι' εἴκοσιν ἐτῶν ἐπανελθὼν εἰς τὸ ἄργος μετ' αὐτοῦ, δείκνυσιν αὐτῷ (ὡς εἴρηται) τὰ ἐν αὐτῷ.

Η μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρείων παρθένων· προλογίζει δὲ ὁ παιδαγωγὸς ὀρέστου.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ

ΠΡΟΣΩΠΑ.

ΠΑΙΔΑΓΩΓΟΣ τροφεὺς,

ΟΡΕΣΤΗΣ,

ΗΛΕΚΤΡΑ,

ΧΟΡΟΣ ἐξ ἐπιχωρείων, παρθένων

ΧΡΥΣΟΘΕΜΙΣ,

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ,

ΑΙΓΙΣΤΟΣ.

SOPHOCLIS
ELECTRA.

IAMBI.



FILI Agamemnonis, qui duxit exerci-
Nunc tibi licet corā videre (tū ad Trojā,
Ea, quorum antea cupidus eras:
Hoc enim est antiquū Argos, quod desy.
Hic lucus œstro percitæ puellæ Inachi. (
Hoc porro Dei Apollinis
Forum Lycæum: ad sinistram vero hic
Inclytum illud Junonis templum est: & hoc ipso in loco
Existimabis te opulentas Mycenas videre, (ubi sumus
Atque hanc plenam exitio Pelopidarum domum,
Unde ego te, cum pater interficeretur olim
A sorore tua acceptum,
Abstuli, & servavi atque eduxi,
Donec ea ætas esset, ut patris necem ulcisci posses.
Nunc igitur Oreste, & tu charissime hospes
Pylade, deliberandum est celeriter quid faciendum sit:
Nam nobis jam splendidum Solis jubar
Excitat matutinos avium cantus,
Et nox atra reliquit astra.
Priusquam igitur aliquis ex ædibus prodeat
Conferenda sunt consilia: in eo enim jam loco sumus,
Ubi non amplius tardare nos oportet, sed facto opus est

Ore. Charissime minister quam mihi certa
Signa ostendis & amanter erga me affectus es
Quemadmodum enim generosus equus, etsi jam con-
In periculo tamen non deficit animo, (senuit
Sed aures arrigi: sic & tu
Nos incitas, atque ipse primus rem aggrederis.
Exponam tibi ergo consilium meum, tu vero
Auribus diligenter attende,
Et si quid displicebit, corrige.
Nam ego cum profectus Delphos
Oraculum consulerem, quonam modo
Patris necem ulcisci possem,
Tum mihi Apollo respondit hæc, quæ jam audies:
Nempe ut imparatus ab armis & exercitu
Insidiis aggressus pœnas justas sumerem.

Hoc

ΣΟΦΟΚΛΕΟΥΣ

ΗΛΕΚΤΡΑ.

ΙΑΜΒΟΙ. Παι.



Ω ΤΟΥ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
τὸ γὰρ παλαιὸν Ἄργος οὑ 'πόθεις, τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·
αὕτη δ' Ὀρέστα τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ Λύκειος· οὑξ ἀριστερᾶς δ' ὅδε
Ἥρας ὁ κλεινὸς ναός· οἷ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε·
ὅθεν σε πατρὸς ἐκ φόνων ἐγώ ποτε
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν,
ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
νῦν οὖν Ὀρέστα, καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον·
ὡς ἡμῖν ἤδη λαμπρὸν ἡλίου σέλας
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ,
μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυνάπτετον λόγοισιν· ὡς ἐνταῦθ' ἐμέν.
ἵν' οὐκέτ' ὀκνεῖν καιρὸς, ἀλλ' ἔργων ἀκμή.--

Ορ. Ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων,
ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
ἀλλ' ὀρθὸν οὖς ἵστησιν· ὡσαύτως δὲ σὺ
ἡμᾶς τ' ὀτρύνεις, καὐτὸς ἐν πρώτοις ἕπῃ.
τοιγάρ, τὰ μὲν δόξαντα δηλώσω· σὺ δὲ
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδοὺς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ Πυθικὸν
μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὸς.
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα.
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ,
δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.

Hoc igitur audito oraculo,
Tu captata opportunitate intrabis
In has ædes, atque explorabis omnia quæ fiunt,
Ut rem cognitam nobis certo renuncies.
Non enim te jam senem post tam longum tempus
Agnoscent, neq; suspicabuntur aliquid, præsertim cū sic (ornat. sis.
Hac vero oratione utere: dic te hospitē esse
Phocensem, à Phanotensi viro missum, is enim
Maximus ipsis socius belli est.
Nuncia vero ipsis juramento dicta confirmans,
Quod Orestes violento fato extinctus sit,
In Pythico certamine curribus
Delapsus: hæc summa sit consilii:
Nos vero patris tumulum, ut Apollo præcepit,
Ubi libatione & capite desectis capillis
Coronaverimus, rursum huc revertemur,
Vas æreum manibus ferentes,
Quod tu scis quo loco virgultis tectum lateat,
Ut verbis decipientes, jucundam famam
Afferamus ipsis, quemadmodum meum perierit corpus
Flamma consumptum jam & in cinerem redactum.
Quid enim hoc me moverit, si verbis mortuus
Dicar, re ipsa autem vivam, & consequar gloriam.
Existimo enim nullum verbum commodum & utile tur- (pe esse.
Nam scio sæpe & sapientes
Mortem simulasse, qui deinde ubi domum
Redierunt vivi majorem ea ex re gloriam adepti sunt.
Ita & me spero post hanc famam
Conspectum inimicis ut astrum effulsurum esse.
Sed tu ô patria terra, & Dii patrii
Suscipite me, & efficite ut hoc iter mihi faustum sit.
Tuque ô paterna domus, nam propter te advenio,
Ut probrum de te auferam, à diis ad hoc excitatus,
Nec me indecorem ex hac terra dimitte,
Sed efficite, ut opes regni possideam, & constituā domū
Hæc satis sit dixisse. Tibi vero senex
Curæ sit ut rem commissam diligenter administres.
Nos vero ibimus, nam tempus adest, quod inter homines
Omnibus in rebus dominatur maxime.

El. Heu me miseram.

Pæd. Visus sum domi ex ministris aliquam
Audire gementem ô fili.

Ore. Num misera Electra est? vis ne
Maneamus hic, donec luctum certius cognoscamus?

Minime,

ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολὼν, ὅταν σε καιρὸς εἰσάγῃ,
δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον.
ὅπως ἂν εἰδὼς, ἡμῖν ἀγγείλῃς σαφῆ.
οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ', οὐδ' ὑποπτεύσωσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
φωκεὺς, παρ' ἀνδρὸς φανοτέως ἥκων· ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκῳ προστιθεὶς, ὅθ' οὕνεκα
τέθνηκ' ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἄθλοισι πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς· ὧδ' ὁ μῦθος ἑστάτω·
ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν
τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον·
ὅπως λόγῳ κλέπτοντες, ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον·
τί γάρ με λυπεῖ τοῦθ' ὅταν λόγῳ θανὼν,
ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνήσκοντας· εἶθ' ὅταν δόμους
ἔλθωσιν, αὖθις ἐκτετίμηνται πλέον·
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ' ἐχθροῖς ἄστρον ὣς, λάμψειν ἔτι.
ἀλλ' ὦ πατρῴα γῆ, θεοί τ' ἐγχώριοι.
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
σύ τ' ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι,
δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος.
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μὲν νῦν ταῦτα· σοὶ δ' ἤδη γέρον
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος·
νὼ δ' ἔξιμεν· καιρὸς γὰρ ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.—

Ηλ. Ἰώ μοί μοι δύστηνος.

Παι. Καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι τέκνον.

Ορε. Ἆρ' ἐστὶν ἡ δύστηνος ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ, κἀνακούσωμεν γόων;

Ηκυσα

Pæd. Minime, nihil n. prævortat, quin Apollinis mandata
Exequi conemur, & ab eis initium fieri debet,
Nempè ab inferiis patris, ita consequemur
Victoriam, & in rebus gerendis robur.

ANAPAESTI.

O lux alma & terram ambiens
Æqualis aer, quam multas lamentationes nostras
Et crebros adversi pectoris
Planctus audistis cruentos,
Cum nox atra præteriit,
Nam ea quæ tota nocte fiunt, odiosa
Norunt cubilia tristissimæ domus,
Quam infœlicem meum lugeam
Patrem, quem in Barbarica terra
Cruentus Mars non sustulit,
Sed mater mea & consors lecti
Ægisthus, ut quercum solent lignorum sectores,
Ita caput ipsius dissecuerunt cruenta securi.
Neque quisquam alius deplorat
Præterquam ego pater mortem tuam
Ita injuste misereque perempti.
Sed nequaquam desinam lugere,
Nec acerbos ploratus finiam, donec
Aspiciam lucidos astrorum
Radios, & hoc diurnum cœli lumen,
Quin sicut Luscinia, quæ amisit liberos suos,
Ita luctus ante hasce patrias
Fores, cum vociferatione coram omnibus edam:
O domus Plutonis & Proserpinæ,
O Mercuri deductor animarum, ô veneranda execratio
Vosque severæ deorum filiæ Erinnyes,
Quæ injustas cædes intuemini,
Et furtivos concubitus,
Venite, opitulamini, ulciscimini patris
Nostri necem,
Et mihi mittite fratrem meum:
Sola enim sustinere non valeo
Ingravescens tristitiæ onus.

Παι. Ἥκιστα· μηδὲν πρόσθεν ἢ τὰ Λοξίου
πειρώμεθ' ἔρδειν, κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά. ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ηλ. Ὦ φάος ἁγνὸν, καὶ γῆς
ἰσόμοιρος ἀήρ. ὥς μοι
πολλὰς μὲν θρήνων ᾠδάς,
πολλὰς δ' ἀντήρεις ἤσθου
στέρνων πλαγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ παννυχίδων ἤδη στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
φοίνιος Ἄρης οὐκ ἐξένισε.
μήτηρ, δ' ἡ 'μὴ χὠ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
σχίζουσι κάρα φονίῳ πελέκει.
κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
ἢ μοῦ φέρεται, σοῦ πάτερ οὕτως
ἀδίκως οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων
στυγερῶν τε γόων, ἔς τ' ἂν
λεύσσω παμφεγγεῖς ἄστρων
ῥιπὰς, λεύσσω δὲ τόδ' ἦμαρ, μὴ
οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν
ἐπὶ κωκυτῷ τῶνδε πατρῴων
πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' ἀρὰ,
σεμναί τε θεῶν παῖδες ἐριννύες,
τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε,
τοὺς τὰς εὐνὰς ὑποκλεπτομένους.
ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
φόνον ἡμετέρου·
καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν.
μόνη γὰρ ἄγειν οὐκέτι σωκῶ
λύπης ἀντίρροπον ἄχθος.

ANTISTROPHICA *strophe* 1.

Cho. Heu filia infœlicissimæ
Electra matris, quam semper
Tabescis inexhausto luctu,
Deplorans eum qui olim insidiis impientissimæ
Matris tuæ interiit, Agamemnonem,
Atque à scelerata manu peremptus est. Utinam
Qui ista gessit
Male pereat, si mihi hæc optare fas est.

STROPHE 2.

Ele. O soboles generosorum parentum.
Venitis ut meas miserias consolando leniatis:
Novi & intelligo ista, neque me fugiunt,
Sed non tamen hoc prætermittam,
Quin patrem meum miserum lugeam.
Sed, amantissimæ puellæ, quæ mihi multifariæ
Benevolentiæ rependitis gratiam,
Sinite me ita luctu contabescere,
Hei hei obsecro vos,

ANTISTROPHE 1.

Cho. Sed tamen ab inferorum
Communi palude patrem
Nullo luctu, nullis precibus revocare poteris,
Sed ex mediocribus malis in insanabilem
Mœrorem delapsa te ipsam perdis,
Neque illis tamen malis luctu mederi potes,
Cur rerum impossibilium tanta tibi cupido est?

ANTISTROPHE 2.

Ele. Non est sanæ mentis homo, qui misere
Mortuorum parentum obliviscitur.
Sed mihi, quo magis libeat lugere, animum addit
Misera, quæ Ityn, semper Ityn deplorat
Avicula mœsta, Jovis nuncia.
O multis modis infœlicissima
Niobe, te ego ut Deam colo,

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.. στροφὴ α'.

Χο. 1 Ὦ παῖ παῖ δυστανοτάτας
2 ἠλέκτρα ματρὸς, τίν' ἀεὶ
3 τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν,
4 τὸν πάλαι ἐκ δολερᾶς ἀθεωτάτας
5 ματρὸς ἁλόντ' ἀπάταις ἀγαμέμνονα,
6 κακᾷ τε χειρὶ πρόδοτον;
7 ὡς ὁ τάδε πορὼν
8 ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.

ΣΤΡΟΦΗ β'.

Ηλ. 1 Ὦ γένεθλα γενναίων πατέρων,
2 ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
8 οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τί με
4 φυγγάνει, οὐδὲ θέλω προλιπεῖν τόγε,
5 μὴ οὐ τὸν ἐμὸν στοναχεῖν πατέρ' ἄθλιον.
6 ἀλλ' ὦ παντοίας
7 φιλότητος ἀμειβόμεναι χάριν,
8 ἐᾶτέ μ' ὧδ' ἀλύειν.
9 αἰαῖ ἱκνοῦμαι.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Χο. 1 Ἀλλ' οὔτοι τόν γ' ἐξ ἀΐδα
2 παγκοίνου λίμνας πατέρ' ἀν-
3 στάσεις, οὔτε γόοισιν, οὐ λιταῖς.
4 ἀλλ' ἀπὸ τῶν μετρίων, ἐπ' ἀμήχανον
5 ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι,
6 ἐν οἷς ἀνάλυσίς ἐστιν
7 οὐδεμία κακῶν.
8 τί μοι τῶν δυσφόρων ἐφίῃ;

ΑΝΤΙΣΤΡΟΦΗ β'

Ηλ. 1 Νήπιος ὅστις τῶν οἰκτρῶς
2 οἰχομένων γονέων ἐπιλάθεται.
3 ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε φρένας,
4 ἃ Ἴτυν αἰὲν Ἴτυν γ' ὀλοφύρεται
5 ὄρνις ἀτυζομένη διὸς ἄγγελος.
6 ἰὼ παντλάμων
7 νιόβα, σὲ δ' ἔγωγε νέμω θεὸν,

8 ἅτ'

Quæ in lapidem mutata
Hei hei semper luges.

MONOSTROPHICA.

Cho. Non tibi soli, filia,
Ex hominibus tristia acciderunt,
Quid igitur tu magis, quam cæteri te affligis,
Qui eodem gradu sanguinis juncti sunt?
Quemadmodum Chrysothemis
Vivit, aut Iphianassa,
Et qui occulte alitur Orestes, & qui occultatus dolet.

El. O te fœlicem, Oreste, quem inclyta
Terra olim Mycenarum
Optimis parentibus prognatum excipiet, felici à Deo
Itinere profectum, in hanc terram,
Quem ego indefesso studio
Expectans, absque liberis,
Misera & connubii expers semper obambulo
Lachrymis humida, ineluctabilem
Hanc sortem malorum sustinens: ille vero obliviscitur
Et injuriarum & beneficiorum: nam quem de illo
Nuncium non falsum accipio?
Semper enim nunciatur mihi, nostri desiderio ipsum teneri,
Cumque adeo desideret, non dignatur tamen aliquando venire.

Cho. Bono animo esto filia,
Est enim magnus in cœlo
Juppiter, qui intuetur omnia, & gubernat,
Illi vehementem iram tuam committe,
Neque inimicis tuis
Nimium succenseas, nec obliviscaris injuriæ tamen:
Tempus enim celeriter transit.
Nec qui nunc Crisam tenet,
In littore sitam pascuo,
Filius Agamemnonis, absque reditu erit:
Nec qui apud inferos regnat scelus impunitū relinquet

El. Sed mihi multum
Defluxit jam
Temporis absque effectu spei, neque amplius perferre possum,
Quæ parentibus orbata luctu contabesco,
Quamque nullus amicus tuetur,
Sed velut inquilinus indignè
Vitam dego in domo paterna, in isto

Fœdo

8 ἅτ' ἐν τάφῳ πετραίῳ
αἰαῖ δακρύεις.--

ΜΟΝΟΣΤΡΟΦΗ

Χο. ΟΥ"τοι σοὶ μούνᾳ τέκνον
ἄχος ἐφάνη βροτῶν,
πρὸς ὅ, τι σὺ τῶν ἔνδον εἶ περισσὰ,
οἷς ὁμόθεν εἶ, καὶ γονᾷ ξύναιμος·
οἵα χρυσόθεμις
ζώει, καὶ ἰφιάνασσα,
κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ.--
Ηλ. Ὄλβιος ὃν ἁ κλεινὰ
γᾶ ποτὲ μυκηναίων
δέξεται εὐπατρίδαν διὸς εὔφρονι
βήματι μολόντα τάνδε γᾶν
ὀρέσταν, ὃν ἔγωγ' ἀκάματα
προσμένουσ', ἄτεκνος,
τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ,
δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
οἶτον ἔχουσα κακῶν· ὁ δὲ λάθεται
ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη· τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον
αἰεὶ μὲν γὰρ ποθεῖ,
ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι.--
Χο. Θάρσει μοι, θάρσει τέκνον·
ἔστι μέγας ἐν οὐρανῷ
ζεύς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει·
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα,
μήθ' οἷς ἐχθαίρεις
ὑπεράχθεο, μήτ' ἐπιλάθου.
χρόνος γὰρ εὐμαρὴς θεός.
οὔτε γὰρ ὁ τὰν κρῖσαν
βουνόμαν ἔχων ἀκτὰν
παῖς ἀγαμεμνονίδας ἀπερίτροπος.
οὔθ' ὁ παρὰ τὸν ἀχέροντα θεὸς ἀνάσσων.--
Ηλ. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς
ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος,
οὐδ' ἔτ' ἀρκῶ·
ἅτις ἄνευ τοκέων κατατάκομαι,
ἇς φίλος οὔτις ἀνὴρ ὑπερίσταται·
I ἀλλ' ἁπερεί τις ἔποικος, ἀναξία
οἰκονομῶ θαλάμους πατρὸς ὧδε μὲν,

Fœdo amictu,
Et vacuis assisto mensis.

ANTISTROPHICA. strophe 1.

Ch. O tristem famam de reditu patris ex bello,
Et tristem mentionem cubiculi paterni,
Quando tibi ab ærea, ex adverso,
Securi incussa est plaga:
Dolus consilium præbuit, amor vero occidit,
Et quidem horribilem seminarunt
Facti speciem, sive dii, sive homines
Ista confecerunt.

STROPHE 2.

Ele. O dies illa, quæ ex omnibus maxime
Acerba illuxisti mihi:
O nox, ô infandæ cœnæ
Dira calamitas,
Cum meus pater periit
Fœda morte peremptus manibus duorum,
Quæ manus & meam vitam
Proditam abstulerunt, meque perdiderunt:
Quos Deus, qui cœlum gubernat,
Justis pœnis afficiat,
Neque unquam illis bene sit,
Qui tam dirum facinus perpetrarunt.

ANTISTROPHE 1.

Ch. Vide ne longius provehare maledicendo,
Non tibi in mentem venit, ex quo statu rerum
In præsentia proprias ærumnas
Tibi accersieris ita indigne?
Multum enim malorum cumulasti
Tuo impatienti semper gignens
Animo contentiones, hoc vero conandum non est,
Ut quis cum potentiore pugnet.

ANTISTROPHE 2.

Ele. Rei atrocitas me coegit, rei atrocitas
Scio, nec mihi ira mea ignota est,

ἀεικοῦς πῶς σφαλῶ,
κενάς δ᾽ ἐφίσταμαι τραπέζας.—

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ ά.

Χο. 1 Οἰκτρὰ μὲν νόστοις αὐδά,
2 οἰκτρὰ δ᾽ ἐν κοίταις πατρῴαις,
3 ὅτε σοὶ παγχάλκων ἀνταία
4 γενύων ὡρμάθη πλαγά,
5 δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
6 δεινὰν δεινῶς προφυτεύσαντες
7 μορφάν, εἴτ᾽ οὖν θεός, εἴτε βροτῶν
8 ἦν ὁ ταῦτα πράσσων.—

ΣΤΡΟΦΗ β.

Ηλ. 1 Ὦ πασᾶν κείνα πλέον ἁμέ-
2 ρα ἐλθοῦσ᾽ ἐχθίστα δή μοι.
3 ὦ νὺξ, ὦ δείπνων ἀρρήτων
4 ἔκπαγλ᾽ ἄχθη,
5 τοὺς ἐμὸς εἶδε πατὴρ
6 θανάτους αἰκεῖς διδύμαιν χειροῖν,
7 αἳ τὸν ἐμὸν εἷλον βίον
8 πρόδοτον, αἵ μ᾽ ἀπώλεσαν·
9 οἷς ὁ μέγας θεὸς Ὀλύμπιος
10 ποίνιμα πάθεα παθεῖν πόροι.
11 μηδέ ποτ᾽ ἀγλαΐας ἀπόναιατο,
12 τοιάδ᾽ ἀνύσαντες ἔργα.—

ΑΝΤΙΣΤΡΟΦΗ ά.

Χο. 1 Φράζου μὴ πόρσω φωνεῖν.
2 οὐ γνώμαν ἴσχεις ἐξ οἵων
3 τὰ παρόντ᾽, οἰκείας εἰς ἄτας
4 ἐμπίπτεις οὕτως αἰκῶς;
5 πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
6 σᾷ δυσθύμῳ τίκτουσ᾽ αἰεὶ
7 ψυχᾷ πολέμους· τὰ δὲ, τοῖς δυνατοῖς
8 οὐκ ἐριστὰ πλάθειν.—

ΑΝΤΙΣΤΡΟΦΗ β.

Ηλ. 1 Ἐν δεινοῖς δείν᾽ ἠναγκάσθην, δή,
2 ἐξοιδ᾽, οὐ λάθει μ᾽ ὀργά.

3 ἀλλ᾽

Attamen in rebus ita atrocibus non mihi temperare
A talibus imprecationibus. (possum
Donec vivo.
A quo enim unquam, ô charum genus,
Audiat aliquis sermonem benignum ?
A quo qui recte sapiat?
Dimittite me, dimittite consolatrices :
Nam hæc mihi nunquam intermittentur : neque
Unquam dolore desinam,
Quin perpetuo lugeam.

ANAPAESTI.

Cho. Atqui benevolentia adducta ista dico,
Ut fida mater tibi consulens,
Ne malum malo sic accumules.
El. Quis modus calamitatum fuit cedo ? (possum ?
Aut quomodo eos, qui perierunt, negligere honeste
Qualem hominem esse, qui tali ingenio præditus sit existimas ?
Non ego à talibus honorem expeto,
Neque si cui nupta essem viro bono,
Cum eo quieta vivere possem, ita ut parentibus
Propter metum non persolverem
Justos demortuis luctus.
Si. n. ille mortuus, in pulverem & ad nihil redactus,
Jacebit miser, neque autores cædis
Pœnas justas dabunt :
Perierit pudor, & omnium
Pietas mortalium.

IAMBI.

Cho. Ego quidem, ô filia, & tua causa simul
Et mea ipsius huc veni, si vero non recte
Dico, tu viceris, tibi enim cedo.
El. Pudet me, ô mulieres, si videor vobis
Nimis imbecillo animo indulgere luctui,
Sed me necessitas ut hoc faciam cogit,
Quare ignoscetis mihi : quomodo. n. generosa mulier
Patris mala cernens non lugeat ?
Quæ ego diebus singulis & noctibus semper
Crescentia magis quam decrescentia video :

Cui

3 ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
4 ταύτας ἄτας,
5 ὄφρα μ' ἔχῃ βίοτος.
6 τίνι γάρ ποτ' ἂν ὦ φίλα γενέθλα
7 πρόσφορον ἀκούσαιμ' ἔπος;
8 τίνι φρονοῦντι καίρια;
9 ἄνεξέ μ', ἄνετε παράγοροι.
10 ταῦτα γὰρ ἄλυτα κεκλήσεται.
11 οὐδέποτ' ἐκ καμάτων ἀποπαύσομαι,
12 ἀνάριθμος ὧδε θρηνῶν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ,
μάτηρ ὡσεί τις πιστά,
μὴ τίκτειν σ' ἄταν ἄταις.
Ηλ. Καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
μήτ' εἴην ἔντιμος τούτοις,
μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ,
ξυναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν θανὼν
γᾶ τε καὶ οὐδὲν ὢν,
κείσεται τάλας,
οἱ δὲ μὴ πάλιν
δώσουσ' ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδὼς, ἁπάντων
τ' εὐσέβεια θνητῶν.

ΙΑΜΒΟΙ.

Χο. Ἐγὼ μὲν ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα,
καὶ τοὐμὸν αὐτῆς, ἦλθον· εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα· σοὶ γὰρ ἑψόμεσθ' ἅμα.
Ηλ. Αἰσχύνομαι μὲν ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ', ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν,
σύγγνωτε. πῶς γὰρ ἥτις εὐγενὴς γυνή,
πατρῷ' ὁρῶσα πήματ', οὐ δρῴη τάδ' ἄν,
ἃ γὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ.

Cui primum à matre, quæ me genuit,
Omnia inimicissima contigerunt: deinde in domo
Mea apud occisores patris
Habitare cogor, & hi mihi dominantur, & ab his
Accipere me atque ali oportet.
Quales igitur me dies agere putas,
Quando in solio Ægisthum sedentem video,
Paterno, & aspicio vestibus
Iisdem, quibus pater indutus erat, exornatũ, & penatib.
Litantem nostris, eo in loco, ubi illum interfecit.
Video vero hoc extremum probrum domus
Parricidam in lecto patris
Cum perdita matre, matrem si fas est
Eam dicere, quæ cum isto cubat,
Illa vero eo usque profligata est, ut cum scelesto
Cohabitet, nec furiarum ullam metuat,
Verum insuper insultans in tanta scelerum immanitate
Cum nacta est illum diem, quo patrem olim
Meum ex insidiis interfecit,
Eodem die choreas instituit & sacrificat
Diis servatoribus ut ipsa ait, menstrua sacra celebrant.
Ego vero misera ista videns in domo
Interea luctu tabesco, & deploro patris
De nomine dictum infœlix convivium,
Sola mecum, neque enim palam plorare licet
Tantum, quantum mihi animus cupit.
Ipsa enim dictis generosa mater
Increpans, talia mihi exprobat mala.
O Diis invisum caput, tibi soli pater
Mortuus est, alius nemo in luctu est?
Male pereas, neque ex luctibus
His unquam te liberent Dii infernales.
Talia contumeliose in me dicit, præterquã cum audit
Venturum Orestem, tum vero furibunda (ex aliquo
Vociferatur adstans mihi: an non tu mihi horũ causa es?
An non tuum hoc est opus? quæ ex manibus meis
Furtim subduxisti Orestem, atque alendum exposuisti
Sed scito te daturam esse dignas pœnas.
Talia latrat, Et simul incitat prope adstans
Egregius ille sponsus ipsam ad talia.
Ille inquam prorsum effœminatus, qui nihil est nisi
Qui cum mulieribus prælia conserit. (probrum,
Ego vero Orestẽ misera expectans, qui me ab his malis
Liberet, interea pereo.

ἣ πρῶτα μὲν τὰ μητρὸς ἥ μ᾽ ἐγείνατο
ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς, τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι· κἀκ τῶνδ᾽ ἄρχομαι, κἀκ τῶνδέ μοι
λαβεῖν θ᾽ ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ᾽ ἄγειν,
ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ᾽ ἴδω
τοῖσιν πατρῴοις; εἰσίδω δ᾽ ἐσθήματα
φοροῦντ᾽ ἐκείνῳ ταὐτά, καὶ παρεστίους
σπένδοντα λοιβάς, ἔνθ᾽ ἐκεῖνον ὤλεσεν·
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοφόντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρί, μητέρ᾽ εἰ χρεὼν
ταύτην προσαυδᾶν τῷ δὲ συγκοιμωμένην.
ἡ δ᾽ ὧδε τλήμων ὥστε τῷ μιάστορι
ξύνεστ᾽, ἐριννὺν οὔτιν᾽ ἐκφοβουμένη·
ἀλλ᾽ ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,
εὑροῦσ᾽ ἐκείνην ἡμέραν ἐν ᾗ τότε
πατέρα τὸν ἁμὸν ἐκ δόλου κατέκτανε,
ταύτῃ χοροὺς ἵστησι, καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην᾽ ἱερὰ τοῖς σωτηρίοις.
ἐγὼ δ᾽ ὁρῶσ᾽ ἡ δύσμορος κατὰ στέγας
κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ᾽ ἐπωνομασμένην,
αὐτὴ πρὸς αὐτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ᾽ ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα, τοιάδ᾽ ἐξονειδίζει κακά.
ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν, ἄλλος δ᾽ οὔτις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο· μηδέ σ᾽ ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.
τάδ᾽ ἐξυβρίζει· πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ᾽ Ὀρέστην, τηνικαῦτα δ᾽ ἐμμανὴς
βοᾷ παραστᾶσ᾽, οὐ σύ μοι τῶνδ᾽ αἰτία;
οὐ σὸν τόδ᾽ ἐστὶ τοὔργον, ἥτις ἐκ χερῶν
κλέψασ᾽ Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ᾽ ἴσθι τοι τίσουσά γ᾽ ἀξίαν δίκην·
τοιαῦθ᾽ ὑλακτεῖ· σὺν δ᾽ ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρών,
ὁ πάντ᾽ ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
ἐγὼ δ᾽ Ὀρέστην τῶνδε προσμένουσ᾽ ἀεὶ
παυστῆρ᾽ ἐφήξειν ἡ τάλαιν᾽ ἀπόλλυμαι,

Dum enim ille cunctatur, interim mihi & præsens
Spes & futura corrumpitur.
In talibus igitur ærumnis neque moderatè agere,
Nec pietatem colere licet, sed in malis
Necessitas subigit homines, ut male consulant.
Ch. Age dic mihi, utrum prope alicubi existente
Ægistho ista loqueris, an peregrè abest à domo?
Ele. Sanè ne putes me, si ille adesset
Ita ante fores obambulare, nunc vero ruri est.
Ch. Ergo & ego animo recepto liberius tecum sermones
Conferam, siquidem ista sic se habent.
Ele. Ille quidem abest proinde quære si quid voles.
Ch. Dic igitur mihi de fratris quid narras
Adventu, vel mora? nam hoc scire cupio.
Ele. Ait quidem, sed nihil eorum quæ promisit præstat.
Ch. Solet cunctari vir, qui rem magnam molitur.
Ele. Atqui ego ipsum nequaquam cunctata servavi. (seret.
Ch. Bono animo esto, natus est ex bonis, ideo amicos nō de-
Ele. Spero adhuc, alioqui non diu possem vivere.
Ch. Ne quid amplius dixeris, nam video ex ædibus
Tuam sororem patre eodem prognatam
Et matre eadem Chrysothemin sepulchrales inferias
Ferentem, quæ manibus apud inferos offerri solent.
Chr. Quos tu rursum hîc ante vestibuli fores
Progressa ô soror clamores cies?
Neque te longum tempus docere potest,
Ut impotenti animo non nimis indulgeas.
Nam & ego, quæ mihi conscia sum, scio,
Quàm rebus præsentibus doleam, & si vires (essem.
Mihi essent, ostenderem quo animo erga illos affecta
Núc verò me victã malis, navig. oport. velis cōtractiorib.
Et non sic existimare, quòd aliquid absq; damno effice-
Sic te velim esse affectam, (re possim.
Quamvis justum est, non quidem quemadmodum ego,
Sed ut tu judicas: si vero libera debeo (dum est.
Vivere, his qui dominantur omnibus in rebus obedien-
Ele. Indignum est, te patris ex quo nata es,
Oblivisci, & matri gratificari.
Nam omnia hæc, quæ admonendi mei causa dixisti,
Ex ore illius, non tuo, locuta es. (desipere videaris,
Quapropter ex his duobus utrum voles elige, aut ut
Aut recte sapere & amicos deserere:
Quæ jam dicebas, quòd si vires haberes,
Tunc odium tuum erga illos ostensura esses,

μέλλων γὰρ αἰεὶ δρᾶν τι, τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις, οὔτε σωφρονεῖν, φίλαι,
οὔτ' εὐσεβεῖν πάρεστιν, ἀλλ' ἐν τοῖς κακοῖς
πολλή γ' ἀνάγκη κἀπιτηδεύειν κακά.——
Χο. Φέρ' εἰπέ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;
Ηλ. Ἡ κάρτα· μὴ δόκει μ' ἄν, εἴπερ ἦν πέλας,
θυραῖον οἰχνεῖν· νῦν δ' ἀγροῖσι τυγχάνει.
Χο. Ἡ κἂν ἐγὼ θαρσοῦσα, μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.
Ηλ. Ως νῦν ἀπόντος, ἱστόρει τί σοι φίλον.
Χο. Καὶ δή σ' ἐρωτῶ· τοῦ κασιγνήτου τί φής,
ἥξοντος, ἢ μέλλοντος, εἰδέναι θέλω.
Ηλ. Φησίν γε· φάσκων δ', οὐδὲν ὧν λέγει ποιεῖ.
Χο. Φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
Ηλ. Καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.
Χο. Θάρσει· πέφυκεν ἐσθλός, ὥς' ἀρκεῖν φίλοις.
Ηλ. Πέποιθ', ἐπεί τ' ἂν οὐ μακρὰν ἔζων ἐγώ.
Χο. Μὴ νῦν ἔτ' εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον ἐκ πατρὸς ταὐτοῦ φύσιν
Χρυσόθεμιν, ἔκ τε μητρός, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται ----
Χρ. Τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν;
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις,
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά.
καίτοι τοσοῦτόν γ' οἶδα κἀμαυτήν, ὅτι
ἀλγῶ 'πὶ τοῖς παροῦσιν· ὥς' ἄν, εἰ σθένος
λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ·
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
τοιαῦτα δ' ἀλλὰ καὶ σὲ βούλομαι ποιεῖν·
καίτοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω,
ἀλλ' ᾗ σὺ κρίνεις, εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.——
Ηλ. Δεινόν γε σ' οὖσαν πατρὸς οὗ σὺ παῖς ἔφυς,
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα,
κείνης διδακτά, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἔπειθ' ἑλοῦ γε θάτερον, ἢ φρονεῖν κακῶς,
ἢ τῶν φίλων φρονοῦσα, μὴ μνήμην ἔχειν.
ἥτις λέγεις μὲν ἀρτίως, ὡς εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·

Me verò patris necem ulcisci cupientem
Nō adjuvas, sed magis ne faciā dehortaris: (tuā arguūt?
An non hæc præter alia nostra mala, etiam timiditatem
Quamobrem aut doce me, aut ipsa disce: quid enim
Lucri consequar, si patrem lugere desinam?
An non vivo? male quidem: attamen sufficienter mihi.
Molesta verò illis sum, & mortuo (ros est.
Hunc honorem tribuo, si qua gratia horum apud infe-
Tu verò, quæ te odisse ais, verbis quidem odisti,
Re ipsa autem cum parricidis conversaris.
Ego igitur neque unquam, si quis mihi
Afferret hæc dona, quæ tibi in deliciis sunt,
Propter ea me illis subjicere velim: tibi lauta
Consistat mensa, & affluas victu,
Mihi tantum sit, quod me non excruciet,
Pabulum, tuum honorem non desidero.
Neque tu si sana esses cuperes: nunc verò cùm posses
Optimi patris filia vocari voceris
Filia matris: sic plurimis videbere mala,
Ut pote quæ mortuum patrem & amicos prodis tuos.
Cho. Ne quid iracundè propter Deum, nam sermoni
Utriusque inest magna utilitas, si tu scias
Hujus sermone uti, & hæc vicissim tuo:
Chr. Ego quidem jam olim talia audire
Ex hac assuefacta sum: neq; unquam mentio ejus fit,
Quin aliquid magni mali ei imminere audiam,
Quod ne diutius lugeat, coercebit ipsam.
Ele. Age dic quid hoc calamitatis est? si enim mihi aliquid
His malis gravius annunciâris, non contradicam,
Chr. Eloquar rem totam, quantum quidem ego scio.
Decreverunt enim te, si non lugere desines,
Eò ablegare, ubi non amplius unquam
Solis lumen aspicias, viva vero in communito
Ædificio extra hanc terram, tuam decantes miseriam,
Hæc igitur expende, nec me postea (num est.
Malo accepto accuses, nunc enim sapere tibi opportu-
Ele. Serióne hæc de me decreta sunt? (redierit.
Chr. Planè, & quidem fient quàm primum Ægisthus domum
Ele. Atqui mea causa quâm primum revertatur.
Chr. Quamobrem hoc misera optas?
Ele. Ut veniat, si quid tale in animo habet.
Chr. An ut aliquid triste patiaris? Quid ita mente deerras?
Ele. Ut à vobis quàm longissimè aufugiam.
Chr. Nec præsentis vitæ memoria subit tibi?

Mirum

ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης,
οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μὲν, οἶδ', ἐπαρκούντως δ' ἐμοί.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν ἡ μισοῦσα, μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κείσθω, καὶ περιρρείτω βίος.
ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον
βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
οὐδ' ἂν σὺ, σώφρων γ' οὖσα· νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός· οὕτω γὰρ φανῇ πλείστοις κακὴ,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.—

Χο. Μηδὲν πρὸς ὀργὴν, πρὸς θεῶν· ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.—

Χρ. Εγὼ μὲν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην ποτὲ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.—

Ηλ. Φέρ' εἰπὲ δὴ τὸ δεινόν· εἰ γὰρ τῶνδε μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.—

Χρ. Αλλ' ἐξερῶ σοι πᾶν ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξοις γόων,
ἐνταῦθα πέμψειν ἔνθα μήποθ' ἡλίου
φέγγος προσόψει· ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ, χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου, καί με μήποθ' ὕστερον
παθοῦσα μέμψῃ· νῦν γὰρ ἐν καλῷ φρονεῖν.

Ηλ. Η ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν;

Χρ. Μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.

Ηλ. Αλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.

Χρ. Τίν' ὦ τάλαινα τόνδ' ἐπηράσω λόγον;

Ηλ. Ελθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.

Χρ. Οπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;

Ηλ. Οπως ἀφ' ὑμῶν ὡς προσώτατ' ἐκφύγω.

Χρ. Βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;

Ele. Mirum vero quàm nunc suavem vitam agam
Chr. Sed ageres quidem, si tu rectè sapere didicisses:
Ele. Ne doce me ut amicis parum fida sim.
Chr. Non hoc doceo, sed ut potentioribus cedas.
Ele. Tu illis assentare, alienum hoc est à moribus meis.
Chr. Hoc nempe decet non temeritate quadam ruere.
Ele. Ruamus siquidem oportet, modo patris necem ulcisca-
Chr. Pater scio ipse tibi veniam concedet. (mur.
Ele. Hæc sunt consilia, quæ ignavi probant.
Chr. Tu igitur non obedies neque auscultabis mihi?
Ele. Non sanè, nondum enim ita sum destituta mente
Chr. Pergam igitur ire eò quò missa sum,
Ele. Quonam vadis? aut quo fers ista sacra?
Chr. Mater mittit me, ut patris tumulo inferias afferam.
Ele. Quid narras, num invisissimo hominum?
Chr. Quem occidit ipsa. hoc enim dicere volebas.
Ele. Num ab amicis persuasa facit hoc? quis autor est?
Chr. Terriculamento nocturno mota, ut mihi videtur.
Ele. O dii patrii adeste nunc quæso maximè.
Chr. An spem aliquam concepisti ex isto pavore?
Ele. Ubi visionem expones mihi, tunc dicam
Chr. Sed parum est, quod hac de re dicere possum.
Ele. Dic ergo, sæpe enim brevia dicta
Deceperunt, & erexerunt homines.
Chr. Aiunt ipsam vidisse patrem
Tuum ac meum quasi iterum reviviscentem
In lucem hanc rediisse, deinde in domo
Fixisse sceptrum acceptum, quod olim gestare solebat,
Nunc vero illud Ægisthus gerit: ex illo autem
In altum succrevisse germinantem ramum, quo
Tota Mycenarum terra obumbrata sit.
Hoc mihi quidam, qui tunc audivit, cùm ipsa soli
Narravit somnium, indicavit:
Plura his non novi, præterquam quòd (misit.
Ad patris sepulchrum ipsa me propter hunc terrorem
Ele. Per Deos patrios te obsecro
Ut mihi auscultes, nec imprudentiæ ruas.
Nam si me nunc repelles, postea malo coacta revocabis.
Sed ô chara soror, horum quæ manibus portas,
Nihil sepulchro admoveas, non enim fas est
Nec pium, ab inimica muliere afferre
Inferias aut libationes patri,
Sed vel abjice, vel sub alio pulvere
Alicubi occulta, ut nunquam ad sepulchrum patris

Quidquam

Ηλ. Καλὸς γὰρ οὑμὸς βίοτος, ὥστε θαυμάσαι.
Χρ. Ἀλλ' ἦν ἄν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
Ηλ. Μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
Χρ. Ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκάθειν.
Ηλ. Σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
Χρ. Καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
Ηλ. Πεσούμεθ', εἰ χρὴ, πατρὶ τιμωρούμενοι.
Χρ. Πατὴρ δὲ τούτων (οἶδα) συγγνώμην ἔχει.
Ηλ. Ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
Χρ. Σὺ δ' οὐχὶ πείσῃ καὶ συναινέσεις ἐμοί;
Ηλ. Οὐ δῆτα· μή πω νοῦ τοσόνδ' εἴην κενή.
Χρ. Χωρήσομαί τ' ἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
Ηλ. Ποῖ δ' ἐμπορεύῃ; τῷ φέρεις τάδ' ἔμπυρα;
Χρ. Μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
Ηλ. Πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
Χρ. Ὃν ἔκταν' αὐτή· τοῦτο γὰρ λέξαι θέλεις.
Ηλ. Ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
Χρ. Ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
Ηλ. Ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν.
Χρ. Ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
Ηλ. Εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.
Χρ. Ἀλλ' οὐ κάτοιδα, πλὴν ἐπὶ σμικρὸν φράσαι.
Ηλ. Λέγ' ἀλλὰ τοῦτο· πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς.--
Χρ. Λόγος τις αὐτὴν ἐστὶν εἰσιδεῖν πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν,
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον, οὑφόρει ποτὲ
αὐτὸς, τανῦν δ' Αἴγισθος· ἔκ τε τοῦδ' ἄνω
βλαστεῖν βρύοντα θαλλόν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος, ἡνίχ' ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει με κείνη τοῦδε τοῦ φόβου χάριν.
πρὸς νῦν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
ἐμοὶ πιθέσθαι, μηδ' ἀβουλίᾳ πεσεῖν·
εἰ γάρ μ' ἀπώσῃ, σὺν κακῷ μέτει πάλιν.---
Ηλ. Ἀλλ' ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν,
τύμβῳ προσάψῃς μηδέν· οὐ γάρ σοι θέμις,
οὐδ' ὅσιον, ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ', οὐδὲ λουτρὰ προσφέρειν πατρί.
ἀλλ' ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς

Quidquam horũ perveniat, verùm donec moriatur ipſa
Sub terra ei iſte theſaurus aſſeruetur.
Et niſi omnino ipſa profligatiſſima mulier
Omnium eſſet, has inimicas libationes
Nunquam ei, quem interfecit, adornaſſet:
Cogita enim quàm benigne ab ipſa
Hæc munera in ſepulchro mortuus pater accepturus ſit,
A qua ipſe tam indigne & hoſtiliter
Obtruncatus eſt,& in luſtrali aqua(An igitur exiſtimas
Vulnera, quæ mater capiti ipſius inflixit, abluta ſunt.
Hæc illam à reatu cædis liberatura eſſe ?
Non fiet. Proinde tu iſta omitte.
Verùm præcide capitis extremos cincinnos tui,
Atq; mei, parva hæc quidem, ſed tamen (pillum.
Qualia nunc habemus,& affer patri hunc ſqualidum ca-
Et cingulum meum non delicate fabrefactum,
Ac ſupplex ipſum precare, ut ex tumulo benignus
Adiutor nobis veniat adverſus hoſtes:
Et ut puer Oreſtes ſuperſtite manu
Ac vivus adoriatur inimicos,
Ut in poſterum ditioribus
Manibus ejus tumulum ornare poſſimus.
Arbitror enim ipſum cura iſtarum rerum
Miſiſſe matri hæc triſtia ſomnia.
Tu verò, ſoror, in hac re opitulare
Mihi, & amantiſſimo hominum,
Qui nunc apud inferos eſt, communi noſtro parenti:
Cho. Piè loquitur hæc puella, proinde tu
Si ſapies, illi obtemperabis.
Chr. Faciam: nam cùm cauſa juſta eſt, nihil attinet
Diſputare, ſed decet rem exequi.
Vos verò quando hoc ago,
Silentium quæſo præſtate mihi.
Nam ſi mater reſciſceret, triſtem
Hunc conatum mihi ſuſcepiſſem.

EPODICA. Stropho.

Cho. Niſi ego à vero deerrans
Vates ſum, & mente
Deſtituta ſana,
Venit prænuncia
Nemeſis juſtas afferens
Manuum vires, aderítque,

O filia,

τούτων προσοίσεις μηδέν· ἀλλ' ὅταν θάνῃ,
κειμήλι' αὐτῇ ταῦτα σωζέσθω κάτω.
ἀρχὴν γὰρ, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ' ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε.
Σκέψαι γὰρ εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὑν τάφοισι δέξασθαι νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος ὥστε δυσμενὴς
ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρα
κηλῖδας ἐξέμαξεν· ἆρα μὴ δοκεῖς
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν· ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
ἃ χω, δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα,
καὶ ζῶμα τοὐμὸν, οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπίτνουσα, γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν.—
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδὶ,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον,
πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα·
ὅμως δ' ἀδελφὴ, σοί θ' ὑπούργησον τάδε
κἀμοί τ' ἀρωγὰ, τῷ τε φιλτάτῳ βροτῶν
πάντων ἐν ᾅδου κειμένῳ κοινῷ πατρί.—
Xo. Πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δὲ
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.—
Xρ. Δράσω· τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ' ὑμῶν πρὸς θεῶν ἔστω φίλαι.
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΕΠΩΔΙΚΑ. Στροφή.

Xo. 1 Εἰ μὴ ἐγὼ παράφρων
2 μάντις ἔφυν, καὶ γνώμας
3 λειπομένα σοφᾶς,
4 εἶσιν ἁ πρόμαντις
5 Δίκα, δίκαια φερομένα
6 χεροῖν κράτη· μέτεισιν ὦ

7 τέκνον

O filia, post tempus non longum.
Jam enim spem concipio,
Postquàm audivi jucundam auditu
Famam de somnio:
Nec enim pater immemor erit,
Græcorum Rex,
Neque vetus illa ferrea
Anceps bipennis, qua ipsum interfecit
Immani supplicio.

ANTISTROPHE.

Aderit enim cum multis pedibus
Et manibus horribili
Tecta caligine ferrea Erinnys.
Nam ipsa non connubialia, non sponsam decentia
Parricidialis conjugii aggressa est certamina,
Qualia non decent.
Quapropter me magis, quàm istos, spes tenet,
Non unquam nobis
Irritum fore hoc prodigium,
In eos qui scelus perpetrarunt & qui adjuverunt,
Aut prædictiones humanæ
Nullæ sunt in interpretandis somniis,
Et in divinis oraculis,
Si non hoc nocturnum spectrum
Nobis aliquid boni afferet.

EPODOS.

O Pelopis olim
Infœlix aurigatio,
Quam multarum calamitatum causa
Huic terræ fuisti.
Ex quo enim submersus
Myrtilus interiit
Ex aureo curru
Tristi contumelia
Præceps dejectus,
Ab eo tempore nunquam
Ab hac domo recessit
Plena ærumnarum calamitas.

IAMBI

7 τέκνον οὐ μακροῦ χρόνου·
8 ὕπεστί μοι θράσος,
9 ἁδυπνόων κλύουσαν
10 ἀρτίως ὀνειράτων·
11 οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας
12 ἑλλάνων ἄναξ,
13 οὐδ' ἁ παλαιὰ χαλκόπληκτος
14 ἀμφήκης γένυς,
15 ἅ νιν κατέπεφνεν αἰ-
16 σχίσταις ἐν αἰκίαις.---

ΑΝΤΙΣΤΡΟΦΗ.

1 ἥξει δὲ καὶ πολύπους
2 καὶ πολύχειρ ἁ δεινοῖς
3 κρυπτομένα λόχοις
4 χαλκόπους ἐριννύς.
5 ἄλεκτρ', ἄνυμφα γὰρ ἐπέβα
6 μιαιφόνων γάμων ἁμιλ-
7 λήμαθ' οἷσιν οὐ θέμις·
8 πρὸ τῶνδέ τοι μ' ἔχει,
9 μήποτε, μήποθ' ἡμῖν
10 ἀψεγὲς πελᾶν τέρας
11 τοῖς δρῶσι καὶ συνδρῶσιν.
12 ἤτοι μαντεῖαι βροτῶν
13 οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
14 οὐδ' ἐν θεσφάτοις,
15 εἰ μὴ τόδε φάσμα νυ--
16 κτὸς εὖ κατασχήσει ---

ΕΠΩΔΟΣ.

1 ὦ πέλοπος ἁ πρόσθεν
2 πολύπονος ἱππεία,
3 ὡς ἔμολες αἰανὴ
4 τᾷδε γᾷ.
5 εὖτε γὰρ ὁ ποντισθεὶς
6 μυρτίλος ἐκοιμάθη
7 παγχρύσων δίφρων
8 δυστάνοισιν αἰκίαις
9 πρόῤῥιζος ἐκριφθεὶς,
10 οὔτις πω
11 ἔλειπεν ἐκ τοῦδ' οἴκου
12 πολύπονος αἰκία.

IAMBI.

Cly. Soluta rursum videris circumvagari,
Quia Ægisthus abest, qui te cohibere solebat,
Ne foris obambulans amicos maledictis tuis deformares.
Nunc quia ille non adest, nihil vereris
Me matrem, & quidem multa ad multos
Dixisti de me, quam petulanter & injuste
Imperare soleam, teque ac tuos contumelia afficere
Ego vero contumeliosa non sum: maledico autem
Tibi, maledictis prius à te sæpe lacerata.
Pater enim tibi unicus prætextus est,
Qui à me occisus est, à me inquam: honeste
Quod scio, Nec est causa cur hæc facta negem.
Justa enim ultio ipsum interfecit, non ego sola,
Cui te, si saperes, opem ferre conveniebat.
Quoniam idem iste tuus pater, quem perpetuo deploras,
Tuam Germanam solus ex Græcis ausus fuit
Mactare diis: Non enim ille parem sustinuit
Laborem gignendo, sicut ego parturiendo.
Age dic mihi, ob quam causam, aut cujus gratia,
Mactavit eam? An propter Græcos dices? (tur filia,
Sed non conveniebat, ut propter eos mea interficere-
At propter fratrẽ opinor fecit. Verum cum interfecerit
Filiam meam, an non debuit mihi dare pœnas?
An Menelao ipsi non erant gemini liberi? (ex patre illo
Quos magis quã nostrã filiam conveniebat mori, ut pote
Et matre natos, cujus gratia suscepta erat expeditio.
An Pluto meos liberos magis,
Quam illius devorare appetebat?
An perditissimo patri liberi ex me suscepti
Curæ non erant, frater autem curæ erat?
An non hoc patris est stulti ac mali?
Ego quidem sic statuo, quamvis tu non mecum sentis,
Quod & illa perẽpta soror affirmaret, si loqui posset.
Ego igitur propter hoc facinus
Minime doleo. Si verò tibi non recte sentire videor,
Cũ causã justam habeã, reprehẽdas sane propinq. tuos.
Ele. Nõ quidẽ hoc dicere potes, quòd à me prius irritata, ista
Sed si tu permiseris mihi, de patre mortuo (dixeris.
Rectè respondebo tibi, ac de sorore simul.
Cly. Age permitto: nam si ad hunc modum sermone

Me

ΙΑΜΒΟΙ.

Κλ. Ἀνειμένη μὲν (ὡς ἔοικας) αὖ στρέφῃ.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ' ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
ἐμοῦ γε· καίτοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας, ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω καθυβρίζουσα καί σε καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο σοι πρόσχημ' ἀεί,
ὡς ἐξ ἐμοῦ τέθνηκεν· ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ δίκη νιν εἷλε, κ' οὐκ ἐγὼ μόνη·
ᾗ χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες.
ἐπεὶ πατὴρ οὗτος σὸς ὃν θρηνεῖς ἀεί,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης ὅτ' ἔσπειρ', ὥσπερ ἡ τίκτουσ' ἐγώ.
εἶεν· δίδαξον δή με τοῦ χάριν τίνων
ἔθυσεν αὐτήν· πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα μενέλεω κτανὼν
τἄμ', οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν;
ἢ τῶν ἐμῶν ᾅδης τιν' ἵμερον τέκνων
ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μέν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.

Ηλ. Ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ' ὡς ἄρξασά τι
λυπηρόν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
ἀλλ' ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος θ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς, τῆς κασιγνήτης θ' ὁμοῦ.

Κλ. Καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγους

ἐξῆρχες,

Me semper adorta fuisses, nequaquam ista tristia audi-
Ele. Audi igitur. Patrem ais te interfecisse, (visses.
Quo quid turpius dici potest,
Sive juste seu injuste feceris? Ostendam verò tibi
Quam non juste interfeceris, sed tibi ut faceres
Persuasit vir malus, quicum nunc habitas.
Interroga verò venatricem Dianam, propter cujus
Pœnam retinuerit classem in Aulide,
Aut ipsa dicam, nam ex illa non fas est audire,
Pater meus aliquando, ut ego audivi,
Cùm in luco Dianæ luderet, excitavit pedibus,
Notis signatum cervum, Quem cùm mactaret,
Exultans sermonem quendam jactasse dicitur,
Propter quem sermonem indignata Latonæ filia
Detinuit Græcos, donec pater pro compensatione
Feræ, suam mactaret filiam.
Sic res acta est. Non enim dimissio
Erat exercitui, neq; domum nec ad Ilium. (vix tandem
Propter quam causam ipse coactus, diùque repugnans
Perpulsus est ut eã mactaret, nó in hoc Mẽelao gratificãs.
Quòd si, dicam. n. quod etiam ad te attinet, ut fratrem
Juvaret, id fecisset, An ob eam causam
A te ipsum interfici oportebat? Qua lege?
Nam vide, si statues istam legem hominibus,
Ne malum tibi ipsi & pœnitentiam accersas.
Si.n. alium pro alio occidere oportebat, tu quidem
Prima morieris, ut justas pœnas persolvas.
Sed vide ne excusationem, quæ nulla est, afferas:
Dic enim mihi, nisi grave est, propter quam causam
Nunc in tanta turpitudine vivis, (quo adiuta
Et concumbis cum isto conscelerato ac devoto capite,
Patrem prius meum interfecisti?
Et liberos procreas, ac priores illos legitimos
Et ex legitimè conjunctis prognatos ejicis.
Quomodo quis talia laudet? An hoc fortè dices,
Quod ita peremptam filiam ulciscaris?
Male quidem, si sic dicis: non enim honestum est
Inimicis filiæ causa nubere.
Neque admoneri te sinis,
Sed statim hoc in ore habes, quòd te matrem
Contumeliis traducimus, Egóque adeo te dominam
Non minus quàm matrem erga nos esse judico:
Quæ vitam miseram vivo, & à te
Injuriis multis afficior, & à tuo cohabitatore.

Atque

ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.—

Ηλ. Καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι; τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἴσχιον ἔτι,
εἴτ' οὖν δικαίως, εἴτε μή; λέξω δέ σοι
ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασε
πειθὼ κακοῦ πρὸς ἀνδρός, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
ποινῆς, τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·
ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ' οὑμός (ὡς ἐγὼ κλύω) θεᾶς
παίζων κατ' ἄλσος, ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς
ἐκκομπάσας, ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη
κατεῖχ' Ἀχαιούς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον, οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλά, κἀντιβάς, μόλις
ἔθυσεν αὐτήν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν (ἐρῶ γὰρ καὶ τὸ σόν) κεῖνον θέλων
ἐπωφελῆσαι, ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς,
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς· τοὺς δὲ πρόσθεν εὐσεβεῖς
κἀξ εὐσεβῶν βλαστόντας, ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ τοῦτ' ἐρεῖς,
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς δ', ἐάνπερ καὶ λέγῃς· οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν ὡς τὴν μητέρα
κακοστομοῦμεν· καί σ' ἔγωγε δεσπότιν
ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρόν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα, τοῦ τε συννόμου.

Atque ille alter in exilio, qui manus tuas ægrè effugit,
Infœlix Orestes miserrime vivit,
Quem sæpe à me ali, ut te interficiat,
Objicere soles, & id quidem si potuissem,
Fecissem sanè, quod scias. Ob hanc igitur causam
Prædica de me, si vis, apud omnes, quod sim mala,
Et petulanter maledica, & impudens.
Nam si his viciis obnoxia sum,
Propemodum non degenero à tua natura.
Cho. Video ipsam ira tumescentem, utrum verò justè
Irascatur, rationem non capio.
Cly. Quo consilio me adversus hanc uti oportet
Quæ adhunc modum matrem contumelia afficit?
Præsertim hac ætate. An verò non videtur
Ad quodvis facinus hæc progressura esse absq; omni verecundia?
Ele. Imo, ut scias, me quidem horum pudet,
Et si tu non credis: atque satis agnosco
Quàm importuna hæc sint, méque parum deceant,
Sed acerbitas animi tui, & tua facinora
Mihi per vim istas voces exprimunt:
A turpibus enim turpia discuntur.
Cly. O bestia impudens, an mea dicta
Et facta te multa dicere cogunt?
Ele. Tu dicis hoc, non ego: Tu enim
Ista facis, ex factis vero sermo oritur,
Cly. Atqui per Dianam, hanc audaciam
Non feres impunitam, ubi Ægisthus domum redierit.
Ele. Vide nunc ira incenderis, quæ mihi permisisti prius
Ut dicerem quæ vellem, neque potes audire.
Cly. Non igitur me sines, ut fausto omine
Rem divinam faciam, postquam tibi permisi ut omnia diceres?
Ele. Sino, jubeo, sacrifica, neq; est quod accuses
Os meum, non enim efferar sermone amplius.
Cly. Tu ancilla, quæ ades, effer incensa,
Ex variis frugibus, ut Phœbo preces,
Quæ me his terroribus liberent, effundam
Audi nunc Apollo, qui in foribus sedem habes,
Occultã hanc meã precationẽ, non enim ut inter amicos
Loqui tutum est, neque omnia revelare oportet
Palàm, cùm hæc prope adstet,
Ne propter invidiam, & linguæ petulantiam
Seminet rumores inanes totam per urbem.
Verùm sic audi, quemadmodum & ego dicam.
Nam quæ hac nocte spectra vidi,

ὁ δ' ἄλλος ἔξω χεῖρα τὴν μόλις φυγὼν
τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον.
ὃν πολλὰ δή με σοὶ τρέφειν μιάστορα
ἐπητιάσω· καὶ τόδ' εἴπερ ἔσθενον,
ἔδρων ἄν, εὖ τοῦτ' ἴσθι· τοῦδέ γ' οὕνεκα
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρῇ κακήν,
εἴτε στόμαργον, εἴτ' ἀναιδείας πλέαν.
εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.

Χο. Ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.

Κλ. Ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε,
καὶ ταῦτα τηλικοῦτος; ἆρ' οὔ σοι δοκεῖ
χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;

Ηλ. Εὖ νῦν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὅθ' οὕνεκα
ἔξωρα πράσσω κοὐκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.

Κλ. Ὦ θρέμμ' ἀναιδὲς, ἦ σ' ἐγὼ, καὶ τἄμ' ἔπη,
καὶ τἄργα τἀμὰ πόλλ' ἄγαν λέγειν ποιεῖ;

Ηλ. Σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς
τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

Κλ. Ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.

Ηλ. Ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ', οὐδ' ἐπίστασαι κλύειν;

Κλ. Οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;

Ηλ. Ἐῶ, κελεύω, θῦε, μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.

Κλ. Ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων ἃ νῦν ἔχω.
κλύοις ἂν ἤδη Φοῖβε προστατήριε
κεκρυμμένην μου βάξιν· οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς, παρούσης τῆσδε πλησίας ἐμοί.
μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν·
ἀλλ' ὧδ' ἄκουε· τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα

δισσῶν

Geminorum somniorum, hæc mihi ô Rex
Sí quidem fausta sunt, fac ut rata eveniant:
Sin autem adversa, ad inimicos meos illa transmitte,
Et. ne me his opibus, si qui forte
Insidias struunt, dejici patiaris,
Sed præsta, ut sic semper incolumis
Domum Atridarum, & hæc regna administrem,
Et fruar consuetudine amicorum, cum quibus nunc cō-
Placidosq;dies ut agam,cum liberis qui erga me (versor
Non malevolentia, aut odio acerbo affecti sunt.
Hæc ô Apollo Lycene clementer audi,
Da omnibus nobis ut precamur.
Cætera vero omnia etiam me tacente
Existimo, te, cum deus sis, intelligere.
Nam qui ex Jove prognati sunt, eos consentaneum est
Pæd. O mulieres hospites,quis mihi certū dicet (omnia vid.
Utrum hæc domus regia Ægisthi sit?
Cho. Est ita ut dicis, recte conjectasti.
Pæd. Num & hæc regia conjux, ut conjicio,
Illius? nam ipso aspectu regium quiddam præ se fert.
Cho. Maximè, hæc ipsa adest tibi.
Pæd. Salve, ô Regina, tibi affero nuncium
Jucundum ab amico, & Ægistho simul.
Cly. Amplector hoc dictum. Scire vero ex te
Hoc primum cupio, quis nam huc te miserit.
Pæd. Phanoteus Phocensis, rem magnam tibi denuncians.
Cly. Quid nam hospes? nam cum avito amico
Venias, haud dubiè aliquid boni affers.
Pæd. Mortuus est Orestes, rem paucis absolvam.
Ele. Heu me miseram, nunc primum perii.
Cly. Quid ais, quid ais, hospes? ne istam audias.
Pæd. Mortuum inquam esse Oresten,ut prius ita & nunc de-
Ele. Occidi misera, nulla sum amplius. (nuncio.
Cly Tu rem tuam age: mihi vero hospes
Dic verum, quo pacto interiit?
Pæd. Et ad hoc missus sum, & rem totam exponam.
Profectus ille est ad celebrem Græciæ
Certaminis occasionem, nempe ad ludos Delphicos,
Cumque audisset præconis voce
Cursum proclamari, cujus prima erat denunciatio,
Progress.est splendid.cū magna omniū qui aderāt admi.
Cum præstantia naturæ certamini par esse videretur,
Prodiit inquam ferens magnificum victoriæ præmium.
Atque ut ex multis pauca tibi dicam,

Nam

δισσῶν ὀνείρων, ταῦτά μοι, λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεσφόρα·
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς·
ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,
δόμους ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν οἷς ξύνειμι νῦν,
εὐημεροῦσαν, καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν, ἢ λύπη πικρά.
ταῦτ' ὦ λύκει' ἄπολλον ἵλεως κλύων,
δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα·
τὰ δ' ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ,
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι·
τοὺς ἐκ διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.

Παι. Ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς
εἰ τοῦ τυράννου δώματ' αἰγίσθου τάδε;

Χο. Τάδ' ἐστὶν, ὦ ξέν', αὐτὸς εἴκασας καλῶς.

Παι. Ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.

Χο. Μάλιστα πάντων ἥδε σοι κείνη πάρα.

Παι. Ὦ χαῖρ' ἄνασσα· σοὶ φέρων ἥκω λόγους
ἡδεῖς φίλου παρ' ἀνδρὸς, αἰγίσθῳ θ' ὁμοῦ.

Κλ. Ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου
πρώτιστα χρῄζω τίς σ' ἀπέστειλε βροτῶν.

Παι. Φανοτεὺς ὁ φωκεὺς, πρᾶγμα πορσύνων μέγα.

Κλ. Τὸ ποῖον, ὦ ξέν', εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.

Παι. Τέθνηκ' ὀρέστης· ἐν βραχεῖ ξυνθεὶς λέγω.

Ηλ. Οἴ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.

Κλ. Τί φῄς, τί φῄς, ὦ ξεῖνε· μὴ ταύτης κλύε.

Παι. Θανόντ' ὀρέστην νῦν τε καὶ τότ' ἐννέπω.

Ηλ. Ἀπωλόμην δύστηνος, οὐδέν εἰμ' ἔτι.

Κλ. Σὺ μὲν τὰ σαυτῆς πρᾶσσ', ἐμοὶ δὲ σὺ ξένε
τἀληθὲς εἰπὲ, τῷ τρόπῳ διόλλυται.

Παι. Κἀπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω.
κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν ἑλλάδος
πρόσχημ' ἀγῶνος, δελφικῶν ἄθλων χάριν·
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας·
δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα,
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,

Nam ejus facta ac virtus mihi nota non erant,
Sed quorumcunque præfecti ludorum constituerunt
Cursuum spatiosorum certamina, ut mos est,
Horum omnium præmia victoriæ referens
Suspiciebatur, & Argivum ipsum vocabant
Nomine Oresten, ac filium Agamemnonis,
Qui celebrem illum exercitum collegisset olim,
Et hæc ita se habebant. Quando vero Deus
Affligit aliquem, tunc ne fortes quidem effugere possũt
Nam ille altero die, cum equestre
Certamen erat, Sole jam primum orto,
Progressus est, una cum multis aliis curruum ductoribus
Ex quibus Argivus unus erat. Spartanus unus, duo
Libyci curruum compactorum aurigæ,
Et ipse inter eos Thessalicos equos
Ducens quintus erat : sextus vero Ætolus
Flavos equos habebat, septimus ex Magnesia,
Octavus Leucippus Æniensis genere,
Nonus ab Athenis divinitus conditis advenerat,
Bœotius quidam decimum ducebat currum :
Hi stantes, cum ordinati ludorum perfecti
Sorte loca curribus assignarent,
Ad æreæ tubæ cantum prosiluerunt, atque simul
Equos hortantur, & lora manibus
Quatiunt, totumque curriculum impletur
Fremitu à currib. perstrepentibus, & pulvis in altum
Glomeratur, simulque omnes inter se mixti
Non parcebant stimulis, ut aliquis ex ipsis
Alterius rotas & equorum flatus superare posset.
Nam circa terga & rotarum orbitas
Spumabant, irruebant equini flatus.
Orestes autem versus extremam columnam
Flectebat semper modiolum rotæ. Dextro vero laxans
Equo Siræo frenum, attrahebat lora alteri proximo:
Et tamdiu quidem currus omnes erecti stabant,
Donec viri Æniensis equi indomiti
Vi abripiunt se, & ex adverso
Conficientes jam sextum septimumque curriculum
Frontibus concurrunt cum Libycis curribus.
Ex hoc malo deinde alius in alium
Impingere ac irruere cœpit: totus vero implebatur
Crissæus campus equestribus naufragiis.
Quod animadvertens Atticus acer auriga

οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη·
ἓν δ' ἴσθ'· ὅσον γὰρ εἰσεκήρυξαν βραβεῖς
δρόμων διαύλων πεντάθλ' ἃ νομίζεται,
τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' ὀρέστης, τοῦ τὸ κλεινὸν ἑλλάδος
ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας ὅθ' ἱππικῶν
ἦν ἡλίου τέλλοντες, ὠκύπους ἀγών,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα·
εἷς ἦν ἀχαιός, εἷς ἀπὸ σπάρτης, δύο
λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται.
κἀκεῖνος ἐν τούτοισι, θεσσαλὰς ἔχων
ἵππους ὁ πέμπτος· ἕκτος, ἐξ αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος, μάγνης ἀνήρ.
ὁ δ' ὄγδοος, λεύκιππος αἰνιὰν γένος.
ἔνατος, ἀθηνῶν τῶν θεοδμήτων ἄπο.
βοιωτὸς ἄλλος δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ' ὅτ' αὐτοὺς οἱ τεταγμένοι βραβεῖς
κλήροις ἔπηλαν, καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ᾖξαν. οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι,
φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων,
ἔχριμπτ' ἀεὶ σύριγγα· δεξιόν τ' ἀνεὶς
σειραῖον ἵππον, εἶργε τὸν προσκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι.
ἔπειτα δ' αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
μέτωπα συμπαίουσι βαρκαίοις ὄχοις·
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ
ἔθραυε, κἀνέπιπτε· πᾶν δ' ἐπίμπλατο
ναυαγίων κρισαῖον ἱππικῶν πέδον.
γνοὺς δ' οὑξ ἀθηνῶν δεινὸς ἡνιοστρόφος,
ἔξω παρασπᾷ, κἀνακωχεύει, παρεὶς

Extra declinat, fræna inhibens, finitque prætervehi
Procellam equestrem, confusam in medio.
Orestes vero postremus erat, ultimoque loco
Tenebat equos, in fine se victurum sperans,
Qui cum videret Atticum solum relictum,
Strepitu flagrorum insonuit circa aures velocium
Equorum, illumque persequitur, & ambo æquatis jugis
Ferebantur, nunc hic, nunc iste
Frontibus equorum præcurrens.
Et reliquum quidem totum cursum tuto
Confecerat infœlix Orestes, stans erecto in curru,
Donec tandem, dum laxat sinistrum lorum,
Equo flectente se, imprudens in extremam columnam
Impingit, & affligit medios rotarum modiolos,
Ita curru delapsus humi volvitur
Una cum sectilibus loris illo vero in terram dejecto,
Equi medio in cursu dissipati sunt.
Et multitudo, ut adolescentem prolapsum vidit
Ex curru, deplorare ipsum cœpit,
Quod tantis rebus effectis ita infeliciter concidisset.
Ipse vero raptatus per terram, interdum ad cœlum
Crura extendebat, donec ipsum cæteri aurigæ
Ægre cohibito equorum cursu,
Solverunt cruentatum, ut à nemine
Amicorum amplius miserum corpus agnosci posset,
Quem statim rogo impositum combusserunt, atq; in parv.
Urna de magno corpore cinerem colligentes,
Attulerunt viri Phocenses ad id ordinati,
Ut in patria sepeliatur.
Talia hæc sunt, quæ affero, relatu quidem
Tristia, nobis vero qui vidimus
Visa atrocissima mala ex omnibus, quæ unquã vidimus

Cho. Ut veterum dominorum à radice penitus interiit genus.

Cly. O Jupiter! Quid hæc? utrum bona dicam
An mala? Utilia quidem sunt, attamen hoc triste est,
Quod per mala mea vitam servo.

Pæd. Quid ita animo angeris ex isto sermone?

Cly. Miserum est liberos parere: neque enim gravi injuria
Læsi, eos quos peperimus odisse possumus,

Pæd. Frustra igitur, ut videtur, huc venimus.

Cly. Minime frustra, quomodo enim frustra dixeris.
Quando mihi de mortuo certa afferens judicia
Ades. Qui ex me prognatus,
Ab uberibus meis, & educatione mea descivit,

Atque

κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μὲν, ὑστέρας δ' ἔχων
πώλους ὀρέστης, τῷ τέλει πίστιν φέρων.
ὁ δ' ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον.
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις, διώκει· κἀξισώσαντες ζυγὰ
ἠλαυνέτην· τότ' ἄλλος, ἄλλοθ' ἅτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
ἔπειτα, λύων ἡνίαν ἀριστερὰν,
κάμπτοντος ἵππου, λανθάνει στήλην ἄκραν
παίσας, ἔθραυσε δ' ἄξονος μέσας χνόας
κἀξ ἀντύγων ὤλισθε· σὺν δ' ἑλίσσεται
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ,
πῶλοι διεσπάρησαν εἰς μέσον δρόμον.
στρατὸς δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
οἷ' ἔργα δράσας, οἷα λαγχάνει κακὰ,
φορούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων· ἕς τέ νιν διφρηλάται,
μόλις καταχεθόντες ἱππικὸν δρόμον,
ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κήαντες εὐθὺς, ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
τοιαῦτά σοι ταῦτ' ἐστὶν, ὡς μὲν ἐν λόγοις,
ἀλγεινὰ, τοῖς δ' ἰδοῦσιν οἵπερ εἴδομεν,
μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν.--
Χο. Φεῦ φεῦ, τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
προῤῥιζον, ὡς ἔοικεν, ἔφθαρται γένος.
Κλ. Ὦ ζεῦ, τί ταῦτα, πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει
εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.
Παι. Τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;
Κλ. Δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὧν τέκῃ προσγίνεται.
Παι. Μάτην ἄρ' ἡμεῖς ὡς ἔοικεν ἥκομεν.--
Κλ. Οὔτοι μάτην γε· πῶς γὰρ ἂν μάτην λέγοις;
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες, ὅς τις τῆς ἐμῆς ψυχῆς γεγὼς,
μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς, φυγὰς

Atque exul inter peregrinos vitam egit, Neq; postquam
Abiit, me vidit unquam: accusans vero me (ex hac ter.
Propter necem patris, atrocia mihi comminatus est.
Ut neque de nocte, nec interdiu
Suaviter dormire possem, sed tempus imminens
Me semper quasi media in morte jactatā cruciabat.
Hæc vero dies me liberavit periculo,
Ne hanc vel illum amplius metuā: nam hæc major cala.
Cohabitat mihi, meum semper exhauriens
Sanguinem: posthac vero, ut opinor, secure
Quod ad hujus minas attinet, vitam transigemus.
Ele. Væ mihi miseræ, nunc deploranda est
Tua Oreste calamitas, siquidē cum ita misere interieris
Insuper etiā probris à matre afficeris: num sic bene agit.
Non quidē, quod ad te attinet, sed cum illo bene actū est.
Cly. Audi divina ultio eum qui jam recens interiit.
Ele. Audivit: eos quos oportuit, & decrevit recte.
Cly. Esto sane contumeliosa, nunc enim fælix es,
Ele. At nunquid Orestes, & tu ista sedabitis?
Cly. Sedati sumus, non te sedabimus
Ele. Vel ob hanc causam ô hospes ingentia meritus es
Cly. Præmia quod hujus petulantem linguam compescuisti.
Pæd. Abibo igitur, quando ista bene se habent,
Minime, neque enim hoc me dignum esset,
Neque hospite illo, qui huc te misit.
Sed ingredere intro, hanc vero foris deplorare
Suas & amicorum suorum miserias sine.
Ele. An vos istam dolore aut cura affici
Aut omnino lugere existimatis,
Quod filius ipsi ita miserabiliter periit? (miseram,
Sed in his malis adhuc perditissima mulier ridet: Heu me
O charissime frater, quam tuo interitu me perdidisti.
Nam moriens simul abstulisti tecum
Quæ mihi sola spes erat reliqua.
Te enim necis paternæ aliquando vindicem
Et meum adventurum sperabā, nunc vero quo me ver-
Sola enim ac deserta sum te fratre amisso. (tam?
Et patre. Nunc me rursum servire oportet
Hominibus inimicissimis,
Interfectoribus patris mei: an bene mecum agitur?
Sed neque ego in posterum illis
Cohabitare potero, sed in his ipsis foribus,
Abjiciens me deserta ab amicis, ita luctu contabescam;
Hoc si cui eorum qui intus sunt displicebit, occidat me:

Magnum

ἀπεξενοῦτο· καί μ', ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκέτ' εἶδεν· ἐγκαλῶν δέ μοι
φόνους πατρῴους, δεῖν' ἐπηπείλει τελεῖν.
ὥστ' οὔτε νυκτὸς ὕπνον οὔτ' ἐξ ἡμέρας
ἐμὲ στεγάζει ἡδύν· ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ' ἡμέρᾳ γὰρ τῇδ' ἀπήλλαγμαι φόβου
πρὸς τῆσδ' ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' αἰεὶ
ψυχῆς ἄκρατον αἷμα· νῦν δ' ἕκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν--

Ηλ. Οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα
Ὀρέστα τὴν σὴν ξυμφοράν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζῃ μητρός· ἆρ' ἔχει καλῶς;

Κλ. Οὔτοι σύ, κεῖνος δ' ὡς ἔχει, καλῶς ἔχει.

Ηλ. Ἄκουε νέμεσις τοῦ θανόντος ἀρτίως.

Κλ. Ἤκουσεν ὧν δεῖ κἀπεκύρωσεν καλῶς.

Ηλ. Ὕβριζε· νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.

Κλ. Οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε;

Ηλ. Πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
πολλῶν ἂν ἥκοις ὦ ξέν' ἄξιος τυχεῖν,
εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.

Παι. Οὔκουν ἀποστείχοιμ' ἂν εἰ τάδ' εὖ κυρεῖ;

Κλ. Ἥκιστ'· ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πράξειας, οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων κακά--

Ηλ. Ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη.
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα,
ἀλλ' ἐγγελῶσα, φροῦδος· ὦ τάλαιν' ἐγώ,
Ὀρέστα φίλταθ' ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε,
κἀμοῦ ταλαίνης· νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη
καὶ πατρὸς ἤδη, δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ
φονεῦσι πατρός· ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μήν, ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος ἔσομ'· ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτήν, ἄφιλος αὐανῶ βίον·
πρὸς ταῦτα, καινέτω τις εἰ βαρύνεται

Magnum enim beneficium erit, si quis interficiet,
Pœna vero si vivam: jam nullo vivendi desyd. teneor.

ANTISTROPHICA strophe 1.

Cho. Ubi tandem fulmina Jovis sunt? aut ubi lucens
Sol est? An dii ista videntes
Quieti dissimulare possunt?
Ele. Heu heu.
Cho. Filia quid ploras?
Ele. Hei mihi,
Cho. Ne quid gravius dicas.
Ele. Enecas me.
Cho. Quomodo?
Ele. Si de illis qui certo
Mortui sunt,
Spem aliquam propones mihi,
Quæ dolore conficior,
Magis molesta eris.

ANTISTROPHE 1.

Scio regem Amphiaraum
Propter aureum
Monile, cum esset occultatus, proditum esse
Dolo mulierum,
Ele. Qui nunc etiam apud inferos,
Cho. Hei mihi, eheu.
Ele. Perpetuo vivens regnat.
Cho. Heu.
Ele. Sic sane, sunt enim hæc exitialia.
Cho. Deditne pœnas?
Ele. Sane dedit.
Scio, scio: apparuit enim
Qui curaret
Defunctum: at mihi nemo est,
Nam qui erat,
Interiit, prærreptus est.

STROPHE 2.

Cho. Infælix quas miserias sustines.
Ele. Id equidem scio, ac nimium experta sum,
Accumulatis, perpetuis, multis

τῶν ἔνδον ὄντων· ὡς χάρις μὲν, ἢν κτάνῃ·
λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ α'.

Χο. 1 Ποῦ ποτε κεραυνοὶ Διὸς, ἢ
2 ποῦ φαέθων ἅλιος.
3 εἰ ταῦτ' ἐφορῶντες
4 κρύπτουσιν ἕκηλοι;
Ηλ. 5 Ἓ ἕ, αἶ αἶ.
Χο. 6 Ὦ παῖ, τί δακρύεις;
Ηλ. 7 Φεῦ.
Χο. 8 Μηδὲν μέγ' ἀΰσῃς.
Ηλ. 9 Ἀπολεῖς με.
Χο. 10 Πῶς;
Ηλ. 11 Εἰ τῶν φανερῶς οἰ---
12 χομένων εἰς ἀΐδαν
13 ἐλπίδ' ὑποίσεις, κατ' ἐμοῦ
14 τακομένας
15 μᾶλλον ἐπεμβάσῃ.--

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Χο. 1 Οἶδα γὰρ ἄνακτ' ἀμφιάρεων
2 χρυσοδέτοις ἕρκεσι
3 κρυφθέντ' ἀπάταισι·
4 καὶ νῦν ὑπὸ γαίας]
(Ηλ. 5 Ἓ ἕ, ἰώ.)
Χο. 6 Πάμψυχος ἀνάσσει.
Ηλ. 7 Φεῦ·
Χο. 8 Φεῦ δῆτ'· ὀλοὰ γάρ.
Ηλ. 9 Ἐδάμη γάρ.
Χο. 10 Ναί.
Ηλ. 11 Οἶδ', οἶδ'· ἐφάνη γὰρ
12 μαλέτωρ ἀμφὶ τὸν ἐν
13 πένθει· ἐμοὶ δ' οὔτις ἔτ' ἔ-
14 σθ'· ὃς γὰρ ἔτ' ἦν,
15 φροῦδος ἀναρπασθείς.--

ΣΤΡΟΦΗ β.

Χο. 1 Δειλαία δειλαίων κυρεῖς.
Ηλ. 2 Κἀγὼ τοῦδ' ἴστωρ, ὑπερίστωρ,
3 πανσύρτῳ παμμήνῳ πολλῶν

Atrocibus, & tristissimis malis.
Ch. Scio quid deplores,
Ele. Ne igitur, ne amplius
Me consoleris, ubi non
Quid ais, quid dixisti ?
Adest spes, ab illis, qui iisdem ex parentibus
Optime nati sunt, auxiliatrix.

ANTISTROPHE 2.

Ch. Omnibus hominibus naturaliter mors est destinata.
Ele. An & hoc omnibus destinatum est, ut in incitatis cer-
Quemadmodum ille miser, (taminibus
Sectilibus loris discerpantur ?
Cho. Inopinatum malum.
Ele. Quid ni ? quando ipse in terra peregrina
Absque officio manuum mearum
Cho. Papæ.
Ele. Occubuit, neque sepulchro,
Nec luctu à nobis potitus.

IAMBI.

Chr. Præ lætitia, ô charissima, impellor
Ut præter decorum festinanter curram.
Affero enim voluptatem, & liberationem à malis,
Quæ hactenus sustinere ac deplorare solebas.
Ele. Quo pacto tu invenias mearum calamitatum
Remedium, quibus ut medendum sit non video ?
Chr. Adest nobis Orestes, hoc tam certum (spicis.
Esse credas, cum ex me audis, quam qui nunc me a-
Ele. An tu misera insanis, & in his
Tuis meisque malis adhuc rides ?
Chr. Non per patrios lares : contumeliæ causa
Ista dico, sed dico illum præsto adesse nobis.
Ele. Me miseram, cujus nam sermone
Audito ita facilè credidisti ?
Chr. Non ab alio audivi,
Sed ipsa hanc conjecturam feci, (do.
Cum certa signa perspexerá id circo hæc vero esse cre-
Ele. Quo misera conspecto argumento ? quid nam
Vidisti, unde tanta spe incaluisti ?
Chr. Audi per deos, ut re cognita
Deinde vel sapere me, vel desipere dicas.

Dic

δεινῶν ξυγνῶντ' ἀχαιῶν
Χο. Εἴδομεν ἃ θροεῖς
Ηλ. Μή με νῦν μηκέτι
παραγάγῃς ἵν' οὐ.
Τί φῇς;
Χο. Πάρεισιν ἐλπίδων
Ηλ. ἔτι κοινοτόκων
εὐπατρίδαν τ' ἀρωγοί.--

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Χο. Πᾶσι θνατοῖς ἔφυ μόρος.
Ηλ. Ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις
οὕτως ὡς κείνῳ δυστάνῳ
τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
Χο. Ἄσκοπος ἁ λώβα.
Ηλ. Πῶς γὰρ οὐκ, εἰ ξένος,
ἄτερ ἐμαῖν χεροῖν;
Χο. Παπαί. Ηλ. Κέκευθεν οὔτε τοῦ
τάφου ἀντιάσας,
οὔτε γόων παρ' ἡμῶν.--

ΙΑΜΒΟΙ.

Χρ. Ὑφ' ἡδονῆς τοι φιλτάτη διώκομαι,
τὸ κόσμιον μεθεῖσα σὺν τάχει μολεῖν.
φέρω γὰρ ἡδονάς τε, κἀνάπαυλαν ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.
Ηλ. Πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
Χρ. Πάρεστ' Ὀρέστης ἡμῖν· ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ' ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
Ηλ. Ἀλλ' ἦ μέμηνας ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
Χρ. Μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.
Ηλ. Οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ', ὧδε πιστεύεις ἄγαν;
Χρ. Ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου σαφῆ
σημεῖ' ἰδοῦσα τῷδε πιστεύω λόγῳ.
Ηλ. Τίν' ὦ τάλαιν' ἰδοῦσα πίστιν, ἐς τί μοι
βλέψασα, θάλπῃ τῷδ' ἀνηκέστῳ πυρί;
Χρ. Πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου,
τὸ λοιπὸν ἢ φρονοῦσαν ἢ μώραν λέγῃς.

Ele. Dic igitur, siquidem tibi voluptati est, hoc narrare.
Chr. Atqui dicam rem omnem, quantum scio.
Nam ubi ad vetus patris sepulchrum veni,
Video ex summo tumulo recentes
Fontes lactis, & ornatum undique
Bustum patris omni florum genere.
Quod cum video, admirans circumspecto,
Ne quis forte homo interveniat.
Ut veró omnia tuta esse video:
Ad tumulum accedo propius, cum in extrema conspicor
Pyra recens præsectum capillum:
Et statim ut misera vidi, occurrit mihi
Consueta animo meo charissimi fratris imago.
Dum hoc indicium aspicio,
Et manibus tollens non male ominabar?
Præ gaudio vero lachrymis oculos implebam,
Et ut tunc, ita adhuc, pro certo hoc habeo,
A nullo alio quam ab Oreste hoc ornamentum venire.
A quo enim convenit hæc offerri præterquam à te, vel
Et ego quidem non feci, hoc certo scio, (à me.
Neque tu: nam qui potuisses, cui ad delubra deorum
Non sine plagis licet abire ab hac domo?
Sed neque mater eo animo est,
Ut talia faciat, neque id celare potuisset.
Orestis itaque hæc sunt ornamenta.
Quare ô chara soror bono animo sis: non iisdem enim
Semper idem adest Deus.
Qui nobis antehac adversus fuit: hæc autem forsan
Dies certum auspicium erit multorum bonorum.
Ele. O stultitiam! quam me jam pridem miseret tui.
Cry. Quid est? an quæ dico non grata sunt tibi?
Ele. Neque ubi sis, neque quod cogites scis.
Chr. Quid? non sciam ea quæ palam vidi?
Ele. Interiit ille, atque hæc spes salutis
Periit, non est enim ut expectes.
Chr. Me miseram, ex quo id audisti homine?
Ele. Ex eo qui prope adfuit tunc, quando ille interiit,
Chr. Ubi nam is est? admiratio quædam me subit.
Ele. Domi est, jucundus & non molestus matri.
Chr. Heu me miseram, à quo igitur homine
Inferiæ illæ ad sepulchrum patris allatæ sunt?
Ele. Existimo aliquem demortui Orestis
Hæc monumenta apposuisse.
Chr. O me infælicem, quam ego cum gaudio

Hunc

Ηλ. Σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
Χρ. Καὶ δὴ λέγω σοι πᾶν ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος, καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ
μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεωρῆ βόστρυχον τετμημένον·
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ σύνηθες ὄμμα, φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·
καὶ χερσὶ βαστάσασα, δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων·
καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι,
μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν.
τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;
κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,
οὐδ' αὖ σύ· πῶς γάρ, ᾗ γε μηδὲ πρὸς θεοὺς
ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης;
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν, οὔτε δρῶσ' ἐλάνθανεν·
ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια·
ἀλλ' ὦ φίλη θάρσυνε· τοῖς αὐτοῖσί τοι
οὐχ αὑτὸς αἰεὶ δαιμόνων παραστατεῖ.
νῷν δ' ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
Ηλ. Φεῦ τῆς ἀνοίας ὥς σ' ἐποικτείρω πάλαι.
Χρ. Τί δ' ἐστὶν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;
Ηλ. Οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρῃ.
Χρ. Πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς;
Ηλ. Τέθνηκεν ὦ τάλαινα· τἀκείνου δέ σοι
σωτήρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.
Χρ. Οἴμοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;
Ηλ. Τοῦ πλησίον παρόντος ἡνίκ' ὤλλυτο.
Χρ. Καὶ ποῦ 'στιν οὗτος, θαῦμά τοι μ' ὑπέρχεται.
Ηλ. Κατ' οἶκον, ἡδὺς, οὐδὲ μητρὶ δυσχερής.
Χρ. Οἴμοι τάλαινα· τοῦ γὰρ ἀνθρώπων πότ' ἦν
τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
Ηλ. Οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινα.
Χρ. Ὦ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους

τοιούσδ'

Hunc nuncium afferens festinabam, nescia
Quibus in malis versaremur: sed nunc ubi veni,
Et illa priora & alia nova invenio mala.
Ele, Hæc quidem sic se habent; sed si auscultabis mihi,
Præsentium miseriarum onere nos levabis,
Chr, An mortuos ego resuscitabo?
Ele. Non hoc est quod postulo, neq; enim ita demens sum,
Chr. Quid igitur petis quod ego præstare possim?
Ele. Ut quæ jubebo, audacter exequaris,
Chr. Atqui si quid erit utile, non recusabo.
Ele. Vide, absque labore nihil fæliciter geritur.
Chr. Video, conferam quidquid potero.
Ele. Audi igitur, quo pacto rem gerere decreverim.
Auxilio amicorum, & tu nosti,
Quemadmodum destitutæ simus: mors enim
Eos abripuit, solæque relictæ sumus,
Ego vero donec fratrem vivere adhuc
Audiebam spem habui,
Fore, ut ille aliquando ultor paternæ necis veniret.
Nunc autem, postquam ille non amplius superstes est, ad
Ut eum qui manu sua patrem occidit, (te respicio
Mecum una non dubites interficere:
Ægisthum dico, nihil enim attinet ut te celem amplius
Quid enim expectas ignava aut quam spem
Respectas firmam? Cui nihil restat nisi lugere,
Dejectæ paternis opibus,
Cuique hoc reliquum est, ut in mœrore longo tempore
Innupta consenescas, expers nuptiarum,
Quas quidem nunquam consequeris.
Non enim ita stolidus est
Ægisthus, ut tuum unquam aut meum genus
Sinat pullulare, unde illi certum exitium immineat.
Atqui si meum consilium secuta fueris,
Primum pietatem erga patrem mortuum
Conservabis, & erga fratrem simul.
Deinde, quemadmodum libera nata es, ita
Libera in posterum vocaberis, & cum te digno marito
Nupta eris: Quilibet enim honestatem spectare solet.
Famæ vero non vides quantam celebritatem
Tibi & mihi si auscultes, confectura sis?
Quis enim civium aut peregrinorũ non aspiciens,
Non tali cum laude excipiet?
Videtis ne amici has duas sorores,
Quæ patriam domum servarunt:

Quæ

τοιαῦτ᾽ ἔχουσ᾽ ἔσπευδον, οὐκ εἰδυῖ᾽ ἄρα
ἵν᾽ ἦμεν ἄτης· ἀλλὰ νῦν ὅθ᾽ ἱκόμην,
τά τ᾽ ὄντα πρόσθεν ἄλλα θ᾽ εὑρίσκω κακά.

Ηλ. Οὕτως ἔχει σοι ταῦτ᾽· ἐὰν δέ μοι πίθῃ,
τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.

Χρ. Ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;

Ηλ. Οὐκ ἔσθ᾽ ὅ γ᾽ εἶπον· οὐ γὰρ ὧδ᾽ ἄφρων ἔφυν.

Χρ. Τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος;

Ηλ. Τλῆναί σε δρῶσαν ἂν σ᾽ ἐγὼ παραινέσω.

Χρ. Ἀλλ᾽ εἴ τις ὠφέλειά γ᾽, οὐκ ἀπώσομαι.

Ηλ. Ὅρα· πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.

Χρ. Ὁρῶ· ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένω.

Ηλ. Ἄκουε δή νυν ἣ βεβούλευμαι τελεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων,
ὡς οὔ τις ἡμῖν ἐστιν, ἀλλ᾽ ᾅδης λαβὼν
ἀπεστέρηκε, καὶ μόνα λελείμμεθον.
ἐγὼ δ᾽ ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντά τ᾽ εἰσήκουον, εἶχον ἐλπίδας
φόνου ποτ᾽ αὐτὸν πράκτορ᾽ ἵξεσθαι πατρός·
νῦν δ᾽ ἡνίκ᾽ οὐκέτ᾽ ἐστιν, εἰς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
ξὺν τῇδ᾽ ἀδελφῇ μὴ κατοκνήσῃς κτανεῖν
Αἴγισθον· οὐδὲν γάρ σε δεῖ κρύπτειν μ᾽ ἔτι.
ποῖ γὰρ μενεῖς ῥᾴθυμος; εἰς τίν᾽ ἐλπίδων
βλέψασ᾽ ἔτ᾽ ὀρθήν; ἢ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,
πάρεστι δ᾽ ἀλγεῖν, ἐς τοσόνδε τοῦ χρόνου
ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.
καὶ τῶνδε μέντοι μηκέτ᾽ ἐλπίσῃς ὅπως
τεύξῃ ποτ᾽· οὐ γὰρ ὧδ᾽ ἄβουλός ἐστ᾽ ἀνὴρ
Αἴγισθος, ὥστε σόν ποτ᾽ ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὑτῷ σαφῆ.
ἀλλ᾽ ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσῃ, τοῦ κασιγνήτου θ᾽ ἅμα·
ἔπειτα δ᾽ ὥσπερ ἐξέφυς, ἐλευθέρα
καλῇ τὸ λοιπόν, καὶ γάμων ἐπαξίων
τεύξῃ· φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγῳ γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ᾽ ἐμοί;
τίς γάρ ποτ᾽ ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν
τοιοῖσδ᾽ ἐπαίνοις οὐχὶ δεξιώσεται;
ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,
ὣ τὸν πατρῷον οἶκον ἐξεσωσάτην·

Quæ inimicos successu fortunæ elatos
Spreto vitæ periculo oppresserunt:
Hæ dignæ sunt amore, hæ dignæ, quæ ab omnibus colantur:
Has in diebus festis, & populi conventu,
Propter virtutem omni honore affici convenit.
Talia de nobis quilibet homo dicet,
Dõec vivemus: morientiũ verò decus nunquã interibit.
Quapropt. amãtissima soror, auscul. mihi opitular. patri,
Suscipe laborem fratris causa, libera me ex his malis,
Libera & te ipsam, hoc expendens,
Quam turpe sit, eos qui bene nati sunt, turpiter vivere.

Cho. In talibus rebus prudentia
Et dicenti & audienti multum prodest.

Chr. O mulieres, priusquam hæc loqui inciperet,
Si mentis compos esset, conservasset
Providentiam, sicut eam non servare videtis,
Nam quo tandem respiciens tanta audacia
Et ipsa armas te, & me opitulari jubes?
Nec tibi in mentẽ venit, quòd mulier, & non vir nata es,
Et multo minus quàm inimici viribus vales.
Fortuna autem illis indies magis magisque aspirat,
Nosque destituit ac penitus deserit.
Quis enim talem virum opprimere volens,
Non cum ingenti malo inde discedat?
Vide, ne nobis jam ante afflictis majora mala
Accersamus, si quis forte istos excipiat sermones:
Nam hoc nos nihil relevat neque juvat,
Si cum bona fama fœde moriamur.
Non enim mori tristissimum est, sed quod cum quis
Mori cupit, id ne quidem consequi potest.
Proinde te obsecro, ut priusquam omni genere cruciatuum
Funditus pereamus, & genus nostrum totum vastetur,
Iram tuam cohibeas, & quæ dicta jam sunt,
Secreta ego tibi atque irrita servabo.
Ipsa verò ad te redi, & tandem aliquando disce.
Imbecillitatem tuam agnoscere ac potentioribus cedere

Cho. Obtempera. Prudentia enim, & mente sana
Nihil hominibus utilius est.

Ele. Inexpectatum nihil dixisti Nam probe
Noram, te repudiaturum esse mea consilia.
Sed his manibus solique mihi aggrediendum est
Hoc facinus, nequaquam enim irritum relinquemus.

Chr. Heu, utinam tali ani nõ prædita fuisses,
Tunc cum pater interficeretur, rem omnẽ confecisses.

Atqui

ὣ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ
ψυχῆς ἀφειδήσαντε, προὐστήτην φόνου.
τούτω φιλεῖν χρὴ, τώδε χρὴ πάντας σέβειν.
τώδ' ἔν θ' ἑορταῖς ἔν τε πανδήμῳ πόλει
τιμᾶν ἅπαντας οὕνεκ' ἀνδρείας χρεών.
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ' ὦ φίλη πείσθητι, συμπόνει πατρί.
σύγκαμν' ἀδελφῷ· παῦσον ἐκ κακῶν ἐμέ.
παῦσον δὲ σαυτὴν, τοῦτο γινώσκουσ', ὅτι
ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.

Χο. Ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμήθεια
καὶ τῷ λέγοντι καὶ κλύοντι σύμμαχος.

Χρ. Καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσώζετ' ἂν
τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σώζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα, τοιοῦτον θράσος
αὐτή θ' ὁπλίζῃ, κἄμ' ὑπηρετεῖν καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ μὲν, οὐδ' ἀνὴρ ἔφυς.
σθένεις δ' ἔλαττον τῶν ἐναντίων χερίν.
δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀπορρεῖ, κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν,
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
ὅρα, κακῶς πράσσοντε, μὴ μείζω κακὰ
κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει γὰρ ἡμᾶς οὐδὲν, οὐδ' ἐπωφελεῖ,
βάξιν καλὴν λαβόντε, δυσκλεῶς θανεῖν.
οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις, εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι, κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν· καὶ τὰ μὲν λελεγμένα
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι·
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτὲ,
σθένουσα μηδὲν, τοῖς κρατοῦσιν εἰκαθεῖν.

Χο. Πείθου· προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.

Ηλ. Ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς
δ' ᾔδειν σ' ἀπορρίψουσαν ἁπηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.

Χρ. Φεῦ, εἴθ' ὤφελες τοιάδε τὴν γνώμην πατρὸς
θνήσκοντος ἦν· πάντα γὰρ κατειργάσω.

Ele. Atqui erã quidẽ natura talis, animo autẽ tũc fortasse im- (becilliore.
Chr. Da operã ut isto animo perpetuo prædita sis.
Ele. Bene mones, sed nihil me juvas.
Chr. Decet res magnas suscipientem etiã periculũ sustinere.
Ele. Amo sententiam tuam, timiditatem vero odi.
Chr. Patienter audiam etiam cum aliquando me laudabis.
Ele. Atqui ex me quidem id nunquam consequeris.
Chr. Reliquum est tempus longum, quod hoc judicabit.
Ele. Abi hinc: in te enim nihil est auxilii.
Chr. Inest, tibi verò non est animus, qui auscultare ac discere (velit.
Ele. Vade & matri tuæ hæc omnia narrato,
Chr. Nondum ita atroci odio erga te incensa sum
Ele. Sed vide ad quam infamiam me adducas.
Chr. Nõ ad infamiã, sed ad providentiam, ut tibi ipsi caveas.
Ele. Quod igitur tibi justum videbitur, id me sequi oportet?
Chr. Quando tu aliquãdo sapies, tunc & tu dux noster eris.
Ele. Quam odiosum est pulchre dicentem ita deerrare.
Chr. Recte loqueris de eo malo, quo tu affecta es.
Ele. Quid igitur? an non hæc juste videor dicere?
Chr. Verum, sed aliquando justitia damnum affert.
Ele. Juxta has leges ego non volo vivere.
Chr. Verùm si feceris ista, laudabis me.
Ele. Atqui faciam equidem, nihil verita te.
Chr. An hoc tibi decretum est, neque mutabis consilium?
Ele. Consilio enim malo nihil est nocentius,
Chr. Nihil eorum, quæ ego dico, intelligere videris.
Ele. Hæc jam olim, non nuper, decreta sunt mihi
Chr. Abeo igitur, neque enim tu meos sermones
Probare potes, neque ego tuos mores.
Ele. Abi intro: non enim tecum communicabo amplius,
Ne si quidem valde cupias. Est enim
Magna stultitia venari inania.
Chr. Tu quæ videris tibi sapere
Sapias, cùm verò malis oppressa eris,
Tunc meum laudabis consilium.

ANTISTROPHICA. Strophe 1.

Cho. Quid est, quod sapientissimas in aëre volucres
Contemplamur, quæ alunt
Parentes à quibus prognatæ sunt, & educatæ?
Nos vèro contrarium facimus.
Sed non per Jovis fulgur,

Et

Ηλ. Ἀλλ' ἦν φύσιν γε, τῷ δὲ νοῦ ἥσσων τότε.
Χρ. Ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
Ηλ. Ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε;
Χρ. Εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράξειν κακῶς.
Ηλ. Ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
Χρ. Ἀνέξομαι κλύουσα, χ' ὤταν εὖ λέγῃς.
Ηλ. Ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ μάθῃς τόδε.
Χρ. Μακρὸς τὸ κρῖναι ταῦτα χ' ὠ λοιπὸς χρόνος.
Ηλ. Ἄπελθε· σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
Χρ. Ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.
Ηλ. Ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
Χρ. Οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
Ηλ. Ἀλλ' οὖν ἐπίστω γ' οἷ μ' ἀτιμίας ἄγεις.
Χρ. Ἀτιμίας μὲν οὔ, προμηθείας δὲ σοῦ.
Ηλ. Τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
Χρ. Ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσῃ σὺ νῷν.
Ηλ. Ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.
Χρ. Εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ.
Ηλ. Τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
Χρ. Ἀλλ' ἔστιν ἔνθα χ' ἡ δίκη βλάβην φέρει.
Ηλ. Τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
Χρ. Ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
Ηλ. Καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε.
Χρ. Καὶ τοῦτ' ἀληθές, οὐδὲ βουλεύσῃ πάλιν;
Ηλ. Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
Χρ. Φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.
Ηλ. Πάλαι δέδοκται ταῦτα, κοὐ νεωστί μοι.
Χρ. Ἄπειμι τοίνυν· οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
Ηλ. Ἀλλ' εἴσιθ'· οὔ σοι μὴ μεθέψομαί ποτε
οὐδ' εἰ σφόδρ' ἱμείρουσα τυγχάνεις· ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
Χρ. Ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'· ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφὴ α.

Χο. 1 Τί τοὺς ἄνωθεν φρονιμωτάτους
2 οἰωνοὺς ἐσορώμενοι
3 τροφᾶς κηδομένους, ἀφ' ὧν τε
4 βλαστῶσιν, ἀφ' ὧν τ' ὄνασιν εὕρω-
5 σι, τάδ' οὐκ ἐπίσης τελοῦμεν;
6 ἀλλ' οὐ τὰν Διὸς ἀστραπάν,

Et coelo habitantem justitiam,
Diu impune erit,
O subterranea fama
Ad inferos mihi perfer tristem
Nuncium ad Atridas,
De atrocissimis flagitiis.

ANTISTROPHE 1.

Et quod jam ipsorum in domo
Res sunt afflictæ. Nam liberi inter se dissident
Duplici discordia, nec amplius
Familiaris convictus eos conjungit.
Deserta vero ac sola fluctuat
Electra patris necem
Perpetuo misera lugens,
Ceu querula Luscinia:
Nec mortis periculo movetur,
Quin mori etiam ipsa parata est,
Dum illos ulciscatur modo.
Quis bonis prognatus sic vivere queat,

STROPHE 2.

Nemo enim generosus adversis rebus
Dignitatem suam vult deformari,
Obscurus ut fiat, ô filia,
Quemadmodum tu lacrhymabilem
Vitam assiduè egisti,
Dum turpitudinem oppugnas,
Duplicem laudem consecuta,
Ut & sapiens & optima filia dicaris?

ANTISTROPHICA 2.

Utinam vivas mihi superésque manu
Et opibus inimicos tantum,
Quantum nunc ab illis opprimeris.
Nam te video indignè
Adversa fortuna
Jactari, cùm quæ summa justitia
Et optima est eam colueris,
Nempe pietatem erga Deum.

IAMBI

7 καὶ τὰν οὐρανίαν Θέμιν,
8 δαρὸν γὰρ οὐκ ἀπόνητοι.
9 ὦ χθονία βροτοῖσι φάμα,
10 κατά μοι βόασον οἰκτρὰν
11 ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις,
12 ἀχόρευτα φέρουσ' ὀνείδη.

ΑΝΤΙΣΤΡΟΦΗ α.

1 Ὅτι σφὶν ἤδη τὰ μὲν ἐκ δόμων
2 νοσεῖ δή· τὰ δὲ πρὸς τέκνων,
3 διπλῆ φύλοπις οὐκέτ' ἐξι-
4 σοῦται φιλοτασίῳ διαίτᾳ,
5 πρόδοτος δὲ μόνα σαλεύει
6 Ἠλέκτρα τὸν ἀεὶ πατρὸς
7 δειλαία στενάχουσ', ὅπως
3 ἁ πανόδυρτος ἀηδών,
9 οὔτέ τι τοῦ θανεῖν προμηθὴς,
10 τό, τε μὴ βλέπειν ἑτοίμα
11 διδύμαν ἑλοῦσ' ἐριννύν.
12 τίς ἂν εὔπατρις ὧδε βλαστοῖ;

ΣΤΡΟΦΗ β.

1 Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς,
2 εὔκλειαν αἰσχύναι θέλει
3 νώνυμος ὦ παῖ παῖ ὡς
4 τε καὶ σὺ πάγκλαυτον αἰ-
5 ῶνα κοινὸν εἵλου,
6 τὸ μὴ καλὸν καθοπλίσασα
7 δύο φέρειν ἑνὶ γε λόγῳ,
8 σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.

ΑΝΤΙΣΤΡΟΦΗ. β.

1 Ζώης μοι καθύπερθεν χειρὶ,
2 πλούτῳ τε τῶν ἐχθρῶν, ὅσον
3 νῦν ὑπὸ χεῖρα ναίεις,
4 ἐπεί σ' ἐφεύρηκα μοί-
5 ρᾳ μὲν οὐκ ἐπ' ἐσθλᾷ
6 βεβῶσαν· ἃ δὲ μέγιστ' ἔβλαστε
7 νόμιμα, τῶνδε φερομέναν
8 ἄριστα τᾷ Ζηνὸς εὐσεβείᾳ.

IAMBI.

Ore. Num ô mulieres, rectè accepimus,
Et num rectè venimus eò quò volebamus?
Cho. Quid quæris, aut quid est quod est cupis?
Ore. Ægisthi ædes jamdudum quæro.
Cho. Rectè huc venisti, & index rectè te docuit.
Ore. Quis igitur ex vobis intro renunciabit (quoq; pertinētē
Nos adesse rem gratā afferentes, & communiter ad ipsos
Cho. Hæc faciet, si quidem aliquem ex propinquis nunciare
Ore. Vade ô mulier, dic eis, (oportet.
Phocenses quosdam adesse qui quærant Ægisthum.
Ele. Hei mihi, num de fama quam audivimus
Affertis certa indicia?
Ore. Nihil novi de ista fama, sed mihi senex
Strophius quædam de Oreste nuncianda mandavit?
Ele. Quid igitur est, mi hospes? quàm metuo male.
Ore. Afferimus exiguas reliquias in parvo
Vasculo mortui ut vides.
Ele. Heu me miseram, jam illam manifestè
Videre est calamitatem.
Ore. Si quid commoveris malis Orestis
Hoc vasculo scito corpus ipsius conditum esse,
Ele. O hospes, da mihi quæso, si quidem
Hoc vasculum ipsum continet, ut in manus accipiam,
Et me atque universum genus meum simul
Cum hoc cinere lugeam ac deplorem.
Ore. Date huic, quæcunque est, non enim
Inimico animo postulat,
Sed est vel ex amicis quæpiam, vel sanguine junctis.
Ele. O monumentum hominis mihi amantissimi
De anima Orestis reliquum, quàm longe dissimili spe,
Ac te misi, nunc accipio.
Nunc enim te porto manibus nihil amplius existentem,
Cùm ex hac domo splendidum dimiserim.
Utinam prius hanc vitam reliquisses,
Quā ego te in terrā peregrinā ablegarē, hisce manibus
Subducens ac servans à cæde.
Si enim illo tempore mortuus esses,
Communi cum patre sepulchro potitus fuisses.
Nunc exul in peregrina terra
Malè periisti, procul à tua sorore:
Neque ego misera te caris manibus

Lavi,

ΙΑΜΒΟΙ.

Ορ. Ἆρ' ὦ γυναῖκες ὀρθά τ' εἰσηκούσαμεν,
ὀρθῶς θ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;
Χο. Τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;
Ορ. Αἴγισθον ἔνθ' ᾤκηκεν ἱστορῶ πάλαι.
Χο. Ἀλλ' εὖ γ' ἱκάνεις, χ' ὁ φράσας ἀζήμιος.
Ορ. Τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
Χο. Ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
Ορ. Ἴθ' ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκεῖς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
Ηλ. Οἴμοι τάλαιν', οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;
Ορ. Οὐκ οἶδα τὴν σὴν κληδόν', ἀλλά μοι γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
Ηλ. Τί δ' ἔστιν ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος.
Ορ. Φέροντες αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.
Ηλ. Οἲ 'γὼ τάλαινα, τοῦτ' ἐκεῖν' ἤδη σαφές.
πρόχειρον ἄχθος ὡς ἔοικε δέρκομαι.
Ορ. Εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
Ηλ. Ὦ ξεῖνε, δός νυν πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν,
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.
Ορ. Δόθ', ἥτις ἐστί, προσφέροντες· οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τόδε,
ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.
Ηλ. Ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοί,
ψυχῆς Ὀρέστου λοιπόν, ὡς ἀπ' ἐλπίδων
οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν,
δόμων ἥ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγάς,
κακῶς ἀπώλου σῆς κασιγνήτης δίχα.
κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ

λουτροῖς

Lavi, neque in ignem
Juxta morem levavi miserum cadaver:
Sed hominum peregrinorũ manibus compositus miser,
Exiguum onus ades exiguo in vasculo.
O infœlicem meam educationem,
Atque inutilem: quàm ego sæpe olim tibi
Dulci labore cibum præbui; neq; enim unquam
Magis matri quàm mihi curæ fuisti:
Neque familia, sed ego te alebam:
Egóque soror tua condormire tibi solebam.
Nunc verò illa omnia una dies sustulit,
Te mortuo: omnia enim moriens simul abripuisti
Velut procella. Interiit pater,
Extincta sum & ego, Tu evanuisti,
Rident inimici, insanit præ lætitia
Impientissima mater, de qua tu mihi sæpe
Clam nunciũ misisti, significans, teipsum affuturum esse
Ultorem. Sed hæc infœlix fortuna
Tua & mea irrita fecit,
Quæ te sic mihi huc misit, nempe pro charissimo
Aspectu cinerem atque umbram inanem,
Heu me infœlicem.
O corpus miserabile.
O quàm infausto
Ablegatus es itinere frater charissime: ut me perdidisti,
Perdidisti inquam ô fratris germanum caput.
Accipe ergo & me unà tecum in hoc vasculum.
Ut cinis fiam, quæ nihil sum, utque tecum infra
Posthac habitem. Cum enim viveres,
Æquali tecum sorte fruebar: quapropter & nunc
Tibi sepulto superstes esse non volo,
Nã mea sententia non malè agitur cũ his, qui moriũtur.
Cho. Memineris te natam mortali ex patre, (doleas.
Natus est mortalis & Orestes: quapropter ne nimium
Omnibus enim nobis hoc necesse est ferre.
Ore. Hei mihi quid dicam? in quos sermones inevitabiles
Incidi? Linguæ amplius temperare non possum
Ele. Quid te sollicitat, aut quamobrem ista dicis?
Ore. An ne hæc est illa inclyta Electræ species?
Ele. Est, & quidem miserè afflicta.
Ore. Heu infœlicem hanc fortunam,
Ele. Cur quæso hospes mea causa ita ingemiscis?
Ore. O corpus indignè atq; impiè deformatum.
Ele. Non equidem aliter sum, quàm ut me miserans deploras.
Heu

λουτροῖς ἐκόσμησ᾽, οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην ὡς εἰκὸς ἄθλιον βάρος·
ἀλλ᾽ ἐν ξένῃσι χερσὶ κηδευθεὶς τάλας,
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ᾽ ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον· οὔτε γάρ ποτε
μητρὸς σύ γ᾽ ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος,
οὔθ᾽ οἱ κατ᾽ οἶκον ἦσαν, ἀλλ᾽ ἐγὼ τροφός.
ἐγὼ δ᾽ ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ᾽ ἐκλέλοιπε ταῦτ᾽ ἐν ἡμέρᾳ μιᾷ
θανόντα σὺν σοί· πάντα γὰρ συναρπάσας,
θύελλ᾽ ὅπως, βέβηκας· οἴχεται πατήρ·
τέθνηκ᾽ ἐγὼ σοί· φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ᾽ ἐχθροί· μαίνεται δ᾽ ὑφ᾽ ἡδονῆς
μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρᾳ προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός· ἀλλὰ ταῦθ᾽ ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ᾽ ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
Οἴμοι οἴμοι
ὦ δέμας οἰκτρόν· φεῦ, φεῦ.
ὦ δεινοτάτας, οἴμοι οἴμοι,
πεμφθεὶς κελεύθους φίλταθ᾽, ὥς μ᾽ ἀπώλεσας.
ἀπώλεσας δῆτ᾽ ὦ κασίγνητον κάρα.
τοιγάρ, σὺ δέξαι μ᾽ ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν, εἰς τὸ μηδὲν, ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ᾽ ἦσθ᾽ ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ ᾽πολείπεσθαι τάφου.
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.

Χο. Θνητοῦ πέφυκας πατρὸς Ἠλέκτρα, φρόνει.
θνητὸς δ᾽ Ὀρέστης· ὥστε μὴ λίαν στένε.
πᾶσιν γὰρ ἡμῖν τοῦτ᾽ ὀφείλεται παθεῖν.

Ορ. Φεῦ, φεῦ· τί λέξω; ποῖ λόγων ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.

Ηλ. Τί δ᾽ ἔσχες ἄλγος; πρὸς τί τοῦτ᾽ εἰπὼν κυρεῖς;

Ορ. Ἡ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;

Ηλ. Τόδ᾽ ἔσ᾽ ἐκεῖνο, καὶ μάλ᾽ ἀθλίως ἔχον.

Ορ. Οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.

Ηλ. Τί δή ποτ᾽ ὦ ξέν᾽ ἀμφ᾽ ἐμοὶ στένεις τάδε;

Ηλ. Ὦ σῶμ᾽ ἀτίμως κἀθέως ἐφθαρμένον.

Ορ. Οὔτοι ποτ᾽ ἄλλην ἢ ᾽μὲ δυσφημεῖς ξένε.

Ore. Heu vitam innuptam atque calamitosam.
Ele. O hospes quare me sic intuens ingemiscis?
Ore. Quam nihil meorum malorum noveram.
Ele. Ex quibus igitur nostris dictis ea cognovisti?
Ore. Quum video te insigniter oppressam multis miseriis:
Ele. Sed vides tu quidem pauca ex meis malis.
Ore. Et quomodo aliquis his tristiora videre posset?
Ele. Quia cogor interfectoribus cohabitare.
Ore. Quibus? Cujus? Quid hoc mali est quod indicas?
Ele. Interfector. inquā patris, & his necessitas me cogit servire.
Ore. Quæ necessitas te ut servias cogit?
Ele. Mater vocatur, sed nihil maternum habet.
Ore. Quomodo? utrum vi cogit? an subducendo cibum?
Ele. Et vi, & fame, & omnibus malis.
Ore. Nec tibi quisquam est, qui opem ferat, aut prohibeat?
Ele. Non sanè: nam qui erat, pro eo tu mihi cinerē attulisti.
Ore. O miseram te, quàm me jampridem miseret tui.
Ele. Solus tu quidem es, quem mea mala movent.
Ore. Et solus venio dolens tuis miseriis.
Ele. An tu nobis cognatus alicunde advenis?
Ore. Dicerem tibi. si has fidas esse scirem.
Ele. Est illis mens fida, proinde tutò dices.
Ore. Hoc interim vasculū depone, ut rem totam cognoscas.
Ele. Ne mihi hoc per Deum facias.
Ore. Ausculta mihi, non enim peccabis.
Ele. Ne per barbam tuam, ne quæso charissime mihi eripias.
Ore. Non inquam sino.
Ele. Heu me miseram,
Oreste, si tua privabor sepultura.
Ore. Melius ominare, non enim recte doles.
Ele. Quid? an fratrem defunctum non juste deploro?
Ore. Non te decet ista loqui.
Ele. Itane indigna sum fratre mortuo?
Ore. Non indigna, sed ista te non decent.
Ele. Siquidem Orestis hoc corpus porto.
Ore. Non est revera corpus Orestis, sed tantum verbis assimulatum
Ele. Ubi igitur illius miseri sepulchrum est?
Ore. Nusquam: nam viventis non est sepulchrum,
Ele. Quomodo narras ô fili?
Ore. Nihil equidem falsi dico.
Ele. Quid? an vivit ille?
Ore. Si quidem ego vivo.
Ele. An tu ille es?
Ore. Aspicias hoc patris mei

Sigillum,

Ορ. Φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
Ηλ. Τί δή ποτ' ὦ ξέν' ὧδ' ἐπισκοπῶν στένεις;
Ορ. Ὡς οὐκ ἄρ' ᾔδειν τῶν ἐμῶν οὐδὲν κακῶν.
Ηλ. Ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
Ορ. Ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσι.
Ηλ. Καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
Ορ. Καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
Ηλ. Ὁθ' οὕνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
Ορ. Τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
Ηλ. Τοῖς πατρός, εἶτα τοῖσδε δουλεύω βίᾳ.
Ορ. Τίς γάρ σ' ἀνάγκη τῇδε προτρέπει βροτῶν;
Ηλ. Μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ.
Ορ. Τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βίου;
Ηλ. Καὶ χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
Ορ. Οὐδ' οὑ παρήξων, οὐθ' ὁ κωλύσων πάρα;
Ηλ. Οὐ δῆθ'· ὃς ἦν γάρ μοι, σὺ προὔθηκας σποδόν.
Ορ. Ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
Ηλ. Μόνος βροτῶν νυν ἴσθ' ἐποικτείρας ποτέ.
Ορ. Μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
Ηλ. Οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
Ορ. Ἐγὼ φράσαιμ' ἂν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
Ηλ. Ἀλλ' ἔστιν εὔνουν· ὥστε πρὸς πιστὰς ἐρεῖς.
Ορ. Μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
Ηλ. Μὴ δῆτα πρὸς θεῶν τοῦτό μ' ἐργάσῃ ξένε.
Ορ. Πείθου λέγοντι, κοὐχ ἁμαρτήσῃ ποτέ.
Ηλ. Μὴ, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
Ορ. Οὔ φημ' ἐάσειν.
Ηλ. Ὦ τάλαιν' ἐγὼ σέθεν
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
Ορ. Εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ στένεις.
Ηλ. Πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
Ορ. Οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
Ηλ. Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
Ορ. Ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.
Ηλ. Εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε.
Ορ. Ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
Ηλ. Ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
Ορ. Οὐκ ἔστι· τοῦ γὰρ ζῶντος οὐκ ἔστι τάφος.
Ηλ. Πῶς εἶπας ὦ παῖ;
Ορ. Ψεῦδος οὐδὲν ὧν λέγω.
Ηλ. Ἦ ζῇ γὰρ ἁνήρ;
Ορ. Εἴπερ ἔμψυχός γ' ἐγώ.
Ηλ. Ἦ γὰρ σὺ κεῖνος;
Ορ. Τήνδε προσβλέψασά μου

Sigillum, & me vera dicere intelliges.
Ele. O dulcissima lux.
Ore. Dulcissima, fateor & ego.
Ele. O vox fraterna, venisti aliquando?
Ore. Non amplius ex aliis quæras.
Ele. Teneone te manibus?
Ore. Ut sic in posterum semper teneas,
Ele. O charissimæ mulieres, ô cives,
Videtis Oresten hunc arte
Mortuum simulatum, & eundem arte servatum?
Cho. Videmus ô filia, & quidem in hoc casu lachrymæ
Præ gaudio nobis ex oculis erumpunt.

PERICOMMATA. Strophe 1.

Ele. O soboles charissimorum corporum,
Venisti tandem?
Invenisti? venisti? vides quos volebas?

SYSTEMA 1.

Ore. Adsumus, sed tacita expecta.
Ele. Quid est?
Ore. Tacere melius erit, ne quis intus audiat.

STROPHE 2.

Ele. Atqui non per Dianam semper innuptam,
Non judico metuendum, esse
Hoc inutile pondus mulierum, quæ sunt intus.

SYSTEMA 2.

Ore. Vide sis, nam etiam mulieribus Martius
Est animus, quod tu quidem olim experta es.

STROPHE 3.

Ele. Heu, heu,
Manifestum subjecisti,
Inexplicabile,
Nulla oblivione delebile,
Nostrum,
Sicut est, malum.

SYST-

σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.
Ηλ. Ω φίλτατον φῶς.
Ορ. Φίλτατον συμμαρτυρῶ.
Ηλ. Ω φθέγμ' ἀφίκου.
Ορ. Μηκέτ' ἄλλοθεν πύθῃ.
Ηλ. Εχω σε χερσίν.
Ορ. Ως τὰ λοίπ' ἔχεις ἀεί.
Ηλ. Ω φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ορέστην τόνδε μηχαναῖσι μὲν
θανόντα· νῦν δὲ μηχαναῖς σεσωσμένον;--
Χο. Ορῶμεν ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

ΠΕΡΙΚΟΜΜΑΤΑ. Στροφὴ ά.

Ηλ. 1 Ιὼ γοναὶ γοναὶ σω-
2 μάτων ἐμοὶ φιλτάτων,
3 ἐμόλετ' ἀρτίως.
4 ἐφεύρετ' ἤλθετ' εἴδεθ' οὓς ἐχρῄζετε.--

ΣΥΣΤΗΜΑ ά.

Ορ. 1 Πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
Ηλ. 2 Τί δ' ἐστίν;
Ορ. 3 Σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.--

ΣΤΡΟΦΗ β'.

Ηλ. 1 Αλλ' οὐ τὰν ἄρτεμιν
2 τὰν αἰὲν ἀδμήταν,
3 τόδε μὲν οὔποτ' ἀξιώσω τρέσαι,
4 περισσὸν ἄχθος ἔνδον
5 γυναικῶν ὂν ἀεί.--

ΣΥΣΤΗΜΑ β'.

Ορ. 1 Ορα γε μὲν δὴ, κἂν γυναιξὶν ὡς ἄρης.--

ΣΤΡΟΦΗ γ'.

Ηλ. 1 Οτοτοτοῖ.
2 ἀνέφελον ἐπέβαλες,
3 οὔποτε καταλύσιμον,
4 οὐδέποτε λησόμενον,
5 ἁμέτερον οἷον ἔφυ κακόν.--

SYSTEMA.

Ore. Novi hæc, sed cùm aliquando vacabit,
Tunc horum meminisse oportebit.

ANTISTROPHE 1.

Ele. Omne convenit tempus præsens
Ad dicendum ea, quæ justa sunt.
Vix enim antehac compressi linguæ libertatem.

ANTISYSTEMA 1.

Ore. Idem sentio. Tu igitur moderare linguam.
Ele. Quid faciam ?
Ore. Non nunc opportunum est multa dicere.

ANTISTROPHE 2.

Ele. Quis verò, cum tu adveneris,
Linguam tenere possit, ut non loquatur ?
Cùm te ita ex improviso
Et præter spem intueor.

ANTISYSTEMA 2.

Ore. Tunc me vidisti, cùm dii me impulerunt, ut venirem.

ANTISTROPHE.

Ele. Rem gratam nuncias
Supra priorem lætitiam,
Si quidem te Deus incitavit,
Ad nostras ut venires ædes,
Divinum
Et ego illud judico.

ANTISYSTEMA 3.

Ore. Non libenter te gaudere veto,
Et tamen vereor ne nimium indulgeas animo.

ΣΥΣΤΗΜΑ γ'

Ορ. 1 Ἐξοιδα καὶ ταῦτ'· ἀλλ' ὅταν παρουσία
2 φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.-

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Ηλ. 1 Ὁ πᾶς ἐμοὶ ὁ πᾶς ἂν
2 πρέποι παρὼν ἐννέπειν
3 τάδε δίκα χρόνος,
4 μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

ΑΝΤΙΣΥΣΤΗΜΑ α'.

Ορ. 1 Ξύμφημι κἀγώ· τοιγαροῦν σῷζε τόδε.
Ηλ. Τὶ δρῶσα;
Ορ. 3 Οὗ μή 'στι καιρὸς, μὴ μακρὰν βούλου λέγειν.--

ΑΝΤΙΣΤΡΟΦΗ β'

Ηλ. 1 Τίς δῆτ' οὖν ἀξίαν
2 σοῦ μοι φανέντος νῦν
3 μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων;
4 ἐπεί σε νῦν ἀφράστως
5 ἀέλπτως τ' ἐσεῖδον.---

ΑΝΤΙΣΥΣΤΗΜΑ γ'.

Ορ. 1 Τότ' εἶδες, ὅτε θεοί γέ μ' ὤτρυναν μολεῖν.--

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Ηλ. 1 Ὀτοτοτοί·
2 ἔφρασας ὑπερτέραν
3 τᾶς πάρος ἔτι χάριτος.
4 εἴ σε θεὸς ἐς μέλαθρα,
5 δαιμόνιον αὐτὸ τίθημ' ἐγώ.---

ΑΝΤΙΣΥΣΤΗΜΑ γ'.

Ορ. 1 Τὰ μέν σ' ὀκνῶ χαίρουσαν εἰργάθειν· τὸ δὲ
2 δέδοικα σε λίαν ἡδονῇ νικωμένην.--

MONOSTROPHICA

Ele, Heu qui dignum duxisti post longum tempus
Exoptatissimo adventu mihi sic apparere,
Ne ita misere afflictam me intuens.
Ore. Quid non faciam ?
Ele. Ne inquam prohibeas,
Quum te conspecto gaudeam.
Certe etiam in aliis ista videns indignarer,
Ore. Approbas ?
Ele. Quid ni?
Ore. O amicæ, audivi vocem,
Ele. Q iam me non sperabam audituram esse,
Ardebam ira tacita,
Neque cum audivissem vociferari ausa eram.
Nunc vero teneo te, apparuisti,
Dulcissimum præbens aspectum,
Cujus ego nullis ærumnis victa oblivisci potero.

IAMBI.

Ore. Omitte supervacua dicere,
Nec est ut me doceas quam mater improba sit,
Et quam nostras opes exhauriat Ægisthus,
Easque effundat, ac frustra dissipet,
Dum enim hæc narras, interim occasio rei gerẽdæ amittitur :
Quæ vero conveniunt in præsens tempus
Ea dicas : quomodo ? palam ne, an ex insidiis
Insultantes inimicos opprimere possimus.
Tu vide ne mater rescicat
Te lætam esse, nobis ingredientibus in ædes,
Sed velut ob tristem illum falso nunciatum casum
Ingemiscas. Ubi vero rem fæliciter effecerimus,
Tunc & gaudere nobis, & ridere licebit libere.
Ele. Fiat, ut tu vis, mi frater,
Ita enim agam : nam lætitiam hanc
Ex tuo adventu cepi, cum antea tristis essem.
Neque vero tibi vel parum molesta esse
Cum meo magno bono velim: non enim bene
Huic præsenti me accomodarem fortunæ.
Sed scis hic quæ fiant, quid ni ? cum audieris,
Quod Ægisthus à domo abest,
Mater vero adest, quam non est ut metuas

Ne

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ηλ. Ἰὼ χρόνῳ μακρῷ γε φιλτάταν ὁδὸν
ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με πολύστονον ὧδ' ἰδών.
Ορ. Τὶ μὴ ποιήσω;
Ηλ. Μή μ' ἀποστερήσῃς
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
Ορ. Ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.
Ηλ. Ξυναινεῖς;
Ορ. Τί μὴν οὔ;
Ηλ. Ὦ φίλαι, ἔκλυον ἃν
ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.
ἔσχον ὀργὰν ἄναυδον,
οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
νῦν δ' ἔχω σε· προὐφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,
ἇς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν

ΙΑΜΒΟΙ.

Ορ. Τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες·
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ· τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
σήμαιν', ὅπου φανέντες, ἢ κεκρυμμένοι,
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
οὕτως δ', ὅπως μήτηρ σε μὴ 'πιγνώσεται
φαιδρῷ προσώπῳ, νῷν ἐπελθόντοιν δόμους.
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ,
στέναζ'. ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.
Ηλ. Ἀλλ' ὦ κασίγνηθ', ὧδ', ὅπως καὶ σοὶ φίλον
καὶ τἀμὸν ἔσται τῇδ'· ἐπεὶ τὰς ἡδονὰς
πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς ἐκτησάμην.
κοὐδ' ἄν σε λυπήσασα βουλοίμην βραχὺ,
αὐτὴ μέγ' εὑρεῖν κέρδος· οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίμην τῷ παρόντι δαίμονι·
ἀλλ' οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλύων
ὅθ' οὕνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ' ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς ποθ' ὡς,

Ne me lætam videat,
Nam odium erga illam vetus in me consenuit
Postquam vero te aspexi, nunquam gaudere desinam,
Præ gaudio illachrymās. Quæ modo enim desinere queā?
Quæ te una eademque via hac mortuum
Et vivum aspexi, ita insperato gaudio me affecisti,
Ut si pater jam reviviscat, non id amplius
Pro miraculo sim habitura, sed creditura.
Quamobrem quando jam huc advenisti,
Rem administra, tibi ut videtur: Nam ego sola
Ab utroque illorum non aberrassem, & vel præclare
Me liberassem, vel honeste occubuissem.
Ore. Jussi ut taceres, nam in exitu domus
Aliquem foras prodire audio.
Ele. Intrate, ô hospites,
Affertis enim nuncium, quem nemo
A domo repellit, neq; quisquā tamen gaudet accipiens
Pæd, O plurimum stulti, & mente capti,
An de salute nihil amplius solliciti estis?
An sensu & ratione omnino estis destituti?
Qui vos non prope periculum, sed in ipsis
Jam maximis periculis versari non expenditis.
Et nisi ego in hisce foribus jampridem
Excubarem, essent vestra in ædibus
Consilia prius quam corpora.
Verum ego ne id fieret, providentiam opposui meam.
Quare nunc his longis sermonibus,
Et immodicis gaudiis ac vociferationibus omissis
Huc intro intrate. Nam mora mala est
In talibus rebus, opportunum vero ut nos absolvamus.
Ore. Quomodo igitur res se habebit, si ingrediar?
Pæd. Bene, nemo enim te novit.
Ore. Nunciasti videlicet me esse mortuum.
Pæd Apud illos scias te unum ex mortuis esse:
Ore. Gaudentne igitur aut quid tandem dicunt?
Pæd. Re confecta narrabo. Nam ut nunc res habet,
Bene est, quod ad illos attinet, & si non bene est.
Ele. Per deum, frater, dic mihi quisnam est iste?
Ore. An non agnoscis?
Ele. Non mihi in mentem venit.
Ore. An nescis cujus in manus me olim tradidisti?
Ele. Cui? Quid narras?
Cujus in terram Phocensem
Delatus sum tua providentia manibus.

An

γέλωτι φαιδρῷ τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι·
κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾶς
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγώ,
ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα.
ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτό, πιστεύειν δ' ὁρᾶν.
ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδόν,
ἄρχ' αὐτὸς, ὥς σοι θυμός· ὡς ἐγὼ μόνη,
οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτήν, ἢ καλῶς ἀπωλόμην.

Ορ. Σιγᾶν ἐπήνεσ'· ὡς ἐπ' ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος.

Ηλ. Εἴσιτ' ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες οἷ' ἂν οὔτε τις
δόμων ἀπώσαιτ', οὔτ' ἂν ἡσθείη λαβών.--

Παι. Ὦ πλεῖστα μῶροι, καὶ φρενῶν τητώμενοι,
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενής,
ὅτ' οὐ παρ' αὐτοῖς ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες οὐ γινώσκετε;
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὑμῖν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς,
εἴσω παρέλθεθ'· ὡς τὸ μὲν μέλλειν, κακὸν
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.--

Ορ. Πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;

Παι. Καλῶς ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.

Ορ. Ἤγγειλας ὡς ἔοικεν ὡς τεθνηκότα.

Παι. Εἷς τῶν ἐν ᾅδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.

Ορ. Χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;

Παι. Τελουμένων, εἴποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.

Ηλ. Τίς οὗτός ἐστ' ἀδελφὲ πρὸς θεῶν φράσον.

Ορ. Οὐχὶ ξυνίης;

Ηλ. Οὐδέ γ' ἐς θυμὸν φέρω.

Ορ. Οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας εἰς χεῖράς ποτε

Ηλ. Ποίῳ; τί φωνεῖς;

Ορ. Οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην σῇ προμηθείᾳ χεροῖν.

Ele. An hic ille est, quem ego ex multis
Solum inveni fidum, cum pater interficeretur?
Ore. Hic inquam est, ne quæras plura.
Ele. O dulcissima lux, ô solus columen domus
Agamemnoniæ, quomodo huc venisti? an tu ille es,
Qui hunc & me servasti in multis malis?
O manus amantissimæ, quam exoptato pede
Fers opem. Quare jampridem,
Cum adesses, me fefellisti, nec te indicabas, Sed me
Sermone tuo enecabas, cum afferres dulcissimũ nunciũ
Salve ô pater patrem n. mihi jam videre videor,
Salve: scias vero, quod te ex omnibus hominibus maxime
Oderim & amaverim in uno die.
Pæd. Satis est: nam sermones reliquos
Multæ volvent noctes, & dies pariter,
Quibus hæc tibi certa commemorari possunt,
Vobis autem edico, qui adstatis, quod
Nunc tempus rei gerendæ: nunc enim Clytemnestra sola est,
Nunc vir nullus est intus: si vero differetis,
Cogitate, quod & cum his, & prudentioribus aliis,
Cumque pluribus vobis deinde dimicandum erit.
Ore. Non hic longo sermone amplius
Pylade opus est, verum ut quam primum
Intremus, atque patrios salutemus
Penates, qui huic præsunt vestibulo,
Ele. O Rex Apollo, clementer istos exaudi
Et me simul, quæ tuam ad aram sæpe
Ut potui munifica adstiti manu.
Nunc ô Apollo affero id quod habeo, nempe preces:
Supplex ad te venio, te adoro, adsis volens
Nobis auxilio, in his consiliis,
Et ostende hominibus, pœnam
Pro impietate qualem statuant dii.

ANTISTROPHICA strophe.

Cho. Videte quomodo appetit
Inimicum sanguinem, furorem spirans Mars.
Ambulant jam in ædibus
Comites immanium facinorum
Inevitabiles furiæ:
Quare non diu aberit
Eventus ab eo, quod animo ominabar.

AN-

Ηλ. Η κεῖνος οὗτος ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσεῦρον πιστὸν ἐν πατρὸς φόνῳ;

Ορ. Ὅδ' ἐστί· μή μ' ἔλεγχε πλείοσιν λόγοις.

Ηλ. Ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
ἀγαμέμνονος· πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ
ὅς τόνδε κἀμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων
ποδῶν ὑπηρέτημα· πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες, οὐδ' ἔφαινες; ἀλλά με
λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί.
χαῖρ' ὦ πάτερ (πατέρα γὰρ εἰσορᾶν δοκῶ)
χαῖρ'· ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.

Παι. Αρκεῖν δοκεῖ μοι· τοὺς γὰρ ἐν μέσῳ λόγους
πολλαὶ κυκλοῦνται νύκτες ἡμέραι τ' ἴσαι,
αἳ ταῦτά σοι δείξουσιν ἠλέκτρα σαφῆ.
σφῷν δ' ἐννέπω γε τοῖν παρεστώτοιν, ὅτι
νῦν καιρὸς ἔρδειν· νῦν κλυταιμνήστρα μόνη,
νῦν οὔτις ἀνδρῶν ἔνδον· εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι, τούτων πλείοσιν μαχούμενοι.

Ορ. ΟΥκ, ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂν λόγων
πυλάδη τόδ' εἴη τοὔργον ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοι περ πρόπυλα ναίουσιν τάδε.

Ηλ. Αναξ ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ
ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔστην χερί.
νῦν δ' ὦ λύκει' ἄπολλον ἐξ οἵων ἔχω,
αἰτῶ, προπίτνω, λίσσομαι· γένου πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων.
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφή.

Χο. 1 Ἴδεθ' ὅπου προνέμεται
2 τὸ δυσέριστον αἷμα φυσῶν ἄρης·
3 βεβᾶσι δ' ἄρτι δωμάτων ὑπόστεγοι
4 μετάδρομοι κακῶν πανουργημάτων
5 ἄφυκτοι κύνες.
6 ὥστ' οὐ μακρὰν γ' ἔτ' ἀμμένει
7 τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.

ANTISTROPHE.

Intrat enim in ædes, mortuorum
Vindex insidioso pede
In divitem patris domum,
Cruentum manibus gladium vibrans.
Maiæ vero filius
Mercurius, insidias caligine
Occultans usque ad exitum rei, non diu aberit.

IAMBI.

Ele. O charissimæ mulieres, dum viri statim
Rem peragunt, vos silentium præstate.
Cho. Quomodo? aut quid nunc agunt?
Ele. Illa quidem funeri
Lebetem apparat, ipsi autem prope adstant.
Cho. Quare tu foras prosiluisti?
Ele. Observabo ne
Ægisthus ignorantibus nobis ingrediatur.
Cly. Eheu, ô tecta
Amicis destituta, & plena percussorum.
Ele. Clamat aliquis intus, an non auditis amicæ?

PERICOMMATA *strophe* 1.

Cho. Audivi infanda, adeo
Ut infoelix exhorrescam.

SYSTEMA 1.

Cly. Væ mihi miseræ, Ægisthe, ubi tandem abes?
Ele. Ecce rursum clamat quispiam.
Cly. O nate, nate,
Misereat te matris.
Ele. Verum non à te
Misericordiam neq;hic consecutus, neq;qui eum genuit pater

STROPHE 2.

Cho. O civitas ô miserum genus,
Nunc te unius diei fatum opprimit.

ΑΝΤΙΣΤΡΟΦΗ

1 παράγεται γὰρ ἐνέρων
2 δολιόπους ἀρωγὸς εἴσω στέγης,
3 ἀρχαιόπλουτα πατρὸς εἰς ἑδράσματα.
4 νεακόνητον αἷμα χειροῖν ἔχων·
5 ὁ μαίας δὲ παῖς
6 ἑρμῆς σφ' ἄγει δόλον σκότῳ
7 κρύψας πρὸς αὐτὸ τέρμα, κοὐκέτ' ἀμμένει.

ΙΑΜΒΟΙ.

Ηλ. Ω φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
τελοῦσι τοὔργον· ἀλλὰ σῖγα, πρόσμενε.
Χο. Πῶς δή; τί νῦν πράσσουσιν;
Ηλ. Η μὲν ἐς τάφον
λέβητα κοσμεῖ, τὼ δ' ἐφέστατον πέλας.
Χο. Σὺ δ' ἐκτὸς ἦξας πρὸς τί;
Ηλ. Φρουρήσουσ' ὅπως
αἴγισθος αὐτοὺς μὴ λάθῃ μολὼν ἔσω.
Κλ. ΑΙ αἲ αἲ αἲ· ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέαι.
Ηλ. Βοᾷ τις ἔνδον· οὐκ ἀκούετ' ὦ φίλαι,

ΠΕΡΙΚΟΜΜΑΤΑ. στροφὴ ά.

Χο. 1 Ηκουσ' ἀνήκουστα
2 δύστανος, ὥστε φρῖξαι.--

ΣΥΣΤΗΜΑ ά.

Κλ. 1 Οἴμοι τάλαιν', αἴγισθε, ποῦ ποτ' ὢν κυρεῖς;
2 Ιδοὺ μάλ' αὖ θροεῖ τις.
3 Ω τέκνον, τέκνον,
4 οἴκτειρε τὴν τεκοῦσαν.
5 ἀλλ' οὐκ ἐκ σέθεν
6 ᾠκτείρεθ' οὗτος, οὔθ' ὁ γεννήσας πατήρ.

ΣΤΡΟΦΗ β.

Χο. 1 Ω πόλις, ὦ γενεὰ
2 τάλαινα· νῦν σε
2 μοῖρα καθημερία
4 φθίνει, φθίνει.--

ΣΥΣΤΗΜΑ

SYSTEMA 2.

Cly. Hei mihi icta ſum.
Ele. Duplica ſi potes plagam.
Cly. Væ mihi jam iterum.
Ele. Utinam idem ſimul Ægiſtho fiat.

STROPHE 3.

Cho. Ratæ ſunt imprecationes, reviviſcunt
Qui ſub terra ſepulti jacent:
Nam multo cum ſanguine ſe ulciſcuntur.
Hi, qui jam olim extincti ſunt.

SYSTEMA 3.

Ele. Sed egrediuntur jam illi, quorum cruenta manus
Stillat à primitiis Martis: Non dicere poſſum
Frater, ut res ſe habeat.
Ore. In domo quidem recte ſe res habet,
Si modo Apollo rectè vaticinatus eſt.
Occubuit infælix illa, nec eſt ut metuas
Scelus matris ne te deformet amplius.

ANTISTROPHE 1.

Cho. Deſinite, video enim
Manifeſte Ægiſthum.

ANTISYSTEMA 1.

Ele. O filii non hinc retro ibitis?
An non videtis
Hunc virum vobis occurrere,
Qui nunc ex ſuburbio
Incedit plenus gaudio?

ANTISTROPHE 2.

Cho. Secedite ad veſtibulum quam primum.
Utinam ſicut priora, ita & hæc fælicitet efficiatis,

ΣΥΣΤΗΜΑ β'.

Κλ. 1 Ὤ μοι, πέπληγμαι.
2 Παῖσον, εἰ σθένεις, διπλῆν.
3 Ὤ μοι μάλ' αὖθις.
4 Εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ,

ΣΤΡΟΦΗ γ'.

Χο. 1 Τελοῦσ' ἀραί· ζῶσιν οἱ
2 γᾶς ὑποκείμενοι.
3 πολύρρυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν
4 κτανόντων οἱ πάλαι θανόντες.--

ΣΥΣΤΗΜΑ γ'.

Ηλ. 1 Καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
2 στάζει θυηλῆς Ἄρεος· οὐδ' ἔχω λέγειν
3 Ὀρέστα πῶς κυρεῖ γε
4 Τἀν δόμοισι μὲν
5 καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε.
6 τέθνηκεν ἡ τάλαινα· μηκέτ' ἐκφοβοῦ
7 μητρῷον ὥς σε λῆμ' ἀτιμάσῃ ποτέ.--

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Χο. 1 Παύσασθε· λεύσσω γὰρ
2 Αἴγισθον ἐκ προδήλου.--

ΑΝΤΙΣΥΣΤΗΜΑ α'.

Ηλ. 1 Ὦ παῖδες οὐκ ἄψορρον;
Ορ. 2 Εἰσορᾶτέ που
3 τὸν ἄνδρ' ἐφ' ὑμῖν;
Ηλ. 4 Οὗτος ἐκ προαστίου
5 χωρεῖ γεγηθώς.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Χο. 1 Βᾶτε κατ' ἀντιθύρων
2 ὅσον τάχιστα,
3 νῦν τὰ πρὶν εὖ θέμενοι,
4 τάδ' ὡς πάλιν,

ΑΝ-

ANTISYSTEMA 2.

Ore. Bono animo sis, perficiemus, ut optas.
Ele. Propera.
Ore. Atqui jam secessi.
Ele. Cæterum, quæ hic agenda sunt, curæ mihi erunt,

ANTISTROPHE 3.

Cho Nam ut in aurem
Pauca blande dicam,
Huic viro commodum erit
Ut imprudens ruat;
In pœnas & certamen.

ANTISYSTEMA. 3.

Æg. Quis vestrum scit, ubi sint Phocenses hospites,
Quos ferunt nobis attulisse nunciũ de Oreste, quomodo
Perierit in equestri certamine?
Te rogo, te, quæ prius
Ferox eras, nam maxime tibi id curæ esse
Existimo, & id præcipuè dicere potes.

IAMBI.

Ele. Scio, quid enim nesciam casum
Ejus, qui ex meis mihi fuit charissimus.
Æg. Ubi igitur sunt hospites, dic mihi.
Ele. Intus: nam hospitam amicam adepti sunt.
Æg. Si quidem mortuum esse certo renunciarunt.
Ele. Non sermone tantum, sed etiam re ostenderunt.
Æg. Licet igitur nobis jam manifestam rem cognoscere.
Ele. Licet, & quidem spectaculum est minime invidiosum.
Æg. Certe gaudium magnũ mihi præter morem tuũ nuncias
Ele. Gaudeas sane, si quidem hæc tibi læta evenerunt.
Æg. Nunc ego edico, ut quisq; taceat, & fores apertæ sint
Omnibus Mycenæis atque Argivis, ut videre queant,
Ut si quis ex eis vana spe prius
Elatus fuit, cum viri hujus viderit cadaver,
Frenum jam accipiat nostrum, neque à me violenter
Castigatus, cristas attollat, aut repugnet.
Ele. Fit hoc quidem à me: nam tempus me docuit
Sapere, & potentioribus obedire.

ΑΝΤΣΥΣΤΗΜΑ β'.

Ορ. 1 Θάρσει· τελοῦμεν ἢ νοεῖς.
Ηλ. 2 Επειγέ νυν.
Ορ. 3 καὶ δὴ βέβηκα.
Ηλ. 4 Τἀνθάδ' ἂν μέλοι γ' ἐμοί.--

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Χο. 1 Δι' ὠτὸς ἂν παῦρά γ' ὡς
2 ἤπιον ἐννέπειν,
3 πρὸς ἄνδρα τόνδε συμφέρει, λαθραῖον ὡς
4 ὀρούσῃ πρὸς δίκας ἀγῶνα.

ΑΝΤΙΣΥΣΤΗΜΑ γ'.

Αι. 1 Τίς οἶδεν ὑμῶν ποῦ ποθ' οἱ φωκεῖς ξένοι,
2 οὕς φασ' ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
3 λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
4 σέ τοι σὲ κείνω, καὶ σὲ τὴν ἐν τῷ πάρος
5 χρόνῳ θρασεῖαν, ὡς μάλιστά σοι μέλειν
6 οἶμαι· μάλιστα δ' ἂν κατειδυῖαν φράσαι

ΙΑΜΒΟΙ.

Ηλ. Εξοιδα· πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.
Αι. Ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.
Ηλ. Ενδον· φίλης γὰρ προξένου κατήνυσαν.
Αι. Η καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
Ηλ. Οὔκ· (ἀλλὰ κἀπέδειξαν) οὐ λόγῳ μόνον.
Αι. Πάρεστ' ἄρ' ἡμῖν ὥστε κἀμφανῆ μαθεῖν;
Ηλ. Πάρεστι δῆτα καὶ μάλ' ἄζηλος θέα.
Αι. Η πολλὰ χαίρειν μ' εἶπας οὐκ εἰωθότως.
Ηλ. Χαίροις ἂν εἴ σοι χαρτὰ τυγχάνει τάδε.
Αι. Σιγᾶν ἄνωγα κἀναδεικνύναι πύλας
πᾶσιν μυκηναίοισιν ἀργείοις θ' ὁρᾶν·
ὡς, εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξῄρετ', ἀνδρὸς τοῦδε νῦν ὁρῶν νεκρὸν,
στόμια δέχηται τἀμὰ, μηδὲ πρὸς βίαν
ἐμοῦ κολαστοῦ προστυχὼν, φύσῃ φρένας.--
Καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ· τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον ὥστε συμφέρειν τοῖς κρείττοσιν.

Æg. O Jupiter, video spectaculum. quod non invidia
Caret: utrum vero adsit Nemesis non affirmare possum
Laxate omnia operimenta ab oculis, ut
Cadaver cognati lachrymas à me consequatur.
Ore. Tu ipse tolle, non meum hoc est, sed te decet
Hoc aspicere & compellare.
Æg. Bene mones, & quidem parebo, tu vero
Sicubi in ædibus Clytemnestra est, eam voces.
Ore. Prope te est, non alibi circumspectes.
Æg. Hei mihi, quid video,
Ore. Quem metuis? aut quem non agnoscis?
Æg. In quorum hominum retia
Incidi infælix?
Ore. Non intelligis jamdudum
Te vivum cum mortuis loqui?
Æg. Hei mihi intelligo: non enim dubium est,
Quin Orestes hic sit, qui me appellat.
Ore. At cum vates optimus esses, errasti dudum.
Æg. Perii miser, sed permitte mihi
Ut pauca dicam.
Ele. Ne ulterius sinas eum loqui
Per Deum frater, aut sermonem in longum producere.
Quid enim hominem malis oppressum,
Et morti destinatum, brevis mora juvare potest?
Sed quam primum jugula, & interfectum objice
Canibus, ut dignus est sepeliendum,
Ut hoc unum sit mihi malorum,
Quæ diu sustinui, insperatum remedium,
Ore. Intro eas statim: nam non hic sermonum
Certamen est, sed de tuo capite.
Æg. Quid attinet in domum me duci? nam si honestum est
Quod agitis, cur tenebris opus est? quin statim interficis
Ore. Ne impera, sed vade ad eum locum ubi interfecisti
Patrem meum, ut ibidem & tu cadas.
Æg. Itane omnino necesse est hanc domum videre
Et præsentia & futura Pelopidarum mala?
Ore. Quod ad te attinet, necesse est, quod ego tibi certo præ-(nuncio
Æg. Atqui non hoc paternum jactas.
Ore. Multum obstrepis, interim iter impeditur.
Sed perge.
Æg. Tu præcede.
Ore. Tibi eundum est prius.
Æg. Certe non fugiam.
Ore. Ne itaque suaviter occumbas

Curandum

Αι. Ω ζεῦ, δέδορκα φάσμ', ἄνευ φθόνου μὲν οὐ
πεπτωκός· εἰ δ' ἔπεστι νέμεσις, οὐ λέγω.
χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
τὸ συγγενές γε κἀπ' ἐμοῦ θρήνων τύχῃ.
Ορ. ΑΥτὸς σὺ βάσταζ'· οὐκ ἐμὸν τόδ', ἀλλὰ σόν,
τὸ ταῦθ' ὁρᾶν τε καὶ προσηγορεῖν φίλως.
Αι. Αλλ' εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δέ,
εἴ που κατ' οἶκόν μοι κλυταιμνήστρα, κάλει.
Ορ. ΑΥτη πέλας σοῦ· μηκέτ' ἄλλοσε σκόπει.
Αι. ΟΙμοι τί λεύσσω;
Ορ. Τίνα φοβῇ; τίν' ἀγνοεῖς;
Αι. Τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ' ὁ τλήμων;
Ορ. ΟΥ γὰρ αἰσθάνῃ πάλαι
ζῶν τοῖς θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα,
Αι. ΟΙμοι, ξυνῆκα τοὔπος· οὐ γάρ ἐσθ' ὅπως
ὅδ' οὐκ ὀρέστης ἐσθ' ὁ προσφωνῶν ἐμέ.
Ορ. Καὶ μάντις ὢν ἄριστος, ἐσφάλλου πάλαι.
Αι. Ολωλα δὴ δείλαιος· ἀλλά μοι πάρες
κἂν σμικρὸν εἰπεῖν.
Ηλ. Μὴ πέρα λέγειν ἔα
πρὸς θεῶν ἀδελφέ, μηδὲ μηκύνειν λόγους.
τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων
θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;
ἀλλ' ὡς τάχιστα κτεῖνε· καὶ κτανὼν πρόθες
ταφεῦσιν ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν· ὡς ἐμοὶ τόδ' ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον·—
Ορ. Χωροῖς ἂν εἴσω σὺν τάχει· λόγων γὰρ οὐ
νῦν ἐστὶν ἀγών, ἀλλὰ σῆς ψυχῆς πέρι.
Αι. Τί δ' ἐς δόμους ἄγεις με; πῶς τόδ' εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;
Ορ. Μὴ τάσσε· χώρει δ' ἔνθαπερ κατέκτανες
πατέρα τὸν ἀμόν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.
Αι. Η πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
τά τ' ὄντα καὶ μέλλοντα πελοπιδῶν κακά;
Ορ. Τὰ γοῦν σ'· ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.
Αι. Αλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.
Ορ. Πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
ἀλλ' ἕρφ'.
Αι. Υφηγοῦ.
Ορ. Σοὶ βαδιστέον πάρος,
Αι. Η μὴ φύγω σε;
Ορ. Μὴ μὲν οὖν καθ' ἡδονὴν

Curandum est mihi, sed acerbe ut intereas.
Debebant vero omnes statim talem pœnam luere,
Quicunque contra jus scelerate agere student,
Ut interficerentur, tunc flagitia minus crebra forent.

ANAPAESTI.

Cho. O familia Atrei, quam multis exercita malis
Te vix tandem in libertatem vindicasti,
Hoc præsenti impetu
Ipsam assecuta.

ARGUMENTUM
Autore Aristophane Grammatico.

Linquit Corinthum per probrum OEdipus, nothus
Polybi vocatus, Delphicumque oraculum
De parte consultum, & genere petit suo,
Ibique factus obviam angusta via
Patri, interemit inscius ignotum miser.
Posthac solutis Sphingicis ænigmatis
Fœdavit & matris suæ cubilia.
At pestis & morbi Thebas vexant mali,
Tum missus ad oracula Creo Delphica,
Pausam mali allatum & medelam pestilis,
Monetur à divinitus misso sono
Placent ut interfecti manes Laii-
Acto paterna perpetratore ex humo.
Ex eo quis esset, ut rescivit OEdipus,
Ipse sibi lumina manibus effodit suis.
At mater uxor fune vitam finiit.

θάνῃς, φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
χρὴ δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
κτείνειν· τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.—

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες,
τῇ νῦν ὁρμῇ τελεωθέν.

ΥΠΟΘΕΣΙΣ ΟΙΔΙΠΟΔΟΣ

τυράννου ἔμμετρος Ἀριστοφάνους γραμματικοῦ.

Λιπὼν Κόρινθον Οἰδίπους πατρὸς νόθος
Πρὸς τῶν ἁπάντων λοιδορούμενος ξένος,
Ἦλθεν πυθέσθαι Πυθικῶν θεσπισμάτων,
Ζητῶν ἑαυτὸν, καὶ γένους φυτοσπόρον.
Εὑρὼν δὲ τλήμων ἐν στεναῖς ἁμαξιτοῖς
Ἄκων ἔπεφνε Λάϊον γεννήτορα.
Σφιγγὸς δὲ δεινῆς θανάσιμον λύσας μέλος
Ἤσχυνε μητρὸς ἀγνοουμένης λέχος.
Λοιμὸς δὲ Θήβας εἷλε, καὶ νόσος μακρά·
Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,
Ὅπως πύθηται τοῦ κακοῦ παυστήριον,
Ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,
Τὸν Λάϊειον ἐκδικηθῆναι φόνον.
Ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας,
Διπλαῖσι χερσὶν ἐξετύφλωσεν κόρας·
Αὐτὴ δὲ μήτηρ ἀγχόναις διώλετο.

CUR HÆC FABULA Inscribatur OEdipus Tyrannus.

HÆC fabula, ad alterius differentiam, OEdipus Tyrannus inscribitur. Scitè autem omnes eam fabulam Tyrannum descripserunt, utpote quæ omnes Sophoclis poëses superet, etiamsi eum victum fuisse à Philocle author sit Dicæarchus. Superiores verò hanc tyranni nomine, propter rerum in ea declaratarum tempora, molestiásque quibus affectus fuit OEdipus, *inscripserunt. Mendicum enim ac cæcum OEdipum Coloneum Athenas venisse aiunt. Poëtis verò, qui Homerum sequuti sunt peculiare quippam usu venit, qui reges ante bellum Trojanum Tyrrannos appellaverunt. Hoc nomen tandem à Græcis est usurpatum, Archilochi temporibus, ut Hippias Sophista testatur. Homerus* Echetum *omnium sceleratissimum regem, non Tyrannum appellat, cujus hæc sunt verba.*

In Echetum regem omnium hominum pessimum.

Tyrannum autem à Tyrrhenis dictum ferunt. Hi enim latrociniis regionem infestabant. Quidam à Tyro urbe deductum tradunt. Dictus est autem Tyrannus ex verbi notatione, ex eo quod cruciaret populos, iisque dolores inferret, dolósque adversus subjectos strueret. Constat autem recentius esse Tyranni nomen: neque enim Homerus, nequa Hesiodus, neque alius ullus ex veteribus in suo carmine Tyranni mentionem facit. Aristoteles verò in Cumanorum Rep. Tyrannos priùs Æsymnetas appellatos fuisse ait. Erat *enim illud nomen plausibilius.*

ALITER.

OEdipus Tyrannus ad differentiam OEdipi *Colonei inscribitur. Præcipua fabulæ capita sunt, Cognitio propriorum malorum* OEdipi, *Oculorum cæcitas, & Jocastes mors quæ sibi laqueo vitam finivit.*

Oraculum editum Loïo Thebano.

Laïe Labdacide sobolem me supplice poscis
Voce: tibi sed ego natum promitto petenti.
In fatis tamen est, dulcem illius tibi lucem
Ereptum ire manu. Pelopi sic Jupiter olim
Annuit oranti, cujus natum rapuisses.

Ænigma Sphingis.

Nutrit humus bipedem, mox quadrupedem unius oris,
Et tripedem, varia contra ac animalia voce
Omnia sunt, Pelagi, cœli, telluris alumna:
Iámque ubi multiplici vadit pede, quo magis ire
Pergit, eo minus est per membra effœta vigoris.

PERSONÆ

ΔΙΑ ΤΙ ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ ΕΠΙΓΕΓΡΑΠΤΑΙ.

Ὁ Τύραννος Οἰδίπους ἐπὶ διακρίσει θατέρου ἐπιγέγραπται· χαριέντως δὲ τύραννον ἅπαντες αὐτὸν ἐπέγραφον, ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως· καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, ὥς φησι Δικαίαρχος· εἰσὶ δὲ καὶ οἱ πρότερον αὐτὸν οὐ τύραννον ἐπιγράφοντες, διὰ τοὺς χρόνους τῶν διδασκαλιῶν, καὶ διὰ τὰ πράγματα· ἀλήτην γὰρ καὶ πηρὸν Οἰδίποδα τὸν ἐπὶ Κολωνῷ εἰς τὰς Ἀθήνας ἀφικνεῖσθαι. ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταί, τοὺς πρὸ τῶν Τρωικῶν βασιλεῖς τυράννους προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον, βασιλέα φησί, καὶ οὐ τύραννον. Εἰς Ἔχετον βασιλῆα βροτῶν δηλήμονα· προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυρρηνῶν· χαλεποὺς γάρ τινας περὶ λῃστείαν τούτους γενέσθαι· οἱ δὲ λέγουσιν αὐτὸν γεννηθῆναι ἀπὸ Τύρου πόλεως· εἴρηται δὲ τύραννος κατὰ τὸ ἔτυμον οἱονεὶ τύρων τοὺς λαούς, καὶ ἀνίας ἐπιφέρων, καὶ τυραννῶν δούλους κατὰ τῶν ὑπ' αὐτόν· ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα, δῆλον· οὔτε γὰρ Ὅμηρος, οὔτε Ἡσίοδος, οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν, τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει· ὁ δ' Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ, τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορευθῆναι· εὐφημότερον γὰρ ἐκεῖνο τοὔνομα.

ΑΛΛΩΣ.

Ὁ Τύραννος Οἰδίπους πρὸς ἀντιδιαστολὴν τοῦ ἐν τῷ Κολωνῷ ἐπιγέγραπται. Τὸ κεφάλαιον δὲ τοῦ δράματος, γνῶσις τῶν ἰδίων κακῶν Οἰδίποδος, πήρωσίς τε τῶν ὀφθαλμῶν, καὶ δι' ἀγχόνης θάνατος Ἰοκάστης.

Χρησμὸς δοθεὶς Λαΐῳ τῷ Θηβαίῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.
Δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶ
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος· ὣς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατο σοὶ τάδε πάντα.

Τὸ αἴνιγμα τῆς Σφιγγός.

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον·
Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

PERSONÆ HUJUS FABULÆ.

OEDIPUS.

SACERDOS ſenex Jovis.

CREON.

CHORUS conſtat ex Thebanis ſenibus.

TIRESIAS.

JOCASTE.

NUNCIUS.

MINISTER Polybi.

ALIUS NUNCIUS.

Præfatur OEdipus.

SOPHOCLIS OEDIPUS TYRANNUS.

IAMBI.

Nova Soboles antiqui Cadmi,
Quid hoc in loco conſediſtis,
Supplicibus ramis coronati?
Urbs verò tota thure incenſo fumat,
Precibúſque ac gemitu omnia reſonant:
Quæ ego cùm judicarem non ex alio nunciante mihi
Cognoſcenda eſſe, ipſe huc prodii,
Ille omnium ſermonibus celebratus OEdipus.
Sed tu ô ſenex dic: nam te dignum eſt
Præ aliis ut dicas, quid eſt quòd hìc conſediſtis, (animo
Utrum metus cauſa, an injuria affecti? Cupio enim ex
Vobis opitulari. Nam certe durus eſſem,
Si me iſte conſeſſus non commoveret.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ

ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.

ΙΕΡΕΥΣ.

ΚΡΕΩΝ.

ΧΟΡΟΣ, ἐκ Θηβαίων γερόντων.

ΤΕΙΡΕΣΙΑΣ.

ΙΟΚΑΣΤΗ.

ΑΓΓΕΛΟΣ.

ΘΕΡΑΠΩΝ Πολύβου.

ΕΞΑΓΓΕΛΟΣ.

Προλογίζει δὲ ὁ Οἰδίπους.

ΣΟΦΟΚΛΕΟΥΣ

ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

ΙΑΜΒΟΙ. Οἰ.



Τέκνα, Κάδμου τοῦ πάλαι νέα τροφή,
τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε
ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι;
πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.
ἁγὼ δικαιῶν μὴ παρ' ἀγγέλων τέκνα
ἄλλων ἀκούειν, αὐτὸς ὧδ' ἐλήλυθα,
ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.
ἀλλ' ὦ γεραιὲ, φράζ' (ἐπεὶ πρέπων ἔφυς
πρὸ τῶνδε φωνεῖν) τίνι τρόπῳ καθέστατε,
δείσαντες, ἢ στέξαντες; ὡς θέλοντος ἂν
ἐμοῦ προσαρκεῖν πᾶν· δυσάλγητος γὰρ ἂν
εἴην, τοιάνδε μὴ οὐ κατοικτείρων ἕδραν.

Sac. O Princeps patriæ meæ.
Vides qualis turba consederit
Ad aras tuas, ex quibus aliqui non procul
Volare possunt, alii annis gravati sunt
Sacerdotes, Jovis ego sacerdos sum, hæc juvenum
Manus est: nam reliqua multitudo coronata
In foro sedet, juxta gemium Palladis
Delubrum: & ad Ismeni aras fatidicas.
Urbs enim, quemadmodum ipse vides, ingenti
Fluctu quassatur, nec levare caput
Amplius potest ex profundis procellis
Interierunt enim jam frugiferi folliculi terræ,
Interiit soboles armentorum, unà cum immaturis
Fœtibus mulierum: febrili verò tabe
Grassans sævissima pestis populatur urbem,
A qua vastantur domus, & ater
Pluto gemitu luctúque ditescit.
Diis quidem nunc non æquantes te, ego
Et hi pueri sedemus hîc ad aram:
Sed inter homines eximium, in calamitate vitæ,
Judicantes, & ad reconciliandum Deum,
Qui liberasti urbem tuo adventu
A tributo sævæ vatis, quod pendebamus,
Neque à nobis admonitus,
Vel edoctus, sed ope divina,
Diceris itaque & judicaris nobis restituisse vitam.
Nunc verò ô præstantissimum OEdipi caput
Te precamur omnes ad te conversi,
Ut auxilium aliquod invenias, sive divina
Voce admonitus, seu ab homine quopiam edoctus.
Video enim sapientibus viris etiam eventus
Consiliorum quàm maximè respondere.
Age igitur præstantissime princeps, erige urbem,
Prospice. Quemadmodum hæc terra
Te servatorem vocat propter priorem virtutem, (mus
Nã priorũ rerũ à te gestarũ neutiquã meminisse poteri-
Si à te erecti prius, postea corruemus,
Sed urbs in tuto ut collocetur vide.
Fœlici enim auspicio rem nobis prius
Administrasti, fac ut & nunc tui similis sis.
Nam si, ut facis, huic terræ dominaberis,
Plenam viris quàm vacuam regere pulchrius est
Quid enim vel arx est, vel navis,
Si vasta sit, nec à viris habitetur.

O miseri

Ἱε. Ἀλλ' ὦ κρατύνων Οἰδίπους χώρας ἐμῆς,
ὁρᾷς μὲν ἡμᾶς ἡλίκοι προσήμεθα
βωμοῖσι τοῖς σοῖς· οἱ μὲν, οὐδέπω μακρὰν
πτέσθαι σθένοντες· οἱ δὲ, σὺν γήρᾳ βαρεῖς
ἱερεῖς, ἐγὼ μὲν Ζηνός· οἱ δὲ τ' ἠϊθέων
λεκτοί· τὸ δ' ἄλλο φῦλον ἐξεστεμμένον
ἀγοραῖσι θακεῖ, πρός τε Παλλάδος διπλοῖς
ναοῖς, ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ.
πόλις γὰρ, ὥσπερ καὐτὸς εἰσορᾷς, ἄγαν
ἤδη σαλεύει, κἀνακουφίσαι κάρα
βυθῶν ἔτ' οὐχ οἵα τε φοινίου σάλου.
φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονὸς,
φθίνουσα δ' ἀγέλαις βουνόμοις, τόκοισί τε
ἀγόνοις γυναικῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
σκήψας ἐλαύνει λοιμὸς ἔχθιστος πόλιν,
ὑφ' οὗ κενοῦται δῶμα Καδμεῖον· μέλας
δ' ᾅδης στεναγμοῖς καὶ γόοις πλουτίζεται.
θεοῖσι μέν νυν οὐκ ἰσούμενόν σ' ἐγὼ,
οὐδ' οἵδε παῖδες, ἑζόμεσθ' ἐφέστιοι,
ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίου
κρίνοντες, ἔν τε δαιμόνων ξυναλλαγαῖς.
ὅς γ' ἐξέλυσας ἄστυ Καδμεῖον μολὼν,
σκληρᾶς ἀοιδοῦ δασμὸν ὃν παρείχομεν.
καὶ ταῦθ', ὑφ' ἡμῶν οὐδὲν ἐξειδὼς πλέον,
οὐδ' ἐκδιδαχθείς· ἀλλὰ προσθήκῃ θεοῦ
λέγῃ νομίζῃ θ' ἡμῖν ὀρθῶσαι βίον.
νῦν τ', ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα,
ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι,
ἀλκήν τιν' εὑρεῖν ἡμῖν, εἴτε του θεῶν
φήμην ἀκούσας, εἴτ' ἀπ' ἀνδρὸς οἶσθά του.
ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς
ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.
ἴθ' ὦ βροτῶν ἄριστ', ἀνόρθωσον πόλιν·
ἴθ', εὐλαβήθηθ'· ὡς σὲ νῦν μὲν ἥδε γῆ
σωτῆρα κλήζει τῆς πάρος προθυμίας·
ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνώμεθα,
στάντες γ' ἐς ὀρθὸν, καὶ πεσόντες ὕστερον.
ἀλλ' ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν.
ὄρνιθι γὰρ καὶ τὴν τότ' αἰσίῳ τύχην
παρέσχες ἡμῖν, καὶ τανῦν ἴσος γενοῦ.
ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν.
ὡς οὐδέν ἐστιν οὔτε πύργος, οὔτε ναῦς,
ἔρημος ἀνδρῶν μὴ ξυνοικούντων ἔσω.

OEd. O miseri pueri, Nota, non ignota mihi
Petitis, nimis enim scio quod (mini,
Graviter laboratis omnes: cúmque vos dolore conficia-
Non tamen quisquã est, cui ista magis, quã mihi doleant.
Nam vester dolor omnium in me unum redundat,
Me inquam solum & neminem alium hæc cura exercet.
Anima.n.mea & urbis, & meam, & vestrã vicem gemit.
Neque me dormientem excitastis unquàm:
Et quàm multas lachrymas profuderim scitis,
Quámque varias cogitando vias quæsiverim.
Quod verò unicum his malis remedium dispicere potui,
Eo usus sum: Nam filium Menœcei
Creontem affinem meum ad Delphicum
Misi Apollinis oraculum, ut exquirat, quid nam
Faciam, dicamve, quo hanc urbem liberem.
Et cùm juxta dies tempus dinumero,
Mora mihi molesta est non scienti quid agat: nam ultra
Debitum jam tempus abest.
Qui cùm venerit, tunc verò ego admodum malus
Sim, si non exequar omnia quæ præcipiat Deus,
Sac. Rectè ut ais, nam hi mihi jam
Creontem advenire nunciant.
OEd. O Apollo, utinam ille ita fœlici
Auspicio veniat, ut vultu læto adest.
Sac. Aspectu quidem hilaris apparet, quod nisi esset, non ita
Coronatus incederet Lauri frondibus.
OEd. Statim sciemus, tantum enim abest, audire ut possit:
O Rex affinis, fili Menœcei,
Quem nobis à Deo affers nuncium?
Cre. Bonum: nam etiam ea quæ gravia sunt, si rectè sint
Administrata, facilè in melius converti possunt.
OEd. Quid hoc sermonis est? neque enim fiduciam,
Vel metum ex his dictis concipio.
Cre. Si his præsentibus me vis dicere,
Paratus sum, sive intrò potius imus.
OEd. Dic omnibus præsentibus Nam propter hos majore
Cura conficior, quàm propriæ salutis causa.
Cre. Dicam ea quæ audivi à Deo:
Nam nos Apollo manifeste jussit
Piaculum quod in hac terra nutritur
Tollere, neque cum immedicabili malo conflictari.
OEd. Quæ est expiatio? aut quid hoc ærumnæ est?
Cre. Ut vel exilio multemus, vel cædem cæde
Expiemus, Hic enim sanguis turbat civitatem

Ad

Οι. Ὦ παῖδες οἰκτροί, γνωτὰ κοὐκ ἄγνωτά μοι
προσήλθεθ' ἱμείροντες· εὖ γὰρ οἶδ' ὅτι
νοσεῖτε πάντες, καὶ νοσοῦντες, ὡς ἐγὼ
οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ.
τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἓν ἔρχεται
μόνον καθ' αὑτόν, κοὐδέν' ἄλλον· ἡ δ' ἐμὴ
ψυχὴ πόλιν τε κἀμὲ καὶ σ' ὁμοῦ στένει.
ὥστ' οὐχ ὕπνῳ γ' εὕδοντά μ' ἐξεγείρετε,
ἀλλ' ἴστε πολλὰ μέν με δακρύσαντα δή,
πολλὰς δ' ὁδοὺς ἐλθόντα φροντίδος πλάναις.
ἣν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην,
ταύτην ἔπραξα· παῖδα γὰρ Μενοικέως
Κρέοντ', ἐμαυτοῦ γαμβρόν, ἐς τὰ Πυθικὰ
ἔπεμψα Φοίβου δώμαθ', ὡς πύθοιθ' ὅ,τι
δρῶν, ἢ τί φωνῶν, τήνδε ῥυσαίμην πόλιν.
καί μ' ἦμαρ ἤδη ξυμμετρούμενον χρόνῳ
λυπεῖ, τί πράσσει· τοῦ γὰρ εἰκότος πέρα,
ἄπεστι πλείω τοῦ καθήκοντος χρόνου.
ὅταν δ' ἵκηται, τηνικαῦτ' ἐγὼ κακὸς
μὴ δρῶν ἂν εἴην πάνθ' ὅσ' ἂν δηλοῖ θεός.—

Ιε. Ἀλλ' εἰς καλὸν σύ τ' εἶπας, οἵ δέ τ' ἀρτίως
Κρέοντα προσστείχοντα σημαίνουσί μοι.

Οι. Ὦναξ Ἄπολλον, εἰ γὰρ ἐν τύχῃ γέ τῳ
σωτῆρι βαίη λαμπρὸς ὥσπερ ὄμματι.

Ιε. Ἀλλ' εἰκάσαι μέν, ἡδύς· οὐ γὰρ ἂν κάρα
πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης.

Οι. Τάχ' εἰσόμεσθα· ξύμμετρος γὰρ ὡς κλύειν.
ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως,
τίν' ἡμῖν ἥκεις τοῦ θεοῦ φήμην φέρων;

Κρ. Ἐσθλήν· λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι
κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.

Οι. Ἔστιν δὲ ποῖον τοὔπος; οὔτε γὰρ θρασὺς
οὔτ' οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ.

Κρ. Εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,
ἕτοιμος εἰπεῖν, εἴτε καὶ στείχειν ἔσω.

Οι. Ἐς πάντας αὔδα· τῶνδε γὰρ πλέον φέρω
τὸ πένθος ἢ καὶ τῆς ἐμῆς ψυχῆς πέρι.

Κρ. Λέγοιμ' ἂν οἷ' ἤκουσα τοῦ θεοῦ πάρα.
ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς ἄναξ,
μίασμα χώρας, ὡς τεθραμμένον χθονὶ
ἐν τῇδ', ἐλαύνειν, μηδ' ἀνήκεστον τρέφειν.

Οι. Ποίῳ καθαρμῷ; τίς ὁ τρόπος τῆς ξυμφορᾶς;

Κρ. Ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν
λύοντας, ὡς τόδ' αἷμα χειμάζον πόλιν.

OEd. Ad quemnã igitur pertinet hæc calamitas, quã Apollo
Cre. Fuit nobis ô Rex, aliquãdo Laius gubernator (significat?
Hujus terræ, priusquam tu hanc regeres urbem.
OEd. Scio, audivi enim, & si ipsum nunquam vidi.
Cre. Hujus extincti nunc mandat apertè
Apollo, ut autores cædis puniamus.
OEd. Ubi nam illi sunt? aut ubi deprehendentur
Veteris sceleris vestigia inventu difficilia?
Cre. In hac terra, ut ipse aiebat: quod enim quæritur,
Hoc inveniri potest: facile elabitur, si quid neglectum sit.
OEd. Sed dic mihi, utrum domi, an in agro Laius,
An vero in alia terra interfectus sit?
Cre. Cùm ut aliquid inquireret profectus esset.
Neque postquam abiit, domum amplius reversus est.
OEd. Nec nuncius, aut comes itineris
Quisquam vidit, unde aliquis inquirere possit?
Cre. Perierunt omnes, uno excepto, qui cum aufugisset metu
Nihil à se visum nisi unũ quiddã commemorare potuit,
OEd. Quidnã id est? ex uno enim multa investigari possunt,
Cum parvum initium spei oblatum est,
Cre. A latronibus ajebat non paucis
Sed multis oppressum interiisse.
OEd. Quomodo latrones, si ille non pecunia
Onustus iter faciebat, hoc ausi sunt?
Cre. Fuit suspicio. Laio verò pereunti
Nemo opem tulit in periculo,
OEd. Quid verò mali obstitit, cùm Rex ita
Miserè interiret, ut non fieret inquisitio?
Cre. Perplexa ænigmata Sphingis, ea, quæ ante pedes erant
Curare nos cogebant, omissis incertis.
OEd. Sed ab initio rursum hanc rem exigam.
Rectè Apollo, rectè & tu,
Pro Rege extincto, hanc curam suscepistis,
Quare & ego vobis adiutor ero,
Ac propugnator pro hac terra & divino oraculo.
Non enim pro remotioribus amicis,
Sed pro me ipso, hoc discutiam odium.
Nam qui illum oppressit fortasse
Etiam in me eodem modo impetum facere posset:
Dum igitur illi opitulor, mihi ipsi prosum.
Quare quàm celerrimè pueri ex hoc loco surgite,
Et sublatis his supplicibus ramis,
Aliqui ex vobis populum Cadmi huc congregent,
Omnia experiemur: vel enim fœlices

Deo

Οἰ. Ποίου γὰρ ἀνδρὸς τήνδε μηνύει τύχην;
Κρ. Ἦν ἡμῖν, ὦ 'ναξ, Λάϊός ποθ' ἡγεμὼν
γῆς τῆσδε, πρὶν σὲ τήνδ' ἀπευθύνειν πόλιν.
Οἰ. Ἔξοιδ' ἀκούων· οὐ γὰρ εἰσεῖδόν γέ πω.
Κρ. Τούτου θανόντος, νῦν ἐπιστέλλει σαφῶς
τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινάς.
Οἰ. Οἱ δ' εἰσὶ ποῦ γῆς; ποῦ τόδ' εὑρεθήσεται
ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας;
Κρ. Ἐν τῇδ' ἔφασκε γῇ· τὸ δὲ ζητούμενον,
ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.
Οἰ. Πότερα δ' ἐν οἴκοις, ἢ 'ν ἀγροῖς ὁ Λάϊος,
ἢ γῆς ἐπ' ἄλλης τῷδε συμπίπτει φόνῳ;
Κρ. Θεωρὸς (ὡς ἔφασκεν) ἐκδημῶν, πάλιν
πρὸς οἶκον οὐκέθ' ἵκεθ' ὡς ἀπεστάλη.
Οἰ. Οὐδ' ἄγγελός τις, οὐδὲ συμπράκτωρ ὁδοῦ
κατεῖδ', ὅτου τις ἐκμαθὼν ἐχρήσατ' ἄν;
Κρ. Θνήσκουσι γὰρ, πλὴν εἷς τις, ὃς φόβῳ φυγὼν,
ὧν εἶδε, πλὴν ἓν, οὐδὲν εἶχ' εἰδὼς φράσαι.
Οἰ. Τὸ ποῖον; ἓν γὰρ πόλλ' ἂν ἐξεύροι μαθεῖν,
ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.
Κρ. Λῃστὰς ἔφασκε συντυχόντας, οὐ μιᾷ
ῥώμῃ κτανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.
Οἰ. Πῶς οὖν ὁ λῃστὴς, εἴ τι μὴ ξὺν ἀργύρῳ
ἐπράσσετ', ἐνθένδ' ἐς τόδ' ἂν τόλμης ἔβη;
Κρ. Δοκοῦντα ταῦτ' ἦν· Λαΐου δ' ὀλωλότος
οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγίνετο.
Οἰ. Κακὸν δὲ ποῖον ἐμποδὼν, τυραννίδος
οὕτω πεσούσης, εἶργε τοῦτ' ἐξειδέναι;
Κρ. Ἡ ποικιλῳδὸς σφίγξ τὸ πρὸς ποσὶ σκοπεῖν,
μεθέντας ἡμᾶς τἀφανῆ, προσήγετο.
Οἰ. Ἀλλ' ἐξ ὑπαρχῆς αὖθις αὔτ' ἐγὼ φανῶ.
ἐπαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ
πρὸς τοῦ θανόντος τήνδ' ἔθεσθ' ἐπιστροφήν,
ὥστ' ἐνδίκως ὄψεσθε κἀμὲ σύμμαχον,
γῇ τῇδε τιμωροῦντα, τῷ θεῷ θ' ἅμα.
ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων,
ἀλλ' αὐτὸς αὑτοῦ τοῦτ' ἀποσκεδῶ μύσος.
ὅστις γὰρ ἦν ἐκεῖνον ὁ κτανὼν, τάχ' ἂν
κἄμ' ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
κείνῳ προσαρκῶν οὖν ἐμαυτὸν ὠφελῶ.
ἀλλ' ὡς τάχιστα παῖδες, ὑμεῖς μὲν βάθρων
ἵστασθε, τούσδ' ἄραντες ἱκτῆρας κλάδους·
ἄλλος δὲ Κάδμου λαὸν ὧδ' ἀθροιζέτω.
ὡς πᾶν ἐμοῦ δράσοντος· ἢ γὰρ εὐτυχεῖς

Deo duce erimus, vel corruemus.
Sac. O filii surgamus: hanc enim ob causam
Huc venimus, quam hic commemorat.
Et Phœbus qui hoc oraculum misit, simul
Servator nobis adsit, morbúmque depellat.

MONOSTROPHICA.

Cho. O dulce Jovis oraculum, quale tandem
Ab opulento Pythico templo
Ad celebrem venisti Thebarum urbem.
Animo trepido perculsus sum,
Metuque tremo:
O Apollo morborum depulsor, Delie, Pæan,
Te religiose veneror.
Quid mihi vel nunc vel in posterum
Novæ rei conficies?
Dic mihi ô aureæ filia
Spei, immortalis fama
Invocanti primum te.
Teque invoco filia Jovis Minerva
Et terræ præsidem sororem tuam
Dianam, quæ in rotundo fori
Throno celebrem sedem habet.
Et Apollinem simul jaculatorem,
Vos tres malorum depulsores, apparete mihi,
Quando & prioris cladis,
Quæ urbem premebat, pepulistis
Ex terra noxium incendium,
Adeste & nunc, ô Dii,
Innumera enim fero mala.
Nam morbo laborat totus populus.
Neque est mihi consilii copia,
Quo quis opitulari queat.
Nam fruges inclytæ terræ
Intereunt. Neque in partu
Lucinæ labores perferunt
Mulieres. Alium verò
Super alium videas
Ceu volucrem avem,
Celerius indefesso igne

σὺν τῷ θεῷ φανούμεθ', ἢ πεπτωκότες.--
Ιε. Ὦ παῖδες, ἱστώμεσθα· τῶνδε γὰρ χάριν
καὶ δεῦρ' ἔβημεν ὧν ὅδ' ἐξαγγέλλεται·
Φοῖβος δ' ὁ πέμψας τάσδε μαντείας, ἅμα
σωτήρ θ' ἵκοιτο, καὶ νόσου παυστήριος.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ὦ Διὸς ἁδυεπὴς φάτι, τίς ποτε
τᾶς πολυχρύσου πυθῶνος
ἀγλαὰς ἔβας θήβας,
ἐκτέταμαι φοβερὰν φρένα,
δείματι πάλλων,
ἰήιε δάλιε παιὰν
ἀμφὶ σοὶ ἀζόμενος·
τί μοι ἢ νέον
ἢ περιτελλομέναις
ὥραις πάλιν ἐξανύσεις χρέος,
εἰπέ μοι ὦ χρυσέας τέκνον
ἐλπίδος ἄμβροτε φάμα·
πρῶτά σε κεκλόμενος
θύγατερ Διὸς
ἄμβροτ' ἀθάνα.
γαιάοχόν τ' ἀδελφεὰν
ἄρτεμιν, ἃ κυκλόεντ' ἀγορᾶς
θρόνον εὐκλεᾶ θάσσει.
καὶ Φοῖβον ἑκαβόλον.
ἰὼ, ἰώ.
τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι
εἴποτε καὶ προτέρας ἄτας ὕπερ
ὀρνυμένας πόλει, ἠνύσατε
ἐκτοπίαν φλόγα πήματος,
ἔλθετε νῦν, ὦ πόποι.
ἀνάριθμα γὰρ φέρω πήματα.
νοσεῖ δέ μοι πρόπας στόλος.
οὐδ' ἔνι φροντίδος ἔγχος,
ᾧ τις ἀλέξεται· οὔτε γὰρ
ἔκγονα κλυτᾶς χθονὸς
αὔξεται, οὔτε τόκοισιν
ἰηΐων καμάτων ἀνέχουσι
γυναῖκες. Ἄλλον δ' ἂν
ἄλλῳ προσίδοις,
ἅπερ εὔπτερον ὄρνιν,
κρεῖσσον ἀμαιμακέτου πυρὸς

ὅρμενον

Ruentem ad littus atri
Plutonis, qui ex urbe innumeri
Pereunt. Misera verò turba
In campo cadaveribus pleno
Jacet indefleta: interque eos conjuges
Et canæ matres
Ad aras in littore positas,
Hîc & illic tristium malorum
Deprecatrices, gemitus cient.
Invocatio Apollinis feruet, & luctuosa vox
Simul consonat. Quamobrem ô aurea
Jovis filia, pulchro aspectu, fer nobis
Auxilium, Martémque pestiferum,
Qui nunc absque armis, & scutis
Me vastat, ingenti clade opprimens,
In fugam actum cedere coge,
Atque ex hac terra pelle, sive in magnum
Thalamum Amphitrites,
Sive in Euxini scopulos,
Thraciique maris fluctus.
Nam si quid reliqui nox fecit,
Id insequens dies absumit.
Hunc igitur Martem, ô qui ignea fulgura
Dispensas Jupiter,
Tuo confice fulmine.
O Rex Lycee, utinam ab aureo
Arcu tuas sagittas
Invictas distribueres,
Ad opem ferendam directas.
Atque utinam Diana igneos
Spargat radios, quibus Lyceos montes
Percurrit. Te qui aurea mitra ornatus es,
Et idem cum hac terra nomen habes
Vinosum invoco Bacchum,
Mænadum ducem,
Ut venias & comburas lucenti face
Hunc ignominiosum ac pestiferum deum.

ὅρμενον ἀκτὰν πρὸς ἑσπέρου
θεοῦ, ὧν πόλις ἀνάριθμος
ὄλλυται· νηλέα δὲ γένεθλα
πρὸς πέδῳ θαναταφόρῳ
κεῖται ἀνοίκτως· ἐν δ' ἄλοχοι
πολιαί τ' ἔπι ματέρες
ἀκτὰν παρὰ βώμιον
ἄλλοθεν ἄλλοι λυγρῶν πόνων
ἱκτῆρες ἐπιστενάχουσι.
παιὼν δὲ λάμπει στονόεσσά τε γῆρυς
ὅμαυλος· ὧν ὕπερ, ὦ χρυσέα
θύγατερ διὸς εὐῶπα, πέμψον
ἀλκάν, ἀρεά τε τὸν μαλερόν,
ὃς νῦν ἄχαλκος ἀσπίδων
φλέγει με περιβόητος ἀντιάζων·
παλίσσυτον δράμημα νωτίσαι
πάτρας ἔπουρον· εἴτ' ἐς μέγαν
θάλαμον ἀμφιτρίτας,
εἴτ' ἐς τὸν ἀπόξενον ὅρμον
θρηΐκιον κλύδωνα.
τέλει γὰρ εἴ τι νὺξ ἀφῇ,
τοῦτ' ἐπ' ἦμαρ ἔρχεται.
τόν, ὦ πυρφόρων ἀστραπᾶν
κράτη νέμων, ὦ ζεῦ πάτερ,
ὑπὸ σῷ φθίσον κεραυνῷ.
λύκει' ἄναξ, τά τε σὰ χρυσοστρόφων
ἀπ' ἀγκύλων βέλεα θέλοιμ' ἂν
ἀδάμας' ἐνδατεῖσθαι,
ἀρωγὰ προσταθέντα,
τάς τε πυρφόρους ἀρτέμιδος
αἴγλας, ξὺν αἷς λύκει' ὄρεα
διαΐσσει, τὸν χρυσομίτραν
τε κικλήσκω· τᾶσδ' ἐπώνυμον
γᾶς οἰνώπα βάκχον εὔϊον
μαινάδων ὁμόστολον,
πελασθῆναι φλέγοντ' ἀγλαῶπι πεύκᾳ
ἐπὶ τὸν ἀπότιμον ἐν θεοῖς θεόν.

ΙΑΜ-

IAMBI.

OED. Audio quid petas: si autem voles meo sermoni
Auscultare, & huic morbo succurrere,
Remedium consequêris & levationem mali,
Quod ego, qui jam primum hoc audio, dicam,
Quíque à re ipsa alienus sum: Non enim diu
Investigarem, nisi aliqua indicia haberem.
Nunc verò (nam & ipse civium numero ascitus sum)
Omnibus hujus urbis civibus hoc denuncio:
Quicunque vidit à quo viro
Laius Labdacides interfectus est,
Huic ego impero ut rem omnem mihi indicet.
Et si fortè, ne in crimen veniat, metuit, libero
Eum metu de seipso: Nam aliud nihil patietur
Triste præterquam ut ex hac terra incolumis abeat,
Si autem quis alium novit peregrinum
Authorem cædis, ne taceat: nam præmium
Ego tribuam, & gratia ipsi reposita erit.
Sin autem tacebitis & aliquis vel amico
Metuens, vel sibi ipsi, non obediet huic sermoni,
Quid deinde facturus sim audite:
Eum ego virum edico quicunq; est, ne quis in terra
Hac, cujus ego Rex sum,
Recipiat, neque in sermone,
Aut precationibus, aut sacrificiis (illi attribuat
Quidquam cum eo commune habeat neq; sacrã aquam
Sed omnes à domo ipsum arceant: Nam ille homo nobis
Piaculum est, quemadmodum Delphicum
Apollinis oraculum mihi ostendit.
Hoc igitur modo decrevi & divinam vocem,
Et illum mortuum defendere.
Execror autem cædis autorem, sive is
Unus cùm esset latuit, sive à pluribus adiutus est,
Ut malus malè excommunicatus vitam exigat.
Et imprecor etiam meis ædibus, si
In illis me conscio delitescit,
Eadem, quæ paulò antẽ precatus sum,
Vobísque omnia ista, ut exequamini, committo,
Mea causa, & Dei,
Et hujus terræ, quæ ita sterilis atq; impiè perdita est.
Neque nos, & si Deus id non præcepisset,
Hoc inexpiatum relinquere conveniebat,

Cùm

ΙΑΜΒΟΙ.

Αἰτεῖς· ἃ δ' αἰτεῖς, τἄμ' ἐὰν θέλῃς ἔπη
κλύων δέχεσθαι, τῇ νόσῳ θ' ὑπηρετεῖν,
ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν.
ἁ 'γὼ ξένος μὲν τοῦ λόγου τοῦδ' ἐξερῶ,
ξένος δὲ τοῦ πραχθέντος· οὐ γὰρ ἂν μακρὰν
ἴχνευον αὐτὸς, μὴ οὐκ ἔχων τι σύμβολον.
νῦν δ' (ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ)
ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε·
ὅς τις ποθ' ὑμῶν Λάϊον τὸν Λαβδάκου
κάτοιδεν, ἀνδρὸς ἐκ τίνος διώλετο,
τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί.
κεἰ μὲν φοβεῖται τοὐπίκλημ', ὑπεξελὼν
αὐτὸς καθ' αὑτοῦ· πείσεται γὰρ ἄλλο μὲν
ἀστεργὲς οὐδὲν, γῆς δ' ἄπεισιν ἀβλαβής.
εἰ δ' αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς
τὸν αὐτόχειρα, μὴ σιωπάτω· τὸ γὰρ
κέρδος τελῶ 'γὼ, χ' ἡ χάρις προσκείσεται.
εἰ δ' αὖ σιωπήσεσθε, καί τις ἢ φίλου
δείσας ἀπώσῃ τοὔπος ἢ χ' αὑτοῦ τόδε,
ἃ 'κ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.
τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον ὅστις ἐστὶ, γῆς
τῆσδ', ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω,
μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινὰ,
μήτ' ἐν θεῶν εὐχαῖσι μήτε θύμασι
κοινὸν ποιεῖσθαι, μήτε χέρνιβας νέμειν·
ὠθεῖν δ' ἀπ' οἴκων πάντας, ὡς μιάσματος
τοῦδ' ἡμὶν ὄντος· ὡς τὸ πυθικὸν θεοῦ
μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.
ἐγὼ μὲν οὖν τοιόσδε τῷ τε δαίμονι
τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω.
κατεύχομαι δὲ τὸν δεδρακότ', εἴ τέ τις
εἷς ὢν λέληθεν, εἴτε πλειόνων μέτα,
κακὸν κακῶς νιν ἄμοιρον ἐκτρῖψαι βίον.
ἐπεύχομαι δ' οἴκοισιν εἰ ξυνέστιος
ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοῦ συνειδότος,
παθεῖν ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην.
ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω τελεῖν,
ὑπέρ τ' ἐμαυτοῦ, τοῦ θεοῦ τε, τῆσδέ τε
γῆς, ὧδ' ἀκάρπως κἀθέως ἐφθαρμένης.
οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον,
ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾶν,

Cum & optimus vir & rex interierit,
Sed inquirere dicebat. Nunc vero ego autor sum,
Qui & regnum administro, quod ab illo prius admini-
Et ejus cõjugẽ habeo cõsortẽ procreãdæ sob. (strat. est
Et communes cum eo liberos, si non ille
Infœlix in sobole procreanda fuisset, suscepissem.
Nunc in ipsius caput ingruit adversa fortuna:
Quapropter ego pro illo, ut pro meo parente
Enitar, & omnia experiar,
Donec inquiram cædis autorem
Filii Labdaci, ac Polydori,
Et deinceps Cadmi, atque antiqui Agenoris.
Et hæc non obedientibus à diis imprecor,
Ne illis unquam terra fruges ferat,
Neve mulieres sobolem gignant, sed ut leto
Tali moriantur, aut etiam tristiore.
Vobis autem cæteris civibus Thebanis precor, quicũq;
Ista approbatis, ut sit adiutrix divina justitia,
Et ut omnes vobis Dii semper faventes adsint,
Cho. Quemadmodũ me execratione obstrinxisti rex, ita dicã
Neque enim vel ipse occidi, vel cædis autorem
Indicare possum: sed hæc quæstio ab eo qui proposuit,
Nempe ab Apolline explicari debebat, quisnam id fe-
OEd. Recte dixisti, sed cogere Deos (cisset,
Si non ipsi velint, nemo potest.
Cho. Dicam secundũ consilium, quod mihi de hac re in mẽ-
OEd. Vel tertium si fuerit, ne reticueris. (tem venit.
Cho. Scio Tiresiam eandem divinandi vim habere,
Quæ Phoebo est, à quo si quis
Inquirat rem exploret certissime.
OEd. Ne hoc quidem à me neglectum est.
Nam de sententia Creontis ad ipsum misi duos
Nuncios, quamobrem qui adhuc absit miror.
Cho. Nam alii quidem sermones nihili & inanes sunt.
OEd. Quinam? Omnes enim sermones consydero.
Cho. Mortuum esse quidam viatores retulerunt.
OEd. Audivi & ego, sed qui viderit, nondum apparuit.
Cho. Atqui si forte quid metuit
Ubi has tuas imprecationes audierit, non aberit diutius
OEd. Qui non metuit facinus committere, is verba minus me-
Cho. Sed adest qui redarguat: nam hi (tuet.
Vatem huc adducunt
Qui solus ex hominibus vera dicere solet.
OEd. O qui consyderas omnia vates, & quæ addisci possunt.

ἀνδρὸς γ' ἀρίστου βασιλέως τ' ὀλωλότος,
ἀλλ' ἐξερευνᾶν. νῦν δ' ἐπικυρῶ τ' ἐγὼ,
ἔχων μὲν ἀρχὰς ἃς ἐκεῖνος εἶχε πρὶν,
ἔχων δὲ λέκτρα, καὶ γυναῖχ' ὁμόσπορον,
κοινῶν τε παίδων κοίν' ἂν, εἰ κείνῳ γένος
μὴ 'δυστύχησεν, ἦν ἂν ἐκπεφυκότα.
νῦν δ' ἐς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ τύχη.
ἀνθ' ὧν ἐγὼ τάδ' ὡσπερεὶ τοὐμοῦ πατρὸς
ὑπερμαχοῦμαι, κἀπὶ πάντ' ἀφίξομαι
ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν,
τῷ λαβδακείῳ παιδὶ, πολυδώρου τε καὶ
τοῦ πρόσθε κάδμου, τοῦ πάλαι τ' ἀγήνορος.
καὶ ταῦτα τοῖς μὴ δρῶσιν, εὔχομαι θεοὺς
μήτ' ἄροτον αὐτοῖς γῆν ἀνιέναι τινὰ,
μήτ' οὖν γυναικῶν παῖδας· ἀλλὰ τῷ πότμῳ
τῷ νῦν φθερεῖσθαι, κἄτι τοῦδ' ἐχθίονι.
ὑμῖν δὲ τοῖς ἄλλοισι καδμείοις, ὅσοις
τάδ' ἔστ' ἀρέσκοντα, ἥ τε σύμμαχος δίκη,
χ' οἱ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.--
Χο. Ὥσπερ μ' ἀραῖον ἔλαβες, ὧδ' ἄναξ ἐρῶ·
οὔτ' ἔκτανον γὰρ οὔτε τὸν κτανόντ' ἔχω
δεῖξαι· τὸ δὲ ζήτημα, τοῦ πέμψαντος ἦν
φοίβου τόδ' εἰπεῖν, ὅστις εἴργασταί ποτε.--
Οι. Δίκαι' ἔλεξας· ἀλλ' ἀναγκάσαι θεοὺς,
ἂν μὴ θέλωσιν, οὐδὲ εἷς δύναιτ' ἀνήρ.
Τὰ δεύτερ' ἐκ τῶνδ' ἂν λέγοιμ', ἅ μοι δοκεῖ.
Χο. Εἰ καὶ τρίτ' ἐστὶ, μὴ παρῇς τὸ μὴ οὐ φράσαι.
Οι. Ἄνακτ' ἄνακτι ταὔθ' ὁρῶντ' ἐπίσταμαι
Χο. μάλιστα φοίβῳ τειρεσίαν, παρ' οὗ τις ἂν
σκοπῶν τάδ' ὦναξ ἐκμάθοι σαφέστατα.
Οι. Ἀλλ' οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ' ἐπραξάμην.
ἔπεμψα γὰρ κρέοντος εἰπόντος, διπλοῦς
πομπούς· πάλαι δὲ μὴ παρὼν, θαυμάζεται.
Χο. Καὶ μὴν τά γ' ἄλλα κωφὰ καὶ παλαί' ἔπη.
Οι. Τὰ ποῖα ταῦτα; πάντα γὰρ σκοπῶ λόγον.
Χο. Θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.
Οι. Ἤκουσα κἀγώ· τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ.
Χο. Ἀλλ' εἴ τι μὲν δὴ δείματός γ' ἔχει μέρος,
τὰς σὰς ἀκούων οὐ μενεῖ τοιάσδ' ἀράς.
Οι. Ὧ μὴ 'στι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ.
Χο. Ἀλλ' οὐξελέγξων αὐτὸν ἐστίν· οἵδε γὰρ
τὸν θεῖον ἤδη μάντιν ὧδ' ἄγουσιν, ᾧ
τἀληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ.--
Οι. Ὦ πάντα νωμῶν τειρεσία, διδακτά τε,

Et arcana, cœlestia, ac subterranea,
Et si non vides, attamen nosti quemadmodum hæc urbs
Gravi morbo infestetur, cui te auxiliatorem,
Et Servatorem ô Rex solum speramus.
Nam Phœbus, si forte nescis, cum nuncios
Misissemus, responsum hoc remisit, liberationem
Hanc solam à morbo futuram esse,
Si inquisitos Laii interfectores
Vel supplicio capitis, vel exilio puniamus.
Tu igitur ne celes nos, sive augurium
Seu aliud quidpiam divinationis habes:
Libera quæso te ipsum, urbemque, libera & me,
Et libera mortuum isto piaculo:
In te enim omnes spes nobis sitæ sunt: Nam hom. iuvare
Prout possis præclarissimus labor est.
Tir. Hei mihi quam grave est sapere, ubi
Non expedit sapienti: hæc enim cum probe scirem,
Perii, neque huc venire debui.
OEd. Quid rei est, quod ita tristis huc advenisti?
Tir. Dimitte me, facile enim & tu tuam,
Et ego meam feram fortunam, si mihi obtemperaveris
OEd. Hoc neque justum est, nec utile urbi,
Quæ te enutrivit, si eam oraculo destituis.
Tir. Video te haudquaquam opportune loqui,
Quare & mihi idem ne accidat, metuo.
Cho. Ne per Deum, si scis, recuses, Quoniam
Omnes te supplices deprecamur.
Tir. Omnes enim non sapitis, ego vero nequaquam
Ita loquar, tua ut aperiam mala.
OEd Quid ais? cum scias, non dices? an in animo habes
Nos prodere, ac perdere hanc urbem?
Tir. Ego neque me nec te molestia afficiã: quid ob hanc rẽ
Temere me accusas? non enim auscultabis mihi.
OEd. Sceleste an non (nam vel saxum
Irritare queas) aliquando dices?
Pergesque ita immitis ac præfractus esse?
Tir. Iram accusas meam, sed eam quæ tecum
Habitat non vides, me vero vituperas.
OEd. Quis enim non indignetur ista audiens,
Quemadmodum tu hanc urbem contumelia afficis?
Tir. Evenient enim hæc, & si ego taceam
Tir. Quæ igitur eventura sunt, ea te mihi dicere oportet.
OEd. Non ulterius dicam, quamobrem tu
Si libet vel gravissime irascere.

Atqui

ἄῤῥητά τ', οὐράνιά τε, καὶ χθονοστιβῆ,
πόλιν μὲν εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ' ὅμως
οἵᾳ νόσῳ σύνεστιν· ἧς σε προστάτην
σωτῆρά τ' ὦ 'ναξ μοῦνον ἐξευρίσκομεν.
Φοῖβος γὰρ εἰ καὶ μὴ κλύεις τῶν ἀγγέλων,
πέμψασιν ἡμῖν ἀντέπεμψεν, ἔκλυσιν
μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος,
εἰ τοὺς κτανόντας λάϊον μαθόντες εὖ,
κτείναιμεν, ἢ γῆς φυγάδας ἐκπεμψαίμεθα.
σὺ δ' οὐ φθονήσας μήτ' ἀπ' οἰωνῶν φάτιν,
μήτ' εἴ τιν' ἄλλην μαντικῆς ἔχεις ὁδὸν,
ῥῦσαι σεαυτὸν καὶ πόλιν· ῥῦσαι δ' ἐμέ.
ῥῦσαι δὲ πᾶν μίασμα τοῦ τεθνηκότος.
ἐν σοὶ γάρ ἐσμεν· ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν
ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνων.

Τει. Φεῦ φεῦ· φρονεῖν ὡς δεινὸν, ἔνθα μὴ τέλη
λύει φρονοῦντι· ταῦτα γὰρ καλῶς ἐγὼ
εἰδὼς, διώλεσ'· οὐ γὰρ ἂν δεῦρ' ἱκόμην.

Οι. Τί δ' ἔστιν; ὡς ἄθυμος εἰσελήλυθας.

Τε. Ἄφες μ' ἐς οἴκους· ῥᾷστα γὰρ τὸ σόν τε σὺ,
κἀγὼ διοίσω τοὐμὸν, ἢν ἐμοὶ πίθῃ.

Οι. Οὔτ' ἔννομ' εἶπες, οὔτε προσφιλὲς πόλει
τῇδ', ἥ σ' ἔθρεψε, τήνδ' ἀποστερῶν φάτιν.

Τε. Ὁρῶ γὰρ οὐδὲ σοὶ τὸ σὸν φώνημ' ἰὸν
πρὸς καιρὸν, ὡς οὖν μηδ' ἐγὼ ταυτὸν πάθω.

Χο. Μὴ πρὸς θεῶν, φρονῶν γ' ἀποστραφῇς· ἐπεὶ
πάντες σε προσκυνοῦμεν οἵδ' ἱκτήριοι.

Οι. Πάντες γὰρ οὐ φρονεῖτ'· ἐγὼ δ' οὐ μήποτε
τἄμ', ὡς ἂν εἴπω, μὴ τὰ σ' ἐκφήνω κακά.

Τε. Τί φής; ξυνειδὼς οὐ φράσεις, ἀλλ' ἐννοεῖς
ἡμᾶς προδοῦναι καὶ καταφθεῖραι πόλιν;

Οι. Ἐγὼ τ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ. τί ταῦ-
τ' ἄλλως ἐλέγχεις; οὐ γὰρ ἂν πύθοιό μου.

Τε. Οὐκ, ὦ κακῶν κάκιστε (καὶ γὰρ ἂν πέτρου
φύσιν σύ γ' ὀργάνειας) ἐξερεῖς ποτέ.
ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανῇ;

Οι. Ὀργὴν ἐμέμψω τὴν ἐμὴν, τὴν σὴν δ' ὁμοῦ
ναίουσαν οὐ κατεῖδες, ἀλλ' ἐμὲ ψέγεις.

Τε. Τίς γὰρ τοιαῦτ' ἂν οὐκ ἂν ὀργίζοιτ' ἔπη
κλύων, ἃ νῦν σὺ τήνδ' ἀτιμάζεις πόλιν;

Οι. Ἥξει γὰρ αὐτὰ, κἂν ἐγὼ σιγῇ στέγω.

Τε. Οὐκοῦν ἅ γ' ἥξει, καὶ σὲ χρὴ λέγειν ἐμοί.

Οι. Οὐκ ἂν πέρα φράσαιμι· πρὸς τάδ', εἰ θέλεις,
θυμοῦ δι' ὀργῆς ἥτις ἀγριωτάτη.

OEd. Atqui nihil prætermittam, quemadmodũ nunc iratus
Quin ea quæ sentio dicam. Tu enim videris mihi (sum
Adiutor facti hujus esse, ac tantum non
Tuis manibus ipse cædem fecisse: si vero vidisti
Facinus perpetrari. & hoc tuum solius esse dico,
Tir. Verum, At ego te dico illi edicto
Quod propoluisti ipsum obnoxium esse, nec tibi post
Fas esse alloqui vel hos cives, vel me, ((hunc diem
Ut qui impius sis, & hujus terræ piaculum.
OEd. Ita impudentur movisti
Hunc sermonem ? an te pœnas effugiturum putas ?
Tir. Effugi, veritatem enim quæ fortior est, alo.
OEd. A quo edoctus ista dicis ? non utique ab arte divinandi,
Tir. A te. nam tu me, ut dicerem, impulisti.
OEd. Quidnam ? Dic rursum ut melius audiam.
Tir. Non intellexisti antea ? an tentandi causa quæris ?
OEd. Non de re nota quæro sed dic rursum.
Tir. Te ejus viri interfectorem esse dico, cujus interfectorẽ
OEd At non impune bis convicium facies. (quæris.
Tir. Dicam igitur & alia, ut magis irascaris ?
OEd. Dic quantum voles, frustra quidem dixeris.
Tir. Nescientem te dico cum charissimis (sis malis.
Turpissime consuetudinem habere, neq; vid. in quibus
OEd An te impune hæc semper dicturum esse existimas ?
Tir. Existimo si modo aliquid in veritate est roboris.
OEd. Est quidem sed tibi non inest veritas, Quoniam
Tu & auribus, & mente, & oculis cæcus es,
Tir. Tu miser mihi hoc exprobras, quod idem
Paulo post nemo non exprobrabit tibi.
OEd. Solæ tenebræ te tuentur alioqui effecissem,
Ut neque me, nec alium quenquam eorum, qui lucem in-
Tir. Non est in fatis à te ut interficiar, (tuẽtur amplius aspi,
Nam Apollini id curæ erit.
OEd. Tuum ne an Creontis hoc commentum est ?
Tir. Non Creon tibi mali causa est, sed tu ipse.
OEd. O divitiæ, & regnum, & ars artem
Exuperans, in quadam vitæ fœlicitate,
Quantum vobis invidiæ subest ?
Si quidem hoc regno, quod civitas mihi
Sponte sua non petenti dono detulit,
Creon ille, qui initio fidus amicus erat,
Clam per insidias me dejicicere studet,
Subornato hoc præstigiatore, malefico,
Fraudulento, circumforaneo, qui nihil videt

Nisi

Οἰ. Καὶ μὴν παρήσω γ' οὐδέν, ὡς ὀργῆς ἔχω,
ἅπερ ξυνίημ'. ἴσθι γὰρ δοκῶν ἐμοὶ
καὶ ξυμφυτεῦσαι τοὔργον, εἰργάσθαι θ' ὅσον
μὴ χερσὶ καίνων· εἰ δ' ἐτύγχανες βλέπων,
καὶ τοὔργον ἂν σοῦ τοῦτ' ἔφην εἶναι μόνου.
Τει. Ἀληθές; ἐννέπω σὲ τῷ κηρύγματι,
ᾧπερ προεῖπας ἐμμένειν, κἀφ' ἡμέρας
τῆς νῦν προσαυδᾶν μήτε τούσδε μήτ' ἐμέ,
ὡς ὄντι γῆς τῆσδ' ἀνοσίῳ μιάστορι.
Οἰ. Οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα; καὶ ποῦ τοῦτο φεύξεσθαι δοκεῖς;
Τει. Πέφευγα· τἀληθὲς γὰρ ἰσχύον τρέφω.
Οἰ. Πρὸς τοῦ διδαχθείς; οὐ γὰρ ἔκ γε τῆς τέχνης.
Τει. Πρὸς σοῦ· σὺ γάρ μ' ἄκοντα προὐτρέψω λέγειν.
Οἰ. Ποῖον λόγον; λέγ' αὖθις, ὡς μᾶλλον μάθω.
Τει. Οὐχὶ ξυνῆκας πρόσθεν; ἢ 'κπειρᾷ λέγειν;
Οἰ. Οὐχ ὥστε γ' εἰπεῖν γνωστόν· ἀλλ' αὖθις φράσον.
Τει. Φονέα σε φημὶ τἀνδρὸς οὗ ζητεῖς κυρεῖν.
Οἰ. Ἀλλ' οὔτι χαίρων δίς γε πημονὰς ἐρεῖς.
Τει. Εἴπω τι δῆτα κἄλλ', ἵν' ὀργίζῃ πλέον;
Οἰ. Ὅσον γε χρῄζεις· ὡς μάτην εἰρήσεται.
Τει. Λεληθέναι σέ φημι σὺν τοῖς φιλτάτοις
αἴσχισθ' ὁμιλοῦντ', οὐδ' ὁρᾶν ἵν' εἶ κακοῦ.
Οἰ. Ἦ καὶ γεγηθὼς ταῦτ' ἀεὶ λέξειν δοκεῖς;
Τει. Εἴπερ τι γ' ἐστὶ τῆς ἀληθείας σθένος.
Οἰ. Ἀλλ' ἔστι, πλὴν σοί· σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεὶ
τυφλὸς τά τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ.
Τει. Σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἃ σοὶ
οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα.
Οἰ. Μιᾶς τρέφῃ πρὸς νυκτός, ὥς τε μήτ' ἐμέ,
μήτ' ἄλλον, ὅστις φῶς ὁρᾷ, βλέψαι ποτ' ἄν.
Τει. Οὐ γάρ με μοῖρα πρός γε σοῦ πεσεῖν, ἐπεὶ
ἱκανὸς Ἀπόλλων, ᾧ τάδ' ἐκπρᾶξαι μέλει.
Οἰ. Κρέοντος ἢ σοῦ ταῦτα τὰ 'ξευρήματα;
Τει. Κρέων δέ σοι πῆμ' οὐδέν· ἀλλ' αὐτὸς σὺ σοί.
Οἰ. Ὦ πλοῦτε, καὶ τυραννί, καὶ τέχνη τέχνης
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται,
εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις
δωρητὸν οὐκ αἰτητὸν εἰσεχείρισε,
ταύτης Κρέων ὁ πιστός, οὑξ ἀρχῆς φίλος,
λάθρα μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,
ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
δόλιον ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσιν

Nisi lucrum, ad artem vero cæcus est.
Age enim dic mihi, Quomodo tu vates certus es?
Quare tunc cum adesset Sphinx, quæ carmina compo-
Non afferebas aliquod civibus remedium? (nebat,
Et illud quidem ænigma interpretari
Non erat vulgaris viri, sed divinatione opus erat,
Quam neque tu auspicio cognitam protulisti,
Neq; ab aliquo deo revelatam, sed ego adveniens
Ego inquam ille ignarus OEdipus compescui ipsam
Acie mentis rem assecutus, non ab avibus edoctus,
Quem tu conaris ejicere. sperans ad thronum deinde
Creontis te proximum adstiturum esse. (suit,
Cum magno malo mihi videris & tu, & qui ista compo-
Regnaturus esse: & nisi propter senium tibi parcerem,
Malo edoctus cognovisses ea quæ agis.

Cho. Nobis conjectantibus & hujus sermones
Per iram dicti, & tui videntur.
Neq; vero sic oportet, sed potius quemadmodũ divinũ
Oraculum optime interpretemur, cogitandum est.

Tir. Etsi regnum obtines, hoc tamen æquari oportet
Ex æquo ut dicas atq; audias: hoc jus mihi tecum com-
Neque enim tibi servio, sed Apollini, (mune est.
Nec patrocinio Creontis utar.
Hoc vero tibi dico, quod cum cæcitatẽ exprobres mihi,
Tuque oculis valeas, non tamen vides in quibus verse-
Neque ubi, nec apud quos habites, (ris malis
An nescis ex quibus natus sis? teque hostem (vivunt
Tuis esse pariter, & qui mortui sunt, & qui adhuc
Et te undiq; impetentes maternæ pariter ac paternæ
Exigunt tandem ex hac terra horribiles diræ,
Qui nunc quidem recte vides, paulo post cæcus eris,
Et tuis questibus quis portus
Quisque mons non resonabit?
Quum rescisces, quales nuptias domi
Infœliciter occasione usus contraxeris.
Et reliquum malorũ agmen, quod tibi adhuc ignotũ est
Quæ in te pariter ac liberos tuos redundabunt.
Jam, si libet, & Creontem, & os meum
Contumeliose tracta, Te enim non erit
Alius homo scelerations, qui peribit unquam.

OEd. An hoc ferendum est, ut ista ex eo audiamus?
An non in malam rem hinc ibis? an non domum
Mox rursum ab his discedes ædibus?

Tir. Non utique venissem ego, nisi tu vocasses.

Non

μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
ἐπεὶ, φέρ' εἰπὲ, ποῦ σὺ μάντις εἶ σαφής;
πῶς οὐχ' ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων
ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;
καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοὐπιόντος ἦν
ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει·
ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προὐφάνης ἔχων
οὔτ' ἐκ θεῶν του γνωτόν· ἀλλ' ἐγὼ μολὼν
ὁ μηδὲν εἰδὼς οἰδίπους, ἔπαυσά νιν
γνώμῃ κυρήσας, οὐδ' οἰωνῶν μαθών·
ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
παραστατήσειν τοῖς κρεοντείοις πέλας·
κλαίων δοκεῖς μοι καὶ σὺ, χὡ συνθεὶς τάδε,
ἀγηλατήσειν· εἰ δὲ μὴ 'δόκεις γέρων
εἶναι, παθὼν ἔγνως ἂν οἷά περ φρονεῖς.

Χο. Ἡμῖν μὲν εἰκάζουσι, καὶ τὰ τοῦδ' ἔπη
ὀργῇ λελέχθαι καὶ τὰ σ' οἰδίπου δοκεῖ.
δεῖ δ' οὐ τοιούτων, ἀλλ' ὅπως τὰ τοῦ θεοῦ
μαντεῖ' ἄριστα λύσομεν, τόδε σκοπεῖν.

ΕΙ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
ἴσ' ἀντιλέξαι, τοῦδε γὰρ κἀγὼ κρατῶ.
οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ λοξίᾳ.
ὥστ' οὐ κρέοντος προστάτου γεγράψομαι.
λέγω δ' ἐπειδὴ καὶ τυφλόν μ' ὠνείδισας,
σὺ καὶ δέδορκας, κοὐ βλέπεις ἵν' εἶ κακοῦ,
οὐδ' ἔνθα ναίεις, οὐδ' ὅτων οἰκεῖς μέτα.
ἆρ' οἶσθ' ἀφ' ὧν εἶ; καὶ λέληθας ἐχθρὸς ὢν
τοῖς σοῖσιν αὐτοῦ νέρθε, κἀπὶ γῆς ἄνω;
καί σ' ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς
ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρά,
βλέποντα νῦν μὲν ὄρθ', ἔπειτα δὲ, σκότον·
βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμὴν;
ποῖος κιθαιρὼν οὐχὶ σύμφωνος τάχα,
ὅταν καταίσθῃ τὸν ὑμέναιον· ὃν δόμοις
ἄνορμον εἰσέπλευσας εὐπλοίας τυχὼν;
ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνῃ κακῶν,
ἅ σ' ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.
πρὸς ταῦτα, καὶ κρέοντα καὶ τοὐμὸν στόμα
προπηλάκιζε· σοῦ γὰρ οὐκ ἔστι βροτῶν
κάκιον ὅστις ἐκτριβήσεταί ποτε.

Οι. Ἦ ταῦτα δῆτ' ἀνεκτὰ πρὸς τούτου κλύειν;
οὐκ εἰς ὄλεθρον; οὐχὶ θᾶσσον; οὐ πάλιν
ἄψορρος οἴκων τῶνδ' ἀποστραφεὶς ἄπει;

Τι. Οὐδ' ἱκόμην ἔγωγ' ἂν, εἰ σὺ μὴ 'κάλεις.

Οὐ

OEd. Non enim sciebam te stulta hæc locuturum esse.
Alioqui tarde te ad nos accersivissem.
Tir. Nos tibi quidem videmur stulti.
Tuis vero parentibus visi sapientes.
OEd. Quibus? mane, dic mihi quis me genuit?
Tir. Hic dies & gignet te & evertet.
OEd. Ut omnia valde obscura & perplexa loqueris.
Tir. At tu optimus talium ænigmatum interpres es,
OEd Hæc mihi exprobras, quæ laudem merentur,
Tir. Ipsa utique fortuna te perdidit.
OEd. Verum quando urbem servavi, non curo.
Tir. Abeo igitur, & tu puer duc me.
OEd. Ducat sane, nam præsens tu impedis,
Ac inturturbas, quare amotus non perinde molestus eris
Tir. Abeo, postquam dixi ea propter quæ huc veni, non tuũ
Os veritus, non enim tu me occides,
Dico vero tibi, quod ille vir quem jamdudum
Quæris interminans, & edicta proponens,
De cæde Laii ille inquam hic est,
Peregrinus falso & advena dictus, reipsa vero indigena
Et Thebanus civis ejus esse videbitur: nec gaudebit
Calamitate, cæcus enim pro vidente factus
Et mendicus pro divite in peregrinam
Terram baculo nixus abibit,
Palam enim fiet, ipsum filiis suis
Fratrem esse, & patrem simul. & ex qua natus est,
Eidem esse filium & maritum. Patris vero
Adulterum & occisorem. Jam si videtur intro
Abi, atq; ista exquire. Et si me falsum deprehendes,
Tum dicas me divinando nihil sapere.

ANTISTROPHICA. strophe 1.

Cho. Quisnam ille est, de quo vaticinatrix
Delphica rupes loquitur,
Qui omnium maxime infanda perpetravit.
Cruentis manibus.
Tempus est, ut ille jam velocibus equis
Celerius fugiat.
Armatus enim in ipsum
Impetum facit,
Igni & fulgure,
Jovis filius, sævumque
Simul ac inevitabile fatum sequitur,

Οι. Οὐ γάρ τι σ' ᾔδειν μῶρα φωνήσοντ', ἐπεὶ
σχολῇ σ' ἂν οἴκους τοὺς ἐμοὺς ἐστειλάμην.
Τει. Ἡμεῖς τοιοίδ' ἔφυμεν, ὡς μὲν σοὶ δοκεῖ,
μῶροι· γονεῦσι δ', οἵ σ' ἔφυσαν, εὔφρονες.
Οι. Ποίοισι; μεῖνον· τίς δέ μ' ἐκφύει βροτῶν;
Τει. Ἡ δ' ἡμέρα φύσει σε καὶ διαφθερεῖ.
Οι. Ὡς πάντ' ἄγαν γ' αἰνικτὰ κἀσαφῆ λέγεις.
Τει. Οὔκουν σὺ ταῦτ' ἄριστος εὑρίσκειν ἔφυς.
Οι. Τοιαῦτ' ὀνείδιζ' οἷς ἔμ' εὑρήσεις μέγαν.
Τει. Αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν.
Οι. Ἀλλ' εἰ πόλιν τήνδ' ἐξέσωσ', οὔ μοι μέλει.
Τει. Ἄπειμι τοίνυν· καὶ σὺ παῖ κόμιζέ με.
Οι. Κομιζέτω δῆθ'· ὡς παρὼν τά γ' ἐμποδὼν
ὀχλεῖς· συθείς τ' ἄν, οὐκ ἂν ἀλγύναις πλέον.
Τει. Εἰπὼν ἄπειμ' ὧν οὕνεκ' ἦλθον, οὐ τὸ σὸν
δείσας πρόσωπον· οὐ γάρ ἐσθ' ὅπη μ' ὀλεῖς·
λέγω δέ σοι τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
ζητεῖς, ἀπειλῶν κἀνακηρύσσων φόνον
τὸν λαΐειον· οὗτός ἐστιν ἐνθάδε,
ξένος λόγῳ μέτοικος· εἶτα δ' ἐγγενὴς
φανήσεται Θηβαῖος· οὐδ' ἡσθήσεται
τῇ ξυμφορᾷ· τυφλὸς γὰρ ἐκ δεδορκότος,
καὶ πτωχὸς ἀντὶ πλουσίου, ξένην ἔπι
σκήπτρῳ προδεικνὺς γαῖαν ἐμπορεύσεται.
φανήσεται δὲ παισὶ τοῖς αὑτοῦ ξυνὼν
ἀδελφὸς αὑτὸς καὶ πατήρ, κἀξ ἧς ἔφυ
γυναικὸς υἱὸς καὶ πόσις, καὶ τοῦ πατρὸς
ὁμόσπορός τε καὶ φονεύς· καὶ ταῦτ' ἰὼν
εἴσω λογίζου· κἂν λάβῃς μ' ἐψευσμένον,
φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ α'.

Χο. 1 Τίς ὅντιν' ἁ θεσπιέπεια
2 Δελφὶς εἶπε πέτρα
3 ἄρρητ' ἀρρήτων
4 τελέσαντα φοινίαισι χερσίν;
5 ὥρα νιν ἀελλοπόδων ἵππων
6 σθεναρώτερον φυγᾷ πόδα νωμᾶν.
7 ἔνοπλος γὰρ ἐπ' αὐτὸν ἐπενθρῴσκει
8 πυρὶ καὶ στεροπαῖσι Διὸς γενέτας.
9 δειναὶ δ' ἅμ' ἕπονται
10 κῆρες ἀναπλάκητοι.—

ANTISTROPHE 2.

Nam incenſa eſt à nivoſo
Jam recens fama Parnaſſo,
Ut quiſque illum occultantem ſe inveſtiget,
Qui latet in ſolis ſylvis
Antriſque ac rupibus ut Taurus,
Et miſer, miſero pede ſolitarius vagatur,
Ex medio orbe prodita fugiens
Oracula, at illa viva circumvolitans.

STROPHE 2.

Horribilia vero movet
Sapiens vates,
Quæ nequeunt credi, neque ut negari poſſint video.
Quid igitur dicam, dubito,
Et ſpe ambigua pendeo,
Neque ſtatuere poſſum huc ne an illuc reſpiciam :
Quæ enim inter Labdacidis
Et filium Polybi contentio fuerit,
Neque antehac unquam audivi,
Nec nunc intelligo.
Quali igitur.
Indicio adducar ut huic peregrino
Rumori credam contra OEdipodem ?
Fiamque adiutor Labdacidis
Ad inquirendum ignotæ cædis autorem ?

ANTISYSTEMA 2.

Sed Juppiter & Apollo
Sapientes ſunt, reſque hominum norunt.
Inter homines vero quod vates
Plus aliis intelligant,
Non ſatis conſtat.
Ingenia quidem alia aliis
Præſtantiora ſunt hominum.
Quapropter ego niſi prius audiero
Firmiora argumenta, non temere accuſantibus regem
Aſſentiar. Nam hoc manifeſtum eſt,

Quod

ΑΝΤΙΣΤΡΟΦΗ α΄.

ἔλαμψε γὰρ τοῦ νιφόεντος
ἀρτίως φανεῖσα
φάμα Παρνασοῦ,
τὸν ἄδηλον ἄνδρα πάντ' ἰχνεύειν.
φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν,
ἀνά τ' ἄντρα καὶ πέτρας, ὡς ταῦρος,
μέλεος μελέῳ ποδὶ χηρεύων,
τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων
μαντεῖα· τὰ δ' αἰεὶ
ζῶντα περιποτᾶται.

ΣΤΡΟΦΗ β.

δεινὰ μὲν οὖν δεινὰ ταράσσει
σοφὸς οἰωνοθέτας·
οὔτε δοκοῦντ', οὔτ', ἀποφάσκον-
θ', ὅ, τι λέξω δ' ἀπορῶ.
πέτομαι δ' ἐλπίσιν, οὔτ' ἐν-
θάδ' ὁρῶν, οὔτ' ὀπίσω.
τί γὰρ ἢ Λαβδακίδαις,
ἢ τῷ Πολύβου νεῖκος ἔκει-
τ' οὔτε πάροιθέν ποτ' ἐγὼ,
οὔτε τανῦν πω ἔμαθον
τί, πρὸς ὅτου δὴ βασάνῳ,
ἐπὶ τὰν ἐπίδαμον
φάτιν εἶμ' Οἰδιπόδα,
Λαβδακίδαις ἐπίκουρος
ἀδήλων θανάτων.--

ΑΝΤΙΣΤΡΟΦΗ β

ἀλλ' ὁ μὲν οὖν Ζεὺς, ὅ, τ' Ἀπόλλων,
ξυνετοὶ, καὶ τὰ βροτῶν
εἰδότες· ἀνδρῶν δ' ὅτι μάντις
πλέον ἢ 'γὼ φέρεται,
κρίσις οὐκ ἔστιν ἀληθής·
σοφίᾳ δ' ἂν σοφίαν
παραμείψειεν ἀνήρ.
ἀλλ' οὔποτ' ἔγωγ' ἂν πρὶν ἴδοι-
μ' ὀρθὸν ἔπος, μεμφομένων
ἂν καταφαίην· φανερὰ

Quod eum invasit alata puella,
Et tunc sapientiam suam declaravit,
Ac urbi reipsa profuit. Quamobrem
Me judice nunquam
Censebitur malus.

IAMBI.

Cre. O cives audivi Regem
Atrociter me accusare,
Adsum igitur id graviter ferens. Si enim in his malis
Præsentibus existimat aliquid à me
Dictum factum ve esse gravius
Non mihi vitæ longioris desiderium est,
Sustinenti talem famam Non enim levem
Maculam hic sermo inurit mihi,
Sed maximam si quidem civis malus & noxius urbi
A te atque ab amicis vocabor.
Cho. Sed hoc probrum fortasse
Ira expressit, neque serio dictum est.
Cre. Quisnam hoc asseveravit, quod consilio meo
Persuasus vates falsa responderit?
Cho. Dicta quidem hæc sunt, sed quo animo nescio.
Cre. An vultu vero, atque serio
Hujus me criminis reum fecit?
Cho. Nescio: Nam Principum facta non video,
Sed ipse jam ex domo huc prodit.
OEd. Heus tu, quid huc venisti? eo ne audaciæ
Processisti, ut ausis ad mea tecta venire,
Cum sis interfector hujus viri manifeste,
Et prædo perspicue regni mei?
Age dic mihi per Deum, timidum ne me, an stultum
Existimabas esse, cum id consilii caperes?
Aut me putabas non persensurum esse
Cum insidiæ struerentur, nec propulsaturum?
An non insanus est iste conatus tuus,
Absque populo & amicis regnum captare-
Quod favore multitudinis & opibus obtineri solet:
Scis quid facias? Pro his, quæ jam dixisti,
Cre. Vicissim audi, & deinde re cognita judica.
OEd. Orator tu quidem vehemens es sed ego auditor malus.
Nam te infensum gravemque deprehendi mihi.
Cre. Hoc ipsum primum audi, quod dicam.
OEd. Hoc ipsum ne mihi dicas, quod non sis malus,

γὰρ ἐπ' αὐτῷ πτερόεσσ' ἦλθε κόρα
ποτέ, καὶ σοφὸς ὤφθη,
βασάνῳ θ' ἡδύπολις.
τῷ δ' ἀπ' ἐμᾶς φρενὸς οὔπο-
τ' ὀφλήσει κακίαν.

IAMBI.

Κρ. Ἄνδρες πολῖται, δείν' ἔπη πεπυσμένος
κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν,
πάρειμ' ἀτλητῶν. εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
ταῖς νῦν νομίζει πρός γ' ἐμοῦ πεπονθέναι,
λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον,
οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος,
φέροντι τήνδε βάξιν. οὐ γὰρ εἰς ἁπλοῦν
ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει,
ἀλλ' ἐς μέγιστον, εἰ κακὸς μὲν ἐν πόλει,
κακὸς δὲ πρὸς σοῦ καὶ φίλων κεκλήσομαι.
Χο. Ἀλλ' ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ' ἂν
ὀργῇ βιασθὲν μᾶλλον ἢ γνώμῃ φρενῶν.
Κρ. Πρὸς τοῦ δ' ἐφάνθη ταῖς ἐμαῖς γνώμαις ὅτι
πεισθεὶς ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγει.
Χο. Ηὐδᾶτο μὲν τάδ', οἶδα δ' οὐ γνώμῃ τίνι.
Κρ. Ἐξ ὀμμάτων δ' ὀρθῶν τε κἀξ ὀρθῆς φρενὸς
κατηγορεῖτο τοὐπίκλημα τοῦτ' ἐμοῦ;
Χο. Οὐκ οἶδ', ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες οὐχ ὁρῶ.
αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ.
Οι. Οὗτος σὺ, πῶς δεῦρ' ἦλθες; ἦ τοσόνδ' ἔχεις
τόλμης πρόσωπον, ὥστε τὰς ἐμὰς στέγας
ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς,
λῃστής τ' ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
φέρ' εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
ἰδών τιν' ἐν ἐμοὶ, ταῦτ' ἐβουλεύσω ποιεῖν;
ἢ τοὔργον ὡς οὐ γνωριοῖμί σου τόδε
δόλῳ προσέρπον, κοὐκ ἀλεξοίμην μαθών;
ἆρ' οὐχὶ μῶρόν ἐστι τοὐγχείρημά σου,
ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα
θηρᾶν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;
Κρ. Οἶσθ' ὡς ποίησον; ἀντὶ τῶν εἰρημένων
ἴσ' ἀντάκουσον, κᾆτα κρῖν' αὐτὸς μαθών.
Οι. Λέγειν σὺ δεινὸς, μανθάνειν δ' ἐγὼ κακὸς
σοῦ· δυσμενῆ γὰρ καὶ βαρύν σ' ηὕρηκ' ἐμοί.
Κρ. Τοῦτ' αὐτὸ νῦν μου πρῶτ' ἄκουσον ὡς ἐρῶ.
Οι. Τοῦτ' αὐτὸ μή μοι φράζ', ὅπως οὐκ εἶ κακός.

Cre. Si quid boni putas pertinaciam esse
Absque mente, nimium quidem erras.
OEd. Si existimas te, cum amicum injuria afficias,
Non daturum esse pœnas, nimium etiam erras.
Cre. Assentior tibi ista vere dici. Sed quænam
Hæc injuria est, qua te affectum ais, dic mihi?
OEd. Persuasisti, an non persuasisti, quod oportet me
Ad præclarum illum vatem mittere aliquem?
Cre. Et nunc quidem sentio idem.
OEd. Quam diu est ex quo Laius?
Cre. Quid fecit? nam non intelligo,
OEd. Interfectus periit?
Cre. Longum & antiquum tempus numerari posset,
OEd. An tunc iste vates exercebat hanc artem?
Cre. Eodem modo sapiens, & pari honore fuit.
OEd. Mentionem ne tunc de me aliquam fecit?
Cre. Non, quod quidem ego sciam, ut audiverim unquam.
OEd. At nunquid tum autorem cædis inquirebatis?
Cre. Inquirebamus, quid ni, sed non invenimus.
OEd. Quare ergo tunc hic sapiens vates ista non dicebat?
Cre. Non scio, de his vero quæ nescio tacere soleo.
OEd. Tantum utique sciebas, & gratum facies si dices.
Cre. Quid hoc est? si enim sciam, non negabo.
OEd. Quod nisi ille tecum congressus fuisset, nunquam me
Cædis Laii autorem esse dixisset.
Cre. Utrum hæc dicat, tu nosti, ego vero ex te
Quærere cupio eadem, quæ tu ex me quæris,
OEd. Exquire, non enim unquã ego interfector deprehẽdar,
Cre. An non sororem meam habes uxorem?
OEd. Non nego hoc quod interrogas,
Cre. Regnumq; æqualiter cum ea administras, & æqualiter (frueris terra?
OEd. Quæ quatenus voluit: omnia à me consecuta est,
Cre. Non igitur ego ex æquo inter vos tertius ero.
OEd. In hoc inquam male fidum apparet te esse amicum.
Cre. Non, si me audies ibidem, ut ego te.
Hoc enim primum expende, an tu quemquam existimas
Præoptare regnum cum metu magis, quam ut
Secure dormiat præditus eadem potentia?
Ego igitur non tali ingenio sum,
Regnare ut ipse malim, quam imperata facere,
Ita moderatissimus quisque affectus est.
Nunc enim à te omnia absque metu habeo:
Si vero ipse imperarem, multa vel invitus facere coge-
Quomodo igitur regnum mihi dulcius esse potest, (rer.

Quam

Κρ. Εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
εἶναί τι τοῦ νοῦ χωρὶς, οὐκ ὀρθῶς φρονεῖς.
Οι. Εἴ τοι νομίζεις ἄνδρα συγγενῆ κακῶς
δρῶν, οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.
Κρ. Ξύμφημί σοι ταῦτ' ἔνδικ' εἰρῆσθαι· τὸ δὲ
πάθημ' ὁποῖον φὴς παθεῖν, δίδασκέ με.
Οι. Ἔπειθες, ἢ οὐκ ἔπειθες; ὡς χρεὶ ἦμ' ἐπὶ
τὸν σεμνόμαντον ἄνδρα πέμψασθαί τινα.
Κρ. Καὶ νῦν ἔτ' αὐτός εἰμι τῷ βουλεύματι.
Οι. Πόσον τίν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον;
Κρ. Δέδρακε ποῖον ἔργον; οὐ γὰρ ἐννοῶ.
Οι. Ἄφαντος ἔρρει θανασίμῳ χειρώματι.
Κρ. Μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.
Οι. Τότ' οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;
Κρ. Σοφός γ' ὁμοίως, κἀξ ἴσου τιμώμενος.
Οι. Ἐμνήσατ' οὖν ἐμοῦ τι τῷ τότ' ἐν χρόνῳ;
Κρ. Οὔκουν, ἐμοῦ γ' ἑστῶτος οὐδαμοῦ πέλας.
Οι. Ἀλλ' οὐκ ἔρευναν τοῦ θανόντος ἔσχετε;
Κρ. Παρέσχομεν· πῶς δ' οὐχί; κοὐκ ἠκούσαμεν.
Οι. Πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;
Κρ. Οὐκ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ, σιγᾶν φιλῶ.
Οι. Τὸ σὸν δέ γ' οἶσθα, καὶ λέγοις ἂν εὖ φρονῶν.
Κρ. Ποῖον τόδ'; εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι.
Οι. Ὁθ' οὕνεκ' εἰ μή σοι ξυνῆλθε, τὰς ἐμὰς
οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.
Κρ. Εἰ μὲν λέγει τάδ', αὐτὸς οἶσθ'· ἐγὼ δέ σου
μαθεῖν δικαιῶ ταῦθ' ἅπερ κἀμοῦ σὺ νῦν.
Οι. Ἐκμάνθαν'· οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.
Κρ. Τί δῆτ' ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;
Οι. Ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς.
Κρ. Ἄρχεις δ' ἐκείνῃ ταὐτά, γῆς ἴσον νέμων;
Οι. Ἃν ᾖ θέλουσα, πάντ' ἐμοῦ κομίζεται.
Κρ. Οὔκουν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος.
Οι. Ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνῃ φίλος.
Κρ. Οὔκ· εἰ διδοίης γ', ὡς ἐγὼ, σαυτῷ λόγον.
σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς
ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον, ἢ
ἄτρεστον εὕδοντ', εἰ τά γ' αὔθ' ἕξει κράτη.
ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἱμείρων ἔφυν
τύραννος εἶναι μᾶλλον ἢ τύραννα δρᾶν,
οὔτ' ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται.
νῦν μὲν γὰρ ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω.
εἰ δ' αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων.
πῶς δῆτ' ἐμοὶ τυραννὶς ἡδίων ἔχειν

Quàm imperium & potentia absque molestia?
Non enim ita demens sum.
Ut nō ea bona, quæ lucro sint, magis amplectenda ducā.
Nunc omnibus delector, nunc me omnes amplectūtur,
Nunc qui tuo patrocinio opus habent, me invocant,
Per me enim apud te assequuntur omnia.
Quomodo igitur his commodis amissis regnū appetā?
Mens mala non rectè sapit.
Sed neque ego unquam hoc consilium amplexus sum.
Neque cuiquam ea in re adiutor esse velim.
Et firmum argumentum si quæris, à Delphico oraculo
Rem exquire, utrū oraculum rectè renunciaverim,
Et si me cum vate deprehendes
Aliquid contulisse, non unius calculo convictum
Occidas, sed meo tuóque simul.
Propter suspicionem verò incertam ne me privatim cri-(mineris.
Non enim justum est, sive malos temere
Bonos judicare, seu eos, qui boni sunt, malos,
Amicum.n.bonum ejicere æquè grave crimen duco
Ut propriam vitam prodere, quæ charissima est.
Sed tempus ista indicabit tutó.
Tempus enim virum bonum declarat solum,
Malum verò vel una die cognoveris.
Cho. Rectè dixit, cavendum esse ne temere ruas
O Rex: nam subitò qui sapit, non tutò sapit,
OEd. Quando aliquis celeriter furtim insidias
Struit, tunc & me celeriter consilium capere oportet.
Nam si quietus manebo, ille rem suam
Confecerit, ego verò excidero.
Cre. Quid igitur postulas, an me vis hac terra excedere?
OEd. Minime sed mori, non enim volo ut effugias.
Cre. Quando ostendes, quæ sit causa odii.
OEd. Non igitur cedes, neque concedes mihi?
Cre. Non enim te rectè consulere video.
OEd. Mihi utique rectè.
Cre. Sed eodem modo & me mihi consulere oportet.
OEd. Sed malus es.
Cre. Quid si rem non intelligas?
OEd. Attamen imperandum est.
Cre. Non, si malè imperes.
OEd. O urbs, urbs.
Cre. Etiam ad me urbs hæc pertinet, non tantum ad te.
Cho. Desinite reges, in tempore enim video
Ex ædibus Jocasten huc prodeuntem, cujus adventu

ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ;
οὔπω τοσοῦτον ἠπατημένος κυρῶ,
ὥστ' ἄλλα χρῄζειν ἢ τὰ σὺν κέρδει καλά.
νῦν πᾶσι χαίρω, νῦν με πᾶς ἀσπάζεται·
νῦν οἱ σέθεν χρῄζοντες ἐκκαλοῦσί με.
τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι.
πῶς δῆτ' ἐγὼ κεῖν' ἂν λάβοιμ', ἀφεὶς τάδε;
οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.
ἀλλ' οὔτ' ἐραστὴς τῆσδε τῆς γνώμης ἔφυν,
οὔτ' ἂν μετ' ἄλλου δρῶντος ἂν τλαίην ποτέ.
καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν πυθώδ' ἰὼν,
πεύθου τὰ χρησθέντ' εἰ σαφῶς ἤγγειλά σοι
ταῦτ'· ἀλλ' ἐάν με τῷ τερασκόπῳ λάβῃς
κοινῇ τι βουλεύσαντα, μή μ' ἁπλῇ κτάνῃς
ψήφῳ, διπλῇ δὲ τῇ τ' ἐμῇ καὶ σῇ, λαβών.
γνώμῃ δ' ἀδήλῳ μή με χωρὶς αἰτιῶ.
οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν, οὔτε τοὺς χρηστοὺς, κακούς.
φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν, ἴσον λέγω,
καὶ τὸν παρ' αὐτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
ἀλλ' ἐν χρόνῳ γνώσῃ τάδ' ἀσφαλῶς· ἐπεὶ
χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος.
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ. –

Χο. Καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν
ἄναξ· φρονεῖν γὰρ οἱ ταχεῖς, οὐκ ἀσφαλεῖς.

Οι. Οταν ταχύς τις οὑπιβουλεύων λάθρα
χωρῇ, ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν.
εἰ δ' ἡσυχάζων προσμενῶ, τὰ τοῦδε μὲν
πεπραγμέν' ἔσται, τἀμὰ δ' ἡμαρτημένα. –

Κρ. Τί δῆτα χρῄζεις, ἦ με γῆς ἔξω βαλεῖν;

Οι. Ηκιστα· θνήσκειν, οὐ φυγεῖν σε βούλομαι.

Κρ. Οταν προδείξῃς οἷόν ἐστι τὸ φθονεῖν.

Οι. Ως οὐχ ὑπείξων, οὐδὲ πιστεύσων, λέγεις;

Κρ. Οὐ γὰρ φρονοῦντά σ' εὖ βλέπω.

Οι. Τὸ γοῦν ἐμόν.

Κρ. Αλλ' ἐξ ἴσου δεῖ κἀμόν.

Οι. Αλλ' ἔφυς κακός.

Κρ. Εἰ δὲ ξυνίης μηδέν;

Οι. Αρκτέον γ' ὅμως.

Κρ. Οὔτοι κακῶς γ' ἄρχοντος.

Οι. Ω πόλις, πόλις.

Κρ. Κἀμοὶ πόλεως μέτεστι τῆσδ', οὐ σοὶ μόνῳ.

Χο. Παύσασθ' ἄνακτες· καιρίαν δ' ὑμῖν ὁρῶ
τήνδ' ἐκ δόμων στείχουσαν Ἰοκάστην, μεθ' ἧς

Litem hanc dirimi æquum eſt,
Joc. Quid hunc infœlices temere tumultum
Sermonibus excitaſtis nec vos pudet: terra
Sic laborante de privatis malis rixari?
Quin tu domũ abis, túque Creon ad tuas ædes te recipis
Et non ex levi dolore majus malum excitetis.
Cre. Atrocia, ô ſoror, OEdipus maritus tuus
Adverſus me molitur, ad alterũ me horũ condemnans,
Vel ut conviĉtũ me hac terra expellat, vel ut interficiat.
Joc. Confiteor, malè enim facere eum
Deprehendi mihi, idque ex inſidiis.
Cre. Non bene ſit mihi, ſed devotus peream, ſi quid
In te commiſi eorum, de quibus me accuſas.
Joc Crede huic per Deum, marite,
Atque hoc jusjurandum Deorum reverere,
Méque adeo, & hos præſentes cives.

PERICOMMATA, *Strophe* I.

Cho. Auſculta volens, rémque expende,
O Rex, obſecro te.
OEd. Quid ergo poſtulas? an ut cedam?
Cho. Eum qui ante hac nunquam ſtultus habitus eſt,
Et nunc ſanĉte juravit,
Quæſo reverere.

SYSTEMA I.

OEd. Scis igitur quid velis?
Cho. Scio,
OEd. Dic quid eſt?
Cho. Amicum innocentem, ne ob cauſam
Dubiam cum ignominia ejicias.
OEd. Hoc ſcito, te cùm iſta petis, mihi
Exitium moliri, aut fugam ex hac terra

STROPHE 2.

Cho. Non per Deorum omnium
Primum Solem hoc ago,
Aut deſtitutus ope Dei & amicorum
Peſſimo exitio peream,
Si hoc animo ſum.

Sed

τὸ νῦν παρεστὼς νεῖκος εὖ θέσθαι χρεών.—

Ιο. Τί τὴν ἄβουλον ὦ ταλαίπωροι στάσιν
γλώσσης ἐπήρασθ', οὐδ' ἐπαισχύνεσθε γῆς
οὕτω νοσούσης, ἴδια κινοῦντες κακά;
οὐκ εἶ σύ τ' εἰς οἴκους, σύ τε κρέων στέγας,
καὶ μὴ τὸ μηδὲν ἄλγος εἰς μέγ' οἴσετε;—

Κρ. Ὅμαιμε, δεινά μ' Οἰδίπους ὁ σὸς πόσις
δρᾶσαι δικαιοῖ, δυοῖν ἀποκρίνας κακοῖν.
ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.

Οι. Ξύμφημι· δρῶντα γάρ νιν ὦ γύναι κακῶς
εἴληφα τοὐμὸν σῶμα σὺν τέχνῃ κακῇ.

Κρ. Μή νυν ὀναίμην, ἀλλ' ἀραῖος, εἴ σέ τι
δέδρακ', ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.

Ιο. Ὦ πρὸς θεῶν πίστευσον Οἰδίπους τάδε,
μάλιστα μὲν τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν,
ἔπειτα κἀμὲ τούσδε θ' οἳ πάρεισί σοι.

ΠΕΡΙΚΟΜΜΑΤΑ. Στροφὴ α΄.

Χο. 1 Πιθοῦ θελήσας φρονήσας
2 τ' ἄναξ, λίσσομαι.
Οι. 3 Τί σοι θέλεις δῆτ' εἰκάθω;
Χο. 4 Τὸν οὔτε πρὶν νήπιον,
5 νῦν τ' ἐν ὅρκῳ μέγαν,
6 καταίδεσαι.—

ΣΥΣΤΕΜΑ α΄.

Οι. 1 Οἶσθ' οὖν ἃ χρῄζεις;
Χο. 2 Οἶδα.
Οι. 3 Φράζε δὴ τί φῄς.
Χο. 4 Τὸν ἐναγῆ φίλον μήποτ' ἐν αἰτίᾳ
5 σύν γ' ἀφανεῖ λόγῳ ἄτιμον βαλεῖν.
Οι. 6 Εὖ νῦν ἐπίστω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ
7 ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.—

ΣΤΡΟΦΗ β΄.

Χο. 1 Οὐ τὸν πάντων θεῶν,
2 θεὸν πρόμον ἅλιον·
3 ἐπεὶ ἄθεος, ἄφιλος,
4 ὅ, τι πύματον ὀλοίμαν,
5 φρόνησιν εἰ τάνδ' ἔχω·

Sed mihi infœlici
Patriæ calamitas excruciat animum,
Quodque malis prioribus
Hæc mala à vobis accedunt.

SYSTEMA 2.

OEd. Ille igitur abeat, & si me oportet omnino perire,
Aut cum ignominia hac terra per vim expelli,
Tuum enim miserabile, non hujus os reverear:
Nam hic ubicunque erit, odio à me habebitur.
Cre. Durus es dum cedis, sed gravius esset, si iræ
Indulgeres, Nam talia ingenia
Sibi ipsis maximè molesta esse solent.
OEd. Quin igitur me dimittis, ac foras abis?
Cre. Abibo.
Tibi quidem futurus alienus, inter hos verò æquali con- (ditione.

ANTISTROPHE 1.

Cho. Domina, quid hunc cunctaris
Ab his ædibus abducere?
Joca. Præsertim cùm videam quæ sit præsens fortuna
Cho. Incerta opinio sermonum
Orta est, mordétque animum
Injusta criminatio.

ANTISYSTEMA 1.

Joca. Utriusque ab utroque?
Cho. Utique.
Joca. Et quid erat sermonis?
Cho. Satis, mihi, satis, cùm terra ita afflicta sit,
Videtur, ut hîc desinam, ubi ipsi desierunt.
OEd. Vides quò progrediare, cùm vir bonus sis
Me negligis, ac perturbas meum animum.

ANTISTROPHE 2.

Cho. Dixi antea, ô Rex,
Non semel, tum verò
Demens ac non intelligens
Rerum utilium essem,

6 ἀλλά μοι δυσμόρῳ
7 γᾶ φθίνουσα τρύχει
8 ψυχάν· καὶ τάδ' εἰ κακοῖς
9 κακὰ προσάψει
10 τοῖς πάλαι τὰ πρὸς σφῷν.--

ΣΥΣΤΗΜΑ β'.

Οι. 1 Ὁ δ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
2 ἢ γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ.
3 τὸ γὰρ σὸν, οὐ τὸ τοῦδ', ἐποικτείρω στόμα
4 ἐλεεινόν· οὗτος δ' ἔνθ' ἂν ᾖ, στυγήσεται.
Κρ. 5 Στυγνὸς μὲν εἴκων, δῆλος εἶ, βαρὺς δ', ὅταν
6 θυμοῦ περάσῃς· αἱ δὲ τοιαῦται φύσεις
7 αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.
Οι. 8 Οὔκουν μ' ἐάσεις, κἀκτὸς εἶ;
Κρ. 9 Πορεύσομαι,
10 σοῦ μὲν τυχὼν ἀγνῶτος.
11 ἐν δὲ τοῖσδ' ἴσος.--

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Χο. 1 Γύναι, τί μέλλεις κομίζειν
2 δόμων τόνδ' ἔσω;
Ιο. 3 Μαθοῦσά γ' ἥτις ἡ τύχη.
Χο. 4 Δόκησις ἀγνὼς λόγων
5 ἦλθε, δάπτει δὲ καὶ
6 τὸ μὴ 'νδικον.--

ΑΝΤΙΣΥΣΤΗΜΑ α'.

Ιο. 1 Ἀμφοῖν ἀπ' αὐτοῖν;
Χο. 2 Ναίχι.
Ιο. 3 Καὶ τίς ἦν λόγος;
Χο. 4 Ἅλις ἔμοιγ' ἅλις γᾶς προπονουμένας
5 φαίνεται, ἔνθ' ἔληξεν, αὐτοῦ μένειν.
Οι. 6 Ὁρᾷς ἵν' ἥκεις ἀγαθὸς ὢν γνώμην ἀνήρ,
7 τοὐμὸν παριεὶς καὶ καταμβλύνων κέαρ;--

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Χο. 1 Ἄναξ, εἶπον μὲν οὐ
2 χ' ἅπαξ μόνον, ἴσθι δὲ
3 παραφρόνιμον, ἄπορον
4 ἐπὶ φρόνιμα πεφάνθαι

Si me à te ſejungerem.
Nam tu charam patriam meam
Ærumnis oppreſſam
Erexiſti ac ſervaſti,
Et nunc boni Principis, ſi poſſes, officium præſtares.

ANTISYSTEMA 2.

Joca. Per Deum dic & mihi rex, quam ob cauſam
Tantam iram concepiſti?
OEd. Dicam, nam te omnium maximè veneror,
De Creonte qualia contra me conſilia ceperit.
Joca. Dic, ſi modo juſta de cauſa ipſum in crimen vocas.
OEd. Interfectorem me Laii eſſe ait.
Joca. Utrum ex ſe hoc dicit, an ex alio audivit?
OEd. Vatem illum maleficum ſubornavit,
Nam quantum poteſt, omnium ille ora laxat.

IAMBI.

Joca. Omitte jam ea quæ de te ais,
Méque audi, & diſce, quòd
Nemo mortalis divinandi artem rectè tenet,
Cujus rei evidentia ſigna tibi oſtendam.
Oraculũ enim Laius olim accepit, de quo nihil dicam.
Niſi quod ab Apolline datum eſt, vel à miniſtris ipſius,
Quod in fatis eſſet, ut ipſe à filio interficeretur,
Qui ex me illóque natus eſſet,
Et illum quidẽ, quemadmodũ fama ferebat, peregrini
Latrones interfecerunt, in eo loco ubi tres viæ coeunt.
Filium verò cùm genuiſſet, nondum exacto
Triduo, fune per pedes trajecto
Dedit miniſtris exponendum in aviis montibus.
Atque ibi Apollo neque id effecit,
Ut patrem ille interficere poſſet, aut Laius,
Quod graviter metuebat, ut filii manu caderet.
Et quidem hæc definiebantur oraculis,
Quorum tu nihil cura. Nam quæ Deus
Neceſſaria ducit, ea facilè ipſe aperiet.
OEd. Quàm ô mulier iſta audiens,
Nunc animo fluctuo ac perturbor.
Joca Qua cura commotus iſta dicis?
OEd. Sic mihi viſus ſum ex te audire, quòd Laius

In

5 μ' ἂν, εἴ σε νοσφίζομαι,
6 ὅς γ' ἐμὰν γᾶν φίλαν
7 ἐν πόνοις ἀλύσ-
8 σαν, κατ' ὀρθὸν οὔρισας,
9 ταννῦν δ' εὔπομπος,
10 εἰ δύναιο, γίνου.

ΑΝΤΙΣΥΣΤΗΜΑ β'.

Ιο. 1 Πρὸς θεῶν δίδαξον κἄμ' ἄναξ ὅτου ποτὲ
2 μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις.
Οι. 3 Ἐρῶ (σὲ γὰρ τῶνδ' ἐς πλέον γύναι σέβω)
4 κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει.
Ιο. 5 Λέγ', εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς.
Οι. 6 Φονέα με φησὶ Λαΐου καθεστάναι.
Ιο. 7 Αὐτὸς ξυνειδὼς, ἢ μαθὼν ἄλλου πάρα;
Οι. 8 Μάντιν μὲν οὖν κακοῦργον εἰσπέμψας· ἐπεὶ
9 τό γ' εἰς ἑαυτὸν, πᾶν ἐλευθεροῖ στόμα.--

ΙΑΜΒΟΙ.

Ιο. Σύ νυν ἀφεὶς σεαυτὸν, ὧν λέγεις πέρι,
ἐμοῦ 'πάκουσον, καὶ μάθ' οὕνεκ' ἐστί σοι
βρότειον οὐδὲν, μαντικῆς ἔχον τέχνης.
φανῶ δέ σοι σημεῖα τῶνδε σύντομα.
χρησμὸς γὰρ ἦλθε Λαΐῳ ποτ', (οὐκ ἐρῶ
Φοίβου γ' ἄπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο)
ὡς αὐτὸν ἥξει μοῖρα πρὸς παιδὸς θανεῖν
ὅστις γένοιτ' ἐμοῦ τε κἀκείνου πάρα.
καὶ τὸν μὲν ὥσπερ γ' ἡ φάτις ξένοι ποτὲ
λησταὶ φονεύουσ' ἐν τριπλαῖς ἁμαξιτοῖς.
παιδὸς δὲ βλάστας, οὐ διέσχον ἡμέραι
τρεῖς· καί νιν ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν,
ἔρριψεν ἄλλων χερσὶν εἰς ἄβατον ὄρος.
κἀνταῦθ' Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσε
φονέα γενέσθαι πατρὸς, οὔτε Λάϊον
τὸ δεινὸν ὃ 'φοβεῖτο πρὸς παιδὸς θανεῖν.
τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν.
ὧν ἐντρέπου σὺ μηδέν· ὧν γὰρ ἂν θεὸς
χρείαν ἐρευνᾷ, ῥᾳδίως αὐτὸς φανεῖ.
Οι. Οἷόν μ' ἀκούσαντ' ἀρτίως ἔχει γύναι
ψυχῆς πλάνημα, κἀνακίνησις φρενῶν.
Ιο. Ποίας μερίμνης τοῦθ' ὑποστραφεὶς λέγεις;
Οι. Ἔδοξ' ἀκοῦσαι σοῦ τόδ', ὡς ὁ Λάϊος

In trivio interfectus ſit.
Joca. Ferebantur iſta, neque adhuc ea fama deſiit.
OEd. Et ubinam eſt locus ille, in quo ea calamitas accidit?
Joca. In terra Phocenſi eſt, & via diviſa
A Delphis atque Daulia eodem in loco coit.
OEd. Quam diu verò eſt, ex quo iſta facta ſunt?
Joca. Paulò antè, quàm in hac terra
Regnare cœpiſti, hæc denunciata ſunt urbi.
OEd. O Jupiter, quid de me facere decreviſti?
Joca. Quare hæc cogitatio animo tuo ſubit?
OEd. Nondum quære, ſed quæ fuerit Laii ſtatura
Dic mihi, & quæ illius ætas?
Joca. Grandis erat, cui caput prima canicie pubeſcebat:
Forma autem tibi non admodum abſimilis erat.
OEd. Hei mihi, meipſum, ut videtur, in horribiles
Imprecationes jam conjeci inſciens.
Joca. Quid ais? timeo enim, dum te intueor Rex.
OEd. Valde metuo, ne nimium viderit vates.
Oſtendes verò rem magis, ſi unum adhuc dixeris.
Joca. Atqui horreo quidem, quæ verò quæres, ſi ſciam dicam.
OEd. Utrum ibat cum parvo comitatu an multos habebat
Satellites ut Rex & Magiſtratu præditus?
Joca. Omnes ſimul quinque fuerunt, inter eos autem erat
Et præco, & rheda Laium vehebat una.
OEd. Heu, heu, hæc jam evidentia ſunt, ſed quis tandem
Iſtos ſermones renunciavit vobis?
Joca. Famulus, qui ſolus evaſit incolumis.
OEd. Utrum is jam præſto adeſt domi?
Joca. Non, ſed cùm illinc rediiſſet, poſtquam te regem
Factum videt, ac Laium interiiſſe,
Apprehenſa manu mea obſecravit,
Rus ut ſe ad paſcendos greges ablegarem,
Quàm rariſſimè in urbe ut conſpiceretur.
Et dimiſi ego ipſum: nam dignus erat
Servus qui majore beneficio afficeretur.
OEd. Fac quàm primum ad nos huc ut veniat.
Joca. Licet, ſed quamobrem hoc expetis?
OEd. Timeo mea cauſa, ne nimis multa
Dicta mihi ſint, quæ nunc explorare volo.
Joca. Sed veniet ille. At nunquid & me oportet
Scire ea quæ te animo excruciant?
OEd. Non ignorabis, cùm eò ſpei
Pervenerim: cui enim potius
Iſta narrarē, quàm tibi, quādo talis nobis fortūa cōtigit?

κατασφαγῆναι πρὸς τριπλαῖς ἁμαξιτοῖς.
Ιο. Ηὐδᾶτο γὰρ ταῦτ', οὐδέπω λήξαντ' ἔχει.
Οι. Καὶ ποῦ 'σθ' ὁ χῶρος οὗτος οὗ τόδ' ἦν πάθος;
Ιο. Φωκὶς μὲν ἡ γῆ κλῄζεται· σχιστὴ δ' ὁδὸς
ἐς ταυτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.
Οι. Καὶ τίς χρόνος τοῖσδ' ἐστὶν οὑξεληλυθώς;
Ιο. Σχεδόν τι πρόσθεν ἢ σὺ τῆσδ' ἔχων χθονὸς
ἀρχὴν ἐφαίνου, ταῦτ' ἐκηρύχθη πόλει.
Οι. Ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;
Ιο. Τί δ' ἐστί σοι τοῦτ' Οἰδίπους ἐνθύμιον;
Οι. Μή πω μ' ἐρώτα· τὸν δὲ Λάϊον, φύσιν
τίν' εἶχε, φράζε· τίνα δ' ἀκμὴν ἥβης ἔχων.
Ιο. Μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα.
μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ.
Οι. Οἴμοι τάλας· ἔοικ' ἐμαυτὸν εἰς ἀρὰς
δεινὰς προβάλλων ἀρτίως οὐκ εἰδέναι.
Ιο. Πῶς φῄς; ὀκνῶ τοι πρὸς σ' ἀποσκοποῦσ' ἄναξ.
Οι. Δεινῶς ἀθυμῶ μὴ βλέπων ὁ μάντις ᾖ.
δείξεις δὲ μᾶλλον, ἢν ἓν ἐξείπῃς ἔτι.
Ιο. Καὶ μὴν ὀκνῶ μέν· ἃ δ' ἂν ἔρῃ μαθοῦσ' ἐρῶ.
Οι. Πότερον ἐχώρει βαιός, ἢ πολλοὺς ἔχων
ἄνδρας λοχίτας, οἷ' ἀνὴρ ἀρχηγέτης;
Ιο. Πέντ' ἦσαν οἱ ξύμπαντες, ἐν δ' αὐτοῖσιν ἦν
κῆρυξ· ἀπήνη δ' ἦγε Λάϊον μία.
Οι. Αἶ, αἶ· τάδ' ἤδη διαφανῆ. τίς ἦν ποτε
ὁ τούσδε λέξας τοὺς λόγους ὑμῖν γύναι;
Ιο. Οἰκεύς τις, ὅσπερ ἵκετ' ἐκσωθεὶς μόνος.
Οι. Ἦ κἀν δόμοισι τυγχάνει τανῦν παρών;
Ιο. Οὐ δῆτ'· ἀφ' οὗ γὰρ κεῖθεν ἦλθε, καὶ κράτη
σέ τ' εἶδ' ἔχοντα, Λάϊόν τ' ὀλωλότα,
ἐξικέτευσε, τῆς ἐμῆς χειρὸς θιγών,
ἀγρούς σφε πέμψαι κἀπὶ ποιμνίων νομάς,
ὡς πλεῖστον εἴη τοῦδ' ἄποπτος ἄστεος.
κἄπεμψ' ἐγώ νιν· ἄξιος γὰρ ὅδε γ' ἀνὴρ
δοῦλος φέρειν ἦν τῆσδε καὶ μείζω χάριν.--
Οι. Πῶς ἂν μόλοι δῆθ' ἡμὶν ἐν τάχει πάλιν;
Ιο. Πάρεστιν· ἀλλὰ πρὸς τί τοῦτ' ἐφίεσαι;
Οι. Δέδοικ' ἐμαυτὸν ὦ γύναι, μὴ πόλλ' ἄγαν
εἰρημέν' ᾖ μοι, δι' ἅ νιν εἰσιδεῖν θέλω.
Ιο. Ἀλλ' ἵξεται μέν· ἀξία δέ που μαθεῖν
κἀγὼ τάδ' ἐν σοὶ δυσφόρως ἔχοντ' ἄναξ.
Οι. Κοὐ μὴ στερηθῇς γ' ἐς τοσοῦτον ἐλπίδων
ἐμοῦ βεβῶτος· τῷ γὰρ ἂν καὶ μείζονι
λέξαιμ' ἂν ἢ σοί, διὰ τύχης τοιᾶσδ' ἰών;

Pater mihi fuit Polybus Corinthius,
Mater Merope Dorica : habebar verò
Vir primarius inter cives, donec hoc fortè
Mihi evenit, admiratione quidem dignum,
Attamen non dignum moribus meis.
Nam vir quidam in convivio valde ebrius
Inter pocula me subdititium patris filium vocat.
Idque ego ægrè ferens, illo quidem die
Vix me continebã postridie verò accedens(brũ ferẽtes
Ad matrẽ ac patrem, rem inquiro, illi graviter hoc pro-
Succensebant illi, qui hunc sermonem sparserat.
Atque ego etsi illis delectabar parentibus, attamen
Clam sermone isto angebar : altè enim in animum de-
Proficiscor igitur clàm parentibus (scenderat.
Ad Pythicum oraculum, & mihi Apollo de his, quorum
Respondet nihil, alia verò misera (gratia veneram,
Et horrenda denunciat,
Nempe quod in fatis esset, ut cum matre concumberem,
Et sobolem infandam in lucem producerem,
Patrémque occiderem, qui me genuisset.
Quæ cùm audissem terram Corinthiam
Post id tempus juxta astra metiri cœpi.
Tandem fugi, ne mihi tristium
Oraculorum probra unquam evenirent
Abiens verò in ea loca venio, in quibus
Tu regem periisse ais.
Et tibi verum fatebor, cùm in itinere
Ad locum ubi tres viæ coëunt pervenissem,
Ibi mihi præco & in rheda, quæ à jumentis ducebatur
Vir quidam talis, qualem tu describis,
Occurrunt, & ex via me is quæ præcedebat
Atque ipse senex per vim pellunt,
Egóque illum qui me protrudebat aurigam
Ira concitus ferio : tunc me senex ut videt
Ad currum accedentem proprius, observans, medio
Capiti bis stimulum impegit meo,
Neque parem pœnam luit, sed breviter uno ictu
Sceptro percussus ab hac manu, præceps
Ex medio statim curru devoluitur,
Deinde comites omnes interficio. Si verò huic hospiti
Aliqua intercedit cum Laio cognatio,
Quis hoc viro est miserior ?
Quis æquè superis invisus homo vivit ?
Quem neque peregrino fas est, nec civi cuiquam,

Domo

ἐμοὶ πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος,
μήτηρ δὲ, Μερόπη Δωρίς· ἠγόμην δ᾽ ἀνὴρ
ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν μοι τύχη
τοιάδ᾽ ἐπέστη, θαυμάσαι μὲν ἀξία,
σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία.
ἀνὴρ γὰρ ἐν δείπνοις μ᾽ ὑπερπλησθεὶς μέθης,
καλεῖ παρ᾽ οἴνῳ πλαστὸς ὡς εἴην πατρί.
κἀγὼ βαρυνθεὶς, τὴν μὲν οὖσαν ἡμέραν
μόλις κατέσχον· θατέρᾳ δ᾽ ἰὼν πέλας
μητρὸς πατρός τ᾽, ἤλεγχον· οἱ δὲ δυσφόρως
τοὔνειδος ἦγον τῷ μεθέντι τὸν λόγον.
κἀγὼ τὰ μὲν κείνοιν ἐτερπόμην, ὅμως
δ᾽ ἔκνιζέ μ᾽ αἰεὶ τοῦθ᾽· ὑφεῖρπε γὰρ πολύ.
λάθρα δὲ μητρὸς καὶ πατρὸς πορεύομαι
Πυθώδε· καί μ᾽ ὁ Φοῖβος ὧν μὲν ἱκόμην,
ἄτιμον ἐξέπεμψεν, ἄλλα δ᾽ ἄθλια
καὶ δεινὰ καὶ δύστηνα προὐφάνη λέγων,
ὡς μητρὶ μὲν χρεῖ᾽ ἦ με μιχθῆναι, γένος
δ᾽ ἄτλητον ἀνθρώποισι δηλώσοιμ᾽ ὁρᾶν·
φονεὺς δ᾽ ἐσοίμην τοῦ φυτεύσαντος πατρός.
κἀγὼ ᾽πακούσας ταῦτα, τὴν Κορινθίαν
ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα,
ἔφευγον ἔνθα μήποτ᾽ ὀψοίμην κακῶν
χρησμῶν ὀνείδη τῶν ἐμῶν τελούμενα.
στείχων δ᾽ ἱκνοῦμαι τούσδε τοὺς χώρους, ἐν οἷς
σὺ τὸν τύραννον τοῦτον ὄλλυσθαι λέγεις.
καί σοι γύναι τἀληθὲς ἐξερῶ· τριπλῆς
ὅτ᾽ ἦν κελεύθου τῆσδε ὁδοιπορῶν πέλας,
ἐνταῦθά μοι κῆρυξ τε, κἀπὶ πωλικῆς
ἀνὴρ ἀπήνης ἐμβεβὼς, οἷον σὺ φῄς,
ξυνηντίαζον· κἀξ ὁδοῦ μ᾽ ὅ θ᾽ ἡγεμὼν
αὐτός θ᾽ ὁ πρέσβυς πρὸς βίαν ἐλαυνέτην.
κἀγὼ τὸν ἐκτρέποντα τὸν τροχηλάτην
παίω δι᾽ ὀργῆς· καί μ᾽ ὁ πρέσβυς ὡς ὁρᾷ
ὄχου παραστείχοντα, τηρήσας μέσον
κάρα, διπλοῖς κέντροισί μου καθίκετο.
οὐ μὴν ἴσην γ᾽ ἔτισεν· ἀλλὰ συντόμως
σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς, ὕπτιος
μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται.
κτείνω δὲ τοὺς ξύμπαντας· εἰ δὲ τῷ ξένῳ
τούτῳ προσήκει Λαΐῳ τι συγγενὲς,
τίς τοῦδέ γ᾽ ἀνδρὸς ἐστὶν ἀθλιώτερος;
τίς ἐχθροδαίμων μᾶλλον ἂν γένοιτ᾽ ἀνήρ;
ᾧ μὴ ξένων ἔξεστι μηδ᾽ ἀστῶν τινὰ

δόμοις

Domo recipere vel sermone alloqui
Sed ab ædibus pellor, atque has alius nemo,
Verùm ego ipse diras mihi imprecatus sum,
Et thorum mortui manibus meis
Contamino, quibus ille concidit, quis est me sceleratior?
An non totus pollutus sum? jam si me fugere oportet.
Neque mihi exulanti meos videre fas erit,
Neq; in patriã redire, si modo non connubio me oportet
Matri jungi, & occidere patrem
Polybum, qui me genuit, atque enutrivit,
An non, qui à crudeli fortuna hæc nobis immitti
Judicet, rectè sentiat?
Me utique, ne ô sancta Deorum pietas
Istum diem videam, sed ex hac vita
Discedam prius, quàm tali videam
Calamitatis macula me pollutum.

Cho. Sunt hæc quidem nobis molesta, donec verò
Ex illo rem inquisieris, ne desperes.

OEd. Et hæc quidem spes mihi reliqua est.
Pastorem illum ut expectem solum.

Joca. Ubi ille aderit, quid tandem facere cogitas?

OEd. Ego dicam, si enim dicet
Eadem, quæ tu, tunc ego liberatus ero hac calamitate

Joca. Quem igitur ex me præcipuum audisti sermonem?

OEd. Ipsum retulisse ajebas, quòd à latronibus
Interfectus esset, quòd si eum adhuc
Numerum dicet, non ego occidi.
Non enim vir unus idem est, quod multi.
Sin autem ab uno factum esse dicet, tunc manifestè
Hujus facinoris ego reus censebor.

Joca. Atqui pro certo hunc sermonem habeto,
Neque ille potest mutare rursum,
Nam tota civitas audivit non ego sola.
Atque ut sanè aliquid deflectat à sermone priore,
Non tamen de cæde Laii loquetur
Rectè ita quemadmodum Apollo
Retulit, à filio ipsum meo interfici oportere.
Nam ille miser nequaquam
Interfecit, sed ipse prius interiit,
Quapropter ego divinationum causa neque huc
Me verterem neque illuc.

OEd. Rectè dicis, attamen mercenarium
Mitte aliquem qui accersat: ne illud omiseris,

Joca. Mittam, sed intro in ædes eamus
Nihil enim faciam, nisi quod tibi gratum esse intelli- (gam.

δόμοις δέχεσθαι, μηδὲ προσφωνεῖν τινά·
ὠθεῖν δ' ἀπ' οἴκων· καὶ τάδ', οὔτις ἄλλος ἦν
ἢ 'γὼ 'π' ἐμαυτῷ τάσδ' ἀρὰς ὁ προστιθείς.
λέχη δὲ τοῦ θανόντος ἐν χεροῖν ἐμαῖν
χραίνω, δι' ὧνπερ ὤλετ'· ἆρ' ἔφυν κακός;
ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν,
καί μοι φυγόντι, μήτε τοὺς ἐμοὺς ἰδεῖν,
μήτ' ἐμβατεύειν πατρίδος· ἢ γάμοις με δεῖ
μητρὸς ζυγῆναι, καὶ πατέρα κατακτανεῖν
πόλυβον, ὃς ἐξέφυσε κἀξέθρεψέ με.
ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονος, τίς ἂν
κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἀνορθοίη λόγον;
μὴ δῆτα, μὴ δῆτ', ὦ θεῶν ἁγνὸν σέβας,
ἴδοιμι ταύτην ἡμέραν· ἀλλ' ἐκ βροτῶν
βαίην ἄφαντος πρόσθεν, ἢ τοιάνδ' ἰδεῖν
κηλῖδ' ἐμαυτοῦ συμφορᾶς ἀφιγμένην.--

Χο. Ἡμῖν μὲν ὦ 'ναξ ταῦτ' ὀκνήρ'· ἕως δ' ἂν οὖν
πρὸς τοῦ παρόντος ἐκμάθῃς, ἔχ' ἐλπίδα.

Οἰ. Καὶ μὴν τοσοῦτόν γ' ἐστί μοι τῆς ἐλπίδος,
τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.

Ιο. Πεφασμένου δὲ, τίς ποθ' ἡ προθυμία;

Οἰ. Ἐγὼ διδάξω σ'· ἢν γὰρ εὑρεθῇ λέγων
σοὶ ταὔτ', ἔγωγ' ἂν ἐκπεφευγοίην πάθος.

Ιο. Ποῖον δέ μου περισσὸν ἤκουσας λόγον;

Οἰ. Λῃστὰς ἔφασκες αὐτὸν ἄνδρας ἐννέπειν,
ὥς νιν κατακτείναιεν· εἰ μὲν οὖν ἔτι
λέξει τὸν αὐτὸν ἀριθμὸν, οὐκ ἐγὼ 'κτανον·
(οὐ γὰρ γένοιτ' ἂν εἷς γε τοῖς πολλοῖς ἴσος)
εἰ δ' ἄνδρ' ἕν' οἰόζωνον αὐδήσει, σαφῶς
τοῦτ' ἐστὶν ἤδη τοὔργον εἰς ἡμᾶς ῥέπον.--

Ιο. Ἀλλ' ὡς φανέν γε τοὔπος ὧδ' ἐπίστασο·
κοὐκ ἔστιν αὐτῷ τοῦτό γ' ἐκβαλεῖν πάλιν.
πόλις γὰρ ἤκουσ', οὐκ ἐγὼ μόνη τάδε.
εἰ δ' οὖν τι κἀκτρέποιτο τοῦ πρόσθεν λόγου,
οὔτοι ποτ' ὦ 'ναξ τόν γε Λαΐου φόνον
φανεῖ δικαίως ὀρθὸν, ὅν γε Λοξίας
διεῖπε, χρῆναι παιδὸς ἐξ ἐμοῦ θανεῖν.
καί τοι νιν οὐ κεῖνός γ' ὁ δύστηνος ποτὲ
κατέκταν', ἀλλ' αὐτὸς πάροιθεν ὤλετο.
ὥστ' οὐχὶ μαντείας γ' ἂν, οὔτε τῇδ' ἐγὼ
βλέψαιμ' ἂν οὕνεκ', οὔτε τῇδ' ἂν ὕστερον.--

Οἰ. Καλῶς νομίζεις, ἀλλ' ὅμως τὸν ἐργάτην
πέμψον τινὰ στελοῦντα· μηδὲ τοῦτ' ἀφῇς.

Ιο. Πέμψω ταχύνασ'· ἀλλ' ἴωμεν ἐς δόμους.
οὐδὲν γὰρ ἂν πράξαιμ' ἂν ὧν οὐ σοὶ φίλον.

ANTI-

ANTISTROPHICA. 1.

Cho. Utinam mihi fato contingat, ut retineam
Venerandam ſanctitatem ſermonum,
Operúmque omnium, quæ leges
Definierunt excelſæ, quæ cœlitus
Datæ ſunt, quarum
Solus Deus pater eſt, neque eas
Mortalis hominum naturâ peperit.
Neque enim oblivione ſopiuntur,
Neque ſeneſcunt.

ANTISTROPHE 1.

Injuſtitia peperit tyrannidem: injuſtitia
Ubi multa cumulavit temere
Importuna facta & noxia,
Atq; ad ſummum ubi evecta eſt, in præcipitem tandem
Neceſſitatem impellit,
Quando non incedit rectè pedibus.
Ut verò hoc præclarum urbis certamen,
Non diſſolvat unquam, Deum precor.
Deum enim ſemper præſidem habere volo.

STROPHE 2.

Qui vero contemptim facto dictóve
Sacra violat, nec jus reveretur,
Nec Deorum ſedes veneratur,
Is malo fato pereat,
Si propter infœlices delicias
Injuſta captat lucra,
Nec ab impiis factis abſtinet.
Nec manus à non tangendis cohibet demens.
Quis enim poſthac hominum, ſi ſic fiat,
Ratione tela reprimet,
Animæque impetum coercebit,
Si impia facta honorem obtinebunt?
Quid attinet me choros ducere?

ANTI-

ΑΝΤΙΣΤΡΟΦΙΚΑ στροφὴ α'.

Χο. Εἴμοι ξυνείη φέροντι μοῖρα τὰν
εὔσεπτον ἁγνείαν λόγων
ἔργων τε πάντων, ὧν νόμοι πρόκεινται
ὑψίποδες, οὐρανίαν δι' αἰθέρα
τεκνωθέντες· ὧν Ὄλυμπος
πατὴρ μόνος, οὐδέ νιν θνατὰ
φύσις ἀνέρων ἔτικτεν, οὐδὲ
μήν ποτε λάθα κατακοιμάσει.
μέγας ἐν τούτοις θεός,
οὐδὲ γηράσκει.--

ΑΝΤΙΣΤΡΟΦΗ α'.

ὕβρις φυτεύει τύραννον· ὕβρις, εἰ
πολλῶν ὑπερπλησθῇ μάταν,
ἃ μὴ 'πίκαιρα μηδὲ συμφέροντα,
ἀκροτάταν εἰσαναβᾶσ' ἀπότομον,
ἀνώρουσεν εἰς ἀνάγκαν·
ὅθ' οὐ ποδὶ χρησίμῳ χρῆται.
τὸ καλῶς δ' ἔχον πόλει πάλαισμα
μήποτε λῦσαι θεὸν αἰτοῦμαι.
θεὸν οὐ λήξω ποτὲ
προστάταν ἴσχων.--

ΣΤΡΟΦΗ β'.

εἰ δέ τις ὑπέροπτα χερσὶν
ἢ λόγῳ πορεύεται,
δίκας ἀφόβητος, οὐδὲ
δαιμόνων ἕδη σέβων,
κακά νιν ἕλοιτο μοῖρα,
δυσπότμου χάριν χλιδᾶς,
εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως,
καὶ τῶν ἀσέπτων ἔρξεται,
ἢ τῶν ἀθίκτων ἕξεται ματάζων.
τίς ἔτι ποτ' ἐν τούτοις ἀνὴρ
θυμῷ βέλη ἔρξε
ψυχᾶς ἀμύνειν; εἰ γὰρ αἱ
τοιαίδε πράξεις τίμιαι,
τί δεῖ με χορεύειν;

ANTISTROPHE 2.

Non est ut ad sanctum posthac eam
Terræ umbilicum religionis causa,
Neque ad delubrum quod est Abis,
Neque ad Olympiam, si non ista
Palam ostensa omnibus erunt hominibus.
Sed tu qui imperas, siquidem ista audis,
Jupiter omnia regens, ne hæc lateant
Tuum immortale imperium.
Pro nihilo enim antiqua oracula Laio data
Jam ducunt, & nequaquam
Honor Apollini amplius tribuitur,
Intereunt vero divina.

IAMBI.

Principes terræ, decretum mihi est
Jo. Templa adire Deorum, acceptis his manu
Coronis & Thymiamatis,
Nimis enim animo perturbatur OEdipus
Variis curis, neque ut virum decet
Cordatum, præsentia cum prioribus confert,
Sed pendet ab ore ejus qui aliquem terrorem nunciat:
Quando igitur ego admonendo nihil proficio,
Ad te Apollo, tu enim proximus es,
Cum hac precatione supplex confugio,
Ut nos liberes.
Omnes enim metuimus, cum illum consternatum
Ceu gubernatorem navis videmus.
Nu. Nunquid me hospites docere potestis, ubi nam
Regia domus OEdipi sit?
Præcipue vero ubi ipse sit, si scitis, dicite.
Cho. Hæc tecta sunt, & ipse, ô hospes, intus est.
Hæc mulier mater illius est liberorum.
Nu. Precor illi ut fælix sit, & apud fœlices
Semper degat, siquidem plane illius est conjunx.
Jo. Eodem modo & tu fœlix sis, ô hospes, dignus enim es
Ob hunc boni ominis sermonem. Sed dic, quamobrem
Nu. Huc veneris, & quid feras
Bona domui & marito tuo.

Quænam

ΑΝΤΙΣΤΡΟΦΗ β'.

1 Οὐκέτι τὸν ἄθικτον εἶμι
2 γᾶς ἐπ' ὀμφαλὸν σέβων,
3 οὐδ' εἰς τὸν ἀβαῖσι ναόν,
4 οὐδὲ τὰν ὀλυμπίαν,
5 εἰ μὴ τάδε χειρόδεικτα
6 πᾶσιν ἁρμόσει βροτοῖς.
7 ἀλλ' ὦ κρατύνων, εἴπερ ὄρθ' ἀκούεις,
8 ζεῦ, πάντ' ἀνάσσων, μὴ λάθῃ
9 σε τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν.
10 φθίνοντα δ', ὡς ἐμοὶ δοκεῖ,
11 τὰ λαΐου θέσφατ' ἐ--
12 ξαίρουσιν ἤδη, κοὐδαμοῦ
13 τιμαῖς ἀπόλλων ἐμφανής·
14 ἔρρει δὲ τὰ θεῖα.

ΙΑΜΒΟΙ.

Ιο. Χώρας ἄνακτες, δόξα μοι παρεστάθη
ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
στέφη λαβούσῃ κἀπιθυμιάματα,
ὑψοῦ γὰρ αἴρει θυμὸν οἰδίπους ἄγαν
λύπαισι παντοίαισιν· οὐδ' ὁποῖ' ἀνὴρ
ἔννους, τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται·
ἀλλ' ἔστι τοῦ λέγοντος, εἰ φόβους λέγοι.
ὅτ' οὖν παραινοῦσ', οὐδὲν ἐς πλέον ποιῶ,
πρὸς σ' ὦ λύκει' Ἄπολλον (ἄγχιστος γὰρ εἶ)
ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατεύγμασιν,
ὅπως λύσιν τιν' ἡμὶν εὐαγῆ πόρῃς.
ὡς νῦν ὀκνοῦμεν πάντες, ἐκπεπληγμένον
κεῖνον βλέποντες ὡς κυβερνήτην νεώς.
Αγ. Ἆρ' ἂν παρ' ὑμῶν ὦ ξένοι μάθοιμ' ὅπου
τὰ τοῦ τυράννου δώματ' ἐστὶν οἰδίπου;
μάλιστα δ' αὐτὸν εἴπατ', εἰ κάτισθ' ὅπου.
Χο. Στέγαι μὲν αἵδε· καὐτὸς ἔνδον, ὦ ξένε.
γυνὴ δὲ μήτηρ ἥδε τῶν κείνου τέκνων.
Αγ. Ἀλλ' ὀλβία τε καὶ ξὺν ὀλβίοις ἀεὶ
γένοιτ' ἐκείνου γ' οὖσα παντελὴς δάμαρ.
Ιο. Αὔτως δὲ καὶ σύ γ' ὦ ξέν'· ἄξιος γὰρ εἶ
τῆς εὐεπείας οὕνεκ'. ἀλλὰ φράζ' ὅτου
χρῄζων ἀφῖξαι, χὤ, τι σημῆναι θέλων.
Αγ. Ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ γύναι.

Joc. Quænam hæc bona sunt, & unde nobis advenis?
Nu. Ex Corintho, hoc verbum breviter eloquar,
Affero nuncium partim lætum, partim tristem.
Joc. Quid vero est, quid hic sibi ambiguus sermo vult
Nu. Regem ipsum populus terræ
Isthmiæ constituent, ut ferebatur illic.
Joc. Quid? an non senex Polybus adhuc rerum potitur?
Nu. Non sane, nam mortuus ac sepultus est.
Joc. Quid narras? an mortuus est Polybus?
Nu. Si non dico verum, non recuso mori.
Joc. Cuid cessas famula Domino celeriter
Hoc dicere: ô divina oracula
Ubi nunc estis? Hunc virum jam olim metuens
Ne occideret OEdipus, in exilium abiit
Qui nunc fato suo interiit, non ab hoc peremptus.
OEd. O charissimum Jocastæ conjugis caput,
Quid me vocasti huc foras ex ædibus?
Joc. Audi hunc virum, & cum audieris, cogita
Ubi maneant veneranda illa vaticinia.
OEd. Hic vero, quis nam est? aut quid affert mihi?
Jo. Ex Corintho patrem tuum Polybum nunciat
Non vivere amplius, sed mortuum esse,
OEd. Quid narras hospes? tu ipse rem mihi expone.
Nu. Si hoc primum certo me nunciare oportet,
Scito illum extinctum esse.
OEd. Utrum insidiis, an morbi commutatione?
Nu. Parva inclinatio sopit corpora senilia,
OEd. Morbo infœlix, ut videtur, consumptus est.
Nu. Et longo tempore, quod vivendo emensus est.
OEd. Heu, heu, quid adhuc spectamus
Vaticinantes aras, & in aere
Clangentes aves, quibus autoribus ego
Occidere debui patrem meum, ille vero extinctus
Jam conditus est sub terra, egoque hic sum,
Neque arma attigi, nisi forte desiderio mei
Contabuit? nam tunc quoque à me interfectus esset.
Secum igitur quæ data sunt oracula auferens
Apud inferos jacet, neque ullo ex eis potitus est.
Joc. An non ista tibi prædixi jam pridem?
OEd. Dixisti, sed ego metu movebar,
Joc. Ne igitur nunc posthac quicquã eorum in animum in-(ducas.
OEd. Et quomodo matris thalamum non me fugere oportet?
Quid metuat homo, cui fortuna Dominatur.
Providentia nulla in re certa est,

Ιο. Τὰ ποῖα ταῦτα; πρὸς τίνος δ' ἀφιγμένος;
Αγ. Ἐκ τῆς κορίνθου. τὸ δ' ἔπος οὐξερῶ τάχα,
ἥδοιο μέν· πῶς δ' οὐκ ἄν; ἀσχάλλοις δ' ἴσως.
Ιο. Τί δ' ἔστι; ποίαν δύναμιν ὧδ' ἔχει διπλῆν;
Αγ. Τύραννον αὐτὸν οὑπιχώριοι χθονὸς
τῆς ἰσθμίας στήσουσιν, ὡς ηὐδᾶτ' ἐκεῖ.
Ιο. Τί δ' οὐχ ὁ πρέσβυς πόλυβος ἐγκρατὴς ἔτι;
Αγ. Οὐ δῆτ'· ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει.
Ιο. Πῶς εἶπας; ἦ τέθνηκέ που πόλυβος γέρων;
Αγ. Εἰ μὴ λέγω τἀληθές, ἀξιῶ θανεῖν.
Ιο. Ω πρόσπολ', οὐχὶ δεσπότῃ τάδ' ὡς τάχος
μολοῦσα λέξεις; ὦ θεῶν μαντεύματα,
ἵν' ἐστέ· τοῦτον οἰδίπους πάλαι τρέμων
τὸν ἄνδρ' ἔφευγε μὴ κτάνοι· καὶ νῦν ὅδε
πρὸς τῆς τύχης ὄλωλεν, οὐδὲ τοῦδ' ὕπο.—
Οι. Ο φίλτατον γυναικὸς ἰοκάστης κάρα,
τί μ' ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων;
Ιο. Ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων
τὰ σέμν' ἵν' ἥκει τοῦ θεοῦ μαντεύματα.
Οι. Οὗτος δὲ τίς ποτ' ἐστί, καὶ τί μοι λέγει;
Ιο. Ἐκ τῆς κορίνθου, πατέρα τὸν σὸν ἀγγελῶν
ὡς οὐκέτ' ὄντα πόλυβον, ἀλλ' ὀλωλότα.
Οι. Τί φής ξέν'; αὐτός μοι σὺ σημάντωρ γενοῦ.
Αγ. Εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι σαφῶς,
εὖ ἴσθ' ἐκεῖνον θανάσιμον βεβηκότα.
Οι. Πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ;
Αγ. Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.
Οι. Νόσοις ὁ τλήμων ὡς ἔοικεν ἔφθιτο.
Αγ. Καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.
Οι. Φεῦ φεῦ, τί δῆτ' ἂν ὦ γύναι σκοποῖτό τις
τὴν πυθόμαντιν ἑστίαν, ἢ τοὺς ἄνω
κλάζοντας ὄρνις; ὧν ὑφηγητῶν ἐγὼ
κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν· ὁ δὲ θανὼν
κεύθει κάτω δὴ γῆς, ἐγὼ δ' ὅδ' ἐνθάδε,
ἄψαυστος ἔγχους, εἴ τι μὴ τὠμῷ πόθῳ
κατέφθιθ'· οὕτω δ' ἂν θανὼν εἴη 'ξ ἐμοῦ.
τὰ δ' οὖν παρόντα συλλαβὼν θεσπίσματα,
κεῖται παρ' ᾅδῃ πόλυβος, ἄξι' οὐδενός.
Ιο. Οὔκουν ἐγώ σοι ταῦτα προὔλεγον πάλαι;
Οι. Ηὔδας· ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην.
Ιο. Μὴ νῦν ἔτ' αὐτῶν μηδὲν ἐς θυμὸν βάλης.
Οι. Καὶ πῶς τὸ μητρὸς λέκτρον οὐκ ὀκνεῖν με δεῖ;
Τί δ' ἂν φοβοῖτ' ἄνθρωπος, ᾧ τὰ τῆς τύχης
κρατεῖ, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής;

Temere vivere optimum est, ut quisque possit.
Tu vero matris nuptias non est ut vereáre.
Multi enim homines per somnium
Cum matre concubuerunt. Sed hæc si quis
Pro nihilo ducit, is facillimam vitam agit.
OEd. Recte hæc à te dicta essent,
Si non viveret quæ me genuit, sed quando
Illa adhuc vivit omnino, & si bene loqueris, tamē cavere
Joc. Atqui magnus oculus est, sepulchrum patris (neces. est
OEd. Magnus, intelligo, attamen dum vivit metuendum est.
Nu. Cujus mulieris causa metuere te dicis?
OEd. Meropes, ô senex, quæ cum Polybo nupta fuit.
Nu, Quæ causa nobis est, ut illam metuatis?
OEd. Oraculum divinum horribile ô hospes.
Nu. Utrum tale quod dici possit? an non fas est alium scire?
OEd. Imo maxime. Dixit enim me Apollo aliquando
Cum matre mea concubiturum esse, & sanguinem
Paternum manibus meis hausturum.
Quamobrem jam olim à Corintho
Procul habitare cœpi, & si fœliciter, attamen
Parentum oculos intueri dulcissimum est.
At nunquid hoc metuens inde fuisti extorris?
Nu. Hoc cavens ne patris occisor essem.
OEd. Quin igitur te hoc metu, Rex,
Nu. Quando bene tibi cupio, libero?
OEd. Atqui gratiam quidem dignam referam.
Nu. Et ob hanc quidem causam potissimum huc veni,
Ut meo adventu tibi aliquid benefacerem.
OEd. Sed nunquam tamen ad parentes meos eo.
Nu. O fili manifeste apparet, te nescire quid agas.
OEd. Quomodo ô senex? per Deum doce me.
Nu. Si ob hanc causam à domo refugis.
OEd. Metuo utique ne de me vera Apollo dixerit.
Nu. An metuis, ne quid piaculi à parentibus contrahas?
OEd. Isthuc ispum est, quod me semper sollicitum habet.
Nu. Atqui temere quidem metuis.
OEd. Quid temere, siquidem his parentibus natus sum?
Nu. Quia te Polybus nihil attingit genere.
OEd. Quid narras an non Polybus me genuit?
Nu. Non magis te quam me, sed æque ut me ita & te genuit
OEd. At quomodo is qui pater est, nullius pater esse potest?
Nu. Sed non te genuit ille, ut neque ego.
OEd. Quare igitur me filium nominabat?
Nu, Dono te olim à manibus meis accepit,

Et

εἰκῆ κράτιστον ζῆν ὅπως δύναιτό τις.
σὺ δ' εἰς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα.
πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασι βροτῶν
μητρὶ ξυνευνάσθησαν· ἀλλὰ ταῦθ' ὅτῳ
παρ' οὐδέν ἐστι, ῥᾷστα τὸν βίον φέρει.--
Οι. Καλῶς ἅπαντα ταῦτ' ἂν ἐξείρητό σοι,
εἰ μὴ 'κύρει ζῶσ' ἡ τεκοῦσα· νῦν δ' ἐπεὶ
ζῇ, πᾶσ' ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.
Ιο. Καὶ μὴν μέγας ὀφθαλμὸς οἱ πατρὸς τάφοι.
Οι. Μέγας, ξυνίημ'· ἀλλὰ τῆς ζώσης φόβος.
Αγ. Ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ;
Οι. Μερόπης, γεραιέ, Πόλυβος ἧς ᾤκει μέτα.
Αγ. Τί δ' ἔστ' ἐκείνης ὑμὶν ἐς φόβον φέρον;
Οι. Θεήλατον μάντευμα δεινόν, ὦ ξένε.
Αγ. Ἦ ῥητόν, ἢ οὐ θεμιτὸν ἄλλον εἰδέναι;
Οι. Μάλιστά γ'· εἶπε γάρ με Λοξίας ποτὲ
χρῆναι μιγῆναι μητρὶ τῇ 'μαυτοῦ, τό, τε
πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν.
ὧν οὕνεχ' ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
μακρὰν ἀπῳκεῖτ'· εὐτυχῶς μέν, ἀλλ' ὅμως
τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν.--
Αγ. Ἦ γὰρ τάδ' ὀκνῶν, κεῖθεν ἦσθ' ἀπόπτολις;
Οι. Πατρός τε χρῄζων μὴ φονεὺς εἶναι, γέρον.
Αγ. Τί δῆτ' ἔγωγ' οὐ τοῦδε τοῦ φόβου σ' ἄναξ,
ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην;
Οι. Καὶ μὴν χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.
Αγ. Καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην, ὅπως
σοῦ πρὸς δόμους ἐλθόντος, εὖ πράξαιμί τι.
Οι. Ἀλλ' οὔποτ' εἶμι τοῖς φυτεύσασίν γ' ὁμοῦ.
Αγ. Ὦ παῖ, καλῶς εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς.
Οι. Πῶς ὦ γεραιέ; πρὸς θεῶν δίδασκέ με.
Αγ. Εἰ τῶνδε φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν.
Οι. Ταρβῶ γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
Αγ. Ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς;
Οι. Τοῦτ' αὐτό, πρέσβυ, τοῦτό μ' εἰσαεὶ φοβεῖ.
Αγ. Ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;
Οι. Πῶς δ' οὐχί, παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν;
Αγ. Ὁθ' οὕνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
Οι. Πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
Αγ. Οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρός, ἀλλ' ἴσον.
Οι. Καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί;
Αγ. Ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος, οὔτ' ἐγώ.
Οι. Ἀλλ' ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο;
Αγ. Δῶρόν ποτ' ἴσθι τῶν ἐμῶν χειρῶν λαβών.

OEd. Et adeo dilexit quod ab aliena manu acceperat?
Nu. Inopia liberorum hoc ut faceret, persuasit.
OEd. Tu autem utrum me emeras, an ex tuis liberis illi do-
Nu. Inveni te in sylvosis vallibus Cithæronis. (nasti?
OEd. Quam ob causam tu in ea loca venisti?
Nu. Montanis pascuis ibi præeram.
OEd. Pastor itaq; eras, & pro servitio huc illuc errabas?
Nu. Tuus utique servator fui illo tempore.
OEd. Quid vero calamitatis mihi acciderat, cum me serva-
Nu. Id articuli pedum tuorum indicare possunt. (res?
OEd. Hei mihi, quid hoc vetus malum commemoras?
Nu. Solvebam te habentem perforatas pedum summitates.
OEd. Grave probrum fasciarum sustinui in cunis.
Nu. Ab hoc igitur casu nomen quod habes sortitus es.
OEd. Per Deum oro à patre an matre, dic mihi?
Nu. Non scio, sed qui te mihi dedit, is melius norit.
OEd. An ab alio me accepisti, neque ipse invenisti?
Nu. Non, sed pastor alius te mihi præbuit.
OEd. Quis nam ille est? an memorare potes?
Nu. Quidam ex familia Laii dicebatur esse.
OEd. An ejus, qui olim hujus terræ Rex fuit?
Nu. Maxime, ejus viri hic fuit pastor.
OEd. Utrum ille adhuc vivit, ut ipsum videre possim?
Nu. Id vos populares hujus terræ scire potestis.
OEd. Si quis inter vos adstantes est,
Qui pastorem illum, quem hic memorat, novit,
Sive ruri, seu hic in urbe aliquando conspexit,
Is indicet, nam nunc maxime id tempus postulat.
Cho. Non puto de alio loqui, quam de eo ipso, qui est ruri,
Quem & prius requirebas,
Sed regina id omnium optime dixerit.
OEd. Mulier, nosti ne illum quem jam
Venire jubebamus, utrum eum iste dicit?
Joc. Quis vero sit, quem dixit? ne quid verearis,
Neque temere hæc dicta memineris.
OEd. Non fiet hoc modo, nam quando hæc signa
Deprehendi, non desinam inquirere meum genus.
Joc. Non per Deum, si quidem tua vita
Tibi curæ est, inquiras, satis est me esse afflictam.
OEd. Bonum animum habe, tu n. etsi ego à tertia inde usq;
Matre tripliciter servus esse apparebo, nihilo deterior
Joc. Attamen obtempera quæso mihi, ne facias. (eris.
OEd. Non faciam, quin ista exquiram certo.
Joc. Atqui recte sentiens, ea quæ optima sunt tibi consulo.

Verum

Οι. Καθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα;
Αγ. Ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
Οι. Σὺ δ' ἐμπολήσας ἢ τεκών μ' αὐτῷ δίδως;
Αγ. Εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.
Οι. Ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;
Αγ. Ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν.
Οι. Ποιμὴν γὰρ ἦσθα, κἀπὶ θητείᾳ πλάνης;
Αγ. Σοῦ γ' ὦ τέκνον σωτήρ γε τῷ τότ' ἐν χρόνῳ.
Οι. Τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με λαμβάνεις;
Αγ. Ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
Οι. Οἴμοι· τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν;
Αγ. Λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
Οι. Δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.
Αγ. Ὥστ' ὠνομάσθης ἐκ τύχης ταύτης, ὃς εἶ.
Οι. Ὦ πρὸς θεῶν, πρὸς μητρός, ἢ πατρός, φράσον.
Αγ. Οὐκ οἶδ'· ὁ δοὺς δὲ ταῦτ', ἐμοῦ λῷον φρονεῖ.
Οι. Ἡ γὰρ παρ' ἄλλου μ' ἔλαβες, οὐδ' αὐτὸς τυχών;
Αγ. Οὐκ, ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
Οι. Τίς οὗτος; ἦ κάτοισθα δηλῶσαι λόγῳ;
Αγ. Τῶν Λαΐου δήπου τις ὠνομάζετο.
Οι. Ἡ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ;
Αγ. Μάλιστα· τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
Οι. Ἡ κἄστ' ἔτι ζῶν οὗτος, ὥστ' ἰδεῖν ἐμέ;
Αγ. Ὑμεῖς γ' ἄριστ' εἰδῆτ' ἂν οἱ 'πιχώριοι.
Οι. Ἐστὶν τὶς ὑμῶν τῶν παρεστώτων πέλας,
ὅστις κάτοιδε τὸν βοτῆρ' ὃν ἐννέπει,
εἴτ' οὖν ἐπ' ἀγρῶν, εἴτε κἀνθάδ' εἰσιδών;
σημήναθ'· ὡς ὁ καιρὸς εὑρῆσθαι τάδε.
Χο. Οἶμαι μὲν οὐδέν' ἄλλον ἢ τὸν ἐξ ἀγρῶν,
ὃν καὶ 'μάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
ἥδ' ἂν τάδ' οὐχ ἥκιστ' ἂν Ἰοκάστη λέγοι.
Οι. Γύναι, νοεῖς ἐκεῖνον ὅντιν' ἀρτίως
μολεῖν ἐφιέμεσθα, τόνδ' οὗτος λέγει;
Ιο. Τίς δ' ὅντιν' εἶπε· μηδὲν ἐντραπῇς, τὰ δὲ
ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι μάτην.
Οι. Οὐκ ἂν γένοιτο τοῦθ', ὅπως ἐγὼ λαβὼν
σημεῖα τοιαῦτ', οὐ φανῶ τοὐμὸν γένος.
Ιο. Μὴ πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου
κήδῃ, ματεύσῃς τοῦθ'· ἅλις νοσοῦσ' ἐγώ.
Οι. Θάρρει· σὺ μὲν γὰρ, οὐδ' ἂν ἐκ τρίτης ἐγὼ
μητρὸς φανῶ τρίδουλος ἐκφανῇ κακή.
Ιο. Ὅμως πιθοῦ μοι λίσσομαι, μὴ δρᾶν τάδε.
Οι. Οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς.
Ιο. Καὶ μὴν φρονοῦσά γ' εὖ, τὰ λῷστά σοι λέγω.

Τα

OEd. Verum hæc optima jam olim mihi molesta fuerunt.
Ioc. Heu infœlix, utinam unquam te sciscas, qui sis.
OEd. Eat aliquis & pastorem illum adducat mihi,
Hanc vero sinite superbire propter opulentiam generis (sui.
Ioc. O te infœlicem, hoc enim solum habeo
Quod tibi dicam, & nihil amplius.
Quare tandem hæc abiit, ingenti
Cho. Affecta dolore? metuo ne
Ex silentio hoc aliquid proferat mali.
OEd. Proferat, quæ vult, meum tamen
Etsi humile est genus cognoscere volo,
Ipsam vero forte, ut mulierem superbam,
Pudet ignobilitatis generis mei,
Ego autem me fortunæ filium judicans,
Quæ mihi benefecit, nihil moror istam infamiam:
Hac enim matre natus sum, & cognati
Menses me parvum ac magnum declararunt.
Quare cum huc usque progressus sim, non discedam
Aliter, quam cognito prius genere meo.

ANTISTROPHICA strophe. 3.

Cho. Si ego vates sum
Animo non deerrans,
Non per Jovem ignarus
Eris, ô Cithæron,
Quin ante crastinam lucem
OEdipi populum unde natus.
Et alumnum,
Et matrem indicaturus sis, ut Choro celebretur
A nobis, & in hoc gratum
Facturus es meo regi:
O Phœbe auxiliator, ita tibi placet.

ANTISTROPHE 2.

Quis te fili quis genuit
Immortalium Deorum? An me
Cum Pane montano congressa
Te aliqua Phœbi filia genuit?
Huic enim montium rupes
Omnes gratæ sunt.
An qui in monte Cyllene

Regnat

Οι. Τὰ λῷστα τοίνυν ταῦτά μ' ἀλγύνει πάλαι.
Ιο. Ω δύσποτμ', εἴθε μή ποτε γνοίης ὃς εἶ.
Οι. Αξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;
ταύτην δ' ἐᾶτε πλουσίῳ χαίρειν γένει.
Ιο. Ἰοὺ, ἰοὺ δύστηνε· τοῦτο γάρ σ' ἔχω
μόνον προσειπεῖν, ἄλλο δ' οὔποθ' ὕστερον.
Χο. Τί ποτε βέβηκεν, οἰδίπους, ὑπ' ἀγρίας
ἀΐξασα λύπης ἡ γυνή· δέδοιχ' ὅπως
μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναρρήξῃ κακά.
Οι. Οποῖα χρήζει ῥηγνύτω· τοὐμὸν δ' ἐγὼ
κεἰ σμικρόν ἐστι σπέρμ', ἰδεῖν βουλήσομαι.
αὕτη δ' ἴσως (φρονεῖ γὰρ ὡς γυνὴ μέγα)
τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται.
ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς τύχης νέμων
τῆς εὖ διδούσης, οὐκ ἀτιμασθήσομαι.
τῆς γὰρ πέφυκα μητρός· οἱ δὲ συγγενεῖς
μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.
τοιόσδε δ' ἐκφὺς, οὐκ ἂν ἐξέλθοιμ' ἔτι
ποτ' ἄλλος, ὥστε μὴ 'κμαθεῖν τοὐμὸν γένος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφή.

Χο. 1 Εἴπερ ἐγὼ μάντις εἰμὶ,
2 καὶ κατὰ γνώμην ἴδρις,
3 οὐ τὸν ὄλυμπον ἀπεί-
4 ρων κιθαιρὼν οὐκ ἔσῃ
5 τὰν αὔριον πανσέληνον,
6 μὴ οὐ σέ γε καὶ πατριώταν
7 οἰδίπου, καὶ τροφὸν, καὶ μη-
8 τέρ' αὔξειν, καὶ χορεύεσθαι
9 πρὸς ἡμῶν, ὡς ἐπίηρα φέρον-
10 τα τοῖς ἐμοῖσι τυράννοις.
11 ἰήϊε φοῖβε,
12 σοὶ δὲ ταῦτ' ἀρέστ' εἴη.

ΑΝΤΙΣΤΡΟΦΗ.

1 τίς σε τέκνον, τίς σ' ἔτικτε
2 τῶν μακραιώνων ἄρα
3 πανὸς ὀρεσσιβάτα
4 προσπελασθεῖσα, ἢ σέ γε
5 τίς θυγάτηρ λοξίου; τῷ
6 γὰρ πλάκες ἀγρονόμοι πᾶ-
7 σαι φίλαι· εἴθ' Κυλλάνας

8 ἀνάσσων,

Regnat Mercurius, sive Bacchus,
Qui montium cacumina colit,
Te suscepit ex aliqua Nympharum
Degentium in Helicone, quibuscum frequenter ludit?

IAMBI.

OEd. Si me opportet ante congressum (videor,
De senibus conjecturam facere, Pastorem illum videre
Quem jampridem requirimus, nam longa senectus
Congruit, & huic viro æqualis est,
Præsertim cum qui ducunt, ministros meos
Noverim. Tu melius me fortasse nosti,
Ut qui alicubi videris prius.
Cho. Novi, nam Laii hic fuit
Ut quisquam alius fidelis pastor.
OEd. Te primum rogo Corinthie hospes,
An hunc dicis?
Nu. Hunc quidem quem intueris.
OEd. Heus tu senex, huc aspice, ac dic mihi
Ea quæ te rogo, Laii aliquando fuisti tu?
Ser. Eram servus non emptus sed domi educatus.
OEd. Quid exercebas? aut qualis tibi vita fuit?
Ser. Greges pavi, per præcipuum vitæ meæ tempus.
OEd. In quibus locis præcipue commorabare?
Ser. In Cithærone & vicinis locis.
OEd. Hunccine igitur virum novisti, aut ante illic vidisti ali-
Ser. Quid ille fecit? quem virum dicis? (cubi?
OEd. Hunc inquam qui præsto adest, an cum eo alicubi con-
gressus es?
Ser. Non subito in memoriam revocare queo.
Nu. Nihil mirum est Domine at ego facile
Eorum quæ exciderunt, ipsum admonebo: nam satis
scio
Ipsum meminisse, quando in Cithæronis locis,
Ut ille duobus gregibus præerat, ego vero uni,
Conversatus sum cum hoc viro, per tres totos
Menses, à tempore veris, usque sub ortum Arcturi,
Cumque jam hyems immineret, ego in mea stabula
Pecora agebam, ipse vero in Laii septa.
Sunt ne hæc ita ut dico facta, an non?
Ser. Vera dicis, & si à longo tempore.
Nu. Age dic mihi, meministi etiam te mihi puerum quendã
Dedisse, quem ego ut meum alumnum educarem?

Quid

ἀνάστων, εἴθ' ὁ Βακχεῖος
θεὸς ναίων ἐπ' ἄκρων ὀρέων,
εὕρημα δέξατο νυμφᾶν
Ἑλικωνιάδων,
αἷσι πλεῖστα συμπαίζει.

ΙΑΜΒΟΙ.

Οι. Εἰ χρή τι κἀμὲ, μὴ συναλλάξαντά πω,
πρέσβεις, σταθμᾶσθαι, τὸν βοτῆρ' ὁρᾶν δοκῶ
ὅνπερ πάλαι ζητοῦμεν· ἔν τε γὰρ μακρῷ
γήρᾳ ξυνᾴδει, τῷδέ τ' ἀνδρὶ ξύμμετρος.
ἄλλως τε, τοὺς ἄγοντας, ὥσπερ οἰκέτας
ἔγνωκ' ἐμαυτοῦ· τῇ δ' ἐπιστήμῃ σύ μου
προὔχοις, τάχ' ἄν που τὸν βοτῆρ' ἰδὼν πάρος.
Χο. Ἔγνωκα γὰρ, σάφ' ἴσθι· Λαΐου γὰρ ἦν
εἴπερ τις ἄλλος πιστὸς, ὡς νομεὺς ἀνήρ.
Οι. Σὲ πρῶτ' ἐρωτῶ τὸν Κορίνθιον ξένον
ἢ τόνδε φράζεις;
Αγ. Τοῦτον, ὅνπερ εἰσορᾷς.
Οι. Οὗτος σὺ πρέσβυ, δεῦρό μοι φώνει βλέπων
ὅσ' ἄν σ' ἐρωτῶ· Λαΐου ποτ' ἦσθα σύ;
Θε. Ἦν δοῦλος, οὐκ ὠνητὸς, ἀλλ' οἴκοι τραφείς.
Οι. Ἔργον μεριμνῶν ποῖον ἢ βίον τινά;
Θε. Ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνειπόμην.
Οι. Χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;
Θε. Ἦν μὲν Κιθαιρὼν, ἦν ἢ πρόσχωρος τόπος.
Οι. Τὸν ἄνδρα τόνδ' οὖν οἶσθα τῇδέ που μαθών;
Θε. Τί χρῆμα δρῶντα, ποῖον ἄνδρα καὶ λέγεις;
Οι. Τόνδ' ὃς πάρεστιν· ἢ ξυναλλάξας τί πω;
Θε. Οὐχ ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ὕπο.
Αγ. Κοὐδέν γε θαῦμα, δέσποτ'· ἀλλ' ἐγὼ σαφῶς
ἀγνῶτ' ἀναμνήσω νιν· εὖ γὰρ οἶδ' ὅτι
κάτοιδεν· ἦμος τὸν Κιθαιρῶνος τόπον
ὁ μὲν διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ
ἐπλησίαζον τῷδε τἀνδρὶ τρεῖς ὅλους
ἐξ ἦρος εἰς ἀρκτοῦρον ἐμμήνους χρόνους.
χειμῶνι δ' ἤδη, τἀμά τ' εἰς ἔπαυλ' ἐγὼ
ἤλαυνον, οὗτός τ' εἰς τὰ Λαΐου σταθμά.
λέγω τι τούτων, ἢ οὐ λέγω πεπραγμένον;
Θε. Λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου.
Αγ. Φέρ' εἰπὲ νῦν, τότ' οἶσθα παῖδά μοί τινα
δοὺς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ;

Ser. Quid est, quamobrem tu istam rem inquiris?
Nu. Hic ille est, ô amice, qui tunc infans erat.
Ser. Non in malam rem hinc ibis? non tacebis?
OEd. Ah ne castiga senem hunc, nam ea quæ tu dicis
Magis castigatione digna sunt, quam quæ ille jam dixit
Ser. Quid ego optime Domine deliqui?
OEd. Quia non respondes de puero, quem iste requirit.
Ser. Nescit enim quid dicat, & temere ista movet.
OEd. Tu cum bona gratia non dices, malo vero accepto dices
Ser. Ne per Deum senem verberes.
OEd. Non aliquis quam primum hujus manus ligabit?
Ser. Infœlix ego, quamobrem? quid tandem est quod quæris
OEd. Puerum ne huic dedisti, de quo iste quærit?
Ser. Dedi, utinam illo die periissem.
OEd. At hoc ipsum eveniet tibi, nisi quod æquum est dixeris
Ser. Multo magis si dico pereo.
OEd. Hic homo, ut videtur, tantum moras nectit.
Ser. Non utique, nam dixi, me dedisse olim.
OEd. Unde nactus, de tuis ne, an ab alio accepisti?
Ser. Non meus erat, sed ab alio accepi.
OEd. A quo igitur ex civibus, & ex qua domo?
Ser. O Domine, obsecro per Deum, ne quære amplius.
OEd. Periisti, si hæc à te iterum quæram.
Ser. Erat quidam ex genere Laii.
OEd. Servus ne an illius proles?
Ser. Hei mihi in eodem periculo versor, si dico.
OEd. Et ego quidem, qui audio, attamen audiendum est.
Ser. Illius filius dicebatur esse, quæ vero intus est
Domina hoc facillime dixerit, ut se habeat.
OEd. An ipsa tibi dedit?
Ser. O Rex dedit.
OEd. Quam ob causam?
Ser. Ut interficerem.
OEd. Eane, quæ pepererat infœlix?
Ser. Metu mali oraculi.
OEd. Quale illud erat?
Ser. Dicebatur interfecturus esse parentes.
OEd. Quare igitur præbuisti huic seni?
Ser. Misericordia motus ô Domine, cum sperarem fore, ut
In aliam terram deportaretur, unde ipse natus erat,
Ipse vero ad maxima mala servavit. Nam si tu is es,
Quem iste dicit, certe infœlici fato natus es.
OEd. Hei, hei, jam tota res manifesta est.
O lux te jam extremum aspicio,

Qui

Θε. Τί δ' ἔστι; πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς;
Αγ. Ὅδ' ἐστὶν ὦ τᾶν κεῖνος ὃς τότ' ἦν νέος.
Θε. Οὐκ εἰς ὄλεθρον; οὐ σιωπήσας ἔσῃ;
Οι. Ἆ, μὴ κόλαζε πρέσβυ τόνδ', ἐπεὶ τὰ σὰ
δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ' ἔπη.
Θε. Τί δ' ὦ φέριστε δεσποτῶν ἁμαρτάνω;
Οι. Οὐκ ἐννέπων τὸν παῖδ' ὃν οὗτος ἱστορεῖ.
Θε. Λέγει γὰρ εἰδὼς οὐδὲν, ἀλλ' ἄλλως πονεῖ.
Οι. Σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλαίων δ' ἐρεῖς.
Θε. Μὴ δῆτα πρὸς θεῶν τὸν γέροντά μ' αἰκίσῃ.
Οι. Οὐχ ὡς τάχος τις τοῦδ' ἀποστρέψει χέρας;
Θε. Δύστηνος· ἀντὶ τοῦ; τί προσχρῄζων μαθεῖν;
Οι. Τὸν παῖδ' ἔδωκας τῷδ', ὃν οὗτος ἱστορεῖ;
Θε. Ἔδωκ'· ὀλέσθαι δ' ὤφελον τῇδ' ἡμέρᾳ.
Οι. Ἀλλ' εἰς τόδ' ἥξεις μὴ λέγων γε τοὔνδικον.
Θε. Πολλῷ γε μᾶλλον ἢν φράσω διόλλυμαι.
Οι. Ἀνὴρ ὅδ', ὡς ἔοικεν, ἐς τριβὰς ἐλᾷ.
Θε. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' εἶπον ὡς δοίην πάλαι.
Οι. Πόθεν λαβών; οἰκεῖον, ἢ 'ξ ἄλλου τινός;
Θε. Ἐμὸν μὲν οὐκ ἔγωγ', ἐδεξάμην δέ του.
Οι. Τίνος πολιτῶν τῶνδε, κἀκ ποίας στέγης;
Θε. Μὴ πρὸς θεῶν, μὴ δέσποθ', ἱστόρει πλέον.
Οι. Ὄλωλας, εἴ σε ταῦτ' ἐρήσομαι πάλιν.
Θε. Τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων.
Οι. Ἢ δοῦλος, ἢ κείνου τις ἐγγενὴς γεγώς;
Θε. Οἴμοι πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.
Οι. Κἄγωγ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον.
Κείνου γέ τοι δὴ παῖς ἐκλῄζεθ'· ἡ δ' ἔσω
Θε. κάλλιστ' ἂν εἴποι σὴ γυνὴ τάδ' ὡς ἔχει.
Οι. Ἦ γὰρ δίδωσιν ἥδε σοι;
Θε. Μάλιστ' ἄναξ.
Οι. Ὡς πρὸς τί χρείας;
Θε. Ὡς ἀναλώσαιμί νιν.
Οι. Τεκοῦσα τλήμων.
Θε. Θεσφάτων ὄκνῳ κακῶν.
Οι. Ποίων;
Θε. Κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος.
Οι. Πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ;
Θε. Κατοικτίσας ὦ δέσποτ'· εἰς ἄλλην χθόνα
δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
κάκ' εἰς μέγιστ' ἔσωσεν· εἰ γὰρ οὗτος εἶ
ὅν φησιν οὗτος, ἴσθι δύσποτμος γεγώς.--
Οι. Ἰοὺ, ἰού· τὰ πάντ' ἂν ἐξήκοι σαφῆ.
Ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν

Qui natus sum ex quibus me non oport. & cum quibus
Non oportuit habito, & quos non oportuit interfeci.

MONOSTROPHICA

Cho. O genus hominum,
Ut te pro eo quod nihil est.
Dum vivis, duco.
Cui enim hominum unquam major
Fœlicitas obtigit,
Quam quantam opinione obtinuit,
Et ea ipsa statim mutata est.
Tuo exemplo admonitus,
Tua fortuna, tua inquam ô infœlix
OEdipe, mortalium neminem beatum judico.
Nam tu nimium successu evectus,
Usus es magna fœlicitate,
O Juppiter, cum occideres armatam unguibus
Puellam carmina edentem,
Et à cædibus terram nostram liberares,
Unde & regium nomen sortitus es,
Ac honore summo potitus
In præclara urbe regnasti.
Quantum vero nunc audimus, quis miserior?
Quis æque in ærumnis & horribili noxa
Demersus vicissitudine vitæ?
O inclytum OEdipi caput,
Qui iisdem cum patre nuptiis
Potitus concidisti,
Quomodo te idem thorus, quomodo
Infœlix ferre potuit
Tacite tam diu?
Deprehendit te tandem invitum, quod omnia intuetur tempus,
Idque nefarias nuptias damnat,
Cum sis ejusdem maritus & filius
O Laii proles,
Utinam te non aspicerem,
Te enim vehementer deploro
Lugubri voce.
Utque verum fatear, propter te, caput erexi,
Et propter eundem rursum inclinavi.

IAMBI.

ὅστις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς
τ' οὐ χρῆν μ' ὁμιλῶν, οὕς τέ μ' οὐκ ἔδει κτανών.—

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ὦ γενεαὶ βροτῶν, ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν
ζώσας ἐναριθμῶ.
τίς γὰρ τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει,
ἢ τοσοῦτον ὅσον δοκεῖν,
καὶ δόξαντ', ἀποκλῖναι;
τὸ σόν τοι παράδειγμ' ἔχων,
τὸν σὸν δαίμονα, τὸν σόν, ὦ τλᾶμον
Οἰδιπόδα, βροτῶν οὐδένα μακαρίζω,
ὅστις καθ' ὑπερβολὰν τοξεύσας,
ἐκράτησας τοῦ πάντ' εὐδαίμονος ὄλβου,
φεῦ κατὰ μὲν φθίσας τὰν γαμψώνυχα
παρθένον χρησμῳδόν.
θανάτων δ' ἐμᾷ χώρᾳ πύργος ἀνέστας,
ἐξ οὗ καὶ βασιλεὺς καλῇ ἐμός,
καὶ τὰ μέγιστ' ἐτιμάθης,
ταῖς μεγάλαισιν ἐν Θήβαις ἀνάσσων.
τανῦν δ' ἀκούειν, τίς ἀθλιώτερος;
τίς ἐν πόνοις, τίς ἄταις ἀγρίαις
ξύνοικος ἀλλαγᾷ βίου;
ὦ κλεινὸν Οἰδίπου κάρα,
ᾧ μέγας λιμὴν αὑτὸς ἤρκεσε
παιδὶ καὶ πατρὶ θαλαμηπόλῳ πεσεῖν,
πῶς ποτε, πῶς ποθ' αἱ πατρῷαί
σ' ἄλοκες φέρειν τάλας,
σῖγ' ἐδυνάθησαν ἐς τοσόνδε;
ἐφεῦρέ σ' ἄκονθ' ὁ πάνθ' ὁρῶν χρόνος·
δικάζει τὸν ἄγαμον γάμον πάλαι,
τεκνοῦντα καὶ τεκνούμενον.
ὦ Λαΐειον τέκνον,
εἴθε σ' εἴθε μήποτ' εἰδόμαν.
ὀδύρομαι γὰρ ὡς περίαλλα
ἰαχέων ἐκ στομάτων.
τὸ δ' ὀρθὸν εἰπεῖν,
ἀνέπνευσά τ' ἐκ σέθεν, καὶ
κατεκοίμησα τοὐμὸν ὄμμα.

IAMBI.

Nu. O qui præcipuum in hac terra honorem obtinetis,
Quæ facta audietis, quæque videbitis? Et quanto
Dolore afficiemini, si modo serio adhuc
Labdacidarum familia vobis curæ est.
Existimo enim neque Istrum nec Phasin
Abluere atq; expiare posse facinora, quæ in hac domo
Latent, quæq; mox in lucem proferentur,
Sponte, & non sponte perpetrata, malorum verò
Ea quæ sponte contrahuntur, maximè dolent.
Cho. Nihil deest his, quæ prius scimus, quin sint
Atrocissima, ad hæc igitur quid tu commemoras?
Nu. Ut paucissimis & ego dicam, & vos
Intelligatis, interiit divinum Jocastes caput.
Cho. O multipliciter miseram quonam autore?
Nu. Ipsa sibi consciuit letum, quódque in hac re
Tristissimum est, id abest, non enim res oculis cernitur.
Attamen quantum ego memoria teneo,
Audies illius miseræ miserias.
Cùm enim ardens ira ingressa esset
Intra domum, statim ad connubialem
Thorum accessit, capillos utraque manu lanians,
Cúmque clausisset fores
Vocat Laium jam olim mortuum,
Veteris conjugii memoriam repetens, quæ illi causa
Mortis fuerit, se verò parentem relictam
Filio suo ad infœlicem liberorum procreationem.
Deplorabat itaq; Thalamum, ubi ipsa infœlix, utrumq;
Et ex marito maritos, & ex liberis liberos peperisset.
Ut verò deinde mortua sit non scio,
Nam cum clamore OEdipus erupit, præ quo
Non licebat illius inspectare casum,
Sed in eum discurrentem oculi nostri defixi erant.
Obambulabat enim à nobis arma postulans,
Ac quærens ubi infœlicem conjugem matrémq;
Et suam & liberorum suorum inveniret.
Dum ita furit, nescio quis Deorum indicat ei:
Nam nostrum nemo, qui aderamus, id faciebat.
Horribiliter verò exclamãs, quasi ab aliquo raptaretur,
Irruit per geminas fores: imò ex fundo
Evulsis claustris, ac conjicit se intra Thalamum.
Ibi reginam ipsam pendentem vidimus,

Tortili

ΙΑΜΒΟΙ.

Εξ. Ὦ γῆς μέγιστα τῆσδ' ἀεὶ τιμώμενοι,
οἷ' ἔργ' ἀκούσεσθ', οἷα δ' εἰσόψεσθ', ὅσον
δ' ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς ἔτι
τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων.
οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον οὔτε Φᾶσιν ἂν
νίψαι καθαρμῷ τήνδε τὴν στέγην, ὅσα
κεύθει· τὰ δ' αὐτίκα εἰς τὸ φῶς φανεῖ κακὰ
ἑκόντα, κοὐκ ἄκοντα· τῶν δὲ πημονῶν
μάλιστα λυποῦσ' αἳ 'ν φανῶσ' αὐθαίρετοι.
Χο. Λείπει μὲν οὐδ' ἃ πρόσθεν ᾔδειμεν τὸ μὴ οὐ
βαρύστον' εἶναι· πρὸς δ' ἐκείνοισιν, τί φῄς;
Αγ. Ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα.
Χο. Ὦ δυστάλαινα· πρὸς τίνος ποτ' αἰτίας;
Αγ. Αὐτὴ πρὸς αὑτῆς· τῶν δὲ πραχθέντων τὰ μὲν
ἄλγιστ' ἄπεστιν· ἡ γὰρ ὄψις οὐ πάρα.
ὅμως δ' ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι,
πεύσῃ τὰ κείνης ἀθλίας παθήματα.
ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ' ἔσω
θυρῶνος, ἱκεῖ' εὐθὺ πρὸς τὰ νυμφικὰ
λέχη, κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς.
πύλας δ' ὅπως εἰσῆλθ', ἐπιρρήξασ' ἔσω,
κάλει τὸν ἤδη Λάϊον πάλαι νεκρόν,
μνήμην παλαιῶν σπερμάτων ἔχουσ', ὑφ' ὧν
θάνοι μὲν αὐτός, τὴν δὲ τίκτουσαν λίποι
τοῖς οἷσιν αὐτοῦ δύστεκνον παιδουργίαν.
γοᾶτο δ' εὐνάς, ἔνθα δύστηνος διπλοῦς
ἐξ ἀνδρὸς ἄνδρα, καὶ τέκν' ἐκ τέκνων τέκοι.
χὤπως μὲν ἐκ τῶνδ' οὐκέτ' οἶδ' ἀπόλλυται.
βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους, ὑφ' οὗ
οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν.
ἀλλ' εἰς ἐκεῖνον περιπολοῦντ' ἐλεύσσομεν.
φοιτᾷ γὰρ ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν
γυναῖκά τ' οὐ γυναῖκα, μητρῴαν δ' ὅπου
κίχοι διπλῆν ἄρουραν, οὗ τε καὶ τέκνων.
λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις·
οὐδεὶς γὰρ ἀνδρῶν οἳ παρῆμεν ἐγγύθεν.
δεινὸν δ' ἀΰσας ὡς ὑφ' ἡγητοῦ τινος
πύλαις διπλαῖς ἐνήλατ'· ἐκ δὲ πυθμένων
ἔκλινε κοῖλα κλεῖθρα, κἀμπίπτει στέγῃ.
οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' εἰσείδομεν,

Tortili suspendio implicitam, & ipse
Ut eam intuitus est horribiliter infremuit miser,
Laxátque pendentem restim, & humi
Se prosternit infœlix, ibi erat miserabile spectaculum.
Nam cùm avulsisset à vestibus aureas
Fibulas, quibus illa ornata erat,
Cœpit iis arreptis oculorum orbes fodere,
Sic dicens, se non amplius intueri illam posse,
Neque mala sua, nec scelera quæ perpetrasset,
Sed lumine orbatum posthac, neque quos fas non esset
Visurum esse, nec quibus indigeret, agniturum.
Talia iterum iterúmque vociferando,
Elevabat palpebras, & oculos laniabat, à cruore verò
Pupularũ facies madefiebat: neq; enim tantũ stillabant
Sanguinis humentes guttæ, sed simul ater
Cruor in modum imbris aut grandinis manabat,
Hæcque non ab utroque tantum orta sunt mala,
Sed inter se calãitates viri ac mulieris simul cõmistæ sũt.
Quæque fuit prius fœlicitas, ut fuit
Fœlicitas justè: et hoc die facta est
Gemitus, noxa, mors, probrum, & malorum
Quidquid nominari potest, non abest.

Cho. In quo verò malo nunc miser versatur?

Nũ. Clamat, ut fores laxentur, & ut aliquis
Omnibus Thebanis ostendat patris occisorem,
Et matris, addens impias, & infandas voces.
Et se exiturum hac terra ait, neque amplius
In ædibus mansurum ita devotum, ut se ipse devoverit.
Auxilio utique & ductore aliquo
Indiget: nã hic morbus, major est, quàm ut ferri possit,
Ostendet verò ipse tibi, nam fores
Aperiuntur, & spectaculum statim videbis
Tale, quod vel hostẽ ad misericordiã commovere queat.

ANAPÆSTI.

Cho. O tristem aspectu calamitatem.
O tristissimum spectaculum ex omnibus, quæ ego
Unquam vidi. Quis te ô miser
Corripuit furor? quæ in te irruit
Adversa fortuna, quæ majora maximis mala
Ad tuam infœlicitatem accumulavit?
Heu heu te infœlicem. Sed neque aspicere
Te possum, cùm multa quærere cupiam,

πλεκταῖς ἐώραις ἐμπεπλεγμένην. ὁ δὲ,
ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
χαλᾷ κρεμαστὴν ἀρτάνην. ἐπεὶ δὲ γῇ
ἔκειτο τλήμων, δεινὰ δ' ἦν τἀνθένδ' ὁρᾶν.
ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεστέλλετο,
ἄρας ἔπαισεν ἄρθρα τῶν αὐτοῦ κύκλων,
αὐδῶν τοιαῦθ', ὅθ' οὕνεκ' οὐκ ὄψοιτό νιν,
οὔθ' οἷ' ἔπασχεν, οὔθ' ὁποῖ' ἔδρα κακά,
ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν οὓς μὲν οὐκ ἔδει
ὀψοίαθ', οὓς δ' ἔχρηζεν, οὐ γνωσοίατο.
τοιαῦτ' ἐφυμνῶν πολλάκις τε κοὐχ ἅπαξ,
ἤρασσ' ἐπαίρων βλέφαρα. φοίνιαι δ' ὁμοῦ
γλῆναι γένει' ἔτεγγον, οὐδ' ἀνίεσαν
φόνου μυδώσας σταγόνας, ἀλλ' ὁμοῦ μέλας
ὄμβρος χαλάζης αἵματος ἐτέγγετο.
τάδ' ἐκ δυοῖν ἔρρωγεν, οὐ μόνου κακά,
ἀλλ' ἀνδρὶ καὶ γυναικὶ συμμιγῆ κακά,
ὁ πρὶν παλαιὸς δ' ὄλβος ἦν πάροιθε μὲν
ὄλβος δικαίως, νῦν δὲ τῇδε θ' ἡμέρᾳ
στεναγμὸς, ἄτη, θάνατος, αἰσχύνη, κακῶν
ὅσ' ἐστὶ πάντων ὀνόματ' οὐδέν ἐστ' ἀπόν.--

Χο. Νῦν δ' ἔσθ' ὁ τλήμων ἐν τίνι σχολῇ κακοῦ;

Αγ. Βοᾷ διοίγειν κλεῖθρα, καὶ δηλοῦν τινὰ
τοῖς πᾶσι Καδμείοισι τὸν πατροκτόνον,
τὸν μητρὸς, αὐδῶν ἀνόσι'; οὐδὲ ῥητά μοι·
ὡς ἐκ χθονὸς ῥίψων ἑαυτὸν, οὐδ' ἔτι
μενῶν δόμοις ἀραῖος, ὡς ἠράσατο.
ῥώμης γε μέντοι καὶ προηγητοῦ τινος
δεῖται· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν.
δείξει δὲ καὶ σοί· κλεῖθρα γὰρ πυλῶν τάδε
διοίγεται· θέαμα δ' εἰσόψει τάχα
τοιοῦτον, οἷον καὶ στυγοῦντ' ἐποικτίσαι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις,
ὦ δεινότατον πάντων ὅσ' ἐγὼ
προσέκυρσ' ἤδη· τίς σ', ὦ τλῆμον,
προσέβη μανία; τίς ὁ πηδήσας
δαίμων μείζονα τῶν μηκίστων
πρὸς τῇ σῇ δυσδαίμονι μοίρᾳ;
φεῦ, φεῦ, δύσταν'· ἀλλ' οὐδ' ἐσιδεῖν
δύναμαί σε θέλων πόλλ' ἀνερέσθαι,

Multa audire, multa item dicere,
Ita me perturbat tua calamitas.
OEd. Heu, heu,
Væ mihi misero, ubi nam
Sum infœlix? quò mihi vox
Dispergitur, impetu sublata?
O fortuna quo nam abiisti?
Cho. Abiit in eventum tristem, nec auditu, nec visu facilem.

PERICOMMATA. Strophe 1.

OEd. O tenebræ & caligo abominabilis
Opprimens, infanda,
Invicta, & infinita, Hei mihi,
Hei mihi iterum, quam sævus me subiit simul
Stimulus furoris, & memoria malorum.

SYSTEMA 1.

Cho. Et quidem nihil mirum est in tantis ærumnis
Dupliciter te lugere, & duplicibus malis angi.

ANTISTROPHE 1.

OEd. O amice, tu quidem meus
Curator adhuc esse perseveras:
Adhuc ades mihi,
Et cæcum curas, Heu, heu,
Non enim me fallis, sed bene novi
Tuam vocem, & si lumine privatus.

ANTISYSTEMA 1

Cho. Heu, quàm crudeliter sæviisti: quomodo potuisti sic
Affligere oculos? quis te incitavit Deorum?

STROPHE 2.

OEd. Apollo ista, ô amici, Apollo
Mala confecit,
Et hasce meas miserias,
Sed oculos manu sua percussit
Nemo, præterquam ego ipse.
Quid enim attinebat me videre,
Cui nihil non tristissimum quod viderem erat?

SYST-

πολλὰ πυθέσθαι, πολλὰ δ' ἀθρῆσαι·
τοίαν φρίκην παρέχεις μοι.

Οἰ. Αἶ αἶ αἶ αἶ.
φεῦ, φεῦ, δύστανος ἐγώ· ποῖ γᾶς
φέρομαι τλάμων; πᾶ μοι φθογγὰ
διαπέταται φοράδην;
ὦ δαῖμον, ἵν' ἐξήλου.

Χο. Ἐς δεινὸν, οὐδ' ἀκουστὸν, οὐδ' ἐπόψιμον.

ΠΕΡΙΚΟΜΜΑΤΑ. Στροφὴ α'.

Οἰ. 1 Ἰὼ σκότου νέφος ἐμὸν
2 ἀπότροπον ἐπιπλόμενον,
3 ἄφατον ἀδάμαστόν τε
4 καὶ δυσούριστον· οἴ μοι,
5 οἴ μοι μάλ' αὖθις· οἷον εἰσέδυ μ' ἅμα
6 κέντρων τε τῶνδ' οἴστρημα, καὶ μνήμη κακῶν.

ΣΥΣΤΕΜΑ α'.

Χο. 1 Καὶ θαυμά γ' οὐδὲν ἐν τοσούτοις πήμασι,
2 διπλᾶ σε πενθεῖν, καὶ διπλᾶ φέρειν κακά.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Οἰ. 1 Ἰὼ φίλος, σὺ μὲν ἐμὸς
2 ἐπίπολος ἔτι μόνιμος·
3 σὺ γὰρ ὑπομένεις τόν γε
4 τυφλὸν κηδεύων· φεῦ φεῦ.
5 οὐ γάρ με λήθεις, ἀλλὰ γιγνώσκω σαφῶς,
6 καίπερ σκοτεινὸς, τήν γε σὴν αὐδὴν ὅμως.

ΑΝΤΙΣΥΣΤΗΜΑ α'.

Χο. 1 Ὦ δεινὰ δράσας, πῶς ἔτλης τοιαῦτα σὰς
2 ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων;

ΣΤΡΟΦΗ β'.

Οἰ. 1 Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, φίλοι,
2 ὁ κακὰ τελῶν τάδ' ἐμὰ πάθεα.
3 ἔπαισε δ' αὐτόχειρ νιν οὔτις, ἀλλ' ἐγὼ
4 τλάμων· τί γὰρ ἔδει μ' ὁρᾶν,
5 ὅτῳ γ' ὁρῶντι, μηδὲν ἦν ἰδεῖν γλυκύ;

SYSTEMA 2.

Cho. Est ita ut dicis.

STROPHE 3.

OEd. Quid mihi quod videre, amare, aut alloqui,
Aut cum voluptate audiri possim restat amici?
Ejicite extorrem quàm primum me
O amici, consceleratum valde,
Et maximè execrabilem, atque etiam
Diis & omnibus hominibus invisissimum.

SYSTEMA 3.

Cho. Infœlix ob istum animum & calamitatem pariter.
Utinam te nunquam cognovissem.

ANTISTROPHE 3.

OEd. Pereat, quicunque is fuit, qui à pedibus meis
Sæva vincula in sylvestribus pascuis
Solvit, & à morte me
Liberavit, ac servavit: nihil ille mihi gratum
Fecit: tunc enim cum minore poteram
Et amicorum, & meo dolore mori.

ANTISYSTEMA 2.

Cho. Idem & ego optarim.

ANTISTROPHE 1.

OEd. Tunc neque patrem interfecissem,
Nec matrem duxissem uxorem.
Nunc verò & ipse miser sum, & contaminatorum filius,
Et ex qua natus sum, ex eadem filios suscepi.
Denique si quod unquam atrox malum fuit,
Id sortitus est OEdipus.

ANTI-

ΣΥΣΤΗΜΑ β'.

Κο. Ἦν ταῦθ', ὅπως περ καὶ σὺ φῄς.

ΣΤΡΟΦΗ γ'.

Οἰ. Τί δῆτ' ἐμοὶ βλεπτὸν ἢ
στερκτὸν ἢ προσήγορον
ἔτ' ἔστ' ἀκούειν ἡδονᾷ, φίλοι;
ἀπάγετ' ἐκτόπιον ὅτι τάχιστά με.
ἀπάγετ' ὦ φίλοι, τὸν ὄλεθρον μέγαν,
τὸν καταρατίτατον, ἔτι δέ γε καὶ
θεοῖς ἐχθρότατον βροτῶν.

ΣΥΣΤΗΜΑ γ'.

Χο. Δείλαιε τοῦ νοῦ, τῆς τε συμφορᾶς ἴσον,
ὥς σ' ἠθέλησα μηδ' ἀναγνῶναί ποτ' ἄν.

ΑΝΤΙΣΤΡΟΦΗ. β'.

Οἰ. Ὄλοιθ' ὅστις ἦν, ὃς ἀγρίας πέδας
ἐπιποδίας μ' ἀπό τε φόνου
ἔρρυτο κἀνέσωσεν, οὐδὲν εἰς χάριν
πράσσων· τότε γὰρ ἂν θανὼν
οὐκ ἦν φίλοισιν οὐδ' ἐμοὶ τοσόνδ' ἄχος.

ΑΝΤΙΣΥΣΤΗΜΑ β'.

Χο. Θέλοντι κἀμοὶ τοῦτ' ἂν ἦν.

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Οἰ. Οὔκουν πατρός γ' ἂν φονεὺς
ἦλθον, οὐδὲ νυμφίος
βροτοῖς ἐκλήθην ὧν ἔφυν ἄπο.
νῦν δ' ἄθλιος μὲν εἰμ', ἀνοσίων δὲ παῖς,
ὁμογενὴς δ' ἀφ' ὧν αὐτός γ' ἔφυν τάλας.
εἰ δέ τι πρεσβύτερον ἔφυ κακοῦ
κακόν, ἔλαχ' Οἰδίπους.

ANTI-

ANTISYSTEMA 3.

Cho. Non video quomodo te dicam bene consuluisse, 1
Cui melius erat non vivere quàm cæcum vivere.

IAMBI.

OEd. Quòd hæc si non optimè facta sint,
Ne me doceas, neque consulas amplius.
Quibus enim oculis ego unquam aspicerem
Patrem meum apud inferos?
Aut miseram matrem, quorum duorum morte
Atrociora à me facta sunt facinora.
Sed liberorum aspectus dulcis erat,
Accrescētiū, ut & aspiciēdi voluptas accresceret mihi.
Non utique oculis meis aspicere possem
Hanc urbem, vel turres, vel Deorum
Simulacra, quibus infoelicissimus ego
Vir in hac urbe honestissimè enutritus
Meipsum privavi facto decreto,
Ut omnes pellerent impium illum, & à Diis ipsis,
Pollutum judicatum, & à genere Laii,
Hoc ego dedecus meum cùm ostenderim,
Rectis ne oculis hosce intueri poteram?
Minime. Sed si aliquod etiam auditus
Et aurium septum esset, non possem facere
Quin & ab ea parte obstruerem infoelix corpus,
Ut essem pariter oculis & auribus captus,
Nam sensu carere in malis solatium est.
O Cithæron, quare me accepisti, & quare acceptum
Non statim interfecisti? ut nunquam palam fieret
Hominibus, unde natus essem
O Polybe & Corinthe, & patria
Falso credita domus, Quale me
Sub pulchra specie purulentum malum enutriistis?
Nunc.n.& ipse malus, & ex malis ortus deprehendor.
O via in trivium divisa, & umbrosæ sylvæ,
Arbustúmque, & angustus in trivio locus,
Quæ sanguinem à manibus meis
Paternum bibistis, An adhuc meministis, qualia
Facinora ibi fecerim, & inde huc veniens
Quæ perpetrarim? O nuptiæ nuptiæ
Genuistis nos, & postquam genuistis, rursum

ΑΝΤΙΣΤΡΟΦΗ γ.

ΑΝΤΙΣΥΣΤΗΜΑ γ.

Χο. Οὐκ οἶδ' ὅπως σε φῶ βεβουλεῦσθαι καλῶς.
κρείσσων γὰρ ἦσθα μηκέτ' ὢν, ἢ ζῶν τυφλός.--

ΙΑΜΒΟΙ.

Οι. Ὡς μὲν τάδ' οὐχ ὧδ' ἔστ' ἄριστ' εἰργασμένα,
μή μ' ἐκδίδασκε, μηδὲ συμβούλευ' ἔτι.
ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν ποίοις βλέπων
πατέρα ποτ' ἂν προσεῖδον εἰς ᾅδου μολὼν,
οὐδ' αὖ τάλαιναν μητέρ', οἷν ἐμοὶ δυοῖν
ἔργ', ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα.
ἀλλ' ἡ τέκνων δῆτ' ὄψις ἦν ἐφήμερος,
βλαστοῦσ' ὅπως ἔβλαστε προσλεύσσειν ἐμοί.
οὐ δῆτα, τοῖς γ' ἐμοῖσιν ὀφθαλμοῖς ποτε,
οὐδ' ἄστυ γ', οὐδὲ πύργος, οὐδὲ δαιμόνων
ἀγάλμαθ' ἱερὰ, τῶν ὁ παντλήμων ἐγὼ
κάλλιστ' ἀνὴρ εἷς, ἔν γε ταῖς Θήβαις τραφεὶς,
ἀπεστέρησ' ἐμαυτὸν, αὐτὸς ἐννέπων
ὠθεῖν ἅπαντας, τὸν ἀσεβῆ, τὸν ἐκ θεῶν
φανέντ' ἄναγνον, καὶ γένους τοῦ Λαΐου.
τοιάνδ' ἐγὼ κηλῖδα μηνύσας ἐμὴν,
ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾶν;
ἥκιστά γ'· ἀλλ' εἰ τῆς ἀκουούσης ἔτ' ἦν
πηγῆς δι' ὤτων φραγμὸς, οὐκ ἂν ἐσχόμην
τὸ μὴ 'ποκλεῖσαι τοὐμὸν ἄθλιον δέμας,
ἵν' ἦ τυφλός τε καὶ κλύων μηδέν· τὸ γὰρ
τὴν φροντίδ' ἔξω τῶν κακῶν οἰκεῖν, γλυκύ.
ἰὼ Κιθαιρὼν, τί μ' ἐδέχου; τί μ' οὐ λαβὼν
ἔκτεινας εὐθύς; ὡς ἔδειξα μήποτε
ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦ γεγώς.
ὦ Πόλυβε, καὶ Κόρινθε, καὶ τὰ πάτρια
λόγῳ παλαιὰ δώμαθ', οἷον ἄρα με
κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε.
νῦν γὰρ κακός τ' ὢν κἀκ κακῶν εὑρίσκομαι.
ὦ τρεῖς κέλευθοι, καὶ κεκρυμμένη νάπη,
δρυμός τε καὶ στενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
αἳ τοὐμὸν αἷμα τῶν ἐμῶν χειρῶν ἄπο
ἐπίετε πατρὸς, ἆρά μου μέμνησθ' ἔτι,
οἷ' ἔργα δράσας ὑμὶν, εἶτα δεῦρ' ἰὼν
ὁποῖ' ἔπρασσον αὖθις; ὦ γάμοι, γάμοι,
ἐφύσαθ' ἡμᾶς, καὶ φυτεύσαντες, πάλιν

ἀνεῖτε

Remittitis idem semen, atque exhibuistis
Patres, fratres, liberos, sanguinem cognatum,
Sponsas, uxores, matrésque, & quæ
Turpissima inter homines censentur.
Sed neq; pulchrum est dicere, ea quæ factu turpia sunt.
Quàm primum, per Deum, me alicubi
Vel occultate, vel occidite, vel in mare
Abjicite, ubi non amplius aspiciatis.
Ite, injicite manus in virum infœlicem,
Obtemperate, ne revereamini, nam mea mala
Præter me nemo alius ferre potest.
Cre. Sed Creon adest in tempore, qui de his quæ petis
Commodè & statuere potest, & rem exequi,
Nam ille pro te solus jam hujus terræ custos relictus est.
OEd. Hei mihi, quid jam dicemus adhuc?
Quæ mihi apud illum justa fides esse potest?
Cre. Quãdo jam antè erga eũ omnino injustus invẽtus sum.
Non huc veni, te ut derideam,
Aut insultem tuis malis.
Sed si genus humanum non curatis, saltem
Omnia depascentem flammam
Solis reveremini, qui tale piaculum
Detexit, atque ostendit, quod neque terra
Nec imber cœlestis, neque hæc ipsa feret.
Sed quàm primum intra domum hunc auferte.
Nam cognatos sanguine, maximè cognatorum mala
Solos videre ac cognoscere decet.
OEd. Per Deum, quando meam de te opinionem fefellisti,
Et vir optimus venisti ad me, sceleratissimum hominem,
Obtempera mihi, nam quod ad te attinet, non ad me (dicam.
Cre. Quid est quod à me ita enixè petis?
OEd. Ejice me ex hac terra quàm primum, ut sim ubi
Neminem hominum alloqui possim.
Cre. Fecissem hoc utique, quod scias, nisi prius
A Deo quærere libuisset quid sit faciendum.
OEd. Sed illius omnino jam patefactum est oraculum,
Ut parricida & impius ego perdar.
Cre. Ita hæc dicta sunt, attamen ut præsens est
Rerum status, melius est quærere, quid sit faciendum,
OEd. Ita ne de infœlici homine Deum consulere decretũ est?
Cre. Tua enim fortuna facit ut Deo credatur.
OEd. Tibi verò mando, téque adhortor,
Ut eam, quæ domi jacet sepeliri cures,
Decet enim te tuis hoc officium præstare.

Me

ἀνεῖτε ταυτὸν σπέρμα, κἀπεδείξατε
πατέρας, ἀδελφοὺς, παῖδας, αἷμ' ἐμφύλιον;
νύμφας, γυναῖκας, μητέρας τε, χὠπόσα
αἴσχισ' ἐν ἀνθρώποισιν ἔργα γίνεται.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ' ἃ μηδὲ δρᾶν καλόν.
ὅπως τάχιστα πρὸς θεῶν ἔξω μέ που
καλύψατ', ἢ φονεύσατ', ἢ θαλάσσιον
ἐκρίψατ', ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι.
ἴτ' ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν.
πείθεσθε, μὴ δείσητε· τἀμὰ γὰρ κακὰ
οὐδεὶς οἷός τε πλὴν ἐμοῦ φέρειν βροτῶν.

Χο. Ἀλλ' ὧν ἐπαιτεῖς ἐς δέον πάρεσθ' ὅδε
Κρέων, τὸ πράσσειν καὶ τὸ βουλεύειν· ἐπεὶ
χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ.

Οἰ. Οἴμοι· τί δῆτα λέξομεν πρὸς τόνδ' ἔπος;
τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ
πάρος πρὸς αὐτὸν πάντ' ἐφεύρημαι κακός.

Κρ. Οὐχ ὡς γελαστὴς, Οἰδίπους, ἐλήλυθα,
οὐθ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι
γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
αἰδεῖσθ' ἄνακτος ἡλίου, τοιόνδ' ἄγος
ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ,
μήτ' ὄμβρος ἱερὸς, μήτε φῶς προσδέξεται.
ἀλλ' ὡς τάχιστ' ἐς οἶκον ἐσκομίζετε.
τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ' ὁρᾶν
μόνοις τ' ἀκούειν εὐσεβῶς ἔχει κακά.

Οἰ. Πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ' ἀπέσπασας
ἄριστος ἐλθὼν πρὸς κάκιστον ἄνδρ' ἐμὲ,
πιθοῦ τί μοι· πρὸς σοῦ γὰρ, οὐδ' ἐμοῦ, φράσω.

Κρ. Καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;

Οἰ. Ῥίψον με γῆς ἐκ τῆσδ' ὅσον τάχισθ', ὅπου
θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.

Κρ. Ἔδρασ' ἂν (εὖ τοῦτ' ἴσθ' ἂν) εἰ μὴ τοῦ θεοῦ
πρώτιστ' ἔχρηζον ἐκμαθεῖν τί πρακτέον.

Οἰ. Ἀλλ' ἥγ' ἐκείνου πᾶσ' ἐδηλώθη φάτις,
τὸν πατροφόντην τὸν ἀσεβῆ μ' ἀπολλύναι.

Κρ. Οὕτως ἐλέχθη ταῦθ'· ὅμως δ' ἵν' ἕσταμεν
χρείας, ἄμεινον ἐκμαθεῖν τί δραστέον.

Οἰ. Οὕτως ἄρ' ἀνδρὸς ἀθλίου πεύσεσθ' ὕπερ;

Κρ. Καὶ γὰρ σὺ νῦν τἂν τῷ θεῷ πίστιν φέροις.

Οἰ. Καὶ σοί γ' ἐπισκήπτω τε, καὶ προστρέψομαι,
τῆς μὲν κατ' οἴκους αὐτὸς ὃν θέλεις τάφον
θοῦ (καὶ γὰρ ὀρθῶς τῶν γε σῶν τελεῖς ὕπερ)

ἐμοῦ

Me verò non est ut postulet hæc urbs
Patria, viventem habere civem,
Sed sine me habitare in montibus quo loco dicitur
Meus Cithæron, quem mater mihi
Et pater constituerunt viventes proprium sepulchrum
Ut sicut illi morti me destinaverunt moriar.
Nam hoc satis certò scio, me neque morbo,
Nec alio modo interire potuisse: non enim unquam
A morte liberatus essẽ, si nõ ad aliquod magnũ malũ es-
Sed nostra quidẽ fortũa eò quò vadit eat(sẽ reservatus.
Liberorũ verò meorũ, qui mares sũt, eorũ ne mihi Creõ
Curam subjice, viri sunt: quibus non existimo
Quidquam defuturum esse ad vitam, ubicunq; fuerint.
Meas verò miseras & miserabiles virgines
Quibus cibus mea de mensa nunquam defuit,
Cùm ego abessem, verùm quæcunque ego
Attingebam, eorum & illæ participes semper fuerunt,
Eas tuæ commẽdo fidei: & præcipuè te oro, ut manibus.
Illas attingere me ita sinas, ac deplorare mala.
Vade ô Rex,
Vade fili optimorũ parentum; nam si manibus attigero,
Putabo me illas tenere, ut cùm viderem.
Quid dico?
Nunquid audio charas filias
Lachrymantes, & misertus Creon
Ad me misit amantissima pignora ex liberis meis?
Quid inquam dico?

Cre. Rectè dicis, nam ego, qui hæc tibi præbeo, adsum,
Cognito desiderio tuo, quo jampridem teneris.

OEd. Sis fœlix, & te ob hanc viam
Deus melius custodiat quàm me.
O filiæ ubinam estis? huc adeste, accedite
Ad has fratris vestri manus,
Quæ genitoris vestri oculos antea lucentes
Sic, ut nunc sunt, affecerunt.
Quàm ego vobis ô filiæ re neque visa nec cognita
Prodii pater ex ea, qua ipse natus sum.
Vos deploro, nam videre non possum,
Expendens quam tristem posthac vitam
Apud homines acturæ sitis.
Ad quos enim civium congressus,
Ad quæ festa ibitis, unde non pro spectandi voluptate
Cum lachrymis domum reversuræ sitis?
Et ubi jam tempus nuptiis maturum aderit,

Quis

ἐμοῦ δὲ μή ποτ' ἀξιωθήτω τόδε
πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν.
ἀλλ' ἔα με ναίειν ὄρεσιν ἔνθα κλῄζεται
οὑμὸς κιθαιρὼν οὗτος, ὃν μήτηρ τέ μοι
πατήρ τ' ἐθέσθην ζῶντε κύριον τάφον.
ἵν' ἐξ ἐκείνων οἵ μ' ἀπωλλύτην θάνω.
καίτοι τοσοῦτόν γ' οἶδα, μήτε μ' ἂν νόσον
μήτ' ἄλλο πέρσαι μηδέν· οὐ γὰρ ἄν ποτε
θνήσκων ἐσώθην, μὴ 'πί τῳ δεινῷ κακῷ.
ἀλλ' ἡ μὲν ἡμῶν μοῖρ', ὅποιπερ εἶσ', ἴτω,
παίδων δὲ τῶν μὲν ἀρρένων μή μοι κρέων
προσθῇ μέριμναν· ἄνδρες εἰσίν, ὥστε μὴ
σπάνιν ποτὲ σχεῖν ἔνθ' ἂν ὦσι, τοῦ βίου.
ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
αἷν οὔποθ' ἡ 'μὴ χωρὶς ἐστάθη βορᾶς
τράπεζ' ἄνευ τοῦδ' ἀνδρός, ἀλλ' ὅσων ἐγὼ
ψαύοιμι, πάντων τῶνδ' ἀεὶ μετειχέτην.
αἷν μοι μέλεσθαι, καὶ μάλιστα μὲν χεροῖν
ψαῦσαί μ' ἔασον, κἀποκλαύσασθαι κακά.
ἴθ' ὦναξ.
ἴθ' ὦ γονῇ γενναῖε· χερσί τ' ἂν θιγὼν,
δοκοῖμ' ἔχειν σφᾶς, ὥσπερ ἡνίκ' ἔβλεπον.
τί φημί;
οὐ δὴ κλύω που πρὸς θεῶν τοῖν μοι φίλοιν
δακρυρροούντοιν; καί μ' ἐποικτείρας κρέων,
ἔπεμψέ μοι τὰ φίλτατ' ἐγγόνοιν ἐμοῖν;
λέγω τι; —

Κρ. Λέγεις· ἐγὼ γάρ εἰμ' ὁ πορσύνας τάδε,
γνοὺς τὴν παροῦσαν τέρψιν, ἥ σ' εἶχες πάλαι.

Οι. Ἀλλ' εὐτυχοίης, καί σε τῆσδε τῆς ὁδοῦ
δαίμων ἄμεινον ἢ 'μὲ φρουρήσας τύχοι.
ὦ τέκνα ποῦ ποτ' ἐστέ; δεῦρ' ἴτ', ἔλθετε
ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας,
αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμὶν ὧδ' ὁρᾶν
τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα,
ὃς ὑμὶν ὦ τέκν', οὔθ' ὁρῶν, οὔθ' ἱστορῶν,
πατὴρ ἐφάνθην ἔνθεν αὐτὸς ἠρόθην·
καὶ σφὼ δακρύω· προσβλέπειν γὰρ οὐ σθένω,
νοούμενος τὰ λοιπὰ τοῦ πικροῦ βίου,
οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας;
ποίας δ' ἑορτάς, ἔνθεν οὐ κεκλαυμέναι
πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;
ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἥκητ' ἀκμάς,

τίς

Quis ille erit, qui ita volet abjicere liberos,
Ut talia probra suscepturus sit, qualia meis
Vestrísque parentibus incumbunt dedecora?
Quid enim mali abest? Patrem pater vester
Occidit, ex matre liberos suscepit,
Unde ipse natus est, & ex iisdem
Sustulit vos, ex quibus ipse prognatus est.
Hæc vobis per probum objicientur. Quis igitur vos ducere volet?
Non erit ô filiæ. Sed vos
Steriles innuptásque contabescere oportebit.
Tu verò, ô fili Menoecei, quoniam solus pater
His relictus es, nos enim qui genuimus
Ambo periimus, ne istas neglectas patiaris,
Mendicas, absq; viris, cognatas, huc illuc errantes,
Néve meis ærumnis eas æquaveris,
Sed miserere earum. Quæ sit harum ætas vides,
Et ab omnib. destitutas esse vides, præterquā quod ad te attinet.
Annue, ô generose, manúmque porrige.
Vobis autem, ô filiæ, si per ætatem intelligere possetis,
Multa præcepta traderem: nunc verò precemini Deum,
Ut vitam, quæ vobis semper vivenda erit, meliorem
Quàm qualem pater exegit, concedat.

TROCHÆI.

Cre. Satis est. Nam quò te luctus abripit?
Sed huc intra tectum vade.
OEd. Obtemperandum est, & si nihil jucundum est.
Cre. Omnia tempestiva pulchra sunt.
OEd. Scis quid nunc velim?
Cre. Ubi ex te dicente audiero, tunc sciam.
OEd. Ut me ab ædibus hujus terræ releges.
Cre. Hoc à me petis, quod Dei donum est.
OEd. Sed Diis sum maximè invisus.
Cre. Consequeris igitur id statim.
OEd. Affirmasne hoc?
Cre. Quod non sentio, non soleo dicere.
OEd. Aufer nunc me ex hoc loco.
Cre. Abi jam, & liberos dimitte.
OEd. Nequaquam omnes auellas à me.
Cre. Ne cupias omnia obtinere.
Nam quæ hactenus obtinuisti, ea te non per totam vitam secuta sunt.
Cho. O patriæ meæ Thebáæ terræ cives, videtis, OEdipus iste,

τίς οὗτος ἔσται; τίς παραῤῥίψει, τέκνα,
τοιαῦτ' ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
γονεῦσιν ἔσται σφῷν δ' ὁμοῦ δηλήματα;
τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ
ὑμῶν ἔπεφνε· τὴν τεκοῦσαν ἤροσεν
ὅθεν περ αὐτὸς ἐσπάρη, κἀκ τῶν ἴσων
ἐκτήσαθ' ὑμᾶς, ὧνπερ αὐτὸς ἐξέφυ.
τοιαῦτ' ὀνειδιεῖσθε· κᾆτα τίς γαμεῖ;
οὐκ ἔστιν οὐδεὶς ὦ τέκν' ἀλλὰ δηλαδὴ
χέρσους φθαρῆναι κἀγάμους ὑμᾶς χρεών.
ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
ταύταιν λέλειψαι, (νὼ γὰρ, ὣ φυτεύσαμεν,
ὀλώλαμεν δύ' ὄντε) μή σφε παρίδης
πτωχὰς, ἀνάνδρους, ἐγγενεῖς ἀλωμένας.
μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς·
ἀλλ' οἴκτισον σφᾶς, ὧδε τηλικάσδ' ὁρῶν,
πάντων ἐρήμους, πλὴν ὅσον τὸ σὸν μέρος.
ξύννευσον ὦ γενναῖε σῇ ψαύσας χερί.
σφῷν δ' ὦ τέκν', εἰ μὲν εἰχέτην ἤδη φρένας,
πόλλ' ἂν παρῄνουν· νῦν δὲ τοῦτ' εὔχεσθέ μοι,
οὗ καιρὸς ἀεὶ ζῆν, βίου δὲ λῴονος
ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός.

ΤΡΟΧΑΙΟΙ.

Κρ. Αλις ἵν' ἐξήκεις δακρύων· ἀλλ' ἴθι στέγης ἔσω.
Οι. Πειστέον, κεἰ μηδὲν ἡδύ.
Κρ. Πάντα γὰρ καιρῷ καλά.
Οι. Οἶσθ' ἐφ' οἷς οὖν εἶμι;
Κρ. Λέξεις, καὶ τότ' εἴσομαι κλύων.
Οι. Γῆς μ' ὅπως πέμψεις ἄποικον.
Κρ. Τοῦ θεοῦ μ' αἰτεῖς δόσιν.
Οι. Αλλὰ θεοῖς γ' ἔχθιστος ἥκω.
Κρ. Τοιγαροῦν τεύξῃ τάχα.
Οι. Φὴς τάδ' οὖν;
Κρ. Α μὴ φρονῶ γὰρ, οὐ φιλῶ λέγειν μάτην.
Οι. Απαγέ νύν μ' ἐντεῦθεν ἤδη.
Κρ. Στεῖχέ νυν· τέκνων δ' ἀφοῦ.
Οι. Μηδαμῶς ταύτας γ' ἕλῃ μου.
Κρ. Πάντα μὴ βούλου κρατεῖν.
καὶ γὰρ ἃ 'κράτησας, οὔ σοι τῷ βίῳ ξυνέσπετο.
Χο. Ὦ πάτρας Θήβης ἔνοικοι λεύσσετ', Οἰδίπους ὅδε,

Qui inclyta Sphingis ænigmata solvebat, & præstantissimus vir erat,
Qui non favorem civium, nec fortunas respiciebat,
In quantam tempestatē horrendæ calamitatis inciderit.
Quamobrem tu qui mortalis es, supremum illum diem specta,
Et memineris, ne quem unquam beatum prædices, priusquam
Extremam vitæ metam absque calamitate transierit.

IN SOPOCLIS ANTIGONEN

Argumentum.

Mortuum Polynicem in singulari certamine cum fratre, Creon insepultum abjicit, atque edicit nequis eum sepeliat, mortem violatæ legis pœnam interminatus. Quem soror Antigone sepelire conata clam custodibus, terra obruit: quibus mortem minatur Creon, nisi autotorem facinoris indicent. Absterso itaque pulvere, ut ante, excubias agunt. Reversa autem Antigone quum retectum cadaver viderat. ejulatu ipsa se prodit: ac mox à custodibus tradita, sententiaque Creontis condemnata, viva in sepulchrum concluditur. Hæc quum perquam dolenti ferret animo Æmon, cui ea desponsata erat, sibi ipse juxta virginem laqueo strangulatam manus affert, quum hæc omnia ante vaticinatus esset Tiresias. Uxor vero Creontis Euridice tam tristi casu commota se interimit. Postremo luget Creon & filii sui & uxoris necem.

Aliud

ὃς τὰ κλείν' αἰνίγματ' ᾔδει, καὶ κράτιστος ἦν ἀνήρ,
ὅς τις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων,
εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυθεν;
ὥστε, θνητὸν ὄντ', ἐκείνην τὴν τελευταίαν ἰδεῖν
ἡμέραν ἐπισκοποῦντα, μηδὲν ὀλβίζειν, πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

ΥΠΟΘΕΣΙΣ
ΑΝΤΙΓΟΝΗΣ.

Ἀποθανόντα Πολυνείκην ἐν τῇ πρὸς τὸν ἀδελφὸν μονομαχίᾳ, Κρέων ἄταφον ἐκβαλὼν, κηρύττει μηδένα αὐτὸν θάπτειν, θάνατον τὴν ζημίαν ἀπειλήσας· τοῦτον Ἀντιγόνη ἡ ἀδελφὴ αὐτοῦ θάπτειν πειρᾶται· καὶ δὴ λαθοῦσα τοὺς φύλακας, ἐπιβάλλει τῷ νεκρῷ χῶμα· οἷς ἐπαπειλεῖ θάνατον ὁ Κρέων εἰ μὴ τὸν τοῦτο δράσαντα ἐξεύροιεν· οὗτοι δὲ τὴν κόνιν τὴν ἐπιβεβλημένην καθάραντες, οὐδὲν ἧττον ἐφρούρουν· ἐπελθοῦσα δὲ ἡ Ἀντιγόνη, καὶ γυμνὸν εὑροῦσα τὸν νεκρὸν, ἀνοιμώξασα, ἑαυτὴν εἰσαγγέλλει· ταύτην δὲ ὑπὸ τῶν φυλάκων παραδεδομένην Κρέων καταδικάζει, καὶ ζῶσαν εἰς τύμβον καθεῖρξεν· ἐπὶ τούτοις Αἵμων ὁ Κρέοντος, ὃς ἐμνᾶτο αὐτὴν, ἀγανακτήσας, ἑαυτὸν προσεπισφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίου ταῦτα προθεσπίσαντος· ἐφ' ᾧ λυπηθεῖσα Εὐρυδίκη ἡ τοῦ Κρέοντος γαμετὴ, ἑαυτὴν ἀποσφάζει· καὶ τέλος, θρηνεῖ Κρέων τὸν τοῦ παιδὸς καὶ τῆς γαμετῆς θάνατον.

Haec Tragoedia ab Aloisio Alamanno
Praef. in Ham: Florentino in Hetruscum idioma
conversa est. Floruit Aloisius Alamannus
(et scholia quaedam in Homerum scripsit)
circa annum millesimum, quingentesimum decimum octavum.

Ἄλλως.

Aliud argumentum Ariſtophanis Grammatici.

ANtigone præter edictum civitatis ſepelire fratrem deprehenſa, in ſubterraneum ſpecum concluſa, à Creonte necatur. Qua de re Æmon dolore, & vehementi erga virginem amore concitatus, enſe ſe configit. Cujus etiam morte mater perculſa ſeipſam occidit.

Fabula ab Euripede eadem tractata eſt in Antigone. Sed ibi cum Æmone deprehenſa, illi in matrimonium datur, & Mæmonem parit.

Fabulæ actio Thebis Bœotiæ conſtituitur. Chorus ex indigenis ſenibus conſtat. Præfatur Antigone. Finguntur autem geri hæc regnante Creonte. Hujus Fabulæ capita ſunt, ſepultura Polynicis, Antigones ſupplicium, & mors Euridices *matris Æmonis. Aiunt Sophoclem magno ſibi parato ex editione Antigones nomine præfecturam Sami obtinuiſſe. Acta eſt Fabula bis & tricies.*

PERSONÆ HUJUS TRAGOEDIÆ.

ANTIGONE.

ISMENE.

CHORUS. *Thebanorum ſenum.*

CREON.

NUNCIUS *excubitorum unus,*

HÆMON.

TIRESIAS.

NUNCIUS *alius.*

EURYDICE.

FAMULUS.

Proloquitur Antigone.

SOPH,

Ἄλλως, Ἀριστοφάνους τοῦ Γραμματικοῦ.

Ἀντιγόνη παρὰ τὴν πρόσταξιν τῆς πόλεως θάψασα τὸν πολυνείκην, ἐφωράθη, καὶ εἰς μνημεῖον κατάγειον ἐντεθεῖσα παρὰ τοῦ κρέοντος ἀνῄρηται· ἐφ' ᾗ καὶ αἵμων δυσπαθήσας διὰ τὸν εἰς αὐτὴν ἔρωτα, ξίφει ἑαυτὸν διεχρήσατο· ἐπὶ δὲ τῷ τούτου θανάτῳ καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε. Κεῖται δὲ ἡ μυθοποιία αὕτη καὶ ἐν Εὐριπίδου Ἀντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα τῷ αἵμονι δίδοται πρὸς γάμου κοινωνίαν, καὶ τέκνον τίκτει τὸν μαίμονα. Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν θήβαις ταῖς βοιωτικαῖς· ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γερόντων· προλογίζει δὲ ἡ Ἀντιγόνη. ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν κρέοντος βασιλείων· τὸ δὲ κεφάλαιόν ἐστι, τάφος πολυνείκους, καὶ Ἀντιγόνης ἀναίρεσις, καὶ θάνατος αἵμονος καὶ Εὐρυδίκης τῆς αἵμονος μητρός· φασὶ δὲ τὸν σοφοκλέα ἠξιῶσθαι τῆς ἐν σάμῳ στρατηγίας, εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης· λέλεκται δὲ τὸ δρᾶμα τοῦτο τριακοστὸν δεύτερον.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ

ΠΡΟΣΩΠΑ.

ΑΝΤΙΓΟΝΗ.

ΙΣΜΗΝΗ.

ΧΟΡΟΣ ἐκ Θηβαίων γερόντων.

ΚΡΕΩΝ.

ΦΥΛΑΞ ἄγγελος.

ΑΙΜΩΝ.

ΤΕΙΡΕΣΙΑΣ.

Ἄλλος ΑΓΓΕΛΟΣ.

ΕΥΡΥΔΙΚΗ.

ΕΞΑΓΓΕΛΟΣ.

Προλογίζει δὲ ἡ Ἀντιγόνη.

SOPHOCLIS ANTIGONE.

IAMBI.




Ant. O Charum germanum Ismenes caput,
Num scis quidnã familiæ OEdipi malorũ
Quod non Jupiter nobis adhuc viventibus faciat?
Nihil enim triste, neque noxium,
Neque turpe, neque ignominiosum est, quod non
In tuis & meis malis viderim,
Et nunc quid hoc dicunt universæ urbi
Edictum proposuisse Ducem nuper,
Tenes aliquid? audisti? an te latent
Ad amicos euntia hostium mala?
Ism. Ad me nullus sermo Antigone de amicis
Neque lætus neque tristis venit, ex quo
Duobus fratribus privatæ sumus ambæ,
Mortuus una die mutuis manibus.
Postquam autem deletus est Argivorum exercitus
Hac nocte, nihil scio præterea,
Neque magis fortunata, neque magis misera.
Ant. Sciebam, & te extra audire aulæ portas
Ideo eduxi, ut audires sola.
Ism. Quid est? ostendis enim te aliquid meditantem.
Ant. Nonne sepulchro fratres nostros Creon
Alterum honorans, alterum contumelia afficiens habet?
Et eodem, ut dicunt, jure usus justo
Et lege, sub terram condidit,
Subterraneis honoratum mortuis.
Alterum misere mortuum Polynicis cadaver
Civibus aiunt interdixisse, ne
Sepulchro tegant, neque lugeat quisquam,
Sed sinant indeploratum, insepultum,
Avibus dulcem thesaurum, metuentibus ad gratiam laniationis
Hæc dicunt bonum Creonta tibi & mihi,
Dico enim & me, edixisse.
Et huc venire hæc nescientibus.
Clare edicturum, & hanc rem agere,
Non tanquam levem, sed qui horum aliquid fecerit,
Mortem propositam esse publicam in urbe.

Sic

ΣΟΦΟΚΛΕΟΥΣ

ΑΝΤΙΓΟΝΗ.



Κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα,
ἆρ' οἶσθ' ὅ, τι Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν
ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;
οὐδὲν γὰρ οὔτ' ἀλγεινὸν, οὔτ' ἄτης ἄτερ,
οὔτ' αἰσχρὸν, οὔτ' ἄτιμόν ἐσθ' ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν.
καὶ νῦν τί τοῦτ' αὖ φασι πανδήμῳ πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως.
ἔχεις τι, κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;--

Ισμ. Ἐμοὶ μὲν οὐδεὶς μῦθος, ἀντιγόνη, φίλων
οὔθ' ἡδὺς οὔτ' ἀλγεινὸς ἵκετ', ἐξ ὅτου
δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο,
μιᾷ θανόντων ἡμέρᾳ διπλῇ χερί.
ἐπεὶ δὲ φροῦδός ἐστιν ἀργείων στρατὸς
ἐν νυκτὶ τῇ νῦν, οὐδὲν οἶδ' ὑπέρτερον,
οὔτ' εὐτυχοῦσα μᾶλλον, οὔτ' ἀτωμένη.--

Αν. Ἤδειν καλῶς, καί σ' ἐκτὸς αὐλείων πυλῶν
τοῦδ' οὕνεκ' ἐξέπεμπον, ὡς μόνη κλύοις.

Αν. Τί δ' ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος.

Ισμ. Οὐ γὰρ τάφου νῷν τὼ κασιγνήτω κρέων,
τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει;
ἐτεοκλέα μὲν, ὡς λέγουσι, σὺν δίκῃ
χρησθεὶς δικαίᾳ καὶ νόμῳ, κατὰ χθονὸς
ἔκρυψε, τοῖς ἔνερθεν ἔντιμον νεκροῖς·
τὸν δ' ἀθλίως θανόντα πολυνείκους νέκυν
ἀστοῖσι φασὶν ἐκκεκηρῦχθαι τὸ μὴ
τάφῳ καλύψαι, μηδὲ κωκῦσαι τινά·
ἐᾶν δ' ἄκλαυσον, ἄταφον, οἰωνοῖς γλυκὺν
θησαυρὸν, εἰσορῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτα φασὶ τὸν ἀγαθὸν κρέοντά σοι,
κἀμοὶ, (λέγω γὰρ κἀμὲ) κηρύξαντ' ἔχειν·
καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖς μὴ εἰδόσι
σαφῆ προκηρύξοντα· καὶ τὸ πρᾶγμ' ἄγειν
οὐχ ὡς παρ' οὐδὲν, ἀλλ' ὃς ἂν τούτων τι δρᾷ,
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει

Sic tibi hæc habent. & ostendes cito,
An generosa sis, an vero ex bonis ignava.
Ism. Quid misera, si hæc ita se habent, ego
Solvens aut sepeliens queam efficere ?
Ant. An me velis adiuvare, considera,
Ism. Quale facinus ? ubi mens tua est ?
Ant. An mortuum cum hac allevabis manu.
Ism. An vero cogitas sepelire prohibitum urbi ?
Ant. Meum & tuum, vel si nolis.
Fratrem, non enim negabo fuisse fratrem.
Ism. O misera, Creonte prohibente ?
Ant. At non licet ei me arcere à meis.
Ism. Heu cogita soror, pater quomodo nobis
Invisus & inglorius perierit,
Propter deprehensa peccata, duos
Oculos effodiens ipse sua manu.
Deinde mater & eadem conjux, duplex malum,
Nexis laqueis perdidit vitam.
Tertium malum fratres duo uno die
Seipsos interficientes miseri, mortem
Mutuam sibi attulerunt mutuis manibus,
Nunc nos solæ reliquæ sumus considera ,
Quanto pejus perituræ simus, si lege violata
Edictum Tyranni aut potestatem violaverimus,
Sed hoc oportet cogitare, quod mulieres
Sumus natæ, quæ non possunt cum viris pugnare
Deinde quia imperant nobis potentiores
Cogita hæc audire nos oportere, & his tristiora.
Ego igitur petens à mortuis veniam,
Quia vi cogor hæc sustinere,
His qui sunt cum imperio obediam,
Nam supervacanea, vel non necessaria, facere, non habet ullam rationem
Ant. Ne jubeo quidem, nec si velis
Agere mecum, facile feceris,
Sed sentias, ut tibi videtur, illum ego
Sepeliam, honestum mihi est hoc facienti mori,
Chara cum eo jacebo, cum charo
Sancta faciens: nam longius tempus est.
Quo oportet me placere subterraneis, quam his qui hic sunt
Ibi enim semper jacebo : tibi autem si videtur
Divinas res dedecorato
Ism. Ego vero non facio irreligiose,
Verum publicum negocium agere mihi impossibile est.
Ant. Tu quidem ista excusato, ego vero sepulchrum

Paratura

οὕτως ἔχει σοι ταῦτα· καὶ δείξεις τάχα
εἴτ' εὐγενὴς πέφυκας, εἴτ' ἐσθλῶν κακή.
Ισ. Τί δ' ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ
λύουσ' ἂν ἢ θάπτουσα προσθείμην πλέον;
Αν. Εἰ ξυμπονήσεις καὶ ξυνεργάσῃ σκόπει.
Ισ. Ποῖόν τι κινδύνευμα; πῆ γνώμης ποτ' εἶ;
Αν. Εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.
Ισ. Ἦ γὰρ νοεῖς θάπτειν σφ' ἀπόρρητον πόλει;
Αν. Τὸν γοῦν ἐμὸν καὶ τὸν σὸν, ἢν σὺ μὴ θέλῃς,
ἀδελφόν· οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι.
Ισ. Ὦ σχετλία, Κρέοντος ἀντειρηκότος;
Αν. Ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν εἴργειν μέτα.
Ισ. Οἴμοι φρόνησον ὦ κασιγνήτη, πατὴρ
ὡς νῷν ἀπεχθὴς δυσκλεής τ' ἀπώλετο,
πρὸς αὐτοφώρων ἀμπλακημάτων διπλᾶς
ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί.
ἔπειτα μήτηρ καὶ γυνὴ, διπλοῦν πάθος,
πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον·
τρίτον τ' ἀδελφὼ δύω μίαν καθ' ἡμέραν
αὐτοκτονοῦντε τὼ ταλαιπώρω, μόρον
κοινὸν κατειργάσαντ' ἐπ' ἀλλήλοιν χεροῖν.
νῦν δ' αὖ μόνα δὴ νὼ λελειμμένα, σκόπει
ὅσῳ κάκιστ' ὀλούμεθ', εἰ νόμου βίᾳ
ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.
ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μὲν, γυναῖχ' ὅτι
ἔφυμεν ὡς πρὸς ἄνδρας οὐ μαχουμένα·
ἔπειτα δ' οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων·
καὶ ταῦτ' ἀκούειν, κἄτι τῶνδ' ἀλγίονα·
ἐγὼ μὲν οὖν, αἰτοῦσα τοὺς ὑπὸ χθονὸς
ξύγγνοιαν ἴσχειν ὡς βιάζομαι τάδε,
τοῖς ἐν τέλει βεβῶσι πείσομαι· τὸ γὰρ
περισσὰ πράσσειν, οὐκ ἔχει νοῦν οὐδένα.
Αν. Οὔτ' ἂν κελεύσαιμ', οὔτ' ἂν, εἰ θέλοις ἔτι
πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα.
ἀλλ' ἴσθ' ὁποία σοι δοκεῖ· κεῖνον δ' ἐγὼ
θάψω· καλόν μοι τοῦτο ποιούσῃ θανεῖν.
φίλη μετ' αὐτοῦ κείσομαι, φίλου μέτα,
ὅσια πανουργήσασ', ἐπεὶ πλείων χρόνος
ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω, τῶν ἐνθάδε
ἐκεῖ γὰρ αἰεὶ κείσομαι· σοὶ δ' εἰ δοκεῖ,
τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσασ' ἔχε.
Ισ. Ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι· τὸ δὲ
βίᾳ πολιτῶν δρᾶν, ἔφυν ἀμήχανος.
Αν. Σὺ μὲν τάδ' ἂν προὔχοι'· ἐγὼ δὲ δὴ τάφον

Paratura fratri chariſſimo ibo :
Iſm. Hei miſeram, quam metuo tibi,
Ant. Ne mea cauſa metuas, tuam cures vitam.
Iſm. Sed indicato nemini
Hoc facinus, verum occulta, & ego tecum celabo.
Ant. Hei effare, multo eris odioſior
Tacens, ſi non omnibus hæc denuncies,
Iſm. Calidum in re triſti cor habes.
Ant. Sed decrevi placere quibus maxime me oportet place-
Iſm. Si quidem poteris, ſed impoſſibilia cupis. (re,
Ant. Ego cum nihil facere potero ceſſabo.
Iſm. Atqui omnino venari impoſſibilia non decet.
Ant. Si hæc dices, inviſa eris propter me,
Inviſa & mortuo jacebis juſte.
Sed ſine me mea ſtultitia
Pati hæc triſtia, patiar enim
Nihil tantum, quin honeſte moriar.
Iſm. Sed ſi ita videtur vade, hoc autem ſcito.
Stulta facis, amicis vero amica.

ANTISTROPHICA. ſtrophe 1.

Cho. O radius ſolis
Pulchrius urbi apparens
Thebæ quam antea lumen.
Apparuiſti tandem ô aureæ
Diei oculus,
Super Thebana
Flumina currens
Scutatum Argivum virum
Euntem in toto apparatu,
Fugientem & currentem veloci,
Movens freno.

ANAPAESTI.

Quem in noſtram terram Polynices
Incitatus jurgiis ambiguis adduxit,
Velut celeriter clangens aquila
In terram volat,
Nivea ala tectus,
Cum multis armis.
Et comatis galeis,

AN-

χώσουσ' ἀδελφῷ φιλτάτῳ πορεύσομαι.
Ισ. Οἴμοι, ταλαίνης ὡς ὑπερδέδοικά σου.
Αν. Μή μου προτάρβει, τὸν σὸν ἐξόρθου βίον.
Ισ. Ἀλλ' οὖν προμηνύσεις γε τοῦτο μηδενὶ
τοὔργον· κρυφῇ δὲ κεῦθε· σὺν δ' αὔτως ἐγώ.
Αν. Οἴμοι, καταύδα· πολλὸν ἐχθίων ἔσῃ
σιγῶσ', ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.
Ισ. Θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.
Αν. Ἀλλ' οἶδ' ἀρέσκουσ' οἷς μάλισ' ἁδεῖν με χρή.
Ισ. Εἰ καὶ δυνήσῃ γ'· ἀλλ' ἀμηχάνων ἐρᾷς.
Αν. Οὐκοῦν ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.
Ισ. Ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.
Αν. Εἰ ταῦτα λέξεις, ἐχθρανῇ μὲν ἐξ ἐμοῦ,
ἐχθρᾷ δὲ τῷ θανόντι προσκείσῃ δίκῃ.
ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν
παθεῖν τὸ δεινὸν τοῦτο· πείσομαι γὰρ οὐ
τοσοῦτον οὐδὲν ὥστε μὴ οὐ καλῶς θανεῖν.
Ισ. Ἀλλ' εἰ δοκεῖ σοι, στεῖχε· τοῦτο δ' ἴσθ', ὅτι
ἄνους μὲν ἔρχῃ, τοῖς φίλοις δ' ὀρθῶς φίλη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ ά.

Χο. 1 Ἀκτὶς ἀελίου, τὸ κάλ-
2 λιστον ἑπταπύλῳ φανὲν
3 Θήβᾳ τῶν προτέρων φάος,
4 ἐφάνθης ποτ' ὦ χρυσέας
5 ἁμέρας βλέφαρον,
6 Διρκαίων ὕπερ
7 ῥεέθρων μολοῦσα.
8 τὸν λεύκασπιν ἀργόθεν πεὶν
9 φῶτα βάντα πανσαγίᾳ
10 φυγάδα πρόδρομον, ὀξυτόρῳ
11 κινήσασα χαλινῷ.—

ΑΝΑΠΑΙΣΤΟΙ.

ὃν ἐφ' ἁμετέρᾳ γῇ Πολυνείκης
ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων
ὀξέα κλάζων αἰετὸς ἐς γᾶν
ὣς, ὑπερέπτα,
λευκῆς χιόνος πτέρυγι στεγανὸς
πολλῶν μεθ' ὅπλων
ξύν θ' ἱπποκόμοις κορύθεσσι.—

ANTISTROPHE 1.

Stans autem ſuper arcem
Cum cruentis inhians undique
Haſtis ad urbis portas,
Abiit priuſquam noſtro
Sanguine genas
Impleret, &
Priuſquam turres
Piceus Vulcanus deſtrueret.
Talis in tergum extenſus eſt
Terror mortis adverſario
Propugnaculum Draconi.

ANAPÆSTI.

Jupiter enim ſuperbæ linguæ jactanctiam
Valde odit, & eos cernens
Magno impetu accedentes
Cum aureo crepitu, & ſuperbia,
Vibrato ſtravit fulmine,
In extremis metis
Victoriam cupientem celebrare.

STROPHE 2.

In contrariam terram cecidit quaſſatus
Dux, qui furioſo impetu
Inſaniens flatu ſuo incitabat
Impetus vehementium ventorum,
Erat autem alias alibi,
Nunc hic, nunc contra alios
Movebat quatiens
Mars in dextro cornu.

ANAPÆSTI.

Septem duces ad ſeptem portas
Ordinati, pares contra pares, reliquerunt
Jovi fugatori ænea tributa.
Præter miſeros fratres,
Qui contra ſeſe

ΑΝΤΙΣΤΡΟΦΗ α.

1 στὰς δ' ὑπὲρ μελάθρων φονί-
2 αισιν ἀμφιχανὼν κύκλῳ
3 λόγχαις ἑπτάπυλον στόμα
4 ἔβα, πρὶν ποθ' ἁμετέρων
5 αἱμάτων γένυσι
6 πλησθῆναί τε, καὶ
7 στεφάνωμα πύργων
8 πευκάενθ' ἥφαιστον ἑλεῖν.
9 τοῖος ἀμφὶ νῶτ' ἐτάθη
10 πάταγος ἄρεος ἀντιπάλῳ
11 δυσχείρωμα δράκοντι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει· καί σφας εἰσιδὼν
πολλῷ ῥεύματι προσνισσομένους
χρυσοῦ καναχῆς ὑπεροπτίαις,
παλτῷ ῥιπτεῖ πυρὶ, βαλβίδων
ἐπ' ἄκρων ἤδη
νίκην ὁρμῶντ' ἀλαλάξαι.

ΣΤΡΟΦΗ β.

1 ἀντίτυπος δ' ἐπὶ γᾶν
2 πέσε τανταλωθεὶς
3 πυρφόρος, ὃς τότε
4 μαινομένᾳ ξὺν ὁρμᾷ
5 βακχεύων ἐπέπνει
6 ῥιπαῖς ἐχθίστων ἀνέμων.
7 εἶχε δ' ἄλλῃ τὰ δ'· ἄλλα δ' ἐπ' ἄλλοις
8 ἐπενώμα στυφελίζων
9 μέγας ἄρης δεξιόσειρος.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους, ἔλιπον
Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη.
πλὴν τοῖν στυγεροῖν, ὣ πατρὸς ἑνὸς
μητρός τε μιᾶς φύντε, καθ' αὑτοῖν

Utrinque hastas dirigentes
Habent simul mortem ambo.

ANTISTROPHE 2.

Sed gloriosa venit victoria
Armatæ ac lætæ urbi.
Nunc bella
Hæc obliviscamini,
Deorum vero templa Choris nocturnis
Omnia adeamus, Sed Thebarum
Congregator Bacchus incipiat.

ANAPAESTI.

Sed Rex urbis
Creon novus Dux
Novis Deorum auspiciis,
Procedit aliquam sententiam remigans,
Quia convocatum
Senum indixit colloquium
Communi præconio convocans.

IAMBI.

Cre. Viri, civitatem secure Dii
Magis quassatam fluctibus erexerunt iterum.
Vos ego nunciis delectos
Ex omnibus missis accersivi, primum Laii
Sciens vos coluisse imperium.
Deinde quando OEdipus regebat urbem,
Et quando periit, filiis illorum
Mansisse fidos constanter.
Postquam igitur illi gemino fato
Uno die perierunt. ferientes
Et icti, manu propria impie,
Ego imperium obtineo
Juxta propinquitatem generis eorum qui perierunt,
Impossibile est viri cognoscere
Mentem ac voluntatem, priusquam
In magistratibus versans apparet.
Mihi enim quisquis regens civitatem

Hic locus citatur à Demo in πα-ραπρεσβ.

Non

δικρατεῖς λόγχας στήσαντ' ἔχετον,
κοινοῦ θανάτου μέρος ἄμφω.

ΑΝΤΙΣΤΡΟΦΗ β'

1 Ἀλλὰ γὰρ ἁ μεγαλώ-
2 νυμος ἦλθε νίκα,
3 τᾷ πολυαρμάτῳ
4 ἀντιχαρεῖσα θήβᾳ.
5 ἐκ μὲν δὴ πολέμων
6 τῶν νῦν θέσθε λησμοσύναν·
7 θεῶν δὲ ναοὺς χοροῖς παννύχοις πάν-
8 τας ἐπέλθωμεν· ὁ θήβας
9 δ' ἐλελίχθων βακχεῖος ἄρχοι.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας
κρέων ὁ μενοικέως, νεοχμὸς
νεαραῖσι θεῶν ἐπὶ συντυχίαις
χωρεῖ, τινὰ δὴ μῆτιν ἐρέσσων.
ὅτι σύγκλητον τήνδε γερόντων
προὔθετο λέσχην,
κοινῷ κηρύγματι πέμψας.

ΙΑΜΒΟΙ.

Κρ. Ἄνδρες, τὰ μὲν δὴ πόλεος ἀσφαλῶς θεοὶ
πολλῷ σάλῳ σείσαντες, ὤρθωσαν πάλιν·
ὑμᾶς δ' ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα
ἔστειλ' ἱκέσθαι· τοῦτο μὲν, τὰ λαΐου
σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη·
τοῦτ' αὖθις, ἡνίκ' οἰδίπους ὤρθου πόλιν,
κἀπεὶ διώλετ' ἀμφὶ τοὺς κείνων ἔτι
παῖδας μένοντας ἐμπέδοις φρονήμασιν.
ὅτ' οὖν ἐκεῖνοι πρὸς διπλῆς μοίρας μίαν
καθ' ἡμέραν ὤλοντο, παίσαντές τε καὶ
πληγέντες αὐτόχειρι σὺν μιάσματι,
ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω
γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.
ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ, ὅστις πᾶσαν εὐθύνων πόλιν,

Non optima apprehendit consilia,
Sed metu linguam clausam habet,
Pessimus esse nunc & jam olim videtur,
Et qui pluris quam suam patriam
Amicum ducit, hunc nequaquam amicum duco.
Ego enim, quod sciat Jupiter,
Nec tacere velim damnum videns
Impendere civibus pro salute,
Neque hostem patriæ mihi amicum
Faciam, hoc sentiens, quod
Hæc sit quæ servat cunctos, hac incolumi
Navigantes amicos facere possumus.
His ego legibus hanc augebo civitatem.
Et nunc consentanea his edicta proponam
Civibus, de OEdipi filiis,
Ut Eteoclem, qui pro urbe pugnans
Interiit, rem fortiter gerens, sepeliant,
Et omnia simul obruant,
Quæ claris adduntur mortuis.
Sed fratrem Polynicen,
Qui patriam & Deos Penates
Exul veniens voluit igni
Incendere prorsus, & voluit fraterno
Sanguine saturari, & hos servos facere,
Hunc interdico civibus,
Ne quisquam sepeliat aut lugeat,
Sed sinat insepultum corpus avibus
Et canibus edendum contumelia affectum.
Hæc est mea sententia: nunquam à me
Honore afficientur improbi, qui probis competit.
Sed amicus civitati, moriens
Et vivens, pariter honore afficietur.

Cho. Tibi hæc placent Creon,
De hoc inimico, & de illo amico civitatis.
Leges ferre de omnibus tibi licet,
De mortuis & de nobis.

Cho. Vos igitur custodes estote mandatorum.

Cre. Juvenibus hoc onus impone

Cho. Sed eunt parati cadaveris custodes.

Cre. Quid igitur aliis mandas?

Cre. Non juvare illos, qui non obtemperant.

Cho. Non est adeo stultus, qui mori cupiat.

Cre. Est quidem hæc merces, sed propter spem
Homines facinus sæpe perdidit.

μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γὰρ (ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεὶ)
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ· τοῦτο γινώσκων, ὅτι
ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν,
καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι, παίδων τῶν ἀπ' Οἰδίπου πέρι.
Ἐτεοκλέα μὲν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ' ἀριστεύσας δορὶ,
τάφῳ τε κρύψαι· καὶ τὰ πάντ' ἀφανίσαι
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς·
τὸν δ' αὖ ξύναιμον τοῦδε, (Πολυνείκην λέγω)
ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς,
φυγὰς κατελθὼν, ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατάκρας, ἠθέλησε δ' αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν.
τοῦτον πόλει τῇδ' ἐκκεκηρῦχθαι, τάφῳ
μήτε κτερίζειν, μήτε κωκῦσαί τινα,
ἐᾶν δ' ἄθαπτον, καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέντ' ἰδεῖν.
τοιόνδ' ἐμὸν φρόνημα· κοὔποτ' ἔκ γ' ἐμοῦ
τιμὴν προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων·
ἀλλ' ὅστις εὔνους τῇδε τῇ πόλει, θανὼν
καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.
Χο. Σοὶ ταῦτ' ἀρέσκει παῖ Μενοικέως Κρέον,
τὸν τῇδε δύσνουν καὶ τὸν εὐμενῆ πόλει.
νόμῳ δὲ χρῆσθαι παντί που τ' ἔνεστί σοι,
καὶ τῶν θανόντων, χὠπόσοι ζῶμεν πέρι.
Κρ. Ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων.
Χο. Νεωτέρῳ τῷ τοῦτο βαστάζειν πρόθες.
Κρ. Ἀλλ' εἰσ' ἕτοιμοι τοῦ νεκροῦ τ' ἐπίσκοποι.
Χο. Τί δῆτ' ἂν ἄλλῳ τοῦτ' ἐπεντέλλοις ἔτι;
Κρ. Τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.
Χο. Οὐκ ἔστιν οὕτω μῶρος ὃς θανεῖν ἐρᾷ.
Κρ. Καὶ μὴν ὁ μισθός γ' οὗτος· ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

Nu. Rex non dicam, ut celeriter
Anhelans veniam levem tollens pedem.
Nam varias habui curas adversantes,
In via circumagens me in reditum.
Mens enim dicebat mihi multa loquens:
Miser quò vadis? quò currens pœnam dabis?
Infœlix: sed si remanseris, rescíscet tamen Creon
Ab alio: deinde an non dolebis tu?
Talia volvens confeci iter tardius,
Et sic via brevis fit longa.
Tandem vicit animus, ut huc currerem,
Vel si nihil proficiam, dicam tibi tamen.
Nam hac spe venio captus,
Quòd nihil patiar nisi fatale sit.
Cre. Quid est, de quo usque adeo sollicitus es?
Nu. Dicam primum pro me: Nam ego
Non feci, neque vidi qui fecerit,
Nec justè pœna afficerer.
Cre. Bene provides & munis undique
Causam tuam: significas autem te aliquid afferre novi
Nu. Nam pericula augent metum.
Cre. Ergo dic tandem, deinde liberatus abi.
Nu. Dico igitur tibi. Cadaver aliquis jam
Sepeliens abiit, & super corpus aridum
Pulverem spargens, & fecit funebria, quæ oportet:
Cre. Quid ais? quis vir hoc ausus est?
Nu. Nescio. Ibi enim neque ferramenti
Vestigium erat, neque ligonis, terra plana
Et non rupta neque scissa
Rotis, & autor notari non potuit.
Ut autem nobis illius diei custos
Monstrat, omnibus miraculum erat.
Nihil enim erat obrutum, neque erat tumulus,
Sed tenuis arena injecta erat ut fugientis piaculum.
Nec signa erant bestiarum aut canum
Venientium, nec rapientium.
Sermones inter nos sonabant mali,
Custos arguebat custodem, & poterant fieri
Plagæ tandem, neque aderat quisquam prohibens.
Unus quisque enim erat, qui fecisse videbatur,
Et nullus certus, sed excusabat se nescire unusquisque.
Eramus autem parati ignitum ferrum manu capere,
Et ire per ignem & jurare
Quod non fecissemus, nec sciremus quenquam

Fecisse

Αγ. Ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν.
ψυχὴ γὰρ ηὔδα πολλά μοι μυθουμένη,
τάλας, τί χωρεῖς, οἷ μολὼν δώσεις δίκην;
τλῆμον, μένεις αὖ; κεἰ τάδ' εἴσεται Κρέων
ἄλλου παρ' ἀνδρὸς, πῶς σὺ δῆτ' οὐκ ἀλγυνῇ;
τοιαῦθ' ἑλίσσων, ἤνυτον σχολῇ βραδύς·
χ' οὕτως ὁδὸς βραχεῖα, γίγνεται μακρά.
τέλος γε μέντοι δεῦρ' ἐνίκησεν μολεῖν.
σοὶ κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ' ὅμως.
τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος,
τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.
Κρ. Τί δ' ἐστὶν ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;
Αγ. Φράσαι θέλω σοὶ πάντα τὠμαυτοῦ, τὸ γὰρ
πρᾶγμ' οὔτ' ἔδρασ', οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν·
οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι·
Κρ. Εὖ γε στοχάζῃ, κἀποφράγνυσαι κύκλῳ
τὸ πρᾶγμα· δηλοῖς δ' ὥς τι σημαίνων νέον.
Αγ. Τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.
Κρ. Οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;
Αγ. Καὶ δὴ λέγω σοι· τὸν νεκρόν τις ἀρτίως
θάψας βέβηκε, κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας, κἀφαγιστεύσας ἃ χρή.
Κρ. Τί φής; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;
Αγ. Οὐκ οἶδ'· ἐκεῖ γὰρ οὔτε του γενῇδος ἦν
πλῆγμ', οὐ δικέλλης ἐκβολή· στύφλος δὲ γῆ
καὶ χέρσος ἀρρὼξ, οὐδ' ἐπημαξευμένη
τροχοῖσιν, ἀλλ' ἄσημος οὑργάτης τις ἦν.
ὅπως δ' ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος
δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.
ὁ μὲν γὰρ ἠφάνιστο, τυμβήρης μὲν οὔ.
λεπτὴ δ' ἄγος φεύγοντος ὡς ἐπῆν κόνις.
σημεῖα δ' οὔτε θηρὸς, οὔτε του κυνῶν
ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο.
λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοὶ,
φύλαξ ἐλέγχων φύλακα· κἂν ἐγίνετο
πληγὴ τελευτῶσ', οὐδ' ὁ κωλύσων παρῆν.
εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος,
κοὐδεὶς ἐναργὴς, ἀλλ' ἔφευγε τὸ μὴ εἰδέναι.
ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν,
καὶ πῦρ διέρπειν, καὶ θεοὺς ὁρκωμοτεῖν,
τὸ μήτε δρᾶσαι, μήτε τῳ ξυνειδέναι

Fecisse nostro consilio.
Tandem cùm nihil inveniunt amplius,
Dicit aliquis, qui omnes caput ad terram
Demittere metu coëgit,
Non enim potuimus respondere, neq; aliud rectè
Facere. Erat autem hujus consilium, patefaciendum esse
Tibi negotium, & non celandum.
Et hæc sententia vicit, & me infœlicem
Sors elegit ut hoc bonum acciperem.
Adsum igitur invitus apud invitos:
Nemo enim amat malum nuncium.
Mihi verò ne divinitus accidat
Hoc negotium, disputat mens jam diu.
Cre. Desine, priusquam ira me impleas loquens,
Ne deprehendaris, & stultus & senex.
Dicis enim non toleranda, Deos
Curare hunc mortuum.
An honore afficerent, ut benefactorem?
Sepelientes eum, qui columnas habentia templa
Inflammaturus venit, & donaria,
Et terram eorum, & leges dissipans?
Num Dii malos honore afficiunt?
Non est. Sed etiam antea
Cives ægreferentes, obmurmurabant mihi,
Clam capita moventes, nec sub jugo
Cristam habebant, ut me amplecterentur.
Inter hoc satis scio
Aliquos esse deceptos mercede, ut hæc facerent.
Nulla enim hominibus, velut argentum,
Tam mala res nata est. Hoc urbes
Expugnat, & viros facit extorres domo.
Hoc docet, & mutat mentes
Bonas, ad turpia negotia accedere:
Ostendit hominibus habere dolos,
Et impietatem nosse.
Qui autem conducti mercede fecerunt hoc
Tempore, adepti sunt, ut pœnam dent.
Sed si Jupiter habet à me reverentiam,
Hoc scito, juratus tibi dico,
Nisi autorem hujus sepulchri
Inventum ostenderitis,
Non vobis una mors sufficiet,
Sed vivi pendentes hanc ostendetis injuriam,
Ut sciatis lucrum quale auferendum,

τὸ πρᾶγμα βουλεύσαντι, μήτ' εἰργασμένῳ.
τέλος δ' ὅτ' οὐδὲν ἦν ἐρευνῶσι πλέον,
λέγει τις εἷς, ὃς πάντας ἐς πέδον κάρα
νεῦσαι φόβῳ προὔτρεψεν· οὐ γὰρ εἴχομεν
οὔτ' ἀντιφωνεῖν, οὔθ' ὅπως δρῶντες, καλῶς
πράξαιμεν· ἦν δ' ὁ μῦθος, ὡς ἀνοιστέον
σοὶ τοὔργον εἴη τοῦτο, κοὐχὶ κρυπτέον.
καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ' ἄκων οὐχ ἑκοῦσιν οἶδ' ὅτι.
στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.
Χο. Ἄναξ, ἐμοί τοι μή τι καὶ θεήλατον
τοὔργον τόδ', ἡ ξύννοια βουλεύει πάλαι.--
Κρ. Παῦσαι πρὶν ὀργῆς κἀμὲ μεστῶσαι λέγων,
μὴ 'φευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτά, δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην
ἔκρυπτον αὐτόν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε κἀναθήματα,
καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν;
ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;
οὐκ ἔστιν· ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐρρόθουν ἐμοί,
κρυφῇ κάρα σείοντες οὐδ' ὑπὸ ζυγῷ
λόφον δικαίως εἶχον ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ' ἔβλαστε· τοῦτο καὶ πόλεις
πορθεῖ, τόδ' ἄνδρας ἐξανίστησιν δόμων.
τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι βροτῶν.
πανουργίας δ' ἔδειξεν ἀνθρώποις ἔχειν,
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι·
ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
χρόνῳ ποτ' ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ' εἴπερ ἴσχει Ζεὺς ἔτ' ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ' ἐπίστασ', (ὅρκιος δέ σοι λέγω)
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ' ἐς ὀφθαλμοὺς ἐμούς,
οὐχ ὑμὶν ᾅδης μοῦνος ἀρκέσει πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν.
ἵν' εἰδότες τὸ κέρδος, ἔνθεν οἰστέον,--

Deinceps capiatis, & discatis,
Quòd non ex qualibet re lucrum amandum sit.
Nam ex turpibus lucris plures
Damno affici videas, quàm juvari.

Nu. Jubes ne aliquid renunciari, an conversus hinc abeo?
Cre. Non scis ut nunc molestè loqueris?
Nu. In auribus an animo morderis?
Cre. Quare discernis meum dolorem, ubi sit?
Nu. Autor contristat mentem, aures ego.
Cre. Hei quàm garrulus es.
Nu. Num hoc opus ego feci?
Cre. Et quidem pecunia vitam prodidisti.
Nu. Malum est, si sic videtur falsa suspicari.
Cre. Orna tuam opinionem: si autem
Non monstrabitis mihi autores,
Dicetis, quòd mala lucra afferant damna,
Nu. Utinam verò inveniatur: sive autem
Deprehensus fuerit, sive non,
Hoc enim fortuna dijudicat,
Non videbis me iterum huc revertentem.
Nunc præter spem & opinionem meam
Servatus debeo Diis gratiam.

ANTISTROPHICA. *Strophe* 1.

Cho. Multa sunt mala, sed homine
Nihil atrocius est.
Homo trans glaucum
Mare hyberno vento
Pergit in madidis
Alarum undis.
Et summam Deorum terram
Immortalem, indefessam,
Proscindit circumactis aratris,
Singulis annis
Equorum genere exercens.

ANTISTROPHE 1.

Et levium genus avium,
Circundans ducit,
Et bestiarum ferarum gentes.
Ducit & maris pisces
Funibus retium

Calli-

τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ' ὅτι
οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους.
Αγ. Εἰπεῖν τι δώσεις; ἢ στραφεὶς οὕτως ἴω;
Κρ. Οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις;
Αγ. Ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῇ ψυχῇ δάκνῃ;
Κρ. Τί δαὶ, ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;
Αγ. Ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.
Κρ. Οἴμ', ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ.
Αγ. Οὔκουν τόδ' ἔργον τοῦτο ποιήσας ποτέ.
Κρ. Καὶ ταῦτ' ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδούς.
Αγ. Φεῦ, ἦ δεινὸν ᾧ δοκῇ γε, καὶ ψευδῆ δοκεῖν.
Κρ. Κόμψευε νῦν τὴν δόξαν· εἰ δὲ ταῦτα μὴ
φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
τὰ δεινὰ κέρδη πημονὰς ἐργάζεται.--
Αγ. Ἀλλ' εὑρεθείη μὲν μάλιστ'· ἐὰν δέ τοι
ληφθῇ τε καὶ μή, (τοῦτο γὰρ τύχη κρινεῖ)
οὐκ ἔσθ' ὅπως ὄψει σὺ δεῦρ' ἐλθόντα με.
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς
σωθεὶς, ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφὴ ά.

Χο. 1 Πολλὰ τὰ δεινὰ, κοὐδὲν ἀν--
2 θρώπου δεινότερον πέλει.
3 τοῦτο καὶ πολιοῦ πέραν
4 πόντου χειμερίῳ νότῳ
5 χωρεῖ περιβρυχίοισι
6 περῶν ὑπ' οἴδμασι·
7 θεῶν τε τὰν ὑπερτάταν γᾶν
8 ἄφθιτον ἀκαμάταν
9 ἀποτρύεται ἰλλομένων
10 ἀρότρων ἔτους εἰς ἔτος,
11 ἱππείῳ γένει πολεύων.--

ΑΝΤΙΣΤΡΟΦΗ ά.

1 κουφονέων τε φῦλον ὀρ-
2 νίθων ἀμφιβαλὼν ἄγει,
3 θηρῶν τ' ἀγρίων ἔθνη,
4 πόντου τ' εἰναλίαν φύσιν
5 σπείραισι δικτυοκλώστοις

Callidus homo.
Capit autem machinis ſylveſtrem
Beſtiam montanam.
Et hirſutum equum ducit
Circa jubam ſub jugum,
Et montanum indomitum taurum.

STROPHE 2.

Et eloquentiam, & ventoſa
Conſilia & civiles rixas
Docuit: & fugere malas
Habitationes ſubdiales,
Et pluvioſas, ad omnia callidus,
Et ad nihil non inſtructus,
Tantum futuræ morti
Effugium non invenit.
Morborum tamen difficilium
Effugia excogitavit.

ANTISTROPHE 2.

Sapientiam & inventionem artium
Supra ſpem habens,
Aliquando ad malum, interdum ad bonum vertit,
Leges violans patrias
Et jusjurandum, fit ſuperbus,
Et hoſtis, qui non curat honeſtum
Propter audaciam.
Ne mihi amicus, neque ſocius
Sit, qui hæc facit.

ANAPAESTI.

Magnum miraculum conſidero,
Hoc quomodo ſciens negabo,
Hanc non eſſe Antigonen,
O miſera, & miſeri
Patris OEdipi filia. Quid? Nunquid
Te rebellem

6 περιφραδὴς ἀνήρ·
7 κρατεῖ δὲ μηχαναῖς ἀγραύλου
8 θηρὸς ὀρεσιβάτα.
9 λασιαύχενά θ' ἵππον ἑλὼν,
10 ἄγει ἀμφίλοφον ζυγὸν,
11 οὔρειόν τ' ἀδμῆτα ταῦρον.--

ΣΤΡΟΦΗ β'.

1 καὶ φθέγμα, καὶ ἠνεμόεν
2 φρόνημα, καὶ ἀστυνόμους
3 ὀργὰς ἐδιδάξατο, καὶ
4 δυσαύλων πάγων αἴθρια καὶ
5 δύσομβρα φεύγειν βέλη·
6 παντοπόρος, ἄπορος
7 ἐπ' οὐδὲν ἔρχεται
8 τὸ μέλλον, ἅιδα μόνον
9 φεῦξιν οὐκ ἐπάξεται.
10 νόσων δ' ἀμηχάνων
11 φυγὰς ξυμπέφρασται.--

ΑΝΤΙΣΤΡΟΦΗ. β'.

1 δεινόν τι τὸ μηχανόεν
2 τέχνας ὑπὲρ ἐλπίδ' ἔχων.
3 καὶ γὰρ ποτὲ μὲν κακὸν, ἄλ-
4 λοτ' αὖθις δ' ἐπ' ἐσθλὸν ἕρπει
5 νόμους παρείρων χθονὸς,
6 ὑψίπολις ἄπολις
7 δ' ὅτῳ τὸ μὴ καλὸν
8 ξυνέστι τόλμας χάριν.
9 μήτ' ἐμοὶ παρέστιος
10 γένοιτο. μήτ' ἴσον
11 φρονῶν, ὃς τάδ' ἔρδει.--

ΑΝΑΠΑΙΣΤΟΙ.

1 ἐς δαιμόνιον τέρας ἀμφινοῶ
2 τόδε, πῶς εἰδὼς ἀντιλογήσω
3 τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην.
4 ὦ δύστηνος καὶ δυστήνου
5 πατρὸς Οἰδιπόδα, τί ποτ' οὐ δή που
6 σέ γ' ἀπιστοῦσαν τοῖς βασιλείοις

7 σὺν

Edicto regio dicunt,
Et in temeritate captam ?

IAMBI.

Nu. Hæc est, quæ facinus fecit,
Hanc cepimus sepelientem. Sed ubi est Creon ?
OEd. Hic ex ædibus rediens opportunè advenit.
Cre. Quid est ? quæ justa pœna accidit ?
Nu. Rex : Homines non jurent se non mutaturos esse sententiam :
Mutat enim sequens cogitatio priorem.
Juravi enim me nunquam rediturum esse,
Propter tuas minas, quibus turbatus fuisti.
Sed recens & insperatum gaudium
Non est simile illi voluptati magnitudine.
Venio fide publica, quamvis aliter juravi,
Adducens puellam, quæ deprehensa est
Sepulchrum faciens : sors nunc non delegit me,
Sed nihil contigit hoc lucrum non alteri
Et nunc rex hanc ut voles acceptam
Judica & convince, ego liber
Jure absolvar suspicione hujus criminis.
Cre. Adducis hanc, quomodo ? unde ?
Nu. Hæc sepeliit virum, omnia scias.
Cre. Num intelligis, quæ dicis ?
Nu. Hanc vidi sepelire cadaver
Quod prohibuisti, quare nota & manifesta dico.
Cre. Quomodo conspecta, & deprehensa est ?
Nu. Sic acta res est. Ut à te redii,
Minis illis perterrefacti pulverem
Verrentes, quo tenebatur cadaver,
Et squalens corpus nudantes,
Sedimus in summis locis, sub dio,
Fugientes, ne quem odorem ederet,
Excitando movebat vir virum assiduis
Convitiis, si quis huic labori parceret
Hæc tam diu fiebant, donec in aëre
Medio stetit splendens sol,
Et æstus calefaciebat, tunc à terra
Ventus ciens turbinem, aëris perturbatorem,
Implet campum, totam flagellans comam
Sylvarum in campis, & impletus est aër.

σιν ἄγρουσι νόμοις,
καὶ ἐν ἀφροσύνῃ καθελόντες;—

ΙΑΜΒΟΙ.

Ἀγ. Ἥδ᾽ ἔστ᾽ ἐκείν᾽ ἡ τοὔργον ἐξειργασμένη·
τήνδ᾽ εἵλομεν θάπτουσαν· ἀλλὰ ποῦ Κρέων;
Χο. Ὅδ᾽ ἐκ δόμων ἄψορρος εἰς δέον περᾷ.
Κρ. Τί δ᾽ ἔστι; ποίᾳ ξύμμετρος προὔβη δίκῃ;
Ἀγ. Ἄναξ, βροτοῖσιν οὐδέν ἐστ᾽ ἀπώμοτον.
ψεύδει γὰρ ἡ ᾽πίνοια τὴν γνώμην· ἐπεὶ
σχολῇ ποθ᾽ ἥξειν δεῦρ᾽ ἂν ἐξηύχουν ἐγὼ,
ταῖς σαῖς ἀπειλαῖς αἷς ἐχειμάσθην τότε·
ἀλλ᾽ ἡ γὰρ ἐκτὸς καὶ παρ᾽ ἐλπίδας χαρὰ
ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ.
ἥκω δ᾽ ὅρκων, καίπερ ὢν ἀπώμοτος,
κόρην ἄγων τήνδ᾽, ἣ καθευρέθη τάφον
κοσμοῦσα· κλῆρος ἐνθάδ᾽ οὐκ ἐπάλλετο.
ἀλλ᾽ ἔστ᾽ ἐμὸν θοὔρμαιον, οὐκ ἄλλου τόδε.
καὶ νῦν ἄναξ, τήνδ᾽ αὐτὸς ὡς θέλεις λαβὼν,
καὶ κρῖνε κἀξέλεγχ᾽· ἐγὼ δ᾽ ἐλεύθερος
δίκαιός εἰμι τῶνδ᾽ ἀπηλλάχθαι κακῶν.
Κρ. Ἄγεις δὲ τήνδε, τῷ τρόπῳ, πόθεν λαβών;
Ἀγ. Αὕτη τὸν ἄνδρ᾽ ἔθαπτε· πάντ᾽ ἐπίστασο.
Κρ. Ἦ καὶ ξυνίεις καὶ λέγεις ὀρθῶς ἃ φῄς;
Ἀγ. Ταύτην γ᾽ ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας· ἆρ᾽ ἔνδηλα καὶ σαφῆ λέγω;
Κρ. Καὶ πῶς ὁρᾶται κἀπίληπτος ᾑρέθη;
Ἀγ. Τοιοῦτον ἦν τὸ πρᾶγμ᾽· ὅπως γὰρ ἥκομεν
πρὸς σοῦ τὰ δείν᾽ ἐκεῖν᾽ ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ,
καθήμεθ᾽ ἄκρων ἐκ πάγων ὑπήνεμοι,
ὀσμὴν ἀπ᾽ αὐτοῦ μὴ βάλοι πεφευγότες,
ἐγερτὶ κινῶν ἄνδρ᾽ ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ᾽ ἀφειδήσοι πόνου·
χρόνον τάδ᾽ ἦν τοσοῦτον ἔστ᾽ ἐν αἰθέρι
μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος,
καὶ καῦμ᾽ ἔθαλπε· καὶ τότ᾽ ἐξαίφνης χθονὸς
τυφὼς ἀείρας σκηπτὸν, οὐράνιον ἄχος,
πίμπλησι πεδίον· πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος· ἐν δ᾽ ἐμεστώθη μέγας
αἰθήρ. μύσαντες δ᾽ εἴχομεν θείαν νόσον·
καὶ τοῦδ᾽ ἀπαλλαγέντος ἐν χρόνῳ μακρῷ

ἡ παῖς

Et nos divinitus cæcutiebamus.
Et hoc vento ſublato diu
Puella cernitur, & ejulat triſtis (vacuum
In modum aviculæ, aſperam vocem emittens, ut quando
Cubile, & pullis orbatum videt.
Sic & iſta, ut videt nudum cadaver,
Ejulat & diris devovet autores,
Et manibus ſiccum fert pulverem,
Et ex laudati fabri copioſe vaſculo,
Inferiis cadaver ornat.
Et nos conſpicientes imus & venamur.
Statim imperterritam
Et de priore & hoc interrogamus
Facto, illa nihil negat
Et mihi audire jucundum erat ac triſte ſimul.
Nam quod ipſe ſuſpicione liberatus eram
Fuit gratum, ſed amicorum periculo
Dolebam, Sed hæc minoris facere
Mea ſalute ſoleo.

Cre. Te verò intuentem terram
Affirmas, aut negas feciſſe hæc?

Ant. Et affirmo, & non nego.

Cre. Tu auferas te, quocunque voles,
Sine culpa, liberum.
Tu verò dic mihi breviter,
Noras edictum, ne hæc faceres?

Ant. Noram? quî enim non noſſem? erant enim manifeſta.

Cre. Et auſa es has leges violare?

Ant. Non enim Jupiter hæc mandaverat,
Neque ſocia inferorum deorum, Vindicta,
Qui has leges hominibus dederunt.
Neque poſſe tantum putavi
Tua edicta, ut non ſcriptas, & certas deorum
Leges poſſit mortalis violare.
Non enim nunc & heri, ſed ſemper
Valent, & nullus ſcit unde editæ ſint.
Has ego non debui metu cujuſquam
Violare, & apud Deos pœnas dare.
Sciebam enim me morituram eſſe, Quid ni?
Etiamſi id non propoſuiſſes in edicto. Jam ſi aliquando
Citius moriar, lucrum hoc dixero.
Nam qui in magnis malis, ut ego,
Vivit huic mors pro lucro eſt.
Sic & mihi hoc fato mori
Nullus dolor eſt. Sed ſi Fratrem

ἡ παῖς ὁρᾶται κἀνακωκύει πικρᾶς
ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος·
οὕτω δὲ χ᾽ αὕτη ψιλὸν ὡς ὁρᾷ νέκυν,
γόοισιν ἐξῴμωξεν, ἐκ δ᾽ ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς δίψιαν φέρει κόνιν,
ἔκ τ᾽ εὐκροτήτου χαλκέως ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χ᾽ ἡμεῖς δ᾽ ἰδόντες, ἱέμεσθα· σὺν δέ νιν
θηρώμεθ᾽ εὐθὺς οὐδὲν ἐκπεπληγμένην·
καὶ τάς τε πρόσθεν τάς τε νῦν ἠλέγχομεν
πράξεις· ἄπαρνος δ᾽ οὐδενὸς καθίστατο·
ἀλλ᾽ ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι,
ἥδιστον· ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν,
ἀλγεινόν· ἀλλὰ πάντα ταῦθ᾽ ἥσσω λαβεῖν
ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.

Κρ. Σὲ δὴ σὲ τὴν νεύουσαν ἐς πέδον κάρα
φής, ἢ καταρνῇ μὴ δεδρακέναι τάδε;

Αν. Καὶ φημὶ δρᾶσαι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.

Κρ. Σὺ μὲν κομίζοις ἂν σεαυτὸν ᾗ θέλεις
ἔξω βαρείας αἰτίας ἐλεύθερον.
σὺ δ᾽ εἰπέ μοι μὴ μῆκος, ἀλλὰ σύντομα.
ᾔδεις τὰ κηρυχθέντα, μὴ πράσσειν τάδε;

Αν. Ἤδειν· τί δ᾽ οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.

Κρ. Καὶ δῆτ᾽ ἐτόλμας τούσδ᾽ ὑπερβαίνειν νόμους;

Αν. Οὐ γάρ τι μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
οὐδ᾽ ἡ ξύνοικος τῶν κάτω θεῶν δίκη,
οἳ τούσδ᾽ ἀνθρώποισιν ὥρισαν νόμους.
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ᾽, ὥστ᾽ ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ᾽ ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ᾽ ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ᾽, ἐν θεοῖσι τὴν δίκην
δώσειν; θανουμένη γὰρ ἐξῄδειν, (τί δ᾽ οὔ;)
κεἰ μὴ σὺ προὐκήρυξας· εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ᾽ ἐγὼ λέγω.
ὅστις γὰρ ἐν πολλοῖσιν, ὡς ἐγώ, κακοῖς
ζῇ, πῶς ὅδ᾽ οὐχὶ κατθανὼν κέρδος φέρει;
οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ᾽ οὐδὲν ἄλγος· ἀλλ᾽ ἄν, εἰ τὸν ἐξ ἐμῆς

μητρὸς

Fratrem insepultum reliquissem mortuum,
Hac re dolorem, illud non dolet.
Tibi verò si stulta facere videor,
Propemodum stulti judicio stulta sum.
Cho. Apparet genus durum ex duro patre
Puellæ, nam cedere nescit malis,
Cre. Sed scis nimis duri sensus
Cadunt maximè, & durissimum
Ferrum assatum igni undique,
Contritum & fractum sæpe videas.
Et parvò frœno scio iratos equos
Regi: Non enim convenit
Superbire his, qui serviunt aliis.
Hæc autem contumeliosa esse ausa est.
Leges violans propositas.
Contumelia autem hæc fuerit altera,
Postquam fecit gloriari ac redire
Certe nunc ego non sim vir, sed illa,
Si hæc incepta impunè tulerit.
Sed sive ex sorore nata sit, sive magis propinqua,
Quàm cuivis Jupiter custos est,
Hæc & ipsius soror non effugient
Mortem pessimam: nam & illam
Accuso sociam consilii esse de sepulchro,
Et evocate eam, intus enim vidi jam
Rabiosam, nec compotem mentis.
Solet animus prius capi fraudator,
Eorum qui prava machinantur.
Odi, quando aliquis in malis
Deprehensus, ea vult excusare.
Ant. Vis ne quid amplius, quàm me captam occidere?
Cre. Nihil, ubi hoc effecero, contentus ero.
Ant. Quid igitur contaris? cùm nec mihi tui sermones
Placeant nec placituri sint,
Nec tibi mei placeant.
Atqui unde majorem gloriam
Consequerer, quàm quòd fratrem sepelii?
His omnibus hoc placere
Dici possit, nisi linguam claudat metus.
Sed tyrannis cùm aliis in rebus beata est,
Tum quia licet ei dicere & facere quæ vult.
Cre. Hoc tu sola civium vides?
Ant. Vident & isti, sed tibi continent os.
Cre. Te autem non pudet ab istis dissentire?

μηλεῖς θανόνθ' ἄθαπτον ἠνσχόμην νέκυν,
κείνοις ἂν ἤλγουν, τοῖσδε δ' οὐκ ἀλγύνομαι.
σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.--

Χο. Δηλοῖ τὸ γέννημ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς
τῆς παιδός· εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς.--

Κρ. Ἀλλ' ἴσθι τοι, τὰ σκλήρ' ἄγαν φρονήματα
πίπτειν μάλιστα· καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ,
θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις.
σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους
ἵππους καταρτυθέντας· οὐ γὰρ ἐκπέλει
φρονεῖν μέγ' ὅστις δοῦλός ἐστι τῶν πέλας.
αὕτη δ' ὑβρίζειν μὲν τότ' ἐξηπίστατο,
νόμους ὑπερβαίνουσα τοὺς προκειμένους.
ὕβρις δ', ἐπεὶ δέδρακεν, ἥδε δευτέρα,
τούτοις ἐπαυχεῖν, καὶ δεδρακυῖαν γελᾶν.
ἦ νῦν γ' ἐγὼ μὲν οὐκ ἀνήρ, αὕτη δ' ἀνήρ,
εἰ ταῦτ' ἀνατεὶ τῇδε κείσεται κράτη.
ἀλλ' εἴτ' ἀδελφῆς, εἴθ' ὁμαιμονεστέρας
τοῦ παντὸς ἡμῖν Ζηνὸς ἑρκείου κυρεῖ,
αὐτή τε χ' ἡ ξύναιμος οὐκ ἀλύξετον
μόρου κακίστου· καὶ γὰρ οὖν κείνην ἴσον
ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου.
καί νιν καλεῖτ'· ἔσω γὰρ εἶδον ἀρτίως
λυσσῶσαν αὐτὴν, οὐδ' ἐπήβολον φρενῶν.
φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ἡρῆσθαι κλοπεὺς
τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων.
μισῶ γε μέντοι χὤταν ἐν κακοῖσί τις
ἁλοὺς, ἔπειτα τοῦτο καλλύνειν θέλῃ —

Αν. Θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ' ἑλών;

Κρ. Ἐγὼ μὲν οὐδέν· τοῦτ' ἔχων, ἅπαντ' ἔχω.

Αν. Τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων
ἀρεστὸν οὐδὲν, μηδ' ἀρεσθείη ποτέ.
οὕτω δὲ καί σοι τἄμ' ἀφανδάνοντ' ἔφυ.
καί τοι, πόθεν κλέος γ' ἂν εὐκλεέστερον
κατέσχον, ἢ τὸν αὐτάδελφον ἐν τάφῳ
τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἁνδάνειν
λέγοιτ' ἂν, εἰ μὴ γλῶσσαν ἐγκλείσοι φόβος.
ἀλλ' ἡ τυραννὶς πολλά τ' ἄλλ' εὐδαιμονεῖ,
κἄξεστιν αὐτῇ δρᾶν λέγειν θ' ἃ βούλεται.--

Κρ. Σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς;

Αν. Ὁρῶσι χ' οὗτοι, σοὶ δ' ὑπίλλουσι στόμα.

Κρ. Σὺ δ' οὐκ ἐπαιδῇ τῶνδε χωρὶς εἰ φρονεῖς;

Οὐδὲν

Ant. Non eſt turpe cognatos colere.
Cre. Nonne & alter fuit frater?
Ant. Frater germanus.
Cre. Quare igitur iſti impio tribuis honorem?
Ant. Ne quidem alter frater ſic judicat.
Cre. Si quidem eum honoras velut impium.
Ant. Non enim ſervus illius, ſed frater fuit.
Cre. Oppugnans patriam cùm alter defenderet.
Ant. Et tamen mors has leges flagitat.
Cre. At boni non ſunt dicendi pares malis.
Ant. Quis ſcit an hæc ſint pia apud inferos?
Cre. Nunquam hoſtis fit amicus, ne mortuus quidem.
Ant. Non odiſſe tecum, ſed ſimul amare debeo.
Cre. Cùm deſcenderis, amato
Illos, me verò vivo nunquam regnabit mulier.

A N A P AE S T I.

Cho. At ante portam eſt Iſmene,
Sororias lachrymas ſtillans,
Nube ſupercilii purpuream faciem
Deformans, & triſti aſpectu
Madefaciens formoſas genas.

I A M B I.

Cre. Tu, quæ domi velut vipera dimiſſa
Clàm me exuxiſti, nec ſciebam
Alere me duas peſtes regni,
Age dic mihi, num & tu hujus ſepulturæ
Sociam te eſſe fateris? aut jurabis te neſcire?
Iſm. Feci hoc: Si quidem iſta conſentit,
Fio ſocia, & fero culpam.
Ant. Sed non ſinet hoc juſtitia, quia
Nec voluiſti, nec ego tecum communicavi.
Iſm. Sed me malorum tuorum non pudet
Sociam me periculi facio.
Ant. Quorum ſit factum, Dii teſtes ſunt,
Verbis amantem non amo.
Iſm. Ne ſoror me deſpicito, an non ſines
Unà mori & mortuum honore afficerer
Ant. Nec ſimul moriare, nec ea quæ non attigiſti
Iſm. Fac tua, ſatis eſt me mori.
Quæ verò vita mihi ſine te erit?

Creon-

Αν. Οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.
Κρ. Οὔκουν ὅμαιμος χὠ κατὰ χθονὸς θανών;
Αν. Ὅμαιμος ἐκ μιᾶς τε καὶ ταὐτοῦ πατρός.
Κρ. Πῶς δῆτ' ἐκείνῳ δυσσεβεῖ τιμᾷς χάριν;
Αν. Οὐ μαρτυρήσει ταῦθ' ὁ κατθανὼν νέκυς.
Κρ. Εἴτοι σφε τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ.
Αν. Οὐ γάρ τι δοῦλος, ἀλλ' ἀδελφὸς ὤλετο.
Κρ. Πορθῶν γε τήνδε γῆν· ὁ δ', ἀντιστὰς ὕπερ.
Αν. Ὅμως ὅγ' ᾅδης τοὺς νόμους τούτους ποθεῖ.
Κρ. Ἀλλ' οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσον
Αν. Τίς δ' οἶδεν εἰ κάτω 'στὶν εὐαγῆ τάδε;
Κρ. Οὔτι ποθ' οὐχθρός, οὐθ' ὅταν θάνῃ, φίλος.
Αν. Οὔτοι συνέχθειν ἀλλὰ συμφιλεῖν ἔφυν.
Κρ. Κάτω νυν ἐλθοῦσ', εἰ φιλητέον, φίλει
κείνους· ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη,
φιλάδελφα κάτω δάκρυ' εἰβομένη
νεφέλη δ' ὀφρύων ὕπερ, αἱματόεν
ῥέθος αἰσχύνει,
τέγγουσ' εὐῶπα παρειάν.--

ΙΑΜΒΟΙ.

Κρ. Σὺ δ', ἣ κατ' οἴκους ὡς ἔχιδν' ὑφειμένη
λήθουσά μ' ἐξέπινες (οὐδ' ἐμάνθανον
τρέφων δύ' ἄτα, κἀπαναστάσεις θρόνων)
φέρ' εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
φήσεις μετασχεῖν, ἢ 'ξομῇ τὸ μὴ εἰδέναι;
Ισ. Δέδρακα τοὔργον, εἴπερ ἥδ' ὁμορροθεῖ.
καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας.
Αν. Ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη σ'· ἐπεὶ
οὔτ' ἠθέλησας, οὔτ' ἐγὼ κοινωσάμην.
Ισ. Ἀλλ' ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι
ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.
Αν. Ὧν τοὔργον, ᾅδης χ' οἱ κάτω ξυνίστορες.
λόγοις δ' ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην.
Ισ. Μήτοι κασιγνήτη μ' ἀτιμάσῃς τὸ μὴ οὐ
θανεῖν τε σὺν σοὶ τὸν θανόντα θ' ἁγνίσαι.
Αν. Μή μοι θάνῃς σὺ κοινά, μηθ' ἃ μὴ 'θιγες
ποιοῦ σεαυτῆς· ἀρκέσω θνήσκουσ' ἐγώ.
Ισ. Καὶ τίς βίος μοι σοῦ λελειμμένῃ φίλος;

Ant. Creontem interrroga, hujus enim tu propinqua es.
Iſm. Quid me crucias nihil juvans?
Ant. Dolet mihi, & ſi te derideo,
Iſm. Qua igitur alia in re te juvem?
Ant. Serves te ipſam, non enim invideo tibi ſalutem,
Iſm. Hei mihi miſeræ, & non ero conſors tuæ mortis?
Ant. Tu elegiſti vitam, ego mortem
Iſm. At prædicente me.
Ant. Recte tu iſtis, ego illis ſapere videor.
Iſm. At commune utriuſque peccatum eſt.
Ant. Confide, tu enim vives. nam mea anima jampridem
Mortua eſt, ut mortuis benefaciat,
Cre. Altera harum puellarum nunc primum
Amens apparet, altera vero inde uſque ab initio,
Iſm. Nunquam enim, quæ erat, manet
Mens miſeris ſed excidit,
Cre. Itaque & tibi excidit. cum vis eſſe miſera.
Iſm. Quid enim, me in vita delectet ſine iſta?
Cre. Sed iſta. ne cures, non eſt amplius,
Iſm. An occides ſponſam filii?
Cre. Suſcipi liberi poſſunt etiam ex aliis.
Iſm. Non ſic inter illum & hanc tranſactum eſt,
Cre. Malas nubere filiis nolo.
Ant. O chariſſime Hæmon, ſic te contemnit pater.
Cre. Valde contriſtaris & tu & tuæ nuptiæ.
Iſm. An eripies hanc tuo filio?
Cre. Mors finiet has nuptias.
Iſm. Decretum eſt hanc mori?
Cre. Et tibi & mihi ne moras affer.
Ducite eam intro. poſtea erunt
Mulieres non liberæ.
Nam & audaces fugiunt,
Quando prope
Jam mortem vident.

ANTISTROPHICA ſtrophe. I.

Cho. Beati qui non guſtant mala.
Quibus enim mota eſt domus,
Nulla deeſt calamitas.
Ad poſteros pergens.
Sicut maris tumor quando

Αν. Κρέοντ᾽ ἐρώτα· τοῦδε γὰρ σὺ κηδεμών.
Ισμ. Τί ταῦτ᾽ ἀνιᾷς μ᾽, οὐδὲν ὠφελουμένη;
Αν. Ἀλγοῦσα μὲν δῆτ᾽ εἰ γέλωτ᾽ ἐν σοὶ γελῶ.
Ισμ. Τί δῆτ᾽ ἂν ἀλλὰ νῦν σ᾽ ἔτ᾽ ὠφελοῖμ᾽ ἐγώ;
Αν. Σῶσον σεαυτήν· οὐ φθονῶ σ᾽ ὑπεκφυγεῖν.
Ισ. Οἴμοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;
Αν. Σὺ μὲν γὰρ εἵλου ζῆν, ἐγὼ δὲ κατθανεῖν.
Ισ. Ἀλλ᾽ οὐκ ἐπ᾽ ἀρρήτοις γε τοῖς ἐμοῖς λόγοις.
Αν. Καλῶς σὺ μὲν τοῖς, τοῖς δ᾽ ἐγὼ δόκουν φρονεῖν.
Ισ. Καὶ μὴν ἴση νῷν ἐστιν ἡ ᾽ξαμαρτία.
Αν. Θάρσει, σὺ μὲν ζῇς· ἡ δ᾽ ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν, ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.
Κρ. Τὼ παῖδε φημὶ τώδε, τὴν μὲν ἀρτίως
ἄνουν πεφάνθαι, τὴν δ᾽ ἀφ᾽ οὗ τὰ πρῶτ᾽ ἔφυ.
Ισ. Οὐ γάρ ποτ᾽ ὦναξ οὐδ᾽ ὃς ἂν βλαστῇ μένει
νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ᾽ ἐξίσταται.
Κρ. Σοὶ γοῦν, ὅθ᾽ εἵλου σὺν κακοῖς πράσσειν κακά.
Ισ. Τί γὰρ μόνῃ μοι τῆσδ᾽ ἄτερ βιώσιμον;
Κρ. Ἀλλ᾽ ἥδε μὲν σοὶ μὴ λέγ᾽· οὐ γάρ ἐστ᾽ ἔτι.
Ισ. Ἀλλὰ κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου;
Κρ. Ἀρώσιμοι γὰρ χἀτέρων εἰσὶν γύαι.
Ισ. Οὐχ ὥς γ᾽ ἐκείνῳ τῇδέ τ᾽ ἦν ἡρμοσμένα.
Κρ. Κακὰς ἐγὼ γυναῖκας υἱέσι στυγῶ.
Αν. Ὦ φίλταθ᾽ Αἷμον, ὥς σ᾽ ἀτιμάζει πατήρ.
Κρ. Ἄγαν γε λυπεῖς καὶ σὺ καὶ τὸ σὸν λέχος.
Ισ. Ἦ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον;
Κρ. Ἅδης ὁ παύσων τούσδε τοὺς γάμους ἔφυ.
Ισ. Δεδογμέν᾽, ὡς ἔοικε, τήνδε κατθανεῖν.
Κρ. Καὶ σοί γε κἀμοί· μὴ τριβὰς ἔτ᾽, ἀλλά νιν
κομίζετ᾽ εἴσω δμῶες· ἐκ δὲ τοῦδε χρὴ
γυναῖκας εἶναι τάσδε, μηδ᾽ ἀνειμένας·
φεύγουσι γάρ τοι χοἰ θρασεῖς, ὅταν πέλας
ἤδη τὸν ᾅδην εἰσορῶσι τοῦ βίου.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ α᾽.

Χο. 1 Εὐδαίμονες, οἷσι κακῶν
2 ἄγευστος αἰών.
3 οἷς γὰρ ἂν θεόθεν
4 σεισθῇ δόμος, ἄτας
5 οὐδὲν ἐλλείπει γενεᾶς
6 ἐπὶ πλῆθος ἕρπον·
7 ὅμοιον ὥστε ποντίας
8 ἁλὸς οἶδμα δυσπνόοις

Thracio vento occurrit profundum mare,
Volvit ex imo nigrum
Sabulum, & turbidum,
Et fremit repercutiens littus.

ANTISTROPHE 1.

Veteres Labdaci familiæ video
Calamitates alias ſuper alias,
Nec poſteri liberant genus,
Sed evertit Deus aliquis,
Nec deſinit.
Nunc enim reliquum erat
Lumen extremæ radicis in hac familia,
Hoc letalis Deorum
Inferorum pulvis extinguit,
Et amentia & furiæ.

STROPHE 2.

Tuam potentiam, Jupiter.
Quis poteſt cohibere?
Quam nec ſomnus capit æternus,
Nec perpetui Deorum
Menſes: perpetuo Princeps
Tenes Olympi
Nitidum fulgorem,
Futurum & præteritum adeſt tibi,
Hæc lex communis venit
Ad omnium vitam,
Ne ſit ſine malis.

ANTISTROPHE 2.

Nam incerta ſpes
Multos conſolatur,
Multos autem decipiunt leves cupiditates,
Et ignari opprimuntur,
Priuſquam in igne pedem poſuerint.

θρήσσαις ὅταν ἔρεβος ἐπιδράμῃ πνοαῖς,
κυλίνδει βυσσόθεν κελαινὰν
θῖνα καὶ δυσήνεμον,
στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταί.--

ΑΝΤΙΣΤΡΟΦΗ α'.

ἀρχαῖα τὰ λαβδακιδᾶν
οἴκων ὁρῶμαι
πήματα φθιμένων
ἐπὶ πήμασι πίπτον--
τ' οὐδ' ἀπαλλάσσει γενεὰν
γένος, ἀλλ' ἐρείπει
θεῶν τις. οὐδ' ἔχει λύσιν.
νῦν γὰρ ἐσχάτας ὑπὲρ
ῥίζας τέτατο φάος ἐν οἰδίπου δόμοις·
κατ' αὖ νιν φοινία θεῶν τῶν
νερτέρων ἀμᾶ κόνις,
λόγου τ' ἄνοι, καὶ φρενῶν ἐριννύς.--

ΣΤΡΟΦΗ β.

τὰν σὰν ζεῦ δύναμιν τίς ἀνδρῶν
ὑπερβασία κατάσχοι,
τὰν οὔθ' ὕπνος αἱ--
ρεῖ ποθ' ὁ παντογήρως,
ἀκάματοί τε θεῶν
μῆνες; ἀγήρως δὲ χρόνῳ δυνάστας
κατέχεις ὀλύμπου
μαρμαρόεσσαν αἴγλαν.
τό, τ' ἔπειτα, καὶ τὸ μέλλον,
καὶ τὸ πρὶν ἐπαρκέσει.
νόμος ὅδ' οὐδὲν ἕρπει
θνατῶν βιότῳ πάμ--
πολις ἐκτὸς ἄτας.--

ΑΝΤΙΣΤΡΟΦΗ β'

ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς
πολλοῖς μὲν ὄνησις ἀνδρῶν,
πολλοῖς δ' ἀπάτα
κουφονόων ἐρώτων.
εἰδότι δ' οὐδὲν, ἕρπει,
πρὶν πυρὶ θερμῷ πόδα τις προσαύσῃ. ἡ

Sapienter à quodam
Dictum apparet:
Malum videtur eſſe bonum
Illi, cui mentem
Deus impellit ad exitium.
Sed verſatur brevi
Tempore extra malum.

ANAPAESTI.

Sed Hæmon liberorum tuorum
Noviſſimum germen, utique dolens
Futuræ ſponſæ,
Deſponſatæ propter mortem,
Defraudarique ſua conjuge dolens,

IAMBI.

Cre. Cito ſciemus melius quam vates,
O fili num audita ſententia de futura ſponſa,
Venis ut patri iraſcaris?
Sumus nec tibi omnibus in rebus chari?
Hæ. Pater, tuus ſum, & tu recte ſentiens,
Me corrigas, teque ſequar.
Nullas enim nuptias merito
Antiferam tibi recte ducenti.
Cre. Sic oportet fili ſentire ex animo,
Paternæ voluntati omnia poſtponenda eſſe:
Ideo enim homines optant liberos
Obedientes domi ſuſcipere,
Ut & inimicos ulciſcantur,
Et amicos colant pariter ut parentes.
Sed qui gignit inutiles liberos,
Quid dicas hunc aliud, niſi moleſtiam ſibi
Genuiſſe, & inimicis riſum
Ne mentem per amorem
Mulieris cauſa abjicias, ſciens
Quod frigidus hic amplexus eſt
Mulieris malæ. Quod enim
Majus ulcus quam malus amicus?
Sed deſpuens velut inimicum, ſine
Puellam apud inferos nubere.
Poſtquam enim manifeſte deprehendi,
Solam rebellem in tanta urbe,

7 σοφίᾳ γὰρ ἔκ του
8 κλεινὸν ἔπος πέφανται,
9 τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
10 τῷδ' ἔμμεν ὅτῳ φρένας
11 θεὸς ἄγει πρὸς ἄταν.
12 πράσσει δ' ὀλιγοστὸν
13 χρόνον ἐκτὸς ἄτας.--

ΑΝΑΠΑΙΣΤΟΙ.

ὅδε μὴν αἵμων, παίδων τῶν σῶν
νέατον γέννημ', ἆρ' ἀχνύμενος
τάλιδος ἥκει μόρον ἀντιγόνης,
ἀπάτας λεχέων ὑπεραλγῶν

ΙΑΜΒΟΙ.

Κρ. Τάχ' εἰσόμεσθα μάντεων ὑπέρτερον.
ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων,
τῆς μελλονύμφου πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;
Αι. Πάτερ, σός εἰμι· καὶ σύ μοι γνώμας ἔχων
χρηστὰς ἀπορθοῖς, αἷς ἔγωγ' ἐφέψομαι.
ἐμοὶ γὰρ οὐδεὶς ἀξίως ἔσται γάμος
μείζων φέρεσθαι σοῦ καλῶς ἡγουμένου.--
Κρ. Οὕτω γάρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,
γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι.
τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,
ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
καὶ τὸν φίλον τιμῶσιν ἐξίσου πατρί.
ὅστις δ' ἀνωφέλητα φυτεύει τέκνα,
τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὑτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
μή νύν ποτ', ὦ παῖ, τὰς φρένας ὑφ' ἡδονῆς
γυναικὸς οὕνεκ' ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο γίνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις· τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;
ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ, μέθες
τὴν παῖδ' ἐν ἅδου τήνδε νυμφεύειν τινί.
ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ
πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην,

Non mentiar civitati,
Sed interficiam eam.ad hæc imploret Jovem
Cognationis præsidem : si enim cognati
Mali sunt, alam potius alienos.
Inter propinquos, si quis est bonus,
Erit etiam Reip. bonus.
Qui autem leges violat,
Atque imperare Magistratibus cogitat,
Hunc non laudabo :
Sed quem urbs præfecit, hic audiendus est,
De parvis, justis, & injustis :
Et hunc virum confidam ego
Bene imperare & bene parere velle,
Et in pugnæ tempestate ordinatum,
Manere fortem socium.
Nam inobedientia nullum majus malum est.
Hæc urbes perdidit, & vastas
Domos facit, & in pugna fugas
Efficit : sed subditorum
Servat multos obedientia.
Hæc sic defendenda est bonis,
Et non à muliere vincenda.
Satius est enim à viris everti,
Ne deteriores mulieribus dicamur,

Cho. Nobis nisi ætate erramus
Dicere sapienter videris.

Hæ. Pater, Dii dant mentem hominibus,
Id summum bonum est,
Ego, quod non recte hæc dicas,
Neque possum neque sciam dicere,
Alteri fortasse secus videatur :
Tibi vero omnia debeo prospicere,
Quæ dicunt, aut faciunt, aut reprehendunt homines.
Tuus enim aspectus terribilis est civibus,
Si quid dicunt, quo non delectaris
Ego autem mussitantes audio,
Quomodo deploret civitas hanc puellam,
Quod illa ex omnibus mulieribus indignissime
Et pessime propter egregia facta pereat,
Quæ fratem in cæde mortuum insepultum
A canibus cruda vorantibus
Noluit perdi neque ab avibus.
An non hæc digna est aureo honore ?
Talis obscura tacite fama vagatur,

ψευδῆ γ' ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. πρὸς ταῦτ' ἐφυμνείτω Δία
ξυναίμον· εἰ γὰρ δὴ τάδ' ἐγγενῆ φύσει
ἄκοσμα, θρέψω κάρτα τούς γ' ἔξω γένους.
ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ' ἀνὴρ
χρηστός, φανεῖται κἀν πόλει δίκαιος ὤν·
ὅστις δ' ὑπερβὰς, ἢ νόμους βιάζεται,
ἢ τοὐπιτάσσειν τοῖς κρατοῦσιν ἐννοεῖ,
οὐκ ἔστ' ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
ἀλλ' ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν
καὶ σμικρὰ καὶ δίκαια, καὶ τἀναντία.
καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ
καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλειν,
δορός τ' ἂν ἐν χειμῶνι προστεταγμένον,
μένειν δίκαιον κἀγαθὸν παραστάτην.
ἀναρχίας γὰρ μεῖζον οὐκ ἔστιν κακόν.
αὕτη πόλεις τ' ὄλλυσιν, ἥδ' ἀναστάτους
οἴκους τίθησιν· ἥδε συμμάχη δορὸς
τροπὰς καταρρήγνυσι· τῶν δ' ὀρθουμένων
σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία.
οὕτως ἀμυντέ' ἐστὶ τοῖς κοσμουμένοις,
κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα.
κρεῖσσον γὰρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν.
κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν.

Χο. Ἡμῖν μὲν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα,
λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.

Αἱ. Πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας,
πάντων ὅσ' ἐστὶ χρημάτων ὑπέρτατον.
ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε,
οὔτ' ἂν δυναίμην, μήτ' ἐπισταίμην λέγειν.
γένοιτο μέντ' ἂν χἀτέρῳ καλῶς ἔχον.
σοῦ δ' οὖν πέφυκα πάντα προσκοπεῖν, ὅσα
λέγει τις ἢ πράσσει τις, ἢ ψέγειν ἔχει.
τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ
λόγοις τοιούτοις οἷς σὺ μὴ τέρψῃ κλύων·
ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε,
τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις.
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει·
ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον, μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι, μήθ' ὑπ' οἰωνῶν τινός.
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις.

ἐμοὶ

Mihi tua fælicitate nihil est optabilius.
Quod enim gloria patris florentis
Gaudium majus liberis sit, aut patri à liberis ?
Ne unum hunc morem tantum retineas.
Ut putes nihil rectum esse, nisi quod tu dicis.
Qui enim solus sapere videtur,
Aut linguam aut mentem habere, quam nemo habeat
Is retectus inanis deprehensus est,
Sed etiam sapientem virum discere
Multa non est turpe, & non nimium repugnare.
Vides quæ exundantibus fluminibus
Arbores cedunt, ramos servare,
Sed renitentes radicitus pereunt.
Eodem modo gubernator in navi, qui pedem
Tendit & non cedit, eversis postea
Tabulis navigat fracta navi.
Tu vero cede iræ, & muta sententiam.
Si quid enim sapio juvenis,
Equidem fateor, excellere
Virum plenum sapientia :
Sed si secus est, raro enim hoc accidere solet,
Honestum est alios etiam audire.
Cho. Rex, convenit te, si quid recte dicitur,
Discere, & hunc vicissim, recte enim dictum est, audire
Cre. An tali ætate discemus
Sapere à juvene ?
Hæ. Nihil injusti : si vero juvenis sum,
Non ætatem, sed rem considera.
Res est scilicet, improbos honore afficere.
Cre. Non jubeo te malos tolere.
Hæ. Nonne ista deprehensa est in tali morbo ?
Cre. Non hoc dicit populus Thebanus.
Hæ. Civitas vero statuet,
Cre. Quid imperare debeam
Hæ. Vides, quam hoc pueriliter dixisti ?
Cre. Alius igitur non ego hic regnet.
Hæ. Civitas non est, quæ est unius viri,
Cre. An non Principis est civitas ?
Hæ. Scilicet tu voles in deserta urbe regnare ?
Cre. Iste mulierem adiuvat.
Hæ. Siquidem tu es mulier, nam pro te sollicitus sum,
Cre. Pessime litigas cum patre.
Hæ. Video enim te injusta facere.
Cre. An pecco dum principatum meum honore afficio ?

ἐμοὶ δὲ, σοῦ πράσσοντος εὐτυχῶς πάτερ,
οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
τί γὰρ πατρὸς θάλλοντος εὐκλείας τέκνοις
ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;
μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει,
ὡς φῂς σὺ, κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν.
ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
ἢ γλῶσσαν ἣν οὐκ ἄλλος ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες, ὤφθησαν κενοί.
ἀλλ' ἄνδρα κἄν τις ᾖ σοφὸς, τὸ μανθάνειν
πόλλ' αἰσχρὸν οὐδὲν, καὶ τὸ μὴ τείνειν ἄγαν.
ὁρᾷς παραῤῥείθροισι χειμάῤῥοις ὅσα
δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται.
τὰ δ' ἀντιτείνοντ', αὐτόπρεμν' ἀπόλλυται;
αὔτως δὲ, ναὸς ὅστις ἐγκρατὴς, πόδα
τείνας ὑπείκει μηδὲν, ὑπτίοις κάτω
στρέψας τολοιπὸν σέλμασιν, ναυτίλλεται.
ἀλλ' εἶκε θυμοῦ, καὶ μετάστασιν δίδου.
γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ
φῦναι τὸν ἄνδρα πάντ' ἐπιστήμης πλέω·
εἰ δ' οὖν, (φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν)
καὶ τῶν λεγόντων εὖ, καλὸν τὸ μανθάνειν.

Χ. Ἄναξ, σέ τ' εἰκὸς, εἴ τι καίριον λέγει,
μαθεῖν, σέ τ' αὖ τοῦδ'· εὖ γὰρ εἴρηται διπλᾶ.
Κρ. Οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ
φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;
Αι. Μηδὲν τὸ μὴ δίκαιον· εἰ δ' ἐγὼ νέος,
οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.
Κρ. Ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν;
Αι. Οὐδ' ἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τοὺς κακούς.
Κρ. Οὐχ ἥδε γὰρ τοιᾷδ' ἐπείληπται νόσῳ;
Αι. Οὔ φησι Θήβης τῆσδ' ὁμόπτολις λεώς.
Κρ. Πόλις γὰρ ἡμῖν ἃ ἄν με χρὴ τάσσειν ἐρεῖ;
Αι. Ὁρᾷς τόδ' ὡς εἴρηκας ὡς ἄγαν νέος
Κρ. Ἄλλῳ γὰρ ἢ 'μοὶ χρή γε τῆσδ' ἄρχειν χθονός;
Αι. Πόλις γὰρ οὐκ ἔσθ' ἥτις ἀνδρός ἐσθ' ἑνός.
Κρ. Οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;
Αι. Καλῶς ἐρήμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος.
Κρ. Ὅδ', ὡς ἔοικε, τῇ γυναικὶ ξυμμαχεῖ.
Αι. Εἴπερ γυνὴ σύ. σοῦ γὰρ οὖν προκήδομαι.
Κρ. Ὦ παγκάκιστε διὰ δίκης ἰὼν πατρί.
Αι. Οὐ γὰρ δίκαιά σ' ἐξαμαρτάνονθ' ὁρῶ.
Κρ. Ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;

Cre. Non honoras, dum honorem Dei conculcas.
Hæ. O execrabile ingenium & muliere deterius.
Hæ. Non deprehendes me succumbere turpitudini.
Cre. An non tu pro illa dicis?
Hæ Et pro te, & pro me, & pro Diis inferis,
Cre. Hanc non duces vivam amplius,
Hæ. Illa igitur morietur, & mortua interficiet aliquem,
Cre. An minandi causa sic loqueris ferociter?
Hæ An minæ sunt ad inania verba respondere?
Cre. Malo accepto cognosces quam nunc sis demens.
Hæ. Nisi pater esses dicerem te delirare.
Cre. Mulieris mancipium ne mihi convicia dicito.
Hæ, Vis loqui, & loquens neminem vis audire.
Cre. Verum per Olympum scito,
Non gaudebis me deridendo.
Abducite istam odiosam, ut ob oculos
Coram sponso moriatur.
Hæ. Non fiet, ne putes hoc,
Non peribit me inspectante,
Nec tu meum aspicies caput,
Itaque apud amicos mane, qui te ferre possint.
Cho. Rex, homo fit vehemens ex ira,
Tale ingenium dolore fit atrocius.
Cre. Faciat, ausit, plus quam pro virili,
Has puellas non eripiet morti,
Cho. An ambas occidere decrevisti?
Cre. Non illam, quæ non attigit, recte mones.
Cho. Qua morte eam vis interficere?
Cre. Ducens eam ubi solitaria est via,
Occultabo in subterraneo specu,
Tantum cibi addens manipulum,
Ut scelus ex urbe auferatur:
Ibi Plutonem, quem solum colit,
Orans impetrabit ne moriatur:
Aut discet ibi. quod inutilis labor
Sit, Deos inferos colere.

ANTISTROPHICA strophe

Cho. Amor invicte,
Amor, qui irruis in fortunas,
Qui in mollibus genis
Puellæ dormis,
Incedis supra mare,

Αι. Οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.
Κρ. Ὦ μιαρὸν ἦθος, καὶ γυναικὸς ὕστερον.
Αι. Οὐκ ἂν γ' ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.
Κρ. Ὁ γοῦν λόγος σοὶ πᾶς ὑπὲρ κείνης ὅδε.
Αι. Καὶ σοῦ τε κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων.
Κρ. Ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς.
Αι. Ἡ δ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά.
Κρ. Ἢ κἀπαπειλῶν ὧδ' ἐπεξέρχῃ θρασύς;
Αι. Τίς δ' ἔστ' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;
Κρ. Κλαίων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.
Αι. Εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.
Κρ. Γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με.
Αι. Βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν;
Κρ. Ἀληθές· ἀλλ' οὐ τόνδ' ὄλυμπον, ἴσθ' ὅτι
χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμέ.
ἄγετε τὸ μῖσος, ὡς κατ' ὄμματ' αὐτίκα
παρόντι θνήσκῃ πλησία τῷ νυμφίῳ.
Αι. Οὐ δῆτ' ἔμοιγε· τοῦτο μὴ δόξῃς ποτέ.
οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' οὐδαμὰ
τοὐμὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν.
ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ ξυνών.
Χο. Ἀνὴρ ἄναξ βέβηκεν ἐξ ὀργῆς ταχύς.
νοῦς δ' ἐστὶ τηλικοῦτος ἀλγήσας, βαρύς.
Κρ. Δράτω· φρονείτω μεῖζον, ἢ κατ' ἄνδρ' ἰών.
τὰ δ' οὖν κόρα τάδ' οὐκ ἀπαλλάξει μόρου.
Χο. Ἄμφω γὰρ αὐτὰ καὶ κατακλεῖναι νοεῖς;
Κρ. Οὐ τήν γε μὴ θιγοῦσαν· εὖ γὰρ οὖν λέγεις.
Χο. Μόρῳ δὲ ποίῳ καί σφε βουλεύῃ κτανεῖν;
Κρ. Ἄγων ἔρημος ἔνθ' ἂν ᾖ βροτῶν στίβος,
κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι,
φορβῆς τοσοῦτον ὡς ἄγος μόνον προθείς,
ὅπως μίασμα πᾶσ' ὑπεκφύγοι πόλις.
κἀκεῖ τὸν ᾅδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που, τεύξεται τὸ μὴ θανεῖν.
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ' ὅτι
πόνος περισσός ἐστι τὰν ᾅδου σέβειν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφή.

Αν. 1 Ἔρως ἀνίκατε μάχαν,
2 ἔρως, ὃς ἐν κτήμασι πίπτεις,
3 ὃς ἐν μαλακαῖς παρειαῖς
4 νεάνιδος ἐννυχεύεις·
5 φοιτᾷς δ' ὑπερπόντιος, ἐν

Et per agreſtia ſtabula,
Neque te Deorum quiſquam effugit;
Neque mortalium hominum.
Qui te habet, furit.

ANTISTROPHE

Tu etiam juſtorum injuſtas
Mentes corrumpis ad nocendum bonis.
Tu & hoc diſſidium
Domeſticum excitaſti.
Vincit præſens amor
Oculorum ſponſæ
Magnarum legum Principem.
Inſuperabilis enim
Illudit ei Venus.

ANAPAESTI.

Nunc autem & ipſe extra leges
Feror, hoc videns, cohibere
Fontes lachrymarum non poſſum,
Cum video ad Thalamum omnes ſepelientem
Antigonen ire.

ANTISTROPHICA. ſtrophe I.

Ant. Videte me cives
Ultimam viam euntem,
Ultimam lucem videntem Solis,
Et non rurſus: ſed me
Qui omnes ſepelit, vivam ducit
Ad Acherontis littus: neque hymenæi
Participem: neque mihi nuptialis
Hymnus decantatus eſt.
Sed deſpondebor Acheronti.

AN-

6 τ' ἀγρονόμοις αὐλαῖς
7 καὶ σ' οὔτ' ἀθανάτων
8 φύξιμος οὐδεὶς,
9 οὔθ' ἁμερίων ἐπ' ἀν--
10 θρώπων· ὁ δ' ἔχων, μέμηνεν.--

ΑΝΤΙΣΤΡΟΦΗ

1 Σὺ δὲ δικαίων ἀδίκους
2 φρένας παρασπᾷς ἐπὶ λώβᾳ·
3 Σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
4 ξύναιμον ἔχεις ταράξας.
5 νικᾷ δ' ἐναργὴς βλεφάρων
6 ἵμερος εὐλέκτρου
7 νύμφας, τῶν μεγάλων
8 πάρεδρος ἐν ἀρχαῖς
9 θεσμῶν· ἄμαχος γὰρ ἐμ--
10 παίζει θεὸς ἀφροδίτα.--

ΑΝΑΠΑΙΣΤΟΙ.

1 νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
2 ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν
3 δ' οὐκέτι πηγὰς δύναμαι δακρύων
4 τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον
5 τήνδ' ἀντιγόνην ἀνύτουσαν.--

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ ά.

Αν. 1 Ὁρᾶτέ μ' ὦ γᾶς πατρίας πολῖται
2 τὰν νεάταν ὁδὸν
3 στείχουσαν, νέατον δὲ φέγγος
4 λεύσσουσαν ἀελίου,
5 κοὔποτ' αὖθις· ἀλλά μ' ὁ παγκοίτας
6 ἅιδας ζῶσαν ἄγει
7 τὰν ἀχέροντος
8 ἀκτάν, οὔθ' ὑμεναίων
9 ἔγκληρον, οὔτ' ἐπινυμφίδιός
10 πώ μέ τις ὕμνος ὕμνησεν,
11 ἀλλ' ἀχέροντι νυμφεύσω --

ANAPÆSTI.

Cho. Ergo clara & laudem habens
In hunc abibis ſpecum mortuorum,
Neque abſumentibus vexata morbis,
Neque gladio percuſſa,
Sed libera, viva, ſola
Mortalium ad inferos deſcendis.

ANTISTROPHE 1.

Ant. Audivi miſeram periiſſe
Phrygiam hoſpitam,
Tantali filiam ad Sipylum ſaxum.
Quam velut hedera adhærens,
Domuit petræ ramus,
Et imbre tabeſcentem,
Ut aiunt, nix nunquam deſerit,
Sed madefacit ſub ſuperciliis lachrymabundis
Colla: hei me
Deus ſimiliter cubare facit.

ANAPÆSTI.

Cho. At illa erat Dea, & Diis genita,
Nos mortales, & nati mortalibus:
Et tibi pereunti præclarum eſt audire,
Diis ſimilia accidiſſe.

STROPHE 2.

Ant. Hei mihi irrideor, quid me
Per Deos patrios
Nondum mortuam contumelia afficis ſed præſentem?
O urbs, & urbis
Opulenti cives,
O Dircæi fontes
Et Thebanum nemus, ſimul
Teſtes vos facio,
Quomodo indeplorata ab amicis, quali lege

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Οὔκουν κλεινὴ καὶ ἔπαινον ἔχου-
σ' ἐς τόδ' ἀπέρχῃ κεῦθος νεκύων.
οὔτε φθινάσι πληγεῖσα νόσοις,
οὔτε ξιφέων ἐπίχειρα λαχοῦ-
σ'· ἀλλ' αὐτόνομος ζῶσα μόνη δὴ
θνατῶν ἀΐδαν καταβήσῃ.--

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Αν. 1 Ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι
2 τὰν φρυγίαν ξέναν
3 ταντάλου, σιπύλῳ πρὸς ἄκρῳ
4 τάν, κισσὸς ὡς ἀτενής,
5 πετραία βλάστα δάμασεν· καί νιν
6 ὄμβρῳ τακομέναν,
7 ὡς φάτις ἀνδρῶν,
8 χιών τ' οὐδαμᾶ λείπει·
9 τέγγει θ' ὑπ' ὀφρύσι παγκλαύτοις
10 δειράδας· ᾇ με δαίμων ὁ-
11 μοιοτάταν κατευνάζει.--

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἀλλὰ θεός τοι καὶ θεογεννής.
ἡμεῖς δὲ, βροτοὶ καὶ θνητογενεῖς.
καί τοι γε φθιμένῃ, μέγ' ἀκοῦσαι
τοῖς ἰσοθέοις ἔγκληρα λαχεῖν
ζῶσαν καὶ ἔπειτα θανοῦσαν.--

ΣΤΡΟΦΗ β'.

Αν. 1 Οἴ μοι, γελῶμαι. τί με πρὸς
2 θεῶν πατρῴων
3 οὐκ οἰχομέναν ὑβρίζεις,
4 ἀλλ' ἐπίφαντον;
5 ὦ πόλις, ὦ πόλεως
6 πολυκτήμονες ἄνδρες·
7 ἰὼ διρκαῖαι κρῆναι,
8 θήβας τ' εὐαρμάτου ἄλσος· ἔμπας
9 ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι,
10 οἷα φίλων ἄκλαυτος, οἵοις νόμοις

Ad carcerem effossum
Vado sepulchri insueti.
O me miseram
Quæ neque viva sum, nec mortua.
Inquilina non vivorum, non mortuorum.

IAMBI.

Cho. Progressa ad extremam contumaciam,
In summam pœnæ incidisti.
Multum, ô puella,
Paternum sustines certamen.

ANTISTROPHE 2.

Ant. Tetigisti acerbissimas
Mihi curas,
Multiplicem luctum
Et totius prioris
Nostræ calamitatis
Labdacidarum.
O maternæ conjugii
Furiæ, concubitus cognati,
Mei patris & miseræ matris,
Ex qualibus ego misera nata sum,
Ad quos devota, innupta:
Inquilina veniam.
O miserum frater,
Nacte conjugium,
Mortuus vivam me occidisti.

IAMBI.

Cho. Piè facere, pietas quædam est.
Sed autoritas non est violanda
Eorum qui tenent imperium.
Te autem propter fratrem perdidit indignatio.

SYSTEMA.

Ant. Indeplorata, sine amicis, innupta,
Misera abducor,
Hanc paratam viam.
Non amplius mihi fas est

προς ἕρμα τυμβόχωστον ἔρ-
γμαι τάφου ποταινίου.
ἰὼ δύστανος,
οὔτ' ἐν βροτοῖς οὔτ' ἐν νεκροῖσι
μέτοικος, οὐ ζῶσιν, οὐ θανοῦσι.--

ΙΑΜΒΟΙ.

Χο. Προβᾶσ' ἐπ' ἔσχατον θράσους,
ὑψηλὸν ἐς δίκας βάθρον
προσέπαισας ὦ τέκνον πολύ·
πατρῷον ἐκτίνεις τιν' ἆθλον.--

ΣΤΡΟΦΗ β'.

Αν. Ἔψαυσας ἀλγεινοτάτας
ἐμοὶ μερίμνας
πατρὸς τριπόλιστον οἶκτον,
τοῦ τε πρόπαντος
ἁμετέρου πότμου
κλεινοῖς Λαβδακίδαισιν.
ἰὼ ματρῷαι λέκτρων
ἆται, κοιμήματ' αὐτογέννητα
ἁμῷ πατρὶ δυσμόρου ματρός,
οἵων ἐγώ ποθ' ἁ ταλαίφρων ἔφυν,
πρὸς οὓς ἀραῖος ἄγαμος ἅ-
δ' ἐγὼ μέτοικος ἔρχομαι.
ἰὼ δυσπότμων
κασίγνητε γάμων κυρήσας,
θανὼν ἔτ' οὖσαν κατήναρές με.

ΙΑΜΒΟΙ.

Χο. Σέβειν μὲν, εὐσέβειά τις·
κράτος δ', ὅτῳ κράτος μέλει,
παραβατὸν οὐδαμῆ πέλει.
σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.--

ΣΥΣΤΗΜΑ.

Αν. Ἄκλαυτος, ἄφιλος, ἀνυμέναιος,
ταλαίφρων ἄγομαι
τάνδ' ἑτοίμαν ὁδόν· οὐκέτι
μοι τόδε λαμπάδος ἱερὸν ὄμμα

Solis ſacrum oculum videre:
Et meam mortem
Nullus amicus gemit.

IAMBI.

Cre. Sed ſcitis, quòd querelarum & luctuum ante mortem
Nemo finem faciat, ſi liceat.
Non ducetis quàm celerrimè, & tecto
Sepulchro includentes, ut dixi,
Solam relinquetis, ſive moriatur,
Sive vivens in illo ſpecu maneat:
Nos enim impolluti ſumus, quod ad hanc attinet,
Sed noſtra converſatione privabitur.
Ant. O ſepulchrum, ô Thalame, ô effoſſa
Habitatio perpetua, quo vado,
Ad meos, quorum numerum inter mortuos
Maximum recepit Proſerpina,
Quorum poſtrema ego & miſerrima
Deſcendo ante fatale tempus.
Veniens autem ſpero
Me charam patri & matri venturam eſſe,
Et tibi charam frater,
Poſtquam mortuos ego mea manu lavi,
Ornavi, & ſepulchrales inferias dedi.
Nunc Polynices tuum corpus curans,
Talem mercedem repeto.
At te honore affeci, apud eos qui rectè judicant.
Non ſi mater eſſem,
Non ſi maritus mihi mortuus eſſet,
Contra publicum edictum hoc periculum ſuſcepiſſem.
Hæc cujus legis cauſa dico?
Marito mortuo alius eſſet:
Et alius gnatus, ſi hunc amitterem.
Sed matre & patre ſepultis,
Non poteſt iterum naſci frater:
Ideo te præferens contra Creontem feci,
Et ſæva auſa ſum ô frater.
Nunc verò ducit me manibus innuptam,
Expertem nuptiarum & liberorum,
Sed huc deſerta ab amicis
Viva in mortuorum ſepulchra venio.

θέμις ὁρᾶν ταλαίνα.
τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον
οὐδεὶς φίλων στενάζει.

ΙΑΜΒΟΙ.

Κρ. Ἆρ' ἴστ', ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν
ὡς οὐδ' ἂν εἷς παύσαιτ' ἄν, εἰ χρείη, λέγειν;
οὐκ ἄξεθ' ὡς τάχιστα, καὶ κατηρεφεῖ
τύμβῳ περιπτύξαντες, ὡς εἴρηκ' ἐγώ,
μόνην ἀφεῖτ' ἔρημον, εἴτε χρὴ θανεῖν,
εἴτ' ἐν τοιαύτῃ ζῶσα τυμβεύσει στέγῃ;
ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην.
μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.--
Αν. Ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις ἀείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Περσέφασσ' ὀλωλότων.
ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῷ
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
ἐλθοῦσα μέντοι, κάρτ' ἐν ἐλπίσι τρέφω
φίλη μὲν ἥξειν πατρί, προσφιλὴς δέ σοι
μῆτερ, φίλη δέ σοι κασίγνητον κάρα.
ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
ἔλουσα κἀκόσμησα· κἀπιτυμβίους
χοὰς ἔδωκα· νῦν δὲ πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα, τοιάδ' ἄρνυμαι.
καίτοι σ' ἐγὼ τίμησα τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν,
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ' ἂν ᾐρόμην πόνον.
τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος, ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον.
μητρὸς δ' ἐν ᾅδου καὶ πατρὸς κεκευθότοιν,
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλαστοῖ ποτέ.
τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν,
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν,
ἄλεκτρον, ἀνυμέναιον, οὔτε τοῦ γάμου
μέρος λαχοῦσαν, οὔτε παιδείου τροφῆς·
ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος,
ζῶσ' εἰς θανόντων ἔρχομαι κατασκαφάς.

Quod jus Deorum violans?
Quid misera aspiciam Deos?
Quæ invocem auxilia?
Cùm propter pium factum impietatis rea sim.
Sed si hæc placent Diis,
Si quid peccavi ipsa veiâ dedero quòd afficior supplicio.
Sin autem isti peccant, tantundem
Mali patiantur? quantum mihi injustè inferunt.

ANAPÆSTI.

Cho. Adhuc eorundem ventorum
Impetus, iidem animi, hanc habent.
Cre. Ergo ductores plorabunt
Propter tarditatem.
Ant. Hei de morte jam
Sententia dicta est.
Cre. Non consolor te ut speres
Hæc non fore rata.
Ant. O Thebæ urbs patria,
Et Dii patrii,
Ducor, & non ero amplius.
Videte Thebarum Principes,
Reginam solam reliquam,
Qualia patior,
Propterea, quòd piè feci,

ANTISTROPHICA. Strophe 1.

Cho. Sustinuit & Danaes corpus
Mutare lumen, in ferreis
Vinculis occultata,
In sepulchrali Thalamo vincta est.
Et nobilis erat,
Et Jovis custodiebat
Aureum germen,
Sed fatalis potentia potens est,
Nec eam imber aut Mars,
Nec turris, nec stridentes,
Celeres naves effugerunt.

ANTI-

ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι
βλέπειν; τίν' αὐδᾶν ξυμμάχων; ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.
ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ
πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἔτι τῶν αὐτῶν ἀνέμων αὐταὶ
ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσι
Κρ. Τοιγὰρ τούτων τοῖσιν ἄγουσι
κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ.
Χο. Οἴμοι, θανάτου τοῦτ' ἐγγυτάτω
τοὔπος ἀφῖκται.
Κρ. Θαρσεῖν οὐδὲν παραμυθοῦμαι
μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.
Αν. Ὦ γῆς Θήβης ἄστυ πατρῷον,
καὶ θεοὶ προγενεῖς.
ἄγομαι δὴ 'γώ, κοὐκέτι μέλλω.
λεύσσετε Θήβης οἱ κοιρανίδαι,
τὴν βασίλειαν μούνην λοιπήν,
οἷα πρὸς οἵων ἀνδρῶν πάσχω,
τὴν εὐσεβίαν σεβίσασα.--

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφὴ α.

Χο. 1 Ἔτλα καὶ Δανάας οὐράνιον φῶς
2 ἀλλάξαι δέμας ἐν χαλκοδέτοις
3 αὐλαῖς· κρυπτομένα δ' ἐν
4 τυμβήρει θαλάμῳ κατεζεύχθη·
5 καίτοι γενεᾷ τίμιος ὦ παῖ, παῖ,
6 καὶ Ζηνὸς ταμιεύε-
7 σκε γονὰς χρυσορρύτους.
8 ἀλλ' ἁ μοιριδία τις δύνασις, δεινά·
9 οὔτ' ἄν νιν ὄμβρος, οὔτ' ἄρης,
10 οὐ πύργος, οὐχ ἁλίκτυποι
11 κελαιναὶ νᾶες ἐκφύγοιεν.--

ANTISTROPHICA. 1.

Vinctus eſt iracundus filius Dryantis
Thracum Rex, propter convicia,
A Baccho affixus ſcopulo.
Sic furorem ſuum amittit,
Et florentem animum,
Agnoſcit ſe per furorem attigiſſe Deum,
Conviciatrice lingua.
Prohibuit enim afflatas
Mulieres, & Bacchi ignem,
Et irritavit muſas.

STROPHE 2.

Ad Cyanea ſaxa
Gemini maris
Littus Boſphori,
Et Thracius ſinus eſt Salmydeſſus,
Ibi vicinus Mars duobus Phinei filiis
Vidit execrandum vulnus
Factum, propter ſævam conjugem,
Cæcum in miſeris orbibus oculorum,
Laceratum haſtis à cruentis manibus
Et radiis textoriis.

ANTISTROPHE 2.

Tabefacti autem miſeri
Miſeram cladem
Deplorabant matris,
Infœlici fato geniti.
Hæc ſemen nobilium
Fuit Erechthidarum.
Et longinquis in antris
Nutrita eſt inter patrias procellas
Boreæ filia equeſtri celeritate, in celſo ſaxo,
Deorum filia, verùm hanc etiam fata
Divina vicerunt.

ΑΝΤΙΣΤΡΟΦΗ α΄.

ζεύχθη δ' ὀξύχολος παῖς ὁ δρύαντος·
ἠδωνῶν βασιλεὺς, κερτομίοις
ὀργαῖς ἐκ διονύσου,
πετρώδει κατάφρακτος ἐν δεσμῷ.
οὕτω μανίας δεινὸν ἀποστάζει
ἀνθηρόν τε μένος· κεῖ-
νος ἐπέγνω μανίαις
ψαύων τὸν θεὸν ἐν κερτομίαις γλώσσαις.
παύεσκε μὲν γὰρ ἐνθέους
γυναῖκας, εὔιόν τε πῦρ,
φιλαύλους τ' ἠρέθιζε μούσας.--

ΣΤΡΟΦΗ β΄.

παρὰ δὲ κυανέων πετρῶν
διδύμας ἁλός τ' ἀκταὶ βοσπόρειαι,
ἰδ' ὁ θρῃκῶν σαλμυδησσὸς,
ἵν' ἀγχίπτολις ἄρης
δισσοῖσι φινείδαις
εἶδεν ἀρατὸν ἕλκος
τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος,
ἀλαὸν ἀλαστόροισιν ὀμμάτων
κύκλοις ἀραχθὲν οὐκ ἐγχέων,
ἀλλ' ὑφ' αἱματηραῖς χερσὶ
τε καὶ κερκίδων ἀκμαῖς.--

ΑΝΤΙΣΤΡΟΦΗ. β΄.

κατὰ δὲ τακόμενοι μέλεοι
μελέαν πάθαν κλαῖον ματρὸς, ἔχον-
τες ἀνύμφευτον γονάν· ἃ
δὲ, σπέρμ' ἀρχαιογόνων
ἄντασ' ἐρεχθειδᾶν,
τηλεπόροις δ' ἐν ἄντροις
τράφη θυέλλησιν ἐν πατρῴαις
βορέας ἅμιππος, ὀρθόποδος
ὑπὲρ πάγου θεῶν ἢ παῖς.
ἀλλὰ κἀπ' ἐκείνᾳ μοῖραι
μακραίωνες ἔσχον παῖ.--

ΙΑΜ-

IAMBI.

Tir. Thebani Principes, venimus communi via
Duo videntes per unum : cæcis enim
Iter cum duce est.
Cre. Quid novi est ?
Tir. Dicam, tu modo vati obtemperes.
Cre. Num hactenus discessi à tuis monitis ?
Tir. Ergo fœliciter regis urbem.
Cre. Agnosco me affectum esse beneficiis.
Tir. Sapias ergo nunc in ipso discrimine.
Cre. Quid est ? quàm ego horreo tua dicta.
Tir. Scies artis meæ signa audiens.
Nam in veterem sedem augurii
Sedens, ubi erat mihi augurii portus,
Ignotam audio avium vocem.
Malo impetu clangentium,
Et lacerantes se mutuo unguibus.
Agnovi, nam strepitus alarum non erat sine signo,
Statim verò metuens sacrificia tentavi.
In aris flammantibus ex hostiis
Ignis non fulsit, sed in cinere
Fumabat, expuebat, & levata
Exta dissipabantur, & corrupta
Femora jacebant extra tectum adipem,
Hæc à puero audivi
Irrita esse sacrificii signa.
Nam hic mihi monitor est, aliis ego.
Propter te urbs male habet.
Aræ enim & foci sunt
Pleni cadaveribus volucrum & canum.
Post interitum filiorum Œdipi :
Et deinde non recipiunt sacrificii preces
Dii à nobis, neque femorum flammam.
Neque aves sonant faustas voces,
Postquam comederunt cadaverum pinguedinem.
Hæc cogita : nam hominibus
Omnibus commune est peccare.
Postquam autem peccavit aliquis,
Non est stultus aut infœlix, qui
Remedium quærit, & non manet pertinax.
Nam pertinacia stulta & infœlix est.

ΙΑΜΒΟΙ.

Τει. Θήβης ἄνακτες ἥκομεν κοινὴν ὁδὸν
δύ' ἐξ ἑνὸς βλέποντε. τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει --
Κρ. Τί δ' ἔστιν ὦ γεραιὲ τειρεσία νέον;
Τει. Ἐγὼ διδάξω· καὶ σὺ τῷ μάντει πιθοῦ.
Κρ. Οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενός.
Τει. Τοιγὰρ δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν.
Κρ. Ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
Τει. Φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.
Κρ. Τί δ' ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίττω στόμα.
Τει. Γνώσῃ, τέχνης σημεῖα τῆς ἐμῆς κλύων.
εἰς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνοῦ λιμήν,
ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων κακῷ
κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ,
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς.
ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
εὐθὺς δὲ δείσας, ἐμπύρων ἐγευόμην,
βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ
μυδῶσα κηκὶς μηρίων ἐτήκετο,
κἄτυφε, κἀνέπτυε· καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταρρυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα,
φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα.
ἐμοὶ γὰρ οὗτος ἡγεμών, ἄλλοις δ' ἐγώ.
καὶ ταῦτα, τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν, ἐσχάραι τε παντελεῖς,
πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς,
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου,
κᾆτ' οὐ δέχονται θυστάδας λιτὰς ἔτι
θεοὶ παρ' ἡμῶν, οὐδὲ μηρίων φλόγα,
οὐδ' ὄρνις εὐσήμους ἀπορροιβδεῖ βοάς,
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
ταῦτ' οὖν τέκνον φρόνησον· ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν.
ἐπεὶ δ' ἁμάρτῃ, κεῖνος οὐκέτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκεῖται, μηδ' ἀκίνητος πέλει.
αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.

ἀλλ'

Sed cede mortuo ne extinctum
Pungito : qualis fortitudo est in mortuum sævire ?
Bene tibi volens suadeo :
Prodest autem audire bene monentem.
Cre. O senex, omnes velut ad scopum
Jaculamini contra hunc virum, & vates
Etiam mihi negotium facit, propter hanc familiam
Venditus & exportatus sum.
Lucramini, precium accipite, Sardense electrum
Si vultis & Indicum aurum,
Tamen hunc non sepelietis,
Nec si aquilæ cadauer ferant
Rapientes ad Jovis sedem :
Ne illud quidem piaculum timens
Sepeliri hunc permitterem. Bene scio
Deos pollui ab hominibus non posse.
Cadunt autem multi ô senex
Quanquam præstantes viri turpiter,
Cùm turpis lucri causa dicunt turpia.
Tir. Num scit quispiam, aut cogitat hoc ?
Cre. Quidnam rem notam omnibus dicis ?
Tir. Quanto præstantius est sapere ?
Cre. Quanto plus mali est desipere.
Tir. Hic tuus est morbus,
Cre. Nolo recriminari vatem.
Tir. Atqui dicis me falsa vaticinari.
Cre. Vates omnes captant pecuniam.
Tir. Imo tyranni amant turpia lucra.
Cre. An scis quæ dicis, te dicere contra Principes ?
Tir. Scio, per me regis hanc urbem.
Cre. Sapiens vates es, sed soles iniquè agere.
Tir. Jubebis me, ut dicam oracula.
Cre. Move, modo ne lucri causa.
Tir. Sic tibi videbor sanè, quod ad te attinet.
Cre. Scito te non lucraturum esse meum animum.
Tir. Scito non multos
Circulos solis confici,
In quibus unum ex tuis
Mortuum dabis pro cadaveribus,
Pro quibus vivam ignominiose
In sepulchrum inclusisti.
Aliud verò habes cadaver
Divinorum expers sine funere profanatum,
Quod neque tibi licet, nec superi probant.

Sed

ἀλλ' εἶκε τῷ θανόντι, μηδ' ὀλωλότα
κέντει· τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;
εὖ σοι φρονήσας, εὖ λέγω· τὸ μανθάνειν
δ' ἥδιστον εὖ λέγοντος, εἰ κέρδος λέγει --

Κρ. Ω πρέσβυ, πάντες ὥστε τοξόται σκοποῦ
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμι, τῶν δ' ὑπαὶ γένους
ἐξημπόλημαι κἀμπεφόρτισμαι πάλαι.
κερδαίνετ', ἐμπολᾶτε τὸν πρὸ σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν ἰνδικὸν
χρυσόν· τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε.
οὐδ' εἰ θέλουσ' οἱ ζηνὸς αἰετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐς διὸς θρόνους,
οὐδ' ὣς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ,
θάπτειν παρήσω κεῖνον· εὖ γὰρ οἶδ' ὅτι
θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει.
πίπτουσι δ' ὦ γεραιὲ τειρεσία βροτῶν
χ' οἱ πολλὰ δεινοὶ, πτώματ' αἴσχρ', ὅταν λόγους
αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν.

Τει. Φεῦ· ἆρ' οἶδεν ἀνθρώπων τις; ἆρα φράζεται

Κρ. Τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;

Τει. Ὅσῳ κράτιστον κτημάτων εὐβουλία;

Κρ. Ὅσῳ περ οἶμαι, μὴ φρονεῖν, πλείστη βλάβη.

Τει. Ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.

Κρ. Οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.

Τει. Καὶ μὴν λέγεις, ψευδῆ με θεσπίζειν λέγων.

Κρ. Τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.

Τει. Τὸ δ' ἐκ τυράννων, αἰσχροκέρδειαν φιλεῖ.

Κρ. Ἆρ' οἶσθα ταγοὺς ὄντας, ἃν λέγῃς, λέγων;

Τει. Οἶδ'· ἐξ ἐμοῦ γὰρ τήνδ' ἔχεις σώσας πόλιν.

Κρ. Σοφὸς σὺ μάντις, ἀλλὰ τἀδικεῖν φιλῶν.

Τει. Ὄρσεις με τἀκίνητα διὰ φρενῶν φράσαι·

Κρ. Κίνει· μόνον δὲ μὴ 'πὶ κέρδεσιν λέγων.

Τει. Οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος.

Κρ. Ὡς μὴ 'μπολήσων ἴσθι τὴν ἐμὴν φρένα.

Τει. Ἀλλ' εὖ γέ τοι κάτισθι μὴ πολλοὺς ἔτι
τρόχους ἁμιλλητῆρας ἡλίου τελῶν,
ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα
νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσῃ.
ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω,
ψυχήν τ' ἀτίμως ἐν τάφῳ κατῴκισας·
ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θεῶν
ἄμοιρον, ἀκτέριστον, ἀνόσιον νέκυν.
ὧν οὔτε σοὶ μέτεστιν, οὔτε τοῖς ἄνω

θεοῖσιν,

Sed tu violenter ista facis.
Horum vindices postea
Punituræ latent furiæ,
Ut te capiant in iisdem malis,
Hæc vide an corruptus pecunia
Dicam : erunt enim brevi
Domi tuæ luctus,
Et hostiles urbes turbabuntur,
Ex quibus cadavera canes polluerunt,
Aut feræ aut volucres, ferentes
Polluta busta in aras urbis.
Hæc contra te velut jaculator
Emisi cum indignatione jacula
Valida, quorum vim non evitabis.
Puer abhuc nos domum,
Ut iram iste in juniores emittat,
Et norit linguam erudire, ut sit modestior,
Et mentem ut sit melior, quàm nunc est,

Cho. Vates abiit.
Scimus autem donec
Canos ego ex nigris capillos habeo,
Nunquam eum mentitum esse.

Cre. Scio ipse, & sum consternatus,
Difficile est cedere : si autem resisto.
Damno affici in periculo præsto est.

Cho. Prudentia opus est.

Cre. Quid faciendum est, dic, ego obtemperabo,

Cho. Puellam ex subterraneo specu
Dimitte, & alterum cadaver sepelito.

Cre. Hoccine approbas, & jubes cedere ?

Cho. Quam celerrimè,
Opprimunt enim pœnæ celeriter malos.

Cre. Hei, vix muto animum, ut faciam.
At non possum pugnare cum necessitate.

Cho. Fac ista, nec manda aliis.

Cre. Sic statim vado : ministri
Qui adsunt & absunt, secures
Properè capientes eant in altum locum.
Ego autem postquam mea mens conversa est,
Ipse ligavi, & solvam ipse.
Metuo enim ne sit melius
Usitatis legibus parere.

ANTI-

θεοῖσιν, ἀλλ' ἐκ σοῦ βιάζονται τάδε.
τούτων σε λωβητῆρες ὑστεροφθόροι
λοχῶσιν ἅδου, καὶ θεῶν ἐριννύες,
ἐν τοῖσιν αὐτοῖς τοῖσδε ληφθῆναι κακοῖς.
καὶ ταῦθ' ἄθρησον εἰ κατηργυρωμένος
λέγω· φανεῖ γὰρ οὐ μακροῦ χρόνου τριβή,
ἀνδρῶν, γυναικῶν σοῖς δόμοις κωκύματα.
ἐχθραὶ δὲ πᾶσαι συνταράσσονται πόλεις,
ὅσων σπαράγματ' ἢ κύνες καθήγνισαν,
ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνός, φέρων
ἀνόσιον ὀσμὴν ἑστιοῦχον ἐς πόλιν.
τοιαῦτά σου (λυπεῖς γάρ) ὥστε τοξότης
ἀφῆκα θυμῷ καρδίας τοξεύματα
βέβαια, τῶν σὺ θάλπος οὐχ ὑπεκδραμῇ.
ὦ παῖ, σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους, ἵνα
τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ,
καὶ γνῷ τρέφειν τὴν γλῶσσαν ἡσυχωτέραν,
τὸν νοῦν τ' ἀμείνω τῶν φρενῶν ἢ νῦν φέρει.—

Χο. Ἀνήρ, ἄναξ, βέβηκε δεινὰ θεσπίσας.
ἐπιστάμεσθα δ' ἐξ ὅτου λευκὴν ἐγὼ
τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα,
μή πώποτ' αὐτὸν ψεῦδος ἐς πόλιν λακεῖν.

Κρ. Ἔγνωκα καὐτός, καὶ ταράσσομαι φρένας.
τό τ' εἰκάθειν γὰρ δεινόν· ἀντιστάντα δὲ
ἄτῃ πατάξαι θυμόν, ἐν δεινῷ πάρα.—

Χο. Εὐβουλίας δεῖ παῖ μενοικέως κρέον.

Κρ. Τί δῆτα χρὴ δρᾶν φράζε· πείσομαι δ' ἐγώ.

Χο. Ἐλθὼν κόρην μὲν ἐκ κατώρυχος στέγης
ἄνες· κτίσον δὲ τῷ προκειμένῳ τάφον.

Χο. Καὶ ταῦτ' ἐπαινεῖς, καὶ δοκεῖς παρεικάθειν;

Κρ. Ὅσον γ' ἄναξ τάχιστα· συντέμνουσι γὰρ
θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι.

Χο. Οἴμοι, μόλις μέν, καρδίας δ' ἐξίσταμαι
τὸ δρᾶν· ἀνάγκῃ δ' οὐχὶ δυσμαχητέον.

Κρ. Δρᾶ νῦν τάδ' ἐλθών, μηδ' ἐπ' ἄλλοισι τρέπε.
Ὧδ' ὡς ἔχω στείχοιμ' ἄν· οἵ τ' ὀπάονες,
οἵ τ' ὄντες, οἵ τ' ἀπόντες ἀξίνας χεροῖν
ὁρμᾶσθ' ἑλόντες εἰς ἐπόψιον τόπον.
ἐγὼ δ' ἐπειδὴ δόξα τῇδ' ἐπεστράφη,
αὐτός τ' ἔδησα, καὶ παρὼν ἐκλύσομαι.
δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους
ἄριστον ᾖ σώζοντα, τὸν βίον τελεῖν.

ANTISTROPHICA. Strophe 1.

Cho. Bacche Cadmeæ
Puellæ decus,
Et Jovis tonantis genus,
Inclytam qui regis
Itàliam, & curas
Eleusina communem
In sinu Cereris,
O Bacche, qui Baccharum metropolin Theben
Incolis ad flumen Ismenen,
Apud natos Dracone.

ANTISTROPHE 1.

Te supra bicipitem petram
Fulgens videt fumus,
Ubi Coryciæ
Nymphæ ambulant,
Et Castalius fons,
Et Nyssæorum montium
Hederacei tumuli, & virides colles,
Vitiferi deducunt te,
Sonantibus Hymnis,
Thebanæ urbis præsidem.

STROPHE 2.

Quam præ omnibus
Urbibus honoras
Cum matre tua, quæ fulmine icta est:
Et nunc violento
Tota urbs morbo laborat.
Adesto salutari pede
Super Parnassi rupem,
Aut super sonans littus.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ στροφὴ α΄.

Χο. 1 Πολυώνυμε, καδμείας
2 νύμφας ἄγαλμα, καὶ διὸς
3 βαρυβρεμέτα γένος,
4 κλυτὰν ὃς ἀμφέπεις
5 ἰταλίαν, μέδεις δὲ παγ-
6 κοίνου ἐλευσινίας
7 δηοῦς ἐν κόλποις,
8 βακχεῦ βακχᾶν
9 μητρόπολιν θήβαν ναίων,
10 παρ' ὑγρῶν ἰσμηνοῦ
11 ῥεέθρων, ἀγρίου
12 τ' ἐπὶ σπορᾷ δράκοντος.

ΑΝΤΙΣΤΡΟΦΗ α΄.

1 σὲ δ' ὑπὲρ διλόφου πέτρας
2 στέροψ ὄπωπε λιγνὺς, ἔν-
3 θα κωρύκιαι νύμφαι
4 στείχουσι βακχίδες,
5 κασταλίας τε νᾶμα, καὶ
6 σε νυσαίων ὀρέων
7 κισσήρεις ὄχθαι,
8 χλωρά τ' ἀκτὰ
9 καὶ πολυστάφυλος πέμπει
10 ἀβρότων ἐπέων εὐ-
11 αζόντων θηβαίας
12 ἐπισκοποῦντ' ἀγυιάς.

ΣΤΡΟΦΗ β΄.

1 τὰν ἐκ πασᾶν τιμᾷς
2 ὑπερτάταν πόλεων,
3 ματρὶ σὺν κεραυνίᾳ.
4 καὶ νῦν ὡς βιαίας
5 ἔχεται πάνδημος πόλις
6 νῦν ἐπὶ νόσου, μολεῖν
7 καθαρσίῳ ποδὶ παρ-
8 νασίαν ὑπὲρ κλιτὺν,
9 ἢ στονόεντα πορθμόν

ANTISTROPHE. 2.

O ignivomarum
Dux stellarum,
Et nocturnarum vociferationum Patrone,
Nate Jovis,
Appare una cum
Naxiis ancillis,
Quæ te furentes
Per totam noctem
Celebrant præsidem Jacchum,

IAMBI.

Nu, Cadmi cives & Amphionis,
Nunquam hominum vitam
Laudabo, nec reprehendam.
Fortuna enim facit florentes,
Et rursus facit miseros,
Nec præsciri casus possunt.
Creon erat beatus paulo ante,
Liberata hac urbe ab hostibus,
Et potitus regno,
Abundabat liberis,
Nunc perierunt omnia: nam voluptates
Cum perdidit homo, non statuo eum vivere.
Sis sane dives, quantum voles,
Et vivas regnum tenens, Si vero abiit
Ab his lætitia, reliqua ceu fumi umbram
Non ego emerim ad voluptatem.
Cho. Quod onus regum affers?
Nu. Mortui sunt, & causam mortis præbuere quidam viven-(tes
Cho. Quis occidit? quis periit?
Nu. Hæmon periit à seipso interfectus.
Cho. Patris ne, an sua manu?
Nu. Ipse sibi conscivit mortem iratus patri,
Propter mortem Antigones.
Cho. O vates verum prædixisti,
Nu. Hæc cum ita sint, alia impendent.
Cho. Video miseram Eurydicen uxorem Creontis
Ex ædibus egredi,
Vel quia audiunt, vel casu.
Eur. O cives, audivi nuncium

Egrediens,

ΑΝΤΙΣΤΡΟΦΗ β΄.

ὦ πῦρ πνεόντων ἄστρων
χοραγὲ, καὶ νυχίων
φθεγμάτων ἐπίσκοπε,
παῖ διὸς γένεθλον,
προφάνηθι ξὺν ναξίαις
σαῖς θυάσι περιπόλοις,
αἳ δή σε μαινόμεναι
πάννυχοι χορεύουσι
τὸν ταμίαν ἴακχον.--

ΙΑΜΒΟΙ.

Αγ. Κάδμου πάροικοι καὶ δόμων Ἀμφίονος,
οὐκ ἔσθ᾽ ὁποῖον στάντ᾽ ἂν ἀνθρώπου βίον
οὔτ᾽ αἰνέσαιμ᾽ ἂν οὔτε μεμψαίμην ποτέ.
τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταρρέπει
τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ᾽ ἀεί.
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
κρέων γὰρ ἦν ζηλωτὸς, ὡς ἐμοί ποτε,
σώσας μὲν ἐχθρῶν τήνδε καδμείαν χθόνα,
λαβών τε χώρας παντελῆ μοναρχίαν,
εὔθυνε, θάλλων εὐγενεῖ τέκνων σπορᾷ·
καὶ νῦν ἀφεῖται πάντα· τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ᾽ ἐγὼ
ζῆν τοῦτον, ἀλλ᾽ ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ᾽ οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῆ τύραννον σχῆμ᾽ ἔχων· ἐὰν δ᾽ ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ᾽ ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.--
Χο. Τί δ᾽ αὖ τόδ᾽ ἄχθος βασιλέων ἥκεις φέρων;
Αγ. Τεθνᾶσιν· οἱ δὲ ζῶντες, αἴτιοι θανεῖν.
Χο. Καὶ τίς φονεύει; τίς δ᾽ ὁ κείμενος; λέγε.
Αγ. Αἵμων ὄλωλεν, αὐτόχειρ δ᾽ αἱμάσσεται.
Χο. Πότερα πατρῴας, ἢ πρὸς οἰκείας χερός;
Αγ. Αὐτὸς πρὸς αὐτοῦ, πατρὶ μηνίσας φόνου.
Χο. Ω μάντι τοὔπος ὡς ἄρ᾽ ὀρθὸν ἤνυσας.
Αγ. Ως ὧδ᾽ ἐχόντων, τἄλλα βουλεύειν πάρα.
Χο. Καὶ μὴν ὁρῶ τάλαιναν, Εὐρυδίκην ὁμοῦ
δάμαρτα τὴν κρέοντος· ἐκ δὲ δωμάτων
ἤτοι κλύουσα παιδὸς, ἢ τύχῃ πάρα.
Ευ. Ω πάντες ἀστοὶ, τοῦ λόγου γ᾽ ἐπῃσθόμην

Egrediens, ut Palladi
Supplicatum irem.
Et cum fores patefactæ januæ aperio,
Domestici mali vox perculit
Aures meas: ibi supina cecidi,
Metuens inter ancillas, & exanimata sum.
Sed rursus eundem sermonem dicito.
Audiam enim non imperita malorum.
Nu. Ego domina præsens dicam,
Et nihil veri omittam.
Quare enim demulcerem te, cum postea
Mendax deprehenderer: veritas. n, mutari non potest.
Ego tuum comitabar virum
In campum, ubi jacet
Miserum laceratum corpus Polynicis,
Et ab eo precantes ut Proserpina
Et Pluto benigni iram cohibeant,
Lavantes sacris undis in novis
Ramis, quod reliquum erat combussimus.
Et bustum altum in terra
Fodientes, iterum ad carcerem puellæ
Thalamum Plutonis accessimus,
Vocem procul lugubrem
Audit aliquis circa thalamum,
Et significat Creonti currens.
Huic offertur obscurus sonus
Accedenti magis. Plorans autem vocem
Emittit tristem: ô miser,
Num vates sum? num miserrimam
Eo viam?
Filii me pepulit vox. Sed famuli
Celeriter ite ad sepulchrum,
Videte struem tumuli
Subeuntes ad ostium, an Hæmonis
Vocem agnosco, aut à Diis decipior.
Hæc jussu Domini
Consideravimus: in extremo sepulchro
Puellam pendentem collo vidimus,
Laqueo ex fascia facto ligatam,
Et circa hanc jacentem Hæmonem
Lugentem interitum puellæ,
Et patris factum, & infælices nuptias.
Ille autem ut vidit enim, intro accedit
Ad eum, & vocat.

Miser

πρὸς ἔξοδον στείχουσα παλλάδος θεᾶς,
ὅπως ἱκοίμην εὐγμάτων προσήγορος.
καὶ τυγχάνω γε κλεῖθρ' ἀνασπαστοῦ πύλης
χαλῶσα, καί με φθόγγος οἰκείου κακοῦ
βάλλει δι' ὤτων· ὑπτία δὲ κλίνομαι
δείσασα πρὸς δμωαῖσι, κἀποπλήσσομαι.
ἀλλ' ὅστις ἦν ὁ μῦθος, αὖθις εἴπατε.
κακῶν γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι.

Αγ. Ἐγώ, φίλη δέσποινα, καὶ παρὼν, ἐρῶ,
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ' ἂν ὧν ἐς ὕστερον
ψεῦσται φανούμεθ'; ὀρθὸν ἡ ἀλήθει' ἀεί.
ἐγὼ δὲ σῷ ποδαγὸς ἑσπόμην πόσει
πεδίον ἐπ' ἄκρον, ἔνθ' ἔκειτο νηλεὲς
κυνοσπάρακτον σῶμα πολυνείκους ἔτι·
καὶ τὸν μὲν, αἰτήσαντες ἐνοδίαν θεὸν
πλούτωνά τ' ὀργὰς εὐμενεῖς κατασχέθειν,
λούσαντες ἁγνὸν λουτρὸν, ἐν νεοσπάσι
θαλλοῖς, ὃ δὴ λέλειπτο, συγκατήθομεν.
καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
χώσαντες, αὖθις πρὸς λιθόστρωτον κόρης
νυμφεῖον ᾅδου κοῖλον εἰσεβαίνομεν.
φωνῆς δ' ἄπωθεν ὀρθίων κωκυμάτων
κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα,
καὶ δεσπότῃ κρέοντι σημαίνει μολών.
τῷ δ' ἀθλίας ἄσημα περιβαίνει βοῆς
ἕρποντι μᾶλλον ἆσσον· οἰμώξας δ' ἔπος
ἵησι δυσθρήνητον· ὦ τάλας ἐγώ.
ἆρ' εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τὴν παρελθουσῶν ὁδῶν;
παιδός με σαίνει φθόγγος· ἀλλὰ πρόσπολοι
ἴτ' ἆσσον ὠκεῖς, καὶ παραστάντες τάφῳ,
ἀθρήσαθ' ἁρμὸν χώματος λιθοσπαδῆ,
δύντες πρὸς αὐτὸ στόμιον, εἰ τὸν αἵμονος
φθόγγον συνίημ', ἢ θεοῖσι κλέπτομαι.
τάδ' ἐξ ἀθύμου δεσπότου κελεύσμασιν
ἠθροῦμεν· ἐν δὲ λοισθίῳ τυμβεύματι
τὴν μὲν, κρεμαστὴν αὐχένος κατείδομεν,
βρόχῳ μιτώδει σινδόνος καθημμένην.
τὸν δ' ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον
εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν,
καὶ πατρὸς ἔργα, καὶ τὸ δύστηνον λέχος.
ὁ δ' ὡς ὁρᾷ σφε, στυγνὸν οἰμώξας, ἔσω
χωρεῖ πρὸς αὐτὸν, κἀνακωκύσας, καλεῖ·

Miſer quid agis. quare te perdis?
Quid animi habes? quæ te calamitas ad hoc perpulit
Egredere, ſupplex te rogo.
Hunc trucibus oculis intuens filius,
Reſpuens vultu, nec reſpondens,
Stringit gladium ancipitem & elapſo
Patre per fugam deerravit: Deinde miſer
Sibi iratus ſtatim incumbens
Infixit lateri enſem,
Et pendentem cubitum virginis amplexus,
Cum flatu celerem ejicit halitum,
Pallida gena, cruenti ſanguinis.
Jacet mortuus apud mortuam, Nuptiale
Sacrum nactus apud inferos.
Oſtendens inſipientiam
Maximum eſſe malum hominibus.

Cho. Quid hoc ſignificat, quod mulier
Abiit priuſquam quidquam dixit?

Nu. Et ego obſtupui, ſed ſpe nutrior,
Audita filii morte publice non vult
Lugere. ſed domi ancillis
Imperabit luctum:
Non eſt adeo ſtulta ut peccet.

Cho. Neſcio, ſed hoc nimium ſilentium
Grave videtur eſſe, & ſi clamor fruſtra eſt.

Nu. Sed ſciemus, ne quid prohibendum
Clam occultet irata,
Ingreſſi, recte enim dicis,
Nimium enim ſilentium grave eſt.

ANAPÆSTI.

Cho. Atqui Rex ipſe venit
Cadaver in manibus habens,
Si fas eſt dicere, non aliena
Culpa, ſed ipſius culpa perditum.

PERICOMMATA ſtrophe 3.

Nu. O ſtultæ mentis
Peccata magna,
Letalia, interfectores
Et mortuos videtis
Cognatos.
O infælicia conſilia.
O fili juvenis cum ſocia mortua

ὦ τλῆμον, οἷον ἔργον εἴργασαι; τίνα
νοῦν ἔσχες; ἐν τῷ ξυμφορᾶς διεφθάρης;
ἔξελθε τέκνον, ἱκέσιός σε λίσσομαι.
τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς
πτύσας προσώπῳ, κοὐδὲν ἀντειπὼν, ξίφους
ἕλκει διπλοῦς κνώδοντας· ἐκ δ' ὁρμωμένου
πατρὸς φυγαῖσιν, ἤμπλακ'· εἶθ' ὁ δύσμορος
αὑτῷ χολωθεὶς, ὥσπερ εἶχ', ἐπενταθεὶς,
ἤρεισε πλευραῖς μέσσον ἔγχος, ἐς δ' ὑγρὸν
ἀγκῶν' ἔτ' ἔμφρων παρθένῳ προσπτύσσεται.
καὶ φυσιῶν ὀξεῖαν ἐκβάλλει πνοὴν
λευκῇ παρειᾷ φοινίου σταλάγματος.
κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
τέλη λαχὼν δείλαιος εἰν ᾅδου δόμοις,
δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν,
ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακόν.--
Χο. Τί τοῦτ' ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν
φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.
Αγ. Καὐτὸς τεθάμβηκ'. ἐλπίσιν δὲ βόσκομαι,
ἄχη τέκνου κλύουσαν, ἐς πόλιν γόους
οὐκ ἀξιώσειν, ἀλλ' ὑπὸ στέγης ἔσω
δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν.
γνώμης γὰρ οὐκ ἄπειρος, ὥσθ' ἁμαρτάνειν.--
Χο. Οὐκ οἶδ'. ἐμοὶ δ' οὖν ἥ τ' ἄγαν σιγὴ, βαρὺ
δοκεῖ προσεῖναι, χἠ μάτην πολλὴ βοή.
Αγ. Ἀλλ' εἰσόμεσθα μή τι καὶ κατάσχετον
κρυφῇ καλύπτει καρδίᾳ θυμουμένῃ,
δόμους παραστείχοντες· εὖ γὰρ οὖν λέγεις,
καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Καὶ μὴν ὅδ' ἄναξ αὐτὸς ἐφήκει
μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων.
εἰ θέμις εἰπεῖν, οὐκ ἀλλοτρίαν
ἄτην, ἀλλ' αὐτὸς ἁμαρτών.--

ΑΝΤΙΣΤΡΟΦΙΚΑ στροφὴ α'.

Κρ. 1 Ἰὼ φρενῶν δυσφρόνων ἁμαρτήματα
2 στερεά, θανατόεντ'· ὦ κτανόντας τε καὶ
3 θανόντας βλέποντες ἐμφυλίους.
4 ὤμοι ἐμῶν ἄνολβα βουλευμάτων.
5 ἰὼ παῖ παῖ, νέος νέῳ ξὺν μόρῳ

Hei mortuus es periisti
Mea, non tua stultitia.

SYSTEMA. 1.

Cho. Hei mihi quam sero vides pœnam.

STROPHE 2.

Cre. Agnosco miser, nam meo capiti
Deus magnum hoc
Onus imponens
Perculit me & in malas vias impulit,
Hei vulgatam evertens lætitiam,
O labores infælices hominum,

SYSTEMA 2.

Fam. Habes mala quædam in conspectu,
Alia manibus gestas, & domi
Alia visurus es.
Cre. An potest esse aliud majus malum ?
Uxor mortua est mater hujus infælix
Novis plagis.

ANTISTROPHE 1.

Cho. O nefaria
Plutonis domus quid me perdis ?
Infausta nuncians quem edis sermonem ?
Hei mortuum interfecisti
Quid ais ? quid novi dicis ?
Cadaver propter exitium Hæmonis
Jacere muliebre.

ANTISYSTEMA 1.

Nu. Licet videre, non enim intus abdita est.

ANTISTROPHE 2.

Cre. Hei malum aliud miser video.
Quod fatum præterea mihi misero restat ?
Habeo hic natum in manibus

6 αἶ αἶ αἶ ἔθανες, ἀπελύθης
7 ἐμαῖς οὐδὲ σαῖσι δυσβουλίαις.

ΣΥΣΤΗΜΑ ά.

Χο. 1 Οἴμ', ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.

ΣΤΡΟΦΗ β'.

Κρ. 1 Οἴμοι,
2 ἔχω μαθὼν δείλαιος, ἐν δ' ἐμῷ κάρᾳ
3 θεὸς τότ' ἄρα τότε μέγα βάρος ἔχων
4 ἔπαισεν, ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς
5 οἴμοι λακπάτητον ἀντρέπων χαράν.
6 φεῦ φεῦ, ὦ πόνοι βροτῶν δύσπονοι.

ΣΥΣΤΗΜΑ β'.

Εξ. 1 Ω δέσποθ'. ὡς ἔχων τε καὶ κεκτημένος
2 τὰ μὲν πρὸ χειρῶν, τὰ δὲ φέρων, τὰ δ' ἐν δόμοις
3 ἔοικας ἥκειν· καὶ τάδ' ὄψεσθαι κακά.
Κρ. 4 Τί δ' ἐστὶν αὖ κάκιον ἢ κακῶν ἔτι;
Εξ. 5 Γυνὴ τέθνηκε, τοῦδε παμμήτωρ νεκροῦ,
6 δύστηνος ἄρτι νεοτόμοισι πλήγμασιν.

ΑΝΤΙΣΤΡΟΦΗ ά.

Κρ. 1 Ἰὼ ἰὼ δυσκάθαρτος ἅδου λιμήν,
2 τί μ' ἄρα τί μ' ὀλέκεις; ὦ κακάγγελτά μοι
3 προπέμψας ἄχη, τίν' αὐδᾷς λόγον;
Χο. 4 Αἶ αἶ, ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω.
Κρ. 5 Τί φῂς ὦ παῖ; λέγεις νέον μοι λόγον
6 αἶ, αἶ, αἶ σφάγιον ἐπ' ὀλέθρῳ
7 γυναικεῖον ἀμφικεῖσθαι μόρον;

ΑΝΤΙΣΥΣΤΗΜΑ ά.

Εξ. 1 Ορᾶν πάρεστιν· οὐ γὰρ ἐν μυχοῖς ἔτι.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Κρ. 1 Οἴμοι
2 κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας.
3 τίς ἄρα τίς με πότμος ἔτι περιμένει;
4 ἔγω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον

Miser, aliud cadaver istic est,
Hei mater misera, hei nate.

ANTISYSTEMA 2.

Cho Hæc cito periit, hæc circa aram periit.
Solvit obscuras palpebras post luctum.
Nu. Deplorans prioris conjugis inclytum thorum.
Post nati deplorans nuptias. Postremo tuas
Actiones execrans, tanquam parricidæ.

STROPHE 3.

Cre. Hei trepido metu.
Quare me non hostiliter
Ferit aliquis ancipiti gladio
Me miserum. Heu heu,
Ex miserabili calamitate conflatus sum.

SYSTEMA 3.

Nu. Tanquam qui causam illis, & his præbueris,
Nam à mortua hac cædis reus agebaris.
Cre. Quomodo vero seipsam interfecit?
Nu. Percutiens hepar sua manu,
Postquam mortem filii audivit.

STROPHE 2.

Cre. Hei mihi, hæc culpa
Non trasfertur in alium.
Ego te interfeci, ô me stultum, ô infælicem,
Ego inquam verum dico: ô vos famuli
Ducite me cito, ducite, removete
Non existentem amplius, imo nullum.

SYSTEMA 4.

Cho. Bene mones, si quid boni in malis est,
Nam præsentia mala maxima celerrime fugienda sunt

ANTISTROPHE 3.

Cre. Eat, eat,
Appareat mors mihi ultimum
Agens diem,
Postrema eat,
Ut non videam alium diem.

5 πάλαι, τὸν δ' ἔναντι προσβλέπω νεκρόν
6 φεῦ φεῦ μᾶτερ ἀθλία, φεῦ τέκνον.

ΑΝΤΣΥΣΤΗΜΑ β'.

Εξ. 1 Ἡ δ' ὀξύθηκτος ἥδε βωμία πέριξ
2 λύει κελαινὰ βλέφαρα, κωκύσασα μὲν
3 τοῦ πρὶν θανόντος Μεγαρέως κλεινὸν λέχος,
4 αὖθις δὲ τοῦδε, λοίσθιον δέ σοι κακὰς
5 πράξεις ἐφυμνήσασα τῷ παιδοκτόνῳ.

ΣΤΡΟΦΗ β'.

Κρ. 1 Αἶ αἶ αἶ αἶ,
2 ἀνέπταν φόβῳ τί μ' οὐκ ἀνταίαν
3 ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει;
4 ἄθλιος ἐγώ, φεῦ φεῦ,
5 δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ.

ΣΥΣΤΗΜΑ γ'.

Εξ. 1 Ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
1 πρὸς τῆς θανούσης τᾶσδ' ἐπεσκήπτου μόρων.
Κρ. 3 Ποίῳ δὲ κἀπελύσατ' ἐν φοναῖς τρόπῳ;
Εξ. 4 Παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὐτήν, ὅπως
5 παιδὸς τόδ' ᾔσθετ' ὀξυκώκυτον πάθος.

ΣΤΡΟΦΗ δ'.

Κρ. 1 Ὤ μοι μοι, τάδ' οὐκ ἐπ' ἄλλον βροτῶν
2 ἐμᾶς ἁρμόσει ποτ' ἐξ αἰτίας.
3 ἐγὼ γάρ σ' ἐγὼ ἔκανον μέλεος.
4 ἐγὼ φάμ' ἔτυμον· ἰὼ πρόσπολοι
5 ἄγετέ μ' ὅτι τάχος, ἄγετέ μ' ἐκποδὼν
6 τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.

ΣΥΣΤΗΜΑ δ'.

Χο. 1 Κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς.
2 βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.

ΑΝΤΙΣΤΡΟΦΗ γ.

Κρ. 1 Ἴτω ἴτω,
2 φανήτω μόρων ὁ κάλλιστ' ἐμῶν
3 ἐμοὶ τερμίαν ἄγων ἡμέραν
4 ὕπατος· ἴτω ἴτω,
5 ὅπως μηκέτ' ἆμαρ ἄλλ' εἰσίδω.

ANTISYSTEMA. 3.

Nu. Omitte futura, præsentia cura,
Illa erunt Diis curæ.
Cre. Sed hæc optavi quæ cupio.
Nu. Ne optes, nam fatale malum
Nemo potest effugere.

ANTISTROPHE 4.

Cre. Ducite procul inutilem virum,
Qui te, fili, non volens interfeci,
Et te conjugem. Hei miser,
Non video quo me vertam, aut ubi ponam.
Omnia enim turbata sunt,
Fatum intolerabile invasit.

ANAPAESTI.

Cho. Sapere ad beatudinem
Præcipuum est: oportet vero divina
Non afficere contumelia,
Superbi enim sermones
Gloriosorum dum puniuntur ingentibus malis,
Docent ad extremum sapere.

ARGUMENTUM FABULÆ quæ inscribitur OEdipus Coloneus.

OEdipi Colonei fabula quodammodo convenit cum fabula OEdipi tyranni. is enim jam senex patria pulsus, Athenas proficiscitur, manu ab Antigone filia deductus Erant enim filiæ in parentem amore naturali maribus propensiores Idque oraculo monitus, quod ipse testatur, ut apud Deas venerandas vel terribiles ex hac vita migraret. Tunc igitur veniunt, & cum eo colloquuntur. Quo quum advenisset Ismene, nunciat dissidia inter filios coorta esse, Creontis adventum instare Qui quum advenisset OEdipum abducturus, re infecta discessit. Expofito autem oraculo Duci Theseo, ita è vita migravit apud Deas.*

Hæc autem fabula magna est in admiratione. quam Sophocles jam senex edidit, gratificans non tantum patriæ, sed etiam populo suo. Erat enim oriundus Colono. Populum nobilem declaravit, maxime vero gratificatus est Atheniensibus. Quibus populum invictum fore, ipsosque devicturos hostes proponit OEdipus, prædicens fore, ut adversus Thebanos tandem in seditionem compellantur, ac victoriam de ipsis reportent, ut editum est in oraculis propter ipsius sepulchrum ibi extructum.

Aliud

ΑΝΤΙΣΥΣΤΗΜΑ γ'.

Εξ. Μέλλοντα ταῦτα· τῶν προκειμένων τί χρὴ
πράσσειν; μέλει γὰρ τῶνδ' ὅποισι χρὴ μέλειν.
Κρ. Ἀλλ' ὧν ἐρῶ μὲν, ταῦτα συγκατηυξάμην.
Αγ. Μὴ νῦν προσεύχου μηδέν· ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.

ΑΝΤΙΣΤΡΟΦΗ δ'.

Κρ. Ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκ ποδῶν.
ὅς ὦ παῖ σέ γ' οὐχ ἑκὼν κατέκτα,
ὅς σέ τ' αὐτὰν, ὦ μέλεος, οὐδ' ἔχω
ὅπα πρὸς πότερον ἴδω, πᾶ καὶ θῶ.
τὰ τ' ἐν χεροῖν γὰρ τὰ τ' ἐπὶ κρατί μοι
πότμος δυσκόμιστος εἰσήλατο.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ' εἰς θεοὺς
μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτίσαντες,
γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΕΠΙ ΚΟΛΩ

νῷ οἰδίποδος.

Ὁ ἐπὶ κολωνῷ οἰδίπους συνημμένος πως ἐστὶ τῷ τυράννῳ· τῆς γὰρ πατρίδος ἐκπεσὼν οἰδίπους ἤδη γηραιὸς ὤν, ἀφικνεῖται εἰς ἀθήνας, ὑπὸ τῆς θυγατρὸς ἀντιγόνης χειραγωγούμενος· ἦσαν γὰρ τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοστοργότεραι· ἀφικνεῖται δὲ εἰς ἀθήνας κατὰ τὸ πυθόχρηστον, ὡς αὐτός φησι χρησθὲν αὐτῷ παρὰ ταῖς σεμναῖς καλουμέναις θεαῖς μεταλλάξαι τὸν βίον. πρῶτον μὲν οὖν ἔρχονται, καὶ διαλέγονται πρὸς αὐτόν· ἔπειτα δὲ ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν στάσιν ἀπαγγέλλει τῶν παίδων, καὶ τὴν γενομένην ἄφιξιν τοῦ κρέοντος πρὸς αὐτόν· ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀπαγαγεῖν αὐτὸν εἰς τοὐπίσω, ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ, πρὸς τὸν θησέα διελθὼν τὸν χρησμὸν οὕτω τὸν βίον καταστρέφει παρὰ ταῖς θεαῖς.

Τὸ δὲ δρᾶμα, τῶν θαυμαστῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ· ἦν γὰρ κολωνόθεν· ὥστε τὸν μὲν δῆμον, ἐπίσημον ἐπιδεῖξαν, χαρίσασθαι δὲ, καὶ τὰ μέγιστα τοῖς ἀθηναίοις δι' ὧν ἀπορθήτους ἔσεσθαι καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν ὑποτίθεται ὁ οἰδίπους, προαναφωνῶν ὅτι διαστασιάσουσι πρὸς θηβαίους ποτὲ, καὶ τούτων κρατήσουσιν ἐκ χρησμῶν διὰ τὸν αὐτοῦ τάφον.

ΑΛΛΩΣ

Aliud Argumentum.

OMnia quæ acciderunt OEdipo Coloneo magnam habent affinitatem cum iis quæ in altera OEdipi tyranni fabula continentur. Excæcatus enim venit in Atticam, ab Antigone altera ex filiabus per viam deductus. Estque in delubro terribilium Dearum, quod est in loco qui vocatur Equestris Colonus. Eamque habet denominationem, quoniam Neptuni Equestris ibi est sacellum, & Promethei, quique ejus mulorum curam gerunt, ibi considunt. Accepit enim oraculum OEdipum ibi sepeliendum esse. Ubi non est alteri profano locus, ibi consistit. Habes particulatim quæ ad argumentum pertinent. Videt enim eum quilibet eorum qui illic consident, ac nunciaturus abit, quemlibet ad eum locum circumstare. Ac veniunt qui in loco sunt Chori personam agentes ut omnia discant. Primus est qui jam itinere confecto cum filia colloquitur. Hujus fabulæ dispositio in genere non potest enarrari, ut neque aliarum quarumlibet.

Actio fabulæ constituitur in Attica in Equestri, ad templum venerandarum Dearum. Chorus vero constat ex viris Atheniensibus.

PERSONÆ HUJUS FABULÆ.

OEDIPUS.
ANTIGONE.
HOSPES *errans.*
CHORUS *senum Atheniensium.*
ISMENE.
THESEUS.
CREON.
POLYNICES.
NUNCIUS.

OEdipus præfatur.

ΑΛΛΩΣ.

ΤΑ προαχθέντα περὶ τὸν οἰδίπουν ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ οἰδίποδι· πεπήρωται γὰρ, καὶ ἀφῖκται εἰς τὴν ἀττικὴν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων ἀντιγόνης· καί ἐστιν ἐν τῷ τεμένει τῶν σεμνῶν ἐριννύων. ὅ ἐστιν ἐν τῷ καλουμένῳ ἱππείῳ κολωνῷ, οὕτω κληθέντι, ἐπεὶ καὶ ποσειδῶνός ἐστιν ἱερὸν ἱππείου καὶ προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵσανται· ἔστι γὰρ αὐτῷ πυθόχρηστον, ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν οὗ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος· αὐτόθι κάθηται, καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προσέρχεται· ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν, καὶ προδίεται ἀγγέλλων ὅτι τις παρὰ τῷ χωρίῳ τούτῳ προσκάθηται καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν χοροῦ σχήματι μαθησόμενοι τὰ πάντα· πρῶτος οὖν ἐστι καταλύων τὴν ὁδοιπορίαν, καὶ τῇ θυγατρὶ διαλεγόμενος· ἄφατος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν δράματι, ὡς οὐδενὶ ἄλλῳ σχεδόν.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀττικῇ ἐν τῷ ἱππείῳ, πρὸς τῷ ναῷ τῶν σεμνῶν θεῶν· ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἀθηναίων ἀνδρῶν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.

ΑΝΤΙΓΟΝΗ.

ΞΕΝΟΣ ἀλήτης,

ΧΟΡΟΣ γερόντων ἀττικῶν,

ΙΣΜΗΝΗ.

ΘΗΣΕΥΣ.

ΚΡΕΩΝ.

ΠΟΛΥΝΕΙΚΗΣ.

ΑΓΓΕΛΟΣ.

Προλογίζει δὲ ὁ οἰδίπους.

ΣΟΦΟ-

SOPHOCLIS OEDIPUS COLONEUS.

IAMBI.
OEd.  Caeci senis filia Antigone,
Ad quænam loca, aut quam urbem tandem pervenimus?
Quis exulem OEdipum hodie
Exiguis excipiet donis?
Modicum petentem, & adhuc modico (hi sufficit?
Magis modicum accipientem, atq; id quidem tamen mi-
Nam ut boni consulam ærumnæ me, & longa ætas
Docuerunt, & præterea generosa animi patientia.
Sed ô filia, si quem locum vides
Vel profanum, vel consecratum Deo,
In eo me siste, & colloca, ut audiamus
Ubi tandem loci simus: nam hospites
A civibus discere convenit, quid agendum sit.
Ant. O miserande pater, Turres hic
Urbem cingunt, quantum procul videre licet.
Et locus sacer est. ut conjicio: nam
Lauro olea, & vitibus crebris consitus est.
Et lusciniæ in locis interioribus frequentes canunt.
Hic conside in isto impolito saxo.
Longam enim, ut vir senio confectus, jam confecisti
OEd. Colloca nunc me & custodi cæcum. (viam
Ant. Ea temporum fortuna est, ut non opus sit me id moneri
OEd. Potes ne mihi dicere, quo loco tandem constiterimus?
Ant. Athenas quidem novi, sed hunc locum non novi.
Nam hanc esse Atticam omnes viatores dixere nobis:
Sed quis hic locus sit, vis ne ut eam & exquiram?
OEd. Ita filia, si quidem locus est habitabilis.
Ant. Est habitatus, sed arbitror non opus esse:
Video enim virum quendam prope ad nos accedere,
OEd. Hucne accedentem & properantem?
Ant. Et quidem jam præsto adest, proinde si quid voles
Opportunum est quærere, nam vir jam adest.
OEd. O hospes, cognovi ex hac, quæ pro me
Et pro se videt, te in tempore
Advenire speculatorem. Dic ergo nobis quæso ea quæ
Hos. Priusquam plura quæras, ex isto loco (interrogabimus

ΣΟΦΟΚΛΕΟΥΣ

ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

ΙΑΜΒΟΙ.



Οι. Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ', ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασι;
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί.
στέργειν γὰρ αἱ πάθαι με χὡ χρόνος ξυνὼν
μακρὸς διδάσκει, καὶ τὸ γενναῖον, τρίτον.
ἀλλ' ὦ τέκνον, θάκοισιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις, ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθοίμεθα
ὅπου ποτ' ἐσμέν· μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν χἃ ἂν ἀκούσωμεν τελεῖν.
Αν. Πάτερ ταλαίπωρ' Οἰδίπου, πύργοι μὲν, οἳ
πόλιν στέφουσιν, ὡς ἀπ' ὀμμάτων πρόσω.
χῶρος δ' ὅδ' ἱερὸς, ὡς ἀπεικάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπτεροι
δ' εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες.
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου·
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.
Οι. Κάθιζέ νύν με, καὶ φύλασσε τὸν τυφλόν.
Αν. Χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
Οι. Ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν;
Αν. Τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον, οὔ.
Οι. Πᾶς γάρ τις ηὔδα τοῦτον ἡμῖν ἐμπόρων.
Αν. Ἀλλ' ὅστις ὁ τόπος, ἦ μάθω μολοῦσά ποι;
Οι. Ναὶ τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.
Αν. Ἀλλ' ἔστι μὴν οἰκητός· οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῶιν ὁρῶ.
Οι. Ἦ δεῦρο προσστείχοντα κἀξορμώμενον;
Αν. Καὶ δὴ μὲν οὖν παρόντα. χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ', ὡς ἀνὴρ ὅδε.
Οι. Ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὑτῆς θ' ὁρώσης, οὕνεχ' ἡμῖν αἴσιος
σκοπὸς προσήκεις τῶν ἀδηλοῦμεν φράσαι.
Ξε. Πρὶν νῦν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας

Excede, nam tenes locum, quem nefas est attingere.
OEd. Qualis ergo locus est? aut cui Deorum sacer?
Hos. Est locus quem neque attingere, nec habitare fas est.
Nam terribiles Deæ eum tenent, terræ & noctis filiæ.
OEd. Quæ nam sunt? nã venerandarũ nomen optarim audire.
Hos. Populus qui hîc habitat vocat eas
Eumenidas, omnia videntes: sed alia alibi pulchra sunt.
OEd. Utinam propitiæ hunc supplicem accipiant:
Nam ex hoc loco non excessero amplius.
Hos. Quid hoc rei est?
OEd. Indicium meæ calamitatis.
Hos. Sed non ausim diutius abesse ab urbe
Quin indicem, quid sit agendum.
OEd. Per Deum obtestor, ne me contemnas
Talem exulem, quin ea quæ mandabo, nũncies.
Hos. Dic, non enim à me contemptus eris,
OEd. Quis igitur hic locus est, in quo constitimus?
Hos. Quæ quidem ego scio, ex me audies omnia.
Nam hic locus totus sacer est: tenet verò eum
Reverendus Neptunus, & ignifer Deus
Prometheus, Quemque calcas locum,
Is vocatur in hac terra ferri via, (tis habitãt agricolæ,
Estq; urbis Atheãrũ propugnac. & qui in vicinis cõpi-
Hunc equestrem Colonum precantur sibi
Præsidem esse, atque inde nomen
Commune habent, ac Coloniatæ vocantur.
Hæc ita sunt ut dico hospes, non sermonibus
Celebrata magis, quàm ipsa experientia.
OEd. An aliqui homines in hisce locis habitant?
Hos. Certè, & quidem à Deo denominati. (perium est?
OEd. Regnũ ne quispiam hîc tenet, an penes multitudinẽ im-
Hos. Hæc loca à Rege, qui urbi præest, gubernantur.
OEd. Is verò quisnã est, qui viribus & sapientia dominatur?
Hos. Theseus vocatur prioris regis filius.
OEd. An non igitur aliquis ex vobis nuncius ad eum ibit?
Hos. Quid ille dicet? an ut veniat hortabitur ipsum
OEd. Ut suppeditans parum, lucretur multum.
Hos. Quid opis à viro cæco afferri potest?
OEd. Quæ illi dicturi sumus, ea non erunt cæca, sed videntia.
Hos. Sic accipe, ne erres, si quidem es,
Ut videris, generosus, præter fortunam,
Istic mane ubi apparuisti, donec ego
Popularibus, qui hîc & non in urbe degunt,
Hæc nunciem: illi enim judicabunt,

ἐξέλθ'· ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.
Οι. Τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;
Ξε. Ἄθικτος, οὐδ' οἰκητός· αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι, γῆς τε καὶ σκότου κόραι.
Οι. Τίνων; τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων.
Ξε. Τὰς πάνθ' ὁρώσας εὐμενίδας ὅ γ' ἐνθάδ' ὢν
εἴποι λεώς νιν· ἄλλα δ' ἀλλαχοῦ καλά.
Οι. Ἀλλ' ἵλεῳ μὲν τὸν δ' ἱκέτην δεξαίατο.
ὡς οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.
Ξε. Τί δ' ἐστὶ τοῦτο;
Οι. Ξυμφορᾶς ξύνθημ' ἐμῆς.
Ξε. Ἀλλ' οὐδὲ μέντοι τοὐξανιστάναι πόλεως
δίχ' ἐστὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.
Οι. Πρός νυν θεῶν ὦ ξεῖνε μή μ' ἀτιμάσῃς
τοιόνδ' ἀλήτην ὧν σε προστρέπω φράσαι.
Ξε. Σήμαινε· κοὐκ ἄτιμος ἐξ ἐμοῦ φανῇ.
Οι. Τίς δ' ἔσθ' ὁ χῶρος δῆτ', ἐν ᾧ βεβήκαμεν;
Ξε. Ὅσ' οἶδα κἀγώ, πάντ' ἐπιστήσῃ κλύων.
χῶρος μὲν ἱερὸς πᾶς ὅδ' ἔστ', ἔχει δέ νιν
σεμνὸς ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
τιτὰν προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ' ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι,
τόνδ' ἱππότην κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστὶν ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
Οι. Ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
Ξε. Καὶ κάρτα τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
Οι. Ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;
Ξε. Ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
Οι. Οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
Ξε. Θησεὺς καλεῖται, τοῦ πρὶν αἰγέως τόκος.
Οι. Ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
Ξε. Ὡς πρὸς τί λέξων, ἢ καταρτύσων μόλοι;
Οι. Ὡς ἂν προσαρκῶν σμικρὰ, κερδάνῃ μέγα.
Ξε. Καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
Οι. Ὅσ' ἂν λέγωμεν, πάνθ' ὁρῶντα λέξομεν.
Ξε. Οἶσθ' ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος,
αὐτοῦ μέν', οὗπερ κἀφάνης, ἕως ἐγὼ
τοῖσδ' ἐνθάδ' αὐτοῦ μὴ κατ' ἄστυ δημόταις
λέξω τάδ' ἐλθών· οἵδε γὰρ κρινοῦσί σοι

Utrum oporteat te manere, an hinc rursum discedere.
OEd. O filia, an ne abiit jam hospes?
Ant. Abiit, licet igitur tibi, pater, jam tutò
Loqui: nam ego sola adsum.
OEd. O venerandæ Deæ, terribili aspectu, postquam ego
In vestra hîc sede primum consedi,
Ne Apollini, & mihi parum sitis propitiæ,
Qui cùm mihi multa prænunciaret mala,
Hanc prædixit pòst longũ tempus requiem malorũ fore.
Ubi pervenissem in extremam regionem, ac dearum
Venerandarum sedem attigissem, & hoc hospitium,
Ibi me finiturum esse ærumnosam vitam,
Cum lucro quidem eorum qui me reciperent,
Cum damno verò eorum qui me ejecissent.
Et confirmat signa mihi horum eventura esse,
Vel terræ motum, vel tonitru, vel Jovis fulgur.
Nunc verò cognosco, quòd me hac via
Haud dubiè prosperum augurium à vobis
Adduxit in hunc locum: non enim temere factum est,
Quòd dum iter facio, primùm in vos incidi,
Et sobrius ad vos sobrias perveni, atq; in hac venerãda
Et impolita sede consedi. Quare mihi ô deæ,
Juxta oraculi vocem date hîc vitæ
Exitum, & catastrophen tandem.
Nisi adhuc non satis malorum habere videor,
Qui sustinui ea, quæ quidem sunt gravissima ex humanis (malis.
Adeste ô dulces filiæ antiquæ caliginis,
Adsis, ô quæ à magna Pallade nomen habes,
Athenarum nobilissima civitas.
Misereat vos hujus miserrimæ umbræ
OEdipi: non enim hoc meum pristinum corpus est.
Ant. Tace, jam veniunt quidam senes
Inspectores tuæ sedis
OEd. Tacebo, & tu me ex via hac ducas,
Atque in luco occultes, donec cognoscam
Horum sermones: nam in explorando
Inest cautio eorum quæ agenda sunt.

ANTISTROPHICA. Strophe.

Cho. Vide, quis nam erat, ubi moratur, ubi existit,
Extorris, ejectus, ille omnium
Hominum avidissimus?
Circumspice, aspice.

Allo-

εἰ χρή σε μίμνειν ἢ πορεύεσθαι πάλιν.
Οι. Ὦ τέκνον, ἦ βέβηκεν ἡμῖν ὁ ξένος,
Αν. Βέβηκεν· ὥστε πᾶν ἐν ἡσύχῳ πάτερ
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
Οι. Ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγὼ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
ὅς μοι τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακὰ,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον.
κέρδη μὲν οἰκήσοντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν.
σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα,
ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.
ἔγνωκα μὲν νυν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ' ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ' εἰς τόδ' ἄλσος· οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ' ἀσκέπαρνον· ἀλλά μοι θεαὶ
βίου, κατ' ὀμφὰς τὰς Ἀπόλλωνος, δότε
πέρασιν ἤδη καὶ καταστροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.
ἴτ' ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ' ὦ μεγίστης Παλλάδος καλούμεναι
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτείρατ' ἀνδρὸς Οἰδίπου τόδ' ἄθλιον
εἴδωλον· οὐ γὰρ δὴ τόδ' ἀρχαῖον δέμας.
Αν. Σίγα· πορεύονται γὰρ οἵδε δή τινες
χρόνῳ παλαιοὶ, σῆς ἕδρας ἐπίσκοποι.
Οι. Σιγήσομαί τε, καὶ σύ μ' ἐξ ὁδοῦ πόδα
κρύψον κατ' ἄλσος, τῶνδ' ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν· ἐν γὰρ τῷ μαθεῖν
ἔνεστιν ἡ 'ὐλάβεια τῶν ποιουμένων.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφή.

Χο. 1 Ὅρα· τίς ἄρ' ἦν; ποῦ ναίει; ποῦ κυρεῖ,
2 ἐκτόπιος συθεὶς ὁ πάντων
3 ὁ πάντων ἀκορέστατος;
4 λεύσσετ' αὐτὸν, προσδέρκου,

Alloquere, ubi ubi est,
Oberrans exul,
Vagus senex,
Neque incola. Nunquam enim
Accessisset ad inaccessum lucum
Dearum inexpugnabilium,
Quas exhorrescimus nominare,
Et præterimus,
Non aspicientes,
Non alloquentes, non cogitantes de eis,
Voce tantùm boni ominis
Emissa. Nunc verò aliquem venisse
Ferunt, nihil ista reverentem,
Quem ego circumspectans per omne
Nemus nondum possum
Videre, ubinam moratur.

ANAPÆSTI.

OEd. Hîc ego sum, voce enim video
Hoc quod à vobis dicitur.
Cho. Heu, heu,
Difficilis aspectu, difficilis & auditu.
OEd. Ne me consceleratum quæso aspicite:
Cho. Jupiter propulsator. Quisnam hic est senex?
OEd. Non valde suspiciendus
Ob veterem fortunam, ô terræ hujus præsides.
Et hoc re ipsa ostendo: non enim sic alienis
Oculis arrepsissem,
Nec à parva puella tam grandis ducerer.

ANTISTROPHE.

Cho. Heu, heu, ob hanc cæcitatem sanè
Infœliciter natus es,
Et senex, quantum conjicio.
Sed non utique mihi
Imputabis has imprecationes.
Transis enim, transis,
Sed ne ad hoc infandum
Accesseris nemus
Herbidum, ubi undosus
Crater dulcis aquæ
Confluit:

5 προσφθέγγου πανταχῆ πλανάτας,
6 πλανάτας τις ὁ πρέσβυς, οὐ-
7 δ' ἔγχωρος· προσέβα γὰρ οὐ-
8 κ ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς
9 τᾶν δ' ἀμαιμακετᾶν κορᾶν,
10 ἃς τρέμομεν λέγειν,
11 καὶ παραμειβόμεσθ' ἀδέρκτως,
12 ἀφώνως, ἀλόγως, τὸ τᾶς
13 εὐφήμου στόμα φροντίδος
14 ἱέντες· τὰ δὲ νῦν τιν' ἥκειν
15 λόγος, οὐδὲν ἅζον-
16 θ', ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
17 δύναμαι τέμενος
18 γνῶναι ποῦ μοι ποτὲ ναίει.--

ΑΝΑΠΑΙΣΤΟΙ.

Ὅδ' ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ
Οἰ. τὸ φατιζόμενον·
Χο. Ἰὼ ἰώ.
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.
Οἰ. Μή μ' ἱκετεύω προσίδητ' ἄνομον.
Χο. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;
Οἰ. Οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
δῆλον δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις
ὄμμασιν εἷρπον,
κἀπὶ σμικροῖς μέγας ὥρμουν.--

ΑΝΤΙΣΤΡΟΦΗ.

Χο. 1 Ἒ ἔ, ἀλαῶν ὀμμάτων ἆρα καὶ
2 ἦσθα φυτάλμιος, δυσαίων
3 μακραίων τ' ἔθ', ὡς ἐπεικάσαι.
4 ἀλλά γ' οὐ μὰν ἔν γ' ἡμῖν
5 προσθήσεις τάσδ' ἀράς· περᾷς γάρ
6 περᾷς· ἀλλ' ἵνα τῷδ' ἐν ἀ-
7 φθέγκτῳ μὴ προσπέσῃς νάπει
8 ποιάεντι, κάθυδρος οὗ
9 κρατὴρ μειλιχίων ποτῶν
10 ῥεύματι συντρέχει,

Hanc, hoſpes infœlix,
Diligenter vita transfer te, abi,
Longa via arcet.
Audis ne, ô ærumnoſe exul?
Animum ſi advertis
Ad meum ſermonem, ex inacceſſis locis abi:
Et ex eo loco, unde fas eſt
Loquere, prius verò te contine.

ANAPAESTI.

OEd. Quid animi jam nobis erit filia?
Ant. O pater, civium moribus eſt obtemperandum,
Et cedere illis oportet, etiam ſi non ſis admonitus.
OEd. Apprehende igitur me.
Ant. Apprehendo quidem.
OEd. O Hoſpites, ne quæſo injuria afficiar,
Cùm vobis obtemperans ex hoc loco tranſeam.
Cho. Minimè: nam te ex iſto loco
O ſenex invitum abducet nemo.

MONOSTROPHICA.

OEd. Ulterius igitur adhuc progredior?
Ant. Procede longius.
OEd. Adhucne?
Cho. Promove, puella,
Ulterius tu enim audis.
Ant. Sequere huc,
Infirmo pede, pater, quò te duco, ſuſtine,
O miſerande pater, quod civitas odioſum ducit,
Idem & tu odiſſe, atque colere, quod ipſa colit,
OEd. Duc me filia, ut in loco pio
Conſtituti dicamus viciſſim
Et audiamus, & ne cum neceſſitate bellum geramus.
Cho. Iſtic conſiſte, neque extra ſaxi, quod ex adverſo eſt,
Viam pedem amplius promoveas.
Ant. Siccine?
Cho. Satis eſt inquam,
OEd. Ubi igitur ſedebo?
Cho. Obliquè in ſummo
Lapide, modicè te inclinans.

11 ὦ ξένε πάμμορ' εὖ φύλαξαι.
12 μετάσταθ', ἀπόβαθι· πολ-
13 λὰ κέλευθος ἐρητύει.
14 κλύεις ὦ πολύμοχθ' ἀλᾶτα;
15 λόγον εἴ τιν' ἔχεις
16 πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβὰς,
17 ἵνα πᾶσι νόμος,
18 φώνει· πρόσθεν δ' ἀπερύκου. --

ΑΝΑΠΑΙΣΤΟΙ.

Οἰ. Θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
Ἀν. Ω πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
εἴκοντας ἃ δεῖ, κοὐκ ἄκοντας
πρόσθιγέ νυν μου.
Οἰ. Ψαύω καὶ δή.
ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
σοὶ πιστεύσας, καὶ μεταναστάς.
Χο. Οὔτοι μή ποτέ σ' ἐκ τῶνδ' ἑδράνων
ὦ γέρον ἄκοντά τις ἄξει.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Οἰ. Ἔτ' οὖν ἔτι προβῶ;
Χο. Ἐπίβαινε πρόσω.
Χο. Ἔτι;
Οἰ. Προσβίβαζε κούρα
πρόσω· σὺ γὰρ ἀΐεις.
Ἀν. Ἕσπεο μάν, ἕσπε' ὧδ' ἀμαυρῷ
κώλῳ πάτερ ᾇ σ' ἄγω· τόλμα ξεῖνος
ἐπὶ ξείνης, ὦ τλᾶμον, ὅ, τι
καὶ πόλις τέτροφεν ἄφιλον
ἀποστυγεῖν καὶ τὸ φίλον σέβεσθαι.
Οἰ. Ἄγε νυν σύ με παῖ, ἵν' ἂν εὐσεβίας
ἐπιβαίνοντες, τὸ μὲν εἴπωμεν,
τὸ δ' ἀκούσωμεν,
καὶ μὴ χρείᾳ πολεμῶμεν.
Χο. Αὐτοῦ μηκέτι τοῦδ' αὐτοπέτρου
βήματος ἔξω πόδα κλίνῃς.
Ἀν. Οὕτως;
Χο. Ἅλις, ὡς ἀκούεις.
Οἰ. Ἧσθω.
Χο. Λέχριός γ' ἐπ' ἄκρου
λᾶος βραχὺς ὀκλάσας.

Ant. Pater, hoc meum officium eſt, ita placidè,
Hei mihi,
Gradum gradui aptare,
Dum tuum ſenile corpus
Hac chara manu inclino.
OEd. Heu infœlicem calamitatem.
Cho. O miſer, quando nunc acquieſcis,
Dic, quis te genuit hominum?
Quis es, qui ita miſer ductaris?
Quæ nam tibi patria eſt?
OEd. O hoſpites extorris ſum, ſed ne.
Cho. Quare hoc abnuis ſenex?
OEd. Ne me interroges quis ſim,
Neque ulterius procedas inquirendo.
Cho. Quid hoc rei eſt?
OEd. Calamitoſum genus.
Cho. Narra quæſo.
OEd. Hei mihi, filia quid dicam?
Cho. Ex quo ſemine natus es?
Dic hoſpes de patre.
OEd. Heu filia, quid mihi accidet?
Ant. Dic, jam enim extrema ſuſtines.
OEd. Atqui dicam, non enim celare poſſum.
Cho. Diu differtis, ſed properate.
OEd. Laii ne prolem noviſtis?
Cho. Hei mihi.
OEd. De genere Labdacidarum?
Cho. O Jupiter.
OEd. Infœlicem OEdipum?
Cho. Túne ille es?
OEd. Ne quid metuas, quod tecum loquor.
Cho. Hei, hei.
OEd. Infœlix ego.
Cho. Ah, ah.
OEd. O filia quid nobis accidet?
Cho. Excedite, abite, ex hac regione.
OEd. Cæterùm, quæ promiſiſtis, ubi ea manebunt?
Cho. Non meretur pœnam divinam,
Qui injuria affectus ulciſcitur.
Et fraus pro fraude
Retributa, autori
Laborem non gratiam refert.
Tu verò ex his locis

Αν. Πάτερ, ἐμὸν τόδ', ἐν ἡσυχίᾳ
(ἰώ μοι μοι)
βάσει βάσιν ἁρμόσαι.
γεραιὸν ἐς χέρα σῶμα σὸν
πρόσκλινον φιλίαν ἐμάν.
Οι. Ω μοι δύσφρονος ἄτας.
Χο. Ω τλάμων, ὅτε νῦν χαλᾷς,
αὔδασον τίς σ' ἔφυσε βροτῶν,
τίς ὢν πολύπονος ἄγῃ, τίνα σοῦ
πατρίδ' ἐκπυθοίμαν.
Οι. Ω ξένοι, ἀπόπολις· ἀλλὰ μή.
Χο. Τί τόδ' ἀπεννέπεις γέρον;
Οι. Μή, μή μή μ' ἀνέρῃ τίς γ' εἰμί,
μηδ' ἐξετάσῃς πέρα ματεύων.
Χο. Τί τόδε;
Οι. Δεινὰ φύσις.
Χο. Αὔδα.
Οι. Τέκνον, ὤ μοι, τί γεγωνῶ;
Χο. Τίνος εἶ σπέρματος,
ξένε φώνει, πατρόθεν.
Οι. Ω μοι ἐγὼ τί πάθω, τέκνον ἐμόν;
Αν. Λέγ', ἐπείπερ ἐπ' ἔσχατα μένεις.
Οι. Αλλ' ἐρῶ· οὐ γὰρ ἔχω κατακρυφάν.
Χο. Μακρὰ μέλλετέ γ', ἀλλὰ ταχύνετε.
Οι. Λαΐου ἴστε τιν' ἀπόγονον;
Χο. Ω ὤ ἰοὺ ἰού.
Οι. Τό, τε λαβδακιδᾶν γένος;
Χο. Ω ζεῦ.
Οι. Αθλιον οἰδιπόδαν;
Χο. Σὺ γὰρ ὅδ' εἶ;
Οι. Δέος ἴσχετε μηδὲν, ὅσ' αὐδῶ.
Χο. Ιώ ὤ, ὤ.
Οι. Δύσμορος. Χο. Ω ὤ.
Οι. Θύγατερ, τί ποτ' αὐτίκα κύρσει;
Χο. Εξω πόρσω βαίνετε χώρας.
Οι. Αδ' ὑπέσχεο, ποῖ καταθήσεις;
Χο. Οὐδενὶ μοιριδία τίσις ἔρχεται,
ὧν προπάθῃ, τὸ τίνειν.
ἀπάτα δ' ἀπάταις
ἑτέραις ἑτέρα παραβαλλομένα,
πόνον οὐ χάριν ἀντιδίδωσιν ἔχειν.
σὺ δὲ τῶνδ' ἑδράνων

Digressus abi rursum,
Meam terram relinquens,
Ne quam necessitatem amplius
Urbi meæ afferas.

Ant. O hospites venerantes honestatem, quoniam
Senio confecti patris mei
Non sustinetis de factis
Non voluntariis audire vocem,
Saltem mei infœlicis, obsecro,
Vos misereat, quæ pro solo
Patre deprecor, non cæcis
Vos intuens oculis,
Sed quasi aliqua ex sanguine
Vestro prognata precor ut hunc miserum
Revereamini: nam in vobis tanquam in Deo
Spes nobis posita est. Sed agite, ne denegate
Insperatum beneficium,
Obsecro te, per si quid charum tibi est.
Sive filius, sive oratio, sive res, sive Deus.
Non enim quisquam est hominum
Qui, Deo impellente,
Effugere queat.

IAMBI.

Cho. Miseret quidem nos, ô filia OEdipi,
Et tui, & hujus, propter calamitatem,
Sed religione moti, non possumus
Aliud tibi respondere, quàm quod diximus.

OEd. Quid gloria aut famæ celebritas,
Si vana est, juvat.
Quídve prodest, quòd Athenarũ urbẽ dicũt pietissimam
Esse, quæque sola afflictos hospites
Servare soleat, & illis opitulari,
Nam hoc mihi accidit, postquam ex illo loco
Submovistis, nunc me pellitis,
Nomen solum, non corpus hoc
Aut facta mea metuentes: nam quod ad facta attinet,
Passus sum verius quàm feci quidquam.
Si enim de matre ac patre dicendum est,
Propter quos me abominaris, quod satis scio,
Non quidem malus natura sum,
Qui oppressus violenter, me defendi, ut si sciens
Facinus perpetrassem, venia tamen dignus essem.

πάλιν ἔκτοπος, αὖτις ἀφορμος ἐμᾶς
χθονὸς ἔκθορε, μήτι πέρα χρέος
ἐμᾷ πόλει προσάψῃς.--

Αν. Ὦ ξένοι αἰδόφρονες, ἀλλ' ἐπεὶ
γεραὸν ἀλαὸν πατέρα τόνδ' ἐμὸν
οὐκ ἀνέτλατ' ἔργων
ἀκόντων ἀΐοντες αὐδὰν,
ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομαι
ὦ ξένοι, οἰκτείραθ', ἃ πατρὸς ὑπὲρ
τοῦ μοῦ ἄντομαι, ἄντομαι οὐ κα-
λοῖς προσορωμένα ὄμμα σὸν ὄμμασιν,
ὥς τις ἀφ' αἵματος
ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
αἰδοῦς κῦρσαι· ἐν ὑμῖν γὰρ ὡς θεῷ
κείμεθα τλάμονες· ἀλλ' ἴτε, νεύσατε
τὰν ἀδόκητον χάριν,
πρός σ' ὅ,τι σοὶ φίλον ἐκ σέθεν ἄντομαι,
ἢ τέκνον, ἢ λόγος, ἢ χρέος, ἢ θεός.
οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν ὅστις ἂν, εἰ
θεὸς ἄγοι γ', ἐκφυγεῖν δύναιτο.

ΙΑΜΒΟΙ.

Χο. Ἀλλ' ἴσθι τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
οἰκτείρομεν καὶ τόνδε συμφορᾶς χάριν·
τὰ δ' ἐκ θεῶν τρέμοντες, οὐ σθένοιμεν ἂν
φωνεῖν πέρα τῶν πρὸς σε νῦν εἰρημένων.--

Οι. Τί δῆτα δόξης ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίνεται)
εἰ τὰς Ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σώζειν οἵας τε, καὶ μόνας ἀρκεῖν ἔχειν,
κἀμοί γε ποῦ ταῦτ' ἐστίν; οἵτινες βάθρων
ἐκ τῶνδέ μ' ἐξάραντες, εἶτ' ἐλαύνετε,
ὄνομα μόνον δείσαντες; οὐ γὰρ δὴ τό γε
σῶμ', οὐδὲ τἄργα τἄμ'· ἐπεὶ τά γ' ἔργα μου
πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα,
εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρεῖ ἢ λέγειν,
ὧν οὕνεκ' ἐκφοβῇ με· τοῦτ' ἐγὼ καλῶς
ἔξοιδα· καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
ὅστις παθὼν μὲν, ἀντέδρων, ὥστ' εἰ φρονῶν
ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός·

Nunc verò inscius in ista mala incidi,
Et qui me ejecerunt, scientes fecerunt.
Qua propter per Deos vos obtestor, hospites,
Quãdo ex illo loco vobis obtẽperans cessi, ut me servetis,
Et ne dum Deos colere vos dicitis, Deos
Negligatis, sed existimetis
Ipsos respicere pios homines,
Et impios quoque videre, neq; adhuc quemquam
Impiorum pœnam divinam effugisse.
Prætextu igitur Deorum ne deformes fœlicem
Athenarum urbem, auxilium ferens ad impia facta,
Sed quemadmodum supplicem accepisti, fide data,
Serva me ac tuere, neque hoc caput
Ærumnis oppressum aspiciens, contumelia afficiat.
Venio enim sacer, & pius, & afferens
Emolumenta civibus hisce: cùm Dominus
Aderit, qui hujus terræ princeps est,
Ille omnia ex me audiet, & cognoscet,
Interea ne quæso in me sævias.

Cho. Revereri, ô senex, nos argumenta tua
Necesse est, quæ verbis non paucis
Commemorasti, & contentus ero,
Modò Regi ista indicentur.

OEd. Ubi nam est Rex hujus terræ?

Cho. Paternam urbem tenet, sed nuncius ipsum,
Qui me huc accivit, abiit vocaturus.

OEd. An putatis eam reverentiam
Aut curã hõinis cæci habiturũ, ut nõ gravatim veniat?

Cho. Sanè, si modo nomen audierit tuum.

OEd. Quis verò hoc ei nunciabit?

Cho. Longa via est, & multi viatorum sermones
Spargi solent, quibus ille auditis:
Ne metuas, veniet: nam rumor de te
Apud multos percrebuit: ut etiam si lentus dormiat,
Nomine tuo audito, celeriter adventurus sit.

OEd. Utinam auspicato veniat, & urbi suæ
Et mihi: quis enim bonus non seipsum amat?

Ant. O pater, quid dicam? aut quid cogitabo?

OEd. Quid verò est filia?

Cho. Mulierem video
Ad nos prope accedentem, quæ grandi
Equo vectatur, & lato galero
Thessalico caput tectum habet,
Quid dicam?
Est ne? an non est? an verò erro?

Aio,

νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην·
ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην.
ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς ξένοι,
ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε.
καὶ μὴ θεοὺς τιμῶντες, εἶτα τοὺς θεοὺς
μοῖραν ποιεῖσθε μηδαμῶς· ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν.
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς· φυγὴν δέ του
μήπω γενέσθαι φωτὸς ἀνοσίου βροτῶν.
ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν·
ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
ῥύου με, κἀκφύλασσε· μηδέ μου κάρα
τὸ δυσπρόσωπον εἰσορῶν ἀτιμάσῃς.
ἥκω γὰρ ἱερὸς εὐσεβής τε, καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ'· ὅταν δ' ὁ κύριος
παρῇ τις ὑμῶν, ὅστις ἐστὶν ἡγεμών.
τότ' εἰσακούων πάντ' ἐπιστήσῃ· τὰ δὲ
μεταξὺ τούτου, μηδαμῶς γίνου κακός.
Χο. Ταρβεῖν μὲν ὦ γεραιὲ τἀνθυμήματα
πολλή γ' ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι· τοὺς δὲ τῆσδε γῆς
ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.
Οἰ. Καὶ ποῦ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;
Χο. Πατρῷον ἄστυ γῆς ἔχει· σκοπὸς δέ νιν,
ὃς κἀμὲ δεῦρ' ἔπεμψεν, οἴχεται στελῶν.
Οἰ. Ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπὴν
ἢ φροντίδ' ἕξειν, κἀπόνως ἐλθεῖν πέλας;
Χο. Καὶ κάρθ', ὅταν περ τοὔνομ' αἴσθηται τὸ σόν.
Οἰ. Τίς δ' ἔσθ' ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;
Χο. Μακρὰ κέλευθος· πολλὰ δ' ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,
(θάρσει) παρέσται· πολὺ γάρ, ὦ γέρον, τὸ σὸν
ὄνομα διήκει πάντας, ὥστε κεἰ βραδὺς
εὕδει, κλύων σοῦ δεῦρ' ἀφίξεται ταχύς.
Οἰ. Ἀλλ' εὐτυχὴς ἵκοιτο τῇ θ' αὑτοῦ πόλει,
ἐμοί τε· τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;
Αν. Ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω πάτερ;
Οἰ. Τί δ' ἔστι, τέκνον Ἀντιγόνη; Αν. Γυναῖχ' ὁρῶ
στείχουσαν ἄσσον ἡμῶν, Αἰτναίας ἐπὶ
πώλου βεβῶσαν· κρατὶ δ' ἡλιοστερὴς
κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
τί φῶ;
ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἢ γνώμη πλανᾷ;

καὶ φημὶ

Aio, & rursum nego, neque quid dicam habeo :
Infoelix,
Non est alia : nam luculento oculorum aspectu
Indicat accedens, indicat, inquam, quòd
Solius hoc est clarum Ismenes caput.
OEd. Quid ais filia ?
Ant. Filiam tuam, meámque me videre
Sororem, ex voce verò statim cognoscere licebit.
Ism. O amborum Patris & sororis mihi
Dulcissima congressio, quàm vos ægrè
Inveni, & nunc cum dolore aspicio.
OEd. O filia venisti ? *Ism.* O pater misero aspectu. (menta,
OEd. O filia ex eodē sanguine prognata. *Ism.* O infoelicia ali-
OEd. Filia apparuisti ? *Ism.* Non absque labore quidem meo.
OEd. Attinge me, ô filia. *Ism.* Ambos simul amplector.
OEd. Hanc ne & me ? *Ism.* Et me quidem infoelicem tertiam.
OEd. Filia quare huc venisti ? *Ism.* Tibi pater prospiciens.
OEd. Utrum desiderio nostri ? *Ism.* Ut corā n tibi nunciarem,
Cum hoc uno fideli ministro huc veni.
OEd. Fratres adolescentes odiosi, ubi nam sunt ?
Ism. Sunt, ubi quidem sunt : nam atrocia nunc inter eos ex-
OEd. O quàm omnino illi legibus Ægyptiis (orta sunt.
Similes facti sunt, ingenio, & vivendi modo.
Nam illic viri intra tecta
Sedent telam operantes, uxores verò
Foris administrant ea, quæ ad vitam pertinent.
Sic ex vobis quos laborare conveniebat,
Hi domi desident quasi virgines,
Vos autem pro illis mea causa in his ærumnis
Laborē sustinetis : nam hæc postquam ex puerili ætate
Progressa, cōfirmavit corpus,
Semper infoelix meorum comes errorum fuit,
Senémque duxit : sæpe mecum in horridis sylvis
Jejuna, & nudis pedibus ambulavit :
Sæpe imbribus, aut solis æstu
Confecta, ocium & vitæ commoda domi
Neglexit, ut patri victum quæreret.
Tu verò, filia, etiam prius egressa es, ut patri
Oracula clam indicare posses
De meo capite data : & custos fidelis
Mihi semper fuisti, cùm in exilium pellebar.
Nunc ergo quem mihi nuncium
Ismene affers ? quis motus bellicus domi exortus est ?
Quin aliquem semper terrorem mihi nuncies.

καὶ φημὶ κἀπόφημι κοὐκ ἔχω τί φῶ, τάλαινα.
οὐκ ἔστιν ἄλλη· φαιδρὰ γοῦν ἀπ' ὀμμάτων
σαίνει με προστείχουσα· σημαίνει δ' ὅτι
μόνης τόδ' ἐστὶ δῆλον Ἰσμήνης κάρα.
Οἰ. Πῶς εἶπας ὦ παῖ;
Αν. Παῖδα σὴν, ἐμὴν δ' ὁρᾶν
ὅμαιμον· αὐδῇ δ' αὐτίκ' ἔξεστιν μαθεῖν.
Ισ. Ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
ἥδιστα προσφωνήμαθ', ὡς ὑμᾶς μόλις
εὑροῦσα λύπῃ δεύτερον μόλις βλέπω.
Οἰ. Ὦ τέκνον ἥκεις; Ισ. Ὦ πάτερ δύσμοιρ' ὁρᾶν.
Οἰ. Ὦ σπέρμ' ὅμαιμον. Ισ. Ὦ δυσάθλιαι τροφαί.
Οἰ. Τέκνον πέφηνας; Ισ. Οὐκ ἄνευ μόχθου γέ μοι.
Οἰ. Πρόσψαυσον ὦ παῖ. Ισ. Θιγγάνω δυοῖν ὁμοῦ.
Οἰ. Ἦ τῆσδε κἀμοῦ; Ισ. Δισμόρου δ' ἐμοῦ τρίτης.
Οἰ. Τέκνον, τί δ' ἦλθες; Ισ. Σῇ πάτερ προμηθίᾳ.
Οἰ. Πότερα πόθοισι; Ισ. Καὶ λόγοις αὐτάγγελος
ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
Οἰ. Οἱ δ' αὐθόμαιμοι, ποῖ νεανίαι πονεῖν;
Ισ. Εἴσ' οὗπέρ εἰσι· δεινὰ δ' ἐν κείνοις τὰ νῦν.
Οἰ. Ὦ πάντ' ἐκείνω τοῖς ἐν αἰγύπτῳ νόμοις
φύσιν κατεικασθέντε καὶ βίου τροφάς.
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
θακοῦσιν ἱστουργοῦντες· αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
σφῷν δ' ὦ τέκν' οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι.
σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυστήνου κακὰ
ὑπερπονεῖτον· ἡ μὲν, ἐξ ὅτου νέας
τροφῆς ἔληξε, καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη,
γερονταγωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη,
πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασι
μοχθοῦσα τλήμων, δεύτερ' ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
σὺ δ' ὦ τέκνον πρόσθεν μὲν ἐξίκου πατρὶ
μαντεῖ' ἄγουσα πάντα καδμείων λάθρᾳ,
ἃ τοῦδ' ἐχρήσθη σώματος· φύλαξ δέ μου
πιστὴ κατέστης, γῆς ὅτ' ἐξηλαυνόμην.
νῦν δ' αὖ, τίν' ἥκεις μῦθον Ἰσμήνη πατρὶ
φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ' ἐγὼ σαφῶς
ἔξοιδα, μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσά τι.

Ego labores, quos sustinui, pater,
Dum te, ubi esses, quæro,
Non commemorabo non enim libet
Dolorem præteritum commemorando duplicare.
Quæ vero inter tuos infælices filios
Mala exorta sunt, ea ut tibi narrarem, huc veni.
Prius enim contentio inter ipsos erat utrum Creonti
Regnum concederent, nec polluerent urbem.
Cum recta ratione expenderent antiquam generis labẽ
Qua tua infælix domus contaminata fuit
Nunc vero à Deo aliquo & exitiali cupiditate
Exorta est inter infælices contentio mala,
De regno & potentia tyrannica,
Et ille junior, quique natu minor est,
Majori fratri Polynici regnum
Eripuit, eumque ex patria in exilium expulit,
Qui, ut apud nos fama est,
Ad Argos profectus exul, adjunxit
Affines novos sibi & amicorum auxilia,
Ut vel Argivos, vel Thebanos
Detrimentis afficiat, vel gloria in cœlum evehat.
Atque hi non sermones tantum sunt,
Sed facta atrocia. Tuorum autem laborum.
Quando Dii miserebuntur, dicere non possum.
OEd. Speras ne igitur fore, ut aliquando
Dii me liberaturi sint?
Ism. Spero pater, ex oraculis jam datis.
OEd. Quibus? Quid de me oraculo responsum est?
Ism. Fore ut te illi requirant aliquando
Mortuum & viventem, roboris causa.
OEd. Quis vero à tali viro successum habeat?
Ism. In te positum esse dicunt robur suum.
OEd. Quando non amplius sum, an tunc primum vir sum?
Ism. Nunc enim Dii te erigunt, prius afflixerunt.
OEd. Irritum est erigere senem, qui juvenis concidit.
Ism. Atqui scias Creontem ob hanc causam
Intra tempus breve non longum, affuturum esse.
OEd. Quidnam facturus est filia, expone mihi?
Ism. Ut te prope ter Thebanam statuant, (ingrediaris
Tuique compotes ut fiant, non tamen ut fines terræ
OEd. Quid vero utilitatis capient, si prope in aditu jacebo?
Ism. Sepulchrum tuum in exilio illis grave futurum est,
OEd. Cuomodo hæc in mẽtẽ alicui veniãt, nisi sit admonit. à
Ism. Ob hanc causã te prope fines terræ collocabũt, (Deo?

Ne

Ἰσ. Ἐγὼ τὰ μὲν παθήμαθ' ἃ 'παθον, πάτερ,
ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφὴν,
παρεῖσ' ἐάσω· (δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ' ἀλγεῖν καὶ λέγουσ' αὖθις πάλιν)
ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦσ' ἐλήλυθα.
πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρις, Κρέοντί τε
θρόνους ἐᾶσθαι, μηδὲ χραίνεσθαι πόλιν·
λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθοράν.
οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον.
νῦν δ' ἐκ θεῶν του κἀξ ἀλιτηροῦ φρενὸς,
εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακὴ,
ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.
χὡ μὲν νεάζων καὶ χρόνῳ μείων γεγὼς
τὸν πρόσθε γεννηθέντα Πολυνείκην θρόνων
ἀποστερίσκει, κἀξελήλακεν πάτρας
ὁ δ', (ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύνων λόγος)
τὸ κοῖλον Ἄργος βὰς φυγὰς, προσλαμβάνει
κῆδός τε καινὸν καὶ ξυνασπιστὰς φίλους,
ὡς αὐτίκ' Ἄργος ἢ τὸ Καδμείων πέδον
τιμῇ καθέξων, ἢ πρὸς οὐρανὸν βιβῶν.
ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ λόγων.
ἀλλ' ἔργα δεινά· τοὺς δὲ σοὺς ὅποι θεοὶ
πόνους κατοικτιοῦσιν οὐκ ἔχω μαθεῖν.
Οἰ. Ἤδη γὰρ ἔσχες ἐλπίδ' ὡς ἐμοῦ θεοὺς
ὤραν τιν' ἕξειν, ὥστε σωθῆναί ποτε;
Ἰσ. Ἔγωγε, τοῖς νῦν γ', ὦ πάτερ, μαντεύμασι.
Οἰ. Ποίοισι τούτοις; τί δὲ τεθέσπισται, τέκνον;
Ἰσ. Σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις (ποτὲ
θανόντ' ἔσεσθαι ζῶντά τ', εὐνοίας χάριν.
Οἰ. Τίς δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἄν;
Ἰσ. Ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
Οἰ. Ὅτ' οὐκέτ' εἰμὶ, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ;
Ἰσ. Νῦν γὰρ θεοί σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
Οἰ. Γέροντα δ' ὀρθοῦν, φλαῦρον, ὃς νέος πέσοι,
Ἰσ. Καὶ μὴν Κρέοντά γ' ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
Οἰ. Ὅπως τί δράσῃ θύγατερ; ἑρμήνευέ μοι.
Ἰσμ. Ὥς σ' ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
κρατῶσι μὲν σοῦ, γῆς δὲ μὴ 'μβαίνῃς ὅρων.
Οἰ. Ἡ δ' ὠφέλησις τίς θύραισι κειμένου;
Ἰσμ. Κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
Οἰ. Κἄνευ θεοῦ, τις τοῦτό γ' ἂν γνώμῃ μάθοι;
Ἰσ. Τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας

Ne liber aut tuæ spontis sis.
OEd. An & in Thebano pulvere sepelient?
Ism. Non concedit hoc sanguis cognatus.
OEd. Non utique illi meo corpore potientur,
Ism. Erit hoc enim Thebanis grave.
OEd. Quanam rerum vicissitudine id fiat?
Ism. Propter iram tuam, quando in tuo sepulchro consistent
OEd. Hæc quæ dicis à quonam audisti filia?
Ism. A legatis qui redierant ab ara Delphica.
OEd. Et hæc de me Phœbus vaticinatus est?
Ism. Ita dicunt, qui redierunt in Thebanam terram.
OEd. Anne filiorum meorum aliquis ista audivit?
Ism. Ambo simul, & sciunt probe.
OEd. Quumque hæc audierint pessimi,
Præ desiderio patris regnum appetunt?
Ism. Doleo ista audiens, sed fero tamen.
OEd. Sed utinam Dii fatale hoc
Bellum extingui non sinant, & penes me
Præliorum sit inter ipsos finis,
Quibus nunc detinentur, & arma movent:
Nec qui nunc regnum ac sceptra tenet
Obtineat, neque qui in exilium pulsus est
In patriam redeat unquam, quia me patrem
Ita indigne patria pulsum
Non retinueruntnec defenderunt, sed loco motus
Ab ipsis ejectus, & exul renunciatus sum,
Sed dixeris forte, quod volenti mihi & petenti
Urbs exilium merito decreverit.
Non ita est Nam illis primis diebus
Cum dolor maxime sæviret, & mihi dulcissimum
Esset mori, ac lapidibus obrui,
Tunc nemo qui illud meum desiderium expleret in- (ventus est
Post intervallum vero temporis, cum ægritudo jam leni- (ta esset,
Et cum me viderent animi dolore provectũ
Mihi ipsi graves pœnas irrogasse priorum delictorum,
Tunc primum urbs violenter
Me in exilium pepulit post longum tempus neque illi
Auxilio patrem sublevare cum possent,
Voluerunt, sed propter levem offensionem,
Exul illis, & mendicus apud exteros erro.
Ab his vero virginibus, quantum ab hoc sexu
Fieri potest, alimenta vitæ habeo,
Et loci securitatem, & subsidium generis,
Illi præ patre thronos regios,

Et

χώρας θέλουσι· μηδ' ἵν' ἂν σαυτοῦ κρατῇς.
Οἰ. Ἦ καὶ κατασκιῶσι θηβαίᾳ κόνει;
Ισ. Ἀλλ' οὐκ ἐᾷ τοὔμφυλον αἷμά σ', ὦ πάτερ.
Οἰ. Οὐκ ἄρ' ἐμοῦ γε μὴ κρατήσωσίν ποτε;
Ισ. Ἔσται ποτ' ἄρα τοῦτο καδμείοις βάρος.
Οἰ. Ποίας φανείσης ὦ τέκνον συναλλαγῆς;
Ισ. Τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν στῶσιν τάφοις.
Οἰ. Ἃ δ' ἐννέπεις, κλύουσα τοῦ λέγεις, τέκνον;
Ισ. Ἀνδρῶν θεωρῶν δελφικῆς ἀφ' ἑστίας.
Οἰ. Καὶ ταῦτ' ἐφ' ἡμῖν φοῖβος εἰρηκὼς κυρεῖ;
Ισ. Ὥς φασιν οἱ μολόντες εἰς θήβης πέδον.
Οἰ. Παίδων τίς οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
Ισ. Ἄμφω γ' ὁμοίως, κἀξεπίστασθον καλῶς.
Οἰ. Κᾆθ' οἱ κάκιστοι τῶνδ' ἀκούσαντες, πάρος
τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
Ισ. Ἀλγῶ κλύουσα ταῦτ' ἐγώ· φέρω δ' ὅμως.
Οἰ. Ἀλλ' οἱ θεοί σφι μήτε τὴν πεπρωμένην
ἔριν κατασβέσειαν, ἐν δ' ἐμοὶ τέλος
αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
ἧς νῦν ἔχονται, κἀπαναιροῦνται δόρυ.
ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει,
μείνειεν, οὔτ' ἂν οὑξεληλυθὼς πόλιν
ἔλθοι ποτ' αὖθις, οἵ γε τὸν φύσαντ' ἐμὲ
οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
οὐκ ἔσχον, οὐδ' ἤμυναν· ἀλλ' ἀνάστατος
αὐτοῖν ἐπέμφθην, κἀξεκηρύχθην φυγάς.
εἴποις ἂν ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατῄνεσεν
οὐ δῆτ', ἐπεί τοι τὴν μὲν αὐτίχ' ἡμέραν
ὁπηνίκ' ἔζει θυμὸς, ἥδιστον δέ μοι
τὸ κατθανεῖν ἦν καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἔρωτος τοῦδ' ἐφαίνετ' ὠφελῶν·
χρόνῳ δ' ὅτ' ἤδη πᾶς ὁ μόχθος ἦν πέπων,
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
τὸ τηνίκ' ἤδη, τοῦτο μὲν πόλις βίᾳ,
ἤλαυνέ μ' ἐκ γῆς χρόνιον· οἱ δ' ἐπωφελεῖν
οἱ τοῦ πατρὸς τῷ πατρὶ δυνάμενοι, τὸ δρᾶν
οὐκ ἠθέλησαν· ἀλλ' ἔπους μικροῦ χάριν
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἐγώ.
κἀκ ταῖνδε δ' οὔσαιν παρθένοιν, ὅσον φύσις
δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου,
καὶ γῆς ἄδειαν, καὶ γένους ἐπάρκεσιν·
τὼ δ' ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους

Et sceptra, & regnum in terra elegerunt,
Sed illis ego auxiliator nunquam ero,
Nec regno Thebano
Potientur, quantum ego ex hac
Oracula audivi de me, & reputo
Jam olim data, quæ mihi Phœbus respondit olim.
Mittant igitur vel Creontem, qui me inquirat,
Vel alium potentem in urbe.
Nam si vos hospites volueritis mihi
Una cum venerandis his popularibus deabus
Opem ferre, tum huic urbi magnum
Defensorem parabitis, & hostibus meis labores.
Cho. Dignus quidem OEdipus est commiseratione,
Et ipse & hæ filiæ. Quando vero terræ hujus
Servatorem te promittis fore,
Admonebo te utiliter.
OEd. O charissime consule mihi, nam exequar omnia.
Cho. Constitue jam expiationem Dearum, ad quas
Primum accessisti, & quarum pede pressisti terram.
OEd. Quonam modo, hoc me docete hospites à
Cho. Primum sacram undam ex perenni
Fonte puris manibus affer.
OEd. Quid postquam eas libationes accepero ?
Cho. Sunt crateres viri ingeniosi arte fabrefacti,
Quorum caput coronabis & ansas ab utraque parte,
OEd. Floribus ne, aut filo, aut quo tandem modo ?
Cho. Ovis juvenculæ nova lana ornabis, (tet?
OEd. Esto quod vero intus, quomodo me administrare opor-
Cho. Libationes effunde conversus ad primam auroram.
OEd. An hisce hydriis effundam de quibus dicis?
Cho. Aquam de tribus fontibus fundes ultimam autem to-
OEd. Unde hanc hydriam implebo, doce & hoc? (tã effundes
Cho. Aqua mulsa, vinum vero non addideris.
OEd. Verum ubi terra frondosa has libationes acceperit, quid
Cho. Ter novẽ ramos oleæ ambabus manibus (deinde faciã
Offer, & has precationes adde.
OEd. Hæc cupio audire, quæ sunt præcipua. (gno
Cho. Quemadmodum eas vocamus Eumenidas, ut ita beni-
Pectore accipiant supplicem, eumque servent.
Precare ipse, & si quis alius est, qui pro te precetur;
Submisse loquens, neque dilatans vocem,
Deinde aversus abi. Et si hæc faceres,
Tum confidenti animo assisterem tibi,
Alias tibi hospes metuerem.

καὶ σκῆπτρα κραίνειν, καὶ τυραννεύειν χθονός.
ἀλλ' οὔτι μὴ λάχωσι τοῦδε συμμάχου,
οὔτέ σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει· τοῦτ' ἐγᾦδα, τῆσδέ γε
μαντεῖ' ἀκούων, συννοῶν τά τ' ἐξ ἐμοῦ
παλαίφαθ', ἅ μοι Φοῖβος ἤνυσέν ποτε.
πρὸς ταῦτα, καὶ Κρέοντα πεμπόντων ἐμοῦ
μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
ἐὰν γὰρ ὑμεῖς ὦ ξένοι θέλητέ μου
σὺν ταῖσι ταῖς σεμναῖσι δημούχοις θεαῖς
ἀλκὴν ποιεῖσθαι, τῇδε μὲν πόλει μέγαν
σωτῆρ' ἀρεῖσθε, τοῖς δ' ἐμοῖς ἐχθροῖς πόνους.

Χο. Ἐπάξιος μὲν Οἰδίπους κατοικτίσαι,
αὐτός τε, παῖδές θ' αἵδ'· ἐπεὶ δὲ τῆσδε γῆς
σωτῆρα σαυτὸν τῷδ' ἐπεμβάλλεις λόγῳ,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.

Οι. Ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξένει.

Χο. Θοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ' ἃς
τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.

Οι. Τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.

Χο. Πρῶτον μὲν, ἱερὰς ἐξ ἀειρρύτου χοὰς
κρήνης ἐνεγκοῦ δι' ὁσίων χειρῶν θιγών.

Οι. Ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;

Χο. Κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.

Οι. Θαλλοῖσιν, ἢ κρόκαισιν; ἢ ποίῳ τρόπῳ;

Χο. Οἰὸς νεαρᾶς οἰοπόκῳ μαλλῷ λαβών.

Οι. Εἶεν· τὸ δ' ἔνθεν ποῖ τελευτῆσαί με χρή;

Χο. Χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω.

Οι. Ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;

Χο. Τρισσάς γε πηγάς, τὸν τελευταῖον δ' ὅλον.

Οι. Τοῦ τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.

Χο. Ὕδατος, μελίσσης· μηδὲ προσφέρειν μέθυ.

Οι. Ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;

Χο. Τρὶς ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
τιθεὶς ἐλαίας, τάσδ' ἐπεύχεσθαι λιτάς.

Οι. Τούτων ἀκοῦσαι βούλομαι· μέγιστα γάρ.

Χο. Ὡς σφᾶς καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον,
αἰτοῦ σύ γ' αὐτὸς, κεἴ τις ἄλλος ἀντὶ σοῦ,
ἄπυστα φωνῶν μηδὲ μηκύνων βοήν.
ἔπειτ' ἀφέρπειν ἄστροφος· καὶ ταῦτά σοι
δράσαντι, θαρρῶν ἂν παρασταίην ἐγώ.
ἄλλως δὲ δειμαίνοιμ' ἂν ὦ ξέν' ἀμφὶ σοί.

OEd. O filiæ, audistis ne hos incolas hospites?
Ism. Audivimus, tu vero quæ agenda sunt impera.
OEd. Hæc mihi obeunda non sunt: destituor enim
Propter duplex malum, & quod vires desunt, & quia
Ex vobis vero altera eat, & administret hæc, (cæcus sũ
Nam sufficere existimo. pro multis una
Anima, si hæc perficiat, quæ benevola sit.
Sed celeriter hæc facite: tantum vero me
Ne deserite. Nam hoc corpus non potest
Derelictum ambulare & absque duce.
Ism. Sed abeo ego peractura hæc: locum vero
Quem me oportet invenire, mihi demonstrari cupio.
Cho. Hic juxta illud nemus: si vero aliqua re
Indigebis, est incola qui te docebit.
Ism. Eo igitur ad hoc efficiendum Antigone, tu vero hic
Patrem cura: nam parentum causa
Etsi quis laborat, laborũ tamen meminisse non debet.

MONOSTROPHICA.

Cho. Grave est, malum diu sopitum,
O hospes, movere.
Attamen audire cupio. *OEd.* Quid ergo?
Cho. De miserabili & periculosa
Calamitate tua, in quam incidisti.
OEd. Ne per hospitium, obsecro, tuum
Quære: nam turpia facta acciderunt mihi.
Cho. Sed quæ late vagata est, neque adhuc desinit,
Eam cupio hospes famam recte cognoscere.
OEd. Hei mihi. *Cho.* Boni consule obsecro. *OEd.* Ah, ah.
Cho. Obsequere, egoque vicissim tibi, quantum opus est.
OEd. Quæ pessima sunt hospites, ea sustinui,
Attamen non volens, novit Deus:
Nam ex his voluntarium nihil fuit,
Cho. Quid itaque?
OEd. Civitas ignara me malo thoro
Fœdarum nuptiarum copulavit.
Cho. Utrum matris, ut audio,
Infandos thalamos ingressus es?
OEd. Hei mihi mors est ista audire: Hæ vero duæ ex me.
Cho. Quid ais? *OEd.* Filiæ, & duæ noxæ. *Cho.* O Jupiter.
OEd. Matris communis
Natæ sunt partu.
Cho. Sunt igitur filiæ tuæ,

Et

Οι. Ὦ παῖδε, κλύετον τῆσδε προσχώρων ξένων;
Ισ. Ἠκούσαμέν τε, χὤ τι δεῖ πρόστασσε δρᾶν.
Οι. Ἐμοὶ μὲν οὐχ ὁδωτά· λείπομαι γὰρ ἐν
τῷ μὴ δύνασθαι μήθ' ὁρᾶν, δυοῖν κακοῖν.
Σφῷν δ' ἡτέρα μολοῦσα πραξάτω τάδε.
ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
ψυχὴν τάδ' ἐκτίνουσαν, ἢν εὔνους παρῇ.
ἀλλ' ἐν τάχει τι πράσσετον· μόνον δέ με
μὴ λείπετ'· οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
ἔρημον ἕρπειν, οὐδ' ὑφηγητοῦ γ' ἄνευ.
Ισ. Ἀλλ' εἶμ' ἐγὼ τελοῦσα· τὸν τόπον δ' ἵνα
χρῆ 'σται μ' ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν.
Χο. Τοὐκεῖθεν ἄλσους ὦ ξένη, τοῦδ'· ἢν δέ του
σπάνιν τιν' ἴσχῃς, ἔστ' ἔποικος ὃς φράσει.
Ισ. Χωροῖμ' ἂν εἰς τόδ'· Ἀντιγόνη σὺ δ' ἐνθάδε
φύλασσε πατέρα τόνδε· τοῖς τεκοῦσι γὰρ
οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν
ὦ ξεῖν' ἐπεγείρειν,
ὅμως δ' ἔραμαι πυθέσθαι. Οι. Τί τοῦτο;
Χο. Τᾶς δειλαίας ἀπόρου φανείσας
ἀλγηδόνος, ᾇ ξυνέστας.
Οι. Μὴ πρὸς ξενίας ἀνοίξεις
τᾶς σᾶς· πέπονθ' ἔργ' ἀναιδῆ.
Χο. Τό τοι πολὺ καὶ μηδαμὰ λῆγον
χρῄζω ξέν' ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.
Οι. Ἰώ μοι. Χο. Στέρξον, ἱκετεύω. Οι. Φεῦ, φεῦ.
Χο. Πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.
Οι. Ἤνεγκον κακότητ' ὦ ξένοι, ἤνεγ-
κον, ἄκων μέν, θεὸς ἴστω.
τούτων δ' αὐθαίρετον οὐδέν.
Χο. Ἀλλ' ἐς τί;
Οι. Κακᾷ μὲν ἀνὰ πόλις οὐδὲν ἴδρις
γάμων ἐνέδησεν ἄτα.
Χο. Ἦ μητρόθεν, ὡς ἀκούω,
δυσώνυμα λέκτρ' ἐπλήσω;
Οι. Ὤ μοι θάνατος μὲν τάδ' ἀκούειν
ὦ ξεῖν', αὗται δὲ δύ' ἐξ ἐμοῦ.
Χο. Πῶς φής; Οι. Παῖδες, δύο δ' ἄτα. Χο. Ὦ Ζεῦ.
Οι. Ματρὸς κοινᾶς ἀπέβλασον ὠδῖνος.
Χο. Αὗταί εἰσιν ἀπόγονοί τε καὶ

κοιναὶ

Et simul patris sorores.
OEd. Heu. *Cho.* Heu utique.
OEd. Infinitorum cumuli malorum.
Cho. Sustinuisti? *OEd.* Intolerabilia inquam sustinui.
Cho. Perpetrasti? *OEd.* Non pepetravi.
Cho. Quid itaque? *OEd.* Donum accepi.
Quod utinam infælix
Nunquam ab urbe accepissem.
Cho. Miser, sed quare fecisti cædem?
OEd. Quid hoc? Quid est quod quæris? *Cho.* Patris.
OEd. Heu dolorem super dolorem cumulas.
Cho. Occidisti? *OEd,* Occidi, sed habeo mihi.
Cho. Quid id est? *OEd.* Aliquid excusationis justæ.
Cho. Quid ergo? OEd. Ego dicam.
Nam & cæteros occidi, ac perdidi.
Jure vero purus ac inscius ad hoc veni.

IAMBI.

Cho. Sed Rex nobis Ægei filius
Theseus, fama de te accitus, adest.
The. Quia ex multis audivi antea,
De cruenta oculorum tuorum læsione,
Cognovi te, fili Laii: nunc vero in via
Sermone audito, certius rescivi.
Nam hic habitus & ærumnosum caput
Te nobis indicant, qui sis. Et misertus tui
Aliquid ex te quæram, calamitose OEdipe:
Quid à me, vel ab urbe petis,
Vel tu, vel hæc misera, quæ tibi ministrat?
Expone, admodum enim grave aliquid
Dixeris, quod à me non sis impetraturus,
Scio enim & didici ipse, peregrinus existens,
Sicut tu nunc es & ut quisquam alius in peregrina terra
Plurima sustinui pericula capite meo
Quapropter nullum hospitem, quemadmodum tu (nunc es
Præteribo. quo minus illi opem feram. Novi enim,
Homo cum sim, quod de crastino
Die non certior ego sum quam tu.
OEd. Tua virtus, Theseu, brevi sermone
Ostensa est, ut mihi non multis verbis opus sit.
Tu n. de me, & qui sim, & quo patre prognatus,
Et unde huc advenerim, dixisti.
Non igitur aliud mihi restat, quam ut

κοιναί γε πατρὸς ἀδελφαί.
Οι. Ἰώ. Χο. Ἰὼ δῆτα
Οι. Μυρίων ἐπιστροφαὶ κακῶν.
Χο. Ἔπαθες; Οι. Ἔπαθον ἄλαστ' ἔχειν.
Χο. Ἔρεξας· Οι. Οὐκ ἔρεξα.
Χο. Τί γάρ; Οι. Ἐδεξάμην δῶρον,
ὃ μήποτ' ἐγὼ ταλακάρδιος
ἐπωφέλησα πόλεως ἐξελέσθαι.
Χο. Δύστανε, τί γάρ; ἔθου φόνον;
Οι. Τί τοῦτο; τί δ' ἐθέλεις μαθεῖν; Χο. Πατρός;
Οι. Παπαῖ· δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον
Χο. Ἔκανες; Οι. Ἔκανον· ἔχει δέ μοι.
Χο. Τί τοῦτο; Οι. Πρὸς δίκας τι.
Χο. Τί γάρ. Οι. Ἐγὼ φράσω.
καὶ γὰρ ἄλλους ἐφόνευσα καὶ ὤλεσα,
νόμῳ δὲ καθαρός, ἄϊδρις εἰς τόδ' ἦλθον.--

ΙΑΜΒΟΙ.

Χο. Καὶ μὴν ἄναξ ὅδ' ἡμὶν Αἰγέως γόνος
Θησεὺς κατ' ὀμφὴν σὴν ἀποσταλεὶς πάρα.
Θη. Πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ
τὰς αἱματηρὰς ὀμμάτων διαφθοράς,
ἔγνωκά σ' ὦ παῖ Λαΐου, τανῦν θ' ὁδοῖς
ἐν ταῖσδ' ἀκούων μᾶλλον ἐξεπίσταμαι.
σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα,
δηλοῦτον ἡμῖν ὄνθ' ὃς εἶ· καί σ' οἰκτίσας
θέλω σ' ἐρέσθαι, δύσμορ' Οἰδίπου, τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ' ἔχων
αὐτός τε χἡ σὴ δύσμορος παραστάτις,
δίδασκε· δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις
λέξας ὁποίας ἐξαφισταίμην ἐγώ.
ὡς οἶδά γ' αὐτὸς ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σύ, χὤστις πλεῖστ' ἀνὴρ ἐπὶ ξένης
ἤθλησα κινδυνεύματ' ἐν τῷ μῷ κάρᾳ.
ὥστε ξένον γ' οὐδέν' ὄνθ', ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσῴζειν σ' ἐπεί.
ἔξοιδ' ἀνὴρ ὤν, χὤτι τῆς ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.
Οι. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν, ὥστε βραχέ' ἐμοὶ δεῖσθαι φράσαι.
σὺ γάρ μ' ὃς εἰμί, κἀφ' ὅτου πατρὸς γεγώς,
καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς.
ὥστ' ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο, πλὴν

εἰπεῖν

Quid petam dicam, & oratio consummata erit.
The. Idipsum jam expone, ut sciam.
OEd. Venio daturus hoc meum miserum corpus
Tibi dono, non tale cujus aspectu quis delectetur,
Utilitas vero ex eo potior est, quam formæ species.
The. Quid utilitatis te afferre dicis?
OEd. Postea, non hoc tempore, cognosces.
The. Quomodo commodum ex te declarabitur?
OEd. Quando mortuus fuero, tuque me sepelieris
The. Petis, quæ postrema sunt vitæ, ea vero quæ in medio sint
Vel oblivione præteris, vel nihil curas.
OEd. Hic enim mihi illa simul præbebuntur.
The. Sed breviter hoc beneficium petis à me?
OEd. Sed vide, non enim exiguum hoc certamen erit,
The. Utrum de tuis dicis an de me?
OEd. Illi me cogent illuc proficisci.
The. Sed si volunt, non tibi exulare honestum est.
OEd. Tunc vero cum ego vellem, illi non concedebant.
The. O stulte, ira homini calamitoso non est utilis.
OEd. Ubi me audieris, tunc admone, nunc vero sine.
The. Doce: jam nisi re cognita, non decet me dicere.
OEd. O Theseu, mala atrocia alia super alia pertuli.
The. An de veteri calamitate generis dicis?
OEd. Non: nam ea omnibus Græcis in ore est.
The. Quid igitur gravius pateris quam pro humano more?
OEd. Sic mihi res se habet. Ex patria pulsus sum
A mea sobole, neque mihi unquam
Eo redire licet, tanquam parricidæ.
The. Quare igitur accersent te? ut seorsim habites?
OEd. Divinum oraculum eos adigit,
The. Quid mali metuunt ex oraculo?
OEd. Quia necesse est eos in hac terra cladem accipere.
The. Quomodo hæc tristia inter me & ipsos accidere possunt?
OEd. O charissime Theseu: Solis Diis non venit
Senectus, aut mors unquam,
Cætera vero omnia confundit miscetq; tempus potens,
Perit enim vigor terræ, perit & corporum,
Moriturque fides, & repullulat perfidia:
Et spiritus idem nunquam, neque in hominibus
Amicis manet neque erga urbem urbi.
Aliis enim statim aliis post intervallum temporis
Amara fiunt, quæ grata erant, & eadem rursum grata.
Sic & Thebanis, & si nunc res tranquillæ sunt,
Ac inter vos recte se habet, innumeras infinitum

Tempus

εἰπεῖν ἃ χρήζω χὠ λόγος διέρχεται.
Θη. Τοῦτ' αὐτὸ νῦν δίδαχ' ὅπως ἂν ἐκμάθω.
Οι. Δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν· τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή.
Θη. Ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
Οι. Χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.
Θη. Ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
Οι. Ὅταν θάνω 'γὼ, καὶ σύ μου ταφεὺς γένῃ.
Θη. Τὰ λοίσθι' αἰτῇ τοῦ βίου· τὰ δ' ἐν μέσῳ
ἢ λῆστιν ἴσχεις, ἢ δι' οὐδενὸς ποιῇ.
Οι. Ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
Θη. Ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτῇ χάριν.
Οι. Ὅρα γε μήν· οὐ σμικρὸς ἔστ' ἀγὼν ὅδε.
Θη. Πότερα τὰ τῶν σῶν ἐκγόνων ἢ 'μοῦ λέγεις;
Οι. Κεῖνοι κομίζειν κεῖσ' ἀναγκάσουσί με.
Θη. Ἀλλ' εἰ θέλοιεν, οὐδέ σοι φεύγειν καλόν.
Οι. Ἀλλ' οὐδ', ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.
Θη. Ὦ μῶρε· θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον.
Οι. Ὅταν μάθῃς μου, νουθέτει· τανῦν δ' ἔα.
Θη. Δίδασκ'· ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.
Οι. Πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.
Θη. Ἢ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;
Οι. Οὐ δῆτ'· ἐπεὶ πᾶς τοῦτό γ' Ἑλλήνων θροεῖ.
Θη. Τί γὰρ τὸ μεῖζον ἢ κατ' ἄνθρωπον νοσεῖς;
Οι. Οὕτως ἔχει μοι· γῆς ἐμῆς ἀπηλάθην
πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔστιν δέ μοι
πάλιν κατελθεῖν μήποθ', ὡς πατροκτόνῳ.
Θη. Πῶς δῆτά σ' ἂν πεμψαίαθ' ὥστ' οἰκεῖν δίχα;
Οι. Τὸ θεῖον αὐτοὺς ἐξαναγκάσει στόμα.
Θη. Ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;
Οι. Ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί.
Θη. Καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά;
Οι. Ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίγνεται
θεοῖς τὸ γῆρας, οὐδὲ κατθανεῖν ποτέ.
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος.
φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος·
θνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία.
καὶ πνεῦμα ταὐτὸν οὔποτ' οὔτ' ἐν ἀνδράσι
φίλοις βέβηκεν, οὔτε πρὸς πόλιν πόλει.
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίγνεται, κᾆυθις φίλα.
καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
καλῶς τὰ πρὸς σὲ, μυρίας ὁ μυρίος

Tempus procedens noctes diesque adducere potest,
In quibus præsentem consensum & concordiam
Bello dissipaturi sunt, ob levem offensam,
Quando meum dormiens, ac terra obrutum cadaver,
Jam diu frigidum, ipsorum calidum sanguinem bibet,
Si modo Jupiter adhuc est Jupiter & Apollo verax.
Sed non jucundum est arcana proferre.
Sine me quæ cœperam proloqui tuamque solum
Fidem mihi præsta, neque unquam dices OEdipum
Te recepisse inutilem incolam his locis,
Si modo Dii non fallunt me.

Cho. Jamdudum hic vir hæc, & consimilia
Huic terræ denunciavit.

The. Quis respuat talis viri benevolentiam?
Cujus primum testis fœderis
Communis semper apud nos est ara:
Deinde his deabus supplex adest,
Et huic terræ ac mihi tributum non exiguum pendit.
Hæc igitur colens non abjiciam benevolentiam
Hujus, sed in hac terra ipsi præbebo sedem,
Sive hic manere libebit, tibi impero
Ut ipsum custodias, seu mecum ire
Volet: ex his tibi OEdipe optionem
Permitto: hoc modo enim opitulabor tibi,

OEd. Jupiter benefac obsecro talibus.

The. Quid itaque vis? an ad domum meam ire?

OEd. Si mihi fas esset: sed hic locus est.

The. In quo quid facies? non enim refragabor.

OEd. Hic superabo eos, qui me expulerunt,

The. Magnum hoc esset beneficium hujus mansionis

OEd. Si quidem rata erunt, quæ mihi dixisti. (desertũ patiar

The. Bonum animum habe, quod ad me attinet, non enim te

OEd. Neque te ut hominem malum juramento obstringam.

The. Non à me jurato plus acceperis, quam si promittam so-

OEd. Quomodo igitur rem instítues? (lum.

The. Quid præcipue metuis?

OEd. Venient viri,

The. Illud vero hisce curæ erit.

OEd. Respice me. si abis me relicto,

The. Ne doce quæ mihi agenda sunt,

OEd. Metuentem necesse est, *The.* At ego non metuo.

OEd. Non tu scis, quæ minati sint. *The.* Hoc scio, neminem
Te hic per vim abrepturum esse.
Multæ vero minæ, multa inania verba,

Per

χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἰών,
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
ἐν δορὶ διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
ἵν' οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς
ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτι Ζεύς, χὠ Διὸς Φοῖβος σαφής.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη
ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων· κοὔποτ' Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.
Χο. Ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
γῇ τῇδ' ὅδ' ἀνὴρ ὡς τελῶν ἐφαίνετο.
Θη. Τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος
κοινή τ' ἄρ' ἡμῖν αἰὲν ἔστιν ἑστία;
ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
γῇ τῇδε, κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
ἁγὼ σεβασθεὶς, οὔποτ' ἐκβαλῶ χάριν
τὴν τοῦδε, χώρᾳ δ' ἔμπαλιν κατοικιῶ.
εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
τάξω φυλάσσειν· εἰ δ' ἐμοῦ στείχειν μέτα
τόδ' ἡδύ, τούτων Οἰδίπους δίδωμί σοι
κρίναντι χρῆσθαι· τῇδε γὰρ ξυνοίσομαι.
Οι. Ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.
Θη. Τί δῆτα χρῄζεις; ἐς δόμους στείχειν ἐμούς;
Οι. Εἴ μοι θέμις γ' ἦν· ἀλλ' ὁ χῶρός ἐσθ' ὅδε.
Θη. Ἐν ᾧ τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι.
Οι. Ἐν ᾧ κρατήσω τῶν ἔμ' ἐκβεβληκότων·
Θη. Μέγ' ἂν λέγοις δώρημα τῆς συνουσίας.
Οι. Εἰ σοί γ' ἅπερ φῂς ἐμμένοι τελοῦντί μοι.
Θη. Θάρσει τὸ τοῦδέ γ' ἀνδρός, οὔ σε μὴ προδῶ.
Οι. Οὔτοι σ' ὑφ' ὅρκου γ' ὡς κακὸν πιστώσομαι.
Θη. Οὔκουν πέρα γ' ἂν οὐδὲν ἢ λόγῳ φέροις.
Οι. Πῶς οὖν ποιήσεις;
Θη. Τοῦ μάλιστ' ὄκνος σ' ἔχει.
Οι. Ἥξουσιν ἄνδρες.
Θη. Ἀλλά τοῖσδ' ἔσται μέλον.
Οι. Ὅρα με λείπων
Θη. Μὴ δίδασχ' ἃ χρή με δρᾶν
Οι. Ὀκνοῦντ' ἀνάγκη. Θη. Τοὐμὸν οὐκ ὀκνεῖ κέαρ
Οι. Οὐκ οἶσθ' ἀπειλάς; Θη. Οἶδ' ἐγὼ σέ μή τινα
ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
πολλαὶ δ' ἀπειλαί, πολλὰ δὴ μάτην ἔπη

θυμῷ

Per iram effunduntur ſed mens quando
Ad ſeſe rediit evaneſcunt tales minaces voces.
Illis autem, etſi fortaſſe grandia commoti jactarunt
De te abducendo, ſat ſcio, videbitur
Longum per mare iter, nec facile navigabile.
Bono igitur animo ut ſis, vel abſque meo conſilio
Te adhortor, ſi quidem Apollo te huc miſit.
Nam me etiam abſente ſcio quod
Solum nomen meum te defendet ab injuria.

ANTISTROPHICA ſtrophe. 1.

Cho. Veniſti hoſpes in hanc equeſtrem terram,
Loca optima obtinens,
Nempe ſplendidum colonum,
Ubi canoræ frequentes
Cantu perſonant luſciniæ,
In virentibus vallibus,
Sub umbroſa ſedentes hedera
Et ubi denſæ Bacchi
Frondes multiplicem fructum ferunt, qui nec à ſole aduritur,
Nec ab ullis ventis,
Aut tempeſtate læditur: ubi Bacchus
Semper inambulat
Inter divinas nutrices.

ANTISTROPHE 1.

Floret vero à rore cœleſti
Narciſſus, pulchros flores gignens quotidie.
Unde magnis Deabus
Coronæ de more veteri nectuntur.
Ubi & aureo colore
Crocus naſcitur. Neque perennes
Fontes deficiunt,
Loca paſcua irrigantes circa Cephiſum,
Qui jugi flumine
Fœcundas terram, per agros labitur,
Liquidis undarum imbribus,
Soli campeſtris. Neque Muſarum Chori
Hæc loca deſpiciunt,
Neque aurea Venus.

θυμῷ κατηπειλήσατ'· ἀλλ' ὁ νοῦς ὅταν
αὑτοῦ γένηται, φροῦδα τ' ἀπειλήματα.
κείνοις δ' ἴσως κεὶ δείν' ἐπερρώσθη λέγειν
τῆς σῆς ἀγωγῆς (οἶδ' ἐγὼ) φανήσεται
μακρὸν τὸ δεῦρο πέλαγος οὐδὲ πλώσιμον.
θαρσεῖν μὲν οὖν ἔγωγε κἄνευ τῆς ἐμῆς
γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε.
ὅμως δὲ κἀμοῦ μὴ παρόντος, οἶδ' ὅτι
τοὐμόν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφὴ α'.

Χο. 1 Εὐίππου ξένε τᾶσδε χώρας
2 ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
3 τὸν ἀργῆτα κολωνόν·
4 ἔνθα λίγεια μινύρεται
5 θαμίζουσα μάλιστ' ἀηδὼν
6 χλωραῖς ὑπὸ βάσσαις
7 τὸν οἰνωπ' ἀνέχουσα κισσὸν,
8 καὶ τὰν ἄβατον θεοῦ
9 φυλλάδα μυριόκαρπον, ἀνάλιον,
10 ἀνήνεμόν τε πάντων
11 χειμώνων· ἵν' ὁ βακχειώτας ἀεὶ
12 Διόνυσος ἐμβατεύει,
13 θείαις ἀμφιπολῶν τιθήναις.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

1 θάλλει δ' οὐρανίας ὑπ' ἄχνας
2 ὁ καλλίβοτρυς κατ' ἦμαρ αἰεὶ
3 νάρκισσος, μεγάλαιν θεαῖν
4 ἀρχαῖον στεφάνωμ', ὅ, τε
5 χρυσαυγὴς κρόκος· οὐδ' ἄυπνοι
6 κρῆναι μινύθουσι,
7 κηφισοῦ νομάδες ῥεέθρων,
8 ἀλλ' αἰὲν ἐπ' ἤματι
9 ὠκυτόκος πεδίων ἐπινίσσεται,
10 ἀκηράτῳ ξὺν ὄμβρῳ
11 στερνούχου χθονός· οὐδὲ μουσᾶν χοροὶ
12 νιν ἀπεστύγησαν, οὐδ' αὖ
13 ἁ χρυσάνιος ἀφροδίτα.

STROPHE 2.

Est verò hîc, quale neque in Asia,
Nec in magna Dorica insula
Pelopis esse unquam audivi, germen
Quod sponte nascitur, & sine cultura,
Hostíque terrorem incutit,
Id germen in hac præcipuè terra floret,
Nempe glaucæ folium oleæ:
Hoc neque juvenum, nec senum quisquam
Imperans, manibus excidere audet:
Nam ut hoc custodiant intenti sunt
Jovis Morii oculi,
Et cæsia Minerva.

ANTISTROPHE 2.

Sed & aliam laudem commemorare possum,
Qua vel præcipuè hæc urbs commendatur,
Beneficio magni Dei,
Equis & apparatu navali præstans,
O Neptune: tu enim huic urbi
Hoc decus contulisti,
Qui primus frænos equis regendis
In his regionibus invenisti:
Remi verò nautici
Manibus tractati, mirabili
Celeritate currunt ita ut
Vel Nereïdas assequi videantur.

IAMBI.

Ant. O terra Attica multiplici laude celebrata,
Nunc te decet istam virtutem tuam declarare.
OEd. Quid verò novi accidit filia?
Ant. Jam prope accedit
Creon ad nos, non absque satellitio.
OEd. O charissimi senes, vos mihi
Jam ostendite auxilium salutis.
Cho. Bono animo esto, aderit: & si enim senex sum,

Attamen

ΣΤΡΟΦΗ β'.

1 ἔστιν δ' οἷον ἐγὼ
2 γᾶς ἀσίας οὐκ ἐπακούω.
3 οὐδ' ἐν τᾷ μεγάλᾳ δωρίδι νάσῳ
4 πέλοπος ποτὲ βλαστὸν,
5 φύτευμ' ἀχείρωτον αὐτόποιον
6 ἐγχέων φόβημα δαΐων,
7 ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ.
8 γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας.
9 τὸ μέν τις οὔτε νέος, οὔτε γήρᾳ
10 σημαίνων ἁλιώσει χειρὶ πέρσας.
11 ὁ γὰρ εἰσαιὲν ὁρῶν κύκλος
12 λεύσσει νιν μορίου διὸς,
13 χἀ γλαυκῶπις ἀθάνα.

ΑΝΤΙΣΤΡΟΦΗ. β'.

1 ἄλλον δ' αἶνον ἔχω
2 ματροπόλει τᾷδε κράτιστον
3 δῶρον τοῦ μεγάλου δαίμονος εἰπεῖν,
4 αὔχημα μέγιστον,
5 εὔιππον, εὔπωλον, εὐθάλασσον.
6 ὦ παῖ κρόνου, σὺ γάρ νιν εἰς
7 τόδ' εἷσας αὔχημ' ἄναξ ποσειδάν.
8 ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
9 πρώταισι ταῖσδ' ἔκτισας ἀγυιαῖς.
10 ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία χερ-
11 σὶ παραπτομένα πλάτα
12 θρώσκει τῶν ἑκατομπόδων
13 νηρηΐδων ἀκόλουθος.

ΙΑΜΒΟΙ.

Αν. Ω πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,
νῦν σοὶ τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη.
Οι. Τί δ' ἐστὶν ὦ παῖ καινόν;
Αν. Ασσον ἔρχεται
κρέων ὅδ' ἡμῖν οὐκ ἄνευ πομπῶν, πάτερ.
Οι. Ω φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
Οι. Θάρσει, παρέσται· καὶ γὰρ εἰ γέρων κυρῶ,

Attamen hujus terræ robur non conſenuit.
Cre. Viri nobiles, qui hanc terram colitis,
Video vos oculis concepiſſe
Jam metum aliquem, ab adventu meo,
Quē nō eſt opus ut metuatis, aut ut aliquid triſte dicatis.
Non enim huc veni, quaſi aliquid vi facturus:
Jam enim ſenex ſum, & non ignoro
Me venire ad urbem Græciæ in primis potentem.
Sed ablegatus ſum, ut huic viro
Perſuadeam, me ut ſequatur ad terram Thebanam:
Neque ab uno privatim miſſus ſum, ſed à civibus
Univerſis. Decet enim me propter ſanguinis cõjũctionē
Hujus ærumnis præcipuè commoveri.
Tu verò miſerrime OEdipe, auſculato mihi,
Redi domum: totus te populus Thebanus
Revocat merito, & ex omnibus ego maxime:
Quo magis, niſi omnium peſſimus ſim.
Propter tuas ærumnas, ut dolore afficiar, neceſſe eſt.
Video enim te infœlicem in exilio
Huc, illuc, vagari & unius tantum puellæ
Miniſterio uti, victúque egere, quam ego infœlix
Nunquam ita miſerè affectam fore
Exiſtimavi ſicut nunc eſſe video,
Dum te curat, & tibi ſedulo
Cibũ mendicando quærit, tam grãdis jam: Neq; nuptũ
Elocatur, ſed injuriæ cujuſvis expoſita eſt:
Quàm miſerum & turpe id eſt, Heu me infœlicem,
Probrum objicio tibi, mihíque, & generi noſtro:
Sed quæ manifeſta ſunt, ea occultari non poſſunt.
Tu verò, per Deos patrios obtempera mihi,
Téq; abde, ac volens ad nos, & in domũ paternam redi.
Huic verò urbi amanter valedicito:
Digna enim eſt: ſed pietas erga patriam
Plus valeat apud te, quæ jam olim te aluit.
OEd. O qui nihil non audes, & ſub cujuſque
Sermonis juſti ſpecie inſidias ſtruis,
Quid me ita tentas? & denuo capere vis,
Ut deinde captus maximè doleam.
Prius enim cùm malis domeſticis cruciarer,
Cúmque exoptarem ex patria diſcedere,
Non voluiſti petenti id beneficium præſtare:
Sed cùm doloribus ſaturatus eſſem,
Et jam domi conſumere vitã mihi jucundum videretur,
Ac ſentiebam dolore me nimium provectum eſſe,

τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.--

Κρ. Ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες.
ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδου,
ὃν μή ποτ' ὀκνεῖτε, μήτ' ἀφεῖτ' ἔπος κακόν.
ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθείς· ἐπεὶ
γέρων μέν εἰμι, πρὸς πόλιν δ' ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
ἀλλ' ἄνδρα τόνδε τηλίκον ἀπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον·
οὐκ ἐξ ἑνὸς στείλαντος, ἀλλ' ἀνδρῶν ὕπο
πάντων κελευσθείς, οὕνεχ' ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήματ', ἢ πλεῖστον πόλεως.
ἀλλ' ὦ ταλαίπωρ' Οἰδίπους, κλύων ἐμοῦ,
ἱκοῦ πρὸς οἴκους· πᾶς σε Καδμείων λεὼς
καλεῖ δικαίως· ἐκ δὲ τῶν πάντων ἐγώ,
ὅσωπερ (εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν
κάκιστος) ἀλγῶ τοῖσι σοῖς κακοῖς γέρον,
ὁρῶν σε τὸν δύστηνον ὄντα μὲν ξένον,
ἀεὶ δ' ἀλήτην, κἀπὶ προσπόλου μιᾶς
βιοστερῆ χωροῦντα· τὴν ἐγὼ τάλας
οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν
ἔδοξ' ὅσον πέπτωκεν ἥδ' ἡ δύσμορος,
ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
πτωχῇ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
ἔμπειρος, ἀλλὰ τοῦ 'πιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος, ὦ τάλας ἐγώ,
ὠνείδισ' εἰς σὲ, κἀμὲ, καὶ τὸ πᾶν γένος;
ἀλλ' οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν· σύ νυν
πρὸς θεῶν πατρῴων Οἰδίπους πεισθεὶς ἐμοί,
κρύψον, θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
εἰπών· ἐπαξία γάρ· ἡ δ' οἴκοι πλέον
δίκῃ σέβοιτ' ἂν οὖσα σὴ πάλαι τροφός.-

Οἰ. Ὦ πάντα τολμῶν, κἀπὸ παντὸς ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾷ, κἀμὲ δεύτερον θέλεις
ἑλεῖν ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν.
ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦν θυμούμενος,
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
κἀμάνθανον τὸν θυμὸν ἐκδεδραμόντα μοι,

Tunc me extrusisti, ac pepulisti, neque apud te
Conjunctio illa sanguinis quidquam valuit.
Nunc verò rursum, quando vides hanc urbem
Me amanter complecti, & totum populum,
Avellere inde conaris, & animo acerbo blādè loqueris:
Tantæ voluptati tibi est invitos amare.
Perinde ac si quis tibi petenti atque indigenti
Nihil det, neque opitulari velit,
Sed jam abundanti iis quæ petebas prius, tunc primum
Offerat, cùm jam beneficium neutiquam gratum sit,
An non stultum id beneficium dicas?
Talia & tu offers mihi jam dona,
Verbis quidem bona, reipsa autem mala. (malus sis.
Dicam verò etiam his præsentibus, & ostendam quàm
Venis ut me abducas, non quidem domi meæ.
Sed in finibus ut colloces, atque urbs tibi
Ut immūis à malis, quæ ab hac terra impendent, evadat.
Non hoc consequeris, sed illa evenient, nempe
Meus malus genius vos infestabit semper
Et filii mei tantum de terra mea obtinebunt,
Ut in ea moriantur solum.
Nunquid melius tibi fata Thebarum scire videor
Quam tu? Multo quidem: nam certiores autores audio,
Nempe Phœbum & Jovem qui ejus pater est.
Tu verò tuum mendax os hîc ostendis
Probè aculeatum: sed tua dicta
Plus mali tibi afferent, quàm boni.
Ergo abi: non enim persuadebis,
Méque sine hîc vivere: non enim malè
Ne sic quidem vivemus, quando hæc vita jucunda est.
Cre. An existimas me infœlicem magis esse propter te,
An verò te propter teipsum, cùm ista dicas?
OEd. Mihi valde jucundum erit, si tu neque me
Movere poteris, neque hos, qui apud me sunt:
Cre. O te miserum, quem neque tempus docuit
Sapere, sed senectutis etiam delirio laboras.
OEd. Lingua tu quidem acer es, sed neminem ego scio
Tam justum, qui ubique rectè loquatur.
Cre. Diversa sunt hæc, multa dicere, & opportuna.
OEd. Quàm hæc breviter quidem, sed opportunè dicis.
Cre. Non illis, qui ita sentiunt, sicut tu.
OEd. Apage te, dicam enim & pro his, neque me
Observa, aut mone, ubi habitare me oporteat.
Cre. Testor hosce, non te, præterea amicos,

τότ' ἐξεώθεις, κἀξέβαλλες, οὐδέ σοι
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον.
νῦν τ' αὖθις ἡνίκ' εἰσορᾷς πόλιν τέ μοι
ξυνοῦσαν εὔνουν τήνδε, καὶ γένος τὸ πᾶν,
πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
καίτοι τοσαύτη τέρψις ἄκοντας φιλεῖν.
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
μηδὲν διδοίη, μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις, τότε
δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέρει,
ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;
τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοὶ,
λόγῳ μὲν ἐσθλὰ, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' εἰς δόμους ἄγῃς,
ἀλλ' ὡς πάραυλον οἰκίσῃς· πόλις δέ σοι
κακῶν ἄνατος τῆσδ' ἀπαλλαχθῇ χθονός.
οὐκ ἔστι σοι ταῦτ'· ἀλλά σοι τάδ' ἔστ', ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί.
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τἀν Θήβαις φρονῶ;
πολλῷ γ', ὅσῳ περ ἐκ σαφεστέρων κλύω,
φοίβου τε, κἀυτοῦ Ζηνὸς, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα
πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῷ λέγειν
κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι,
ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'· οὐ γὰρ ἂν κακῶς
οὐδ' ὧδ' ἔχοντες ζῶμεν, εἰ τερποίμεθα.

Κρ. Πότερα νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σὰ,
ἢ σ' εἰς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;
Οι. Ἐμοὶ μὲν ἐσθ' ἥδιστον εἰ σὺ μήτ' ἐμὲ
πείθειν οἷός τ' εἶ, μήτε τούσδε τοὺς πέλας.
Κρ. Ὦ δύσμορ', οὐδὲ τῷ χρόνῳ φύσας φανῇ
φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφῃ;
Οι. Γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει.
Κρ. Χωρὶς τό τ' εἰπεῖν πολλὰ, καὶ τὰ καίρια.
Οι. Ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις.
Κρ. Οὐ δῆθ'· ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.
Οι. Ἄπελθ'· ἐρῶ γὰρ καὶ πρὸ τῶνδε· μηδέ με
φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
Κρ. Μαρτύρομαι τούσδ', οὐ σὲ, πρὸς δὲ τοὺς φίλους,

Si te aliquando cepero, ut nunc mihi responderis :
OEd. Quis verò me his sociis invitis eripiat ?
Cre. At tu quidem etiam absque his dolebis.
OEd. Quo pacto hoc minitaris ?
Cre. Ex filiabus duabus alteram enim jam abreptam
Domum misi, alteram verò statim abducam.
OEd. Hei mihi. *Cre.* Mox magis quod plores habebis.
OEd. Filiã ne meã habes ? *Cre.* Hãc sanè post non longũ tẽpus
OEd. O hospites quid facietis ? an me deseretis ? (habebo.
Non expelletis ex hac terra hunc impium ?
Cho. Discede hospes hinc celeriter : non enim in præsentia
Quæ facis justa sunt, nec quæ fecisti antea.
Cre. Vos ministri jam hanc abducite,
Vel invitam, si volens recusabit ire.
Ant. Heu me miseram quò fugiam ? quod auxilium deorum
Implorabo aut hominum ? *Cho.* Quid agis hospes ?
Cre. Non hunc attingam virum, sed meam.
OEd. O principes terræ. *Cho.* Hospes injustè agis.
Cre. Justè. *Cho.* Quomodo justè ?
Cre. Meos duco.

ANTISTROPHICA. Strophe.

Cho. O civitas.
Ant. Quid agis hospes, non dimittes ? statim
Experieris certamen manuum. *Cre.* Prohibe.
Cho. Prohibebo ita ut ne tu quidem vituperare queas.
OEd. Civitati enim resistis, si quid me lædis.
Cho. An non prædixi hæc fore ? *Cre.* Dimitte è manibus
Puellã statim *Cho.* Nõ Mãdes ea quæ in tua potestate non
Cre. Dimitte inquam. *Cho.* Et tibi ego dico ut eas. (sunt.
Adeste huc, adeste, venite incolæ,
Civitas vastatur, civitas mea per vim,
Venite huc auxilio mihi.

IAMBI.

Ant. Abripior infœlix, ô hospites, hospites.
OEd. Ubi filia mihi es ? *Ant.* Per vim abducor.
OEd. Porrige manum ô filia. *Ant.* At non possum.
Cre. Quin abducitis illam. *OEd.* O infœlix ego, infœlix.
Cre. Non amplius posthac his scipionibus nixus
Ambulabis : sed quando utique vis vincere,
Patriam tuam, & amicos, à quibus ego
Jussus hæc facio, & simul rex existens,

Vincas

οἷ' ἀνταμείβῃ ῥήματ' ἢν σ' ἕλω ποτέ.
Οἰ. Τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;
Κρ. Ἦ μὴν σὺ κἄνευ τῶνδε λυπηθεὶς ἔσῃ.
Οἰ. Ποίῳ σὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις;
Κρ. Παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ
ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.
Οἰ. Ὤ μοι. Κρ. Τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.
Οἰ. Τὴν παῖδ' ἔχεις μου; Κρ. Τήνδε γ' οὐ μακροῦ χρόνου.
Οἰ. Ἰὼ ξένοι, τί δράσετ'; ἢ προδώσετε;
κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
Χο. Χώρει ξέν' ἔξω θᾶσσον· οὔτε γὰρ τὰ νῦν
δίκαια πράσσεις, οὔθ' ἃ πρόσθεν εἴργασαι.
Κρ. Ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν.
ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
Αν. Οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
θεῶν ἄρηξιν, ἢ βροτῶν; Χο. Τί δρᾷς ξένε;
Κρ. Οὐχ ἅψομαι τοῦδ' ἀνδρὸς, ἀλλὰ τῆς ἐμῆς.
Οἰ. Ὦ γῆς ἄνακτες. Χο. Ὦ ξέν', οὐ δίκαια δρᾷς.
Κρ. Δίκαια. Χο. Πῶς δίκαια; Κρ. Τοὺς ἐμοὺς ἄγω.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφή.

Αν. Ἰὼ πόλις.
Χο. Τί δρᾷς ὦ ξέν'; οὐκ ἀφήσεις; τάχ' εἰς
βάσανον εἶ χερῶν. Κρ. Εἴργου.
Χο. Σοῦ μὲν οὔ, τάδε γε μωμένου.
Οἰ. Πόλει μάχῃ γὰρ, εἴ τι πημαίνεις ἐμέ.
Χο. Οὐκ ἠγόρευον ταῦτ' ἐγώ; Κρ. Μέθες χεροῖν
τὴν παῖδα θᾶσσον. Χο. Μὴ 'πίτασσ' ἃ μὴ κρατεῖς.
Κρ. Χαλᾶν λέγω σοί. Χο. Σοὶ δ' ἔγωγ' ὁδοιπορεῖν.
προβᾶθ' ὧδε, βᾶτε, βᾶτ' ἔντοποι.
πόλις ἐναίρεται, πόλις ἐμὰ σθένει,
προβᾶτέ μ' ὧδε.—

ΙΑΜΒΟΙ.

Αν. Ἀφέλκομαι δύστηνος, ὦ ξένοι, ξένοι.
Οἰ. Ποῦ τέκνον εἶ μοι; Αν. Πρὸς βίαν πορεύομαι.
Οἰ. Ὄρεξον ὦ παῖ χεῖρας. Αν. Ἀλλ' οὐδὲν σθένω.
Κρ. Οὐκ ἄξεθ' ὑμεῖς; Οἰ. Ὢ τάλας ἐγὼ, τάλας.
Κρ. Οὔκουν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
ὁδοιπορήσῃς· ἀλλ' ἐπεὶ νικᾶν θέλεις
πατρίδα τε τὴν σὴν, καὶ φίλους, ὑφ' ὧν ἐγὼ
ταχθεὶς τάδ' ἔρδω, καὶ τύραννος ὢν ὅμως,

Vincas sane: veniet sat scio, tempus, cum hæc cognosces,
Quòd & nunc in te ista malè consulis,
Et prius invitis amicis fecisti.
Iræ indulgens, quæ tibi semper plurimum nocet.
Cho. Contine hic te hospes. *Cre.* Edico, ne quis attingat.
Cho. Non te dimittam hisce ereptis.
Cre. Jam majus precium pro redimendo capto urbi
Conficies, attingam enim non has solas.
Cho. Quid nam igitur acturus? *Cre.* Hunc abreptum abducã.
Cho. Atrox est quod dicis. *Cre.* Hoc quidem tam peragetur,
Nisi me rex prohibebit.
OEd. O impudens os, si quidem tu me attinges.
Cre. Edico tibi ut taceas. *OEd.* Non enim Deæ (precer,
Hujus terræ mutũ me facient, quo minus tibi male im-
Qui me sceleratissime, unico oculo filiæ spoliasti
Per vim, supra illam priorem cæcitatem.
At tibi ipsi & generi tuo
Sol omnia videns, det talem
Vitam exigere in senectute, qualem ego exigo.
Cre. Videtis ista terræ hujus incolæ?
OEd. Vident & te & me, & intelligunt
Quòd facto læsus verbis te ulciscor.
Cre. Non amplius moderabor iræ, quin per vim abducam,
Etsi & solus sum & propter annos gravis.

ANTISTROPHE.

OEd. Heu me miserum.
Cho. Qua fiducia huc venisti,
Quòd te hoc effecturum speras? *OEd.* Arbitror.
Cho. Hanc non amplius existimabo esse civitatem.
Cre. In causa justa etiam parvus vincit magnum.
OEd. Auditis quæ loquitur? *Cho.* Sed hæc non perficiet.
Cre. Deus hoc novit, non tu. (renda tamen,
Cho. An non hæc contumelia est? *Cre.* Est contumelia, sed fe-
Cho. O cives universi, ô terræ principes,
Adeste, properè adeste: ultra enim fas & justum
Proceditur jam.

THROCHÆI.

Th. Quid hoc clamoris est? quid rei? quemnam ob metum
Revocatis me sacrificantem ad aram Neptuno

Præsidi

νικᾷ. χρόνῳ γὰρ (οἶδ' ἐγὼ) γνώσῃ τάδε,
ὅθ' οὕνεκ' αὐτὸς αὑτὸν οὔτε νῦν καλὰ
δρᾷς, οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,
ὀργῇ χάριν δούς, ἥ σ' ἀεὶ λυμαίνεται.--
Οι. Ἐπίσχες αὐτοῦ ξεῖνε. Κρ. Μὴ ψαύειν λέγω.--
Χο. Οὔτοι σ' ἀφήσω, τῶνδέ γ' ἐστερημένος.
Κρ. Καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
θήσεις· ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
Χο. Ἀλλ' ἐς τί τρέψῃ; Κρ. Τόνδ' ἀπάξομαι λαβών.
Χο. Δεινὸν λέγεις. Κρ. Ὡς τοῦτο νῦν πεπράξεται,
ἢν μή μ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
Οι. Ὦ φθέγμ' ἀναιδές, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;
Κρ. Αὐδῶ σιωπᾶν. Οι. Μὴ γὰρ αἵδε δαίμονες
θεῖέν μ' ἄφωνον τῆσδε γῆς ἀρᾶς ἔτι.
ὅς μ' ὦ κάκιστε ψιλὸν ὄμμ' ἀποσπάσας
πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχῃ βίᾳ.
τοιγὰρ σέ καὐτὸν καὶ γένος τὸ σόν, θεῶν
ὁ πάντα λεύσσων ἥλιος δοίη βίον
τοιοῦτον οἷον κἀμὲ γηρᾶναι ποτέ.--
Κρ. Ὁρᾶτε ταῦτα τῆσδε γῆς ἐγχώριοι;
Οι. Ὁρῶσι κἀμὲ καὶ σέ· καὶ φρονοῦσ' ὅτι
ἔργοις πεπονθὼς, ῥήμασίν σ' ἀμύνομαι.
Κρ. Οὔτοι καθέξω θυμόν, ἀλλ' ἄξω βίᾳ,
κεἰ μοῦνός εἰμι, τόνδε, καὶ χρόνῳ βραδύς.--

ΑΝΤΙΣΤΡΟΦΗ.

Οι. Ἰὼ τάλας.
Χο. Ὅσον λῆμ' ἔχων ἀφίκου ξέν', εἰ
τάδε δοκεῖς τελεῖν. Κρ. Δοκῶ.
Χο. Τάνδ' ἆρ' οὐκέτι νέμω πόλιν.
Κρ. Τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν.
Οι. Ἀκούεθ' οἷα φθέγγεται; Χο Τά γ' οὐ τελεῖ.
Κρ. Ζεὺς ταῦτ' ἂν εἰδείη, σὺ δ' οὔ.
Χο. Ἆρ' οὐχ ὕβρεις τάδ'; Κρ. Ὕβρις, ἀλλ' ἀνεκτέα.
Χο. Ἰὼ πᾶς λεώς, ἰὼ γᾶς πρόμοι
μόλετε σὺν τάχει, μόλετ'· ἐπεὶ πέραν
περῶσι δῆτα.

ΤΡΟΧΑΙΟΙ.

Θη. Τίς ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ,

τοῦδ'

Præsidi hujus loci? Dicite, ut rem omnem sciam.
Quapropter huc veni celerius, quàm pedibus suave fuit.

IAMBI.

OEd. O charissime, agnovi vocem tuam,
Passus sum atrocia ab hoc viro.
The. Quæ nam? quisve est, qui te affligit? dic mihi.
OEd. Hic Creon, quem vides, filiarum
Qui à me avulsit, quod mihi solum erat, auxilium:
The. Quid narras? *OEd.* Audis ea quæ passus sum.
The. Eat ergo aliquis ex ministris quàm celerrimè
Ad has aras, omnémque populum cogat,
Peditem simul & equitem, à sacris ipsis
Ut accelerent & à custodia, ad locum, ubi duplex
Via coit ambulantibus,
Ne præter ducantur puellæ: nam deridiculus
Hospiti fierem huic, si vi me vinci patiar:
Ite ut jussi celeriter. Hunc verò,
Si quidem ira uti vellem, qua dignus est,
Non absque vulnere dimitterem de mea manu.
Nunc verò qua lege ipse usus est,
Eadem, non alia tenebitur.
Non enim hinc abibis, priusquam
Illas coràm mihi huc sistes iterum.
Neque enim me dignum fecisti,
Neque majoribus tuis, nec patria tua,
Qui in urbem jure constitutam ingressus,
Et absque lege gerentem nihil, omisso
Jure loci, per vim irruens
Aufers quod vis, & violenter agis,
Mihique urbem vacuam viris, aut servam
Esse censuisti, méque hominem nihili.
Neque verò te hanc disciplinam Thebæ docuerunt,
Non enim solent viros injustos alere,
Neq; probabunt, si audient
Te deprædari mea, & violare sacra per vim,
Et abducere miseros supplices.
Ego sanè, si tuam terram ingressus essem,
Etsi causam haberem justissimam,
Non tamen absque regis, quicunque esset, autoritate,
Traherem, vel ducerem quidquam: sed memor essem,
Ut hospitem apud cives se gerere conveniret.
Tu verò patriam indignè deformas tuam

πρὸς ἐπιστάτη κολωνοῦ; λέξαθ', ὡς ἴδω τὸ πᾶν
οὗ χάριν δεῦρ' ἧξα θᾶσσον ἢ καθ' ἡδονὴν ποδός.

ΙΑΜΒΟΙ.

Οι. Ὦ φίλτατ'· (ἔγνων γὰρ τὸ προσφώνημά σου)
πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
Θη. Τὰ ποῖα ταῦτα; τίς δ' ὁ πημήνας; λέγε.
Οι. Κρέων ὅδ', ὃν δέδορκας, οἴχεται τέκνων
ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.
Θη. Πῶς εἶπας; Οι. Οἷάπερ πέπονθ' ἀκήκοας.
Θη. Οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
πρὸς τούσδε βωμούς, πάντ' ἀναγκάσει λεών,
ἄνιππον ἱππότην τε θυμάτων ἄπο,
σπεύδειν ἀπὸ ῥυτῆρος, ἔνθα δίστομοι
μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοί,
ὡς μὴ παρέλθωσ' αἱ κόραι· γέλως δ' ἐμῷ
ξένῳ γένωμαι τῷδε χειρωθεὶς βίᾳ.
ἴθ' ὡς ἄνωγα σὺν τάχει. τοῦτον δ' ἐγώ,
εἰ μὲν δι' ὀργῆς ἧκον ἧς ὅδ' ἄξιος,
ἄτρωτον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός.
νῦν δ' ὥσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων,
τούτοισιν οὐκ ἄλλοισιν ἁρμοσθήσεται.
οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων.
ἐπεὶ δέδρακας οὔτ' ἐμοῦ καταξίως,
οὔθ' ὧν πέφυκας αὐτός, οὔτε σῆς χθονός,
ὅστις δίκαι' ἀσκοῦσαν εἰσελθὼν πόλιν,
κἄνευ νόμου κραίνουσαν οὐδέν, εἶτ' ἀφεὶς
τὰ τῆσδε τῆς γῆς κύρι', ὧδ' ἐπεισπεσὼν,
ἄγεις τὰ χρῄζεις, καὶ παρίστασαι βίᾳ·
καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ' ἴσον τῷ μηδενί,
καίτοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν.
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν.
οὐδ' ἄν σ' ἐπαινέσειαν, εἰ πυνθοίατο
συλῶντα τἀμά, καὶ τὰ τῶν θεῶν βίᾳ,
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ' ἂν σῆς ἐπεμβαίνων χθονός,
οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος (ὅστις ἦν) χθονός,
οὔθ' εἷλκον, οὔτ' ἂν ἦγον· ἀλλ' ἠπιστάμην
ξένον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρεών.
σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν

τὴν

Ipse, & te ingravescens ætas
Senem simul efficit, & mente deerrantem.
Sicut igitur antè edixi, ita & nunc edico,
Ut aliquis quàm primum puellas huc reducat mihi,
Nisi incola hujus terræ voles
Vel invitus esse: Et hæc tibi
Ex animo pariter, ac ore dico. (res tuos attinet,
Cho. Quo loco res tibi sit, vides hospes: nam quod ad majo-
Justus videris, ea verò quæ agis injusta sunt.
Cre. Non ego sine viris hanc urbem existimans,
Neque sine consilio, quemadmodum tu dicis,
Opus hoc feci, sed cùm scirem,
Quòd nemo civium propter meos cognatos
Æmulatione ad hoc moveretur, ut eos me invito aleret:
Et nossem quòd virum parricidam
Ac pollutũ non recepturi essetis: neq; qui ex connubio
Incesto liberos suscepisset.
Talem ego Senatum civibus in Areopago (cederet
Rectè consulentẽ & generosum esse norã, qui non con-
Ut hõines ita temerè errãtes, in hac urbe simul cõsideret,
Quibus rebus confisus hanc aggressus sum prædam.
Et quidem hæc non perpetrassem, nisi mihi ipsi tristes
Diras imprecatus esset, & meo generi.
Quare injuria affectus volui hæc contra facere:
Iram enim nil aliud extinguit nisi mors.
Mortuos verò nullus dolor exercet amplius.
Ob hæc facere poteris, quod voles.
Nam solitudo me, & si causam justam dico,
Tamen humilem facit. Ut ut verò res erit,
Etsi hac ætate sum, tamen resistere conabor.
OEd. O ingenium impudens, cui te conviciari existimas?
Mihi ne seni, an tibi ipsi?
Qui mihi cædes, & connubia, & calamitates
Impudenter commemoras, quæ mihi infœlici
Invito acciderunt. Deo enim fortè ita visum est,
Succẽsẽti generi nostro fortasse ob vetus aliquod delictũ.
Re ipsa enim non invenies in me
Aliquod probo dignum facinus, quod vel contra me,
Vel contra meos commiserim.
Nam dic mihi, Si oraculo responsum erat patri,
Fore ut à filio occideretur,
Quo jure hoc mihi exprobrare potes?
Qui necdum adhuc ex semine patris
Aut matris conceptus natúsve eram.

Si

τὴν αὐτὸς αὑτοῦ, καὶ σ' ὁ πληθύνων χρόνος
γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ' ἄγειν τινὰ,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
εἶναι βίᾳ τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
τῷ νῷ θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.

Χο. Ὁρᾷς ἵν' ἥκεις ὦ ξέν', ὡς ἀφ' ὧν μὲν εἶ,
φαίνῃ δίκαιος, δρῶν δ' ἐφευρίσκῃ κακά;

Κρ. Ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν λέγων,
ὦ τέκνον Αἰγέως, οὔτ' ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ' ἐξέπραξα· γιγνώσκων δ' ὅτι
οὐδείς ποτ' αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ' ἐμοῦ τρέφειν βίᾳ.
ᾔδειν δ' ὁθ' οὕνεκ' ἄνδρα καὶ πατροκτόνον
κἄναγνον οὐ δεξοίατ', οὐδ' ὅτῳ γάμοι
ξυνόντες ηὑρέθησαν ἀνόσιοι τέκνων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδειν χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει.
ᾧ πίστιν ἴσχων, τήνδ' ἐχειρούμην ἄγραν.
καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον εἰ μή μοι πικρὰς
αὐτῷ τ' ἀρὰς ἠρᾶτο καὶ τὠμῷ γένει.
ἀνθ' ὧν πεπονθὼς, ἠξίουν τάδ' ἀντιδρᾶν.
θυμοῦ γὰρ οὐδὲν γῆρας ἔστιν, ἄλλο πλὴν
θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.
πρὸς ταῦτα πράξεις οἷ' ἂν θέλῃς· ἐπεὶ
ἐρημία με, κεἰ δίκαι' ὅμως λέγω,
σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως
καὶ τηλικόσδ' ὢν ἀντιδρᾶν πειράσομαι.

Οι. Ὦ λῆμ' ἀναιδὲς, τοῦ καθυβρίζειν δοκεῖς;
πότερον ἐμοῦ γέροντος ἢ σαυτοῦ τόδε;
ὅστις φόνους μοι καὶ γάμους καὶ ξυμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων· θεοῖς γὰρ ἦν οὕτω φίλον,
τάχ' ἄν τι μηνίουσιν εἰς γένος πάλαι.
ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδὲν, ἀνθ' ὅτου
τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.
ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ', ὥστε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοί;
ὃς οὔτε βλάστας πω γενεθλίους πατρὸς,
οὐ μητρὸς εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦν.

εἰ δ'

Si verò infœlici fato natus, ficut natus fum,
Incidi in manus patris, & ipfum interfeci.
Ignarus & quid facerem, & contra quem,
Quo pacto factũ involuntariũ merito damnare potes?
De nuptiis verò matris, ô infœlix non te pudet
Me cogere ut dicam, cùm ea foror tua fuerit?
De quibus ftatim dicam, neque tacebo,
Quando tu impia voce tua eò provectus es.
Peperit enim, peperit: heu infœlicitatem,
Ignarum me ipfa ignara: & deinde mihi nato
Liberos peperit probrum fuum.
Atque unum hoc fcio, te volentem hæc probra
In me atque illam jacere, Ego verò eam
Invitus duxi, & hæc invitus loquor:
Etfi ne quidem ob hoc connubium
Merito male audio, Neq; ob eam ipfam, quam toties
Objicis mihi patris cædem exprobrans acerbe.
Unum enim refponde mihi, quod te interrogo,
Si quis te virum juftum ftatim hìc
Opprimens occidere vellet, Quæreres ne, (cifcereris?
Utrum pater is effet, qui te occideret, an verò ftatim ul-
Exiftimo, fiquidem vitam amares, autorem cædis
Ulcifcereris, neque quid juftum circumfpiceres.
In tanta mala & ego incidi
Diis impellentibus, de quibus ne quidem patris
Anima, fi revivifcat, mihi contradictura effet.
Tu verò injuftus cùm fis, omnia tamen
Fanda & infanda te jufte dicere exiftimas,
Et talibus probris me oneras coram his.
Et nomini Thefei blandè palparis,
Urbíque Atticæ, quòd pulchrè fit habitata.
Atq; has laudes dum commemoras hoc longè præteris,
Quòd fi qua terra eft, quæ Deos novit
Honore colere, in hoc hæc Thefei terra excellit,
Unde tu fupplicem ac fenem furaris,
Méque captivum abducis: & puellas eripuifti mihi,
Quapropter ego has Deas
Invoco & precibus deprecor,
Ut ferant mihi auxilium ut tu cognofcas
A qualibus viris hæc civitas defenditur.
Cho. Hofpes hic bonus videtur, fed calamitas
Ejus magna eft, & digna defenfione.
The. Satis eft verborum, Qui enim abrepti funt,
Hi feftinant, nos verò injuria affecti hìc ftamus?

Quid

εἰ δ' αὖ φανεὶς δύστηνος ὡς ἐγὼ 'φάνην,
εἰς χεῖρας ἦλθον πατρί, καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων εἰς οὕς τ' ἔδρων,
πῶς γ' ἂν τό γ' ἄκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;
μητρὸς δὲ, τλῆμον, οὐκ ἐπαισχύνῃ γάμους
οὔσης ὁμαίμου σῆς μ' ἀναγκάζων λέγειν;
οἵους ἐρῶ τάχ', οὐ γὰρ οὖν σιγήσομαι,
σοῦ γ' εἰς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
ἔτικτε γάρ μ', ἔτικτεν, ὤ μοι μοι κακῶν,
οὐκ εἰδότ' οὐκ εἰδυῖα· καὶ τεκοῦσά με,
αὑτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
ἀλλ' ἓν γὰρ οὖν ἔξοιδα, σὲ μὲν ἑκόντ' ἐμὲ
κείνην τε ταῦτα δυστομεῖν· ἐγὼ δέ νιν
ἄκων ἔγημα, φθέγγομαί τ' ἄκων τάδε.
ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἀκούσομαι κακὸς
γάμοισιν, οὔθ' οὓς αἰὲν ἐμφέρεις σύ μοι
φόνους πατρῴους ἐξονειδίζων πικρῶς.
ἓν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνιστορῶ·
εἴ τίς σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε
κτείνοι παραστάς, πότερα πυνθάνοι' ἂν εἰ
πατήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
δοκῶ μὲν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι' ἂν, οὐδὲ τοὔνδικον περιβλέποις.
τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακὰ,
θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
σὺ δ', εἰ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ' ἔπος,
τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλὸν,
καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς·
κᾆθ' ὧδ' ἐπαινῶν πολλὰ τοῦδ' ἐκλανθάνῃ,
ὅθ' οὕνεκ' εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τῷδ' ὑπερφέρει.
ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ
αὐτόν τε χειροῦ, τὰς κόρας τ' οἴχῃ λαβών.
ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι, καὶ κατασκήπτω λιταῖς
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους θ' ἵν' ἐκμάθης
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.

Χο. Ὁ ξεῖνος, ὦναξ, χρηστός· αἱ δὲ ξυμφοραὶ
αὐτοῦ πανώλεις, ἄξιαι δ' ἀμυνάθειν.

Θη. Ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
σπεύδουσιν, ἡμεῖς δ' οἱ παθόντες, ἕσταμεν.

Cre. Quid igitur ſeni & imbecillo ut faciat imperas?
The. Tu præcede, ego vero comes
Sequar, ut ſicubi in his locis habes
Puellas noſtras, ipſe oſtendas mihi.
Si vero in manibus aliorũ fugiunt, non eſt quod laborẽ.
Alii enim ſunt qui eas perſequ. feſtinãtes, è quorũ man.
Ex hac terra non effugient tui, ut diis ſupplicare poſſint
Sed præi, & cogita, quo loco res tuæ ſint.
Nam te aliis inſidiantem oppreſſit fortuna: Dolo enim
Malo parta non ſervantur.
Neque alium me habebis in hac re. quoniam te ſcio
Non nudum neque imparatum ad tantam injuriam
Ac vim faciendam acceſſiſſe:
Sed eſt aliquid, quo fretus hæc feciſti,
Hoc me exquirere oportet: neque hanc urbem
Ab uno viro vinci patiemur.
Intellexiſti ne hæc, an fruſtra nunc tibi
Dicta videntur, & quando iſta ſtruebas?
Cre. Nihil eorum quæ dixiſti reprehendo:
The. Domi vero ſciemus quid vos facere oporteat,
Jam vade, deinde minare Tu vero
Quietus hic mane, confidens
Me, niſi moriar, prius non deſiturum eſſe,
Quam filiarum te rurſum compotem faciam.
OEd. Bene ſit tibi, ob iſtam virtutem,
Et ob hanc erga nos juſtam benignitatem.

ANTISTROPHICA ſtrophe 1.

Cho. Utinam eſſem, ubi hoſtium
Congregationes ſtatim
Ferriſtrepum Martem
Miſcebunt, vel in Pythio,
Vel Eleuſinio littore,
Ubi venerandæ ſacerdotes
Fovent ſacra Cereris
Hominibus: & equorum aurea
Sera linguam claudit
Miniſtri Eumolpidæ.
Ibi puto bellicoſum
Theſea & geminas
Innuptas ſorores,
Magno cum tumultu concurſuros eſſe
In his regionibus.

Κρ. Τί δῆτ᾽ ἀμαυρῷ φωτὶ προστάσσεις ποιεῖν;
Θη. Ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δέ με
χωρεῖν, ἵν᾽ εἰ μὲν ἐν τόποισι τοῖσδ᾽ ἔχεις
τὰς παῖδας ἡμῖν, αὐτὸς ἐνδείξῃς ἐμοί.
εἰ δ᾽ ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν.
ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μήποτε
χώρας φυγόντες τῆσδ᾽ ἐπεύχωνται θεοῖς.
ἀλλ᾽ ἐξυφηγοῦ· γνῶθι δ᾽ ὡς ἔχων ἔχῃ,
καί σ᾽ εἷλε θηρῶνθ᾽ ἡ τύχη· τὰ γὰρ δόλῳ
τῷ μὴ δικαίῳ κτήματ᾽ οὐχὶ σώζεται.
κοὐκ ἄλλον ἕξεις εἰς τόδ᾽· ὡς ἔξοιδά σε
οὐ ψιλὸν οὐδ᾽ ἄσκευον ἐς τοσήνδ᾽ ὕβριν
ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν.
ἀλλ᾽ ἔσθ᾽ ὅτῳ σὺ πιστὸς ὢν ἔδρας τάδε.
ἃ δεῖ μ᾽ ἀθρῆσαι μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν
νοεῖς τι τούτων, ἢ μάτην τανῦν τέ σοι
δοκεῖ λελέχθαι, χὤτε ταῦτ᾽ ἐμηχανῶ;
Κρ. Οὐδὲν σὺ μεμπτὸν ἐνθάδ᾽ ὢν ἐρεῖς ἐμοί.
οἴκοι δὲ χἠμεῖς εἰσόμεσθ᾽ ἃ χρὴ ποιεῖν.
Θη. Χωρῶν ἀπείλει νῦν· σὺ δ᾽ ἡμὶν οἰδίπους,
ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι
ἢν μὴ θάνω ᾽γὼ πρόσθεν, οὐχὶ παύσομαι
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.
Οἰ. Ὄναιο Θησεῦ τοῦ τε γενναίου χάριν
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθείας.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ α᾽.

Χο. 1 Εἴην ὅθι δαΐων
2 ἀνδρῶν τάχ᾽ ἐπιστροφαὶ
3 τὸν χαλκοβόαν ἄρη
4 μίξουσιν, ἢ πρὸς πυθίαις
5 ἢ λαμπάσιν ἀκταῖς.
6 Οὗ πότνιαι σεμναὶ τιθη-
7 νοῦνται τέλη
8 θνατοῖσιν, ὧν καὶ χρυσέα
9 κλῇς ἐπὶ γλώσσᾳ βέβακεν
10 προσπόλων Εὐμολπιδᾶν·
11 ἔνθ᾽ οἶμαι τὸν ἐγρεμάχαν
12 Θησέα καὶ τὰς διστόλους
13 ἀδμήτας ἀδελφὰς
14 αὐτάρκει τάχ᾽ ἐμμίξειν βοᾷ
25 τούσδ᾽ ἀνὰ χώρους.

ANTISTROPHE I.

An vero in locis occiduis
Ubi Niphades petræ sunt, occurrent.
In terra OEatide pascua.
Ibi ne equestribus aut curulibus
Fugientes præliis
Capientur. Acer est impetus
Martis incolarum,
Et acris Theseidarum virtus.
Ubique enim lucent frena,
Ubique festinant
Phaleris ornatos
Conscendere equos, qui equestrem
Colunt Minervam,
Et qui mari præest Neptunum,
Rheæ filium.

STROPHE 2.

Jam ne rem gerunt, an cunctantur ?
Quam mihi mens præsagit,
Creontem statim redditurum esse
Puellam. quæ graves sustinuit
Ærumnas propter sanguine junctos.
Deus quotidie aliquid conficit.
Vates sum fælicium præliorum.
Utinam velox celeri
Impetu columba sim,
Æthereis in nubibus volans,
Ut in ipsis pugnis
Mentis meæ præsagium videam,

ANTISTROPHE 2.

O Jupiter Deorum Rex,
Omnia qui cernis, facias
Ut hujus terræ gubernatores
Victrici virtute
Conficiant hanc cohortem. quæ facile capi potest.
Inclyta filia Jovis Minerva,
Teque venator Apollo invoco,
Et sororem Dianam,

ΑΝΤΙΣΤΡΟΦΗ α'.

1 ἢ που τὸν ἐφέσπερον
2 πέτρας νιφάδος πελῶ-
3 σ' οἰάτιδος ἐκ νομοῦ
4 πώλοισιν ἢ ῥιμφαρμάτοις
5 φεύγοντες ἁμίλλαις;
6 ἁλώσεται· δεινὸς γ' ὁ προσ-
7 χώρων ἄρης,
8 δεινὰ δὲ Θησειδᾶν ἀκμά.
9 πᾶς γὰρ ἀστράπτει χαλινὸς,
10 πᾶσα δ' ὁρμᾶται κατ' ἀμ-
11 πυκτήρια φάλαρα πώλων
12 ἄμβασις, οἳ τὰν ἱππίαν
13 τιμῶσιν ἀθάναν,
14 καὶ τὸν πόντιον γαιάοχον
15 ῥέας φίλον υἱόν.

ΣΤΡΟΦΗ β.

1 ἔρδουσιν ἢ μέλλουσιν; ὡς
2 προμνᾶταί τί μοι
3 γνώμα τάχ' ἂν δώσειν
4 τὰν δεινὰ τλᾶσαν, δεινὰ δ' εὑ-
5 ροῦσαν πρὸς αὐθομαίμων πάθη.
6 τελεῖ τελεῖ Ζεύς τι κατ' ἆμαρ.
7 μάντις εἰμ' ἐσθλῶν ἀγώνων,
8 εἴθ' ἀελλαία ταχύρ-
6 ρωστος πελειὰς
10 αἰθερίας νεφέλας
11 κύρσαιμ', αὐτῶν δ' ἀγώνων
12 θεωρήσασα τοὐμὸν ὄμμα.

ΑΝΤΙΣΤΟΦΗ β'.

1 ὦ Ζεῦ γε παντάρχα θεῶν,
2 παντόπτα, πόροις
3 γᾶς τᾶσδε δαμούχοις
4 ἐπινικίῳ σθένει τὸν εὔ-
5 αγρον τελειῶσαι λόχον.
6 σεμνά τε παῖς Παλλὰς ἀθάνα
7 καὶ τὸν ἀγρευτὰν ἀπόλλω,
8 καὶ κασιγνήταν πυκνο-

Maculoſorum ſectatricem
Velocium cervorum,
Obſecro vos, ut gemino auxilio
Huic terræ adſitis, & civibus,

IAMBI.

Cho. Non me dices eſſe ſpeculatorem.
Falſum, puellas enim video
Prope huc rurſum accedere.
OEd. Ubi ubi, quid ais? *Ant.* O pater, pater,
Quis Deus tibi, ut optimum virum videas
Concedat, qui nos huc remiſit tibi?
OEd. O filia an ne adeſtis? *Ant.* Nos quidem manus
Theſei ſervarunt, & optimorum comitum.
OEd. Accedite, ô filia, ad patrem, & corpus meum
Præter ſpem erigite.
Ant. Quod petis conſequeris, nam cupide præſtamus hoc beneficium
OEd. Ubi igitur, ubinam eſtis? *Ant* Ecce una accedimus.
OEd. O dulciſſimæ plantæ. *Ant.* Patri quidvis gratum eſt.
OEd. O fulcra viri. *Ant.* Infœlicia fulcra.
OEd. Teneo dulciſſima pignora, neque tamen omnino infœlix ero
Si moriar, cum vos aderitis mihi.
Fulcite, ô filiæ, dextrum latus meum,
Adhærete genitori, & componite ad quietem
Me qui deſertus eram prius, infœlicem exulem,
Et mihi quomodo res acta eſt paucis narrate:
Nam vobis id ætatis ſufficit brevis oratio.
Ant. Hic eſt qui nos ſervavit, ex eo audies, pater,
Et ſic oratio mea brevis erit.
OEd. O hoſpes, ne mireris, ſi præ gaudio
Propter filiarum inſperatum reditum dilato ſermonem
Scio enim hanc voluptatem à nemine alio
Quam à te mihi oblatam eſſe.
Tu enim ipſas ſervaſti, & alius nemo,
Et tibi Dii tribuant, quemadmodum ego opto,
Tibi ipſi, ac terræ huic: nam pietatem
Apud vos ſolos inter homines inveni,
Et æquitatem ac veritatem.
Expertus igitur, ſermone hoc teſtificor,
Nam per te habeo quæ habeo, & non per alium.
Porrige mihi ô Rex dexteram,
Ut tangam, & exoſculer, ſi fas eſt, tuum caput.
Sed quid loquor, quomodo ego infœlix

9 στίκτων ὀπαδὸν
10 ὠκυπόδων ἐλάφων,
11 στέργω διπλᾶς ἀρωγὰς
12 μολεῖν γᾷ τᾷδε καὶ πολίταις.

ΙΑΜΒΟΙ.

Χο. Ὦ ξεῖν' ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς
ὡς ψευδόμαντις· τὰς κόρας γὰρ εἰσορῶ
τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας.
Οι. Ποῦ, ποῦ; τί φής; πῶς εἶπας; Αν. Ὦ πάτερ, πάτερ,
τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
δοίη τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
Οι. Ὦ τέκνον, ἦ πάρεστον; Αν. Αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν, φιλτάτων τ' ὀπαόνων.
προσέλθετ' ὦ παῖ πατρὶ, καὶ τὸ μηδαμὰ
ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.
Αν. Αἰτεῖς ἃ τεύξῃ· σὺν πόθῳ γὰρ ἡ χάρις.
Οι. Ποῦ δῆτα· ποῦ 'στον; Αν. Αἵδ' ὁμοῦ πελάζομεν.
Οι. Ὦ φίλτατ' ἔρνη. Αν. Τῷ τεκόντι πᾶν φίλον.
Ο. Ὦ σκῆπτρα φωτός. Αν. Δυσμόρου τε δύσμορα.
Οι. Ἔχω τὰ φίλτατ'· οὐδ' ἔτ' ἂν πανάθλιος
θανὼν ἂν εἴην, σφῷν παρεστώσαιν ἐμοί.
ἐρείσατ' ὦ παῖ πλευρὸν ἀμφὶ δεξιὸν
ἐμφῦτε τῷ φύσαντι, κἀναπαύσατον
τοῦ πρόσθ' ἐρήμου τοῦ τε δυστήνου πλάνου.
καί μοι τὰ πραχθέντ' εἴπαθ' ὡς βράχιστ', ἐπεὶ
ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.
Αν. Ὅδ' ἔσθ' ὁ σώσας· τοῦδε χρὴ κλύειν πάτερ.
καὶ σοί γε τοὔργον τοὐμὸν ἔσται δὴ βραχύ.
Οι. Ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρὲς,
τέκν' ἐμφανέντ' ἄελπτα, μηκύνω λόγον.
ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
τέρψιν παρ' ἄλλου μηδενὸς πεφασμένην.
σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν.
καί σοι θεοὶ πόροιεν, ὡς ἐγὼ θέλω,
αὐτῷ τε καὶ γῇ τῇδ'· ἐπεὶ τό γ' εὐσεβὲς
μόνοις παρ' ὑμῖν εὗρον ἀνθρώπων ἐγὼ,
καὶ τοὐπιεικὲς, καὶ τὸ μὴ ψευδοστομεῖν,
εἰδὼς δ', ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε.
ἔχω γὰρ ἅχω διὰ σὲ, κοὐκ ἄλλον βροτῶν.
καί μοι χέρ' ὦναξ δεξιὰν ὄρεξον, ὡς
ψαύσω φιλήσω τ', εἰ θέμις, τὸ σὸν κάρα.
καίτοι τί φωνῶ; πῶς δ' ἂν ἄθλιος γεγὼς,

Attingere postulem virum, qui non est
Aliqua labe contaminatus? Non ego te
Non sane relinquam: Nam quî ipsi miserias experti sunt
Hi soli ex afflictionibus aliorum dolorem capiunt.
Tu vero istinc mihi salve, & in posterum me
Juste cura, quemadmodum hactenus fecisti.

The. Non admiror quod oratione longiori usus es.
Lætitia affectus ob receptas filias,
Neque quod ante me harum sermonem occupasti.
Nihil enim horum nobis grave est:
Non enim sermonibus studemus
Inclarescere magis quam factis,
Id re ipsa ostendo, nam quæ juravi, ea præsto
Omnia tibi senex, & has adduco tibi
Salvas, atque à minis Creontis liberatas.
Quomodo vero certamen hoc peractum sit quid attinet
Frustra gloriari cum hæ tibi commemorare possint.
Sed sermonem, qui mihi jam renunciatus est
Huc advenienti, animo expende, qui & si
Levis videtur, admiratione tamen dignus est.
Rem vero nullam negligere homines decet.

OEd. Quid vero est? ô Theseu, doce me.
Non enim quicquam eorum scio quæ interrogas.

The. Dicunt nobis quendam, non quidem popularem tuum,
Sed tamen cognatum supplicem,
Ad aram sedere Neptuni, ubi
Forte sacrificabam, cum inde excitarer.

OEd. Quis nam est? aut quid petit ad aram sedens?

The. Non scio, nisi quod audio eum
Aliquid exiguum à te petere, non fastuose.

OEd. Quid nam? non. n. de nihilo est. quod ad aram sedet.

The. Dicunt eum petere, ut ipse coram tecum colloqui pos-
Tutoque huc ire ut liceat, atque hinc abire. (sit.

OEd. Quis nam igitur est, qui in loco sacro assedit?
Vide, num quis cognatorum vobis sit in urbe Argivo-
Qui te convenire postulet. (rum,

OEd. O charissime, mane ubi es. *The.* Quid tibi est?

OEd. Ne me obsecra. *The.* Quare dic mihi?

OEd. Scio, Audivi enim ex his, qui sit iste supplex.

The. Quis tandem est? quem ego sane reprehenderim.

OEd. Filius ô Rex, meus odiosus, cujus sermonem ego
Non absque maximo dolore audire possim,

The. Quid vero? An non tibi audire, & tamen non facere
Quod nolis licet? Quid audire molestum est?

Tristissima

θιγεῖν θελήσαιμ' ἀνδρὸς ᾧ τις οὐκ ἔνι
κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε.
οὐδ' οὖν ἐάσω. τοῖς γὰρ ἐμπείροις βροτῶν
μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
σὺ δ' αὐτόθεν μοι χαῖρε· καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.

Οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον,
τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
οὐδ' εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ' ἔπη.
βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.

Θη. Οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
δείκνυμι δ'. ὧν γὰρ ὤμοσ' οὐκ ἐψευσάμην
οὐδέν σε πρέσβυ· τάσδε γὰρ πάρειμ' ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
χ' ὅπως ἀγὼν μὲν οὗτος ᾑρέθη, τί δεῖ
κομπεῖν, ἅ γ' εἴσῃ κ' αὐτὸς ἐκ ταύταιν ξυνών;
λόγον δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην· ἐπεὶ
σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.
πρᾶγος δ' ἀτίζειν οὐδὲν ἀνθρώπων χρεών.

Οι. Τί δ' ἔστι, τέκνον Αἰγέως; δίδασκέ με
ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν ὧν σὺ πυνθάνῃ.

Θη. Φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
οὐκ ὄντα, συγγενῆ δέ, προσπεσόντα πως
βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
θύων ἔκυρον ἡνίχ' ὡρμώμην ἐγώ.

Οι. Ποδαπόν; τί προσχρῄζοντα τῷ θακήματι;

Θη. Οὐκ οἶδα, πλὴν ἕν· σοῦ γάρ, ὡς λέγουσί μοι,
βραχύν τιν' αἰτεῖ μῦθον, οὐκ ὄγκου πλέον.

Οι. Ποῖόν τιν'; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.

Θη. Σοὶ φασὶν αὐτὸν ἐς λόγους ἐλθεῖν, μολόν-
τ' αἰτεῖν ἀπελθεῖν ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.

Οι. Τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακὼν ἕδραν;

Θη. Ὁρᾶτε κατ' Ἄργος εἴ τις ὑμῖν ἐγγενὴς
ἔσθ', ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.

Οι. Ὦ φίλτατ', ἐπίσχες οὗπερ εἶ. Θη. Τί δ' ἐστί σοι;

Οι. Μή μου δεηθῇς. Θη. Πράγματος ποίου; λέγε.

Οι. Ἔξοιδ' ἀκούων τῶνδ', ὅς ἐσθ' ὁ προστάτης.

Θη. Καὶ τίς ποτ' ἐστὶν ὅν γ' ἐγὼ ψέξαιμί τι;

Οι. Παῖς οὑμὸς ὦναξ στυγνός, οὗ λόγων ἐγὼ
ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.

Θη. Τί δ', οὐκ ἀκούειν ἐστί, καὶ μὴ δρᾶν ἃ μὴ
χρῄζεις; τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν;

Ἔχθιστον

OEd. Tristissima ejus vox est patri.
Ne me quæso coge ut concedam,
The. Sed habitus supplicis me subigit: considera
An non reverentia erga Deum mihi observanda sit?
Ant. Pater obtempera mihi, & si adolescens te admonebo.
Hunc virum sine animo suo
Et Deo obsequi, sicut cupit,
Et nobis hoc tribue, ut fratrem huc adire sinas.
Non enim est ut metuas, ne te per vim deducat
A tua sententia, si quæ non expediunt, dicet:
Sermonem enim audire quid nocet? Nam præclare
Cogitata sermone indicantur.
Ex te natus est, ut etiamsi adversus te faciat
Sceleratissime ac impientissime.
Non tamen te deceat illi contra malefacere.
Admitte ergo ipsum: sunt & aliis liberi pravi,
Atque ira vehemens est, sed admoniti
Amicorum blando sermone mitigantur tamen,
Tu vero non jam illa specta
Paterna & materna piacula, quæ sustinuisti,
Quæ si sepones, tum sat scio cognosces,
Quam sit iræ tristis exitus.
Habes enim ejus rei indicia non per vim oblata,
Quod oculis captus & occæcatus es:
Sed nobis concede, blande enim supplicare non decet
Eos qui justa petunt, Neque te decet
Beneficio affectum, nolle rependere gratiam.
OEd. Vincitis me voluptate ingrata
Dicendo, fiat sicut vobis placet,
Tantum, hospes, cum ille advenerit
Ne quis me invitum cogat.
The. Semel hoc dixisse satis sit,
O senex, non libet gloriari, Tu vero scito
Te salvum fore, si quidem ego salvus ero.

EPODICA strophe.

Cho. Quisquis immodicum
Petit, omissa mediocritate,
In vita, stultitiæ obnoxius
Me judice censebitur.
Multa enim longa
Dies offert
Adversa: Sed læta

Non

Οἰ. Ἔχθιστον ὦ 'ναξ φθέγμα τοῦθ' ἥκει πατρί.
καὶ μή μ' ἀνάγκῃ προσβάλῃς τάδ' εἰκάθειν.
Θη. Ἀλλ' εἰ τὸ θάκημ' ἐξαναγκάζει, σκόπει
μή μοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα.
Αν. Πάτερ. πιθοῦ μοι, κεἰ νέα παραινέσω.
τὸν ἄνδρ' ἔασον τόνδε τῇ θ' αὑτοῦ φρενὶ
χάριν παρασχεῖν, τῷ θεῷ θ' ἃ βούλεται.
καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης, ἃ μὴ σοὶ συμφέροντα λέξεται.
λόγων δ' ἀκοῦσαι τίς βλάβη; τά τοι καλῶς
ηὑρημέν' ἔργα, τῷ λόγῳ μηνύεται.
ἔφυσας αὐτόν· ὥστε μήτε δρῶντά σε
τὰ τῶν κακίστων δυσσεβέστατ', ὦ πάτερ,
θέμις σέ γ' εἶναι κεῖνον ἀντιδρᾶν καλῶς,
ἀλλ' αὐτόν· εἰσὶ χἀτέροις γοναὶ κακαὶ,
καὶ θυμὸς ὀξύς· ἀλλὰ νουθετούμενοι
φίλων ἐπῳδαῖς, ἐξεπᾴδονται φύσιν.
Σὺ δ' εἰς ἐκεῖνα μὴ τὰ νῦν ἀποσκόπει
πατρῷα καὶ μητρῷα πήμαθ', ἃ 'παθες.
κἂν κεῖνα λύσῃς, οἶδ' ἐγὼ, γνώσῃ κακοῦ
θυμοῦ τελευτὴν, ὡς κακὴ προσγίνεται·
ἔχεις γὰρ οὐ βίαια τἀνθυμήματα.
τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος·
ἀλλ' ἡμὶν εἶκε· λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρῄζουσιν, οὐδ' αὐτὸν μὲν εὖ
πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.
Οἰ. Τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
λέγοντες· ἔστω δ' οὖν ὅπως ὑμῖν φίλον.
μόνον ξέν', εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτέ.
Θη. Ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς χρῄζω κλύειν
ὦ πρέσβυ· κομπεῖν δ' οὐχὶ βούλομαι· σὺ δὲ
σῶν ἴσθ', ἐάνπερ κἀμέ τις σώζῃ θεῶν.

ΕΠΩΔΙΚΑ. στροφή.

1 Ὅστις τοῦ πλέονος μέρους
2 χρῄζει τοῦ μετρίου παρεὶς
3 ζώειν, σκαιοσύναν αἰεὶ φυλάσσων,
4 ἐν ἐμοὶ κατάδηλος ἔσται.
5 ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
6 ἁμέραι κατέθεντο δὴ
9 λύπας ἐγγυτέρω· τὰ τέρπον-

8 τὰ

Non est videre, presertim si quis
Cupiditate ardet
Immoderata: Neque adest satietas,
Quæ simul expletur
Cum morte, quando innupta parca
Sine cantu, sineque choro apparuit,
Et vitæ exitus.

ANTISTROPHE.

Non nasci omnia vincit
Argumenta, aut ubi natus sis
Redire eodem. unde veneris
Quam celerrime, id secundum est.
Nam cum quis juvenilem ætatem attigit,
Afferentem stultas cupiditates,
Quis effugere potuit multiplices labores?
Quis non in miseriis hæsit?
Hinc cædes, seditio, certamina, pugnæ,
Et invidia. Ac tandem odiosa
Opprimit extrema,
Infirma difficilis,
Senectus, amicis invisa cui universa
Mala super mala cohabitant.

EPODOS.

In qua infælix non ego solus jactor,
Undique ceu Boreale littus
Fluctibus expositum quatitur:
Sic & hunc funditus
Procellæ tempestuosæ
Et ærumnæ assidue exercent,
Quarum aliæ ab occasu solis,
Aliæ vero ab ortu,
Aliæ à meridie,
Aliæ ab umbrosis Ripheis montibus cumulantur.

IAMBI.

Ant. Sed hic ad nos, ut videtur, hospes
Solôs, ô pater, ex oculis
Lachrymas stillans, accedit.
OEd. Quis nam is est? *Ant.* Quem jampridem præsa-(giebamus

8 τὰ δ' οὐκ ἂν ἴδοις, ὅπο-
9 τ' ἄν τις ἐς πλέον πέσῃ
15 τοῦ θέλοντος οὐδ' ἔπι κόρος
11 ἰσοτέλεστος Ἄϊδος,
12 ὅτε μοῖρ' ἀνυμέναιος
13 ἄλυρος, ἄχορος ἀναπέφηνε
14 θάνατος ἐς τελευτάν.

ΑΝΤΙΣΤΡΟΦΗ

1 μὴ φῦναι τὸν ἅπαντα νι-
2 κᾷ λόγον· τὸ δ' ἐπεὶ φανῇ,
3 βῆναι κεῖθεν ὅθεν περ ἥκει,
4 πολὺ δεύτερον, ὡς τάχιστα.
5 ὡς εὖτ' ἂν τὸ νέον παρῇ
6 κούφας ἀφροσύνας φέρον,
7 τίς πλάγχθη πολύμοχθος ἔξω;
8 τίς οὐ καμάτων ἔνι;
9 φόνοι, στάσεις, ἔρεις, μάχαι,
10 καὶ φθόνος· τό, τε κατάμεμπτον
11 ἐπιλέλογχε πύματον
12 ἀκρατὲς, ἀπροσόμιλον
13 γῆρας ἄφιλον, ἵνα πρόπαντα
14 κακὰ κακῶν ξυνοικεῖ.

ΕΠΩΔΟΣ.

1 ἐν ᾧ τλάμων ὅδ' οὐκ ἐγὼ μόνος
2 πάντοθεν βόρειος ὥς τις ἀκτὰ
3 κυματοπλὴξ χειμερία κλονεῖται.
4 ὡς καὶ τόνδε κατάκρας
5 δειναὶ κυματοαγεῖς
6 ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι.
7 αἱ μὲν ἀπ' ἀελίου
8 δυσμᾶν, αἱ δ' ἀνατέλ-
9 λοντος, αἱ δ' ἀνὰ μέσσαν
10 ἀκτῖν', αἱ δ' ἐννυχίαν ἀπὸ ῥιπᾶν.

ΙΑΜΒΟΙ.

Αν. Καὶ μὴν ὅδ' ἡμῖν ὡς ἔοικεν, ὁ ξένος
ἀνδρῶν γε μοῦνος, ὦ πάτερ, δι' ὄμματος
ἀστακτὶ λείβων δάκρυον ὧδ' ὁδοιπορεῖ.
Οι. Τίς οὗτος; Αν. Ὅνπερ καὶ πάλαι κατείχομεν

Animo, adest nobis Polynices.
Pol. Hei mihi, quid faciam ? utrum mea mala
Prius deplorabo, puellæ, an hujus miserias intuens
Patris senis, quem in peregrina terra
Una vobiscum hic invenio abjectum,
Tali habitu, in quo tristis
Ac senilis hæret squalor,
Corpus conficiens In capite vero oculis orbato
Impexi capilli a vento moventur.
Consimilis porro, ut habitus est,
Ita & victus esse videtur :
Quæ infælix ego nimis sero rescisco.
Et confiteor me pessimum hominem
Propter tua alimenta advenire, ne malum malo cumu-
Verum adstat throno Jovis (letur
Reverentia in omnibus factis, ea & coram te, pater,
Assistat : nam peccatorum
Est quidem remedium, defensio vero non est.
Quid taces ?
Loquere aliquid, ô pater, ne me averseris.
An non respondes mihi quidquam, & ita contemptum
Dimittis, non alloquens, nec cur iratus sis dicens ?
O filiæ hujus, meæque sorores,
Saltem vos date operam, ut moveatis
Difficilem ac durum patrem,
Ne contemptum me Neptuni supplicem,
Sic absque responso dimittat.
Ant. Dic ipse, quamobrem huc advenisti.
Nam longa oratio vel delectans,
Vel offendens, vel ad misericordiam flectens,
Etiam mutis vocem aliquam expresserit.
Pol. Dicam, recte enim me admones.
Principio hunc ipsum Deum precor
Ut mihi sit auxilio, à cujus ara me excitavit
Rex hujus terræ qui mihi concessit
Tuto commeatu dicere hic & audire.
Atque utinam hæc à vobis, hospites,
Et sororibus & patre consequar.
Nunc vero tibi pater, quare advenerim dicam.
Ex patria pulsus sum in exilium
Propterea quod in tuo Throno regio
Ut filius natu major sedere volebam,
Ob id me Eteocles minor natu
E regno pepulit, cum neque causa me vicisset,

Neque

γνώμη, πάρεστι δεῦρο Πολυνείκης ὅδε.
Πο. Οἴμοι τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ' ὁρῶν
πατρὸς γέροντος, ὃν ξένης ἐπὶ χθονὸς
ξὺν σφῷν ἐφηύρηκ' ἐνθάδ' ἐκβεβλημένον,
ἐσθῆτι σὺν τοιᾷδε· τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πόνος
πλευρὰν μαραίνων· κρατὶ δ' ὀμματοστερεῖ
κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται.
ἀδελφὰ δ', ὡς ἔοικε, τούτοισιν φορεῖ,
τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἃ 'γὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω·
καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν, τ'ἄλλα μὴ 'ξ ἄλλων πύθῃ.
ἀλλ' ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοὶ πάτερ
παρασταθήτω· τῶν γὰρ ἡμαρτημένων
ἄκη μέν ἐστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι.
τί σιγᾷς;
φώνησον ὦ πάτερ τι· μή μ' ἀποστραφῇς·
οὐδ' ἀνταμείβῃ μ' οὐδὲν, ἀλλ' ἀτιμάσας
πέμψεις ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας
ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,
πειράσατ' ἀλλ' ὑμεῖς γε κινῆσαι πατρὸς
τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα
ὡς μή μ' ἄτιμον τοῦ θεοῦ γε προστάτην
οὕτως ἀφῇ γε μηδὲν ἀντειπὼν ἔπος.
Αν. Λέγ' ὦ ταλαίπωρ' αὐτὸς ὧν χρεία πάρει.
τὰ πολλὰ γάρ τοι ῥήματ', ἢ τέρψαντά τι,
ἢ δυσχεράναντ', ἢ κατοικτίσαντά πως,
παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.
Πο. Ἀλλ' ἐξερῶ· καλῶς γὰρ 'ξηγῇ σύ μοι,
πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
ἀρωγὸν, ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν
ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ ξὺν ἐξόδῳ.
καὶ ταῦτ' ἀφ' ὑμῶν ὦ ξένοι, βουλήσομαι,
καὶ ταῖνδ' ἀδελφαῖν καὶ πατρὸς κυρεῖν ἐμοί.
ἃ δ' ἦλθον, ἤδη σοὶ θέλω λέξαι πάτερ.
γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγὰς,
τοῖς σοῖς πανάρχοις οὕνεκ' ἐνθακεῖν θρόνοις
γονῇ πεφυκὼς ἠξίουν γεραιτέρᾳ.
ἀνθ' ὧν μ' Ἐτεοκλῆς ὢν φύσει νεώτερος,
γῆς ἐξέωσεν, οὔτε νικήσας λόγῳ,

Neque manu nec factis superior esset,
Sed urbi persuasit: Atque horum malorum ego
Tuam Erinnyn præcipue causam esse existimo.
Nam & postea eadem à vatibus audivi,
Cum enim ad Argos Doricum venissem,
Adrasti filia ducta conjuratos socios
Adjunxi mihi, quicunque terræ Argivæ (sunt,
Principes vocantur, & ob virtutem bellicam in honore
Ut exercitu cum septem ducibus adversus Thebas
Coacto, vel interirem juste,
Vel autores horum factorum ex patria pellerem.
Sed his omissis dicam, quare huc advenerim,
Afferens ad te pater, preces supplices,
A me atque à meis sociis,
Qui nunc septem legionibus, septemque
Ordinibus hastatis regionem Thebanam circumsistunt
Dux primus est Amphiaraus bellicosus,
Primas virtute ferens, & primus arte vaticinandi.
Secundus Ætolus OEnei filius
Tydeus, Tertius Eteoclus genere Argivus.
Quartum Hippomedontem misit pater
Talaus. Quintus Capaneus, qui gloriatur
Thebarum urbem se excisurum statim.
Sextus Parthenopæus Arcas proficiscitur,
Cui nomen a matre, quæ prius virgo erat,
Inditum est, filius ab Atalante partu editus.
Egoque tuus, & si quidem non tuus, sed adversæ
Fortunæ filius, attamen tuus dictus
Filius, duco ab Argis intrepidum exercitum.
Nos igitur te pro filiis, & pro salute, pater,
Obsecramus omnes supplicantes
Ut iram sævam missam facias contra me, qui
Proficiscor ad ulciscendum fratrem
Qui me pepulit & ex patria extorrem fecit.
Nam, si qua fides oraculo est, (bat.
Quibus tu adjunctus esses, penes eos victoriam fore aie-
Quapropter nunc te per fontes & Deos cognatos
Obsecro, ut mihi obsequaris & iram remittas.
Nam & nos mendici ac exules sumus, & tu exul es,
Aliosque colere cogimur, nos & tu,
Eodem infortunio utrique oppressi.
Ille vero domi tyrannide potitus, hei mihi,
Nobis communiter insultans delicate vivit,
Quem, si tu mihi assensus fueris,

οὔτ' εἰς ἔλεγχον χειρὸς οὔτ' ἔργου μολών,
πόλιν δὲ πείσας· ὧν ἐγὼ μάλιστα μὲν
τὴν σὴν ἐρινὺν αἰτίαν εἶναι λέγω,
ἔπειτα κἀπὸ μάντεων ταύτῃ κλύων.
ἐπεὶ γὰρ ἦλθον ἄργος ἐς τὸ δωρικὸν
λαβὼν ἄδραστον πενθερὸν, ξυνωμότας
ἔστησ' ἐμαυτῷ γῆς, ὅσοι περ ἀπίας
πρῶτοι καλοῦνται, καὶ τετίμηνται δορί.
ὅπως τὸν ἑπτάλογχον εἰς θήβας στόλον
ξὺν τοῖσδ' ἀγείρας ἢ θάνοιμι πανδίκως,
ἢ τοὺς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
εἶεν· τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
σοὶ προστροπαίους ὦ πάτερ λιτὰς ἔχων,
αὐτός γ' ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
οἳ νῦν ξὺν ἑπτὰ τάξεσι, ξὺν ἑπτά τε
λόγχαις, τὸ θήβης πεδίον ἀμφεστᾶσι πᾶν.
οἷος δορύσσους ἀμφιάρεως, τὰ πρῶτα μὲν
δορεὶ κρατύνων, πρῶτα δ' οἰωνῶν ὁδοῖς.
ὁ δεύτερος δ' αἰτωλὸς οἰνέως τόκος
τυδεύς· τρίτος δ' ἐτέοκλος ἀργεῖος γεγώς.
τέταρτον ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
ταλαός· ὁ πέμπτος δ' εὔχεται κατασκαφῇ
καπανεὺς τὸ θήβης ἄστυ δῃώσειν τάχα·
ἕκτος δὲ παρθενοπαῖος ἀρκὰς ὄρνυται,
ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
μητρὸς λοχευθεὶς πιστὸς ἀταλάντης γόνος.
ἐγὼ δὲ σὸς, κεἰ μὴ σὸς, ἀλλὰ τοῦ κακοῦ
πότμου φυτευθεὶς, σός γέ τοι καλούμενος,
ἄγω τὸν ἄργους ἄφοβον ἐς θήβας στρατόν.
οἵ σ' ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς πάτερ,
ἱκετεύομεν ξύμπαντες ἐξαιτούμενοι,
μῆνιν βαρεῖαν εἰκάθειν ὁρμωμένῳ
τῷδ' ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν,
ὅς μ' ἐξέωσε, κἀπεσύλησεν πάτρας.
εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,
οἷς ἂν σὺ προσθῇ, τοῖς δ' ἔφασκ' εἶναι κράτος.
πρός νυν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων
αἰτῶ πιθέσθαι καὶ παρεικάθειν· ἐπεὶ
πτωχοὶ μὲν ἡμεῖς, καὶ ξένοι, ξένος δὲ σύ.
ἄλλους δὲ θωπεύοντες οἰκοῦμεν, σύ τε
κἀγὼ, τὸν αὐτὸν δαίμον' ἐξειληφότες.
ὁ δ' ἐν δόμοις τύραννος, ὢ τάλας ἐγὼ,
κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἁβρύνεται.
ὅν, εἰ σὺ τῇ 'μῇ ξυμπαραστήσει φρενὶ,

Modico faſtu & labore diſſipabo,
Téque domi tuæ collocabo rurſum,
Méque adeo, ubi illum per vim ejecero.
Et hæc, ſi tua voluntas acceſſerit gloriari
Mihi licebit: ſine te verò nulla ſpes ſalutis eſt.
Cho. Reſponde huic viro Theſei gratia, qui eum adduxit,
Quod utile videbitur, ac deinde ipſum dimitte.
OEd. Verùm niſi Rex hujus terræ
Hunc ad me huc adduxiſſet,
Petens ut ipſum audirem,
Non ille unquam vocem meam audiſſet.
Nunc verò dignus habitus, abibit audito ex me
Sermone qui illi nequaquam lætitiam afferet,
Nam tu ſceleratiſſime, cum Sceptra & Thronũ teneres
Quo nunc frater tuus Thebis obtinet,
Ipſe me patrem tuum inde pepuliſti
In exilium, ubi tali veſte utor,
Quam tu nunc deploras aſpiciens, quando
In eaſdem miſerias conjectus es.
Hæc verò deploranda mihi non ſunt, ſed ferenda
Sicut vivo, ſed tui ut parricidæ memoriam retinebo.
Nam tu me in hos labores conjeciſti.
Tu me ex patria exegiſti, Per te eò redactus ſum,
Ut nunc ab aliis quotidianum victum mendicare cogar.
Et niſi genuiſſem mihi nutricias
Haſce filias, non ſane, quod ad te attinet, amplius eſſem.
Nunc verò hæ me fovent, hæ nutriunt, (re præditæ ſunt.
Hæ ad ſuſtinendũ laborẽ non muliebri, ſed virili robo-
Vos verò ex alio non ex me geniti eſtis.
Te igitur & ſi nondum Deus adortus eſt,
Attamen id ſtatim fiet, ſi quidem exercitus proficiſcitur
Contra urbem Thebanam, quam non eſt ut quis
Se capturum eſſe jactet ſed prius ſanguine
Cades fœdatus fratérque tuus ſimul.
Talibus diris vos & antè proſecutus ſum,
Et nunc earum contra vos auxilium imploro,
Ut diſcatis parentes colere, (tre cæco
Et non propterea me contumelia afficiatis, quòd ex pa-
Nati eſtis: nam hæ filiæ talia non fecerunt.
Itaque tuam ſedem & Thronos tuos
Obtinebunt ſi quidem apud antiquos celebrata
Vindicta aſſidet Jovi, juxta veterem legem.
Tu verò abi execrabilis, & à me patre deſtitute,
Ac ſceleratorum peſſime: Háſque diras tecum feras,

Quas

βραχεῖ σὺν ὄγκῳ καὶ πόνῳ διασκεδῶ·
ὥστ' ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων,
στήσω δ' ἐμαυτὸν, κεῖνον ἐκβαλὼν βίᾳ.
καὶ ταῦτα, σοῦ μὲν ξυνθέλοντος ἐστί μοι
κομπεῖν· ἄνευ σοῦ δ' οὐδὲ σωθῆναι σθένω.

Χο. Τὸν ἄνδρα, τοῦ πέμψαντος οὕνεκ', Οἰδίπους,
εἰπὼν ὁποῖα ξύμφορ', ἔκπεμψαι πάλιν.

Οι. Ἀλλ' εἰ μὲν, ἄνδρες, τῆσδε δημοῦχος χθονὸς
μὴ 'τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
Θησεὺς, δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους,
οὔτ' ἂν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπῄσθετο·
νῦν δ' ἀξιωθεὶς εἶσι· κἀκούσας γ' ἐμοῦ
τοιαῦθ' ἃ τὸν τοῦδ' οὔποτ' εὐφρανεῖ βίον.
ὅς γ' ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων
ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ' ἀπήλασας,
κἄθηκας ἄπολιν, καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πόνῳ
ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοί.
οὐ κλαυτὰ δ' ἐστὶν, ἀλλ' ἐμοὶ μὲν οἰστέα
τάδ', ὥσπερ ἂν ζῶ, σοῦ φονέως μεμνημένος.
σὺ γάρ με μόχθῳ τῷδ' ἔθηκας ἔντροφον,
σύ μ' ἐξέωσας· ἐκ σέθεν δ' ἀλώμενος,
ἄλλους ἐπαιτῶ τὸν καθ' ἡμέραν βίον.
εἰ δ' ἐξέφυσα τάσδε μὴ 'μαυτῷ τροφοὺς
τὰς παῖδας, ἦτ' ἂν οὐκ ἂν ἦν τὸ σὸν μέρος·
νῦν δ' αἵδε μ' ἐκσῴζουσιν, αἵδ' ἐμαὶ τροφοὶ,
αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν.
ὑμεῖς δ' ἀπ' ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
τοιγάρ σ' ὁ δαίμων νῦν ὁρᾷ μὲν οὔτι πω
ὡς αὐτίκ', εἴπερ οἵδε κινοῦνται λόχοι
πρὸς ἄστυ Θήβης· οὐ γὰρ ἔσθ' ὅπως πόλιν
κείνην ἐρείψεις· ἀλλὰ πρόσθεν αἵματι
πεσῇ μιανθεὶς, χὠ ξύναιμος ἐξ ἴσου.
τοιάσδ' ἀρὰς σφῷν πρόσθε τ' ἐξανῆκ' ἐγὼ,
νῦν τ' ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοὶ,
ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν,
καὶ μὴ 'ξατιμάζητον εἰ τυφλοῦ πατρὸς
τοιώδ' ἔφυτον· αἵδε γὰρ τάδ' οὐκ ἔδρων.
τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος.
Δίκη ξύνεδρος Ζηνὸς, ἀρχαίοις νόμοις,
σὺ δ' ἔρρ' ἀπόπτυστός τε, κἀπάτωρ ἐμοῦ,
κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀρὰς,

Quas tibi imprecor, neque terra patria
Bello potiaris, nec revertaris unquam
Ad Argos, sed fraterna manu
Cadas, eumque à quo pulsus es, interficias,
Hæc tibi imprecor, & invoco contra te Tartari
Tristes tenebras, ut tibi sedem præbeant.
Invoco & hasce Deas, & Martem,
Qui hæc sæva odia inter vos incendit.
His auditis abi, atque nuncia
Omnibus Thebanis, & tuis simul
Fidelibus sociis, qualia OEdipus
Distribuit filiis suis præmia.

Cho. O Polynices, non gratulor tibi,
Quòd huc venisti, proinde quàm primum abi,

Pol. Hei mihi, quàm infœliciter huc profectus sum.
Væ sociis meis, quàm infausto auspicio
Ab Argis movimus, ô me infœlicem.
De quo neque dicere cuiquam
Sociorum licet, neque reverti rursum,
Sed tacitum ita perire oportet.
O sorores filiæ hujus, saltem vos, postquàm
Diras patris imprecationes audistis,
Ne me per Deum (nam & ad vos istæ imprecationes
Patris pertinent, qui enim vobis in patriam
Reditus erit?) ne me destituatis,
Sed sepelite me, atque exequiis prosequimini.
Et vobis ad istam laudem, quam habetis
Propter pietatem erga patrem, alia non minor
Accedet ab officio, quod mihi præstabitis.

Ant. Obsecro te frater, ut mihi auscultes.

Pol. O charissima Antigone, dic quid est?

Ant. Reduc exercitum ad Argos quàm primum,
Neque teipsum & urbem perdas

Pol. Sed non potest fieri, quomodo enim iterum
Exercitum eundem cogere possem, si semel fugerem?

Ant. Quid vero attinet te denuo irasci? aut quid
Si patriam evertes, lucri capies?

Pol. Turpe erit fugere, & major natu cùm sim
Sic irrideri à fratre.

Ant. Audis hunc, quàm manifestè vobis
Vaticinatur, & mortem utrique prænunciat?

Pol. Postulat. n. frater ea quæ à nobis concedi non possunt

Ant. Hei mihi, quis verò audebit
Te sequi, auditis hujusce vaticiniis?

Non

ἃς σοὶ καλοῦμαι, μήτε γῆς ἐμφυλίου
δορεὶ κρατῆσαι, μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν, κτανεῖν θ' ὑφ' οὗπερ ἐξελήλασαι.
τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ τοῦ Ταρτάρου
στυγνὸν πατρῷον ἔρεβος, ὥς σ' ἀποικίσῃ·
καλῶ δὲ τάσδε δαίμονας· καλῶ δ' Ἄρη,
τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
καὶ ταῦτ' ἀκούσας στεῖχε· κἀξάγγελλ' ἰὼν
καὶ πᾶσι Καδμείοισι, τοῖς σαυτοῦ θ' ἅμα
πιστοῖσι συμμάχοισιν, οὕνεκ' Οἰδίπους
τοιαῦτ' ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.

Χο. Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς
ξυνήδομαί σοι, νῦν τ' ἴθ' ὡς τάχος πάλιν.

Πο. Οἴμοι κελεύθου, τῆς τ' ἐμῆς δυσπραξίας,
οἴμοι δ' ἑταίρων· οἷον ἆρ' ὁδοῦ τέλος
Ἄργους ἀφωρμήθημεν· ὦ τάλας ἐγώ.
τοιοῦτον οἷον οὐδὲ φωνῆσαί τινα
ἔξεσθ' ἑταίρων, οὐδ' ἀποστρέψαι πάλιν.
ἀλλ' ὄντ' ἄναυδον τῇδε συγκῦρσαι τύχῃ.
ὦ τοῦδ' ὅμαιμοι παῖδες, ἀλλ' ὑμεῖς ἐπεὶ
τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ' ἀρωμένου,
μή τοί με πρὸς θεῶν, σφῷν ἄν γ' αἱ τοῦδ' ἀραὶ
πατρὸς τελῶνται, καί τις ὑμῖν ἐς δόμους
νόστος γένηται, μή μ' ἀτιμάσητέ γε,
ἀλλ' ἐν τάφοισι θέσθε κἀν κτερίσμασι.
καὶ σφῷν, ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ' ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.

Αν. Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.

Πο. Ὦ φιλτάτη τὸ ποῖον Ἀντιγόνη; λέγε.

Αν. Στρέψαι στράτευμ' ἐς Ἄργος ὡς τάχιστά γε,
καὶ μὴ σέ γ' αὐτὸν καὶ πόλιν διεργάσῃ.

Πο. Ἀλλ' οὐχ οἷόν τε· πῶς γὰρ αὖθις αὖ πάλιν
στράτευμ' ἄγοιμι ταὐτὸν εἰσάπαξ τρέσας;

Αν. Τί δ' αὖθις ὦ παῖ δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;

Πο. Αἰσχρὸν τὸ φεύγειν, καὶ τὸ πρεσβεύοντ' ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.

Αν. Ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει
μαντεύμαθ', ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν θροεῖ;

Πο. Χρῄζει γάρ· ἡμῖν δ' οὐχὶ συγχωρητέα.

Αν. Οἴμοι τάλαινα· τίς δὲ τολμήσει κλύων
τὰ τοῦδ' ἕπεσθαι τἀνδρὸς οἷ' ἐθέσπισεν;

Pol. Non renunciabo malum. Est enim Ducis boni
Læta, & non adversa dicere.
Ant. Siccine tibi decretum est?
Pol. Ne me retine, nam hæc expeditio mihi
Curæ est, & si infœlix & adversa,
Propter patris diras.
Vobis verò Deus benefaciat, si hæc mihi efficietis
Mortuo, quoniam viventi non amplius poteritis.
Jámque me dimittite, ac valete, non enim me amplius
Viventem aspicietis posthac.
Ant. O me miseram.
Pol. Ne me luge. *Ant.* Quis verò tendentem
Ad manifestum interitum non lugeat frater?
Pol. Moriar, siquidem oportet. *Ant* Non ita, sed mihi obtem-
Pol. Ne suade, quæ non decet. *Ant.* Infœlix ego (pera.
Si te fratre privata fuero. *Pol.* Hoc penes Deum est
Vel hoc vel illo fato ut quis nascatur. Vobis verò
Ego precor, ut nunquam incidatis in mala.
Indignæ enim estis, quibus aliquid adversi accidat.

PERICOMMATA. Strophe 1.

Cho. Nova hæc jam recens advenerunt mihi
Atrocia mala,
Ab hospite cæco,
Nisi divinitus corriguntur.
Nullum enim consilium Deorum
Temerarium esse dicam.
Omnia enim tempus
Videt ac dispensat: Nam alia
Mala jam rursum cumulat
Æther tonans, ô Jupiter.

SYSTEMA 1.

OEd. O filiæ, quid, si quis incolarum
Optimum Thesea mihi huc accersat?
OEd. Quid rei est pater, quamobrem vocari vis?
Ant. Jovis hoc subitum tonitru statim
Ad inferos me ducet: sed mittite quàm primum.

ANTI-

Πο. Οὐδ' ἀγγελοῦμεν φλαῦρ'· ἐπεὶ στρατηλάτου
χρηστοῦ, τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.
Αν. Οὕτως ἄρ' ὦ παῖ ταῦτά σοι δεδογμένα;
Πο. Καὶ μή μ' ἐπίσχῃς γ'· ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς
ἔσται μέλουσα δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦδε πατρὸς, τῶν τε τοῦδ' ἐριννύων.
Σφῷν δ' εὐοδοίη Ζεὺς, τάδ' εἰ τελεῖτέ μοι
θανόντ'· ἐπεὶ οὔ μοι ζῶντί γ' αὖθις ἕξετον.
μέθεσθε δ' ἤδη, χαίρετόν τ'· οὐ γάρ μ' ἔτι
βλέποντ' ἐσόψεσθ' αὖθις. Αν. Ω τάλαιν' ἐγώ.
Πο. Μή τοι μ' ὀδύρου. Αν. Καὶ τίς ἄν σ' ὁρμώμενον
εἰς προὔπτον ᾅδην οὐ κατασένοι κάσι;
Πο. Εἰ χρὴ θανοῦμαι. Αν. Μὴ σύ γ', ἀλλ' ἐμοὶ πιθοῦ.
Πο. Μὴ πεῖθ' ἃ μὴ δεῖ. Αν. Δυστάλαινά τ' ἄρ' ἐγώ,
εἴ σου στερηθῶ. Πο. Ταῦτα δ' ἐν τῷ δαίμονι
καὶ τῇδε φῦναι χἀτέρᾳ· σφῷν δ' οὖν ἐγὼ
θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν.
ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν.

ΠΕΡΙΚΟΜΜΑΤΑ. Στροφὴ α'.

Χο. Νέα τάδε νεόθεν ἦλθέ μοι
βαρύποτμα κακὰ
παρ' ἀλαοῦ ξένου,
εἴ τι μοῖρα μὴ κιχάνει.
μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων
ἔχω φράσαι.
ὁρᾷ ὁρᾷ ταῦτ' ἀεὶ
χρόνος· ἐπεὶ μὲν ἕτερα,
τὰ δὲ πήματ' αὖθις αὔξων ἄνω.
ἔκτυπεν αἰθὴρ ὦ Ζεῦ.

ΣΥΣΤΗΜΑ α'.

Οι. Ω τέκνα τέκνα, πῶς ἂν εἴ τις ἔντοπος
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;
Αν. Πάτερ, τί δ' ἐστὶ τἀξίωμ' ἐφ' ᾧ καλεῖς;
Οι. Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξει
βροντὴ πρὸς ᾅδην· ἀλλὰ πέμψαθ' ὡς τάχος.

ANTISTROPHE 1.

Cho. Ecce iterum ingens editur
Sonitus & infandus
A Jove: mihíque in ſummo
Vertice præ timore comæ eriguntur.
Cohorrui animo? nam cœleſte fulgur
Exarſit rurſum. Quid nam hoc ſignificat.
Metuo, non enim irritum
Venit unquàm, aut abſque adverſo caſu.
O cœlum magnum, ô Jupiter.

ANTISYSTEMA 1.

OEd. O filiæ, adeſt mihi fatalis
Vitæ exitus, nec amplius eſt effugium.
Cho. Qui ſcis? aut unde hoc ratiocinaris?
OEd. Certò ſcio, ſed quàm primum aliquis eat,
Regémque mihi huc adducat.

STROPHE 2.

Cho. Heu, heu,
Ecce jam iterum nos circundat
Immenſus ſonitus.
Propitius ſis ô Deus, ſi quid terræ
Huic adverſi nuncias,
Fœliciter mihi eveniat,
Neque quòd hunc virum calamitoſum aſpexi;
Damnum pro gratia reportem.
O Jupiter Rex, te invoco.

SYSTEMA 2.

OEd. Numnam prope adeſt Theſeus? num nam viventem
Me inveniet, & mentis compotem?
Cho. Quid nam arcani ei committere cupis?
OEd. Pro beneficio accepto plenam gratiam
Reddere illi volo: quemadmodum pollicitus ſum.

ANTI-

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Χο. 1 Ἴδε μάλα μέγας ἐρείπεται
2 κτύπος ἄφατος ὅδε
3 διόβολος· ἐς δ' ἄκραν
4 δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.
5 ἔπτηξα θυμόν· οὐρανία γὰρ ἀστραπὴ
6 φλέγει πάλιν.
7 τί μὰν ἀφήσει τέλος,
8 δέδια τόδ'· οὐ γὰρ ἅλιον
9 ἀφορμᾷ ποτ', οὐκ ἄνευ ξυμφορᾶς.
10 ὦ μέγας αἰθὴρ, ὦ Ζεῦ.--

ΑΝΤΙΣΥΣΤΗΜΑ α'.

Οι. 1 Ὦ παῖδες, ἥκει τῷδ' ἐπ' ἀνδρὶ θέσφατος
2 βίου τελευτὴ, κοὐκέτ' ἔστ' ἀποστροφή.
Χο. 3 Πῶς οἶσθα τοῦτο; τῷ δὲ συμβαλὼν ἔχεις;
Οι. 4 Καλῶς κάτοιδ'· ἀλλ' ὡς τάχιστά μοι μολὼν
5 ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.--

ΣΤΡΟΦΗ β'.

Χο. 1 Ἔα, ἔα.
2 ἰδοὺ μάλ' αὖθις ἀμφίσταται
3 διαπρύσιος ὄτοβος.
4 ἵλαος δαῖμον, ἵλαος, εἴ τι γᾷ
5 ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
6 ἐναισίῳ δὲ συντύχοιμι,
7 μηδ' ἄλαστον ἄνδρ' ἰδὼν,
8 ἀκερδῆ χάριν μετάσχοιμί πως.
9 Ζεῦ ἄνα, σοὶ φωνῶ.--

ΣΥΣΤΗΜΑ β'.

Οι. 1 Ἆρ' ἐγγὺς ἁνήρ; ἆρ' ἔτ' ἐμψύχου τέκνα
2 κιχήσεταί μου καὶ κατορθοῦντος φρένα;
Χο. 3 Τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦσαι φρενί;
Οι. 4 Ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
5 δοῦναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.--

ANTI-

ANTISTROPHE 2.

Cob. O fili, adsis, properè, sive in extremo
Littore marini
Neptuni fortè
Sacrificam aram veneraris, veni.
Nam hospes tibi & urbi
Et amicis vult
Pro beneficio justam gratiam rependere.
Propera ô Rex.

ANTISYSTEMA 2.

The. Quid rursum apud vos publicè clamoris exoritur?
Agnosco vocem vestram & apparet propter hospitem
An ne Jovis fulmen, aut pluvialis (fieri.
Grando erupit? Omnia enim, cùm Deus ita
Tempestates ciet, metuenda sunt.

IAMBI.

OEd. O Rex optato advenis, & te Deus
Auspicato huc adduxit.
The. Quid autem novi rursum accidit?
OEd. Adest mihi finis vitæ, & quemadmodum promisi,
Te ac urbem fallere nolo.
The. Quam verò de morte tua cepisti conjecturam?
OEd. Dii ipsi hoc mihi denunciant
Propositis signis, qui neutiquam fallunt.
The. Quomodo dicis hæc denunciari?
OEd. Multa & continua tonitrua, & multa
Contorta fulmina de manu invicta hoc significant.
The. Persuades mihi: nam multa te vaticinantem video
Et non falsa, quid igitur faciendum sit doce.
OEd. Ego dicam ea quæ tibi
Et huic urbi perpetuo rata erunt.
Ad locum quidem ipse statim præibo,
Absque duce, ubi me oportet mori:
Illum verò ne cui hominum indicaveris,
Neque ubi meum corpus conditum est, aut jacet.
Nam hic locus tibi præ multis scutis munimento
Erit adversus Thebanos bello hanc terram petentes.

Quæ

ἈΝΤΙΣΤΡΟΦΗ β΄.

Χο. 1 Ἰοὺ, ἰού.
2 ἰὼ παῖ, βᾶθι, βᾶθ᾽ εἴτ᾽ ἄκραν
3 ἐπὶ γύαλον ἐναλίῳ
4 Ποσειδαωνίῳ θεῷ τυγχάνεις
5 βούθυτον ἑστίαν ἁγίζων, ἱκοῦ.
6 ὁ γὰρ ξένος σε καὶ πόλισμα
7 καὶ φίλους ἐπαξιοῖ
8 δικαίαν χάριν παρασχεῖν παθών.
9 σπεῦσον, ἄϊσσ᾽ ὦ ἄναξ.

ἈΝΤΙΣΥΣΤΗΜΑ β΄.

Θη. 1 Τίς αὖ παρ᾽ ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
2 σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου;
3 μή τις Διὸς κεραυνὸς, ἤ τις ὀμβρία
4 χάλαζ᾽ ἐπιρράξασα; πάντα γὰρ θεοῦ
5 τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.

ἸΑΜΒΟΙ.

Οἰ. Ἄναξ, ποθοῦντι προὐφάνης· καί σοι θεῶν
τύχην τις ἐσθλὴν θῆκε τῆσδε τῆς ὁδοῦ.
Θη. Τί δ᾽ ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ;
Οἰ. Ῥοπὴ βίου μοι· καί σ᾽, ἅπερ ξυνῄνεσα,
θέλω πόλιν τε τήνδε μὴ ψεύσας, θανεῖν.
Θη. Ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
Οἰ. Αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι
ψεύδοντες οὐδὲν, σημάτων προκειμένων.
Θη. Πῶς εἶπας ὦ γεραιὲ δηλοῦσθαι τάδε;
Οἰ. Τὰ πολλὰ βρονταὶ διατελεῖς, τὰ πολλά τε
στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη.
Θη. Πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ᾽ ὁρῶ,
κοὐ ψευδόφημα· χὤ, τι χρὴ ποιεῖν, λέγε.
Οἰ. Ἐγὼ διδάξω τέκνον Αἰγέως, ἅ σοι
γήρως ἄλυπα τῇδε κείσεται πόλει.
χῶρον μὲν αὐτὸς αὐτίκ᾽ ἐξηγήσομαι,
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον δὲ φράζε μήποτ᾽ ἀνθρώπων τινὶ,
μήθ᾽ οὗ κέκευθε, μήτ᾽ ἐν οἷς κεῖται τόποις.
ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
δορός τ᾽ ἐπακτοῦ γειτόνων ἀεὶ τιθῇ.

Quæ verò ſacra ſunt, nec efferenda ſermone,
Ea cognoſces, cùm ſolus illuc ibis.
Non enim civium cuiquam ea dixerim,
Neque filiabus meis, & ſi eas amo.
Sed tu hæc ſerva, & cùm tibi finis vitæ
Advenerit, tantum uni præſtantiſſimo viro aperies,
Iſque deinceps ſuccedenti indicabit,
Et ſi invictam hanc tenebis urbem
A civibus Thebanis: Multæ enim civitates
Etiam bene inſtitutæ ad injurias ſæpe verſæ ſunt.
Dii verò aſpiciunt quidem, ſed ſero, quando aliquis
Pietate omiſſa furere cœpit:
Hoc ne tibi ô Theſeu accidat.
Sed hæc tibi jam antè ſcienti dico.
Ad locum verò (nam me præſens à Deo fatum urget)
Eamus, nec revereamur.
O filiæ ſequimini huc, Ego enim Dux vobis
Jam recens factus ſum, ut vos prius mihi eratis.
Ite, ne attingite, ſed ſinite me
Ipſum ſacrum tumulum invenire, ubi
Fatum eſt huic viro ſub terra occultari.
Hac, huc, hac ite, Hac enim me ducit
Mercurius deductor, & inferorum Dea.
O lumen meum tenebroſum, ubi tandem fuiſti?
Nunc verò te meum corpus poſtremum attingit:
Nunc enim eo, ut extremum vitæ tempus
Condam apud inferos. Sed chariſſime hoſpes
Et tu, & terra hæc, & miniſtri tui
Fœlices ſitis, & cùm vobis bene erit
Memores mei eſtote beati ſemper.

ANTISTROPHICA. Strophe.

Cho. Si fas eſt mihi caliginoſam Deam,
Et te precibus venerari, inferorum Rex,
Precor ut non laborioſa,
Nec valde difficili
Morte defunctus hoſpes
Subeat communes latebras
Mortuorum terram, & Stygiam
Domum. Nam cùm multis

ἃ δ' ἐξάγιστα, μηδὲ κινεῖται λόγῳ,
αὐτὸς μαθήσῃ, κεῖσ' ὅταν μόλῃς μόνος.
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ,
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως.
ἀλλ' αὐτὸς αἰεὶ σῶζε, χὤταν εἰς τέλος
τοῦ ζῆν ἀφίκῃ, τῷ προφερτάτῳ μόνῳ
σήμαιν'· ὁ δ' αἰεὶ τῷ 'πιόντι δεικνύτω.
χ' οὕτως ἀδῇον τήνδ' ἐνοικήσεις πόλιν
σπαρτῶν ἀπ' ἀνδρῶν· αἱ δὲ μυρίαι πόλεις,
κἂν εὖ τις οἰκῇ, ῥαδίως καθύβρισαν.
θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφεὶς τις εἰς τὸ μαίνεσθαι τραπῇ.
ὃ μὴ σὺ, τέκνον Αἰγέως, βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.
χῶρον δ' (ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν)
στείχωμεν ἤδη, μηδέ γ' ἐντρεπώμεθα.
ὦ παῖδες ὧδ' ἕπεσθ'· ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινὸς, ὥσπερ σφὼ πατρί.
χωρεῖτε καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτέ με
αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί·
τῇδ' ὧδε τῇδε βᾶτε· τῇδε γάρ μ' ἄγει
ἑρμῆς ὁ πομπὸς, ἥ τε νερτέρα θεός.
ὦ φῶς ἀφεγγὲς πρόσθε πού ποτ' ἦσθ' ἐμόν·
νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας·
ἤδη γὰρ ἕρπω τὸν τελευταῖον βίον
κρύψων παρ' ᾅδην· ἀλλὰ φίλτατε ξένων,
αὐτός τε, χώρα θ' ἥδε, πρόσπολοί τε σοὶ,
εὐδαίμονες γένοισθε· κἀπ' εὐπραξίᾳ
μέμνησθέ μου θανόντος, εὐτυχεῖς αἰεί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφ.

Χο. 1 Εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν
2 καὶ σὲ λιταῖς σεβίζειν
3 ἐννυχίων ἄναξ
4 αἰδωνεῦ, αἰδωνεῦ,
5 λίσσομαι μήποτ' ἐπιπόνῳ,
6 μήτ' ἐπὶ βαρυαχεῖ
7 ξένον ἐκτανύσαι
8 μόρῳ, τὰν παγκευθῆ κάτω
9 νεκρῶν πλάκα, καὶ στύγιον
10 δόμον· πολλῶν γὰρ ἂν,

11 καὶ

Immerito ærumnis oppressus fueris,
Vicissim te Deus justus beet.

ANTISTROPHE.

O subterraneæ Deæ, túque invicte
Cerbere, quem in vestibulo munito
Cubare dicunt,
Et ex antro latratus edere,
Indomitum custodem inferorum,
Sic enim sermone proditum est,
Te terræ & Tartari filium
Oro, ut placidè
Occurras tendenti
Hospiti ad inferos,
Te inquam invoco, semper insomnem Cerberum.

IAMBI.

Nu. O cives, breviter vobis
Renuncio OEdipum esse mortuum,
Quæ verò facta sunt, non facilè quis brevibus
Dixerit, neque ut res illic acta est.
Cho. Num interiit ille infoelix? *Nu.* Scias
Eum reliquisse vitam perpetuo.
Cho. Quomodo? num nam & divina & facili fortuna?
Nu. Hoc verò jam admiratione dignum est.
Nam ut hinc abjerit, tu qui aderas
Nosti. A nullo enim ex amicis ducebatur,
Sed ipse noster omnium Dux erat.
Ut verò venit ad præruptam viam,
Æreis infernè fundatam gradibus,
Constitit in loco, ubi multæ concurrunt viæ,
Prope concavam voraginem, quo loco Thesei
Et Perithoi fida sunt condita fœdera,
Inter quem locum & Thoricium saxum consistens,
Et inter cavam Acherdum, ibi in tumulo saxeo
Consedit: Deinde exuit vestes squalidas;
Postea vocatis filiabus jussit vivæ
Aquæ lavacra sibi alicunde afferri,
Quæ in eminentem frugiferæ Cereris
Tumulum progressæ, mandata patris
Properè exequuntur, & lavatione ipsum

καὶ μάταν πημάτων ἱκνουμένων,
πάλιν σε δαίμων δίκαιος αὔξοι.-

ΑΝΤΙΣΤΡΟΦΗ.

ὦ χθόνιαι θεαὶ, σῶμά τ᾽ ἀνικήτου
θηρὸς ὃν ἐν πύλαισι
φασὶ πολυξέστοις
εὐνᾶσθαι κνυζεῖσθαί τ᾽ ἐξ ἄντρων
ἀδάμαστον φύλακα παρ᾽ ἀΐδᾳ,
ὡς λόγος αἰὲν ἔχει.
*
ὅν, ὦ γᾶς παῖ καὶ ταρτάρου,
κατεύχομαι ἐν καθαρῷ
βῆναι ὁρμωμένῳ
νερτέρας τῷ ξένῳ νεκρῶν πλάκας.
σέ τοι κικλήσκω τὸν αἰένυπνον.

ΙΑΜΒΟΙ.

Αγγ. Ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα·
ἃ δ᾽ ἦν τὰ πραχθέντ᾽, οὔθ᾽ ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν, οὔτε τἄργ᾽ ὅσ᾽ ἦν ἐκεῖ.-
Χο. Ὄλωλε γὰρ δύστηνος; Αγγ. Ὡς λελοιπότα
κεῖνον τὸν αἰεὶ βίοτον ἐξεπίστασο.
Χο. Πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
Αγγ. Ταῦτ᾽ ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
ὡς μὲν γὰρ ἐνθένδ᾽ εἷρπε, καὶ σύ που παρὼν
ἔξοισθ᾽, ὑφ᾽ ἡγητῆρος οὐδενὸς φίλων,
ἀλλ᾽ αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος.
ἐπεὶ δ᾽ ἀφῖκτο τὸν καταῤῥάκτην ὀδὸν
χαλκοῖς βάθροισι γῆθεν ἐρριζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστῳ μιᾷ
κοίλου πέλας κρατῆρος· οὗ τὰ Θησέως
Περίθου τε κεῖται πίστ᾽ ἀεὶ ξυνθήματα·
ἐφ᾽ οὗ μέσου στὰς, τοῦ τε Θορικίου πέτρου,
κοίλης τ᾽ ἀχέρδου, κἀπὸ λαΐνου τάφου,
καθέζετ᾽· εἶτ᾽ ἔλυσε δυσπινεῖς στολάς.
κἄπειτ᾽ ἀΰσας παῖδας, ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν.
τὼ δ᾽ εὐχλόου Δήμητρος εἰς ἐπόψιον
πάγον μολοῦσα, τάσδ᾽ ἐπιστολὰς πατρὶ
ταχεῖ πόρευσαν ξὺν χρόνῳ, λουτροῖς τέ νιν

Ac vestitu componunt, quemadmodum fieri assolet,
Cum verò jam omnia quæ fiebant, ei placerent,
Et non erat omissum quidquam quod cuperet,
Tonuit Jupiter terrestris: puellæ verò
Cohorruerunt, audito sonitu, & genibus patris
Circumfusæ lugebant, Neque intermiserunt
Pectorum planctus, & longas complorationes.
Ille verò, ut repentè tristem exaudivit sonum,
Manibus eas amplexus ait: ô filiæ,
Hoc die vobis non amplius est pater:
Perjit enim vita mea, neque amplius
Mea causa gravem sustinebitis curam,
Quam vobis difficilem fuisse scio Sed unum
Verbum laxat omnes istas molestias.
Nam nemo fuit, qui perinde vos amârit,
Sicut ego: quo orbatæ
Reliquum vitæ tempus exigetis.
Sic inter se circumcisi
Clara voce lugebant omnes Ut verò finem
Lugendi fecerunt, neque amplius vociferatio fiebat,
Silentium secutum est. Vox autem repente quædam
Vocabat ipsum, ut omnibus recti
Præ metu erigerentur capilli.
Multoties enim ipsum vocabat Deus.
Heus inquit, OEdipe, quid adhuc cunctamur
Ire? jam pridem mora est in te.
Ille verò ut divinitus se vocari sensit,
Jussit adire ad se regem Thesea,
Qui ubi accessit: ô charum, inquit, caput,
Da manum antiquæ fidei testem filiabus meis,
Et vos filiæ huic date: ac promitte,
Quòd volens has non sis deserturus, sed facturus
Amanter, quæ illis utilia fore cognoveris.
Ille verò ut vir generosus non miseratione motus
Promisit hospiti juratus se facturum esse,
Deinde statim OEdipus
Manibus infirmis filias amplexus ait,
O filiæ magno ac generoso animo vos ferre oportet
Et ex his locis secedere, Neque ea, quæ non fas est,
Videre postuletis, aut non audienda audire.
Abite igitur quàm primum. Sed Dominus
Theseus adsit: ut cognoscat quæ agenda sint,
Hæc loquentem audivimus
Universi, effusis lachrymis puellas

Cum

ἐσθῆτί τ' ἐξήσκησαν, ἣ νομίζεται.
ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν,
κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,
κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
ῥίγησαν ὡς ἤκουσαν· ἐς δὲ γούνατα
πατρὸς πεσοῦσαι, κλαῖον, οὐδ' ἀνίεσαν
στέρνων ἀραγμοὺς, οὐδὲ παμμήκεις γόους.
ὁ δ', ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν
πτύξας ἐπ' αὐταῖς χεῖρας, εἶπεν, ὦ τέκνα
οὐκ ἔστ' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατήρ.
ὄλωλε γὰρ δὴ πάντα τἀμὰ κοὐκέτι
τὴν δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν.
σκληρὰν μὲν οἶδα παῖδες· ἀλλ' ἓν γὰρ μόνον
τὰ πάντα λύει ταῦτ' ἔπος μοχθήματα.
τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον
ἢ τοῦδε τἀνδρὸς ἔσχεθ'· οὗ τητώμεναι,
τὸν λοιπὸν ἤδη βίοτον αὖ διάξετον.
τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι,
λύγδην ἔκλαιον πάντες, ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ', οὐδ' ἔτ' ὠρώρει βοή.
ἦν μὲν σιωπή· φθέγμα δ' ἐξαίφνης τινὸς
θώϋξεν αὐτὸν, ὥστε πάντας ὀρθίας
στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας,
καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός.
ὦ οὗτος οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.
ὁ δ', ὡς ἐπήσθετ' ἐκ θεοῦ καλούμενος,
αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα θησέα.
κἀπεὶ προσῆλθεν, εἶπεν, ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις,
ὑμεῖς τε παῖδες τῷδε· καὶ καταίνεσον
μήποτε προδώσειν τάσδ' ἑκὼν, τελεῖν δ' ὅσ' ἂν
μέλλῃς φρονῶν εὖ ξυμφέροντ' αὐταῖς ἀεί.
ὁ δ' ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
κατήνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ.
ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς οἰδίπους
ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων, λέγει.
ὦ παῖδε, τλάσας χρὴ τὸ γενναῖον φρενὶ
χωρεῖν τόπων ἐκ τῶνδε· μηδ' ἃ μὴ θέμις
λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν.
ἀλλ' ἕρπεθ' ὡς τάχιστα· πλὴν ὁ κύριος
θησεὺς παρέστω μανθάνων τὰ δρώμενα.
τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις

Cum gemitu ſequentes, Poſtquam vero diſceſſimus
Paulo poſt converſi, vidimus
Nuſquam amplius virum.
Regem vero vidimus oculos tegentem
Manu ad caput admota, quaſi ingenti aliquo
Terrore orto, quem ſuſtinere oculis non poſſet.
Deinde brevi tempore interpoſito,
Vidimus ipſum terram adorantem ſimu
Et Deorum ſedem cœlum iiſdem precibus.
Quali vero interitu ille perierit, nemo
Mortalium dixerit, excepto Theſeo.
Non enim aliquod ipſum ignitum Jovis
Fulmen occidit neque fluctus
Maris, qui eodem tempore concitabatur.
Sed aut aliquis à Diis nuncius venit, aut inferorum
Benevolentia terra placido hiatu eum ſuſcepit.
Abſque gemitu enim morboque
Dolenti ſublatus eſt. Verum ſi quis alius hominum
Admirandus Si cui vero non videor rem certam dicere
Non ſane conceſſerim illis, quib. incerta dicere videor

Cho. Ubi vero ſunt filiæ, & amici, qui comitati ſunt?
Nu. Illæ non procul abſunt: nam clara vox lugentium
Indicat eas prope adeſſe.

PERICOMMATA ſtrophe 1.

Ant. Heu, heu, nunc eſt tempus, ut
Non quidem ſanguinem illum nativum
Et tolerabilem, infælices deploremus, cujus cauſa
Antea laborem perpetuum capiebamus:
Nunc vero infanda ſuſtinemus,
Quæ vidimus, quæque paſſæ ſumus.

SYSTEMA. 1.

Cho. Quid vero eſt?
Ant. Non hæc cogitari poſſunt.
Cho. Obiit ne?
Ant. Atque ita quidem, ut quis ſcire deſideret.
Cho. Utpote quem neque bellum,
Nec mare ſuſtulit,
Sed terra dehiſcens abripuit,
Obſcuro genere mortis.
Ant. Me miſeram: exitia enim

στένοντες ὡμαρτοῦμεν· ὡς δ' ἀπήλθομεν
χρόνῳ βραχεῖ στραφέντες, ἐξαπείδομεν
τὸν ἄνδρα, τὸν μὲν, οὐδαμοῦ παρόντ' ἔτι,
ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ' ἀντέχοντα κρατὸς, ὡς δεινοῦ τινὸς
φόβου φανέντος, οὐδ' ἀνασχετοῦ βλέπειν.
ἔπειτα μέντοι βαιὸν οὐδὲ σὺν χρόνῳ
ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα,
καὶ τὸν θεῶν ὄλυμπον ἐν ταυτῷ λόγῳ.
μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετ', οὐδ' ἂν εἷς
θνητῶν φράσειε, πλὴν τὸ Θησέως κάρα.
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν, οὔτε ποντία
θύελλα κινηθεῖσα τῷ τότ' ἐν χρόνῳ·
ἀλλ' ἤ τις ἐκ θεῶν πομπὸς, ἢ τὸ νερτέρων
εὔνουν διαστὰν γῆς ἀλύπητον βάθρον.
ἀνὴρ γὰρ οὐ στενακτὸς, οὐδὲ σὺν νόσοις
ἀλγεινὸς ἐξεπέμπετ', ἀλλ' εἴ τις βροτῶν
θαυμαστός· εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
Xo. Ποῦ δ' αἵ τε παῖδες, χ' οἱ προπέμψαντες φίλων;
Αγ. Αἵδ' οὐχ ἑκάς· γόων γὰρ οὐκ ἀσήμονες
φθόγγοι σφε σημαίνουσι δεῦρ' ὁρμωμένας.

ΠΕΡΙΚΟΜΜΑΤΑ. στροφὴ ά.

Αν. 1 Αἰ, αἰ· φεῦ· ἔστιν ἔστι νῷν δὴ
2 οὐ τὸ μὲν, ἄλλο δὲ μὴ, πατρὸς ἔμφυτον
3 ἄλαστον αἷμα δυσμόροιν στενάζειν.
4 ᾧ τινι τὸν πολὺν
5 ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
6 ἐν πυμάτῳ δ' ἀλόγιστα παροίσομεν
7 ἰδόντε καὶ παθούσα.--

ΣΥΣΤΗΜΑ ά.

Xo. 1 Τί δ' ἔστιν; Αν. Οὐκ ἔστιν μὲν εἰκάσαι φίλοι.
Xo. 2 Βέβηκεν; Αν. Ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις.
3 τί γὰρ, ὅτῳ μήτ' ἄρης
4 μήτε πόντος ἀντέκυρσεν,
5 ἄσκοποι δὲ πλάκες
6 ἔμαρψαν ἐν ἀφανεῖ
7 τινὶ μόρῳ φαινόμεναι;
8 τάλαινα· νῷν δ' ὀλεθρία

Tenebræ oculos nostros oppresserunt.
Nam utrum in peregrina terra exules,
An per mare errantes,
Tristem vitam habituræ simus,

STROPHE 2.

Nescio. Utinam
Ipsa quoque moriar misera,
Una cum sene patre.
Nam mihi nihil est
Cur vivere amplius optem.

SYSTEMA 2.

Cho.
O geminæ filiæ, optimæ,
Quod à Deo constitutum est,
Id recte decet ferre, neque ita nimium
Incendamini luctu: neque enim
Fortuna vestra valde reprehendenda est,

ANTISTROPHE 1.

Ant., Est aliquod etiam desiderium malorum:
Nam quod neutiquam jucundum est, id jucundũ erat,
Cum illo præsente frueremur.
O chare pater,
Oppresse perpetuis tenebris sub terra.
Qui senex cum esses, mihi tamen charus eras,
Et nunc eris.

ANTISYSTEMA. 1.

Cho. Finiit vitam. *Ant.* Finiit, sicut voluit.
Cho. Quomodo? *Ant* Obiit in terra peregrina,
Quemadmodum optavit, in eaque sepulchrum habet
Sub terra umbrosum semper,
Neque indefletus interiit,
Nam te oculi mei, ô pater,
Cum gemitu semper lugebunt.
Neque ullum tempus
Desiderium tui
Mihi eximere poterit. Hei mihi,
Non in terra peregrina mori debuisses,
Sed desertus ita interiisti.

AN-

9 νὺξ ἐπ' ὄμμασι βέβηκε.
10 πῶς γὰρ, ἢ τιν' ἀπίαν γᾶν, ἢ
11 πόντιον κλύδων' ἀλώμεναι, βίου
12 δύσοιστον ἕξομεν τροφάν;

ΣΤΡΟΦΗ β'.

Is. 1 Οὐ κάτοιδα· κατά με φόνιος
2 ἀΐδας ἕλοι πατρὶ
3 ξυνθανεῖν γεραιῷ
4 τάλαιναν· ὡς ἔμοιγ' ὁ μέλλων
5 βίος οὐ βιωτός.---

ΣΥΣΤΗΜΑ β'.

Xo. 1 Ὦ διδύμα τέκνων ἀρίστα,
2 τὸ φέρον ἐκ θεοῦ, καλῶς
3 χρὴ φέρειν, μηδ' ἄγαν οὕτω
4 φλέγεσθον· οὔ-
5 τοι κατάμεμπτ' ἔβητον--

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Av. 1 Πόθος καὶ κακῶν ἄρ' ἦν τις,
2 καὶ γὰρ ὃ μηδαμὴ δὴ τὸ φίλον φίλον,
3 ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον.
4 ὦ πάτερ, ὦ φίλος,
5 ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος.
6 οὐδ' ἐκεῖ γέρων ἀφίλητος ἐμοί ποτε·
7 καὶ τάδε μὴ κυρήσῃς.

ΑΝΤΙΣΥΣΤΗΜΑ α'.

Xo. 1 Ἔπραξεν οὖν. Αν. Ἔπραξεν οἷον ἤθελε.
Xo. 2 Τὸ ποῖον; Αν. Ἇς ἔχρῃζε γᾶς ἐπὶ ξένας
3 ἔθανε· κοίταν δ' ἔχει
4 νέρθεν εὐσκίαστον αἰέν,
5 οὐδὲ πένθος ἔλι-
6 π' ἄκλαυτον· ἀεὶ γὰρ ὄμ-
7 μά σε τόδ' ὦ πάτερ ἐμὸν
8 στένει δακρύρροον· οὐδ' ἔχω
9 πῶς με χρὴ τὸ σὸν τάλαιναν
10 ἀφανίσαι τοσόνδ' ἄχος· ἰώ. μὴ
11 γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες, ἀλλ'
12 ἔρημος ἔθανες ὧδέ μοι.--

ANTISTROPHE 2.

Iſm. Me miſeram, quæ me fortuna,
Sic omnino deſertam ac perditam,
Manet teque chara ſoror,
Patre ſic orbatas?

ANTISYSTEMA 2.

Cho. Sed quando feliciter clauſit
Poſtremum vitæ diem,
Dolore deſinite: nam à malis
Nemo immunis eſt.

MONOSTROPHICA.

Ant. Rurſus hinc abeamus.
Iſm. Quid facturæ?
Ant. Deſiderium tenet me,
Iſm. Quale?
Ant. Videndi domicilium ſub terra.
Iſm. Cujus nam?
Ant. Patris, Heu me miſeram.
Iſm. Quomodo fas eſt? An non vides?
Ant. Quid ita increpas?
Et nunc ſane
Jam iterum?
Iſm. Occubuit inſepultus, & abſque omni,
Ant. Duc me & tunc vel interfice.
Hei mihi infœlici. Ubi nam
Poſthac deſerta, perdita,
Vitam miſera exigam?
Cho. Ne quid amicæ metuatis.
Ant. Sed quonam fugiam?
Cho. Jam ante effugiſtis,
Ne quid vobis adverſi accidat.
Ant. Cogito.
Cho. Quid ergo adhuc cogitas?
Ant. Quomodo domum perveniamus, neſcio.
Cho. Ne ſis ſollicita de hoc Nam afflictio
Te jam ante oppreſſit.
Ant. Nunc quidem ultra, aliquando vero ſupra modum.

In

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Ισ. 1 Ω τάλαινα, τίς ἄρα με πότμος
2 αὖθις ὧδ' ἔρημος, ἄπορος,
3 ἐπιμένει, σέ τ' ὦ φίλα,
4 πατρὸς ὧδ' ἐρήμας-

ΑΝΤΙΣΥΣΤΗΜΑ β'.

Χο. 1 Ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσε
2 τὸ τέλος (ὦ φίλαι) βίου,
3 λήγετε τοῦδ' ἄχους.
4 κακῶν γὰρ οὐ-
5 τοι δυσάλωτος οὐδείς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Αν. Πάλιν, φίλα, συθῶμεν.
Ισ. Ως τί ῥέξωμεν;
Αν. Ιμερος ἔχει με.
Ισ. Τίς;
Αν Τὰν χθονίαν ἑστίαν ἰδεῖν.
Ισ. Τίνος;
Αν. Πατρὸς, τάλαιν' ἔγωγε.
Ισ. Θέμις δὲ πῶς τάδ' ἐστί; μῶν δῆτ' οὐχ ὁρᾷς;
Αν. Τί τόδ' ἐπέπληξας;
Ισ. Καὶ τόδ' ὡς
Αν. Τί τόδε μάλ' αὖθις;
Ισ. Αταφος ἔπιτνε, δίχα τε παντός.
Αν. Αγε με, καὶ τότ' ἐνάριξον
Ισ. Αἶ αἶ δυστάλαινα· ποῖ δῆ-
τ' αὖθις ὧδ' ἔρημος, ἄπορος,
αἰῶνα τλάμων ἕξω;
Χο. Φίλαι τρέσητε μηδέν.
Αν. Ἀλλὰ ποῖ φύγω;
Χο. Καὶ πάρος ἀπεφύγετον
Σφῷν τὸ μὴ πίτνειν κακῶς.
Αν. Φρονῶ.
Χο. Τί δῆθ' ὑπερνοεῖς;
Αν. Ὅπως μολούμεθ' ἐς δόμους οὐκ ἔχω.
Χο. Μηδέ γε μάτευε. μόγος ἔχει.
Αν. Καὶ πάρος ἐπεί.
τοτὲ μὲν πέρα, τοτὲ δ' ὕπερθεν.

Cho. In magno enim mari jactamini.
Ant. Certe magno.
Cho. Idem affirmo,
Ant. Heu, heu, quo ibimus, ô Jupiter,
Ad quam enim ſpem
Me Deus nunç impellit?

ANAPAESTI.

Cho. Deſinite lugere filiæ: Nam quibus
Mors exoptata contigit,
Eos deplorare non decet, neque fas eſt,
Ant. O fili Ægei, tibi ſupplicamus.
The. Quid à me vobis fieri vultis?
Ant. Tumulum cupimus
Aſpicere patris noſtri.
The. Sed non fas eſt illuc ire.
Ant. Quid ais Rex Athenarum?
The. O filiæ, interdixit ille
Ne quis accedat ad eum locum,
Neve appellet quiſquam mortalium
Tumulum ſacrum, quem ipſe tenet,
Et hoc ſi curarem, dicebat me pulchre
Hanc terram incolumen ſemper habiturum.
Hæc à vobis Deus audivit,
Ant. Et jusjurandum Jovis, quod audit omnia.
Hæc igitur, ſi ita illi placent,
Eadem ſufficiant & nobis. Ad Thebas vero nos
Ogygias mitte ſi quo modo
Cædem imminentem fratribus
The. Prohibere poſſimus.
Faciam & hæc, & omnia
Quæ debeo, quæque vobis utilia ſunt.
Ut huic, qui ſub terra eſt, & jam primum interiit,
Cho. Gratificer: non enim decet me defatigari.
Sed jam quieſcite, neque præterea majorem,
Luctum excitate
Omnino enim hæc rata ſunt.

TRA-

Χο. Μέγ' ἄρα πέλαγος ἐλάχετόν τι.
Αν. Ναὶ, ναί.
Χο. Ξύμφημι καὐτός.
Αν. Φεῦ, φεῦ· ποῖ μόλωμεν, ὦ Ζεῦ;
ἐλπίδων γὰρ ἐς τί με
δαίμων τανῦν γ' ἐλαύνει.---

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Παύετε θρήνων παῖδες· ἐν οἷς γὰρ
χάρις ἡ χθονία ξυναπόκειται.
πενθεῖν οὐ χρή· νέμεσις γάρ.
Αν. Τέκνον Αἰγέως, προσπίτνομέν σοι.
Θη. Τίνος ὦ παῖδες χρείας ἀνύσαι;
Αν. Τύμβον θέλομεν
προσιδεῖν αὐταὶ πατρὸς ἡμετέρου.
Θη. Ἀλλ' οὐ θεμιτόν σοι κεῖσε μολεῖν.
Αν. Πῶς εἶπας, ἄναξ κοίραν' Ἀθηνῶν;
Θη. Ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος
μήτε πελάζειν ἐς τούσδε τόπους,
μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν
θήκην ἱερὰν ἣν κεῖνος ἔχει·
καὶ ταῦτά μ' ἔφη πράσσοντα, καλῶς
χώραν ἕξειν αἰὲν ἄλυπον.
ταῦτ' οὖν ἔκλυε δαίμων ἡμῶν,
χὠ πάντ' ἀΐων Διὸς Ὅρκος.
Αν. Ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν κείνῳ,
ταῦτ' ἂν ἀπαρκοῖ· Θήβας δ' ἡμᾶς
τὰς ὠγυγίους πέμψον, ἐάν πως
διακωλύσωμεν ἰόντα φόνον
τοῖσιν ὁμαίμοις.
Θη. Δράσω καὶ τάδε. καὶ πάνθ' ὅσα ἂν
μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν
καὶ τῷ κατὰ γῆς, ὃς νέον ἔρρει,
πρὸς χάριν· οὐ γὰρ δεῖ μ' ἀποκάμνειν.
Χο. Ἀλλ' ἀποπαύετε, μήτ' ἐπὶ πλείω
θρῆνον ἐγείρετε.
πάντως γὰρ ἔχει τάδε κῦρος.

ΤΡΑ

TRACHINIARUM ARGUMENTUM ex Apollodori bibliotheca depromptum.

HErcules Calydonem profectus, Regis OEnei filiam Deianiram despondit, & pro consequendis ejus nuptiis adversus Acheloum cum Tauro comparatum luctatus, sinistrum ipsius cornu fregit. Ac Deianiram ducit uxorem. Achelous vero cornu accepit, dato ejus loco cornu Amaltheæ Hæmonii filiæ, quæ tauri cornu habebat. Hoc autem (teste Pherecyde) ejusmodi vim habebat, ut potum & cibum quem quis optaret, copiosum & sine labore suppeditaret. Hercules cum Calydoniis Thesporis bellum infert, captaque urbe Ephyra, cujus Rex erat Phylas, cum Astyoche hujus filia congressus, ex ea Tlepolemum suscipit. Celebrato apud OEnea convivio, ictu digiti percussum Architelis filium Eunomum ejus manibus aquam infundentem interfecit, qui OEnei cognatus erat. Sed qnamvis pater filii casum iniquo animo ferret, ei tamen ignovit. Hercules ex lege seipsum exilio multans, ad Ceyca Trachinem se contulit Ducta Deianira, ad fluvium Evenum pervenit, ad quem considens Nessus Centaurus prætereuntes trajiciebat, qui hanc trajectionem mercedis loco, quod Justus esset, Diis acceptam ferebat. Ipse quidem Hercules fluvium trajecit. Cum Deianiram in mercedem postularet, eam Nesso trajiciendam concessit qui ei vim inferre conatus est: qua exclamante Nessus ab Hercule sagitta confixus est. Ille autem moribundus. advocata Deianira, jussit ut cruorem Hydræ veneno infectum ex vulnere defluentem, ac testa exceptum penes se asservaret, si Herculis erga se amorem retinere vellet. Hercules vero peragrata Dryopum regione, inopia laborans, quum offendisset Theodamantem boves abigentem, altero è tauris jugulato, convivatus est. Thrachinem ad Ceyca profectus, ab eo susceptus est debellatis Dryopibus. Rursus inde digressus cum Ægimio Doriensium rege bellum gessit Corono enim Duce Lapithæ de regionis limitibus adversus eum bello contendebant. Qui obsessus Herculis opem imploravit, ut in mediam regionis partem veniret. Corono itaque cum aliis interempto, tota regio Herculis auxilio in libertatem vindicata est. Allagoram etiam Dryopum Regem cum ipsius liberis, in delubro Apollinis epulantem interfecit, ut qui esset contumeliosus, bellique societatem cum Lapithis inivisset. Itone vero Cygnus Arei & Polopiæ filius eum ad singulare certamen provocans ab eodem etiam interficitur. Orchomenum delatus, Regem Amyntorem quod itinera interclusisset, bello superatum occidit. Trachinem profectus exercitum adversus OEchaliam coegit, Eurytum ulturus.

Inita

ΤΡΑΧΙΝΙΩΝ ΥΠΟΘΕΣΙΣ

ἐκ τῆς Ἀπολλοδώρου βιβλιοθήκης

Ἡρακλῆς παραγενόμενος εἰς καλυδῶνα, τὴν οἰνέως θυγατέρα δηϊάνειραν ἐμνηστεύσατο· καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν ἀχελῷον ἀπεικασθέντα ταύρῳ, περιέκλασε τὸ ἀριστερὸν τῶν κεράτων αὐτοῦ· καὶ τὴν μὲν δηϊάνειραν γαμεῖ, τὸ δὲ κέρας ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς ἀμαλθείας, ἀμαλθεία δὲ ἦν αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου· τοῦτο δὲ (ὡς φερεκύδης φησὶ) δύναμιν εἶχε τοιαύτην, ὥστε βρωτὸν ἢ ποτὸν ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄφθονόν τε καὶ ἄπονον· στρατεύει δὲ ἡρακλῆς μετὰ καλυδωνίων ἐπὶ θεσπρωτούς· καὶ πόλιν ἑλὼν ἔφυραν ἧς ἐβασίλευε φύλας, ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν, πατὴρ τληπολέμου γίνεται· γινομένων δὲ τούτων, εὐωχούμενος παρὰ οἰνεῖ κονδύλῳ παίσας ἀνεῖλεν εὔνομον τὸν ἀρχιτέλους παῖδα κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ οὗτος ἦν οἰνέως· ἀλλ᾽ ὁ μὲν πατὴρ τοῦ παιδὸς, ἀκουσίου γενομένου τοῦ συμβεβηκότος, συνεγνωμόνει· ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἤθελε καὶ δὴ ἔγνω πρὸς κήϋκα εἰς τραχῖνα ἀπιέναι· ἄγων δὲ δηϊάνειραν, ἐπὶ ποταμὸν εὔηνον ἦλθεν· ἐν ᾧ καθεζόμενος νέσσος ὁ κένταυρος, τοὺς παριόντας διεπόρθμευε, μισθὸν λέγων παρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι διὰ τὸ δίκαιος εἶναι· καὶ αὐτὸς μὲν ὁ ἡρακλῆς τὸν ποταμὸν διέβη· δηϊάνειραν δὲ μισθὸν αἰτηθεὶς, ἐπέτρεψε νέσσῳ διακομίζειν, ὁ δὲ, διαπορθμεύων αὐτὴν. ἐπεχείρει βιάζεσθαι· τῆς δὲ ἀνακραγούσης αἰσθόμενος ἡρακλῆς, ἐξελθόντα νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν· ὁ δὲ μέλλων τελευτᾶν, προσκαλεσάμενος δηϊάνειραν εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι φίλτρον πρὸς ἡρακλέα ἔχειν· τόν τε ἰὸν ἀφῆκε κατὰ τῆς κόχλου, καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας, δέδωκεν· ἡ δὲ λαβοῦσα ἐφύλαττε παρ᾽ ἑαυτῇ· διεξιὼν δὲ ἡρακλῆς τὴν δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ὑπαντήσαντος θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων σφάξας εὐωχήσατο· ὡς δὲ ἧκεν εἰς τραχῖνα πρὸς κήϋκα, ὑποδεχθεὶς ὑπ᾽ αὐτοῦ, δρύοπας κατεπολέμησεν· αὖθις ἐκεῖθεν ὁρμηθεὶς αἰγιμίῳ βασιλεῖ δωριέων συνεμάχησε· λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν κορώνου στρατηγοῦντος· ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς· βοηθήσας δὲ ὁ ἡρακλῆς ἀπέκτεινε κόρωνον μετὰ καὶ ἄλλων, καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν· ἀπέκτεινε δὲ καὶ λαογόραν μετὰ τῶν τέκνων αὐτοῦ βασιλέα δρυόπων, ἐν ἀπόλλωνος τεμένει δαινύμενον, ὑβριστὴν ὄντα καὶ λαπιθῶν σύμμαχον· παριόντα δὲ ἴτωνα, εἰς μονομαχίαν προκαλεῖται αὐτὸν κύκνος ὁ ἄρεος καὶ πελοπίας· συστὰς δὲ, καὶ τοῦτον ἀπέκτεινεν· ὡς δὲ εἰς ὀρχομενὸν ἧκεν, ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς μεθ᾽ ὅπλων οὐκ εἴασε διέρχεσθαι· κωλυόμενος δὲ παρελθεῖν, καὶ τοῦτον ἀπέκτεινεν· ἀφικόμενος δὲ εἰς τραχῖνα στρατείαν ἐπ᾽ οἰχαλίαν συνήθροισεν, εὔρυτον τιμωρήσασθαι θέλων·

Συμμα-

Inita bellisocietate cum Arcadibus, Melienfibus Trachiniis, & Locris Epicnemidiis, interfecto cum liberis Euryto, urbem expugnat. Ac sepultis mortuis qui cum eo bellum gesserant, nimirum Hippaso Ceycis filio, Argivo & Melane Lycymnii liberis, urbe direpta, Iolen captivam duxit. Quum ad Cenæum Euboeæ promontiorium appulisset, Jouis Cænei templum ibi ædificavit. Rem sacram facturus Hercules, Licham misit Trachinem qui vestem splendidam esset allaturus. Ab hoc percontata Deianira quomodo se Hercules erga Iolen gereret, ac verita, ne is suum in Iolen amorem transferret, rata Nessi cruorem Hydræ veneno infectum esse poculum amatorium, eo tunicam perunxit, qua induta sacrificavit Hercules. Eaque incalescente, hydræ veneno cutis ejus corrosa est, Licham pedibus sublimem raptum, tanquam jaculum ex Bœotia contorsit: veste vero corpori adhærente avulsa, corporis carnes simul avellebantur. Hercules exitiali veneno infectus Trachinem navi defertur. Deianira re cognita sibi manus attulit. is dato mandato majori natu Hyllo, ut Iolen uxorem duceret, in Trachinis montem OEtam delatus, pyram ibi excitatam, cui ipse impositus erat, incendi jussit. Cui quum nemo vellet ignem immittere, Pæan armenta deerantia perquirens, pyram. dono acceptis ab eo sagittis, incendit. Qua incensa dicitur nubes subjecta cum tonitru eum in cœlum evexisse. Ibique immortalitatem consecutus, & cum Junone reconciliatus, filiam ejus Heben duxit uxorem, ex qua liberos Alexiarem & Anicetum suscepit.

PERSONÆ HUJUS FABULÆ.

DEIANIRA.

PÆDAGOGUS *mulier.*

HYLLUS.

CHORUS *mulierum Trachiniarum.*

NUNTIUS.

LICHAS.

ANCILLA *nutrix.*

SENEX.

HERCULES.

Deianaria præfatur.

Συμμαχούντων δ' ἀρκάδων αὐτῷ, καὶ μηλιέων τῶν ἐκ τραχῖνος, καὶ λοκρῶν τῶν ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων, εὔρυτον αἱρεῖ τὴν πόλιν· καὶ θάψας τῶν σὺν αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, ἵππασόν τε τὸν κήϋκος, καὶ ἀργεῖον καὶ μέλανα τοὺς λυκυμνίου παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν ἰόλην αἰχμάλωτον, καὶ προσορμισθεὶς κηναίῳ τῆς εὐβοίας ἀκρωτηρίῳ, διὸς κηναίου ἱερὸν ἱδρύσατο· μέλλων δὲ ἱερουργεῖν, εἰς τραχῖνα τὸν λίχαν ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα· παρὰ δὲ τούτου τὰ περὶ τὴν ἰόλην δηϊάνειρα πυθομένη, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν, ἐνδὺς δὲ ἡρακλῆς ἔθυεν· ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος, ὁ τῆς ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν λίχαν τῶν ποδῶν ἀράμενος κατηκόντισεν ἀπὸ τῆς βοιωτίας· τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι, συναπεσπῶντο δὲ καὶ αἱ σάρκες αὐτοῦ· τοιαύτῃ δὲ συμφορᾷ κατασχεθεὶς εἰς τραχῖνα ἐπὶ νεὼς κομίζεται· δηϊάνειρα δὲ αἰσθομένη τὸ γεγονὸς, ἑαυτὴν ἀνήρτησεν· ἡρακλῆς δὲ ἐντειλάμενος ὕλλῳ, ὃς αὐτῷ ἐκ δηϊανείρας ἦν παῖς πρεσβύτερος, τὴν ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς οἴτην, ὃ ἐστιν ὄρος τραχῖνος, ἐκεῖ πυρὰν ποιήσας, ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν· μηδενὸς δὲ τοῦτο πράττειν ἐθέλοντος, ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων, ὑφάψας, ἔλαβε τὰ τόξα παρ' αὐτοῦ δωρεάν· καιομένης δὲ τῆς πυρᾶς λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι· ἔνθα τυχὼν ἀθανασίας, καὶ διαλλαγεὶς ἥρᾳ, τὴν ἐκείνης θυγατέρα ἥβην ἔγημεν. ἐξ ἧς αὐτῷ παῖδες ἀλεξιάρης καὶ ἀνίκητος ἐγένοντο.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ

ΠΡΟΣΩΠΑ.

ΔΗΙΑΝΕΙΡΑ.

ΘΕΡΑΠΑΙΝΑ.

ΥΛΛΟΣ.

ΧΟΡΟΣ γυναικῶν τραχινίων.

ΑΓΓΕΛΟΣ.

ΛΙΧΑΣ.

ΤΡΟΦΟΣ.

ΠΡΕΣΒΥΣ.

ΗΡΑΚΛΗΣ.

Προλογίζει δὲ ἡ δηϊάνειρα.

SOPHOCLIS TRACHINIÆ.

IAMBI. *Dei.*

Etus hoc dictum est, priori seculo celebratum, (dicare, priusquam
Quod non liceat de cujusquam vita ju-
Mortuus sit, utrum ea bona an secus fuerit.
Ego vero vel ante mortem statuere possum.
Infœlicem pariter ac tristem vitam me degere,
Quæ in domo paterna OEnei (stræ gentis mulier,
Cum adhuc habitarem in Pleurone, magis quam ulla no-
Nuptiarum causa, misera & afflicta fui.
Nam procus mihi contigerat Achelous fluvius,
Qui meum triplici forma ambibat thorum,
Oberrans nunc manifesta specie tauri, nunc maculosi
Draconis, nunc vero forma viri,
Capite bubulo: nam ex hirsuta harba
Scaturigines fontanæ diffluebant aquæ.
Talem ego sponsum expectans,
Misera semper mori præoptabam,
Potius quam ut huic connubio jungerer. (exoptatus
Tandem post longũ quidẽ tempus, attamen mihi valde
Advenit inclytus Jovis & Alcmenæ filius,
Qui pugna congressus cum Acheloo,
Me liberat. Sed quomodo certatum sit inter eos,
Non possum dicere, non enim scio: si quis vero,
Intrepidus spectator adfuit, is poterit dicere.
Nam ego eram perculsa metu,
Ne mihi forma dolori esset aliquando,
Tandem statuit Jupiter certaminum gubernator bene,
Si quidem bene. Nam expectato Thalamo Herculis
Potita, semper alio super alium terrore excrucior,
Pro illo sollicita. Nox enim adducit,
Et nox vicissim abducit, excipiens laborem.
Et nati quidem sunt nobis liberi, quos ille
Velut agricola qui procul situm agrum sortitus
Tempore sementis tantum, & messis semel aspicit.
Tale genus vitæ mihi nunc domum adducit
Maritum, nunc abducit dum servit cuidam.
Qui cum victor ex aliquo certamine evasit,
Tum vero vel maxime timere soleo.

Nam

ΣΟΦΟΚΛΕΟΥΣ
ΤΡΑΧΙΝΙΑΙ.

ΙΑΜΒΟΙ.
Δη.



Λόγος μὲν ἔστ' ἀρχαῖος ἀνθρώπων φανείς,
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοι βροτῶν πρὶν ἂν
θάνοι τις, οὔτ' εἰ χρηστὸς, οὔτ' εἴ τῳ κακός.
ἐγὼ δὲ τὸν ἐμὸν, καὶ πρὶν εἰς ἅδου μολεῖν
ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν·
ἥτις πατρὸς μὲν ἐν δόμοισιν οἰνέως
ναίουσ' ἐνὶ πλευρῶνι, νυμφείων ὄκνον
ἄλγιστον ἔσχον, εἴ τις αἰτωλὶς γυνή.
μνηστὴρ γὰρ ἦν μοι ποταμὸς, (ἀχελῷον λέγω)
ὅς μ' ἐν τρισὶν μορφαῖσιν ἐξῄτει πατρὸς,
φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ' αἰόλος
δράκων ἑλικτός· ἄλλοτ' ἀνδρείῳ τύπῳ
βούκρανος· ἐκ δὲ δασκίου γενειάδος
κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ.
τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη
δύστηνος, αἰεὶ κατθανεῖν ἐπευχόμην
πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
χρόνῳ δ' ἐν ὑστέρῳ μὲν, ἀσμένῃ δέ μοι.
ὁ κλεινὸς ἦλθε ζηνὸς ἀλκμήνης τε παῖς·
ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης,
ἐκλύεταί με· καὶ τρόπον μὲν ἂν πόνων
οὐκ ἂν διείποιμ' (οὐ γὰρ οἶδ') ἀλλ' ὅστις ἦν
θακῶν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι.
ἐγὼ γὰρ ἥμην ἐκπεπληγμένη φόβῳ
μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ·
τέλος δ' ἔθηκε ζεὺς ἀγώνιος καλῶς,
εἰ δὴ καλῶς· λέχος γὰρ ἡρακλεῖ κριτὸν
ξυστᾶσ', ἀεί τιν' ἐκ φόβου φόβον τρέφω
κείνου προκηραίνουσα· νὺξ γὰρ εἰσάγει
καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
κἄφυσα μὲν δὴ παῖδας, οὓς κεῖνός ποτε
γήτης ὅπως ἄρουραν ἔκτοπον λαβὼν,
σπείρων μόνον προσεῖδε κἀξαμῶν ἅπαξ.
τοιοῦτος αἰὼν εἰς δόμους τε κἀκ δόμων
αἰεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ.
νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.

ἐξ

Nam ab eo tempore quo ille interfecit Iphitum,
Nos hic in Trachine exules
Apud hospitem habitamus. Sed quo nam ille
Postea abierit, nemo scit, attamen mihi quidem
Gravem de se curam reliquit,
Nec multum abest, quin sciam aliquid ei accidisse mali
Nam ad tempus non breve, sed jam quindecim
Menses abest, nec interea quidquam de eo auditum est,
Et gravis aliqua calamitas imminere videtur: talem ipse mihi.
Reliquit tabellam abiens, quam ego crebro
Deos precor, ut omine non adverso acceperim,

Pæd. Domina, video te multis lachrymis
Discessum Herculis deplorare.
Nunc vero si fas est liberos moneri
A servis, & me breve quid dicere oportet,
Quid est, quod abundas tot liberis,
Et ad inquirendum patrem neminem eorum mittis?
Præcipue vero quem par est Hyllum, si ut pater,
Salvus sit, illi curæ est.
Iamque adeo opportune ipse advenit domum,
Quapropter si tibi recte videor suadere,
Licet tibi opera ejus, & consilio meo uti.

Dei. O fili, hominum etiam ignobilium
Sermones opportune cadunt. Hæc enim mulier
Quamvis serva liberaliter tamen loquuta est.

Hyl. Quid nam? dic mihi, si fas est me scire.

Dei. Ait tibi turpe esse, de patre
Tam diu absente, non quærere ubi sit.

Hyl. Atqui scio, si modo sermonibus fides est habenda,

Dei. Ubi nam igitur terrarum ipsum commorari audis?

Hyl. Hoc quidem exacto anno, diu
Apud Lydam mulierem dicunt ipsum serviisse.

Dei. Totum hoc, si quidem ei accidit, audierit aliquis,

Hyl. Sed evasit inde, quantum egó audio.

Dei. Ubi igitur nunc vivus aut mortuus esse dicitur?

Hyl. Eubœam dicunt ipsum, atque urbem Euryti
Bello petere, aut petiturum esse,

Dei. Sed nosti, nate, quæ reliquerit mihi
Certa oracula de ea terra?

Hyl. Quæ nam, mater, nescio enim.

Dei. Quod vel interiturus ibi esset,
Vel hoc certamine superato, in posterum
Reliquum vitæ fœliciter exacturus.

In

ἐξ οὗ γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν,
ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ᾽ ἀνάστατοι
ξένῳ παρ᾽ ἀνδρὶ ναιόμεσθ᾽· κεῖνος δ᾽ ὅπου
βέβηκεν, οὐδεὶς οἶδε· πλὴν ἐμοὶ πικρὰς
ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται.
σχεδὸν δ᾽ ἐπίσταμαί τι πῆμ᾽ ἔχοντά νιν.
χρόνον γὰρ οὐχὶ βαιὸν ἀλλ᾽ ἤδη δέκα
μῆνας· πρὸς ἄλλοις πέντ᾽, ἀκήρυκτος μένει.
κἄστιν τι δεινὸν πῆμα· τοιαύτην ἐμοὶ
δέλτον λιπὼν ἔστειχε, τὴν ἐγὼ θαμὰ
θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.

Θε. Δέσποινα Δηάνειρα, πολλὰ μέν σ᾽ ἐγὼ
κατεῖδον ἤδη πανδάκρυτ᾽ ὀδύρματα
τὴν Ἡράκλειον ἔξοδον γοωμένην.
νῦν δ᾽ εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν
γνώμαισι δούλαις, κἀμὲ χρὴ φράσαι τόσσον,
πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινά.
μάλιστα δ᾽ ὅνπερ εἰκὸς Ὕλλον, εἰ πατρὸς
νέμοι τιν᾽ ὤραν τοῦ καλῶς πράσσειν δοκεῖν.
ἐγγὺς δ᾽ ὅδ᾽ αὐτὸς ἀρτίπους θρώσκει δόμους.
ὥστ᾽ εἴ τι σοὶ πρὸς καιρὸν ἐννέπειν δοκῶ,
πάρεστι χρῆσθαι τἀνδρὶ τοῖς τ᾽ ἐμοῖς λόγοις.

Δη. Ὦ τέκνον, ὦ παῖ, κἀξ ἀγεννήτων ἄρα
μῦθοι καλῶς πίπτουσιν· ἥδε γὰρ γυνή,
δούλη μέν, εἴρηκεν δ᾽ ἐλεύθερον λόγον.

Τλ. Ποῖον; δίδαξον μῆτερ, εἰ διδακτά μοι.

Δη. Σὲ, πατρὸς οὕτω δαρὸν ἐξενωμένου,
τὸ μὴ πυθέσθαι ποῦ ᾽στιν, αἰσχύνην φέρει.

Τλ. Ἀλλ᾽ οἶδα, μύθοις εἴ τι πιστεύειν χρεών.

Δη. Καὶ ποῦ κλύεις νιν τέκνον ἱδρῦσθαι χθονός;

Τλ. Τὸν μὲν παρελθόντ᾽ ἄροτον ἐν μήκει χρόνου,
λυδῇ γυναικί φασί νιν λάτριν πονεῖν.

Δη. Πᾶν τοίνυν, εἰ καὶ τοῦτ᾽ ἔτλη, κλύοι τις ἄν.

Τλ. Ἀλλ᾽ ἐξαφεῖται τοῦδέ γ᾽, ὡς ἐγὼ κλύω.

Δη. Ποῦ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλεται;

Τλ. Εὐβοΐδα χώραν φασὶν Εὐρύτου πόλιν
ἐπιστρατεύειν αὐτὸν, ἢ μέλλειν ἔτι.

Δη. Ἆρ᾽ οἶσθα δῆτ᾽ ὦ τέκνον ὡς ἔλειπέ μοι
μαντεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι;

Τλ. Τὰ ποῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.

Δη. Ὡς ἢ τελευτὴν τοῦ βίου μέλλειν τελεῖν,
ἢ τοῦτον ἄρας ἆθλον, εἰς τὸν ὕστερον
τὸν λοιπὸν ἤδη βίοτον εὐαίων᾽ ἔχειν.

In tali igitur diſcrimine verſanti patri
Non ibis auxiliũ laturus? Quando vel incolumes ſumus
Vel concidimus illo extincto,
Illo ſoſpite ac vivente, vel periimus ſimul.

Hyl. Ibo mater: nam ſi hujus oraculi ego
Famam audiſſem, jam pridem illi adeſſem.
Nunc verò conſueta fortuna non ſinit
Nos pro patre nimis metuere aut ſollicitos eſſe.
Jam verò poſtquam cognovi, nihil omittam, quin
Quidquid veri eſt in hac re exquiram.

Dei. Vade igitur, ô fili: nam ſi quis etiam ſero
Rectè facit, admonitus, id utile eſt.

EPODICA. Strophe 1.

Cho. Quem nox aſtrifera cedens
Reducit, & eundem lucentem ſopit,
Solem, ſolem invoco,
Ut huc indicet Alcmenæ
Ubi nam, ubi proles
Moratur tandem. O qui lucida flamma ardes,
Num ille in mari, an verò
Inter geminam continentem jacet?
Dic, ô Sol, qui oculis omnia vides.

ANTISTROPHE 1.

Deſiderio enim mariti,
Deianiram audio, animi dubiam,
Seu miſeram quandam avem,
Nunquam ſopire luctum & lachrymas,
Sed memorem, ac de itinere viri ſollicitam,
In Thalamo triſti & viduo
Mœrore confici, triſtémque ſemper
Aliquem expectare caſum.

STROPHE 2.

Ut enim quis indefeſſi
Vel Noti, vel Boreæ
Fluctus in amplo mari
Venientes ac ſupervenientes cernit,

Sic

ἐν οὐ ῥοπῇ τοιᾷδε κειμένῳ τέκνον
οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἢ σεσώσμεθα,
ἢ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος,
κείνου βίον σώσαντος, ἢ οἰχόμεθ' ἅμα;-
Τλ. Ἀλλ' εἶμι μῆτερ· εἰ δὲ θεσφάτων ἐγὼ
βάξιν κατῄδειν τῶνδε, κἂν πάλαι παρῆν.
νῦν δ' ὁ ξυνήθης πότμος οὐκ ἐᾷ πατρὸς
ἡμᾶς προταρβεῖν, οὐδὲ δειμαίνειν ἄγαν.
νῦν δ' ὡς ξυνίημ', οὐδὲν ἐλλείψω τὸ μὴ
πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.-
Δη. Χώρει νυν ὦ παῖ· καὶ γὰρ ὑστέρῳ τό γ' εὖ
πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ.

ΕΠΩΔΙΚΑ. Στροφὴ α'.

Χο. 1 Ὃν αἰόλα νὺξ ἐναριζομένα
2 τίκτει, κατευνάζει τε φλογιζόμενον
3 ἅλιον ἅλιον αἰτῶ
4 τοῦτο καρύξαι τὸν Ἀλκμή-
5 νας, πόθι μοι πόθι παῖς
6 ναίει ποτ'· ὦ λαμ-
7 πρᾷ στεροπᾷ φλεγέθων·
8 ἢ ποντίους αὐλῶνας, ἢ
9 δισσαῖς ἀπείροις κλιθείς,
10 εἴπ' ὦ κρατιστεύων κατ' ὄμμα.-

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

1 ποθουμένᾳ γὰρ φρενὶ πυνθάνομαι
2 τὰν ἀμφινεικῆ Δηιάνειραν ἀεί,
3 οἷά τιν' ἄθλιον ὄρνιν
4 οὔποτ' εὐνάζειν ἀδακρύ-
5 των βλεφάρων πόθον, ἀλ-
6 λ' εὔμναστον ἀνδρὸς
7 δεῖμα φέρουσαν ὁδοῦ,
8 ἐνθυμίοις εὐναῖς τ' ἀναν-
9 δρώτοις τρύχεσθαι, κακὰν
10 δύστανον ἐλπίζουσαν αἶσαν.-

ΣΤΡΟΦΗ β'.

1 πολλὰ γὰρ ὥστ' ἀκάμαντος
2 ἢ Νότου ἢ Βορέα τις
3 κύματα εὐρέϊ πόντῳ
4 βάντ', ἐπιόντα τ' ἴδοι,

Sic Thebanus Hercules
Nutritur atque jactatur
In multis vitæ laboribus,
Instar maris Cretici.
Sed tamen semper aliquis Deorum,
Ne moriens inferni domos
Subeat, ipsum sustinet.

ANTISTROPHE 2.

Quamobrem te reprehendam,
Et jucunda, quamvis tibi ingrata, feram.
Dico enim te non debere animum despondere,
Nec spem bonam abjicere
Oportere te. Nam sine labore nihil,
Qui omnia gubernat,
Dedit Deus mortalibus,
Sed simul ærumnæ & gaudia
Omnibus advolvuntur, Perinde ut Ursæ
Volubiles circuitus.

EPODOS.

Neque enim nox astrifera manet
Hominibus, neque fata manent,
Nec divitiæ, sed statim
Abeunt: huic relinquitur
Ut gaudeat, alii verò ut egeat.
Hæc igitur, ô Regina semper, spémque simul
Animo memori retine. Nam quis unquam Jovi
Ad juvandos suos consilium defuisse vidit?

IAMBI.

Dei. Audito, ut apparet, ades
Mœrore meo, sed magnitudinem doloris mei
Ne præsens quidem intelligis, ejusque ignara es?
Nam juvenilis ætas in suis pascitur
Campis, Nec ipsam ignis amoris,
Neque imber, aut ventus ullus versat,
Sed fruens voluptatibus absque labore vitam exigit,
Eo usque, donec aliqua pro virgine mulier
Vocata fuerit, & susceperit de nocte curarum partem

5 οὕτω δὲ τὸν καδμογενῆ
6 τρέφει· τὸ δ' αὔξει βιότου
7 πολύπονον ὥσπερ πέλαγος
8 κρήσιον· ἀλλά τις θεῶν
9 αἰὲν ἀμπλάκητον ἀΐδα
10 σφε δόμων ἐρύκει.-

ΣΥΣΤΕΜΑ β'.

1 ὧν ἐπιμεμφομένα σ', ἀ-
2 δεῖα μὲν, ἀντία δ' οἴσω.
3 φαμὶ γὰρ οὐκ ἀποτρύειν
4 ἐλπίδα τὰν ἀγαθὰν
5 χρῆναί σ'· ἀνάλγητα γὰρ οὐ-
6 δ' ὁ πάντων κραίνων βασιλεὺς
7 ἐπέβαλε θνατοῖς κρονίδας,
8 ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ
9 πᾶσι κυκλοῦσ', οἷον ἄρκτου
10 στροφάδες κέλευθοι.-

ΕΠΩΔΟΣ.

1 μένει γὰρ οὔτ' αἰόλα νὺξ
2 βροτοῖσιν, οὔτε κῆρες,
3 οὔτε πλοῦτος, ἀλλ' ἄφαρ
4 βέβηκε· τῷ δ' ἐπέρχεται,
5 χαίρειν τε καὶ στέρεσθαι.
6 ἃ καί σε τὰν ἄνασσαν
7 ἐλπίσιν λέγω
8 τάδ' αἰὲν ἴσχειν· ἐπεὶ
9 τίς ὧδε τέκνοισι
10 Ζῆν' ἄβουλον εἶδεν;-

ΙΑΜΒΟΙ.

Δη. Πεπυσμένη μὲν, ὡς ἀπεικάσαι, πάρει,
πάθημα τοὐμόν· ὡς δ' ἐγὼ θυμοφθορῶ,
μήτ' ἐκμάθοις παθοῦσα· νῦν δ' ἄπειρος εἶ.
τὸ γὰρ νεάζον, ἐν τοιοῖσδε βόσκεται
χώροισιν αὑτοῦ· καί νιν οὐ θάλπος θεοῦ,
οὐδ' ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον
ἐς τοῦθ', ἕως τις ἀντὶ παρθένου γυνὴ
κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος,

Anxia vel de viro, vel de liberis,
Tunc intelliget, de se exemplum
Capiens, quantis ego malis oppressa sim:
Nam tristia multa jam ante deflevi,
Unum verò, quale nunquam adhuc accidit, eloquar,
Cùm enim Rex postremo à nobis
Abiret ex ædibus Hercules, tunc domi
Reliquit mihi antiquam tabulam inscriptam,
Continentē pacta quædā, quæ mihi ante illud tempus,
Ad multa certamina proficiscens, nunquam aperuit:
Sed disced. solebat, tāquā aliq. gesturus, nō ut moriturus.
Jā verò quasi nō amplius victurus, statuit q. nuptiar. causa
De nostris opibus me accipere oporteret, & simul quæ
Portio regni paterni divisa cederet, (liberis
Et tempus constituit, nempe, si post hunc discessum
Per annum & menses tres ex hac terra abfuisset,
Tunc se vel tempore illo moriturum esse:
Vel si id tempus effugisset,
In posterum suaviter victurum.
Hæc ait divinis oraculis
De Herculeis definita esse laboribus.
Sic antiquam fagum respondisse olim
In Dodone geminis columbis oracula reddentibus.
Et horum certitudo accidit
In hoc ipsum tempus, ut evenire ea necesse sit.
Hæc sunt, quæ me suaviter dormientem exilire
Metu cogunt, amicæ, si me superstitem esse oportet,
Omnium præstantissimo viro orbatam.
Cho. Optata loquere: nam coronatum
Quendā virū accedere video, aliquid lætum afferentem.
Nu. Domina, primus ego nuncius
Molestia te liberabo: nam Alcmenæ filium
Vivere scito, & vicisse, & ex prælio
Adducere jam Diis indigenis primitias.
Dei. Quid hoc sermonis est, ô senex: quod mihi narras?
Nu. Statim in domum tuam gloriosum maritum
Venturum esse cum victore exercitu.
Dei. Hoccine à civibus an peregrinis auditum refers?
Nu. In herboso prato minister hæc dixit
Lichas præco, ex quo cùm audissem,
Exilii, ut tibi primus ista nunciarem,
Atque à te aliquid acciperem, & simul gratiam inirem
Dei. Quî fit ergo, quòd ipse non venit, si quidem rectè cum
Nu. Non facile est illi, Domina, (eo agitur?
Nam

ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.
τότ' ἄν τις εἰσίδοιτο τὴν αὑτοῦ σκοπῶν
πρᾶξιν κακοῖσιν οἷς ἐγὼ βαρύνομαι.
πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγ' ἐκλαυσάμην,
ἓν δ' οἷ' οὔπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
ὡρμᾶτ' ἀπ' οἴκων ἡρακλῆς, τότ' ἐν δόμοις
λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
ξυνθήμαθ', ἅ μοι πρόσθεν οὐκ ἔτλη ποτὲ
πολλοὺς ἀγῶνας ἐξιὼν, οὕτω φράσαι.
ἀλλ' ὥς τι δράσων εἷρπε, κοὐ θανούμενος·
νῦν δ' ὡς ἔτ' οὐκ ὢν, εἶπε μὲν λέχους ὅτι
χρεῖ ἤ μ' ἑλέσθαι κτῆσιν· εἶπε δ' ἣν τέκνοις
μοῖραν πατρῴας γῆς διαίρετον νέμοι,
χρόνον προτάξας ὡς τρίμηνον, ἡνίκ' ἂν
χώρας ἀπείη· κἀνιαύσιος βεβὼς
τότ' ἢ θανεῖν χρεῖ ἢ σφε τῷδε τῷ χρόνῳ,
ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος,
τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.
τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα
τῶν ἡρακλείων ἐκτελευτᾶσθαι πόνων,
ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη.
καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
τοῦ νῦν παρόντος, ὡς τελεσθῆναι χρεών.
ὥσθ' ἡδέως εὕδουσαν ἐκπηδᾶν ἐμὲ
φόβῳ φίλαι ταρβοῦσαν, εἴ με χρὴ μένειν
πάντων ἀρίστου φωτὸς ἐστερημένην.

Χο. Εὐφημίαν νῦν ἴσχ'· ἐπεὶ καταστεφῆ
στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χαρὰν λόγων.

Αγ. Δέσποινα δηϊάνειρα, πρῶτος ἀγγέλων
ὄκνου σε λύσω· τὸν γὰρ ἀλκμήνης τόκον
καὶ ζῶντ' ἐπίστω, καὶ κρατοῦντα, κἀκ μάχης
ἄγοντ' ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.

Δη. Τίν' εἶπας ὦ γεραιὲ τόνδε μοι λόγον;

Αγ. Τάχ' ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν
ἥξειν φανέντα σὺν κράτει νικηφόρῳ.

Δη. Καὶ τοῦτο δ' ἀστῶν, ἢ ξένων μαθὼν λέγεις;

Αγ. Ἐν βουθερεῖ λειμῶνι πρόσπολος θροεῖ
λίχας ὁ κῆρυξ ταῦτα· τοῦ δ' ἐγὼ κλύων
ἀπῇξ' ὅπως τοι πρῶτος ἀγγείλας τάδε,
πρὸς σοῦ τι κερδάναιμι καὶ κτῴμην χάριν.

Δη. Αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;

Αγ. Οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ, γύναι.

Nam undique ipsum universus Meliensis populus
Circumfusus percunctatur, nec sinit ulterius progredi:
Nam exoptatum nuncium quisque audire cupiens,
Non dimittit eum, priusquam voluptatem audiendo ex-
Sic ille non volens, sed apud volentes, (pleuerit.
Hæret, videbis autem ipsum statim manifeste.

Dei. O Jupiter qui intonsum OEtæ cacumen tenes,
Dedisti nobis, & si post longum tempus, lætitiam,
Exclamate ô mulieres, quæque intra tecta
Quæque foris estis: nam insperatum lumen mihi
Famæ illuxit, quo nunc fruor.

EPODICA. Strophe.

Cho. Exultate in penetralibus ædium
Cantu, vos futuri sponsi. Inter quos
Et virorum incedat
Clangor. Pharetratum
Apollinem, præsidem,
Et simul Pæana

ANTISTROPHE.

Hymnis celebrate ô virgines:
Celebrate cantu & sororem
Dianam Ortygiam
Cervorum venatricem, igniferam,
Et vicinas Nymphas.
Sublimis incedo gaudio, nec respuam
Tibiam: ô Rex mei pectoris.

EPODOS.

Ecce jam me perturbat
Evæ. Thyrsus me ad Bacchicum
Convertit agmen,
Io, io Pæan.
Sed ecce, chara Domina,
Nunc tibi contraria prioribus malis
Videre licet manifeste.

IAMBI

κύκλῳ γὰρ αὐτὸν μηλιεὺς ἅπας λεὼς
κρίνει παραστὰς, οὐδ' ἔχει βῆναι πρόσω
τὸ γὰρ ποθοῦν ἕκαστος ἐκμαθεῖν θέλων,
οὐκ ἂν μεθεῖτο πρὶν καθ' ἡδονὴν κλύειν.
οὕτως ἐκεῖνος οὐχ ἑκὼν, ἑκοῦσι δὲ,
ξύνεστιν· ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.

Δη. Ω ζεὺς τὸν οἴτης ἄτομον ὃς λειμῶν ἔχεις,
ἔδωκας ἡμῖν (ἀλλὰ σὺν χρόνῳ) χαράν.
φωνήσατ' ὦ γυναῖκες, αἵ τ' εἴσω στέγης
αἵ τ' ἐκτὸς αὐλῆς· ὡς ἄελπτον ὄμμ' ἐμοὶ
φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.

ΕΠΩΔΙΚΑ. Στροφή.

Χο. 1 Ανολόλυξον δόμοις
2 ἐφεστίοις ἀλαλαγαῖς
3 ὁ μελλόνυμφος· ἐν δὲ
4 κοινὸς ἀρσένων ἴτω
5 κλαγγά· τὸν εὐφαρέτραν
6 ἀπόλλωνα προστάταν,
7 ὁμοῦ δὲ καὶ παιᾶνα παιᾶνα.

ΑΝΤΙΣΤΡΟΦΗ.

1 ἀνάγετ' ὦ παρθένοι.
2 βοᾶτε τὰν ὁμόσπορον
3 ἄρτεμιν ὀρτυγίαν,
4 ἐλαφηβόλον, ἀμφίπυ-
5 ρον, γείτονάς τε νύμφας.
6 ἀείρομ', οὐδ' ἀπώσομαι
7 τὸν αὐλὸν, ὦ τύραννʼ ἐμᾶς φρενός.

ΕΠΩΔΟΣ.

1 ἰδού μ' ἀναταράσσει
2 εὐοῖ μ' ὁ κισσὸς, ἄρτι βακχείαν
3 ὑποστρέφων ἅμιλλαν.
4 ἰὼ ἰὼ παιάν.
5 ἴδε ἴδ' ὦ φίλα γύναι
6 τάδ' ἀντίπρῳρα δή σοι
7 βλέπειν πάρεστ' ἐναργῆ.

ΙΑΜ-

IAMBI.

Dei. Video, charæ mulieres, neque me oculorum
Vigor destituit, quin hunc videam cœtum:
Salvere verò jubeo præconem, qui post tempus
Longum tandē apparet exoptatus:sed quid nam affert?
Lic. Bene inquam processimus, & læta denunciamus,
Domina, prout res se habet. Cui enim prospera
Fortuna affulsit, eum necesse est bene loqui.
Dei. O charissime homo,primū ea me, quæ primū scire cupio,
Edoce,an Herculem vivum receptura sum;
Lic. Ego quidem ipsum reliqui valentem,
Ac vivū,& quidē florentem,nec ullo morbo gravatum.
Dei. Ubi nam? in patria ne an Barbarica terra? cedo.
Lic. Est littus in Eubœa, ibi statuit
Aras, & de frugibus sacrificat Cenæo Jovi.
Dei. Voti ne reus, an oraculo admonitus?
Lic. Voto concepta sacra, quoniam harum bello devicit
Terram mulierum quas oculis vides.
Dei. Ipsæ verò, per Deos, cujus nam sunt, & quæ nam?
Miserabiles enim sunt,nisi me calamitas earum fallit.
Lic. Has ille excisa urbe Euryti
Cepit sibi mancipia & Diis electa,
Dei. An ad hanc urbem tam longum post abitum
Tempus abfuit. & dies innumerabiles?
Lic. Non, sed maximam temporis partem in Lydia
Consumpsit,cùm, ut ipse ait, non esset liber,
Sed divenditus, absit invidia sermoni,
Domina, cujus autor est Jupiter.
Nam venditus apud Omphalen Barbaricam
Annum servitio complevit, sicut ipse commemorat:
Et eam quidem contumeliam ita graviter tulit,
Ut se jurejurando obstrinxerit,
Quòd certo eū, qui hujus calāitatis sibi autor extitisset,
Cū liberis & uxore adhuc in servitutē redacturus esset.
Neq; irritus is sermo fuit, sed quā primum expiatus est
Collecto exercitu sociali, aggreditur urbem
Euryti. Nam hunc solum inter homines causam
Ejus calamitatis censebat esse:
Qui ipsum venientem ad se domum
Cùm vetus hospes esset, multis sermonibus
Irritavit, & multa dixit animo sævo.
Nempe quòd cùm sagittas inevitabiles gestaret,

Longe

ΙΑΜΒΟΙ.

Δη. Ὁρῶ φίλαι γυναῖκες, οὐδέ μ' ὄμματος
φρουρὰ παρῆλθ', ἐς τόνδ' μὴ λεύσσειν στόλον.
χαίρειν δὲ τὸν κήρυκα προὐννέπω χρόνῳ
πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.
Λι. Ἀλλ' εὖ μὲν ἵγμεθ', εὖ δὲ προσφωνούμεθα
γύναι κατ' ἔργου κτῆσιν· ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.
Δη. Ὦ φίλτατ' ἀνδρῶν, πρῶθ', ἃ πρῶτα βούλομαι,
δίδαξον, εἰ ζῶνθ' Ἡρακλέα προσδέξομαι.
Λι. Ἔγωγέ τοι σφ' ἔλειπον ἰσχύοντά τε,
καὶ ζῶντα καὶ θάλλοντα, κοὐ νόσῳ βαρύν.
Δη. Ποῦ γῆς πατρῴας, εἴτε βαρβάρου, λέγε.
Λι. Ἀκτή τις ἔστ' Εὐβοιίς, ἔνθ' ὁρίζεται
βωμοὺς τέλη τ' ἔγκαρπα Κηναίῳ Διΐ.
Δη. Εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;
Λι. Εὐκταῖ', ὅθ' ᾕρει τῶνδ' ἀνάστατον δορὶ
χώραν γυναικῶν ὧν ὁρᾷς ἐν ὄμμασιν.
Δη. Αὗται δὲ πρὸς θεῶν, τοῦ ποτ' εἰσὶ, καὶ τίνες;
οἰκτραὶ γὰρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.
Λι. Ταύτας ἐκεῖνος, Εὐρύτου πέρσας πόλιν,
ἐξείλεθ' αὑτῷ κτῆμα καὶ θεοῖς κριτόν.
Δη. Ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον
χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον:-
Λι. Οὐκ· ἀλλὰ τὸν μὲν πλεῖστον ἐν Λυδοῖς χρόνον
κατείχεθ', ὥς φησ' αὐτὸς, οὐκ ἐλεύθερος,
ἀλλ' ἐμποληθείς· τοῦ λόγου δ' οὐ χρὴ φθόνον
γύναι προσεῖναι, Ζεὺς ὅτου πράκτωρ φανῇ.
κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ
ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.
χοὔτως ἐδήχθη τοῦτο τοὔνειδος λαβὼν,
ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν,
ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους
ξὺν παισὶ καὶ γυναικὶ δουλώσειν ἔτι.
κοὐχ ἡλίωσε τοὔπος· ἀλλ' ὅθ' ἁγνὸς ἦν,
στρατὸν λαβὼν ἐπακτὸν, ἔρχεται πόλιν
τὴν Εὐρυτείαν· τόνδε γὰρ μεταίτιον
μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους.
ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
ἐπερρόθησε, πολλὰ δ' ἀτηρᾷ φρενὶ,
λέγων, χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη,

Longe tamen à liberis suis superaretur certamine jacu-
Et quòd ut servus ab homine libero (landi:
Vexaretur: tandem eum, cùm potus esset,
Convivio ejecit. Quibus contumeliis commotus,
Cùm Iphitus deinde Tirynthiam venisset,
In colle armenta les equos quærens,
Tunc cùm ille alibi oculos, alibi mentem
Haberet, de celso ipsum turris tabulato dejecit.
Ob hoc factum indignatus Rex
Omnium Jupiter pater Olympius
Divenditum eum dimisit, nec sustinuit amplius,
Propterea quòd hunc hominem unicum dolo
Interfecisset. Nam si aperta vi ultus fuisset,
Jupiter illi ignovisset, punienti eum jure.
Nam injuriam non amant, ne superi quidem,
Sed filii Euryti superbè insultantes petulanti lingua
Omnes jam apud inferos habitant,
Urbs in servitutẽ redacta est. Et hæ quidẽ, quas hîc vides
Ex secundis rebus infœlicem sortitæ vitam,
Ad te veniunt: sic enim maritus tuus
Præcepit. Ego verò pro mea erga illum fide id exequor:
Ipsius autem, ubi pura sacra
Jovi patri ob urbem captam perfecerit,
Expectabis adventum. Nam hoc post longum
Sermonem rectè dictum auditu jucundissimum est.
Cho. Regina nunc lætitiam manifestam capis,
Cùm ex his præsentibus, tum verò ex hoc sermone.
Dei. Quid ni gaudeam, audiens has
Res à marito gestas esse jure optimo,
Æquissimum est, ut mea ad hæc lætitia accedat.
Attamen, si quis rectè rem expendat, metuendum est,
Ne huic fortunato aliquid aliquando adversi accidat.
Nam me commiseratio vehemens commovit, amicæ,
Postquàm aspexi has infœlices, in terra peregrina
Exules, ac parentibus orbatas, captásque,
Quæ antea ex ingenuis fortasse
Natæ, nunc servilem sustinent vitam.
O Jup. malorum depulsor, utinam nunquam te videam
Contra prolem meam sic grassantem:
Aut si quid facies, modo me vivente ne id fiat,
Adeo ego metui, has aspiciens.
O tu infœlix, quæ nam es adolescentula?
Virgo ne adhuc, an mater? nam quod ad naturã attinet.
Omniũ horũ adhuc imperit. videris esse, & quidẽ géerosa.
O Licha,

τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν.
φώνει δὲ δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου
ῥαίοιτο· δείπνοις δ' ἡνίκ' ἦν οἰνωμένος,
ἔρριψεν ἐκτὸς αὐτόν· ὧν ἔχων χόλον,
ὡς ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν
πρὸς κλιτὺν, ἵππους νομάδας ἐξιχνοσκοπῶν,
τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θἀτέρᾳ δὲ νοῦν
ἔχοντ' ἀπ' ἄκρας ἧκε πυργώδους πλακός.
ἔργου δ' ἕκατι τοῦδε μηνίσας ἄναξ
ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Ὀλύμπιος,
πρατόν νιν ἐξέπεμψεν, οὐδ' ἠνέσχετο,
ὅθ' οὕνεκ' αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ
ἔκτεινεν· εἰ γὰρ ἐμφανῶς ἠμύνατο,
Ζεύς τ' ἂν συνέγνω ξὺν δίκῃ χειρουμένῳ.
ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες.
κεῖνοι δ' ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς,
αὐτοὶ μὲν ἅδου πάντες εἴσ' οἰκήτορες,
πόλις δὲ δούλη· τάσδε δ' ἅσπερ εἰσορᾷς,
ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον,
χωροῦσι πρὸς σέ· ταῦτα γὰρ πόσις τε σὸς
ἐφεῖτ'· ἐγὼ δὲ πιστὸς ὢν κείνῳ, τελῶ.
αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
φρόνει νιν ὡς ἥξοντα· τοῦτο γὰρ λόγου
πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.
Χο. Ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
τῶν μὲν παρόντων, τῶν δὲ πεπυσμένῃ λόγῳ.
Δη. Πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἂν ἀνδρὸς εὐτυχῆ
κλύουσα πρᾶξιν τήνδε πανδίκῳ φρενί;
πολλὴ δ' ἀνάγκη τῇδε τοῦτο συντρέχειν.
ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις,
ταρβεῖν τὸν εὖ πράσσοντα μὴ σφαλῇ ποτέ.
ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
ταύτας ὁρώσῃ δυσπότμους ἐπὶ ξένης
χώρας ἀοίκους ἀπάτορας τ' ἀλωμένας.
αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον,
ὦ Ζεῦ τροπαῖε, μήποτ' εἰσίδοιμί σε
πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,
μηδ' εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.
οὕτως ἐγὼ δέδοικα τάσδ' ὁρωμένη.
ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων,
ἄνανδρος, ἢ τεκοῦσα; πρὸς μὲν γὰρ φύσιν,
πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.

λίχα,

O Licha, cujus nam hæc peregrina est filia?
Quæ nam illi mater fuit? Quisve qui genuit pater?
Dic mihi: nam hujus præcipuè me miseret,
Postquam aspexi, cùm sola mihi sapere visa sit.
Lic. Quid ego sciam? Quid ve me rogas? forsitan
Loco illic non infimo nata est.
Dei. Nũquid ex genere regio Euryti quædã hæc soboles est?
Lic. Non novi: neque enim prolixè interrogavi.
Dei. An non nomen ejus ab aliqua ex comitibus audisti?
Lic. Minimè, tacitus enim officium meum obire soleo.
Dei. At tu infœlix narra nobis ipsa,
Nam & hæc calamitas est nescire nos quæ nam sis.
Lic. Non quidem nunc minus linguæ quàm antea
Temperabit: neque enim unquam consuevit
Dicere quidquam magni vel parvi,
Sed semper calamitatis onus
Deplorat misera, ex quo patriam
Excelsam reliquit. Hæc quidem fortuna
Gravis est ei, attamen veniam meretur,
Dei. Hanc igitur missam faciamus, eatque intro
Sic quam placidissimè, neq; enim super ærumnas suas
Priores, dolore, insuper à me afficietur.
Satis est calamitatum antea. Domum verò
Eamus omnes, ut tu quò vis
Festines, egóque quod intus curato opus est, curem.
Nu. Mane parumper hìc, ut
Cognoscas sola, quos nam homines ducas intro,
Et ea, quæ nondum audisti, quæque te scire oportet:
Nam omnia hæc ego scio.
Dei. Quid nam est, quamobrem me consistere jubes?
Nu. Stans audi, neque enim priorem sermonem
Frustra audisti, neque nunc, ut arbitror.
Dei. Utrum illos rursum huc
Vocabimus, an mihi, & illis vis dicere?
Nu. Tibi & Choro audire non prohibetur, sed illos sine.
Dei. Jam quidem abierunt, nunc sermo aperiatur.
Nu. Hic vir nihil modo dixit
Rectè, sed vel nunc malus,
Vel antea non verax nuncius fuit.
Dei. Quid ais? explana mihi ea quæ narras,
Nam quæ nunc dixisti, non intelligo.
Nu. Hunc virum ego audivi dicentem
Multis testibus præsentibus, quod propter hanc puellam
Ille Eurytum cepisset,

Et

λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν,
τίς δ' ἡ τεκοῦσα, τίς δ' ὁ φιτύσας πατήρ,
ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖστον ᾤκτισα
βλέπουσ', ὅσῳ περ καὶ φρονεῖν οἶδεν μόνη.
Λι. Τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως
γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.
Δη. Μὴ τῶν τυράννων εὐρύτου σπορά τις ἦν;
Λι. Οὐκ οἶδα· καὶ γὰρ οὐδ' ἀνιστόρουν μακράν.
Δη. Οὐδ' ὄνομα πρός του τῶν ξυνεμπόρων ἔχεις;
Λι. Ἤκιστα· σιγῇ τοὐμὸν ἔργον ἤνυτον.
Δη. Εἴπ' ὦ τάλαιν' ἀλλ' ἡμὶν ἐκ σαυτῆς· ἐπεὶ
καὶ ξυμφορά τις μὴ εἰδέναι (σέ γ' ἥτις εἶ.
Λι. Οὔτ' ἄρα τῷ γε πρόσθεν οὐδὲν ἐξίσου
χρόνῳ διοίσει γλῶσσαν, ἥτις οὐδαμᾶ
προὔφηνεν οὔτε μείζον', οὔτ' ἐλάσσονα·
ἀλλ' αἰὲν ὠδίνουσα συμφορᾶς βάρος,
δακρυῤῥόει δύστηνος, ἐξότου πάτραν
διήνεμον λέλοιπεν· ἡ δέ τοι τύχη,
κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.
Δη. Ἡ δ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας
οὕτως ὅπως ἥδιστα μηδὲ πρὸς κακοῖς
τοῖς οὖσι λύπην πρός γ' ἐμοῦ λύπης λάβοι.
ἅλις γὰρ ἡ παροῦσα· πρὸς δὲ δώματα
χωρῶμεν ἤδη πάντες ὡς σύ θ' οἷ θέλεις
σπεύδῃς, ἐγώ τε τἄνδον ἐξαρκῆ τιθῶ.
Αγ. Αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ'· ὅπως
μάθῃς ἄνευ τῶνδ', οὕς τινάς γ' ἄγεις ἔσω,
ὧν τ' οὐδὲν εἰσήκουσας, ἐκμάθῃς ἃ δεῖ.
τούτων ἔχω γὰρ πάνθ' ἐπιστήμην ἐγώ.
Δη. Τί δ' ἐστί; τοῦ με τήνδ' ἐφίστασαι βάσιν;
Αγ. Σταθεῖσ' ἄκουσον· καὶ γὰρ οὐδὲ τὸν πάρος
μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.
Δη. Πότερον ἐκείνους δῆτα δεῦρ' αὖθις πάλιν
καλῶμεν, ἢ μοι ταῖσδέ τ' ἐξειπεῖν θέλεις;
Αγ. Σοὶ ταῖσδέ τ' οὐδὲν εἴργεται· τούτους δ' ἔα.
Δη. Καὶ δὴ βεβᾶσι, χὠ λόγος σημαινέτω.
Αγ. Ἀνὴρ ὅδ' οὐδὲν ὧν ἔλεξεν ἀρτίως,
φωνεῖ δίκης ἐς ὀρθόν· ἀλλ' ἢ νῦν κακός,
ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.
Δη. Τί φῄς; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς.
ἃ μὲν γὰρ ἐξείρηκας, ἀγνοία μ' ἔχει.
Αγ. Τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ' ἐγὼ,
πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
ταύτης ἕκατι κεῖνος εὔρυτόν θ' ἕλοι,

Et præcelsam turribus OEchaliam, quódq; solus amor
Ipsum impulisset, ut ista gereret,
Non illa in Lydia, vel apud Omphalen laborum
Servitus, neque præcipitati Iphiti interitus,
Quem nunc ille prætexens, contraria prioribus dicit
Sed quando à patre obtinere non potuit
Ut furtivo puellæ concubitu potiretur,
Delictum exiguum, causámque confingens,
Exercitum ducit contra hujus patriam, in qua
Eurytum regnum obtinere dixit,
Interficit regem hujus patrem, urbem
Excidit: & nunc, ut vides, domum venit,
Quasi hos mittens, non temere, Domina.
Neque hanc ut servam mittit, ne id speres,
Non enim consentaneũ est, quia ejus amore incensus est.
Visum mihi igitur est tibi aperire hoc totum
Domina, quod ex hoc audivi.
Et hæc multi alii in medio Trachiniorum
Foro unà mecum audivere simul,
Ut ipse revinci possit: quòd verò, quæ dolent, nuncio,
Non lætor, attamen quod verum est dixi.

Dei. Heu infœlix ubi sum, quídque ago?
Qualem accepi pestem sub tectum
Occultam? Væ mihi miseræ, scilicet sine nomine
Erat, sicut Dux ille jurabat.

Nu. Utique & de splendore, & vultu & indole,
Cùm esset Euryti filia,
Et iole vocaretur, ejus ille neutiquam
Genus dicebat, cùm videlicet nihil horum inquisisset.

Cho. Pereant non omnes mali, sed si quis
Insidiose ea quæ non decent struit

Dei. Quid nũc faciẽdũ est, mulieres? quàm ego his sermõibus
Animo graviter perculsa sum.

Cho. Vade, atque ex ipso rem exquire, nam vera cito
Dicet, ubi vim admoveris.

Dei. Eo, non enim improbanda dicis.

Cho. Nos verò hîc manemus, si quid facere nos oportet.

Dei. Mane vir enim hîc non à meo nuncio
Accitus, sed sua sponte ex ædibus progreditur.

Lic. Quid me oportet Herculi nunciare?
Dic, nam me iturum esse vides.

Dei. Tardè hinc ex Trachine discedes.
Nisi sermonem de integro repetamus prius.

Lic. Si quid inquirere postulas, adsum.

An

τὴν θ᾽ ὑψίπυργον οἰχαλίαν· ἔρως δέ νιν
μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε·
οὐ τἀπὶ λυδοῖς, οὐδ᾽ ἐπ᾽ ὀμφάλῃ πόνων
λατρεύματ᾽, οὐδ᾽ ὁ ῥιπτὸς ἰφίτου μόρος,
ὃν νῦν παρώσας οὗτος, ἔμπαλιν λέγει·
ἀλλ᾽ ἡνίκ᾽ οὐκ ἔπειθε τὸν φυτοσπόρον
τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
ἔγκλημα μικρὸν αἰτίαν θ᾽ ἑτοιμάσας,
ἐπιστρατεύει πατρίδα τὴν ταύτης· ἐν ᾗ
τὸν εὔρυτον τῶνδ᾽ εἶπε δεσπόζειν θρόνων.
κτείνει τ᾽ ἄνακτα πατέρα τῆσδε, καὶ πόλιν
ἔπερσε· καὶ νῦν (ὡς ὁρᾷς) ἥκει δόμους
ὡς τούσδε πέμπων, οὐκ ἀφροντίστως, γύναι,
οὐδ᾽ ὥστε δούλην· μηδὲ προσδόκα τάδε.
οὐδ᾽ εἰκός, εἴπερ ἐντεθέρμανται πόθῳ
ἔδοξεν οὖν μοι πρὸς σὲ δηλῶσαι τὸ πᾶν
δέσποιν᾽, ὃ τοῦδε τυγχάνω μαθὼν πάρα.
καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ τραχινίων
ἀγορᾷ συνεξήκουον ὡσαύτως ἐμοί,
ὥστ᾽ ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,
οὐχ ἥδομαι, τὸ δ᾽ ὀρθὸν ἐξείρηχ᾽ ὅμως.

Δη. Οἴμοι τάλαινα, ποῦ ποτ᾽ εἰμὶ πράγματος;
τίν᾽ εἰσδέδεγμαι πημονὴν ὑπόστεγον,
λαθραῖον; ὦ δύστηνος᾽ ἆρ᾽ ἀνώνυμος
πέφυκεν; ὥσπερ οὑπάγων διώμνυτο;
ἢ καὶ τὰ λαμπρὰ καὶ κατ᾽ ὄμμα καὶ φύσιν;

Αγ. Πατρὸς μὲν οὖσα γένεσιν εὐρύτου ποτὲ,
ἰόλη καλεῖτο· τῆς ἐκεῖνος οὐδαμᾶ
βλάστας ἐφώνει δῆθεν οὐδὲν ἱστορῶν·

Χο. Ολοιντο μή τοι πάντες οἱ κακοί, τὰ δὲ
λαθραῖ᾽ ὃς ἀσκεῖ μὴ πρέπονθ᾽ αὑτῷ κακά.

Δη. Τί χρὴ ποιεῖν γυναῖκες; ὡς ἐγὼ λόγοις
τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ.

Χο. Πεύθου μολοῦσα τἀνδρός· ὡς τάχ᾽ ἂν σαφῆ
λέξειεν, εἴ μιν πρὸς βίαν κρίνειν θέλοις.

Δη. Αλλ᾽ εἶμι· καὶ γὰρ οὐκ ἀπὸ γνώμης λέγεις.

Χο. Ημεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;

Δη. Μίμν᾽, ὡς ὅδ᾽ ἀνὴρ, οὐκ ἐμῶν ὑπ᾽ ἀγγέλων
ἀλλ᾽ αὐτόκλητος ἐκ δόμων πορεύεται.

Λι. Τί χρὴ γύναι μολόντα μ᾽ Ηρακλεῖ λέγειν,
δίδαξον· ὡς ἕρποντος εἰσορᾷς ἐμοῦ.

Δη. Ως ἐκ ταχείας σὺν χρόνῳ βραδεῖ μολὼν
ἄσσεις, πρὶν ἡμᾶς καὶ νεώσασθαι λόγους;

Λι. Αλλ᾽ εἴ τι χρῄζεις ἱστορεῖν, πάρειμ᾽ ἐγώ.

Dei. An & vera dicturus es ?
Lic. Sciat hoc magnus Jupiter, si modo mihi nota erunt.
Dei. Quæ nam igitur hæc mulier est, quam adducis ?
Lic. Euboica, sed unde prognata non possum dicere.
Dei. Heus tu, huc respice, Qui cum te loqui existimas ?
Lic. Quid est. quod me hoc interrogas ?
Dei. Aude dicere, quod ex te quæro.
Lic. Cum Deianira, Regina, OEnei
Filia, conjuge vero Herculis, nisi oculi
Errant, & cum Domina mea.
Dei. Hoc est, quod volebam, hoc inquam, An fateris
Dominam me esse tuam ? *Lich.* Jure quidem.
Dei. Quam igitur te commeruisse pœnam dices,
Si erga hanc injustus deprehensus fueris ?
Lic. Quomodo injustus ? quid tandem perplexe struis ?
Dei. Nihil ego vero, verum tu id valde agis.
Lic. Discedo: stultus enim fui, qui te tam diu audierim.
Dei. Non abibis, prius quam dixeris aliquid breve quod te (interrogabo.
Lic. Dic, si quid vis, non enim taciturna es.
Dei. Captivam, quam domum adduxisti,
Novisti ne ? *Lich.* Dico : quid vero est quod quæris?
Dei. An non hanc, quam te non novisse ais,
Iolen dixisti esse Euriti filiam ?
Lic. Inter quos homines ? quis ve unquam adveniens
Testis erit, qui ex me id audierit ?
Dei. Inter multos cives, in medio Trachiniorum
Foro, plurimus hæc ex te audivit populus.
Lic. Sane vero,
Audisse se dixerunt: sed non est idem
Opinionem narrare ac rem certam nunciare.
Dei. Quam opinionem ? An non juratus
Dixisti hanc te Herculi conjugem adducere ?
Lic. Ego conjugem dixi ? Sed per Deos dic mihi
Domina, quis hic hospes est ?
Dei. Qui coram ex te audivit, quod propter hujus amorem
Urbs tota sit subacta, & quod non illa Lyda mulier
Exciderit eam, sed manifestus amor hujus.
Dei. Hic homo discedat. Nam
Apud ægrotum nugas agere, non est sapientis.
Dei. Ne tu per Jovem fulgurantem
In summo OEtæ luco, hanc rem me celes.
Non enim Mulieri malæ dixeris,
Aut ei, quæ ignara sit ingeniorum humanorum,
Quæve nesciat, quod idem non semper diligitur.

Nam

Δη. Ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις;
Λι. Ἴστω μέγας Ζεύς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
Δη. Τίς ἡ γυνὴ δῆτ' ἐστὶν ἣν ἥκεις ἄγων;
Λι. Εὐβοῒς· ὧν δ' ἔβλαστεν, οὐκ ἔχω λέγειν.
Δη. Οὗτος βλέφ' ὧδε· πρὸς τίν' ἐννέπειν δοκεῖς;
Λι. Σὺ δ' εἰς τί δή με τοῦτ' ἐρωτήσασ' ἔχεις;
Δη. Τόλμησον εἰπεῖν εἰ φρονεῖς ὅ σ' ἱστορῶ.
Λι. Πρὸς τὴν κρατοῦσαν Δηϊάνειραν Οἰνέως
κόρην, δάμαρτά θ' Ἡρακλέους, (εἰ μὴ κυρῶ
λεύσσων μάταια) δεσπότιν τε τὴν ἐμήν.
Δη. Τοῦτ' αὔτ' ἔχρῃζον τοῦτό σου μαθεῖν· λέγεις
δέσποιναν εἶναι τήνδε σήν. Λι. Δίκαια γάρ.
Δη. Τί δῆτα. ποίαν ἀξιοῖς δοῦναι δίκην,
ἢν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
Λι. Πῶς μὴ δίκαιος; τί ποτε ποικίλας ἔχεις;
Δη. Οὐδέν· σὺ μέντοι κάρτα τοῦτο δρῶν κυρεῖς.
Λι. Ἄπειμι· μῶρος δ' ἦν πάλαι κλύων σέθεν.
Δη. Οὐ πρίν γ' ἂν εἴπῃς ἱστορούμενος βραχύ.
Λι. Λέγ' εἴ τι χρῄζεις· καὶ γὰρ οὐ σιγηλὸς εἶ.
Δη. Τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμους,
κάτοισθα δήπου; Λι. Φημί· πρὸς τί δ' ἱστορεῖς;
Δη. Οὔκουν σὺ ταύτην, ἣν ὑπ' ἀγνοίας ὁρᾷς
Ἰόλην ἔφασκες Εὐρύτου σπορὰν ἄγειν;
Λι. Ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολὼν
σοὶ μαρτυρήσει ταῦτ' ἐμοῦ κλύειν παρών;
Δη. Πολλοῖσιν ἀστῶν· ἐν μέσῃ τραχινίων
ἀγορᾷ πολύς σου ταῦτά γ' εἰσήκουσ' ὄχλος.
Λι. Ναί. ———
κλύειν γ' ἔφασκον· ταυτὸ δ' οὐχὶ γίνεται
δόκησιν εἰπεῖν, κἀξακριβῶσαι λόγον.
Δη. Ποίαν δόκησιν; οὐκ ἐπώμοτος λέγων
δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;
Λι. Ἐγὼ δάμαρτα; πρὸς θεῶν φράσον φίλη
δέσποινα τόνδε, τίς ποτ' ἐστὶν ὁ ξένος.
Δη. Ὃς σοῦ παρὼν ἤκουσεν ὡς ταύτης πόθῳ
πόλις δαμείη πᾶσα, κοὐχ ἡ Λυδία
πέρσειεν αὐτήν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς.
Λι. Ἄνθρωπος ὦ δέσποιν' ἀποστήτω· τὸ γὰρ
νοσοῦντι ληρεῖν, ἀνδρὸς οὐχὶ σώφρονος.
Δη. Μὴ πρὸς σὲ τοῦ κατ' ἄκρον Οἰταῖον νάπος
Διὸς καταστράπτοντος ἐκκλέψῃς λόγον.
οὐ γὰρ γυναικὶ τοὺς λόγους ἐρεῖς κακῇ,
οὐδ' ἥτις οὐ κάτοιδε τἀνθρώπων, ὅτι
χαίρειν πέφυκεν οὐχὶ τοῖς αὐτοῖς ἀεί.

Nam si quis amori obluctatur
Manibus ceu pugil, non recte sapit.
Ille enim Diis imperat ut vult.
Sic & mihi. Quid ni igitur & aliam talem vincat, qualis ego sum?
Quapropter si vel maritum meum, quod hoc morbo
Correptus est, accuso, admodum insanio:
Vel hanc mulierem, quæ nullius criminis
Aut mali mihi causa est.
Non ita fiet. Quod si illo magistro
Mentiris, doctrinam ab eo non bonam discis,
Sed si tu eum sic doces, dum
In speciem bonus videri vis, malus deprehenderis.
Dic igitur quidquid est veri: nam quid miserius est
Homini libero, quam vocari mendacem?
Neque est ut speres te posse fallere.
Multi enim, quibus dixisti, hi narrabunt mihi.
Neque cur metuas causa est: quoniam
Hoc dolet magis, si nesciam:
Si vero sciam, quid nocet? An non & alias
Plurimas vir meus conjuges habuit?
Nec ulla ex eis adhuc à me maledictum
Ullum, vel probrum tulit, neque hæc feret, & si
Admodum amore ejus tabescit. Nam ego ipsam
Intuens miserata sum, Quoniam
Formæ pulchritudo vitam ejus perdidit
Et ipsa non volens patriæ suæ
Exitio fuit, eamque in servitutem redegit. Sed hæc
Vento loquuta sum: tibi autem dico alios ut fallas,
Erga me vero semper ut verax sis.

Cho. Ausculta huic, recte enim loquitur,
Tempusque hæc probabit, & à me gratiam inibis.

Lic. Sed chara Domina, Quando te video esse
Mortalem, mortalia intelligentem nec imprudentem.
Rem omnem tibi narrabo. nec occultabo quidquam.
Sic enim est, quemadmodum iste dixit.
Hercules vehementer hanc deperire
Cœpit, & ob eam calamitosa
OEchalia patria ipsius bello capta est.
Atque hæc (oportet enim me & pro illo dicere)
Non ut celarem jussit neque negavit unquam,
Sed ego ipse, Regina, metuens tuum
Ne hoc sermone animum affligerem;
Peccavi, si hoc peccatum judicas.
Quando igitur rem totam jam nosti,

ἔρωτι μὲν νυν ὅστις ἀντανίσταται
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ.
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει
κἀμοῦ γε· πῶς δ' οὔ; χἀτέρας οἵας γ' ἐμοῦ,
ὡς εἴ τι τῷ μῷ τἀνδρὶ τῇδε τῇ νόσῳ
ληφθέντι μεμπτός εἰμι, κάρτα μαίνομαι.
ἢ τῇδε τῇ γυναικὶ τῇ μεταιτίᾳ
τοῦ μηδὲν αἰσχροῦ, μηδ' ἐμοὶ κακοῦ τινός.
οὐκ ἔστι ταῦτ'· ἀλλ' εἰ μὲν ἐκ κείνου μαθὼν
ψεύδῃ μάθησιν οὐ καλὴν ἐκμανθάνεις·
εἰ δ' αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
θέλῃς γενέσθαι χρηστὸς, ὀφθήσῃ κακός.
ἀλλ' εἰπὲ πᾶν τἀληθές· ὡς ἐλευθέρῳ,
ψευδεῖ καλεῖσθαι κὴρ πρόσεστιν οὐ καλή.
ὅπως δὲ λήσεις, οὐδὲ τοῦτο γίνεται.
πολλοὶ γὰρ οἷς εἴρηκας, οἳ φράσουσ' ἐμοί.
κεἰ μὲν δέδοικας, οὐ καλῶς ταρβεῖς· ἐπεὶ
τὸ μὴ πυθέσθαι, τοῦτό μ' ἀλγύνειεν ἄν.
τὸ δ' εἰδέναι, τί δεινόν; οὐχὶ χἀτέρας
πλείστας ἀνὴρ εἷς ἡρακλῆς ἔγημε δή;
κοὔπω τις αὐτῶν ἔκ γ' ἐμοῦ λόγον κακὸν
ἠνέγκατ', οὐδ' ὄνειδος· ἥδε τ', οὐδ' ἂν εἰ
κάρτ' ἐντακείη τῷ φιλεῖν· ἐπεί σφ' ἐγὼ
ᾤκτειρα δὴ μάλιστα προσβλέψασ', ὅτι
τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσε,
καὶ γῆν πατρῴαν οὐχ ἑκοῦσα δύσμορος
ἔπερσε κἀδούλωσεν· ἀλλὰ ταῦτα μὲν
ῥείτω κατ' οὖρον· σοὶ δ' ἐγὼ φράζω κακὸν
πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.--
Χο. Πείθου λεγούσῃ χρηστὰ (κοὐ μέμψῃ χρόνῳ)
γυναικὶ τῇδε, κἀπ' ἐμοῦ κτήσῃ χάριν.
Λι. Ἀλλ' ὦ φίλη δέσποιν', ἐπεί σε μανθάνω
θνητὴν φρονοῦσαν θνητὰ, κοὐκ ἀγνώμονα,
πᾶν σοι φράσω τἀληθὲς, οὐδὲ κρύψομαι.
ἔστιν γὰρ οὕτως ὥσπερ οὗτος ἐννέπει·
ταύτης ὁ δεινὸς ἵμερος ποθ' ἡρακλῆ
διῆλθε, καὶ τῆσδ' οὕνεχ' ἡ πολύφθορος
καθῃρέθη πατρῷος οἰχαλία δορί.
καὶ ταῦτα (δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν)
οὔτ' εἶπε κρύπτειν, οὔτ' ἀπηρνήθη ποτέ·
ἀλλ' αὐτὸς ὦ δέσποινα δειμαίνων τὸ σὸν
μὴ στέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,
ἥμαρτον, εἴ τι τήνδ' ἁμαρτίαν νέμεις.
ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι λόγον,

Tua & mariti causa pariter
Hanc mulierem æquo animo feras, & sermonem tuum
Quem de ea dixisti ratum esse velis.
Nam is qui alia omnia vicit robore,
Amore hujus omnino superatus est.

Dei. Sic sapio, ut hoc factura sim,
Nec morbum spontaneum ultro accersam mihi,
Neque cum Deo belligerabo, sed intra domum
Eamus, ut sermonum mandata feras,
Ac dona pro his donis ut aptemus
Ad illum quæ perferas: vacuum enim non æquum est
Te abire: qui huc veneris cum tanta pompa.

EPODICA strophe.

Cho. Magnam potentiam
Venus sortita est ut vincat semper.
Nam ut deorum facta
Omittam, & quomodo
Jovi illuserit, ne dicam,
Vel nocturno Plutoni,
Vel Neptuno, qui terram concutit.
Verum pro nuptiis hujus Deianiræ
Antequam nupsit quidam descenderunt ad certamen,
Multis plagis & pulvere plena
Prælia facientes.

ANTISTROPHE.

Alter eorum erat fluvius,
Cornuti quadrupedis,
Specie Tauri,
Achelous Ætolus:
Alter vero à Thebis Baccho sacris
Adveniens incurvos
Arcus, & hastam, clavamque manu quatiens,
Filius Jovis, qui in medio
Congressi sunt. Thori uterque cupiens: inter quos sola
Connubialis Venus
Gubernabat certamen.

EPODOS.

κείνου τε καὶ σὴν ἐξίσου κοινὴν χάριν,
καὶ στέργε τὴν γυναῖκα, καὶ βούλου λόγους
οὓς εἶπας ἐς τήνδ', ἐμπέδως εἰρηκέναι.
ὡς τἄλλ' ἐκεῖνος πάντ' ἀριστεύων χεροῖν,
τοῦ τῆσδ' ἔρωτος εἰς ἅπανθ' ἥσσων ἔφυ.
Δη. Ἀλλ' ὧδε καὶ φρονοῦμεν, ὥς τε ταῦτα δρᾶν.
κοὔτοι νόσον γ' ἐπακτὸν ἐξαιρούμεθα,
θεοῖσι δυσμαχοῦντες. ἀλλ' εἴσω στέγης
χωρῶμεν, ὡς λόγων τ' ἐπιστολὰς φέρῃς,
ἅ τ' ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι,
καὶ ταῦτ' ἄγῃς. κενὸν γὰρ οὐ δίκαιά σε
χωρεῖν προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ.

ΕΠΩΔΙΚΑ. στροφὴ ά.

Χο. 1 Μέγα τι σθένος ἁ
2 Κύπρις ἐκφέρεται νίκας ἀεί.
3 καὶ τὰ μὲν θεῶν
4 παρέβαν· καὶ ὅπως
5 Κρονίδαν ἀπάτασεν, οὐ λέγω·
6 οὐδὲ τὸν ἔννυχον Ἅιδαν,
7 ἢ Ποσειδάωνα τινάκτορα γαίας·
8 ἀλλ' ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν
9 ἀμφίγυοι κατέβαν πρὸ γάμων τινές·
10 πάμπληκτα παγκόνιτά τ' ἐξ--
11 ῆλθον ἄεθλ' ἀγώνων.--

ΑΝΤΙΣΤΡΟΦΗ.

1 ὁ μὲν ἦν ποταμοῦ
2 σθένος, ὑψίκερω τετραόρου
3 φάσμα ταύρου
4 Ἀχελῷος ἀπ' Οἰ--
5 νιαδᾶν· ὁ δὲ Βακχείας ἄπο
6 ἦλθε παλίντονα Θήβας
7 τόξα καὶ λόγχας ῥόπαλόν τε τινάσσων
8 παῖς Διός· οἳ τότ' ἀολλεῖς ἴ-
9 σαν ἐς μέσον ἱέμενοι λεχέων· μόνα
10 δ' εὔλεκτρος ἐν μέσῳ Κύπρις
11 ῥαβδονόμει ξυνοῦσα.

EPODOS.

Tunc manuum, & ſimul
Arcuum crepitus edebatur;
Et taurinorum mixtim cornuum:
Erantque complicatæ luctæ,
Et frontium letales
Ictus & gemitus utrinque.
Hæc vero formoſa ac tenera puella
In conſpicua ripa
Sedebat expectans, quem habitura eſſet maritum
Ego quæ ceu mater aderam, hæc comperta dico.
Sed puella de qua certabatur,
Miſerabiliter expectabat,
Donec à matre ſtatim
Ceu vitula diſceſſit.

IAMBI.

Dei. Dum ille intus in domo loquitur
Cum captivis puellis. ut jam diſceſſurus.
Interea ego ad vos huc foras clam egreſſa ſum,
Ut vobis dicam ea, quæ manibus fabricavi,
Et ut miſeriam meam una nobiſcum deplorem,
Nam puellam, & ſi non puellam amplius, ut exiſtimo
In domum accepi, ceu navita, onus (ſed nuptam
Ac mercem noxiam animo meo,
Et nunc nos duæ una ſub lodice
Unius expectabimus amplexum. Talia fidus nobis
Et bonus Hercules dictus,
Præmia pro tam diuturna cuſtodia domus remiſit.
Sed ego ſuccenſere illi non volo,
Qui crebro hocce morbo laborare ſolet.
Ut vero in eadem domo cum hac habitem, (conſors
Quænam hoc ſuſtineat mulier, præſertim ejuſdem thori
Video enim ætatem hujus eam eſſe, ut gratia formæ ad-
Mea vero ætas jam declin. Ab illis oculi ſolēt (huc auge.
Decerpere florem, ab hac vero refugiunt.
Hoc igitur metuo, ne conjux quidem Hercules
Meus vocetur, hujus vero adoleſcentulæ vir,
Sed, ut ante dixi, non decet iraſci
Mulierem cordatam. Quale vero habeam
Remedium doloris, jam vobis exponam.

ΕΠΩΔΟΣ.

1 τότ' ἦν χερὸς, ἦν δὲ
2 τόξων πάταγος, ταυρείων
3 τ' ἀνάμιγδα κεράτων·
4 ἦν δ' ἀμφίπλεκτοι
5 κλίμακες· ἦν δὲ μετώπων ὀλόεντα
6 πλήγματα, καὶ στόνος ἀμφοῖν.
7 ἁ δ' εὐῶπις ἁβρὰ
8 ταλαυγεῖ παρ' ὄχθῳ
9 ἧστο, τὸν ὃν προσμένουσ' ἀκοίταν.
10 ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω,
11 τὸ δ' ἀμφινείκητον ὄμμα νύμφας
12 ἐλεεινὸν ἀμμένει.
13 κἀπὸ ματρὸς ἄφαρ
14 βέβακεν, ὥς πόρτις ἐρήμα.--

ΙΑΜΒΟΙ.

Δη. Ἦμος φίλαι κατ' οἶκον ὁ ξένος θροεῖ
ταῖς αἰχμαλώτοις παισὶν ὡς ἐπ' ἐξόδῳ,
τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθρα,
τὰ μὲν φράσουσα, χερσὶν ἃ τεχνησάμην
τὰ δ' οἷα πάσχω, συγκατοικτιουμένη
κόρην γὰρ, οἶμαι δ' οὐκέτ', ἀλλ' ἐζευγμένην,
παρεισδέδεγμαι, φόρτον ὥστε ναυτίλος,
λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενός.
καὶ νῦν δύ' οὖσαι μίμνομεν μιᾶς ὕπο
χλαίνης ὑπαγκάλισμα· τοιάδ' Ἡρακλῆς
ὁ πιστὸς ἡμῖν κἀγαθὸς τελούμενος
οἰκούει' ἀντέπεμψε τοῦ μακροῦ χρόνου.
ἐγὼ δὲ θυμοῦσθαι μὲν οὐκ ἐπίσταμαι
νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ·
τὸ δ' αὖ ξυνοικεῖν τῇδ' ὁμοῦ, τίς ἂν γυνὴ
δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων;
ὁρῶ γὰρ ἥβην, τὴν μὲν ἕρπουσαν πρόσω
τὴν δὲ φθίνουσαν· ὧν ἀφαρπάζειν φιλεῖ
ὀφθαλμὸς ἄνθος, τῶν δ' ὑπεκτρέπειν πόδα.
ταῦτ' οὖν φοβοῦμαι, μὴ πόσις μὲν Ἡρακλῆς
ἐμὸς καλῆται, τῆς νεωτέρας δ' ἀνήρ.
ἀλλ' οὐ γὰρ (ὥσπερ εἶπον) ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν· ᾗ δ' ἔχω φίλαι
λυτήριον λύπημα, τῇδ' ὑμῖν φράσω.

ἦν

Eſt mihi antiquum donum veteris olim
Centauri in æreo lebete reconditum,
Quod cum adhuc puella eſſem ab hirſuto
Neſſo moriente ex cæde accepi,
Qui per profundum amnem Evenum homines
Mercede tranſportabat, manuum non remorum
Utens remigio, nec velis navigii.
Qui & me, cum comitata familia paterna
Herculem maritum uxor ſequerer,
In humeris geſtans cum flumen medium tranaret,
Stultis manibus attrectare cœpit, unde ego exclamavi
Et filius Jovis ſtatim converſus, manibus
Emiſit volucrem ſagittam, quæ per pulmonem
Ac pectus cum ſtridore trajecta eſt: ipſe vero moriens
Dixit ad me, ô filia ſenis OEnei,
Hoc emolumentum capies, ſi mihi auſcultabis,
Ab hoc tranſitu, quia te poſtremam tranſvexi
Si enim ſanginem de mea cæde
Concretum acceperis, hic ubi lividam
Infixit ſagittam Lerneæ Hydræ.
Erit hoc tibi mentis Herculeæ mulcimentum.
Ne quam ille unquam conſpectam
Mulierem plus te amet.
Hoc cum mihi in mentem veniſſet, domi enim fuit
Poſt illius mortem concluſum probe,
Tunicam hanc unxi, fecique omnia
Quæ ille adhuc vivens dixit, & hæc perfecta quidem
Malos conatus utinam ego non ſciam, (ſunt
Neque unquam diſcam, & hoſce odi, & ſi auſa ſim:
Amatoriis medicamentis autem ſi hanc ſuperare poſſem
Puellam, & delinimentis erga Herculem,
Ideo fabricatum eſt hoc opus, ſi modo tibi non videor
Stulte agere, ſin vero, deſinam.

Cho. Sed, ſi qua fides eſt facto,
Videris nobis non male conſuluiſſe.

Dei. Hæc fides eſt : opinionem quidem habeo,
Sed nunquam adhuc periculum feci.

Cho. Verum quod facis ſcire te oportet, neque quod te putes
Tenere, tenebis, niſi fueris experta.

Dei. Atqui ſtatim ſciemus, Hunc enim video
Foras exire, qui celeriter veniet
Modo hoc à vobis probe occultetur. Nam qui occulte
Etiam quid turpe agit: non incidet in probrum.

Lic. Quid facere oportet, impera:

ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ
θηρός, λέβητι χαλκέῳ κεκρυμμένον·
ὃ παῖς ἔτ' οὖσα, τοῦ δασυστέρνου παρὰ
νέσσου φθίνοντος ἐκ φόνων ἀνειλόμην
ὃς τὸν βαθύρρουν ποταμὸν εὔηνον βροτοὺς
μισθοῦ 'πόρευε χερσίν, οὔτε πομπίμοις
κώπαις ἐρέσσων, οὔτε λαίφεσιν νεώς·
ὃς κἀμὲ, τὸν πατρῷον ἡνίκα στόλον
ξὺν ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην,
φέρων ἐπ' ὤμοις, ἡνίκ' ἦν μέσῳ πόρῳ;
ψαύει ματαίαις χερσίν· ἐκ δ' ἤυσ' ἐγώ.
χὠ ζηνὸς εὐθὺς παῖς ἐπιστρέψας χεροῖν,
ἧκεν κομήτην ἰόν· ἐς δὲ πνεύμονας
στέρνων διερροίζησεν, ἐκθνήσκων δ' ὁ θὴρ
τοσοῦτον εἶπε, παῖ γέροντος οἰνέως,
τοσόνδ' ὀνήσῃ τῶν ἐμῶν (ἐὰν πίθῃ)
πορθμῶν, ὅθ' οὕνεχ' ὑστάτην σ' ἔπεμψ' ἐγώ.
ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
σφαγῶν ἐνέγκῃ χερσὶν ᾗ μελαγχόλους
ἔβαψεν ἰοὺς θρέμμα λερναίας ὕδρας,
ἔσται φρενός σοι τοῦτο κηλητήριον
τῆς ἡρακλείας, ὥστε μή τιν' εἰσιδὼν
στέρξῃ γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον.
τοῦτ' ἐννοήσασ' ὦ φίλαι, (δόμοις γὰρ ἦν
κείνου θανόντος ἐγκεκλεισμένον καλῶς)
χιτῶνα τόνδ' ἔβαψα, προσβαλοῦσ' ὅσα
ζῶν κεῖνος εἶπε· καὶ πεπείρανται τάδε.
κακὰς δὲ τόλμας μήτ' ἐπισταίμην ἐγώ,
μήτ' ἐκμάθοιμι, τάς τε τολμώσας στυγῶ.
φίλτροις δ' ἐάν πως τήνδ' ὑπερβαλώμεθα
τὴν παῖδα, καὶ θέλκτροισι τοῖς δ' ἐφ' ἡρακλεῖ,
μεμηχάνηται τοὔργον, εἴ τι μὴ δοκῶ
πράσσειν μάταιον· εἰ δὲ μή, πεπαύσομαι.

Χο. Ἀλλ' εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις,
δοκεῖς παρ' ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς.

Δη. Οὕτως ἔχει γ' ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν
ἔνεστι, πεῖρα δ' οὐ προσωμίλησά πω.

Χο. Ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ' εἰ δοκεῖς
ἔχειν, ἔχοις ἂν γνῶμα μὴ πειρωμένη.

Δη. Ἀλλ' αὐτίκ' εἰσόμεσθα· τόνδε γὰρ βλέπω
θυραῖον ἤδη· διὰ τάχους δ' ἐλεύσεται.
μόνον παρ' ὑμῶν εὖ στεγοίμεθ'· ὡς σκότῳ,
κἂν αἰσχρὰ πράσσῃς, οὔποτ' αἰσχύνῃ πεσῇ.

Λι. Τί χρὴ ποιεῖν σήμαινε τέκνον οἰνέως·

ὡς

Nam longum jam tempus morati ſumus.
Dei. Idem hoc jamdudum ago,
Dum tu cum mulieribus peregrinis loqueris intus,
Ut feras mihi hanc pulchre contextam veſtem
Herculi dono, mearum manuum opus.
Cumque dabis, dic ne quis hominum
Prius hanc corpori ſuo induat,
Neque eam videat lumen ſolis,
Neque ara in veſtibulo, neque jubar foci,
Prius quam ipſe conſpicuus ante aras conſiſtens
Manifeſte eam oſtenderit in die feſto,
Sic enim vovi ſi eum domi
Viderem ſervatum, vel audirem, quod rite ipſum
Hac veſte ornatum Diis oſtenſura eſſem,
Sacrificantem novum in nova tunica.
Et feres ei hoc ſignum quod ipſe cognitu facile
Sigillo notatum oculis obſervabit:
Sed vade jam, atque hanc primum legem ſerva,
Ut cum ſis nuncius, ne cures ea quæ non ſunt neceſſaria.
Deinde operam da, ut tibi illius & mea gratia
Pariter conduplicata conſtet.
Lic. Si Mercurii officio rite fungor,
Non delinquam in eo, quod ad te attinet,
Quin hoc vaſculum, ita ut eſt, offeram ipſi.
Et ſermonem quem mihi mandaſti fideliter adjungam.
Dei. Vade igitur jam noſti enim
Ut res ſunt domi noſtræ?
Lic. Scio, & ſalvas eſſe dicam.
Dei. Noſti item atque vidiſti, hoſpita hæc
Quam à me amanter accepta ſit.
Lic. Ita amanter accepta ſit.
Dei. Ita amanter, ut præ gaudio cor meum obſtupuerit.
Quid vero aliud dices? vereor enim
Ne prius illi de meo erga ipſum amore dicas,
Quam ipſa ſciam utrum ei cordi ſim.

ANTISTROPHICA ſtrophe. 1.

Cho. O maritima & ſaxoſa
Calida lavacra, quique circa rupes
OEtæ habitatis, & qui mediam
Juxta paludem Melida,
Atque in littore Dianæ,
Ubi Græcorum Juventus aguntur,
Quibus à Thermopylis nomen eſt.

ὡς ἐσμὲν ἤδη τῷ μακρῷ χρόνῳ βραδεῖς.
Ἀλλ' αὐτὰ δή σοι ταῦτα καὶ πράσσω Λίχα,
Δη. ἕως σὺ ταῖς ἔσωθεν ἠγορῶ ξέναις.
ὅπως φέρεις μοι τόνδε γ' εὐφῆ πέπλον
δώρημ' ἐκείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός.
διδοὺς δὲ τόνδε, φράζ' ὅπως μηδεὶς βροτῶν
κείνου πάροιθεν ἀμφιδύσεται χροΐ.
μηδ' ὄψεταί νιν μήτε φέγγος ἡλίου,
μήθ' ἕρκος ἱερὸν, μήτ' ἐφέστιον σέλας,
πρὶν κεῖνος αὐτὸν φανερὸς ἐμφανεὶς σταθεὶς
δείξῃ θεοῖσιν ἡμέρᾳ ταυροσφάγῳ.
οὕτω γὰρ ηὔγμην, εἴ ποτ' αὐτὸν ἐς δόμους
ἴδοιμι σωθέντ' ἢ κλύοιμι, πανδίκως
στελεῖν χιτῶνι τῷδε, καὶ φανεῖν θεοῖς
θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.
καὶ τῶνδ' ἀποίσεις σῆμ', ὃ κεῖνος εὐμαθὲς
σφραγῖδος ἕρκει τῷδ' ἐπ' ὄμμα θήσεται.
ἀλλ' ἕρπε, καὶ φύλασσε. πρῶτα μὲν νόμον
τὸ μὴ 'πιθυμεῖν, πομπὸς ὢν, περισσὰ δρᾶν·
ἔπειθ', ὅπως ἂν ἡ χάρις κείνου τέ σοι
κἀμοῦ ξυνελθοῦσ', ἐξ ἁπλῆς; διπλῆ φανῇ.-
Ἀλλ' εἴπερ Ἑρμοῦ τήνδε πομπεύω τέχνην
Λι. βέβαιον, οὔ τι μὴ σφαλῶ γ' ἐν σοί ποτε,
τὸ μὴ οὐ τόδ' ἄγγος ὡς ἔχει δεῖξαι φέρων
λέγων τε πίστιν ὧν ἔχεις ἐφαρμόσαι.--
Δη. Στείχοις ἂν ἤδη· καὶ γὰρ ἐξεπίστασαι
τά γ' ἐν δόμοισι ὡς ἔχοντα τυγχάνει.
Λι. Ἐπίσταμαί τε καὶ φράσω σεσωσμένα.
Δη. Ἀλλ' οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης ὁρῶν
προσδέγματ', αὐτήν θ' ὡς ἐδεξάμην φίλως.
Λι. Ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ.
Δη. Τί δῆτ' ἂν ἄλλο γ' ἐννέποις; δέδοικα γὰρ
μὴ πρὶν λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ,
πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθούμεθα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ στροφὴ α'.

Χο. 1 Ὦ ναύλοχα καὶ πετραῖα
2 θερμὰ λουτρὰ, καὶ πάγους
3 Οἴτας παραναιετάοντες,
4 οἵ τε μέσσαν
5 μηλίδα πὰρ λίμναν,
6 χρυσαλακάτου τ' ἀκτὰν κόρας,
7 ἔνθ' Ἑλλάνων ἀγοραὶ
8 πυλάτιδες καλέονται.---

ANTISTROPHE 1.

Jam lætum carmen vobis
Tibia jucundum
Sonitum edens reducit, & divinis
Consonum Musis.
Jam Jovis & Alcmenæ proles
Advenit omnium virtutum
Spolia ferens domum.

STROPHE 2.

Quem peregre absentem
Per totos duodecim menses expectavimus.
In mari navigantem,
De eo nihil scientes.
Ejusque chara uxor.
Misera, infœlix animum
Multiplici luctu semper affligebat.
Nunc vero Mars œstro concitus
Finiit tempus laborum.

ANTISTROPHE 2.

Veniat, adveniat,
Neque illi navis consistat,
Prius quam ad hanc urbem perveniat,
Insulari sede
Mutata, ubi dicitur sacrificare,
Inde veniat totos dies currens,
Hac unctili suadela
Implicitus, sub prætextu Centauri.

IAMBI.

Dei. Mulieres, quam metuo, ne ex his, quæ modo gessi,
Aliquid ultra quam oportuit fecerim.
Cho. Quid vero est, ô Deianira?
Dei. Nescio, valde vero metuo, ne videar
Magnum malum fecisse, spe bona impulsa.
Cho. Nunquid de tuis donis dicis, quæ Herculi misisti?

ΑΝΤΙΣΤΡΟΦΗ α.

1 ὁ καλλιβόας τάχ' ὑμῖν
2 αὐλὸς οὐκ ἀναρσίαν
3 ἰαχὰν καναχὰν ἐπάνεισιν,
4 ἀλλὰ θείας
5 ἀντίλυρον μούσας.
6 ὁ γὰρ Διὸς ἀλκμήνας τε κοῦρος
7 σεύται πάσας ἀρετᾶς
8 λάφυρ' ἔχων ἐπ' οἴκους.

ΣΤΡΟΦΗ β.

1 ὃν ἀπόπτολιν εἴχομεν
2 πάντα δυοκαιδεκάμηνον
3 ἀμμένουσαι χρόνον
4 πελάγιον ἴδριες οὐδέν.
5 ἁ δέ οἱ φίλα δάμαρ τάλαινα
6 δυστάλαινα καρδίαν
7 πάγκλαυτος αἰὲν ὤλλυτο.
8 νῦν δ' ἄρης οἰστρηθεὶς
9 ἐξέλυσ' ἐπίπονον ἁμέραν.

ΑΝΤΙΣΤΡΟΦΗ β.

1 ἀφίκοιτ' ἀφίκοιτο· μὴ
2 σταίη πολύκωπον ὄχημα
3 ναὸς αὐτῷ πρὶν
4 τάνδε πρὸς πόλιν ἀνύσειε.
5 νασιῶτιν ἑστίαν ἀμείψας,
6 ἔνθα κλῄζεται θυτήρ.
7 ὅθεν μόλοι πανάμερος
8 τᾶς πειθοῦς παγχρίστῳ
9 συγκραθεὶς ἐπὶ προφάσει θηρός.

ΙΑΜΒΟΙ.

Δη. Γυναῖκες, ὡς δέδοικα μὴ περαιτέρω
πεπραγμέν' ᾖ μοι πάνθ' ὅσ' ἀρτίως ἔδρων.
Χο. Τί δ' ἐστὶ δηϊάνειρα, τέκνον οἰνέως;
Δη. Οὐκ οἶδ'· ἀθυμῶ δ' εἰ φανήσομαι τάχα
κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.
Χο. Οὐ δή τι τῶν σῶν ἡρακλεῖ δωρημάτων;

Μάλιστά

Maxime. Nunquam ego alicui, ut rem incertam
Ita prompte suscipiat, consuluerim.
Dic, si fas est dicere, Quid est quod metuis?
Ita evenit sicut dicam
Vobis mulieres, res mira & insperata accidit,
Nam lana, qua tunicam jam unxi,
Pulchra, accepta de candida ove,
Ea evanuit à nemine consumpta,
Sed sua sponte contabuit,
Diffluxitque in summo lapide. Verum ut rem totam,
Sicut acta est, intelligas, pluribus verbis exponam,
Nam eorum, quæ me Centaurus edocuit,
Cum dolore lateris conficeretur sagitta vulnerati,
Nihil prætermisi, sed omnia velit sculptam
In ærea tabula legem servavi,
Utque mihi prædictum est ita feci,
Nempe, ut hoc pharmacum ab igni semotum & radiis
Calidis intactum, in angulo adservarem semper,
Donec alicubi recens adungendum esset.
Feci hoc, cumque opus esset,
Unxi domi clanculum,
Lana ad id usa sum divulsa de nostris ovibus.
Et complicatam vestem, ne à radiis solis contingeretur
In arcula condidi, dono illi, sicut scitis,
Cum vero intro rediissem, video quiddam
Infandum quodque nulli hominum in mentem venire posset
Lanam enim divulsam abjicio,
Qua usa eram, cum vestem ungerem,
In medios solis radios, quæ ubi colore correpta est,
Tota dissolvitur incerta de causa, & humi exaruit,
Hunc maxime in modum, quasi de serra
Resegmina aspicias, dum scinditur lignum,
Ubi jacebat humi, ac de terra
Sic jacebat, grumosa spuma effervescebat,
Perinde ut in autumno fervet pingue mustum
Effusum humi, de vite Bacchi.
Quapropter incerta sum animo, quid cogitem?
Video enim me atrox facinus perpetrasse.
Qua enim ratione mihi Centaurus
Benevolentiam præstaret, propter quam moriebatur?
Non est ut hoc cogitem, sed eum à quo sagitta ictus erat
Cum perimere vellet, mihi blanditus est.
Hæc ego nunc tandem
Cum nihil prodest amplius, cogito.

Nam

Δη. Μάλιστά γ'· ὥστε μήποτ' ἂν προθυμίαν
ἄδηλον ἔργου τῳ παραινέσαι λαβεῖν.
Χο. Δίδαξον, εἰ διδακτὸν ἐξ ὅτου φοβεῖ.
Δη. Τοιοῦτον ἐκβέβηκεν οἷον ἂν φράσω
γυναῖκες ὑμῖν θαῦμ' ἀνέλπιστον μαθεῖν.
ᾧ γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
ἔχριον, ἀργῆτ' οἰὸς εὐείρῳ πόκῳ,
τοῦτ' ἠφάνισται διάβορον πρὸς οὐδενὸς
τῶν ἔνδον· ἀλλ' ἐδεστὸν ἐξ αὑτοῦ φθίνει,
καὶ ψῇ κατ' ἄκρας σπιλάδος·
ὡς δ' εἰδῇς ἅπαν
ᾗ τοῦτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
ἐγὼ γὰρ ὧν ὁ θήρ με κένταυρος, πονῶν
πλευρὰν πικρᾷ γλωχῖνι, προὐδιδάξατο,
παρῆκα θεσμῶν οὐδέν, ἀλλ' ἐσῳζόμην
χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν.
καί μοι τάδ' ἦν πρόρρητα, καὶ τοιαῦτ' ἔδρων.
τὸ φάρμακον τοῦτ' ἄπυρον, ἀκτῖνός τ' ἀεὶ
θέρμης ἄθικτον ἐν μυχοῖς σῴζειν ἐμέ,
ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που.
κἄδρων τοιαῦτα· νῦν δ' ὅτ' ἦν ἐργαστέον,
ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ
μαλλῷ, σπάσασα κτησίου βοτοῦ λάχνην·
κἄθηκα συμπτύξασ' ἀλαμπὲς ἡλίου
κοίλῳ ζυγάστρῳ δῶρον, ὥσπερ εἴδετε.
εἴσω δ' ἀποστείχουσα δέρκομαι φάτιν
ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.
τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως
τῆς οἰὸς, ᾧ προὔχριον, ἐς μέσην φλόγα,
ἀκτῖν' ἐς ἡλιῶτιν· ὡς δ' ἐθάλπετο,
ῥεῖ πᾶν ἄδηλον, καὶ κατέψηκται χθονί,
μορφῇ μάλιστ' εἰκαστὸν, ὥστε πρίονος
ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.
τοιόνδε κεῖται προπετές· ἐκ δὲ γῆς ὅθεν
προὔκειτ', ἀναζέουσι θρομβώδεις ἀφροί,
γλαυκῆς ὀπώρας ὥστε πίονος ποτοῦ
χυθέντος εἰς γῆν βακχείας ἀπ' ἀμπέλου·
ὥστ' οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω.
ὁρῶ δέ μ' ἔργον δεινὸν ἐξειργασμένην.
πόθεν γὰρ ἄν ποτ', ἀντὶ τοῦ θνήσκων ὁ θὴρ
ἐμοὶ παρέσχ' εὔνοιαν ἧς ἔθνησχ' ὕπερ;
οὐκ ἔστιν, ἀλλὰ τὸν βαλόντ' ἀποφθίσαι
χρῄζων ἔθελγέ μ'· ὧν ἐγὼ μεθύστερον,
ὅτ' οὐκέτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.

Nam ego sola, nisi me animus fallit,
Infœlix ipsum perditura sum.
Conjecta enim sagitta quemadmodum
Etiam Chironem afflixerit scio, & quicumque attigerit,
Interficit omne genus animalium: ex hoc igitur vulnere
Atrum venenum cum sanguine, quod fluxit,
Quid ni & hunc interficiat? Videtur igitur mihi,
Et quidem decretum est, si quid illi acciderit mali,
Eodem impetu & me commorituram esse simul.
Infamia enim malum intolerabile est
Illis, qui se bonis prognatos esse sciunt.

Cho. Exhorrescere ad facinora atrocia necesse est,
De spe tamen non judicandum est ante eventum.

Dei. In malis consiliis non est
Ulla spes, quæ animum erigere possit.

Cho. Sed adversus eos, qui non consulto deliquerunt,
Ira remissior est, quam & te consequi decet.

Dei. Hoc dixerit non is qui mali
Particeps est, sed cui nihil domi grave accidit.

Cho. Tacere decet te diutius,
Nisi quid filio tuo hac de re dicere voles,
Adest enim qui dudum patrem quæsitum abiit.

Hyl. O mater, quàm ego ex tribus his unum optârim,
Vel te non amplius vivere, vel incolumem
Alterius matrem vocari, aut mentem
Meliorem tibi alicunde datam esse.

Dei. Quid est, ô nate à me ortum tanto odio dignum?

Hyl. Virum tuum inquam. & eundem meum
Patrem, hoc die interfecisti.

Dei. Hei mihi, qualem affers, nate, sermonem?

Hyl. Quem quidem irritum fieri non est possibile: nam quod
Factum est, id infectum fieri non potest.

Dei. Quid narras, ô fili, ex quo nam audisti
Me tam fœdum facinus designasse?

Hyl. Hisce oculis graves cruciatus patris
Vidi, & ex ejus ore cognovi.

Dei. Ubinam in eum incidisti, atque apud eum fuisti?

Hyl. Si quidem te scire oportet, res tota exponenda est.
Cùm post excisam inclytam Euryti urbem
Proficisceretur, secum trophæa & spolia ducens,
Promontorium quoddam maritimum est in Eubœa,
Cenæum, ibi patri Jovi
Aras statuebat, & sacrum lucum designabat,
Quo loco primum ipsum cupidè aspexi.

μόνη γὰρ αὐτόν, εἴ τι μὴ ψευσθήσομαι
γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ.
τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδα, καὶ θεὸν
Χείρωνα πημήναντα· χὤσπερ ἂν θίγῃ,
φθείρει τὰ πάντα κνώδαλ'· ἐκ δὲ τοῦδ' ὅδε
σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας,
πῶς οὐκ ὀλεῖ καὶ τόνδε; δόξῃ γοῦν ἐμοί.
καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
ταὐτῇ σὺν ὁρμῇ κἀμὲ συνθανεῖν ἅμα·
ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετόν,
ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι.—
Χο. Ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει·
τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.
Δη. Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ' ἐλπὶς ἥτις καὶ θράσος τι προξενεῖ.
Χο. Ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι μὴ 'ξ ἑκουσίας,
ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.
Δη. Τοιαῦτα δ' ἂν λέξειεν οὐχ ὁ τοῦ κακοῦ
κοινωνὸς, ἀλλ' ᾧ μηδὲν ἐς οἴκοις βαρύ.—
Χο. Σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω χρόνον,
εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς· ἐπεὶ
πάρεστι μαστὴρ πατρὸς ὃς πρὶν ᾤχετο.
Υλ. Ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην,
ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσωσμένην
ἄλλου κεκλῆσθαι μητέρα σ', ἢ λῴους φρένας
τῶν νῦν παρουσῶν τῶνδ' ἀμείψασθαί ποθεν.
Δη. Τί δ' ἐστὶν ὦ παῖ, πρός γ' ἐμοῦ στυγούμενον;
Υλ. Τὸν ἄνδρα τὸν σὸν ἴσθι (τὸν δ' ἐμὸν λέγω
πατέρα) κατακτείνασα τῇδ' ἐν ἡμέρᾳ.
Δη. Οἴμοι τίν' ἐξήνεγκας ὦ τέκνον λόγον;
Υλ. Ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι· τὸ γὰρ
φανθὲν τίς ἂν δύναιτ' ἀγένητον ποιεῖν;
Δη. Πῶς εἶπας ὦ παῖ; τοῦ παρ' ἀνθρώπων μαθὼν
ἄζηλον οὕτως ἔργον εἰργάσθαι με φῄς;
Υλ. Αὐτὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασι
πατρὸς δεδορκὼς, κοὐ κατὰ γλῶσσαν κλύων.
Δη. Ποῦ δ' ἐμπελάζεις τἀνδρὶ καὶ παρίστασαι;
Υλ. Εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
ὅθ' εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν,
νίκης ἄγων τρόπαια, κἀκροθίνια,
ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κήναιόν ἐστιν, ἔνθα πατρῴῳ Διὶ
βωμοὺς ὁρίζει, τεμενίαν τε φυλλάδα·
οὗ νιν τὰ πρῶτ' ἐσεῖδον ἄσμενος πόθῳ

Cúmque jam solennia sacra peracturus esset,
Præco à domo advenit domesticus Lichas,
Afferens à te dono letalem vestem,
Quâ ille indutus, sicut tu mandaveras,
Mactabat duodecim integros, quos habebat
Ex præda primitias, boves: sed omnia simul
Centum adduxit varia pecora.
Et primum quidem miser hilari animo
Ornatu gaudens & amictu, precabatur.
Ubi verò de venerandis victimis succensa est
Flamma cruenta, déque lignis pinguibus,
Ibi sudor è corpore erupit, & tenaciter adhæsit
Lateribus, velut à fabro jam recens adglutinata
Tunica, circa omnia membra: successit verò ossium
Laceratio cum convulsione: deinde cruentum
Sævæ viperæ venenum grassabatur.
Ibi vocavit infœlicem Licham,
Qui hujus tui criminis autor non erat,
Quærit, cujus insidiis infectam vestem attulerit.
At ille nihil sciens miser, à te sola
Hoc munus ait, sicut erat, missum esse.
Hercules verò ut audivit, cùm doloribus excruciaretur:
(Laceratio enim viscera ejus jam corripuerat,)
Prehensum ipsum pede, quo loco junctura est,
Allidit ad prominentem è mari scopulum.
Per comam verò album cerebrum dispergebatur,
Medio capite disjecto, cum sanguine simul,
Omnísque cum fletu populus exclamavit,
Quòd pater ita morbo conficeretur, & Lichas interfectus esset,
Nemoque audebat ei occurrere.
Nunc enim humi volvebatur, nunc erectus
Clamabat, ac vociferabatur, ut circa resonarent
Locorum scopuli prominẽtes, & promontoria Eubœæ.
Ut verò despondit animum, crebro in terram miser
Seipsum prosternit, horribiliter cum ejulatu exclamans,
Infœlix conjugium vituperans
Tuum, & OEnei nuptias,
Qualem sortitus fuerit pestem vitæ suæ:
Tandem ex præsenti tabe distortos
Oculos attollens, in magno me videt exercitu
Lachrymantem, quem ubi conspicatus est, ad se vocat:
O fili, inquit, accede, ne refugias à meâ calamitate,
Ne si quidem, te mihi commori oporteat.
Sed aufer me hinc, & in eo loco pone,

μέλλοντι δ' αὐτῷ πολυθύτους τεύχειν σφαγὰς,
κήρυξ ἀπ' οἴκων ἵκετ' οἰκεῖος Λίχας
τὸ σὸν φέρων δώρημα θανάσιμον πέπλον.
ὃν κεῖνος ἐνδὺς, ὡς σὺ προὐξεφίεσο,
ταυροκτονεῖ μὲν δώδεκ' ἐντελεῖς ἔχων
λείας ἀπαρχὴν βοῦς· ἀτὰρ τὰ πάνθ' ὁμοῦ
ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
καὶ πρῶτα μὲν δείλαιος, ἵλεῳ φρενὶ
κόσμῳ τε χαίρων καὶ στολῇ κατηύχετο.
ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο
φλὸξ αἱματηρὰ, κἀπὸ πιείρας δρυὸς
ἱδρὼς ἀνίει χρωτὶ, καὶ προσπτύσσετο
πλευραῖσιν ἀρτίκολλος ὥστε τέκτονος,
χιτὼν ἅπαν κατ' ἄρθρον· ἦλθε δ' ὀστέων
ὀδαγμὸς ἀντίσπαστος· εἶτα φοινίας
ἐχθρᾶς ἐχίδνης ἰὸς ὡς ἐδαίνυτο,
ἐνταῦθα δὴ βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ,
ποίαις ἐνέγκοι τόνδε μηχαναῖς πέπλον.
ὁ δ' οὐδὲν εἰδὼς δύσμορος, τὸ σὸν μόνης
δώρημ' ἔλεξεν, ὥσπερ ἦν, ἐσταλμένον.
κἀκεῖνος ὡς ἤκουσε, καὶ διώδυνος
σπαραγμὸς αὐτοῦ πνευμόνων ἀνθήψατο,
μάρψας ποδός νιν ἄρθρον ᾗ λυγίζεται,
ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν.
κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει μέσου
κρατὸς διασπαρέντος, αἵματός θ' ὁμοῦ.
ἅπας δ' ἀνευφήμησεν οἰμωγῇ λεώς,
τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου.
κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν·
ἐσπᾶτο γὰρ πέδονδε, καὶ μετάρσιος
βοῶν, ἰύζων· ἀμφὶ δ' ἐκτύπουν πέτραι,
Λοκρῶν ὄρειοι πρῶνες, Εὐβοίας τ' ἄκραι.
ἐπεὶ δ' ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὶ
ῥίπτων ἑαυτὸν, πολλὰ δ' οἰμωγῇ βοῶν,
τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος
σοῦ τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον.
οἷον κατακτήσαιτο λυμαντὴν βίου.
τότ' ἐκ προσέδρου λιγνύος διάστροφον
ὀφθαλμὸν ἄρας, εἶδέ μ' ἐν πολλῷ στρατῷ
δακρυρροοῦντα· καί με προσβλέψας, καλεῖ,
ὦ παῖ, πρόσελθε· μὴ φύγῃς τοὐμὸν κακὸν,
μηδ' εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί·
ἀλλ' ἆρον ἔξω· καὶ μάλιστα μὲν μέθες

Ubi nemo me hominum videat:
Si te miseret mei, ex hac terra
Quàm primum me trajice, ne hîc moriar.
Cùm hæc præcepisset, in scapha positum
Ipsum hanc in terram vix deportavimus,
Lamentantem dolore: Et ipsum statim
Vel vivum aspicietis, vel jam recens mortuum:
Talia mater consilia tua adversus patrem meum
Et facinora deprehendũtur, propter quæ ut ultrix pœna
Et Erinnys te puniat, si fas est, tibi imprecor.
Sed fas est, utq; esset, tu effecisti,
Quæ virum omnium præstantissimum
Interfecisti, qualem non amplius videbis ullum.
Cho. Cur ita tacitè discedis? An nescis
Quòd qui tacet reum se esse confitetur?
Hyl. Sinite abire, ventus ab oculis meis
Abigat hanc, ut procul discebat.
Nam quid attinet eam nomine matris tumere,
Quæ nihil matre dignum agit?
Abeat igitur & valeat, atque ipsa fruatur
Ea voluptate, quam patri meo præbuit.

ANTISTROPHICA. Strophe 1.

Cho. Ecce qualis statim apparuit
Vox fatidica nobis,
Veteris divinæ providentiæ,
Quæ respondit, cùm exacta præteriisset
Duodecima aratio, tum fore ut quies à labore
Herculi concederetur: & hæc rata
Ita ut dicta sunt, sic evenerunt.
Quomodo enim is, qui hac luce
Non amplius fruitur,
Laboriosa mortuus
Prematur adhuc servitute?

ANTISTROPHE 1.

Nam si Centauri
Dolosum & exitiale
Virus ipsum conficit,
Quod peperit mors, peperitque maculosus Draco,
Quomodo is solem alium videat?
Qui horribili consumitur
Hydræ monstro, Quique Hirsuti

ἐνταῦθ' ὅπου με μήτις ὄψεται βροτῶν.
εἰ δ' οἶκτον ἴσχεις, ἀλλά μ' ἔκ γε τῆσδε γῆς
πόρθμευσον ὡς τάχιστα, μηδ' αὐτοῦ θάνω.
τοσαῦτ' ἐπισκήψαντος, ἐν μέσῳ σκάφει
θέντες σφε πρὸς γῆν τήνδ' ἐκέλσαμεν μόλις,
βρυχώμενον σπασμοῖσι· καί νιν αὐτίκα
ἢ ζῶντ' ἐσόψεσθ', ἢ τεθνηκότ' ἀρτίως.
τοιαῦτα μῆτερ πατρὶ βουλεύσασ' ἐμῷ
καὶ δρῶσ' ἐλήφθης, ὧν σε ποίνιμος δίκη
τίσαιτ' ἐρινύς τ'· εἰ θέμις δ', ἐπεύχομαι.
θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ προὔβαλες,
πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.

Χο. Τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὁθούνεκα
ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ;

Υλ. Ἐᾶτ' ἀφέρπειν, οὖρος ὀφθαλμῶν ἐμῶν
αὐτῇ γένοιτ' ἄπωθεν ἑρπούσῃ καλός.
ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ;
ἀλλ' ἑρπέτω χαίρουσα· τὴν δὲ τέρψιν ἣν
τῷ 'μῷ δίδωσι πατρί, τήνδ' αὐτὴ λάβοι.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφὴ α'.

Χο. 1 Ἴδ' οἷον ὦ παῖδες προσέμιξεν ἄφαρ
2 τοὔπος τὸ θεοπρόπον ἡμῖν
3 τᾶς παλαιφάτου προνοίας,
4 ὅ, τ' ἔλακεν ὁπότε τελεόμηνος ἐκφέροι
5 δωδέκατός τ' ἄροτος, ἀναδοχὰν τελεῖν πόνων
6 τῷ Διὸς αὐτόπαιδι· καὶ τάδ' ὀρθῶς
7 ἔμπεδα κατουρίζει.
8 πῶς γὰρ ἂν ὁ μὴ λεύσσων,
9 ἔτι ποτ' ἔτ' ἐπίπονον ἔχοι
10 θανὼν λατρείαν;

ΑΝΤΙΣΤΡΟΦΗ α'.

1 εἰ γάρ σφε κενταύρου φονίᾳ νεφέλᾳ
2 χρίει δολοποιὸς ἀνάγκα
3 πλευρὰ προστακέντος ἰοῦ,
4 ὃν τέκετο θάνατος, ἔτεκε δ' αἰόλος δράκων,
5 πῶς ὅδ' ἂν ἀέλιον ἕτερον ἢ τανῦν ἴδοι,
6 δεινοτάτῳ μὲν ὕδρας προστετακὼς
7 φάσματι μελαγχαίτα

Etiam excruciatur
Neſſi letiferis atque doloſis
Ignitíſque ſtimulis.

STROPHE 2.

Propter hæc infœlix Deianira ſubitam
Magnámque domi noxam cernens,
Ortam à pellice recens adducta,
Cùm partim parum cauta fuerit, partim peregrina
Voce perſuaſa ſit, ut exitialē amorē mariti conciliaret.
Quàm et nunc alicubi gemit,
Quàm inexhauſtam
Alicubi fundit lachrymarum ſpumam.
Nam veniens
Nati neceſſitas oſtendit,
Ex inſidiis ortam eſſe magnam calamitatem.

ANTISTROPHE 2.

Erupit fons lachrymarum, diffuſus eſt
Morbus, vah qualis ab hoſtibus
Nunquam exaudita eſt
Nec orta Herculi calamitas, commiſeratione digna.
Heu funeſtam expeditionem,
Qua hæc ſponſa ſtatim
Parta eſt ab excelſa
OEchalia, bello victa.
Ipſa verò, quæ adjuvit
Venus tacita, manifeſte
Omnium horum cauſa eſt.

IAMBI.

Cho. Aut ego fallor, aut quendam audio
Luctum domī jam recens exortum,
Quid dicam?
Haud obſcurè aliquis vociferatur, atque infœlices
Luctus edit intus: quid nam novæ turbæ ortum eſt domi?
Adverte animum, (perciliis
Quàm hæc anus præter ſolitum triſtis, & contractis ſu-
Prodit huc ad nos aliquid ſignificatura.
Nut. O filiæ, quàm nobis magni mali

8 τ' ἀμμιγά νιν αἰκίζει
9 νέαισι γ' ὕπο δολόμυθα κέντρα
10 ἐπιζέσαντα.

ΣΤΡΟΦΗ β'.

1 ὧν ἅδ' ἁ τλάμων ἄοκνον
2 μεγάλαν προσορῶσα δόμοισι βλάβαν
3 νέων ἀϊσσόντων γάμων,
4 τὰ μὲν οὔτι προσέβαλε, τὰ δ' ἀπ' ἀλλόθρου
5 γνώμας μολόντ' ὀλεθρίαισι ξυναλλαγαῖς,
6 ἦ που ὀλοὰ στένει,
7 ἦ που ἀδινῶν χλωρὰν
8 τέγγει δακρύων ἄχναν.
9 ἁ δ' ἐρχομένα
10 μοῖρα προφαίνει δολίαν
11 καὶ μεγάλαν ἄταν.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

1 ἔρρωγεν παγὰ δακρύων.
2 κέχυται νόσος· ὢ πόποι, οἷον ἀναρ-
3 σίων οὔπω ἀγακλει-
4 τὸν ἡρακλέ' ἐπέμολε πάθος ὥστ' οἰκτίσαι.
5 ἰὼ κελαινὰ λόγχα τοῦ προμάχου δορὸς,
6 ἃ τότε θοὰν νύμφαν
7 ἄγαγες ἀπ' αἰπεινᾶς
8 τάνδ' οἰχαλίας αἰχμᾷ.
9 ἁ δ' ἀμφίπολος
10 κύπρις ἄναυδος φανερὰ
11 τῶνδ' ἐφάνη πράκτωρ.

ΙΑΜΒΟΙ.

Χο. Πότερον ἐγὼ μάταιος, ἢ κλύω τινὸς
οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου;
τί φημί;
ἠχεῖ τις οὐκ ἄσημον ἀλλὰ δυστυχῆ
κωκυτὸν εἴσω, καί τι καινίζει στέγη.
ξυνίες δὲ
τήνδ', ὡς ἀήθης καὶ συνωφρυωμένη
χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.

Τρ. Ὦ παῖδες, ὡς ἄρ' ἡμὶν οὐ σμικρῶν κακῶν

ἦρξεν

Initium fuit donum Herculi missum.
Cho. Quid verò ô anicula nobis affers novi?
Nut. Abiit Deianira ultimam
Viam pede immoto.
Cho. Nunquid mortua est? *Nut.* Rem omnem tenes.
Cho. Mortua ne est infœlix illa? *Nut.* Iterum audis.
Nut. Misera perdita, quo genere mortis interiit, cedo?

MONOSTROPHICA.

Cho. Tristissimo ut res peracta est.
Nut. Narra quæso, quomodo extincta est?
Cho. Sibi ipsi letum conscivit.
Cho. Quis nam furor, aut qui morbus
Impulit ipsam, ut huic telo
Occurreret? *Cho.* Quomodo perpetravit
Necem super necem
Rem consiciens sola?
Nut. Vulnere luctuosi ferri,
Cho. An tu hanc violentiam vidisti?
Nut. Quid ni, ut quæ prope astiterim.
Cho. Quis erat? Quomodo? age dic mihi.
Nut. Ipsa sua manu perpetravit hæc.
Cho. Quid narras?
Nut. Ea quæ certa sunt.
Cho. Peperit heu grandem
Hæc sponsa, quæ recens advenit,
Hisce ædibus furiam.

IAMBI.

Nut. Nimium. Sed si præsens adfuisses,
Ac vidisses, quomodo rē gesserit, tū valde miserta fuisses.
Cho. Et talia sustinuit manus muliebris perpetrare?
Nut. Atrociter certe, quod ubi audieris, ipsa mihi testis eris.
Nam cùm sola intro abiisset,
Et filium domi videret lectulos
Sternere, ut rursus obviam iret patri,
Occultabat ipsa se, ne quis videret,
Ibiq; lamentabatur ante aras provoluta, (mentis aliquod
Suam deplorans orbitatem: & flebat quotis ex instru-
Attingeret, quibus antea uti consueverat.
Hinc inde verò volutata per domum,
Sicubi ex familia aliquem charum videbat,

Lugebat

ἦρξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον.
Χο. Τί δ' ὦ γεραιὰ καινοποιηθὲν λέγεις;
Τρ. Βέβηκε Δηϊάνειρα τὴν πανυστάτην
ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.
Χο. Οὐ δή ποθ' ὡς θανοῦσα;
Τρ. Πάντ' ἀκήκοας.
Χο. Τέθνηκεν ἡ τάλαινα. Τρ. Δεύτερον κλύεις.
Χο. Τάλαιν' ὀλεθρία, τίνι τρόπῳ θανεῖν σφε φής;

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Τρ. Σχετλιώτατα πρός γε πρᾶξιν.
Χο. Εἰπὲ τῷ μόρῳ γύναι ξυντρέχει.
Τρ. Αὑτὴν διηΐστωσε.
Χο. Τίς θυμός, ἢ τίνες νόσοι;
Τρ. Τάνδ' αἰχμὰ βέλεος κακοῦ
ξυνεῖλε. Χο. Πῶς ἐμήσατο
πρὸς θανάτῳ θάνατον
ἀνύσασα μόνα;
Τρ. Στονόεντος ἐν τομᾷ σιδήρου.
Χο. Ἐπεῖδες ὦ ματαία τάνδ' ὕβριν;
Τρ. Ἐπεῖδον, ὡς δὴ πλησία παραστάτις.
Χο. Τίς ἦν; πῶς; φέρ' εἰπέ.
Τρ. Αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε.
Χο. Τί φωνεῖς; Τρ. Σαφηνῆ.
Τρ. Ἔτεκεν ἔτεκεν μεγάλαν
ἀνέορτος ἅδε νύμφα
δόμοισι τοῖσδ' ἐριννύν.

ΙΑΜΒΟΙ.

Τρ. Ἄγαν γε· μᾶλλον δ' εἰ παροῦσα πλησία
ἔλευσσες οἷ' ἔδρασε, κάρτ' ἂν ᾤκτισας.
Χο. Καὶ ταῦτ' ἔτλη τις χεὶρ γυναικεία κτίσαι.
Τρ. Δεινῶς γε· πεύσῃ δ' ὥστε μαρτυρεῖν ἐμοί.
ἐπεὶ παρῆλθε δωμάτων εἴσω μόνη,
καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα δέμνια
στορνυνθ', ὅπως ἄψορρον ἀντῴη πατρί,
κρύψασ' ἑαυτὴν ἔνθα μή τις εἰσίδοι,
βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ', ὅτι
γένοιτ' ἐρήμη, κλαῖε δ' ὀργάνων ὅτου
ψαύσειεν, οἷς ἐχρῆτο δειλαία πάρος.
ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη,
εἴ του φίλων βλέψειεν οἰκετῶν δέμας,

Lugebat infœlix ipsum intuens:
Atque ultro Dæmonem vocabat,
Rémq; familiarem deplorabat, cui liberi defuturi essent.
Tandem hoc luctu finito, subito ipsam video
In thalamum Herculis irruentem.
Et ego clanculum in tenebris
Observabam, cùm mulierem in lecto
Herculis, stratas vestes ponere video.
Quo facto insiliit, supráque
Eas consedit in medio thoro.
Et calidissimis lachrymarum fluminibus profusis.
Tandem: ô lectule, inquit, in quo ego sponsa jacui,
In posterum mihi jam vale: nam me non amplius
Accipies in his stratis cubantem.
Hæc cùm dixisset, mox celeri manu
Vestem suam solvit, qua aurea
Mammillas coercebat fibula, totúmque nudavit
Latus, ac sinistrum humerum.
Egóque quantum poteram currens
Filio nuncio, quid ipsa struat.
Sed interim dum huc & illuc recurrimus,
Ipsam videmus ancipiti gladio
In latere sub hepate & præcordiis vulneratam.
Quod cùm filius vidisset, gẽuit: intelligeb. enim infœlix
Eam ira impulsam hoc facinus perpetrasse.
Seróq; cognovit ea, quæ domi gerebantur, & quòd
Invita à Centauro decepta ista fecisset:
Ibi infœlix in lachrymas fletúsque
Omnes solutus ipsam deploravit,
Ac circumfusus os admovit, & lateri
Latus adjunxit, jacuítq; ita vehementer ingemiscens,
Quòd eam in crimen perperam vocasset:
Lugebátq; quòd uno tempore ambobus
Patre & illa orbatus esset.
Sic res sunt intus. Quapropter si quis
Duos aut plures dies numerat,
Stultus est: nihil enim est quod ad crastinum spectes,
Sed vide ne tibi hodie aliquid adversi eveniat.

SYSTEMA.

Cho. Utrum calamitatem nunc deplorabo?
Utrum facinus ultra quàm oportuit peractum?
Difficile judicatu est mihi miseræ.

ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη,
αὐτὴ τὸν αὑτῆς δαίμον' ἀνακαλουμένη,
καὶ τὰς ἄπαιδας ἐς τὸ λοιπὸν οὐσίας.
ἐπεὶ δὲ τῶνδ' ἔληξεν, ἐξαίφνης σφ' ὁρῶ
τὸν ἡράκλειον θάλαμον εἰσορμωμένην.
κἀγὼ λαθραῖον ὄμμ' ἐπεσκιασμένη
φρούρουν· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
τοῖς ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.
ὅπως δ' ἐτέλεσε τοῦτ', ἐπενθοροῦσ' ἄνω,
καθέζετ' ἐν μέσοισιν εὐναστηρίοις·
καὶ δακρύων ῥήξασα θερμὰ νάματα,
ἔλεξεν, Ὦ λέχη τε καὶ νυμφεῖ' ἐμά,
τὸ λοιπὸν ἤδη χαίρεθ', ὡς ἔμ' οὔποτε
δέξεσθ' ἔτ' ἐν κοίταισι ταῖσδ' εὐνήτριαν.
τοσαῦτα φωνήσασα, συντόνῳ χερὶ
λύει τὸν αὑτῆς πέπλον, ᾧ χρυσήλατος
προὔκειτο μαστῶν περονίς· ἐκ δ' ἐλώπισε
πλευρὰν ἅπασαν, ὠλένην τ' εὐώνυμον.
κἀγὼ δρομαία βᾶσ', ὅσον περ ἔσθενον,
τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.
κἀν ᾧ τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα,
ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ
πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας πεπληγμένην.
ἰδὼν δ' ὁ παῖς ᾤμωξεν· ἔγνω γὰρ τάλας
τοὔργον κατ' ὀργὴν ὡς ἐφάψειεν τόδε,
ὄψ' ἐκδιδαχθεὶς τῶν κατ' οἶκον, οὕνεκα
ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.
κἀνταῦθ' ὁ παῖς δύστηνος οὔτ' ὀδυρμάτων
ἐλείπετ' οὐδὲν ἀμφί νιν γοώμενος,
οὔτ' ἀμφιπίπτων στόμασιν, ἀλλὰ πλευρόθεν
πλευρὰν παρεὶς, ἔκειτο πόλλ' ἀναστένων.
ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ·
κλαίων ὅθ' οὕνεκ' ἐκ δυοῖν ἔσοιθ' ἅμα
πατρός τ' ἐκείνης τ' ὠρφανισμένος βίου.
τοιαῦτα τἀνθάδ' ἐστίν· ὥστ' εἴ τις δύο
ἢ καὶ πλέους τις ἡμέρας λογίζεται,
μάταιός ἐστιν· οὐ γάρ ἐσθ' ἥ γ' αὔριον,
πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.

ΣΥΣΤΗΜΑ.

Χο. Πότερα πότερ' ἂν ἐπιστένω;
πότερα τέλεα περαιτέρω,
δύσκριτ' ἔμοι γε δυστάνῳ;

τάδε

Hæc enim domi sunt subjecta jam oculis,
Illa verò expectamus.
Idem autem est habere & expectare malum.

ANTISTROPHICA. Strophe.

Utinam secundus aliquis
Ventus nostris ædibus aspiret,
Qui me ex hisce locis auferat,
Ne moriar pavore,
Præstantem Jovis filium
Solum conspicata,
Immedicabili dolore affectum.
Nam appropinquare dicunt
Grande miraculum.

ANTISTROPHE.

Propè sanè est: nec longè abest:
Hospites enim velut canora luscinia plorant,
Et cœtus peregrinus accedit.
Quo nam portant ipsum? vide ut amicum
Curantes, tristem
Absque strepitu inferunt gradum.
Heu heu, ipse verò tacitus bajulatur.
Quid conjectem, mortuum ne jam esse,
An verò dormire?

ANAPAESTI.

Hyl. Hei mihi pater.
Heu me miserum pater,
Quid de me fiet? quid consilii capiam?
Heu mihi.
Sen. Tace fili, ne moveas
Dirum dolorem patris dilecti:
Vivit enim cubans, sed inhibe mordens
Os tuum.
Hyl. Quid ais senex, an vivit?
Sen. Ne excites dormientem,
Ne suscites, ne irrites
Furiosum, dirúmque morbum, ô fili.
Hyl. Sed mens mihi misero
Excitavit ingentem molem malorum.

O Jupi-

τὰ δὲ μὲν ἔχομεν ὁρᾶν δόμοις,
τάδε ἔτι μέλλομεν μὲν ἐλπίσι·
κοινὰ δ' ἔχειν τε καὶ μέλλειν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ· Στροφή.

1 εἴθ' ἀνεμόεσσά τις
2 γένοιτ' ἔπουρος ἑστιῶτις αὔρα,
3 ἥτις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως
4 τὸν Ζηνὸς ἄλκιμον γόνον
5 μὴ ταρβαλέα θάνοιμι
6 μοῦνον εἰσιδοῦσ' ἄφαρ.
7 ἐπεὶ ἐν δυσαπαλλάκτοις ὀδύναις
8 χωρεῖν πρὸ δόμων λέγουσιν
9 ἄσπετόν τι θαῦμα.

ΑΝΤΙΣΤΡΟΦΗ.

1 ἀγχοῦ δ' ἄρα κοὐ μακρὰν
2 ἔκλαιον, ὀξύφωνος ὡς ἀηδών.
3 ξένων γὰρ ἐξόμιλος ἥδε τις βάσις·
4 πᾶς δ' αὖ φορεῖ νιν, ὡς φίλου
5 προκηδομέναν, βαρεῖαν
6 ἄψοφον φέρει βάσιν.
7 αἶ αἶ αἶ αἶ· ὅδ' ἄναυδος φέρεται.
8 τί χρή, θανόντα νιν ἢ κα-
9 θ' ὕπνον ὄντα, κρῖναι;

ΑΝΑΠΑΙΣΤΟΙ.

Τλ. Ὦ μοι ἐγὼ σοῦ πάτερ,
ὤ μοι ἐγὼ σοῦ μέλεος.
τί πάθω; τί δὲ μήσομαι; οἴμοι.
Πρ. Σίγα τέκνον, μὴ κινήσῃς
ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
ζῇ γὰρ προπετής· ἀλλ' ἴσχε δακὼν
στόμα σόν.
Τλ. Πῶς φῄς ὦ γέρον; ἦ ζῇ;
Πρ. Οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνῳ κάτοχον,
κἀκκινήσῃς, κἀναστήσῃς
φοιτάδα δεινὴν νόσον, ὦ τέκνον.
Τλ. Ἀλλ' ἐπί μοι μελέῳ
βάρος ἄπλετον ἐμμέμονε φρήν.-

Ὦ Ζεῦ,

Her. O Jupiter, quo nam terrarum venio? apud quos nam
Homines jaceo confectus continuis
Doloribus? væ misero mihi, (mihi.
Jam scelerati morbi violentia rursum incrudescit hei
Sen. An non sciebas, multò melius fuisse
Silere, & huic non dispergere
A capite ac palpebris somnum?
Hyl. Sed non poteram me cohibere,
Cùm hoc malum viderem.
Her. O scopuli Cenæi, ubi sunt aræ
Sacræ, qualem pro qualibus
Sacris mihi misero gratiam
Rependitis? ô Jupiter
Quali me probro affecisti.
Utinam ego nunquam
Oculis aspexissem
Hanc implacabilem furoris violentiam.
Quis enim incantator, quis artifex
Medicinæ hoc malum
Excepto Jove mitigare poterit?
Miraculum me procul videre putarem:
Hei mihi, sinite sinite me
Infœlicem cubare:
Sinite me infœlicem cubare.
Ubi me attingis? quò reclinas?
Enecas me, enecas.

HEXAMETRI.

Movisti me, & morbus qui quiescebat.
Jam rursum me cruciat,
Jam rursum grassatur. Ubi nunc estis
O Græcorum omnium
Injustissimi viri, Quorum ego mare multipliciter
Et omnia nemora dum purgo, perii miser.
Et nunc nemo est qui in me, ita morbo affectum,
Ignem vel ferrum salutare convertere velit.
Hei mihi, nemo, qui caput hoc comminutum, adveniens
Hac vita invisa exolvere velit.
Sen. O tu, qui filius es hujus viri, opus hoc majus fit,
Quàm ut meis viribus administrari queat.
Adjuva igitur. Nam tibi oculus
Vegetior est quàm mihi, ad ipsum servandum.
Hyl. Manum ego quidem admoveo, sed remedium dolorum
Neque intus, nec foris ullum invenire possum.
Ad salutem. Ita Deus nobiscum agit. *ANA-*

Ηρ. Ὦ Ζεῦ, ποῖ γᾶς ἥκω; παρὰ τοῖ-
σι βροτῶν κεῖμαι πεπονημένος ἀ-
λλήκτοις ὀδύναις, οἴμοι ἐγὼ τλά-
μων· ἡ δ' αὖ μιαρὰ βρύκει· φεῦ.
Πρ. Ἆρ' ἐξῄδεις ὅσον ἦν κέρδος
σιγῇ κεύθειν, καὶ μὴ σκεδάσαι
τῷδ' ἀπὸ κρατὸς βλεφάρων θ' ὕπνον;
Υλ. Οὐ γὰρ ἔχω πῶς ἂν
στέρξαιμι, κακὸν τόδε λεύσσων.--
Ηρ. Ὦ Κηναία κρηπὶς βωμῶν
ἱερῶν, οἵαν νῶν ἀνθ' οἵων
θυμάτων ἐπί μοι μελέῳ χάριν ἤ-
νυσω· ὦ Ζεῦ,
οἵαν μ' ἄρ' ἔθου λώβαν, οἵαν
ἣν μή ποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
ὤφελον ὄσσοις, τόδ' ἀκήλητον
μανίας ἄνθος καταδερχθῆναι.
τίς γὰρ ἀοιδός, τίς ὁ χειροτέχνης
ἰατορίας, ὃς τήνδ' ἄτην
χωρὶς Ζηνὸς κατακηλήσει;
θαῦμ' ἂν πόρρωθεν ἰδοίμαν. ἒ ἔ,
ἐᾶτέ με δύσμορον εὐνάσαι.
ἐᾶτέ με δύστανον εὐνάσαι.
πᾷ μου ψαύεις; ποῖ κλίνεις
ἀπολεῖς μ', ἀπολεῖς.
ἀντέτροφας ὅ, τι καὶ μύσῃ.--

ΕΞΑΜΕΤΡΟΣ.

ἧπταί μου νόσος· ἡ δ' αὖθ' ἕρπει· πόθεν ἐστ' ὦ
πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, οὓς δὴ
πολλὰ μὲν ἐν πόντῳ κατά τε δρία πάντα καθαίρων
ὠλεκόμαν ὁ τάλας· καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι
οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἀποτρέψει.
ἒ ἔ, οὐδ' ἀπαράξαι κρᾶτα
βίου θέλει μολὼν
τοῦ στυγεροῦ· φεῦ φεῦ.--
Πρ. Ὦ παῖ τοῦδ' ἀνδρός, τοὔργον τόδε μεῖζον ἀνήκει
ἢ κατ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε· σοί τε γὰρ ὄμμα
ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν. Υλ. Ψαύω μὲν ἔγωγε
λαθίπονον δ' ὀδυνᾶν οὔτ' ἔνδοθεν οὔτε θύραζε
ἔστι μοι ἐξανύσαι βιότου· τοιαῦτα νέμει Ζεύς.

ANAPÆSTI.

Her.
O nate, nate, ubi tandem es?
Huc me, huc inquam,
Assume allevans,
Hei mihi, Heu fortunam adversam,
Grassatur in nos rursum, grassatur
Infœlix, qui nos perdit
Invictus, crudelis
Morbus, ô Pallas,
Hoc me rursum molestia afficit, ô nate
Miserere parentis,
Apprehende hastam, quod nemo reprehendet,
Feri me sub jugulo,
Remedium adhibe huic dolori, quo me exasperavit
Impia mater tua,
Quam utinam videam jacentem
Sic eodem modo, quemadmodum me perdidit.
O germane Jovis frater,
O dulcis Pluto,
Sopito me, sopito,
Celerique morte
Infœlicem interfice.

IAMBI.

Sequente locum Cicero Illi. Tusc. Quæstionū sic vertit versibus Iambicis Trimetris

Cohorrui auditis his malis, ô amicæ,
Regis nostri, quæ vir tantus existens sustinet.
O multa dictu gravia perpessu aspera,
Quæ corpore exantlato atque animo pertuli:
Nec mihi Junonis terror implacabilis.
Significat & exhausto.
Nec tantum invexit tristis Eurystheus mali,
Quantum una vecors, OEnei partu edita.
Hæc me irretivit veste furiali inscium,
Quæ lateri inhærens morsu lacerat viscera,
Urgensque graviter pulmonum haurit spiritus,
Jam decolorem sanguinem omnem exorbuit:
Sic corpus clade horribili absumptum extabuit:
Ipse illigatus peste interimor textili.
Hos non hostilis dextra, non terra edita
Moles Gigantum: non biformato impetu

Cen-

ΑΝΑΠΑΙΣΤΟΙ.

Ηρ. Ὦ παῖ παῖ, ποῦ ποτ' εἶ;
τᾷδέ με τᾷδέ με
πρόσλαβε κουφίσας. ἒ ἔ.
ἰὼ ἰὼ δαῖμον.
θρῴσκει δ' αὖ θρῴσκει
δειλαία διολοῦσ' ἡμᾶς
ἀποτίβατος ἀγρία
νόσος· ἰὼ παλλὰς
τόδε μ' αὖ λωβᾶται· ἰὼ παῖ,
τὸν φύσαντ' οἰκτείρας,
ἀνεπίφθονον εἴρυσον ἔγχος,
παῖσον ἐμᾶς ὑπὸ κλῃδός.
ἀκοῦ δ' ἄχος ᾧ μ' ἐχόλωσε
σὰ μάτηρ ἄθεος
ἂν ὧδ' ἐπίδοιμι πεσοῦσαν
αὔτως ὧδ' αὔτως ὥς μ' ὤλεσεν
ὦ Διὸς αὐθαίμων,
ὦ γλυκὺς ἀΐδας
εὔνασον, εὔνασον ὠκυπέτῃ μόρῳ
τὸν μέλεον φθίσας.

ΙΑΜΒΟΙ.

Χο. Κλύουσ' ἔφριξα τάσδε συμφορὰς φίλαι
ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.
Ηρ. Ὦ πολλὰ δὴ καὶ θερμὰ καὶ λόγῳ κακὰ
καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ.
κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
προὔθηκεν, οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοί,
οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
καθῆψεν ὤμοις τοῖς ἐμοῖς ἐριννύων
ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.
πλευραῖσι γὰρ προσμαχθὲν, ἐκ μὲν ἐσχάτας
βέβρωκε σάρκας, πνεύμονός τ' ἀρτηρίας
ῥοφεῖ ξυνοικοῦν· ἐκ δὲ χλωρὸν αἷμά μου
πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
κοὐ ταῦτα λόγχη πεδιάς, οὔθ' ὁ γηγενὴς
στρατὸς γιγάντων, οὔτε θήρειος βία,
οὔθ' ἑλλάς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω.

Centaurus ictus, corpori infixit meo :
Non Graia vis : non barbara ulla immanitas :
Non sæva terris undique omnem hinc feritatem
expuli.
Sed fœminea vis, fœminea interimor manu.
O nate vere hoc nomen usurpa erga patrem :
Ne me occidentem matris superet charitas :
Huc arripe ad me manibus abstractam piis.
Jam cernam méne an illam potiorem putes.
Perge, aude nate, illachryma patris pestibus,
Miserere, Gentes nostras flebunt miserias.
Heu virginalem me ore ploratum edere ?
Quem vidit nemo ulli ingemiscentem malo:
Sic fœminata virtus afflicta occidit,
Accede nate, assiste, miserandum aspice,
Eviſceratum corpus lacerati patris,
Videte cuncti, Tu cœlestium Sator
Jace obsecro in me vim coruscam fulminis.
Nunc nunc dolorum anxiferi torquent vertices.
Nunc serpit ardor : ô ante victrices manus,
O pectora, ô terga, ô lacertorum thori,
Vestróne pressu quondam Nemeæus Leo
Frendens efflavit graviter extremum habitum ?
Hæc dextra Lernam terram,
Mactata excetra
Placavit. Hæc bicorporem afflixit manum
Erymanthiam hæc vastificam abjecit belluam.
Hæc à tartareis tenebris abstractum plaga
Tricipitem eduxit Hydra generatum canem :
Hæc interemit tortu multiplicabili
Draconem auriferam obtutu observantem arborem.
Multa alia victrix nostra lustravit manus:
Nec quisquam è nostris spolia cœpit laudibus.

Huc usque versio Ciceroniana.

Nunc ita articulis fractis, laceratus,
Ab occulta peste expugnor miser
Ego, qui optimæ matris dictus sum filius,
Qui Jove genitus patre.

γυνὴ δὲ, θῆλυς οὖσα, κοὐκ ἀνδρὸς φύσιν,
μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγὼς,
καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃ πλέον.
δός μοι χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν
εἰς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα
εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον, ἢ κείνης ὁρῶν
λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
ἴθ' ὦ τέκνον, τόλμησον· οἴκτειρόν τέ με
πολλοῖσιν οἰκτρὸν, ὅστις ὥστε παρθένος
βέβρυχα κλαίων· καὶ τόδ' οὐδ' ἂν εἷς ποτε
τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα·
ἀλλ' ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς.
νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρὸς.
σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
πέπονθα· δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
ἰδοὺ, θεᾶσθε πάντες ἄθλιον δέμας.
ὁρᾶτε τὸν δύστηνον ὡς οἰκτρῶς ἔχω
αἶ αἶ ὦ τάλας, ἒ ἔ.
ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως· ὅδ' αὖ
διῆξε πλευρῶν· οὐδ' ἀγύμναστόν μ' ἐᾶν
ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
ὦ 'ναξ ἀΐδη δέξαι μ'· ὦ διὸς ἀκτὶς παῖσον.
ἔνσεισον ὦ 'ναξ, ἐγκατάσκηψον βέλος
πάτερ κεραυνοῦ· δαίνυται γὰρ αὖ πάλιν·
ἤνθηκεν, ἐξώρμηκεν. ὦ χέρες, χέρες.
ὦ νῶτα, καὶ στέρν'· ὦ φίλοι βραχίονες,
ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ', οἵ ποτε
νεμέας ἔνοικον βουκόλων ἀλάστορα
λέοντ', ἄπλατον θρέμμα κἀπροσήγορον,
βίᾳ κατειργάσασθε, λερναίαν θ' ὕδραν
διφυῆ τ' ἄμικτον ἱπποβάμονα στρατὸν
θηρῶν, ὑβριστὴν, ἄνομον, ὑπείροχον βίαν·
ἐρυμάνθιόν τε θῆρα· τόν θ' ὑπὸ χθονὸς
ἅδου τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας
δεινῆς ἐχίδνης θρέμμα· τόν τε χρυσέων
δράκοντα μήλων φύλακ' ἐπ' ἐσχάτοις τόποις·
ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
κοὐδεὶς τρόπαι' ἔστησε τῶν ἐμῶν χερῶν.
νῦν δ' ὧδ' ἄναρθρος καὶ κατερρακωμένος
τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας,
ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος
ὁ τοῦ κατ' ἄστρα ζηνὸς αὐδηθεὶς γόνος.

Sed hoc prædico vobis, etsi interiero,
In nihilum & si redactus fuero, eam quæ hoc mihi con-
Ulciscar tamen, Sine igitur ut veniat saltem (fecit
Ut discat, atque omnibus nunciet,
Quod ego & vivus & mortuus malos punierim.
Cho. O misera Græcia, in quanto luctu
Futura es, ubi hoc vivo privaberis.
Hyl. Si concedis pater, ut contra aliquid dicam,
Etsi morbo affectus, attamen tace atque audi:
Petam enim à te quod æquum est me consequi:
Da mihi hanc veniam, neque in tantum iræ
Indulge: nescis enim quamobrem
Vel gaudere cupias, vel temere doleas,
Dic, si quid vis, deinde desine, nam ego morbo affectus
Non intelligo tuos perplexos sermones.
Hyl. De matre dicturus sum, ut nunc cum ea
Agitur, & quomodo peccavit non volens.
Her. O scelerate, jam ne iterum mentionem fecisti
De parricidiali matre, ut audire cogar?
Hyl. Sic enim res est, ut non deceat tacere.
Her. Nempe, quasi non graviter prius peccatum sit.
Hyl. At non quotidie tamen eam peccasse dices.
Her. Dic, sed cave ne te degenerem esse cognoscam.
Hyl. Dicam, mortua mater est, & modo occisa.
Her. A quo nam? prodigia enim in his malis commemoras,
Hyl. Ipsa sibi conscivit mortem, nemo alius autor est.
Her. Hei mihi, utinam mea manu interfecta esset.
Hyl. Iram remitteres, rem totam si cognosceres.
Her. Rem atrocem commemorare cœpisti, dic ergo, quid est?
Hyl. Prorsum erravit, cum nihil mali in animo haberet.
Her. Nihil mali pessime, cum patrem tuum interfecerit?
Hyl. Amatorio enim pharmaco te conciliare volens
Erravit, cum novas domi nuptias cerneret.
Her. Ecquis Trachiniorum tantus veneficus est?
Hyl. Nessus Centaurus olim persuasit ei,
Ut hocce philtro amore suite incenderet,
Her. Hei mihi, perii miser,
Occidi, interii, lucem non amplius aspicio.
Nunc enim intelligo calamitates nostras,
Abi nate: pater enim tibi jam non vivit amplius,
Voca totum genus cognatum,
Voca & miseram Alcmenam, Jovis
Frustra dictam conjugem, ut ultimum à me
Sermonem de oraculo audiatis, quantum ego scio,

Sed

ἀλλ' εὖ γέ τοι τόδ' ἴστε, κἂν τὸ μηδὲν ὦ,
κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
χειρώσομαι κἀκ τῶνδε· προσμόλοι μόνον,
ἵν' ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν ὅτι
καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.

Χο. Ὦ τλῆμον Ἑλλάς, πένθος οἷον εἰσορῶ
ἕξουσαν, ἀνδρὸς τοῦδέ γ' εἰ σφαλήσεται.

Υλ. Ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ,
σιγὴν παρασχών, κλῦθί μου νοσῶν ὅμως.
αἰτήσομαι γάρ σ' ὧν δίκαια τυγχάνειν.
δός μοι σεαυτόν, μὴ τοσοῦτον ὡς δάκνῃ
θυμῷ δύσοργος· οὐ γὰρ ἂν γνοίης ἐν οἷς
χαίρειν προθυμῇ, κἀν ὅτοις ἀλγεῖς μάτην.

Ηρ. Εἰπὼν ὃ χρῄζεις, λῆξον· ὡς ἐγὼ νοσῶν
οὐδὲν ξυνίημ' ὧν σὺ ποικίλλεις πάλαι.

Υλ. Τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων, ἐν οἷς
νῦν ἐστιν, οἷς θ' ἥμαρτεν οὐχ ἑκουσία.

Ηρ. Ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
τῆς πατροφόντου μητρός, ὡς κλύειν ἐμέ;

Υλ. Ἔχει γὰρ οὕτως ὥστε μὴ σιγᾶν πρέπειν.

Ηρ. Οὐ δῆτα τοῖς γε πρόσθεν ἡμαρτημένοις;

Υλ. Ἀλλ' οὐδὲ μὴν δὴ τοῖς γ' ἐφ' ἡμέραν ἐρεῖς.

Ηρ. Λέγ'· εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.

Υλ. Λέγω· τέθνηκεν ἀρτίως νεοσφαγής.

Ηρ. Πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.

Υλ. Αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου.

Ηρ. Οἴμοι· πρὶν ὡς χρῆν σφ' ἐξ ἐμῆς θανεῖν χερός.

Υλ. Κἂν σοῦ στραφείη θυμός, εἰ τὸ πᾶν μάθοις.

Ηρ. Δεινοῦ λόγου κατῆρξας, εἰπὲ δ' ᾗ νοεῖς.

Υλ. Ἅπαν τὸ χρῆμ' ἥμαρτε, χρηστὰ μωμένη.

Ηρ. Χρήστ' ὦ κάκιστε πατέρα σὸν κτείνασα δρᾷ;

Υλ. Στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν
ἀπήμπλακ', ὡς προσεῖδε τοὺς ἔνδον γάμους.

Ηρ. Καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;

Υλ. Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν
τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον.

Ηρ. Ἰοὺ ἰοὺ δύστηνος, οἴχομαι τάλας.
ὄλωλ', ὄλωλα, φέγγος οὐκέτ' ἐστί μοι.
οἴμοι, φρονῶ δὴ ξυμφορᾶς ἵν' ἕσταμεν.
ἴθ' ὦ τέκνον· πατὴρ γὰρ οὐκέτ' ἐστί σοι.
κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων·
κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
φήμην πύθησθε θεσφάτων ὅσ' οἶδ' ἐγώ.

Hyl. Sed mater non est hic, verum ad littora lem
Tiryntha profecta, ibique habitat:
Atque ex liberis quosdam secum abduxit,
Cæteri in urbe Thebana vitam degunt.
Nos vero, qui adsumus, si opus est, pater,
Audiemus, atque hanc operam tibi dabimus.
Her. Audi igitur: nunc enim tempus est
Ut ostendas, qui vir sis, cum meus dicare filius.
Nam mihi jam olim pater prædixit Jupiter,
Neminem viventium mihi vitam erepturum esse,
Sed eum, qui jam vita defunctus apud inferos habitet.
Ille igitur Centaurus, sicut vox divina
Prædixit, mortuus me vivum interfecit.
Dicam vero tibi simile vaticinium
Novum, quod veteri illi correspondet.
Quod, cum veterum & humi cubantium
Sellorum lucum ingressus essem, adscripsi
Acceptum à Patre sacra & vocali Quercu,
Quæ mihi viventi ad hoc præsens tempus
Respondit laborum incumbentium finem fore:
Et me feliciter victurum existimabam:
Nempe hoc aliter accipiendum non erat, quam ut morerer
Nam mortui labore omni perfuncti sunt.
Hæc igitur cum manifeste acciderint, fili,
Decet te patri adjutorem esse,
Et non expectare, donec ego irasci incipiam,
Sed tua sponte officium facias, & pulcherrimæ legi
Obtemperes, quæ patri obedire jubet.
Hyl. Vereor pater hanc contentionem subire.
Her. Obtemperabo igitur, si quid à me vis fieri.
Hyl. Admove huc dextram quam primum manum.
Her. Cur hanc fidem tam anxie requiris?
Hyl. Non admonebis celeriter? non obtemperabis mihi?
Her. Ecce manum porrigo, nec contradico.
Hyl. Jura nunc mihi per caput Jovis genitoris.
Her. Quid me facturum jurabo, & fiet?
Hyl. Jurabis te facturum, quod dictum erit.
Her. Juro ergo Jovem jurisjurandi inspectorem.
Hyl. Si falles, pœnam imprecare tibi.
Her. Non dabo pœnas, non n. fallam, attamen imprecor,
Hyl. Nosti montis OEtæ summum apicem Jovi sacrum?
Her. Novi, sæpe enim in eo sacrificavi.
Eo te oportet meum corpus portare
Tuis & amicorum, quos voles, manibus:

Deinde

Υλ. Ἀλλ' οὔτε μήτηρ ἐνθάδ', ἀλλ' ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν, ὥστ' ἔχειν ἕδραν.
παίδων δὲ τοὺς μὲν ξυλλαβοῦσ' αὐτὴ τρέφει,
τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις.
ἡμεῖς δ' ὅσοι πάρεσμεν, εἴ τι χρὴ πάτερ
πράττειν κλύοντες ἐξυπηρετήσομεν.--

Ηρ. Σὺ δ' οὖν ἄκουε τοὔργον· ἐξήκεις δ' ἵνα
φανῇς ὁποῖος ὢν ἀνὴρ, ἐμὸς καλῇ.
ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν ὕπο,
ἀλλ' ὅστις ᾅδου φθίμενος οἰκήτωρ πέλει.
ὅδ' οὖν ὁ θὴρ κένταυρος, ὡς τὸ θεῖον ἦν
πρόφαντον, οὕτω ζῶντά μ' ἔκτανεν θανών·
φανῶ δ' ἐγὼ τούτοισι συμβαίνοντ' ἴσα
μαντεῖα καινὰ τοῖς πάλαι ξυνήγορα,
ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην
πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυός·
ἥ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν,
ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ
λύσιν τελεῖσθαι· κἀδόκουν πράξειν καλῶς.
τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίνεται·
ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ ξύμμαχον,
καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα
ἀλλ' αὐτὸν εἰκάθοντα συμπράττειν, νόμον
κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.

Ηρ. Ἀλλ' ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγου στάσιν
τοιάνδ' ἐπελθών· πείσομαι δ' ἅ σοι δοκεῖ.

Υλ. Ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι

Ηρ. Ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν γ' ἐπιστρέφεις;

Υλ. Οὐ θᾶσσον οἴσεις, μηδ' ἀπιστήσεις ἐμοί;

Ηρ. Ἰδοὺ προτείνω, κοὐδὲν ἀντειρήσεται.

Υλ. Ὄμνυ Διός νυν τοῦ με φύσαντος κάρα.

Ηρ. Ἦ μὴν τί δράσειν; καὶ τόδ' ἐξειρήσεται.

Υλ. Ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.

Ηρ. Ὄμνυμ' ἔγωγε Ζῆν' ἔχων ἐπώμοτον.

Υλ. Εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.

Ηρ. Οὐ μὴ λάβω· δράσω γάρ· εὔχομαι δ' ὅμως·

Υλ. Οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;

Ηρ. Οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.

Υλ. Ἐνταῦθα νῦν χρὴ τοὐμὸν ἐξάραντά σε
σῶμ' αὐτόχειρα καὶ ξὺν οἷς χρῄζεις φίλων,

πολλὴν

Deinde multis lignis quernis sectis,
Et de sylvestri olea pyra instructa,
Oportet te virili animo corpus meum superimponere,
Ac face picea subjecta
Incendere rogum : nec lachrymas fundas, aut lugeas,
Sed sine gemitu lachrymisque. si modo meus
Es filius, hæc facies : sin minus, incumbam ego tibi
Apud inferos existens dirus imprecator semper,
Hyl. Hei mihi pater, quid dixisti ? quid me facere jubes ?
Her. Quod facere oportet, si recusas, patre
Alio natus es, meus vero non vocabere filius.
Hyl. Hei mihi iterum, ad quæ me vocas, pater ?
Ut parricida, fiam & interfector patris ?
Her. Non parricida, Sed malorum, quæ sustineo,
Pæon, atque unicus medicus.
Hyl. Quomodo vero, si comburo corpus sanabo tuum ?
Her. Sed ab hoc si abhorres, cætera tantum perage.
Hyl. Gestationis quidem officium non recuso.
Her. An & pyræ dictæ apparatus ?
Hyl. Modo ne ipse manum admoveam,
Cætera fient, nec opera mea deerit tibi.
Her. Satis est; tribue vero mihi
Hoc exiguum beneficium, super alia multa quæ contulisti
Hyl. Etsi res magna adeo sit, fiet:
Her. Euryti filiam nosti, virginem ?
Hyl. Iolen, ut arbitror, dicis.
Her. Tenes : tantum vero tibi præcipio, nate,
Ut eam, mortuo me, si pietatem colere,
Et juramenti, quo patri obligatus es, meminisse voles,
Uxorem ducas, nec refrageris patri :
Neque alius vi eam, quæ ad latus meum
Accubuit, quam tu, accipiat unquam :
Sed tu fili cura hunc thorum,
Obtempera: nam cum in rebus magnis obtemperaveris
Si in parvis resistes, priorem effundes gratiam. (mihi
Hyl. Hei mihi, ægrotanti quidem succensere non decet,
At sic affectum quis ferat ?
Her. Ita loqueris, quasi nihil quod jubeo facturus.
Hyl. Quis vero eam, quæ matri exitii
Et tibi hujus morbi causa fuit,
Quis hanc inquam sustineat? Nisi quis à furiis agitetur,
Satius est & me mori,
Quam cum inimicissimis habitare simul.
Her. Hic vir, quantum apparet, nihil reveretur

Patrem

πολλὴν μὲν ὕλην τῆς βαθυῤῥίζου δρυὸς
κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν,
καὶ πευκίνης λαβόντα λαμπάδος σέλας,
πρῆσαι. γόου δὲ μηδὲν εἰσίτω δάκρυ.
ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ
τοῦδ' ἀνδρὸς, ἔρξον· εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ
καὶ νέρθεν ὢν, ἀραῖος εἰσαεὶ βαρύς.
Τλ. Οἴμοι πάτερ, τί μ' εἶπας; οἷά μ' εἴργασαι;
Ηρ. Ὁποῖα δραστέ' ἐστίν· εἰ δὲ μὴ, πατρὸς
ἄλλου γενοῦ του, μηδ' ἐμὸς κληθῇς ἔτι.
Τλ. Οἴμοι μάλ' αὖθις, οἷά μ' ἐκκαλῇ πάτερ,
φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν.
Ηρ. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' ὧν ἔχω παιώνιον
καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.
Τλ. Καὶ πῶς ὑπαίθων, σῶμ' ἂν ἰώμην τὸ σόν;
Ηρ. Ἀλλ' εἰ φοβῇ πρὸς τοῦτο, τἄλλά μ' ἔργασαι.
Τλ. Φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.
Ηρ. Ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;
Τλ. Ὅσον γ' ἂν αὐτὸς μή ποτε ψαύω χεροῖν·
τὰ δ' ἄλλα πράξω, κοὐ καμῇ τοὐμὸν μέρος.
Ηρ. Ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δέ μοι
χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.
Τλ. Εἰ καὶ μακρὰ κάρτ' ἐστὶν, ἐργασθήσεται.
Ηρ. Τὴν εὐρυτείαν οἶσθα δῆτα παρθένον;
Τλ. Ἰόλην ἔλεξας, ὡς ἐπεικάζειν ἐμέ.
Ηρ. Ἔγνως. τοσοῦτον δή σ' ἐπισκήπτω τέκνον,
ταύτην, ἐμοῦ θανόντος, (εἴπερ εὐσεβεῖν
βούλῃ) πατρῴων ὁρκίων μεμνημένος,
προσθοῦ δάμαρτα· μηδ' ἀπιστήσῃς πατρί·
μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
κλιθεῖσαν αὐτὴν, ἀντὶ σοῦ λάβοι ποτέ·
ἀλλ' αὐτὸς ὦ παῖ τοῦτο κήδευσον λέχος.
πείθου· τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ,
σμικροῖς ἀπιστεῖν, τὴν πάρος συγχεῖ χάριν.
Τλ. Οἴμοι. τὸ μὲν νοσοῦντι θυμοῦσθαι, κακόν.
τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα τίς ποτ' ἂν φέροι;
Ηρ. Ὡς ἐργασείων οὐδὲν ὧν λέγω θροεῖς.
Τλ. Τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
μεταίτιος, σοί τ' αὖθις ὡς ἔχεις ἔχειν,
τίς ταῦτ' ἂν ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
ἕλοιτο; κρεῖσσον κἀμέ γ' ὦ πάτερ θανεῖν,
ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.
Ηρ. Ἁνὴρ ὅδ', ὡς ἔοικεν, οὐ νέμει γ' ἐμοὶ

φθίνοντι

Patrem morientem; sed à Diis imprecatio dira
Te manet, si verbis meis non obtemperaveris.
Hyl. Hei mihi, forte morbo, ut videtur deerrans ita loqueb.
Her. Tu enim sopitum malum irritas rursum.
Hyl. Hei mihi misero, quanta me dubitatio tenet.
Her. Non enim æquum ducis auscultare parenti.
Hyl. An ego, pater, discam impie agere ?
Her. Non est impietas, si animo meo gratificaris.
Hyl. An justa igitur mihi imperas ?
Her. Justa, testes sunt Dii immortales.
Hyl. Faciam igitur, neque detrectabo tuum
Diis testibus imperium. Non enim unquam
Malus ero, dum tibi obediam pater.
Her. Pulchre concludis orationem & nunc parvum hoc
Beneficium adde, ut me priusquam incrudescat
Laceratio, furorque, in pyram pones.
Age, incumbite, tollite, requies malorum
Hæc est, & finis huic viro ultimus.
Hyl. At nihil quidem prohibet tibi hæc perficere,
Quandoquidem jubes, & cogis pater.

ANAPAESTI.

Her. Age nunc, prius quam morbi violentia rursum sævire
Incipiat. O anima dura, ferreo
Et tenaci freno coercita,
Clamorem reprime. Nunc enim gratum sit,
Quod revera tristissimum est,
Hyl. Tollite me Comites, & veniam mihi
In his factis tribuite,
Qui novistis, quàm indigne à Diis,
Dum ita affligor, desertus sim :
Qui cum me genuerunt, dictique sint
Parentes, tantis malis oppressum aspicere me possunt.
Quid futurum sit, nemo videt :
Quæ vero nunc accidunt tristia quidem nobis,
Illis vero turpia sunt :
Sed ex omnibus acerbissima
Ei, qui hanc calamitatem sustinet.
Hyl. Ne tu puella a domo abeas,
Quæ magnorum hominum recentia funera vidisti,
Multasque calamitates, quæ recens nos oppresserunt,
Ex quibus nulla est, cujus non Jupiter autor fuerit,

φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ
μένει σ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.
Υλ. Οἴμοι τάχ' ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.
Ηρ. Σὺ γάρ μ' ἀπ' εὐνασθέντος ἐκκινεῖς κακοῦ.
Υλ. Δείλαιος, ὡς ἐς πολλά γ' ἐπαπορεῖν ἔχω.
Ηρ. Οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν.
Υλ. Ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν πάτερ;
Ηρ. Οὐ δυσσέβεια τοὐμὸν εἰ τέρψεις κέαρ.
Υλ. Πράσσειν ἄνωγας οὖν με πανδίκως τάδε;
Ηρ. Ἔγωγ'· τούτων μάρτυρας καλῶ θεούς·
Υλ. Τοιγὰρ ποιήσω, κοὐκ ἀπώσομαι, τὸ σὸν
θεοῖσι δεικνὺς ἔργον· οὐ γὰρ ἄν ποτε
κακὸς φανείην σοί γε πιστεύσας, πάτερ.
Ηρ. Καλῶς τελευτᾷς, κἀπὶ τοῖσδε τὴν χάριν
ταχεῖαν ὦ παῖ πρόσθες· ὡς πρὶν ἐμπεσεῖν
σπαραγμὸν, ἤ τιν' οἶστρον, ἐς πυράν με θῇς
ἄγ', ἐγκονεῖτ' αἴρεσθε· παῦλά τοι κακῶν
αὕτη τελευτὴ τοῦδε τἀνδρὸς ὑστάτη.
Υλ. Ἀλλ' οὐδὲν εἴργει σοὶ τελειοῦσθαι τάδε,
ἐπεὶ κελεύεις κἀξαναγκάζεις πάτερ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ηρ. Ἄγε νῦν, πρὶν τήνδ' ἀνακινῆσαι
νόσον, ὦ ψυχὴ σκληρὰ, χάλυβος
λιθοκόλλητον στόμιον παρέχου-
σ', ἀνάπαυε βοὴν, ὡς ἐπίχαρτον
τελέως ἀεκούσιον ἔργον.--
Υλ. Αἴρετ' ὀπαδοὶ, μεγάλην μὲν ἐμοὶ
τούτων θέμενοι συγγνωμοσύνην,
μεγάλην δὲ θεοῖς ἀγνωμοσύνην
εἰδότες ἔργων τῶν πρασσομένων·
οἳ φύσαντες καὶ κληζόμενοι
πατέρες, τοιαῦτ' ἐφορῶσι πάθη,
τὰ μὲν οὖν μέλλοντ' οὐδεὶς ἐφορᾷ,
τὰ δὲ νῦν ἑστῶτ', οἰκτρὰ μὲν ἡμῖν,
αἰσχρὰ δ' ἐκείνοις·
χαλεπώτατα δ' οὖν ἀνδρῶν πάντων,
τῷ τήνδ' ἄτην ὑπέχοντι.--
Χο. Λείπου μηδὲ σὺ παρθέν' ἀπ' οἴκων
μεγάλους μὲν ἰδοῦσα θανάτους,
πολλὰ δὲ πήματα καινοπαθῆ.
κοὐδὲν τούτων ὅτι μὴ Ζεύς.

IN SOPHOCLIS
Philoctetem argumentum.

PHiloctetes in Lemno expositus à Græcis ejus ulceris fœtore & ejulatibus offensis ex Heleni vaticinio, ad Trojam à Neoptolemo & Ulysse abducitur: qui ex oraculo Calchantis, responsorum, quæ ad Trojæ excidium spectarent, periti, ab Ulysse de nocte per insidias vinctus ad Græcos est deductus. Res gesta exponitur in insula Lemno. Chorus est senum, qui socii navales erant Neoptolemi. Hæc fabula ab Æschylo tractatur, acta Glaucippi temporibus. Primus erat Sophocles.

Argumentum Pedibus Metricis conscriptum.

Chryses Minervæ aram terra quondam obrutam,
Quam victimarum imbuere sanguine Danaos
Responsa divum jusserant, Pæantius
Quam viderat heros sectatus pridem Herculem,
Dum quærit Argolicis ostendere copiis,
Serpentis icitur virulentis punctibus.
Graii relinquunt hunc in Lemno saucium.
At Helenus Ithaci exceptus in Troia dolis,
Patriæ canit fata: & sagittas Herculis
Docet futuras cladi & exitio Ilio,
Si sint Achillis additæ illæ ad filium;
Quæ tunc erant Philoctetis cunctæ in manu.
Sed missus ambos adducit Laertius.

PER-

ΦΙΛΟΚΤΗΤΟΥ ΥΠΟΘΕΣΙΣ.

Ἀπαγωγὴ φιλοκτήτου ἐκ λήμνου εἰς τροίαν ὑπὸ νεοπτολέμου καὶ ὀδυσσέως καθ' ἑλένου μαντείαν, ὃς κατὰ μαντείαν κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν τῆς τροίας ἅλωσιν, ὑπὸ ὀδυσσέως νύκτωρ ἐνεδρευθεὶς, δέσμιος ἤχθη τοῖς ἕλλησιν· ἡ δὲ σκηνὴ ἐν λήμνῳ· ὁ δὲ χορὸς ἐκ γερόντων τῶν τῷ νεοπτολέμῳ συμπλεόντων· κεῖται δὲ καὶ παρ' αἰσχύλῳ ἡ μυθοποιία· ἐδιδάχθη ἐπὶ γλαυκίππου· πρῶτος ἦν σοφοκλῆς.

ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

Ἐν χρύσῃ ἀθηνᾶς βωμὸν ἐπικεχωσμένον,
Ἐφ' οὗπερ ἀχαιοῖς χρησθὲν ἦν θῦσαι μόνοις,
Ποίαντος ἤδει παῖς ποθ' ἡρακλεῖ συνών·
Ζητῶν δὲ τοῦτον ναυάτῃ δεῖξαι στόλῳ,
Πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν λήμνῳ νοσῶν.
Ἕλενος δ' ἀχαιοῖς εἶφ' ἁλώσεσθ' ἴλιον
Τοῖς ἡρακλέους τόξοισι, παιδί τ' ἀχιλλέως·
Τὰ τόξ' ὑπῆρχε παρὰ φιλοκτήτῃ μόνῳ·
Πεμφθεὶς δ' ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.

Ἀλλ' ὁ μὲν [Φιλοκτήτης] ἐν νήσῳ κεῖτο κρα=
τέρ' ἄλγεα πάσχων
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες ἀχαιῶν
Ἑλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου.
Ἔνθ' ὅ γε κεῖτ' ἀχέων. Hom. B. Cat. v. 228

ΤΑ

PERSONÆ HUJUS FABULÆ.

ULYSSES.

NEOPTOLEMUS.

CHORUS, *qui constat ex senibus simul sequentibus Pyrrhum in navi.*

PHILOCTETES.

MERCATOR.

HERCULES.

Præfatur Ulysses

SOPHOCLIS Philoctetes.

IAMBI. Ulys.



OC littus est insulæ
Lemni, hominibus invitum nec habitatum
Ubi Nate Achillis,
Neoptoleme, Meliensem
Pæantis filium exposui,
Constitutus ad id faciendum à Ducibus:
Tabescentem pede, ex morbo depascente:
Quia nec libare, nec sacrificare
Poteramus tranquilli, sed sævis
Implebat castra execrationibus,
Clamans, gemens, Sed hæc quid attinet
Dicere: non enim sinit tempus,
Ne rescis͡cat me advenisse, & corrumpam totum
Consilium, quo eum videor capturus,
Sed tuum erit reliqua administrare,
Et videre, ubi sit biceps rupes,
Talis ubi in frigore ad solem
Duplex sedes est, in æstate vero

Per

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ

ΠΡΟΣΩΠΑ.

ΟΔΥΣΣΕΥΣ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ΧΟΡΟΣ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ΕΜΠΟΡΟΣ, ἢ ἄγγελος.

ΗΡΑΚΛΗΣ ἐπιφαινόμενος.

Προλογίζει δὲ ὁ Ὀδυσσεύς.

ΣΟΦΟΚΛΕΟΥΣ

ΦΙΛΟΚΤΗΤΗΣ.

ΙΑΜΒΟΙ.
Ὀδ.



Ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος, οὐδ' οἰκουμένη·
ἔνθ' ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
ταχθεὶς τόδ' ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα.
ὅτ' οὔτε λοιβῆς ἡμῖν, οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθιγεῖν· ἀλλ' ἀγρίαις
κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις
βοῶν, στενάζων· ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων·
μὴ καὶ μάθῃ μ' ἥκοντα, κἀκχέω τὸ πᾶν
σόφισμα, τῷ νιν αὐτίχ' αἱρήσειν δοκῶ.
ἀλλ' ἔργον ἤδη σὸν, τὰ λοίφ' ὑπηρετεῖν,
σκοπεῖν θ' ὅπου 'στ' ἐνταῦθα δίστομος πέτρα
τοιάδ', ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνον

Per apertum ostium somnum invitat flatus.
Paulum infra ad sinistram videbis
Fontem, siquidem adhuc adest,
Quæ, accedens, tacitè mihi significa, utrum ibi
Locum tenet, an alibi est,
Ut reliquum sermonis audias,
Ego dicam, communiter autem demus operam.

Neo. Rem facilem jubes Ulysse,
Videor enim jam ipsum antrum videre.

Uly. Supra ne an infra? non enim intelligo.

Neo. Supra, & nullum hîc vestigium est.

Uly. Vide num cubet ibi dormiens,

Neo. Video vacuam habitationem.

Uly. Nec intus est, ut in domo, victus?

Neo. Calcata folia, quasi quis ibi cubet.

Uly. Cætera ne deserta sunt, nec quidquam adest?

Neo. Ligneum poculum, mali cujusdam artificis
Opus, & ollæ simul.

Uly. Illius thesaurum commemoras.

Neo. Hei mihi, alii quoque siccantur panni
Pure ac sanie fœdati.

Uly. Hîc habitat vir,
Nec procul abest: quò enim æger
Pedibus, à veteri morbo, eat longius?
Sed aut in pascuorum viam exiit,
Aut animadvertit aliquam herbam salubrem.
Hunc igitur, qui adest, præmitte, ut speculetur,
Ne veniat priusquam ego animadvertam eum: nam me
Quam cæteros omnes Græcos venire. (optaret magis

Neo. Abit jam ille, & vestigia observabit.
Tu verò jam dic, quod vis.

Uly. Nate Achillis, decet te in hac re propter quam venisti
Animo forti esse, non tantum corpore:
Et si quid novum atque inauditum audies,
Adjuvare non recusabis: ideo. n. ades ut adjutor sis?

Neo. Quid ergo jubes? *Ulyss.* Oportet
Te sermone Philoctetem fallere.
Cùm te interrogabit, quis & unde venias, (tiaris.
Dices te filium Achillis esse: hoc enim non volo ut men-
Sed in patriam te redire simulabis, relicto
Græcorum exercitu, odio acerbo commotum,
Qui te vocantes precibus domo venire,
Cùm non aliter capere possent Ilium,
Non dederint tibi Achillis arma

Petenti

δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν
ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ ζῶν.
ἅ μοι προσελθὼν σῖγα σήμαιν', εἴτ' ἔχει
χῶρον πρὸς αὐτὸν τόνδε γ', εἴτ' ἄλλῃ κυρεῖ.
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύοις,
ἐγὼ δὲ φράζω· κοινὰ δ' ἐξ ἀμφοῖν εἴη.
Νε. Ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις.
δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.
Οδ. Ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.
Νε. Τόδ' ἐξύπερθε, καὶ στίβου γ' οὐδεὶς τύπος.
Οδ. Ὅρα καθ' ὕπνον μὴ κατακλιθεὶς κυρῇ.
Νε. Ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
Οδ. Οὐδ' ἔνδον οἰκοποιός ἐστί τις τροφή;
Νε. Στειπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ.
Οδ. Τὰ δ' ἄλλ' ἔρημα, κοὐδέν ἐσθ' ὑπόστεγον;
Νε. Αὐτόξυλόν γ' ἔκπωμα, φαυλούργου τινὸς
τεχνήματ' ἀνδρός, καὶ πυρεῖ' ὁμοῦ τάδε.
Οδ. Κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
Νε. Ἰοὺ ἰού· καὶ ταῦτά γ' ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.
Οδ. Ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς.
κἄστ' οὐχ ἑκάς που· πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾷ κηρὶ προσβαίη μακράν;
ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπήν,
μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτό μ' ἢ τοὺς πάντας Ἀργείους λαβεῖν.
Νε. Ἀλλ' ἔρχεταί τε, καὶ φυλάξεται στίβος.
σὺ δ' εἴ τι χρῄζεις, φράζε δευτέρῳ λόγῳ.
Οδ. Ἀχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας,
γενναῖον εἶναι μὴ μόνον τῷ σώματι,
ἀλλ' ἤν τι καινὸν ὧν πρὶν οὐκ ἀκήκοας
κλύῃς, ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει.
Νε. Τί δῆτ' ἄνωγας; Οδ. Τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως λόγοισιν ἐκκλέψῃς λέγων,
ὅταν σ' ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
λέγειν, Ἀχιλλέως παῖς· τόδ' οὐχὶ κλεπτέον.
πλεῖς δ' ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
στράτευμ' Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ' ἐν λιταῖς στείλαντες ἐξ οἴκου μολεῖν,
μόνην δ' ἔχοντες τήνδ' ἅλωσιν Ἰλίου,
οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων,

Petenti ea jure,
Sed Ulyssi dederint : & dices
In me quantum voles mali,
Non enim me dolore afficies, si verò non feceris,
Dolore Græcos afficies.
Nisi enim hujus tela capientur,
Non poterit Troja expugnari.
Sed quare mihi non liceat alloqui
Istum, tibi liceat tuto, audi.
Tu navigasti nulli obnoxius,
Neque coactus, neque in prima expeditione :
Ego hæc negare non possum.
Si igitur me senserit adesse, cùm habeat tela,
Perii, & te perdidero.
Id autem tibi excogitandum est,
Ut dolo vincas arma invicta.
Scio te non esse tali ingenio & natura,
Ut hæc dicere ac struere facile possis :
Sed dulce est tibi adipisci victoriam :
Ausis, aliâs iterum erimus justi :
Nunc ad impudentiam, ad exiguum tempus
Te des mihi, postea
Voceris sanè omnium hominum justissimus,
Neo. Quæ facta invitus audio,
Ea perpetrare nolim.
Nihil fraude possumus facere,
Neque ego, neque pater meus,
Sed vi cogam Philoctetem,
Et non dolis : non enim uno pede
Nos tam multos vi capiet.
Missus enim tecum, ut adiutor, nolim
Proditor vocari : malo enim rectè faciens
Frustrari, quàm turpiter vincere.
Uly. Et ego cùm essem juvenis,
Linguam otiosam, manum habebam strenuam :
Nunc multa expertus video
Linguam, non manum, omnia gubernare.
Neo. Quid enim aliud jubes, quàm mentiri ?
Uly. Jubeo te dolo Philocteten circumvenire.
Neo. Quî magis dolo, quàm apertè persuadendo ?
Uly. Non obtemperabit, neque vi ceperis.
Neo. Tantum ne robur habet ?
Uly. Tela inevitabilia & letalia.
Neo. Itaque ne accedere quidem tutum est ?

Non,

ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ,
ἀλλ' αὔτ' Ὀδυσσεῖ παρέδοσαν, λέγων ὅσ' ἂν
θέλῃς καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
τούτων γὰρ οὐδέν μ' ἀλγυνεῖς· εἰ δ' ἐργάσῃ
μὴ ταῦτα, λύπην πᾶσιν ἀργείοις βαλεῖς.
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοὶ τὸ Δαρδάνου πέδον.
ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχὶ, σοὶ δ' ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
σὺ μὲν πέπλευκας, οὔτ' ἔνορκος οὐδενὶ,
οὔτ' ἐξ ἀνάγκης, οὔτε τοῦ πρώτου στόλου.
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
ὥστ' εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα, καὶ σὲ προσδιαφθερῶ ξυνών.
ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσῃ τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα καὶ φύσει σε μὴ πεφυκότα
τοιαῦτα φωνεῖν, μηδὲ τεχνᾶσθαι κακά.
ἀλλ' ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν.
τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
δός μοι σεαυτόν· κᾆτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.

Νε. Ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων
λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ.
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ' αὐτὸς, οὔθ' (ὥς φασιν) οὑκφύσας ἐμέ.
ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν,
καὶ μὴ δόλοισιν· οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης, ὀκνῶ
προδότης καλεῖσθαι. βούλομαι δ' ἄναξ καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.

Οδ. Ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ,
γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν, ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα πάνθ' ἡγουμένην.

Νε. Τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;

Οδ. Λέγω σ' ἐγὼ δόλῳ φιλοκτήτην λαβεῖν.

Νε. Τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;

Οδ. Οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.

Νε. Οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;

Οδ. Ἰοὺς ἀφύκτους καὶ προπέμποντας φόνον.

Νε. Οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμῖξαι θρασύ;

Uly. Non, nisi dolo circumvenias.
Neo. Non ducis turpe mentiri?
Uly. Non, cùm mendacium salutem affert.
Neo. Qua fronte ausit aliquis dicere?
Uly. Cùm lucri spes est, pudere non decet.
Neo. Quid verò mihi prodest hunc venire ad Trojam?
Uly. Hujus tela capient Trojam.
Neo. Nonne dicebas me expugnaturum esse Trojam?
Uly. Neque tu sine illis, neque illa sine te.
Neo. Capienda sunt igitur, siquidem ita se res habet.
Uly. Si feceris, duo habebis præmia.
Neo. Quæ nam? non enim recusabo, si sciam.
Uly. Et sapiens & fortis vocaberis.
Neo. Age faciam, omnem pudorem omittens.
Uly. Meministi meum consilium?
Neo. Ne dubita, si quidem semel assensi.
Uly. Tu hic expecta illum,
Ego abeo, ne conspiciar,
Et speculatorem rursus ad navim mittam:
Et huc, si diu videbimini
Cessare, rursum remittam,
Eundem virum Naucleri specie
Formam fingens, ne agnoscatur.
Quem figuratè loquentem
Observabis, commodè si quid dicet.
Ego ad navim eo hæc tibi relinquens.
Mercurius adjuvet nos,
Et victrix Pallas, custos urbis, quæ me semper tuetur,

ANTISTROPHICA. Strophe 1.

Cho. Quid, hospes, in externa regione faciam?
Occultabo ne, an dicam apud suspectos?
Dic mihi, nam consilium consilio præstat,
Et sententia illius, apud quem divinum
Jovis Sceptrum regnat.
Ad te autem pervenit
Summa imperii, ideo dicito,
Quid me facere oporteat.

Οδ. Οὐ, μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.
Νε. Οὐκ αἰσχρὸν ἡγῇ δῆτα τὰ ψευδῆ λέγειν;
Οδ. Οὐκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
Νε. Πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λαλεῖν;
Οδ. Ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
Νε. Κέρδος δέ μοι τί τοῦτον ἐς Τροίαν μολεῖν;
Οδ. Αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
Νε. Οὐκ ἆρ' ὁ πέρσων, ὡς ἐφάσκετ', εἴμ' ἐγώ;
Οδ. Οὔτ' ἂν σὺ κείνων χωρὶς, οὔτ' ἐκεῖνα σοῦ.
Νε. Θηρατέ' οὖν γίγνοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.
Οδ. Ὡς τοῦτό γ' ἔρξας, δύο φέρῃ δωρήματα.
Νε. Ποίω; μαθὼν γὰρ, οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
Οδ. Σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ ἅμα.
Νε. Ἴτω, ποιήσω πᾶσαν αἰσχύνην ἀφείς.
Οδ. Ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;
Νε. Σάφ' ἴσθ' ἐπείπερ εἰσάπαξ ξυνῄνεσα.
Οδ. Σὺ μὲν μένων νυν κεῖνον ἐνθάδ' ἐκδέχου·
ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρών.
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτ' ἔτι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόπον
μορφὴν δολώσας, ὡς ἂν ἀγνοίᾳ προσῇ.
οὗ δῆτα τέκνον ποικίλως αὐδωμένου,
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε.
ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν,
νίκη τ' ἀθηνᾶ πολιὰς, ἣ σώζει μ' ἀεί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφὴ α'.

Χο. 1 Τί χρή, τί χρή με δέσποτ' ἐν ξένᾳ ξένον
2 στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
3 φράζε μοι· τέχνα γὰρ
4 τέχνας ἑτέρας προὔχει,
5 καὶ γνώμας, παρ' ὅτῳ τὸ θεῖον
6 διὸς σκῆπτρον ἀνάσσεται.
7 σοὶ δὲ τέκνον, τόδ' ἐλήλυθε
8 πᾶν κράτος ὠγύγιον· τό μοι ἔννεπε
9 τί σοι χρεὼν ὑπουργεῖν.-

ANAPAESTI.

Neo. Nunc locum in extremo littore
Videre vis, in quo cubat,
Inſpice, & cum venerit,
Metuendus ille viator, ex aula
Ad meam manum accedens,
Da operam ut præſentia cures.

ANTISTROPHE I.

Cho. Rem dicis mihi jam olim meditatam, rex,
Obſervare oculos tuos maximè cùm opus eſt.
Nunc mihi dicito.
In qua aula latens habitet,
Et quo in loco:
Id enim explanare mihi opus eſt,
Ne ignorem venientem,
Quis locus? quæ ſedes? quæ via?
Intus ne an foris?

ANAPAESTI.

Neo. Domum hanc vides, ubi geminæ fores,
Et ſaxeum cubile eſt.
Cho. Ubi nam ille miſer abeſt?
Neo. Cibi quærendi gratia
In via hìc alicubi prope ambulat.
Hanc enim vitam agere dicitur,
Venando pennatis ſagittis,
Triſtem, nec ſibi remedium
Morbi acquirere.

STROPHE 3.

Cho. Miſeret me ejus, quòd ita
Neminem, à quo curetur, habet.
Neque oculum hominis noti,
Sed infœlix ſolus ſemper
Crudeli morbo conficitur.
Mœret autem in omni
Neceſſitatis articulo. Quomodo tandem quomodo

ΑΝΑΠΑΙΣΤΟΙ.

Νε. Νῦν μὲν ἴσως γὰρ τόπον ἐσχατιαῖς
προσιδεῖν ἐθέλεις ὄντινα κεῖται,
δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
δεινὸς ὁδίτης τῶνδ' ἐκ μελάθρων,
πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν,
πειρῶ τὸ παρὸν θεραπεύειν.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Χο. 1 Μέλον πάλαι μέλημά μοι λέγεις ἄναξ,
2 φρουρεῖν ὄμμ' ἐπὶ σῷ μάλιστα καιρῷ.
3 νῦν δέ μοι λέγ' αὐλὰς
4 ποίας ἔνεδρος ναίει,
5 καὶ χῶρον τίν' ἔχει· τὸ γάρ μοι
6 μαθεῖν, οὐκ ἀποκαίριον,
7 μή με λάθῃ προσπεσὼν ποθεν.
8 τίς τόπος; ἢ τίς ἕδρα; τίν' ἔχει στίβον,
9 ἔναυλον, ἢ θυραῖον;

ΑΝΑΠΑΙΣΤΟΙ.

Νε. Οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.
Χο. Ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστι;
Νε. Δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τόνδε πέλας που.
ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς στυγερὸν στυγερῶς·
οὐδέ τιν' αὐτῷ
παιῶνα κακῶν ἐπινωμᾶν.

ΣΤΡΟΦΗ β'.

Χο. 1 Οἰκτείρω νιν ἔγωγ', ὅπως
2 μή του κηδομένου βροτῶν,
3 μηδὲ σύντροφον ὄμμ' ἔχων,
4 δύστανος μόνος αἰεὶ
5 νοσεῖ μὲν νόσον ἀγρίαν,
6 ἀλύει δ' ἐπὶ παντί τῳ
7 χρείας ἱσταμένῳ, πῶς ποτε πῶς

Miser se sustentat?
O labores hominum
O miserum genus mortalium,
Qui vitæ mediocritatem non colunt.

ANTISTROPHE 2.

Hic nobilitate avorum
Nulli fortè secundus,
Omnium egens in vita,
Jacet solus, procul ab aliis,
Inter variis notis pictas, vel hirsutas
Feras,& cruciatus simul,
Ac fame conficitur miser, gravésque
Curas sustinet. Atque tristis
Quæ tacere nequit,
Echo procul resonans,
Acerbos ipsius luctus iterat.

ANAPAESTI.

Neo. Nihil horum mihi mirum videtur:
Nam hæc mala, si quid ego intelligo,
Divinitus ipsum oppresserunt,
In crudeli oppido Chryse.
Et quòd nunc affligitur absque curatoribus,
Non hoc fit sine consilio Deorum,
Ne videlicet hic prius contra Trojam
Dirigat invictas sagittas,
Quam hoc tempus exactum sit, quo dicitur
Oportere ipsam ab his superari.

ANTISTROPHICA. Strophe.

Cho. Tace fili. *Neo.* Quid hoc est?
Cho. Visus sum audire incessum
Consuetum, viri quasi afflicti.
Neo. Ubi nam, hic ne, an illic?
Cho. Vox ferit me
Hominis quasi difficulter
Incedentis: neque me fallit
Vox gravis procul exaudita.
Tristis, clarè enim sonat:

ANTI-

8 δύσμοιρος ἀντέχει.
9 ὦ παλάμαι θνητῶν,
10 ὦ δύστανα γένη βροτῶν,
11 οἷς μὴ μέτριος αἰών.-

ΑΝΤΙΣΤΡΟΦΗ β'.

1 οὗτος πρωτογόνων ἴσως
2 οἴκων οὐδενὸς ὕστερος,
3 πάντων ἄμμορος ἐν βίῳ
4 κεῖται μοῦνος ἀπ' ἄλλων,
5 στικτῶν ἢ λασίων μέτα
6 θηρῶν, ἔν τ' ὀδύναις ὁμοῦ
7 λιμῷ τ' οἰκτρὸς, ἀνήκεστα μερι-
8 μνήματ' ἔχων· βαρεῖ-
9 α δ' ἀθυρόστομος
10 ἀχὼ τηλεφανὴς πικρᾶς
11 οἰμωγᾶς ὑπόκειται.-

ΑΝΑΠΑΙΣΤΟΙ.

Νε. Οὐδὲν τούτων θαυμαστὸν ἐμοί.
θεῖα γάρ (εἴπερ κἀγώ τι φρονῶ)
καὶ τὰ παθήματ' ἐκεῖνα πρὸς αὐτὸν
τῆς ὠμόφρονος Χρύσης ἐπέβη·
καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων
οὐκ ἔστιν ὅπως οὐ θεῶν μελέτῃ,
τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίαν
τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ὅδ' ἐξήκοι χρόνος ᾧ λέγεται
χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι.-

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφή.

Χο. 1 Εὔστομ' ἔχε παῖ. Νε. Τί τόδε;
Χο. 2 Προὐφάνη κτύπος φωτὸς σύν-
3 τροφος ὡς τειρομένου.
Νε. 4 Ἢ που τῇδ' ἢ τῇδε τόπων;
5 βάλλει, βάλλει μ' ἐτύμα φθογγά
6 του, στίβον κατ' ἀνάγκαν
7 ἕρποντος· οὐδέ με λάθει
8 βαρεῖα τηλόθεν αὐδὰ τρυσάνωρ.
9 διάσημα θρηνεῖ γάρ.-

ΑΝΤΙ-

ANTISTROPHE.

Cho. Sed suscipe fili. *Neo.* Quid nam ?
Cho. Novam curam,
Non enim procul, sed prope adest vir,
Non fistula canens,
Velut pastor agrestis, Sed sicubi
Impegit, propter cruciatum
Vociferatur ingenti ululatu :
Vel navim ad iniquum applicuisse portum
Videns, clamat aspera voce.

IAMBI.

Phil. Heu hospites
Qui nam estis, qui in hanc terram navi
Accessistis minimè portuosam neque habitatam ?
Ex qua natione, aut gente tandem
Vos esse dicam ? nam habitum Græcum
Aspicio, mihi longe charissimum.
Cupio vocem vestram audire : ne verò metu
Obstupescatis, me ita efferatum aspicientes,
Sed misereat vos mei, qui solus
Ac desertus, & omni amicorum ope destitutus sum.
Loquimini, si quidem ut amici advenistis.
Respondete, non enim decet, vel hoc officium me
A vobis non consequi, vel vos à me.
Neo. Hoc primum scito hospes,
Nos esse Græcos, hoc enim cupis scire.
Phil. O dulcissimam vocem, vah quàm sermo mihi
A tali homine contigit post longum tempus.
Quis te, ô fili, huc adduxit ? quæ necessitas
Ut huc venires adegit? quis impetus, quis ventorum amicissimus ?
Dic mihi, ut sciam qui sit.
Neo. Ego ex insula sum
Scyro, Navigo domum, Dicor verò
Filius Achillis, Neoptolemus rem totam tenes.
Phil. O charissimi patris nate.
O alumne Lycomedis,
Qua classe huc appulisti ? unde navigas ?
Neo. Ex Ilio navigo.
Phil. Quomodo ? cùm non fueris miles
In prima expeditione ?

ΑΝΤΙΣΤΡΟΦΗ.

Χο. 1 Ἀλλ' ἔχε τέκνον. Νε. Λέγ' ὅ, τι.
Χο. 2 Φροντίδας νέας, ὡς οὐκ ἔξ-
3 εδρος, ἀλλ' ἔντοπος ἀνήρ·
4 οὐ μολπὰς σύριγγος ἔχων,
5 ὡς ποιμὴν ἀγροβότας, ἀλλ' ἤ-
6 που πταίων ὑπ' ἀνάγκας,
7 βοᾷ τηλωπὸν ἰωάν,
8 ἢ ναὸς ἄξενον αὐγάζων ὅρμον·
9 προβοᾷ γάρ τι δεινόν.

ΙΑΜΒΟΙ.

Φιλ. Ἰὼ ξένοι,
τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλῳ πλάτῃ
κατέσχετ', οὔτ' εὔορμον, οὔτ' οἰκουμένην;
ποίας πάτρας ἂν ἢ γένους ὑμᾶς ποτὲ
τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ, ἑλλάδος
στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί·
φωνῆς δ' ἀκοῦσαι βούλομαι· καὶ μή μ' ὄκνῳ
δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον,
ἀλλ' οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον
ἔρημον ὧδε κἄφιλον καλούμενον,
φωνήσατ', εἴπερ ὡς φίλοι προσήκετε·
ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ', οὔθ' ὑμᾶς ἐμοῦ.
Νε. Ἀλλ' ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, οὕνεκα
ἕλληνές ἐσμεν· τοῦτο γὰρ βούλει μαθεῖν.
Φιλ. Ὦ φίλτατον φώνημα· φεῦ τὸ καὶ λαβεῖν
πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
τίς σ', ὦ τέκνον, προσέσχε; τίς προσήγαγε
χρεία; τίς ὁρμή; τίς δ' ἀνέμων ὁ φίλτατος;
γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.
Νε. Ἐγὼ γένος μέν εἰμι τῆς περιρρύτου
σκύρου· πλέω δ' ἐς οἶκον· αὐδῶμαι δὲ παῖς
ἀχιλλέως, νεοπτόλεμος· οἶσθ' ἤδη τὸ πᾶν.
Φιλ. Ὦ φιλτάτου παῖ πατρὸς, ὦ φίλης χθονὸς,
ὦ τοῦ γέροντος θρέμμα λυκομήδους, τίνι
στόλῳ προσέσχες τήνδε γῆν πλέων; πόθεν;
Νε. Ἐξ ἰλίου τοι δῆτα νῦν γε ναυστολῶ.
Φιλ. Πῶς εἶπας; οὐ γὰρ δὴ σύ γ' ἦσθα ναυβάτης
ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς ἴλιον στόλου,

Neo. An & tu unà navigasti?
Phil. Fili, non nosti me?
Neo. Unde nossem, cùm nunquam viderim?
Phil. Nec nomen, nec mea mala
Cognovisti, quibus conficior?
Neo. Nihil horum scio.
Phil. O me miserum,
De quo nec fama domum,
Neque in Græciam usquam pervenit,
Sed hi, qui me ejecerunt,
Rident, at morbus
Meus crescit,
O fili, ô nate Achillis,
Sum ille, quem audis
Herculis telorum dominum esse,
Filius Pæanis Philoctetes,
Quem Atridæ & Ulysses,
Exposuerunt sævo
Pereuntem vulnere viperæ:
Quo morbo me affectum,
Hoc in loco exponentes abierunt. Quando
Ex Chryse venerunt huc,
Tunc ut viderunt me ex longa navigatione
Dormientem in cavo saxo,
Reliquerunt & ut misero,
Pannos adhibuerunt; & parum cibi,
Qualia contingant ipsis.
Tu verò quomodo putas me
A somno surrexisse?
Quomodo lachrymasse?
Cùm viderem naves meas
Abiisse, & neminem adesse,
Qui mihi ministraret:
Omnia contemplans,
Nihil inveni nisi dolorem,
Et hujus magnas occasiones.
Ac tempus quidem processit,
Et oportuit meipsum
Mihi parare victum,
Quem arcus hic invenit,
Feriens columbas: & si quid præterea
Sagitta tetigerat: ipse miser reptabam
Ad illud petendum.
Aut si potum volebam,

Νε. Ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;
Φιλ. Ὦ τέκνον, οὐ γὰρ οἶσθά μ᾽, ὅντιν᾽ εἰσορᾷς;
Νε. Πῶς γὰρ κάτοιδ᾽ ὃν εἶδον οὐδεπώποτε;
Φιλ. Οὐδ᾽ οὔνομ᾽, οὐδὲ τῶν ἐμῶν κακῶν κλέος
ἤσθου ποτ᾽ οὐδὲν οἷς ἐγὼ διωλλύμην;
Νε. Ὡς μηδὲν εἰδότ᾽ ἴσθι μ᾽ ὧν ἀνιστορεῖς.
Φιλ. Ὦ πόλλ᾽ ἐγὼ μοχθηρὸς, ὦ πικρὸς θεοῖς,
οὗ μηδὲ κληδὼν ὧδ᾽ ἔχοντος οἴκαδε,
μηδ᾽ Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ που,
ἀλλ᾽ οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ,
γελῶσι σῖγ᾽ ἔχοντες· ἡ δ᾽ ἐμὴ νόσος
ἀεὶ τέθηλε, κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρὸς οὐξ Ἀχιλλέως,
ὅδ᾽ εἰμ᾽ ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης· ὃν οἱ
δισσοὶ στρατηγοὶ χὠ Κεφαλλήνων ἄναξ
ἔρριψαν αἰσχρῶς ὧδ᾽ ἔρημον, ἀγρίᾳ
νόσῳ καταφθίνοντα, τῆσδ᾽ ἀνδροφθόρου
πληγέντ᾽ ἐχίδνης ἀγρίῳ χαράγματι.
ξὺν ᾗ μ᾽ ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε
ᾤχοντ᾽, ἔρημον, ἡνίκ᾽ ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
τότ᾽ ἄσμενοί μ᾽ ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ᾽ ἐπ᾽ ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,
λιπόντες ᾤχονθ᾽, οἷα φωτὶ δυσμόρῳ
ῥάκη προθέντες βαιὰ, καί τι καὶ βορᾶς
ἐπωφέλημα σμικρὸν, οἷ᾽ αὐτοῖς τύχοι.
σὺ δὴ τέκνον, ποίαν μ᾽ ἀνάστασιν δοκεῖς
αὐτῶν βεβώτων ἐξ ὕπνου στῆναι ποτέ;
ποῖ᾽ ἐκδακρῦσαι; ποῖ᾽ ἀποιμῶξαι κακά;
ὁρῶντα μὲν ναῦς ἃς ἔχων ἐναυστόλουν,
πάσας βεβώσας, ἄνδρα δ᾽ οὐδέν᾽ ἔντοπον·
οὐχ ὅστις ἀρκέσειεν, οὐδ᾽ ὅστις νόσῳ
κάμνοντι συλλάβοιτο· πάντα δὲ σκοπῶν,
εὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν·
τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
κἄδει τι βαιᾷ τῇδ᾽ ὑπὸ στέγῃ μόνον
διακονεῖσθαι· γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ᾽ ἐξεύρισκε, τὰς ὑποπτέρους
βάλλον πελείας· πρὸς δὲ τοῦθ᾽, ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
εἱλυόμην δύστηνος ἐξέλκων πόδα

πρὸς

Aut ex glacie, aut hyemis tépore, aliquid ligni frangere,
Ea mihi peragenda erant.
Et ignis deerat,
Sed saxa inter se confricans, vix
Elicui ignem latentem, qui me servat.
Habitatio enim, cum igni,
Omnia suppeditat, præter integram valetudinem.
Nunc audi & de insula.
Nemo huc volens applicat:
Nullus enim hic portus est,
Neque lucrum, neque hospitia.
Nemo huc navigat, qui sapit:
Fortasse invitus aliquis huc applicat,
Ut multa accidunt.
Hi cùm veniunt, verbis me consolantur,
Et aliquid cibi
Dant aut vestem:
Hoc autem nemo mihi petenti vult tribuere,
Ut reducat me in patriam, sed pereo miser,
Annum jam decimum, in fame & malis
Alens edacem morbum,
Hæc Atridæ, & Ulysses
Fecerunt mihi, de quibus Dii
Sumant pro his factis condignam pœnam.
Cho. Et ego, sicut alii advenientes hospites,
Condoleo tibi.
Neo. Ego verò, & testis sum
Te vera dixisse, usu expertus
Quàm improbi sint Atridæ.
Phil. An & tu querelam habes,
Injuria affectus, ut irascare Atridis?
Neo. Utinam manu irasci liceat,
Ut Mycenæ & Sparta nôrint,
Quòd etiam Scyros gignat fortes viros:
Phil. Quare tantopere iratus
Venis eos accusatus?
Neo. Dicam, sed vix dicam,
Quantis injuriis affectus sim.
Non postquam pater Achilles mortuus est.
Phil. Ne dicas plura, priusquam audiam,
An mortuus sit Achilles.
Neo. Interfectus est à Deo,
Telo extinctus Phœbi,

Generosus,

πρὸς τοῦτ' ἄν, εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος, οἷα χείματι
ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν·
ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων, μόλις
ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζει μ' ἀεί.
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα,
πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ' ὦ τέκνον νῦν καὶ τὸ τῆς νήσου μάθῃς.
ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών.
οὐ γάρ τις ὅρμος ἐστὶν, οὐδ' ὅποι πλέων,
ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται.
οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν.
τάχ' οὖν τις ἄκων ἔσχε, πολλὰ γὰρ τάδε
ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ.
οὗτοί μ' ὅταν μόλωσιν ὦ τέκνον, λόγοις
ἐλεοῦσι μὲν, καί πού τι καὶ βορᾶς μέρος
προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν.
ἐκεῖνο δ' οὐδεὶς ἡνίκ' ἂν μνησθῶ, θέλει
σῶσαί μ' ἐς οἶκον· ἀλλ' ἀπόλλυμαι τάλας
ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῷ τε καὶ
κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
τοιαῦτ' ἀτρεῖδαί μ', ἥ τ' ὀδυσσέως βία
ὦ παῖ, δεδράκασ'· οἷς ὀλύμπιοι θεοὶ
δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.--

Χο. Ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
ξένοις ἐποικτείρειν σε ποίαντος τέκνον.

Νε. Ἐγὼ δὲ καὐτὸς τοῖσδε μάρτυς ἐν λόγοις,
ὡς εἴσ' ἀληθεῖς, οἶδα συντυχὼν κακῶν
ἀνδρῶν ἀτρειδῶν, τῆς τ' ὀδυσσέως βίας.

Φιλ. Ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
ἔγκλημ' ἀτρείδαις, ὥς τε θυμοῦσθαι, παθών;

Νε. Θυμῷ γένοιτο χεῖρα πληρῶσαί ποτε,
ἵν' αἱ μυκῆναι γνοῖεν ἡ σπάρτη θ' ὅτι
χἡ σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.

Φιλ. Εὖ γ' ὦ τέκνον. τίνος γὰρ ὧδε τὸν μέγαν
χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;

Νε. Ὦ παῖ ποίαντος, ἐξερῶ· μόλις δ' ἐρῶ
ἅ γ' ἔγωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών.
ἐπεὶ γὰρ ἔσχε μοῖρ' ἀχιλλέα θανεῖν,

Φιλ. (Οἴμοι, φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω
πρῶτον τόδ', εἰ τέθνηχ' ὁ πηλέως γόνος.)

Νε. Τέθνηκεν ἀνδρὸς οὐδενὸς, θεοῦ δ' ὕπο
τοξευτὸς, ὡς λέγουσιν, ἐκ φοίβου δαμείς.

Phil. Generosus uterque.
Dubito autem tuumne malum prius audiam,
An illum deplorem.
Neo. Satis est te tua mala
Deplorare, non amicorum.
Phil. Recte dixisti, Dic jam quomodo
Te injuria affecerint.
Neo. Venerunt ad me
Ulysses & Phœnix
Dicentes, sive vere, sive falso,
Quod non posset, mortuo patre,
Capi Troja sine me.
Hæc dicentes, non diu
Passi sunt me manere, quin navigarem,
Præcipue extincti patris desiderio,
Ut viderem, non enim videram viventem?
Præterea gloriosa res erat,
Si Trojam caperem.
Eratque jam altera dies,
Cum ad Sigæum
Secunda navigatione appuli,
Ibi me exercitus circumfusus
Egressum salutat: & jurabant.
Se videre Achillem.
Ille jacebat, ego vero
Postquam luxi eum,
Accedens ad Atridas,
Arma repeto patris.
Illi reddunt hei, miserabile responsum:
Nate Achillis, cætera accipe,
Sed arma paterna alius vir
Habet, nempe Ulysses.
Ego lachrymans efferor ira,
Et indignans dico,
Odiosi, audetis alteri
Dare arma, me non interrogato?
Ulysses inquit, aderat enim:
Tradiderunt mihi in judicio
Ego enim eripueram Achillem.
Ibi iratus imprecabar omnia mala, nihil omittens,
Si ille mihi arma eriperet.
Ille autem huc procedens,
Quanquam non erat iracundus
Tamen ægre ferens respondit: non aderas nobiscum,
Et

Φιλ. Ἀλλ' ἀλγεινὸς μὲν ὁ κτανών τε χὠ θανών·
ἀμηχανῶ δὲ πότερον ὦ τέκνον, τὸ σὸν
πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
Νε. Οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ' ὦ τάλας
ἀλγήμαθ', ὥστε μὴ τὰ τῶν πέλας στένειν.
Φιλ. Ὀρθῶς ἔλεξας· τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ' ὅτῳ σ' ἐνύβρισαν.
Νε. Ἦλθόν με νηῒ ποικιλοστόλῳ μέτα
δῖός τ' ὀδυσσεὺς, χὠ τροφεὺς τοὐμοῦ πατρὸς,
λέγοντες, εἴτ' ἀληθὲς, εἴτ' ἄρ' οὖν μάτην,
ὡς οὐ θέμις γένοιτ', ἐπεὶ κατέφθιτο
πατὴρ ἐμὸς, τὰ πέργαμ' ἄλλον ἢ μ' ἑλεῖν
ταῦτ' ὦ ξέν' οὕτως ἐννέποντες, οὐ πολὺν
χρόνον μ' ἐπέσχον μή με ναυστολεῖν ταχύ.
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην·
ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ τροίᾳ πέργαμ' αἱρήσοιμ' ἰών.
ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ πικρὸν σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην· καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς
ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
τὸν οὐκέτ' ὄντα, ζῶντ' ἀχιλλέα πάλιν.
κεῖνος μὲν οὖν ἔκειτ'· ἐγὼ δ' ὁ δύσμορος
ἐπεὶ 'δάκρυσα κεῖνον οὐ μακρῷ χρόνῳ,
ἐλθὼν ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
τάθ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς, τά τ' ἄλλ' ὅσ' ἦν.
οἳ δ' εἶπον (οἴμοι) τλημονέστατον λόγον,
ὦ σπέρμ' ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷ' ἑλέσθαι· τῶν δ' ὅπλων κείνων ἀνὴρ
ἄλλος κρατύνει νῦν ὁ λαέρτου γόνος.
κἀγὼ δακρύσας, εὐθὺς ἐξανίσταμαι
ὀργῇ βαρείᾳ· καὶ καταλγήσας, λέγω,
ὦ σχέτλι', ἦ τολμήσατ' ἀντ' ἐμοῦ τινὶ
δοῦναι τὰ τεύχη τἀμὰ πρὶν μαθεῖν ἐμοῦ;
ὁ δ' εἶπ' ὀδυσσεὺς, πλησίον γὰρ ὢν κυρεῖ·
ναὶ παῖ, δεδώκασ' ἐνδίκως οὗτοι τάδε.
ἐγὼ γὰρ αὔτ' ἔσωσα κἀκεῖνον παρών.
κἀγὼ χολωθεὶς εὐθὺς, ἤρασσον κακοῖς
τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὤν,
δηχθεὶς πρὸς ἃ 'ξήκουσεν, ὧδ' ἠμείψατο,
οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει.

Et nunc ferociter iſta dicis,
Nunquam auferes ea tecum.
Hæc audiens & probris affectus,
Navigo domum ſpoliatus
Ab improbo Ulyſſe.
Neque tam hunc accuſo quam Principes,
Urbs enim tota eſt Principum,
Et exercitus: Sed delinquentes
Fiunt mali exemplis regentum.
Dixi totum negotium, qui vero Atridas odit,
Mihi & Diis ſit amicus.

ANTISTROPHICA ſtrophe.

Cho. O montana omnium nutrix, terra,
Mater Jovis,
Quæ magnum Pactolum auriferum colis,
Te ibi, mater
Veneranda, invocabam,
Quando injuria Atridarum
Procedebat adverſus hunc,
Cum paterna arma
Ulyſſi tradiderunt,
O Rectrix Leonum,
Summum numen.

IAMBI.

Phil. Clarum ſignum doloris habentes,
Huc navigaſtis hoſpites:
Et ſentitis mecum, quum arbitramini
Hæc Atridis, & Ulyſſi imputanda eſſe.
Novi enim ipſum omnes dolos
Lingua attingere, & fraudes,
Quibus tantum injuſta ſtruit.
Quare id mihi non videtur mirum,
Sed hoc miror,
An Ajax Major hoc tulerit.
Neo. Non vivebat amplius: nam illo
Vivente non ita ſpoliatus fuiſſem.
Phil. Quid ais?
An & ille mortuus eſt?
Neo. Non vivit inquam amplius.
Phil. Hei mihi Sed neque Diomedes,

Nec

καὶ ταῦτ' ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσῃς ἔχων.
τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακά,
πλέω πρὸς οἴκους τῶν ἐμῶν τητώμενος,
πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.
κοὐκ αἰτιῶμαι κεῖνον ὡς τοὺς ἐντελεῖς.
πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων,
στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν,
διδασκάλων λόγοισι γίγνονται κακοί.
λόγος λέλεκται πᾶς· ὁ δ' Ἀτρείδας στυγῶν,
ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος.--

ΑΝΤΙΣΤΡΟΦΙΚΑ στροφή.

Χο. 1 Ὀρεστέρα παμβῶτι γᾶ
2 μᾶτερ αὐτοῦ Διός,
3 ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
4 σὲ κἀκεῖ μᾶτερ πό-
5 τνι' ἐξηυδώμαν,
6 ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν
7 ὕβρις πᾶσ' ἐχώρει,
8 ὅτε τὰ πάτρια τεύ-
9 χεα παρεδίδοσαν.
10 ἰὼ μάκαιρα ταυρο-
11 κτόνων λεόντων ἔφε-
12 δρε, τῷ Λαερτίου
13 σέβας ὑπέρτατον.--

ΙΑΜΒΟΙ.

Φιλ. Ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
λύπης, πρὸς ἡμᾶς ὦ ξένοι πεπλεύκατε.
καί μοι προσᾴδεθ' ὥς τε γιγνώσκειν, ὅτι
ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσῃ θιγόντα, καὶ πανουργίας, ἀφ' ἧς
μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν·
ἀλλ' οὔ τι τοῦτο θαῦμ' ἔμοιγ'· ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.-
Νε. Οὐκ ἦν ἔτι ζῶν ὦ ξέν'· οὐ γὰρ ἄν ποτε
ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.
Φιλ. Πῶς εἶπας; ἀλλ' ἦ χ' οὗτος οἴχεται θανών;
Νε. Ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.
Φιλ. Οἴμοι τάλας· ἀλλ' οὐχ ὁ Τυδέως γόνος,

Nec Ulysses venditus à Sisypho.
Moriuntur: hos enim non vivere decebat.
Neo. Non moriuntur, sed magnifice
Jam florent in exercitu Græcorum.
Phil. Quid vero antiquus & fidus amicus meus
Nestor agit, qui hæc omnia
Ipsorum mala prædixit, & sapienter consuluit?
Neo. Is nunc miser est: nam Antilochus
Filius ejus interiit.
Phil. Hei mihi, duo simul mala dixisti:
Perierunt, quos ego minime periisse volebam.
Heu quid nunc cogitare oportet, quoniam
Illi occiderunt, Ulysses vero vivit,
Quem pro his occubuisse satius fuit.
Neo. Ille sapienter pugnat: Sed sapiens consilium
Etiam sæpe impeditur,
Phil. Age dic mihi, ubi nam tunc erat.
Patroclus, qui patri tuo charissimus fuit?
Neo. Et ille morruus est: Nam ut paucis
Te edoceam: Bellum neminem nisi casu
Malum interficit, sed optimum quemque semper,
Phil. Assentior tibi, & eodem modo
De homine nihili interrogabo, sed qui
Acer est lingua & sapiens, quomodo cum eo agitur?
Neo. Quem nam alium, nisi Ulyssem dicis?
Phil. Non Ulyssem dico, sed erat quidam Thersites,
Qui non raro concionari solebat,
Cum nemo sineret, scis ne an ille adhuc vivat?
Phil. Non vidi hominem, sed adhuc superstitem esse audivi.
Neo. Sic oportebat: Nihil enim mali adhuc periit,
Sed pulchre ea curant Dii:
Si quid maliciosum ac fraudulentum est,
Id interire non sinunt,
Justa vero ac proba abripiunt.
Quid de his judicemus? Quomodo laudabimus
Deorum facta, cum ipsos appareat esse malos?
Neo. Ego, fili Pæantis,
Posthac procul Ilium,
Et Atridas aspiciens cavebo.
Nam ubi vir malus plus potest quam bonus,
Et probitas opprimitur, & potentia regnat,
Illud ego genus hominum non unquam amabo.
Sed aspera Scyro posthac
Contentus vivam, ac domi me oblectabo.

Nunc

οὐδ' ὁ 'μπολητὸς σισύφου λαερτίῳ,
οὐ μὴ θάνωσι· τούσδε γὰρ μὴ ζῆν ἔδει.

Νε. Οὐ δῆτ'· ἐπίστω τοῦτό γ'· ἀλλὰ καὶ μέγα
θάλλοντές εἰσι νῦν ἐν ἀργείων στρατῷ.

Φιλ. Τί δ' ὃς παλαιὸς κἀγαθὸς φίλος τ' ἐμός,
νέστωρ ὁ πύλιος ἔστιν· οὗτος γὰρ τά γε
κείνων κάκ' ἐξήρυκε βουλεύων σοφῶς.

Νε. Κεῖνός γε πράσσει νῦν κακῶς· ἐπεὶ θανὼν
ἀντίλοχος, αὐτῷ φροῦδος, ὃς παρῆν γόνος.

Φιλ. Οἴμοι, δύ' αὐτὼ δεῖν' ἔλεξας, οἷν ἐγὼ
ἥκιστ' ἂν ἠθέλησ', ὀλωλότοιν κλύειν·
φεῦ φεῦ, τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν
τεθνᾶσ', ὀδυσσεὺς δ' ἔστιν αὖ κἀνταῦθ' ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;

Νε. Σοφὸς παλαιστὴς κεῖνος· ἀλλὰ χαὶ σοφαὶ
γνῶμαι φιλοκτῆτ' ἐμποδίζονται θαμά.

Φιλ. Φέρ' εἰπὲ πρὸς θεῶν· ποῦ γὰρ ἦν ἐνταῦθά σοι
πάτροκλος, ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα;

Νε. Χ' οὗτος τεθνηκὼς ἦν· λόγῳ δέ σε βραχεῖ
τοῦτ' ἐκδιδάξω· πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.

Φιλ. Ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε,
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν κυρεῖ;

Νε. Ποίου τε τούτου, πλὴν γ' ὀδυσσέως ἐρεῖς;

Φιλ. Οὐ τοῦτον, εἶπον· ἀλλὰ θερσίτης τις ἦν;
ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν ὅπου
μηδεὶς ἐῴη· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;

Νε. Οὐκ εἶδον αὐτόν, ᾐσθόμην δ' ἔτ' ὄντα νιν.

Φιλ. Ἔμελλ'· ἐπεὶ οὐδέπω κακόν γ' ἀπώλετο.
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες.
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ,
χαίρουσ' ἀναστρέφοντες ἐξ ᾅδου, τὰ δὲ
δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐπαινῶν, τοὺς θεοὺς εὕρω κακούς;--

Νε. Ἐγὼ μέν, ὦ γένεθλον οἰταίου πατρός,
τὸ λοιπὸν ἤδη τηλόθεν τό, τ' ἴλιον
καὶ τοὺς ἀτρείδας εἰσορῶν φυλάξομαι.
ὅπου γ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει,
κἀποφθίνει τὰ χρηστά, χὠ δεινὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ.
ἀλλ' ἡ πετραία σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπόν, ὥστε τέρπεσθαι δόμῳ.

Nunc vero ad navim eo, & tu
Vale, quam maxime vale, Dii te
Morbo liberent, ut optas,
Nos ibimus, ut cum Deus
Ventum nobis concesserit, navim solvamus.

Phil. Jam ne abire paratis? *Neo.* Tempus hortatur,
Ut navigandi occasionem non procul, sed prope arripiamus.

Phil. Nunc te, fili, per patrem & matrem,
Per, si quid charum tibi est domi,
Supplex obtestor, ne me hic solum relinquas,
Desertum in his malis, in quibus vides,
Et in quantis me versari audisti,
Saltem neglectim aliquo in loco me pone: etsi scio
Quam molestum & grave onus sim,
Attamen sustine: nam ingenia generosa
Turpitudinem oderunt, bonitatem vero gloriosam ducunt.
Si me relinques, erit hoc tibi dedecori,
Sin vero receperis, summam consequeris gloriam,
Beneficio tuo vivus in patriam si pervenero.
Age, non unius diei integri onus fuero:
Aude, abjice me, quocunque voles, receptum,
In sentinam, in proram, in puppim, ubi
Minime cæteris futurus sum molestus:
Annue, fili, per Jovem supplicum præsidem te obtestor,
Sine te exorem, provolvar ad genua, & si sum
Imbecillis, miser, & claudus, ne me relinquas,
Ita desertum in loco ubi nulla sunt hominum vestigia,
Sed me vel in patriam tuam una vehas,
Vel in Eubœam,
Unde non longa ad OEtam mihi via est,
Et ad jugum Trachinium, atque pulchre fluentem
Sperchium, ut patri me charo reddas,
Qui mihi jampridem timeo
Ne mortuus sit: nam diligenter his, qui huc venerunt
Mandavi, ut eum meis verbis orarent,
Ut missa navi certa me domum reduceret.
Sed vel is interiit, vel ministri,
Ut credibile est, me neglecto,
Domum profecti sunt.
Nunc igitur ad te deductorem atque simul nuncium
Confugio, tu me serv. tu mei miser. Veniat tibi in mētē
Quam res humanæ fragiles & periculo expositæ sunt:
Nunc fæliciter, nunc secus agunt homines.
Decet vero eum, cui res secundæ sunt, afflictos respicere

Et

νῦν δ' εἶμι πρὸς ναῦν, καὶ σὺ Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες
νόσου μεταστήσειαν ὡς, αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν ὡς, ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα--
Φιλ. Ἤδη τέκνον στέλλεσθε; Νε. Καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.
Φιλ. Πρὸς νῦν σε πατρὸς πρός τε μητρὸς, ὦ τέκνον,
πρός τ', εἴ τι σοι κατ' οἶκόν ἐστι προσφιλὲς,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον
ἔρημον ἐν κακοῖσι τοῖς δ' οἵοις ὁρᾷς,
ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με
ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μὲν
(ἔξοιδα) πολλὴ τοῦδε τοῦ φορήματος.
ὅμως δὲ τλῆθι· τοῖσι γενναίοισί τοι
τό, τ' αἰσχρὸν ἐχθρὸν, καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ' ἐκλιπόντι τοῦτ', ὄνειδος οὐ καλόν·
δράσαντι δ' ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ' ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
τόλμησον, ἐμβαλοῦ μ' ὅπη θέλεις ἄγων,
ἐς ἀντλίαν, ἐς πρῷραν, ἐς πρύμναν θ', ὅποι
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν,
νεῦσον πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον·
πείσθητι. προσπίτνω σε γόνασι, καίπερ ὢν
ἀκράτωρ ὁ τλήμων χωλός· ἀλλὰ μή μ' ἀφῇς
ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου·
ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά.
κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος,
Τραχινίαν τε δειράδα, καὶ τὸν εὔροον
Σπερχειὸν ἔσται, πατρί μ' ὡς δείξῃς φίλῳ·
ὃν δὴ παλαιὸν ἐξ ὅτου δέδοικ' ἐγὼ
μή μοι βεβήκοι· πολλὰ γὰρ τοῖς ἱγμένοις
ἔστελλον αὐτὸς ἱκεσίους πέμπων λιτὰς,
αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμοις.
ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων
ὡς εἰκὸς οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρος
ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον.
νῦν δ' (εἰς σὲ γὰρ πομπόν τε κ' αὐτὸν ἄγγελον
ἥκω) σὺ σῶσον· σύ μ' ἐλέησον, εἰσορῶν
ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.
χρὴ δ' ἐκτὸς ὄντα πημάτων, τὰ δείν' ὁρᾶν·

χὤταν

Et cum quis bene vivit, tunc diligenter
Cavere debet, ne imprudenter eam fortunam corrũpat.

ANTISTROPHE.

Cho. Miserere Rex, multarum commemoravit
Ærumnarum certamina,
Quæ non accidant meis amicis.
Sed si infensos
Odisti Atridas.
Ego illorum injuriam
Huic lucro tribuens,
Hic, quia vehementer cupit,
In bene instructa, celeri
Navi proficiscerer
In patriam, Deorum
Vindictam effugiens.

IAMBI.

Neo. Vide ne nunc sis facilis,
Cum autem pertæsus morbi fueris,
Tunc non sis idem.
Cho. Minime hæc unquam mihi
Culpa jure exprobrabitur.
Neo. Turpe est me minus benignum
Erga hospitem esse quam te.
Quare, si videtur, navigemus, veniat statim,
Navis ipsum receptum vehet, nec denegabitur ei,
Modo Dii liberent nos ex hac terra,
Ut navigemus, quo volumus.
O diem lætum, ô suavissimum virum,
Phil. O chari nautæ, quomodo nobis reipsa
Gratiam referam, quod me vobis adjunxistis?
Eamus, ac salutemus
Miseram domum, ut videas,
Unde vixerim, quam fuerim tolerans.
Nemo oculis solum aspectum
Capiens præter me, tulisset hæc:
Ego necessitate coactus didici hæc boni consulere,
Cho. Expectate, duo viri
Comes noster & alienus quidam
Procedunt, quibus auditis postea intrabitis.

Nate

χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα μὴ διαφθαρεὶς λάθῃ.

ΑΝΤΙΣΤΡΟΦΗ

Χο. 1 Οἴκτειρ' ἄναξ· πολλῶν δ' ἔλε-
2 ξεν δυσοίστων πόνων
3 ἆθλ', ὅσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων·
4 εἰ δὲ πικροὺς ἄναξ
5 ἔχθεις Ἀτρείδας,
6 ἐγὼ μὲν τὸ κείνων
7 κακὸν τῷδε κέρδος
8 μέγα τιθέμενος, ἔν-
9 θάπερ ἐπιμέμονεν,
10 ἐπ' εὐστόλου ταχείας
11 νεὼς πορεύσαιμ' ἂν ἐς
12 δόμους· τὰν ἐκ θεῶν
13 νέμεσιν ἐκφυγών.

ΙΑΜΒΟΙ.

Νε. Ὅρα σὺ μὴ νῦν μέν τις εὐχερὴς παρῇς·
ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ,
τότ' οὐκέθ' αὐτὸς τοῖς λόγοις φανῇς.
Χο. Ἥκιστα· τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ
τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.
Νε. Ἀλλ' αἰσχρὰ μέντοι, σοῦ γέ μ' ἐνδεέστερον
ξένῳ φανῆναι πρὸς τὸ καίριον πονεῖν.
ἀλλ' εἰ δοκεῖ πλέωμεν, ὁρμάσθω ταχύς.
χἡ ναῦς γὰρ ἄξει, κοὐκ ἀπαρνηθήσεται.
μόνον θεοὶ σώζοιεν ἔκ γε τῆσδε γῆς
ἡμᾶς, ὅποι τ' ἐνθένδε βουλοίμεσθα πλεῖν.
Φιλ. Ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνήρ,
φίλοι δὲ ναῦται, πῶς ἂν ὑμὶν ἐμφανὴς
ἔργῳ γενοίμην ὥς μ' ἔθεσθε προσφιλῆ;
ἴωμεν ὦ παῖ, προσκύσαντες τὴν ἔσω
ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος.
οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνην θέαν
ἄλλον λαβόντα πλὴν ἐμοῦ, τλῆναι τάδε.
ἐγὼ δ' ἀνάγκῃ προὔμαθον στέργειν τάδε.
Χο. Ἐπίσχετον μάθωμεν· ἄνδρε γὰρ δύο,
ὁ μὲν, νεὼς σῆς ναυβάτης, ὁ δ' ἀλλόθρους,
χωρεῖτον, ὧν μαθόντες, αὖθις εἴσιτον.

Ἀχιλλέως

Mer. Nate Achillis, hunc ſocium,
Qui fuit cuſtos navis tuæ,
Juſſi mihi de te, ubicunque eſſes, dicere,
Poſtquam in te incidi præter opinionem,
Caſu applicans ad eundem locum.
Navigans enim non magna cum claſſe
Ex Ilio domum in vitiferam
Peparethum, poſtquam audivi
Quod hic eſſent tui nautæ,
Decrevi non tacite, priuſquam tibi dicerem,
Navigare, poſtquam ad amicos veni,
Non ſcis quæ de te
Argivi habeant conſilia,
Nec conſulta tantum,
Sed facta non irrita.
Neo. Gratia pro admonitione,
Si non malus ſum, jucunda tibi repoſita erit,
Dic ut ſciam,
Quid mihi novi conſilii à Græcis afferas.
Mer. Diſceſſerunt, ut perſequantur te claſſe
Phœnix, & Theſei filii.
Neo. Ut ne ducturi me an verbis?
Mer. Neſcio, ſed quod audivi, id tibi nuntio.
Neo. An Phœnix & ſocii
Hæc faciunt propter Atridas?
Mer. Scito, quod hæc faciunt, & non contantur.
Neo. Quare Ulyſſes non venit ipſe?
An metus eum detinet?
Mer. Hic & Diomedes
Ad alium navigabant, cum ego diſcederem.
Neo. Ad quem?
Mer. Eſt quiſpiam, ſed dicito,
Quis iſte ſit, ſubmiſſa voce dicito.
Neo. Hic eſt inclytus ille Philoctetes.
Mer. Ne plura dicas, ſed quam primum
Naviga, atque ex hac terra te proripe.
Phil. Quid ais? Quare
Me venditis perplexo ſermone?
Neo. Nondum ſcio quid dicat,
Sed ipſe clare dicet.
Mer. Ne me prodas exercitui,
Ut dicam, quæ non convenit, multis beneficiis
Ab illis affectus ſum.
Neo. Ego Atridis ſum hoſtis, & hic mihi

Summus

Εμ. Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,
ὃς ἦν νεὼς σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
ἐπεὶ περ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχῃ δέ πως πρὸς ταυτὸν ὁρμισθεὶς πέδον.
πλέων γὰρ ὁ ναύκληρος οὐ πολλῷ στόλῳ
ἀπ' Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας, ὅτι
σοὶ πάντες εἶεν οἱ νεναυστοληκότες,
ἔδοξέ μοι, μὴ σῖγα, πρὶν φράσαιμί σοι,
τὸν πλοῦν ποιεῖσθαι, προστυχόντι τῶν ἴσων.
οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφί σ' οὕνεκα.
βουλεύματ' ἐστὶ, κοὐ μόνον βουλεύματα,
ἀλλ' ἔργα δρώμενα, οὐκέτ' ἐξαργούμενα---
Νε. Ἀλλ' ἡ χάρις μὲν τῆς προμηθείας, ξένε,
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ.
φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μοι
νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.
Εμ. Φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ,
Φοίνιξ θ' ὁ πρέσβυς, οἵ τε Θησέως κόροι.
Νε. Ὡς ἐκ βίας μ' ἄξοντες, ἢ λόγοις πάλιν;
Εμ. Οὐκ οἶδ'· ἀκούσας δ' ἄγγελος πάρειμί σοι.
Νε. Ἢ ταῦτα δὴ Φοίνιξ τε χ' οἱ ξυνναυβάται
οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;
Εμ. Ὡς ταῦτ' ἐπίσω δρώμεν', οὐ μέλλοντ' ἔτι.
Νε. Πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τις εἶργέ νιν;
Εμ. Κεῖνός γ' ἐπ' ἄλλον ἄνδρ', ὁ Τυδέως τε παῖς,
ἔστελλον ἡνίκ' ἐξανηγόμην ἐγώ.
Νε. Πρὸς ποῖον ἂν τόνδ' αὐτὸς οὑδυσσεὺς ἔπλει;
Εμ. Ἦν δή τις. ἀλλὰ τόνδε μοι πρῶτον φράσον,
τίς ἐστιν. ἂν λέγῃς δὲ, μὴ φώνει μέγα.
Νε. Ὅδ' ἔσθ' ὁ κλεινός σοι Φιλοκτήτης ξένε.
Εμ. Μή νῦν μ' ἔρῃ τὰ πλείον', ἀλλ' ὅσον τάχος
ἔκπλει σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.
Φιλ. Τί φησιν ὦ παῖ, τί με κατὰ σκότον ποτὲ
διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;
Νε. Οὐκ οἶδά πω τί φησι· δεῖ δ' αὐτὸν λέγειν
εἰς φῶς ὃ λέξει πρὸς σὲ κἀμὲ τούσδε τε.
Εμ. Ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλῃς στρατῷ,
λέγονθ' ἃ μὴ δεῖ. πόλλ' ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω χρηστά γ', οἷ' ἀνὴρ πένης.
Νε. Ἐγώ εἰμ' Ἀτρείδαις δυσμενής· οὗτος δέ μοι

Summus amicus est, quia odit Atridas,
Non igitur occultes quidquam,
Quod mihi gratiam putabis.
Mer. Vide quid agas. *Neo.* Id ipse considero.
Mer. Tu eris in culpa. *Neo.* Quanam?
Mer. Adversus hunc, ut audis,
Diomedes & Ulysses,
Conjurati navigant, aut verbis
Persuasuri, aut vi coacturi,
Idque omnes Græci audiverunt
Ulyssem dicere,
Nam hic audacior erat.
Neo. Quare Græci ex tanto intervallo
Curam habent Philoctetæ,
Quem multo ante ejecerunt?
Unde oritur hoc desiderium? an à Diis
Qui puniunt malefacta?
Mer. Ego narrabo.
Vates quidam erat,
Priami filius
Helenus, quem noctu egressus
(Hic cui omnes maledicunt,)
Dolosus Ulysses, cepit,
Et adduxit ad Græcos pulchram prædam,
Qui & alia vaticinatus est,
Et quod Pergama non essent
Expugnaturi, nisi hunc persuasum
Educerent ex hac insula.
Hæc postquam audivit Ulysses
Ex vate, statim promisit,
Se hunc adducturum esse:
Sperabat quidem se volentem esse adducturum,
Sed, si nolit, vi coacturũ, & pactus est, ut sibi caput
Præcidatur, si hoc non efficiat.
Audisti omnia, ut properetis moneo,
Tu, & si quis præterea tibi curæ est.
Phil. Hei mihi, an scelus illud
Juravit, se mihi persuasurum esse?
Sic persuadebor ex morte in vitam ut redeam,
Sicut illius pater Sisyphus.
Mer. Nescio, sed ego ad navim eo,
Vobis det Deus quod optimum est.
Phil. Nonne hoc injustissimum est,
Quod Ulysses sperat verbis flexurum me esse,

Et

φίλος μέγιστος, οὕνεκ' ἀτρείδας στυγεῖ.
δεῖ δή σ' ἔμοιγ' ἐλθόντα, προσφιλῆ λόγον
κρύψαι πρὸς ἡμᾶς μηδέν' ὧν ἀκήκοας.
Εμ. Ὅρα τί ποιεῖς παῖ. Νε. Σκοπῶ κἀγὼ πάλαι.
Εμ. Σὲ θήσομαι τῶνδ' αἴτιον. Νε. Ποιοῦ λέγων;
Εμ. Λέγω, 'πὶ τοῦτον ἄνδρε τώδ' ὥσπερ κλύεις,
ὁ τυδέως παῖς, ἥ τ' ὀδυσσέως βία,
διώμοτοι πλέουσιν, ἦ μὴν ἢ λόγῳ
πείσαντες ἄξειν ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ' ἀχαιοὶ πάντες ἤκουον σαφῶς
ὀδυσσέως λέγοντος· οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θατέρου, δράσειν τάδε.---
Νε. Τίνος δ' ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ
τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν,
ὅν τ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
τίς ὁ πόθος αὐτοὺς ἵκετ', ἢ θεῶν βία,
καὶ νέμεσις, οἵπερ ἔργ' ἀμύνουσιν κακά;
Εμ. Ἐγώ σε τοῦτ' (ἴσως γὰρ οὐκ ἀκήκοας)
πᾶν ἐκδιδάξω· μάντις ἦν τις εὐγενής,
πριάμου μὲν υἱὸς, ὄνομα δ' ὠνομάζετο
ἕλενος, ὃν οὗτος νυκτὸς ἐξελθὼν μόνος
ὁ πάντ' ἀκούων αἰσχρὰ καὶ λωβήτ' ἔπη
δόλιος ὀδυσσεὺς εἷλε· δέσμιόν τ' ἄγων,
ἔδειξ' ἀχαιοῖς ἐς μέσον θήραν καλήν.
ὃς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισε,
καὶ τἀπὶ τροίᾳ πέργαμ' ὡς οὐ μή ποτε
πέρσοιεν, εἰ μὴ τόνδε πείσαντες λόγῳ
ἄγοιντο νήσου τῆσδ' ἐφ' ἧς ναίει τανῦν.
καὶ ταῦθ' ὅπως ἤκουσεν ὁ λαέρτου τόκος
τὸν μάντιν εἰπόντ', εὐθέως ὑπέσχετο
τὸν ἄνδρ' ἀχαιοῖς τόνδε δηλώσειν ἄγων.
οἴοιτο μὲν μάλισθ' ἑκούσιον λαβών·
εἰ μὴ θέλοι δ', ἄκοντα· καὶ τούτων, κάρα
τέμνειν ἐφεῖτο τῷ θέλοντι, μὴ τυχών.
ἤκουσας ὦ παῖ πάντα· τὸ σπεύδειν δέ σοι
καὐτῷ παραινῶ, κεἴ τινος κήδῃ πέρι.-
Φιλ. Οἴμοι τάλας· ἦ κεῖνος ἡ πᾶσα βλάβη
ἔμ' εἰς ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κἀξ ᾅδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὑ 'κείνου πατήρ·
Εμ. Οὐκ οἶδ' ἐγὼ ταῦτ'· ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ
ναῦν, σφῷν δ' ὅπως ἄριστα συμφέροι θεός.-
Φιλ. Οὔκουν τάδ' ὦ παῖ δεινὰ, τὸν λαερτίου
ἔμ' ἐλπίσαι ποτ' ἂν λόγοισι μαλθακοῖς

δεῖξαι

Et ad Græcos adducturum? non fiet:
Viperam malum audire,
Quæ me claudum fecit,
Sed dicit, & audet omnia.
Et nunc scio, quod alicubi delitescit.
Quare, ô fili, cedamus, ut mare
Dirimat nos à navi Ulyssis.
Eamus, festinatio tempestiva
Postea quietem affert.
Neo. Tunc cum ventus secundus erit
Navigabimus, nunc enim adversus spirat.
Phil. Semper bona est navigatio fugienti mala.
Neo. Non, nam & Ulyssi adversantur venti.
Phil. Non sunt prædonibus venti contrarii,
Cum fallere & prædari licet.
Neo. Si videtur ergo cedamus, sume tecum
Ea, quæ vis, atque ea quibus opus habes.
Phil. Sunt quædam quibus opus habeo.
Neo. Mea navis suppeditabit illa,
Phil. Folia quædam sunt,
Quibus sopire vulnus & mitigare soleo.
Neo. Cape, & si quid aliud libet.
Phil. Si quid mihi de arcu hoc
Relictum est, ne quis alius auferat.
Neo. An hos nobiles arcus habes?
Phil. Hos, nec alios gesto.
Neo. Licetne prope contemplari?
Et gestare & osculari?
Phil. Tibi & hoc, & mea alia,
Quæ tibi commoda sunt, contingent.
Neo. Amo certe, sed sic tamen,
Ut si fas est cuipiam sin minus, omittas.
Phil. Pie dicis, licet autem,
Cum aspectum solis mihi
Reddideris, & patriam,
Et patrem senem, & amicos, Meque
Cum inter hostes essem, traduxisti alio,
Confide, licet hæc tibi contrectare,
Et danti reddere, & gloriari,
Virtutis causa, quod solus contractaveris:
Nam ego benefactis comparavi,
Non gravatim te video contrectantem,
Qui enim beneficio affectus, vicissim benefacere novit,
Omni thesauro preciosior amicus fuerit.

Abi

δεῖξαι νεὼς ἄγοντ' ἐν Ἀργείοις μέσοις;
οὐ· θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν.
ἀλλ' ἔστ' ἐκείνῳ πάντα λεκτά, πάντα δὲ
τολμητά· καὶ νῦν οἶδ' ὁθ' οὕνεχ' ἵξεται.
ἀλλ' ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζῃ τῆς Ὀδυσσέως νεώς.
ἴωμεν· ἥτοι καίριος σπουδή, πόνου
λήξαντος, ὕπνον κἀνάπαυλαν ἤγαγεν.

Νε. Οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρῴρας ἀνῇ,
τότε στελοῦμεν· νῦν γὰρ ἀντιοστατεῖ.

Φιλ. Ἀεὶ καλὸς πλοῦς ἔσθ' ὅταν φεύγῃς κακά.

Νε. Οὔκ· ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.

Φιλ. Οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,
ὅταν παρῇ κλέψαι τε χ' ἁρπάσαι βίᾳ.

Νε. Ἀλλ' εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.

Φιλ. Ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.

Νε. Τί τοῦθ' ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;

Φιλ. Φύλλον τί μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.

Νε. Ἀλλ' ἔκφερ' αὐτό. τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;

Φιλ. Οἴμοι, τί τόξων τῶνδ' ἀπημελημένον
παρερρύηκεν; ὡς λίπω μή τῳ λαβεῖν.

Νε. Ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ' ἃ νῦν ἔχεις;

Φιλ. Ταῦτ'· οὐ γὰρ ἄλλα γ' ἔσθ' ἃ βαστάζω χεροῖν.

Νε. Ἆρ' ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι με, προσκύσαι θ' ὥσπερ θεόν;

Φιλ. Σοί γ' ὦ τέκνον καὶ τοῦτο, κἄλλο τῶν ἐμῶν
ὁποῖον ἄν σοι ξυμφέρῃ γενήσεται.

Νε. Καὶ μὴν ἐρῶ γε· τὸν δ' ἔρωθ' οὕτως ἔχω·
εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες.

Φιλ. Ὅσιά τε φωνεῖς, ἔστι τ' ὦ τέκνον θέμις,
ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέστησας πέρα.
θάρσει· παρέσται ταῦτά σοι καὶ θιγγάνειν,
καὶ δόντι δοῦναι, κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον.
εὐεργετῶν γὰρ καὐτὸς αὔτ' ἐκτησάμην.
οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.
ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.

Neo. Abi intro. *Phil.* Et te introducam:
Nam propter morbum opus est mihi ministro.

ANTISTROPHICA strophe 1.

Cho. Audivi, non vidi
Eum, qui insidiatus est thoro
Jovis, Ixionem, ut ad rotam
Ligatus agitaretur captivus,
Captum esse à Jove.
Alium neminem
Audivi, nec vidi,
Qui in tristius fatum inciderit,
Quam hic, qui neminem læsit,
Sed vir justus
Perit adeo indigne.
Hoc miror, Quomodo
Cum undique agitatis
Fluctibus mergeretur,
Ita lachrymabilem
Vitam sustinere potuerit,

ANTISTROPHE 1.

Ventis expositus & pedibus captus,
Nullum cohabitatorem,
Nec vicinum ullum, saltem malum, habens, apud quem
Gravemque ac cruentum (gemitum mutuum
Ederet: vel qui
Vehementissimum fluxum
Sanie ferventem hulcerum,
Saucii pedis, leni remedio
Sopiret: si quis adsit,
Qui folium capiat ex terra altrice,
Reptat ipse passim,
Volutans se,
Sicut puer sine chara nutrice,
Ubi ut incedere possit,
Via plana est. Si quando remittit
Sæva pestis,

Νε. Χωρὶς ἂν εἴσω. Φιλ. Καὶ σέ γ' εἰσάξω· τὸ γὰρ
νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. στροφὴ α'.

Χο. 1 Λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα,
2 τὸν πελάταν λέκτρων
3 ποτὲ τοῦ Διὸς Ἰξίονα κατ' ἄμπυκα
4 δρομάδα δέσμιον, ὡς
5 ἔλαβ' ὁ παγκρατὴς Κρόνου·
6 ἄλλον δ' οὔτιν' ἔγω-
7 γ' οἶδα κλύων, οὐδ' ἐσίδον μοίρᾳ
8 τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν·
9 ὃς οὔτ' ἔρξας τιν', οὔτε νοσφίσας,
10 ἀλλ' ἴσος ἐν ἴσοις ἀνήρ,
11 ὤλλυθ' ὧδ' ἀναξίως.
12 τόδε θαῦμ' ἔχει με,
13 πῶς ποτε, πῶς ποτ' ἀμφιπλήκτων
14 ῥοθίων μόνος κλύζων, πῶς
15 ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχεν.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

1 ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν,
2 οὐδέ τιν' ἐγχώρων,
3 κακογείτονα παρ' ᾧ στόνον ἀντίτυπον
4 βαρυβρῶτ' ἀποκλαύ-
5 σειεν αἱματηρόν· οὐ-
6 δ' ὃς τὰν θερμοτάταν
7 αἱμάδα κηκιομέναν ἑλκέων
8 ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
9 κατευνάσειεν, εἴ τις ἐμπέσοι
10 φορβάδος ἔκ γε γᾶς ἑλεῖν.
11 ἕρπει ἄλλοτ' ἄλλᾳ γὰρ
12 τότ' ἂν εἰλυόμενος
13 παῖς ἄτερ ὡς φίλας τιθήνας,
14 ὅθεν εὐμάρει' ὑπάρχει
15 πόρων, ἀνίκ' ἐξανίῃ δακέθυμος ἄτα.

STROPHE 2.

Non ex ſacra terra cibum,
Nec ullum ſemen capit,
Quibus victitare ſolent
Homines qui ratione valent.
Præterquam cum arcu & ſagittis
Volucrem aliquam tetigit, qua veſcatur.
O miſeram animam,
Qui vini potum
Toto decennio non guſtavit,
Circumſpectat vero, ſicubi aquam ſtagnantem videt,
Ad eam arreptat.

ANTISTROPHE 2.

Nunc viri præſtantis
Filium ſortitus,
Fœlix tandem finem faciet,
Et magnus ex illis erit,
Qui ipſum impoſitum navi,
Poſt multos menſes in patriam vehet,
Ad Melienſes Nymphas,
Et ad fluenta Sperchii,
Quo in loco Hercules
Ad ſuperos tranſiit, rogo divino lucens,
In montis OEtæ vertice.

IAMBI.

Neo. Perge ſi vis, quid ita nulla
De cauſa taces, & quaſi attonitus ſtupes?
Phil. Heu, heu,
Neo Quid nam eſt? (doloris accedente morbo?
Phil. Nihil mali eſt, ſed perge. *Neo.* An cohibes magnitud.
Neo. Non, ſed jam videor levius habere,
O ſuperi.
Neo. Quid nam gemens invocas Deos?
Phil. Ut adſint nobis placidi ſervatores.
Ah, ah,
Neo. Quid tibi accidit? non dices? cur ita es
Taciturnus? nam aliquid mali habere videris.
Phil. Perii, fili, nec potero hoc malum

4 θ᾽ ἀνέρες ἀλφησαί.
5 πλὴν ἐξ ὠκυβόλων εἴ ποτε τόξων
6 πτανῶν, πτανοῖς ἀνύσειε γαστρὶ φορβάν.
7 ὦ μελέα ψυχά,
8 ὃς μηδ᾽ οἰνοχύτου πώματος ἥ-
9 σθη δεκέτη χρόνον, λεύσσων δ᾽ ὅπου
10 γνοίη στατὸν εἰς ὕδωρ αἰεὶ προσενώμα.

ΑΝΤΙΣΤΡΟΦΗ Ϛ'.

1 νῦν δ᾽ ἀνδρῶν ἀγαθῶν
2 παιδὸς ὑπαντήσας,
3 εὐδαίμων ἀνύσει,
4 καὶ μέγας ἐκ κείνων.
5 ὅς νιν ποντοπόρῳ δούρατι, πλήθει
6 πολλῶν μηνῶν πατρῴαν ἄγει πρὸς αὐλὰν
7 μηλιάδων νυμφᾶν,
8 σπερχειοῦ τε παρ᾽ ὄχθαις, ἵν᾽ ὁ χάλ-
9 κασπις ἀνὴρ θεοῖς πλάθει πᾶσι
10 θείῳ πυρὶ παμφαὴς, οἴτας ὑπὲρ ὄχθων.

ΙΑΜΒΟΙ.

Νε. Ερπ᾽ εἰ θέλεις, τί δή ποθ᾽ ὧδ᾽ ἐξ οὐδενὸς
λόγου σιωπᾷς, κἀπόπληκτος ὧδ᾽ ἔχῃ;
Φιλ. Α ἆ ἆ ἆ.
Νε. Τί ἐστιν; Φιλ. Οὐδὲν δεινόν· ἀλλ᾽ ἴθ᾽ ὦ τέκνον.
Νε. Μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;
Φιλ. Οὐ δῆτ᾽ ἔγωγ᾽· ἀλλ᾽ ἄρτι κουφίζειν δοκῶ.
ἰὼ θεοί.
Νε. Τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς;
Φιλ. Σωτῆρας αὐτοὺς ἠπίους θ᾽ ἡμῖν μολεῖν.
ἆ ἆ ἆ ἆ.
Νε. Τί ποτε πέπονθας; οὐκ ἐρεῖς, ἀλλ᾽ ὧδ᾽ ἔσῃ
σιγηλός; ἐν κακῷ δέ τῳ φαίνῃ κυρῶν.
Φιλ. Ολωλα τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ᾽ ὑμῖν· ἀτταταῖ· διέρχεται,
διέρχεται δύστηνος· ὦ τάλας ἐγώ.

Vos celare, conficior, hei mihi,
Heu, heu me miserum,
Per Deum, si tibi in promptu est
Gladius, ferito pedem meum,
Præcide quamprimum, ne parcas vitæ,
Age, ô fili.
Neo. Quid nam tibi ita subito accidit, quamobrem
Tantos clamores ac gemitus cies? (tibi est?
Phil. Nosti fili. *Neo.* Quid est? *Phil.* Nosti fili. *Neo.* Quid
Nescio. *Neo.* Quomodo nescis? *Phil.* Heu heu.
Neo. Quam sæva est accessio hujus morbi,
Phil. Sævior, quam ut dici queat, sed misereat te mei.
Neo. Quid faciam ergo? *Phil.* Ne propter metum morbi me
Acced. enim per interval. sicut errones solent, (deseras
Ubi expletus est. *Neo.* Heu miserum te,
Qui infœlix multiplici dolore confici videris.
Vis ne ut te apprehendam, ac gestem?
Phil. Nequaquam, sed arcum cape,
Quemadmodum me prius rogasti, donec
Remiserit sævicia morbi:
Serva ac custodi ipsum. Nam me somnus
Occupat, cum morbus desæviit,
Nec prius desinere possum, sed opus est ut me sinatis
Tranquillum quiescere. Si vero interea
Venerint illi, per Deos te obtestor,
Ne volens aut nolens, aut ullo artificio
Victus, illis tela concedas, ne te ipsum
Et me tibi supplicem factum simul perdas.
Neo. Ne metuas, sciens nemini relinquam,
Præterquam tibi & mihi. Ergo quod bene vertat por-
Phil. Age accipe, & Livori supplica. (rige.
Ne tibi ærumnosa sint, quemadmodum
Mihi, & illi qui ante me habuit, fuerunt.
Neo. O superi, utinam ita fiat, & utinam
Secundus cursus nobis contingat, eo
Quo Deus nos ducet, & quo nos navis portabit.
Phil Vereor ô fili, ne hoc votum sit irritum:
Nam mihi rursus ex profundo stillat ater
Sanguis ebulliens: quidnam novi hoc mihi portendit?
Hei mihi,
Hei mihi iterum: ô pes, quanto dolore me afficis.
Accedit,
Accedit hoc malum propius:
Miserum me

ἀπόλωλα τέκνον, βρύχομαι τέκνον· παπαί,
παπᾶ, παπᾶ, παπᾶ, παπᾶ, παπᾶ, παπαί.
πρὸς θεῶν πρόχειρον εἴ τι σοι τέκνον πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίου.
ἴθ᾽ ὦ παῖ.

Νε. Τί δ᾽ ἐστὶν οὕτω νεοχμὸν ἐξαίφνης, ὅτου
τοσήνδ᾽ ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς;

Φιλ. Οἶσθ᾽ ὦ τέκνον; Νε. Τί ἐστιν; Φιλ. Οἶσθ᾽
ὦ παῖ; Νε. Τί σοι;

Φιλ. Οὐκ οἶδα. Νε. Πῶς οὐκ οἶδας; Φιλ. Παππᾶ,
παππᾶ, παῖ.

Νε. Δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος.

Φιλ. Δεινὸν γὰρ, οὐδὲ ῥητόν· ἀλλ᾽ οἴκτειρέ με.

Νε. Τί δῆτα δράσω; Φιλ. Μή με ταρβήσας προδῷς.
ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις ἴσως
ὡς ἐξεπλήσθη. φεῦ. Νε. Ἰὼ δύστηνε σύ.
δύστηνε δῆτα διὰ πόνων πάντων φανείς.
βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;

Φιλ. Μὴ δῆτα τοῦτό γ᾽· ἀλλά μοι τὰ τόξ᾽ ἑλὼν
τάδ᾽ ὥσπερ ᾔτου μ᾽ ἀρτίως, ἕως ἀνῇ
τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρὸν,
σῶζ᾽ αὐτὰ, καὶ φύλαττε· λαμβάνει γὰρ οὖν
ὕπνος μ᾽ ὅταν περ τὸ κακὸν ἐξίῃ τόδε.
κοὐκ ἔστι λῆξαι πρότερον, ἀλλ᾽ ἐᾶν χρεὼν
ἕκηλον εὕδειν. ἢν δὲ τῷδε τῷ χρόνῳ
μόλωσ᾽ ἐκεῖνοι, πρὸς θεῶν ἐφίεμαι
ἑκόντα μήτ᾽ ἄκοντα, μή τέ τῳ τέχνῃ
κείνοις μεθεῖναι ταῦτα, μὴ σαυτόν θ᾽ ἅμα,
κἄμ᾽ ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.

Νε. Θάρσει προνοίας οὕνεκ᾽, οὐ δοθήσεται,
πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε.

Φιλ. Ἰδοὺ δέχου παῖ, τὸν φθόνον δὲ πρόσκυσον·
μή σοι γενέσθαι πολύπονα αὐτά· μηδ᾽ ὅπως
ἐμοί τε καὶ τῷ πρόσθ᾽ ἐμοῦ κεκτημένῳ.

Νε. Ὦ θεοὶ, γένοιτο ταῦτα νῷν· γένοιτο δὲ
πλοῦς οὔριός τε κεὐσταλὴς, ὅποι ποτὲ
θεὸς δικαιοῖ, χὠ στόλος πορσύνεται. ---

Φιλ. Ἀλλ᾽ οὖν δέδοικα μή μ᾽ ἀτελὴς εὐχὴ, τέκνον.
στάζει γὰρ αὖ μοι φοίνιον τόδ᾽ ἐκ βυθοῦ
κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.
παπαῖ, φεῦ.
παπαῖ μάλ᾽· ὦ ποὺς, οἷά μ᾽ ἐργάσῃ κακά.
προσέρπει,
προσέρχεται τόδ᾽ ἐγγύς. οἴμοι μοι τάλας. ἔχετε

Hæret morbus, ne quæso deseratis me.
Heu Heu.
O Ulysse, utinam iste dolor
Fixus tibi esset in pectore: hei mihi,
Hei iterum. O vos gemini Duces,
Agamemnon & Menelae, quomodo pro me
Tanto tempore sustinuissetis hunc morbum?
Hei mihi.
O Mors mors, quare tam sæpe vocata
Quotidie, non potes venire aliquando?
O generose adolescens, cape
Ignem Lemnium, sic dictum,
Ure, quemadmodum & ego olim
Jovis filio pro his armis
Quæ tu nunc servas, tale officium præstiti.
Quid ais fili?
Quid ais? an taces? ubi nam animo peregrinaris?
Neo. Dolore afficior, & propter tua mala gemo.
Phil. Bonum animum habe fili, nam hic morbus
Violenter accedit, sed cito recedit.
Obsecro vero te, ne me deseras solum.
Neo. Ne time, manebimus. *Phil.* An manes?
Neo. Certo scias.
Phil. Non decet, ut te jurejurando obligem.
Neo. Neque fas est, me, te relicto, discedere.
Phil. Cedo dexteram fidei testem.
Neo. Do fidem, mansurum me esse.
Phil. Illuc, me, illuc.
Neo. Quorsum dicis?
Phil. Sursum.
Neo. Quid desipis iterum? quid in cœlum suspicis?
Phil. Omitte me, mitte.
Neo. Quo remittam?
Phil. Omitte tandem. *Neo* Non sinam inquam,
Phil. Enecas, si attigeris.
Neo. Atqui omitto, an nunc rectius sapis?
Phil. O terra excipe me moribundum, sicut nunc sum:
Nam morbi sævitia non amplius erigere me sinit.
Neo. Somnus videtur hunc virum paulo post
Oppressurus esse: resupinat enim caput,
Et sudor à toto corpore fluit,
Atque infimo in pede nigra vena rupta est,
Unde sanguis erumpit: sed sinamus eum
Ita quiescere, donec somnus obrepat.

ἔχετε τὸ πρᾶγμα· μὴ φύγητε μηδαμῆ.
ἀπαππαί.
ὦ ξένε κεφαλλὴν εἴθε σοῦ διαμπερὲς
στέρνων ἔχοιτ' ἄλγησις ἥδε· φεῦ, παπαί.
παπαὶ μάλ' αὖθις· ὦ διπλοῖ στρατηλάται,
ἀγάμεμνον, ὦ μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
ὤ μοι μοι.
ὦ θάνατε, θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ, οὐ δύνῃ μολεῖν ποτε;
ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν
τῷ λημνίῳ τῷδ' ἀνακαλουμένῳ πυρὶ,
ἔμπρησον ὦ γενναῖε· κἀγώ τοι ποτὲ
τὸν τοῦ διὸς παῖδ' ἀντὶ τῶνδε τῶν ὅπλων
ἃ νῦν σὺ σώζεις, τοῦτ' ἐπηξίωσα δρᾶν.
τί φῂς παῖ;
τί φῄς; τί σιγᾷς; ποῦ ποτ' ὢν τέκνον κυρεῖς;
Νε. Ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.
Φιλ. Ἀλλ' ὦ τέκνον, καὶ θάρσος ἴσχ' ὡς ἥδε μοι
ὀξεῖα φοιτᾷ, καὶ ταχεῖ' ἀπέρχεται·
ἀλλ' ἀντιάζω μή με καταλίπῃς μόνον.
Νε. Θάρσει· μενοῦμεν· Φιλ. Ἦ μενεῖς; Νε. Σαφῶς φρόνει.
Φιλ. Οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι τέκνον.
Νε. Ὡς οὐ θέμις γ' ἐμοί 'στι σοῦ μολεῖν ἄτερ.
Φιλ. Ἔμβαλλε χειρὸς πίστιν. Νε. Ἐμβάλλω μενεῖν.
Φιλ. Ἐκεῖσε νῦν μ' ἐκεῖσε. Νε. Ποῖ λέγεις; Φιλ. Ἄνω.
Νε. Τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
Φιλ. Μέθες, μέθες με. Νε. Ποῖ μεθῶ; Φιλ. Μέθες ποτέ.
Νε. Οὔ φημ' ἐάσειν. Φιλ. Ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.
Νε. Καὶ δὴ μεθίημί σε· τί δὴ πλέον φρονεῖς;
Φιλ. Ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω.
τὸ γὰρ κακὸν τόδ' οὐκέτ' ὀρθοῦσθαί μ' ἐᾷ.
Νε. Τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου
ἕξειν· κάρα γὰρ ὑπτιάζεται τόδε.
ἱδρώς γέ τοι νιν πᾶν καταστάζει δέμας.
μέλαινά τ' ἄκρου τις παρέρρωγεν ποδὸς
αἱμορραγὴς φλέψ· ἀλλ' ἐάσωμεν φίλοι
ἕκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ.

ΕΠΩ-

EPODICA strophe.

Cho. Somne cruciatuum ignare ac dolorũ, fœliciter aſpirans
Venias nobis,
Suaviſſime Rex,
Et in oculis detineas
Hanc lucem, quæ nunc prætenditur,
Age veni, ô Medice ſomne.
Tu vero fili vide ubi conſiſtas,
Aut quo proficiſcaris, quidve conſilii
De eo, quod porro agendum eſt, capias?
Nam quid expectamus amplius?
Quid agimus? occaſio enim, quæ omnium
Conſilia ſuperat,
Vim magnam in promptu ſuppeditat.

HEXAMETRI.

Neo. Ille jam ſopitus nihil audit, ſed video nos præda
Hac armorum fruſtra potitos, abſq; ipſo ſi navigamus
Nam huic debetur corona, hunc Deus aſportari juſſit.
Promittere vero irrita falſo, turpiſſimum probrum eſt.

ANTISTROPHE.

Cho. Deus iſta viderit, quæ vero reſpondebis
Mihi, de his brevem
Sermonem inſtitue.
Ægrotis enim fugax
Somnus eſt, ut rurſum reſpiciant.
Sed quod potiſſimum eſt,
Illud clam
Diſpice quid facturus ſis.
Scis quem dicam,
Si idem ſentis, quod ipſe,
Tunc tibi ea per ferenda ſunt,
Quæ etiam ſapientibus difficilia eſſent.

EPODOS.

Ventus nunc ſecundus eſt,
Philoctetes vero oculis clauſis dormit, viribus deſtitu-
Jacetque ſtratus circumfuſa caligine : (tu

O

ΕΠΩΔΙΚΑ. στροφὴ ά.

Χο. 1 Ὕπν' ὀδύνας ἀδαής, ὕπνε δ' ἀλγέων,
2 εὐαὴς ἡμῖν ἔλθοις·
3 εὐαίων εὐαίων ἄναξ.
4 ὄμμασι δ' ἀντέχοις
5 τάνδ' αἴγλαν, ἃ τέταται τανῦν.
6 ἴθι ἴθι μοι παιών.
7 ὦ τέκνον, ὅρα γε ποῦ στάσῃ,
8 ποῖ δὲ βάσῃ, πῶς δέ μοι
9 τἀντεῦθεν φροντίδος ὁρᾷς.
10 ἤδη πρὸς τί μένομεν πράσσειν.
11 καιρός τοι πάντων γνώμαν ἴσχων,
12 πολὺ παρὰ πόδας κράτος ἄρνυται.---

ΕΧΑΜΕΤΡΟΙ.

Νε. Ἀλλ' ὅδε μὲν κλύει οὐδὲν· ἐγὼ δ' ὁρῶ οὕνεκα θήραν
τήνδ' ἁλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέοντος.
τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν.
κομπεῖν δ' ἔς ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

ΑΝΤΙΣΤΡΟΦΗ.

Χο. 1 Ἀλλὰ τέκνον, τάδε μὲν θεὸς ὄψεται·
2 ὧν δ' ἂν ἀμείβῃ σύ μ' αὖθις,
3 βαιάν μοι βαιὰν ὦ τέκνον
4 πέμπε λόγων φάμαν·
5 ὡς πάντων ἐν νόσῳ εὐδρακὴς
6 ὕπνος ἄυπνος λεύσσειν.
7 ἀλλ' ὅ, τι δύναιο μάκιστον·
8 κεῖνό μοι γὰρ μέγιστον.
9 λάθρ' ἐξιδοῦ ὅ, τι πράξεις·
10 οἶσθ' οἶσθ' ὅντιν' αὐδῶμαι, εἰ ταυτὰν
11 τούτῳ γνώμαν ἴσχεις, μάλα τοι
12 ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη.--

ΕΠΩΔΟΣ.

1 οὖρός τοι τέκνον οὖρος, ἀνὴρ
2 ὅδ' ἀνόμματος,
3 οὐδ' ἔχων ἀρωγὰν ἐκτέταται νύχιος,
4 ἀλεὴς ὕπνος ἐσθλός,

Quod ipse in aprico dormit, id nobis commodum est.
Non pedis, non manuum, non ullius membri compos est,
Sed quasi mortuus,
Aspice, jam videt, jam commodum incipit loqui:
Ut capi possit, mihi curæ est.
Nam certamen absque periculo optimum est.

IAMBI.

Neo. Tace, neque animo deficias,
Movet enim jam oculos, atque erigit caput.
Phil. O lux somno succedens, & spes
Custodiæ hospitum fallax,
Non ego unquam credidissem.
Te perferre meas tristissimas calamitates,
Ac manere apud me, mihique ministrare potuisse,
Non Atridæ boni illi Principes,
Hoc facile sustinere potuerunt.
Sed generosa natura, & ex generosis nata,
Est tua, quare hæc omnia facilia esse
Duxisti, vociferatione mea & fœtore plenus existens.
Nunc vero quando morbi videtur
Remissio quædam esse, ac requies,
Tu me erige, tu in pedes statue fili,
Ut cum languor me reliquerit,
Ad navim eamus, nec contemur provehi,
Neo. Gaudeo, quod te video præter spem,
Dolore liberatum, videntem, ac spirantem adhuc,
Nam signa quasi mortui,
In hac calamitate videbantur,
Nunc vero erige te. Vis ne
Ut isti te portent? non enim labor ipsos gravabit,
Quando tibi ac mihi ita visum est,
Phil. Laudo ista, fili, Erige tu me ut libet,
Istos vero mitte, ne offendantur tetro
Odore ante tempus. Nam in navi
Mecum habitare, satis molestum ipsis erit.
Neo. Sit ita. sed consiste, atque ipse te sustenta.
Phil. Ne cura, pro meo more me erigam,
Neo. Hei mihi, quid nunc porro agam?
Phil. Quid hoc est fili? qualis sermo excidit tibi?
Neo. Nescio quo vertam dubiam sententiam.
Phil. Quid est, quod dubitas? ne ita dicas fili.
Neo. Hoc est, quod animum meum angit.

οὐ χερὸς, οὐ ποδός,
οὔτινος ἄρχων·
ἀλλ' ὥς τις ἀΐδα παρακείμενος
ὁρᾷ, βλέπει, καίρια φθέγγει.
τὸ δ' ἁλώσιμον ἐμᾷ φροντίδι παῖ,
πόνος ὁ μὴ φοβῶν κράτιστος.

ΙΑΜΒΟΙ.

Νε. Σιγᾶν κελεύω, μηδ' ἀφεστάναι φρενῶν.
κινεῖ γὰρ ἁνὴρ ὄμμα, κἀνάγει κάρα.
Φιλ. Ὦ φέγγος ὕπνου διάδοχον, τό, τ' ἐλπίδων
ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων·
οὐ γάρ ποτ' ὦ παῖ τοῦτ' ἂν ἐξηύχησ' ἐγὼ,
τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα
μεῖναι παρόντα καὶ ξυνωφελοῦντά μοι.
οὔκουν Ἀτρεῖδαι τοῦτ' ἔτλησαν εὐπόρως
οὕτως ἐνεγκεῖν οἱ 'γαθοὶ στρατηλάται.
ἀλλ' εὐγενὴς γὰρ ἡ φύσις, κἀξ εὐγενῶν
ὦ τέκνον ἡ σή· πάντα ταῦτ' ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
καὶ νῦν ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλα δὴ, τέκνον,
σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον τέκνον,
ἵν' ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτὲ,
ὁρμώμεθ' ἐς ναῦν μηδ' ἐπίσχωμεν τὸ πλεῖν.
Νε. Ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν παρ' ἐλπίδα,
ἀνώδυνον βλέποντα κἀμπνέοντ' ἔτι
ὡς οὐκέτ' ὄντος γὰρ τὰ συμβόλαιά σου
πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ' αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσί σ' οἵδε τοῦ πόνου γὰρ οὐκ ὄκνος.
ἐπείπερ οὕτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν.
Φιλ. Αἰνῶ τάδ' ὦ παῖ, καί μ' ἔπαιρ' ὥσπερ νοεῖς.
τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ
ὀσμῇ πρὸ τοῦ δέοντος· οὑπὶ νηὶ γὰρ
ἅλις πόνος τούτοισι συναιέιν ἐμοί.
Νε. Ἔσται τάδ'· ἀλλ' ἵστω τε, καὐτὸς ἀντέχου.
Φιλ. Θάρσει· τό τοι σύνηθες ὀρθώσει μ' ἔθος,
Νε. Παπαῖ· τί δῆτα δρῶ μ' ἐγὼ τοὐνθένδε γε.
Φιλ. Τί δ' ἐστὶν ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγῳ,
Νε. Οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.
Φιλ. Ἀπορεῖς δὲ τοῦ σύ; μὴ λέγ' ὦ τέκνον τάδε.
Νε. Ἀλλ' ἐνθάδ' ἤδη τοῦδε τοῦ πάθους κυρῶ.

Phil. An te difficultas morbi
Movit, ut non amplius tecum me recipere velis?
Neo. Omnia difficilia sunt, cum quis contra naturam suam
Facit, eaquæ non decent.
Phil. Sed nihil indignum patre tuo
Facis neque dicis, si virum bonum adjuvas. (ciat.
Neo. Turpi fama laborabo, hoc est quod me jam pridē cru-
Phil. Non quod ad hæc quæ dicis, & facis, attinet, dubito
Neo. O Jupiter, quid faciam? bis deprehendar malus, (vero.
Occultans ea quæ non decet, & turpissimos sermones
Phil. Hic vir, nisi ego animo deerro, (edens.
Proditurus me videtur esse, meque relicto navigaturus.
Neo. Non te relinquam, sed ne cum dolore
Te ducam, hoc est cur jam pridem angor.
Phil. Quid tandem dicis fili? nihil enim horum intelligo.
Neo. Nihil te celabo, ad Trojam te navigare oportet,
Et ad exercitum classemque Atridarum.
Phil. Hei mihi, quid dixisti?
Neo. Ne gemas, priusquam cognoscas.
Phil. Quid cognoscam? quid mihi facies?
Neo. Ab hoc morbo te primum liberabo, deinde
Una tecum Trojam expugnabo.
Phil. An serio ista cogitas facere?
Neo. Necessitas enim cogit,
Quare tu his auditis ne irascaris.
Phil. Perii infoelix, proditus sum, quid mihi hospes
Fecisti? Redde huc arcum quam primum.
Neo. Non licet: nam me eos, qui cum imperio sunt,
Audire, jus & utilitas cogit.
Phil. O ignis, & quidquid animos terret, quali fraude
Sæva atque inimicissima me cepisti?
Quomodo decepisti? An non pudet te me aspicere?
Qui tibi supplex factus sum homo sævissime?
Abstulisti mihi vitam erepto arcu,
Redde obsecro, redde quæso te, fili,
Per Deos patrios ne mihi vitam eripias.
Hei mihi misero non mihi respondes amplius,
Sed quasi non concessurus unquam, ita aspicis,
O littora, ô promontoria, ô commercia
Cum feris sylvestribus, ô prærupti scopuli,
Vobis ista, non enim alium habeo, cui dicam,
Conqueror, vos adestis,
Vos querelis meis assuevistis,
Qualia facinora erga me perpetravit filius Achillis,

Postquam

Φιλ. Οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
ἔπεισεν, ὥστε μή μ' ἄγειν ναύτην ἔτι;
Νε. Ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
ὅταν λιπών τις, δρᾷ τὰ μὴ προσεικότα.
Φιλ. Ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
δρᾷς, οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
Νε. Αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.
Φιλ. Οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς, ὀκνῶ.
Νε. Ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακὸς,
κρύπτων θ' ἃ μὴ δεῖ, καὶ λέγων αἴσχιστ' ἐπῶν;
Φιλ. Ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
προδούς μ' ἔοικε, κἀκλιπὼν, τὸν πλοῦν στελεῖν.
Νε. Λιπὼν μὲν οὐκ ἔγωγε· λυπηρῶς δὲ μὴ
πέμπω σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.
Φιλ. Τί ποτε λέγεις ὦ τέκνον; ὡς οὐ μανθάνω.
Νε. Οὐδέν σε κρύψω· δεῖ γὰρ ἐς τροίαν σε πλεῖν
πρὸς τοὺς ἀχαιοὺς, καὶ τὸν ἀτρειδῶν στόλον.
Φιλ. Οἴμοι· τί εἶπας;
Νε. Μὴ στέναζε πρὶν μάθῃς.
Φιλ. Ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;
Νε. Σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
ξὺν σοὶ τὰ τροίας πεδία πορθῆσαι μολών.
Φιλ. Καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς;
Νε. Πολλὴ κρατεῖ
τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
Φιλ. Ἀπόλωλα τλήμων, προδέδομαι· τί μ' ὦ ξένε
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.
Νε. Ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν,
τό, τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.
Φιλ. Ω πῦρ σὺ, καὶ πᾶν δεῖμα, καὶ πανουργίας
δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
οἷ' ἠπάτηκας· οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
ἀπεστέρηκας τὸν βίον, τὰ τόξ' ἑλών.
ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω τέκνον.
πρὸς θεῶν πατρῴων, τὸν βίον μή μ' ἀφέλῃς.
ὤ μοι τάλας· ἀλλ' οὐδὲ προσφωνεῖν μ' ἔτι.
ἀλλ' ὡς μεθήσων μή ποθ', ὧδ' ὁρᾷ πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,
ὑμῖν τάδ'· οὐ γὰρ ἄλλον οἶδ' ὅτῳ λέγω·
ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν.
οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὑξ ἀχιλλέως.

ὀμόσας

Postquam juravit domum me reducturũ, ad Trojam me
Fideque data arcus meos (ducere parat:
Sacros, Herculis ex Jove Nati eripuit mihi,
Meque Argivis vult ostendere,
Quasi viro forti per vim potitus sit.
Nec intelligit se mortuum, & umbram fumi interfecisse,
Imo imaginem meram: non enim me valentem
Capere potuisset, qui ne sic quidẽ affectũ, nisi dolo cepit.
Nunc vero fraude circumventus sum miser, quid faciam?
Redde, & adhuc tui similis sis,
Quid ais? an taces? occidi infœlix,
O figura biforis saxi, iterum jam, iterum,
Ad te revertor, nudus, alimento destitutus.
Sed moriar in hoc antro solus,
Non volucrem, non sylvestrem feram
Arcu amplius ferire possum, sed ipse miser
Mortuus, cibus ero eorum, quorum carnibus victitavi.
Meque venabuntur modo feræ, quas ego venabar prius
Morte mea necem illarum luam infœlix,
Idque mihi accidit ab eo, quem nihil mali adhuc scire
Ne pereas adhuc, prius quam intelligam, utrum (putabã
Consiliũ mutaturus sis: quod si min. tunc male moriaris

Cho. Quid faciamus, penes te situm est: nam & navigare
Licet jam, & sermonibus hujus obsequi.

Neo. Commiseratio vehemens subiit mihi
Erga hunc virum, non nunc primum, sed jam pridem.

Phil. Miserere mei, per Deum, neque hanc infamiæ notam
Inuras tibi, quod me deceperis.

Neo. Hei mihi quid faciam: Utinam nunquam è Scyro
Profectus essem, ita his rebus angor.

Phil. Non malo ingenio præditus es, sed videris venire instru.
Ad scelus, à malis hominib. nunc igitur apud alios utere
Qui digni sunt, atq; armis mihi redditis, abi. (his artib.

Neo. Quid facimus viri? **Uly.** O pessime omnium, quid facis?
Non abis? non relinques hos arcus mihi?

Phil. Hei mihi, quis hic est? num nam Ulyssem audio?

Uly. Ulyssem, ut scias, audis, meque adeo quem vides.

Phil. Hei mihi, dolo venditus sum, perii, nempe hic fuit,
Qui me circumvenit ac spoliavit armis.

Uly. Ego inquam feci, non alius, confiteor.

Phil. Redde, relinque mihi arcum, fili. **Uly.** Ne hoc quidem
Facere poteris, sed oportet te (si cupias,
Proficisci una cum armis, aut vi ducent te.

Phil. Me ne ô scelerum sceleratissime atque audacissime,

ὀμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει·
προσθείς τε χεῖρα δεξιὰν, τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει.
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει,
ὡς ἄνδρ' ἑλών μ' ἰσχυρὸν, ἐκ βίας ἄγει.
κοὐκ οἶδ' ἐναίρων νεκρὸν, ἢ καπνοῦ σκιὰν,
εἴδωλον ἄλλως· οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
νῦν δ' ἠπάτημαι δύσμορος· τί χρή με δρᾶν;
ἀλλ' ἀπόδος· ἀλλὰ νῦν ἔτ' ἐν σαυτοῦ γενοῦ.
τί φής; σιωπᾷς; οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλὸς, οὐκ ἔχων τροφήν.
ἀλλ' αὖ θανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος,
οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ' ὀρειβάτην
τόξοις ἐναίρων τοῖσδέ γ'· ἀλλ' αὐτὸς τάλας
θανὼν, παρέξω δαῖθ' ὑφ' ὧν ἐφερβόμην,
καί μ' οὓς ἐθήρων πρόσθε, θηράσουσι νῦν.
φόνον φόνου δὲ ῥύσιον τίσω τάλας,
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
ὄλοιο μή πω, πρὶν μάθοιμ', εἰ καὶ πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μὴ, θάνοις κακῶς.
Χο. Τί δρῶμεν ἐν σοί; καὶ τὸ πλεῖν ἡμᾶς ἄναξ
ἤδη 'στι, καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.
Νε. Ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς, οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.
Φιλ. Ἐλέησον ὦ παῖ πρὸς θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος ἐκκλέψας ἐμέ.
Νε. Οἴμοι τί δράσω; μή ποτ' ὤφελον λιπεῖν
τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.
Φιλ. Οὐκ εἶ κακὸς σὺ, πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν αἰσχρά· νῦν δ' ἄλλοισι δοὺς,
οἷς εἰκὸς, ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.
Νε. Τί δρῶμεν ἄνδρες; Οδ. Ὦ κάκιστ' ἀνδρῶν τί δρᾷς;
οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;
Φιλ. Οἴμοι τίς ἀνήρ; ἆρ' Ὀδυσσέως κλύω;
Οδ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦ γ', ὃν εἰσορᾷς.
Φιλ. Οἴμοι· πέπραμαι κἀπόλωλ'· ὅδ' ἦν ἄρα
ὁ ξυλλαβών με, κἀπονοσφίσας ὅπλων.
Οδ. Ἐγὼ, σάφ' ἴσθ', οὐκ ἄλλος· ὁμολογῶ τάδε.
Φιλ. Ἀπόδος, ἄφες μοι παῖ τὰ τόξα. Οδ. Τοῦτο μὲν
οὐδ' ἢν θέλῃ δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ' αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.
Φιλ. Ἐμ' ὦ κακῶν κάκιστε καὶ τολμίστατε.

Hi per vim ducent : *Uly.* Si quidem non ibis volens.
Phil. O terra Lemnia, & omnipotens jubar
Vulcani, an hæc sunt toleranda :
Ut iste me ab his locis avellat vi ?
Uly. Jupiter est, ut scias, Jupiter hujus terræ dominus,
Jupiter horum autor, egóque administer sum,
Phil. O sceleste, qualia audes dicere ?
Prætexis Deos, ac tui mendacii autores facis.
Uly. Non, sed veri autores : hæc via tibi eunda est.
Phil. Nequaquā. *Uly.* Ego verò affirmo, tibiq; obtēperādū est
Phil. Hei mihi misero, servum me ergo
Pater genuit, nec liberum.
Uly. Non servum, sed parem Principibus, cum quibus
Trojam te capere oportet, & excidere viribus.
Phil. Nunquam hoc fiet, ne quidem, si oporteat omnia mala
Donec mihi hoc anteum fuerit. (me pati,
Uly. Quidnam facere paras? *Phil.* Caput hoc statim saxis al-
Méq; de scopulo hoc præcipitē dabo. (lisum cruētabo,
Uly. Prehendite hunc, ne in ipsius potestate hæc sint.
Phil. O manus, quàm indigna sustinetis, quia caretis
Charo arcu, captæ ab hoc viro.
O tu, qui sanū nihil aut homine libero dignum cogitas,
Quom. insidiis me circūvēisti ? quom. cepisti, subornato
Ac protruso pro te hoc adolescente, qui mihi ignotus
Qui indignus est tuo ingenio, meo verò dignus: (erat ?
Qui nihil sciebat, nisi quod jussus erat, faceret :
Qui & nunc videtur dolore affici,
Propterea quod in me deliquit, quódque ego affligor.
Sed tua scelerata mens per latebras semper
Prospectans, ipsum rudem fraudis, atque invitum
Pulchrè instruxit, ut callidus esset in moliendo scelere.
Et nunc infelix me vinctum cogitas
Ab hoc littore abducere, in quo me prius abjecisti.
Destitutū amicis, desertū, atq; exulem, mortuum in vita.
Ah pereas malè, quod tibi sæpe imprecatus sum,
Sed nihil mihi Dii jucundum tribuunt :
Tu vitam lætam egisti, ego doloribus confectus sum.
Atq; ob hoc ipsum, quòd ita in ærumnis miserè vivo,
Rides tu, cum geminis
Atridis, quibus te ad talia facta ministrum præbes.
Et tu quidem dolo usus, ac necessitate coactus
Navigasti cum illis : me verò infelicissimum
Sponte navigantem, ac septem navium ducem,
Contem-

οἵδ' ἐν βίᾳ μ' ἄξουσιν; Οδ. Ἢν μὴ ἕρπῃς ἑκών.
Φιλ. Ὦ Λημνία χθὼν, καὶ τὸ παγκρατὲς σέλας
ἡφαιστότευκτον· ταῦτα δῆτ' ἀνασχετὰ,
εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;
Οδ. Ζεύς ἐσθ' (ἵν' εἰδῇς) Ζεὺς ὁ τῆσδε γῆς κρατῶν,
Ζεὺς, ᾧ δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ.
Φιλ. Ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν,
θεοὺς προτείνων, τοὺς θεοὺς ψευδεῖς τιθεῖς.
Οδ. Οὐκ· ἀλλ' ἀληθεῖς· ἡ δ' ὁδὸς πορευτέα.
Φιλ. Οὔ φημ' ἔγωγε. Οδ. Φημί· πειστέον τάδε.
Φιλ. Οἴμοι τάλας· ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ' ἐξέφυσεν, οὐδ' ἐλευθέρους.
Οδ. Οὐκ· ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ, καὶ κατασκάψαι βίᾳ.
Φιλ. Οὐδέποτέ γ'· οὐδ' ἢν χρή με πᾶν παθεῖν κακὸν,
ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον.
Νε. Τί δ' ἐργασείεις;
Φιλ. Κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.
Οδ. Ξυλλάβετε τοῦτον· μὴ 'πὶ τῷδ' ἔστω τάδε.
Φιλ. Ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης
νευρᾶς, ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
ὦ μηδὲν ὑγιὲς, μηδ' ἐλεύθερον φρονῶν·
οἷός μ' ὑπῆλθες· ὥς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοὶ,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ.
ὃς οὐδὲν ᾔδει πλὴν τὸ προσταχθὲν ποιεῖν.
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς τ' αὐτὸς ἐξήμαρτεν, οἷς τ' ἐγὼ 'παθον;
ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυῆ τ' ὄντα, κοὐ θέλονθ', ὅμως
εὖ προυδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
καὶ νῦν δέ μ' ὦ δύστηνε συνδήσας, νοεῖς
ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προὔβαλες
ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρόν.
φεῦ· ὄλοιο· καί σοι πολλάκις τόδ' ηὐξάμην.
ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι.
σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὔθ', ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας,
γελώμενος πρὸς σοῦ τε καὶ τῶν Ἀτρέως
διπλῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
καί τοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγεὶς,
ἔπλεις ἅμ' αὐτοῖς· ἐμὲ δὲ τὸν πανάθλιον
ἑκόντα πλεύσανθ' ἑπτὰ ναυσὶ ναυβάτην,

Cō:ēpt.abjecer.illi,ut tu dicis,ipſi v. te autor.eſſe dicūt.
Nūc ergo q.eſt,q.me ducit. cur abducit. quā ob causā?
Q i nihil ſū,quódq;ad vos attinet, jā olim mortuus ſum.
Quare ô Diis immortalibus inviſe, nunc tibi non ſum
Claudus?gravit. olēs?quomodo Diis vovebit. me ſimul
Navigāte, ſacra vos incēſuros eſſe? quomodo libabitis
Hoc enim pretextu me abjiciebas? (amplius.
Malè pereatis, pereatis, qui injuria me affeciſtis,
Si modo Dii ſunt juſti vindices.
Sed ſcio quòd ſunt, alioqui non unquam huc
Navigaſſetis propter virum miſerum,
Niſi ſtimulus aliquis divinitus, mea cauſa vos urgeret.
Sed ô patria terra, Diique inſpectores
Punite punite tandem,
Ipſos omnes: ſi quid vos miſeret mei,
Qui tam miſerabiliter vivo. utinam ipſos periiſſe
Viderem, tum me etiam morbo liberatum putarem.
Cho. Vehemens eſt hoſpes, & vehementem orationem
Dixit, nec cedit malis.
Uly. Multa reſpondere poſſem ad hujus ſermonem,
Si mihi concedat, nunc verò unum eſt quod dicam:
Talis ego ſum, ubi tempus poſtulat,
Ubi verò judicium fit de juſtis & bonis viris,
Non ullum magis pium me inveneris.
Vincere ſoleo, ubicunque uſus eſt,
Præterquam apud te: nunc igitur volens cedam tibi,
Dimittite eum, nec attingatis amplius,
Sinite ipſum manere: nō enim opus eſt,ut te adduçāus,
Cùm arma hæc nobis ſint: adeſt enim nobis
Teucer, qui hanc artem tenet.
Egóque adeò, qui me puto non deterius poſſe
Hæc arma tractare, aut dirigere manu,
Quid opus eſt te? Vale tu, atque hîc Lemnum calca,
Nos ibimus, fortè mihi tuum munus,
Honorem pariet qui tibi debebatur.
Phil. Hei mihi, quid faciam infœlix? Tune meis
Armis ornatus, in exercitu Græcorum te oſtentabis?
Uly. Ne quid amplius reſpondeas, jam enim proficiſcor.
Phil. O fili Achillis, an tu non amplius
Mihi reſpondes, ſed ita abis?
Uly. Abi tu,neque hunc reſpicias, & ſi generoſus es,
Ne nobis hanc noſtram fortunam corrumpas,
Phil. An & à vobis, hoſpites, ita deſertus
Relinquar jam? nec vos miſerebit mei?

Hic

ἄτιμον ἐκβαλεῖν, ὡς σὺ φῄς· κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγετε; τοῦ χάριν;
ὃς οὐδέν εἰμι, καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς ὦ θεοῖς ἔχθιστε νῦν οὐκ εἰμί σοι
χωλός, δυσώδης· πῶς θεοῖς εὔξεσθ', ἐμοῦ
πλεύσαντος, αἴθειν ἱερά; πῶς σπένδειν ἔτι;
αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
κακῶς ὄλοισθ'· ὄλοισθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδά γ' ὡς μέλει γ'· ἐπεὶ οὔτ' ἂν στόλον
ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς ἐμοῦ.
ἀλλ' ὦ πατρῴα γῆ, θεοί τ' ἐπόψιοι,
τίσασθε, τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ
ξύμπαντας αὐτούς, εἴ τι κἄμ' οἰκτείρετε,
ὡς ζῶ μὲν οἰκτρῶς· εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.

Χο. Βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ' Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.

Ὀδ. Πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου.
οὗ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾶν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν,
πλὴν εἰς σέ· νῦν δὲ σοί γ' ἑκὼν ἐκστήσομαι.
ἄφετε γὰρ αὐτόν, μηδὲ προσψαύσητ' ἔτι.
ἐᾶτε μίμνειν· οὐδὲ σοῦ προσχρῄζομεν,
τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεστι μὲν
Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπιστήμην ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν
τούτων κρατύνειν, μηδ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
ἡμεῖς δ' ἴωμεν· καὶ τάχ' ἂν τὸ σὸν γέρας
τιμὴν ἐμοὶ νείμειεν ἣν σὲ χρῆν ἔχειν.

Φιλ. Οἴμοι· τί δράσω δύσμορος; σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανῇ;

Ὀδ. Μή μ' ἀντιφώνει μηδέν, ὡς στείχοντα δή.

Φιλ. Ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτός, ἀλλ' οὕτως ἄπει;

Ὀδ. Χώρει σύ· μὴ πρόσλευσσε, γενναῖός περ ὢν,
ἡμῶν, ὅπως μὴ τὴν τύχην διαφθερεῖς.

Φιλ. Ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος ὦ ξένοι
λειφθήσομ' ἤδη, κοὐκ ἐποικτερεῖτέ με;

Cho. Hic est gubernator noster,
Quæcunq; ille dicit, eadem tibi & nos dicimus.
Neo. Accusabor, quòd sim misericors,
Ab Ulysse, attamen manete, si huic videtur.
Tantisper, donec res è navi
Componant nautæ, & Diis sacrum faciamus,
Fortasse interea hic mentem mutabit
In melius, nósque navim deinde solvemus.
Vos ergo, cùm vocabimus, venietis celeriter.

ANTISTROPHICA. Strophe 1.

Phil. O cavæ rupis antrum
Calidum, & glaciale, Non te
Unquam debeo miser
Relinquere, sed mihi
Etiam morienti inservies,
Hei mihi.
O sedes plenissima
Doloris mei, misera,
Quid de me fiet his diebus?
Quem tandem habebo
Nutritium miser? qua spe victitabo?
Utinam per sublimem aërem
Magnæ volucres vehementi vento
Abripiant me: non enim amplius sustentare me queo.

STROPHE 2.

Cho. Tu ipse tibi accersis
Hoc malum, infelix,
Non aliunde infestaris calamitate,
Nec ab aliquo potentiore.
Cùm enim tibi liceret rectius sapere,
Ac fortuna meliore uti, maluisti
Habere deterius.

ANTISTROPHE 1.

Phil. O me miserum, Qui nunc
Dolore confectus, ac omnium
Hominum destitutus consortio,

In

Χο. Ὅδ᾽ ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς· ὅσ᾽ ἂν
οὗτος λέγῃ σοὶ, ταῦτά σοι χ᾽ ἡμεῖς φαμέν.
Νε. Ἀκούσομαι μὲν ὡς ἔχω οἴκτου πλέως
πρὸς τοῦδ᾽· ὅμως δὲ μείνατ᾽, εἰ τούτῳ δοκεῖ,
χρόνον τοσοῦτον εἰς ὅσον τά τ᾽ ἐκ νεὼς
στείλωσι ναῦται, καὶ θεοῖς εὐξώμεθα.
χ᾽ οὗτος τάχ᾽ ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῴω τιν᾽ ἡμῖν· νὼ μὲν οὖν ὁρμώμεθον·
ὑμεῖς δ᾽, ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. Στροφὴ α΄.

Φιλ. 1 Ὦ κοίλας πέτρας γύαλον
2 θερμόν τε καὶ παγετῶδες, ὥς
3 σ᾽ οὐκ ἔμελλον ἄρ᾽ ὦ τάλας
4 λείψειν οὐδέποτ᾽, ἀλλά μοι
5 καὶ θνήσκοντι συνοίσῃ.
6 ὤ μοι μοι μοι.
7 ὦ πληρέστατον αὔλιον
8 λύπας τᾶς ἀπ᾽ ἐμοῦ τάλαν·
9 τί ποτ᾽ αὖ μοι τὸ κατ᾽ ἦμαρ
10 ἔσται; τοῦ ποτε τεύξομαι
11 σιτονόμου μέλεος; πόθεν ἐλπίδος;
12 εἴθ᾽ αἰθέρος ἄνω
13 πτωκάδες ὀξυτόνου διὰ πνεύματος
14 ἕλωσί μ᾽· οὐ γὰρ ἔτ᾽ ἰσχύω.

ΣΤΡΟΦΗ β΄.

Cho.
1 Σύ τοι, σύ τοι κατηξίω-
2 σας ὦ βαρύποτμε·
3 οὐκ ἄλλοθεν ἔχει τύχα
4 τᾷδ᾽ ἀπὸ μείζονος·
5 εὖτέ γε παρὸν φρονῆσαι
6 τοῦ λῴονος δαίμονος
7 εἵλου τὸ κάκιον ἑλεῖν.

ΑΝΤΙΣΤΡΟΦΗ α΄.

Φιλ. 1 Ὦ τλάμων τλάμων ἄρ᾽ ἐγὼ,
2 καὶ μόχθῳ λωβατὸς, ὃς ἤ-
3 δη μετ᾽ οὐδενὸς ὕστερον

In antro hîc miser
Habitans moriar.
Non cibum amplius habebo.
Non volucres meo arcu
Robustis manibus
Feriam: sed improvisa
Atq; insidiosa fraus dolosæ mentis me circumvenit.
Utinam videam illum,
Qui ista machinatus est, tanto tempore
Meos dolores sustinere.

ANTISTROPHE 2.

Cho. Fatum te Deorum
Non dolus cepit
Mearum manuum, tristem
Omitte atque ominosam
Imprecationem adversus alios:
Nam & mihi hoc curæ est,
Ne benevolentiam repellas.

STROPHE 3.

Phil. Hei mihi, nunc alicubi in cani
Maris littore sedens
Me deridet, manu quatiens,
Meum infelicis victum,
Quo nemo unquam potitus est.
O chare arcus, éque charis
Manibus extorte,
Certe nunc indignaris, si quid mentis
Habes, quòd Herculis
Miles non amplius
Posthac te gestabit,
Sed mutato Domino,
Manibus fraudulenti viri tractaris,
Videns turpes dolos,
Virúmque odiosum, & inimicum mihi,
Qui natus ex turpi familia, innumerabilia
Contra me mala fecit.

4 ἀνδρῶν εἰσοπίσω τάλας
5 ναίων ἐνθάδ᾽ ὀλοῦμαι.
6 (αἶ αἶ αἶ αἶ)
7 οὐ φορβὰν ἔτι προσφέρων,
8 οὐ πτανῶν ἀπ᾽ ἐμῶν ὅπλων
9 κραταιαῖς μετὰ χερσὶν
10 ἴσχων· ἀλλά μοι ἄσκοπα
11 κρυπτά τ᾽ ἔπη δολερᾶς ὑπέδυ φρενός.
12 ἴδοιμι δέ γέ νιν
13 τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
14 ἐμὰς λαχόντ᾽ ἀνίας τάσδε.-

ΑΝΤΙΣΤΡΟΦΗ β΄.

Χο. 1 Πότμος σε δαιμόνων τάδε,
2 οὐδέ σέ γε δόλος ἔσχ᾽ ὑπὸ
3 χειρὸς ἐμᾶς· στυγερὰν
4 ἔχε δύσποτμον
5 ἀρὰν ἀρὰν ἐπ᾽ ἄλλοις.
6 καὶ γὰρ ἐμοὶ τοῦτο μέλει
7 μὴ φιλότητ᾽ ἀπώσῃ.-

ΣΤΡΟΦΗ γ΄.

Φιλ. 1 Οἴμοι μοι· καί που πολιᾶς
2 πόντου θινὸς ἐφήμενος
3 γελᾷ με, χερὶ πάλλων
4 τὰν ἐμὰν μελέου τροφάν,
5 τὰν οὐδεὶς πώποτ᾽ ἐβάστασεν.
6 ὦ τόξον φίλων, ὦ φίλων
7 χερῶν ἐκβεβιασμένον,
8 ἦ που ἐλεεινὸν ὁρᾷς, φρένας εἴ τινας
9 ἴσχεις, τὸν Ἡράκλειον
10 ἄεθλον ὧδέ σοι
11 οὐκέτι χρησόμενον τὸ μεθύστερον,
12 ἀλλ᾽ ἐν μεταλλαγᾷ
13 πολυμηχάνου ἀνδρὸς ἐρέσσῃ,
14 ὁρῶν μὲν αἰσχρὰς ἀπάτας,
15 στυγνόν τε φῶτ᾽ ἐχθοδοπὸν
16 μυρί᾽ ἀπ᾽ αἰσχρῶν ἀνατέλλον-
17 θ᾽ ὅσ᾽ ἐφ᾽ ἡμῖν κάκ᾽ ἐμήσατ᾽ ὀδυσσεύς.

ΣΤΡΟΦΗ

STROPHE 4.

Cho. Boni viri est verum dicere,
Et cùm quis alius dicit, non invidiosum
Linguæ dolorem exprimere.
Neoptolemus unus ab exercitu
Ad hoc peragendum constitutus, consilio Ulyssis
Commune auxilium sociis comparavit.

ANTISTROPHE 3.

Phil. O volucrum præda, ô fulvarum
Ferarum gentes, quæ habitatis
In his montibus,
Non est ut amplius ab hoc antro
Refugiatis: non enim amplius manibus teneo
Telorum robur, quod fuit prius.
Heu quàm miser nunc sum.
Nunc iste locus est absque custodia,
Nec amplius vobis metuendus.
Accedite nunc, ut pulchrè
Vicissim me occidendo, pascamini ad satietatem
Carnibus meis variis:
Nam statim vitam relinquam.
Unde enim mihi victus erit?
Quis aëre victitare potest?
Quum prorsus nihil habeat,
Quos terra nutrix præbet.

ANTISTROPHE 4.

Cho. Per Deum, si colis hospites, benevolè
Cum Neoptolemo agas, qui ad te accessit.
Et hoc scito, quòd tibi
Hanc calamitatem effugere licet.
Qui miserè victitare mavult, & ingentem
Dolorem assiduè sustinere, stultus est.

ΣΤΡΟΦΗ δ'.

Χο. 1 Ἀνδρός τοι τὸ μὲν εὖ, δίκαιον εἰπεῖν.
2 εἰπόντος δὲ, μὴ φθονερὰν
3 ἐξῶσαι γλώσσας ὀδύναν,
4 κεῖνος δ' εἷς ἀπὸ πολλῶν
5 ταχθεὶς, τῶνδ' ἐφημοσύνᾳ
6 κοινὰν ἤνυσεν
7 ἐς φίλους ἀρωγάν.

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Φιλ. 1 Ὦ πταναὶ θῆραι, χαροπῶν
2 τ' ἔθνη θηρῶν, οὓς ὅδ' ἔχει
3 χῶρος οὐρεσιβώτας,
4 φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων
5 πελᾶτ', οὐ γὰρ ἔχω χεροῖν
6 τὰν πρόσθεν βελέων ἀλκάν,
7 ὦ δύστανος ἐγὼ τανῦν·
8 ἀλλ' ἀνέδην ὅδε χῶρος ἐρύκεται,
9 οὐκέτι φοβητὸς ὑμῖν.
10 ἕρπετε νῦν καλὸν,
11 ἀντίφονον κορέσαι στόμα πρὸς χάριν
12 τᾶς δ' αἰόλας σαρκός.
13 ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
14 πόθεν γὰρ ἔσται βιοτά;
15 τίς ὧδ' ἐν αὔραις τρέφεται,
16 μηκέτι μηδενὸς κρατύνων
17 ὅσα πέμπει βιόδωρος αἶα;

ΑΝΤΙΣΤΡΟΦΗ δ'.

Χο. 1 Πρὸς θεῶν εἴ τι σέβῃ ξένον πέλασσον
2 εὐνοίᾳ πάσᾳ πελάταν.
3 ἀλλὰ γνῶθ' εὖ γνῶθ', ὅτι σοὶ
4 κῆρα τάνδ' ἀποφυγεῖν.
5 οἰκτρὰ γὰρ βόσκειν· ἀδαὴς
1 δ' ἔχειν μυρίον
7 ἄχθος ᾧ ξυνοικεῖ.

ΜΟΝΟ-

MONOSTROPHICA.

Phil. Rursum memoriam veteris doloris
Renovas, optime hospes.
Quare me enecas? quare ista facis?
Cho. Cur ita dicis?
Phil. An tu ad invisam mihi
Trojam, me abducturum speras?
Cho. Hoc enim judico esse optimum.
Phil. Jam me relinquite.
Cho. Rem gratam mandas,
Ac volens faciam,
Eamus ergo, ad navim, sicut nobis constitutum est.
Phil. Ne per Jovem te obtestor, abeas.
Cho. Sis ergo moderatior.
Phil. O hospites manete per Deum vos oro.
Cho. Quid vociferaris?
Phil. Hei mihi: ô miseram meam fortunam,
Perii infoelix.
O pes, pes, quomodo
Te posthac sustinebo?
O hospites, redite quæso.
Cho. Quid facturi sumus aliud
Quàm, quod antea ostendisti?
Phil. Non indignè ferendum est,
Cùm quis præ magnitudine doloris,
Desipiens vociferatur.
Cho. Eas ergo nobiscum ut jubemus.
Phil. Nequaquam: scias hoc esse ratum,
Neque si Jupiter igne
Fulminis me feriat, facturus sim,
Pereat Ilium, & simul omnes
Qui ibi bellum gerunt, qui non sunt veriti
Me propter morbum pedis abjicere.
Sed hospites, unum vos oro.
Cho. Quid hoc est? **Phil.** Si gladius vobis est,
Aut aliud teli genus afferte mihi.
Cho. Quam cædem
Facere paras?
Phil. Caput ac pedem amputabo,
Morbus enim ad cædem me impellit: **Cho.** Quid ita?
Phil. Patrem meum requiram. **Cho.** Ubi nam?
Phil. Apud inferos, non enim

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Φιλ. Πάλιν πάλιν παλαιὸν
ἄλγημ' ὑπέμνασάς με
ὦ λῷστε τῶν πρὶν ἐντόπων.
τί μ' ὤλεσας; τί μ' εἴργασαι;
Χο. Τί τοῦτ' ἔλεξας;
Φιλ. Εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
τρῳάδα γᾶν ἤλπισάς μ' ἄξειν.
Χο. Τόδε γὰρ νοῶ κράτιστον.
Φιλ. Ἀπό νύν με λείπετ' ἤδη.
Χο. Φίλα μοι, φίλα ταῦτα
παρήγγειλας ἑκόντι τε πράσσειν.
ἴωμεν, ἴωμεν ναὸς ἵν' ἡμῖν τέτακται.
Φιλ. Μὴ πρὸς ἀραίου Διὸς ἔλθῃς ἱκετεύω.
Χο. Μετρίαζε.
Φιλ. Ω ξένοι, μείνατε πρὸς θεῶν.
Χο. Τί θροεῖς;
Φιλ. Αἶ αἶ αἶ αἶ· δαίμων, δαίμων,
ἀπόλωλ' ὦ τάλας.
ὦ πούς, πούς, τί σ' ἔτ' ἐν βίῳ
τεύξω τὸ μετόπιν τάλας;
ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις.
Χο. Τί ῥέξοντες ἀλλοκότῳ γνώμᾳ
τῶν πάρος ὧν προὔφανες;
Φιλ. Οὔτοι νεμεσητὸν
ἀλύοντα χειμερίῳ λύπᾳ,
καὶ παρὰ νοῦν θροεῖν.
Χο. Βᾶθί νυν ὦ τάλαν, ὥς σε κελεύομεν.
Φιλ. Οὐδέποτ', οὐδέποτ' (ἴσθι τόδ' ἔμπεδον.)
οὐδ' εἰ πυρφόρος ἀστεροπητὰς
βρονταῖς αὐταῖς μ' εἶσι φλογίζων.
ἐρρέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνῳ
πάντες, ὅσοι τόδ' ἔτλασαν ἐμοῦ ποδὸς
ἄρθρον ἀπῶσαι· ἀλλ' ὦ ξένοι, ἕν γέ μοι
εὖχος ὀρέξατε.
Χο. Ποῖον ἐρεῖς τόδ' ἔπος; Φιλ. Ξίφος εἴ ποθεν,
ἢ γένυν, ἢ βελέων τι, προπέμψατε.
Χο. Ὡς τίνα ῥέξῃς παλάμαν ποτέ;
Φιλ. Κρᾶτ' ἀπὸ πάντα καὶ ἄρθρα τέμω χερί.
φονᾷ, φονᾷ νόος ἤδη. Χο. Τί ποτε;
Φιλ. Πατέρα ματεύων. Χο. Ποῖ γᾶς;
Φιλ. Εἰς ᾅδου· οὐ γὰρ ἐς ἐν φάει γ' ἔτι.

ὦ πόλις,

Vivit amplius.
O urbs patria,
Utinam te infœlix
Aspicerem, qui relictis sacris tuis
Inimicissimus Græcis auxilio profectus sum, Perii.

IAMBI.

Cho. Ego jampridem ad navim nostram
Abîssem, nisi Ulyssem, & filium Achillis
Huc ad nos venire vidissem.
Uly. Non dices quamobrem ita sedulo
Huc reverti properes?
Neo. Expiabo ea quæ prius peccavi.
Uly. Rem atrocem narras. Quid verò peccati est?
Neo. Fui tibi obtemperans, & universo exercitui.
Uly. Quid ergo fecisti, quod non decuit?
Neo. Turpi fraude ac dolo virum decepi.
Uyl. Quem nam? Hei mihi: num aliquid cogitas novi?
Neo. Nihil novi, sed Philoctetæ.
Uyl. Quam rem facies? Quàm me incessit metus.
Neo. A quo enim accepi hos arcus, eidem rursum.
Uly. O Jupiter, quid ais? an reddere cogitas?
Neo. Turpiter enim, & non juste adeptus.
Uly. Per Deum, num ista joco dicis?
Neo. Si jocus est vera dicere:
Uly. Quid ais? quid dixisti?
Neo. Bis eundem ac ter me vis iterare sermonem?
Uly. Utinam ne semel quidem audissem.
Neo. Planè igitur scias, rem totam audisti.
Uly. Est aliquis qui te prohibebit hoc facere.
Neo. Quid ais? quis est prohibiturus?
Uly. Totus exercitus, & ego.
Neo. Sapiens cùm sis, non sapienter loqueris:
Uly. Tu verò neque loqueris sapienter, nec facere poteras.
Neo. Quid si justa sunt meliora quàm callidè cogitata?
Uly. Quomodo justum est te reddere ea (commisi,
Quæ consilio meo adeptus es? *Neo.* Peccatum turpe
Id sarcire conabor.
Uly. An non times exercitum Græcorum?
Neo. Cùm justè agam, non est ut metuam sicut tu,
Nec tuis manibus confido, ut hoc facient.
Uly. Non cum Trojanis ergo, sed tecum pugnabimus
Neo. Fiat sanè quod futurum est. *Uly.* Dextra me videt

Gladii

ὦ πόλις, ὦ πόλις πατρία,
πῶς ἂν εἰσίδοιμί σ'; ἄθλιός γ' ἀνήρ·
ὅς γε σὰν λιπὼν ἱερὰν λιβάδ', ἐχθροῖς ἔβαν
Δαναοῖς ἀρωγὸς, ἔτ' οὐδέν εἰμι.

ΙΑΜΒΟΙ.

Χο. Εγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχοντα, τόν τ' Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.
Οδ. Ουκ ἂν φράσειας ἥντιν' αὖ παλίντροπος
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
Νε. Λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
Οδ. Δεινόν γε φωνεῖς· ἡ δ' ἁμαρτία τίς ἦν;
Νε. Ην σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ.
Οδ. Επραξας ἔργον ποῖον ὧν οὔ σοι πρέπον;
Νε. Απάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.
Οδ. Τὸ ποῖον; ὤμοι· μῶν τι βουλεύῃ νέον;
Νε. Νέον μὲν οὐδὲν, τῷ δὲ Ποίαντος τόκῳ.
Οδ. Τί χρῆμα δράσεις; ὥς μ' ὑπῆλθέ τις φόβος.
Νε. Παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ' αὖθις πάλιν.
Οδ. Ω Ζεῦ, τί λέξεις; οὔ τί που δοῦναι νοεῖς;
Νε. Αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.
Οδ. Πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;
Νε. Εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.
Οδ. Τί φῂς Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;
Νε. Δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;
Οδ. Αρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.
Νε. Εὖ νῦν ἐπίστω πάντ' ἀκηκοὼς λόγον.
Οδ. Εστιν τις ἔστιν, ὅς σε κωλύσει τὸ δρᾶν.
Νε. Τί φῄς; τίς ἔσται μ' οὑπικωλύσων τάδε;
Οδ. Ξύμπας Ἀχαιῶν λαός· ἐν δὲ τοῖσδ' ἐγώ.
Νε. Σοφὸς πεφυκὼς, οὐδὲν ἐξαυδᾷς σοφόν.
Οδ. Σὺ δ' οὔτε φωνεῖς, οὔτε δρασείεις σοφόν.
Νε. Αλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
Οδ. Καὶ πῶς δίκαιον, ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς,
πάλιν μεθεῖναι ταῦτα; Νε. Τὴν ἁμαρτίαν
αἰσχρὰν ἁμαρτὼν, ἀναλαβεῖν πειράσομαι.
Οδ. Στρατὸν δ' Ἀχαιῶν οὐ φοβῇ πράσσων τάδε;
Νε. Ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.
ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν.
Οδ. Οὔτ' ἄρα Τρωσὶν ἀλλά σοι μαχούμεθα.
Νε. Εστω τὸ μέλλον. Οδ. Χεῖρα δεξιὰν ὁρᾷς

κώπης

Gladii capulum tenere. *Neo.* Et me videbis
Idem facturum esse, nec cunctaturum.
Uly. Jam igitur te sinam, totique exercitui
Ista dicam, cui pœnas dabis.
Neo. Sapis, & hoc modo si sapies in posterum,
Poteris absque lachrymis exigere vitam.
Tu verò, ô fili Pæantis,
Egredere, relicto hoc antro.
Phil. Quid turbæ aut clamoris est ante antrum?
Quid me evocatis? quâ re opus est vobis hospites?
Hei mihi quid hoc est mali? An mihi rursum
Aliquid magni mali adhuc affertis?
Neo. Bonum animum habe, atque audi quid tibi dicam.
Phil. Timeo. Nam & prius per sermones blandos
Incidi in miseriam, cùm tibi obtemperarem,
Neo. An non est pœnitentiæ locus?
Phil. Talem te fingebas etiam antea, cùm mihi (tim noceres.
Arcũ insidiis eriperes, ut tibi crederem, cùm mihi fur-
Neo. Non nunc hoc ago, sed te scire cupio,
Utrum tibi decretum sit hîc perdurare,
An nobiscum navigare? *Phil.* Desine, ne dicas ulterius,
Frustra enim verba feceris,
Neo. Siccine est sententia? *Phil.* Magis firmiter, quàm ut
dici queat.
Neo. Ego vero hoc agebam, ut tibi persuaderem verbis:
Quòd si tibi minus opportunè
Videor dicere, desinã. *Phil.* Frustra enim dixeris omnia:
Neque animum meum benevolum tibi habebis,
Qui mihi dolo victum abstulisti:
Nunc venis tanquam moniturus,
Optimi patris, inimicissime fili.
Pereatis, primum omnium Atridæ, deinde
Ulysses & tu. *Neo.* Ne impreceris ulterius,
Sed accipe de manu mea hæc tela.
Phil. Quid ais? an denuo decipior?
Neo. Juro per sancti Jovis summum numen.
Phil. O quam grata mihi dicis si modo vera dicis,
Neo. Res manifesta declarabit, sed dexteram
Porrige, ac tua arma recipe.
Uly. Ego verò contradico, Dii sint testes,
Nomine Atridarum, ac totius exercitus.
Phil Fili, cujus hæc est vox? nunquid Ulyssem audio?
Uly. Certò scias & quidem prope cernis
Qui te ad Trojam vi ducam,

Sive

κώπης ἐπιψαύουσ'; Νε. Ἀλλὰ κἀμέ τοι
ταὐτὸν τόδ' ὄψει δρῶντα, κοὐ μέλλοντ' ἔτι.
Οδ. Καίτοι σ' ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ
λέξω τάδ' ἐλθών, ὅς σε τιμωρήσεται.
Νε. Ἐσωφρόνησας· κἂν τὰ λοίφ' οὕτω φρονῇς,
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
σὺ δ' ὦ Ποίαντος παῖ, (Φιλοκτήτην λέγω)
ἔξελθ' ἀμείψας τάσδε πετρήρεις στέγας.
Φιλ. Τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
τί μ' ἐκκαλεῖσθε; τοῦ κεχρημένοι ξένοι;
ὤμοι· κακὸν τὸ χρῆμα· μῶν τί μοι μέγα
πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν;
Νε. Θάρσει· λόγους δ' ἄκουσον οὓς ἥκω φέρων.
Φιλ. Δέδοικ' ἔγωγε· καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
καλῶν κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.
Νε. Οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;
Φιλ. Τοιοῦτος ἦσθα τοῖς λόγοισι, χὤτε μου
τὰ τόξ' ἔκλεπτες, πιστός, ἀτηρὸς λάθρα.
Νε. Ἀλλ' οὔ τι μὴν νῦν· βούλομαι δέ σου κλύειν,
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν. Φιλ. Παῦε, μὴ λέξῃς πέρα.
μάτην γὰρ, ἃ 'ν εἴπῃς γε, πάντ' εἰρήσεται.
Νε. Οὕτω δέδοκται; Φιλ. Καὶ πέρα γ' ἴσθ' ἢ λέγω.
Νε. Ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι. Φιλ. Πάντα γὰρ φράσεις μάτην.
οὐ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κτήσῃ φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
ἀπεστέρηκας, κᾆτα νουθετεῖς ἐμὲ
ἐλθὼν ἀρίστου πατρὸς ἔχθιστος γεγώς.
ὄλοισθ' Ἀτρεῖδαι μὲν μάλιστ' ἔπειτα δὲ,
ὁ Λαρτίου παῖς, καὶ σύ. Νε. Μὴ 'πεύξῃ πέρα.
δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
Φιλ. Πῶς εἶπας; οὐκ ἄρα δεύτερον δολούμεθα;
Νε. Ἀπώμοσ' ἁγνοῦ Ζηνὸς ὑψίστου σέβας.
Φιλ. Ὦ φίλτατ' εἰπών, εἰ λέγεις ἐτήτυμα.
Νε. Τοὔργον παρέσται φανερόν· ἀλλὰ δεξιὰν
πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
Οδ. Ἐγὼ δ' ἀπαυδῶ γ', (ὡς θεοὶ ξυνίστορες)
ὑπέρ τ' Ἀτρειδῶν, τοῦ τε σύμπαντος στρατοῦ.
Φιλ. Τέκνον, τίνος φώνημα; μῶν Ὀδυσσέως
ἐπῃσθόμην;
Οδ. Σάφ' ἴσθι, καὶ πέλας γ' ὁρᾷς,
ὅς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βία,

Sive velit, sive nolit, filius Achillis.
Phil. At non gaudebis, si modo rectè hæc sagitta dirigetur.
Neo. Ac nequaquam, ne per Deum, ne mitte telum.
Phil. Sine manum meam, obsecro, charissime fili,
Neo. Non possum sinere.
Phil. Hei quare me hominem hostem
Atque inimicum non sinis occidere sagittis meis ?
Neo. Nec mihi hoc honestum foret, nec tibi.
Phil. Attamen, tam scias principes in exercitu
Græcorum ac præcones vanos, ignavos
Esse ad pugnam, quàm sint lingua feroces.
Neo. Sit sane, Arcum jam habes, neque est ut
Mihi succenseas, aut me accuses amplius :
Phil. Idem dico, indolem ostendisti, fili,
Qua natus es, non ex Sisypho patre,
Sed Achille, qui cum viveret inter omnes viventes
Optimè audiebat, nũc verò inter mortuos optimè audit
Neo. Gaudeo patrem meum à te laudari,
Méq; adeo : quid verò per te consequi cupiam, audi.
Quæ divinitus accidunt hominibus,
Ea necesse est ferre.
Qui verò volentes affliguntur,
Sicut tu, non sunt digni venia,
Neque cujusquam misericordia,
Tu ita efferatus es, ut consultorem non admittas :
Et cùm quis te animo benevolenti monet,
Statim odisti hostem ac infensum tibi esse existimans :
Attamen dicam, Jovémque advoco testem :
Tu verò hæc scito, atque in animo tuo scribito :
Hoc morbo enim affligeris divinitus,
Cùm accesseris ad anguem custodem, qui apertum
Delubrum occultè latens custodit.
Et remedium huic malo non unquam
Invenies, donec iste Sol
Hic oritur, atque illic vicissim occidit,
Priusquam ad Trojam profectus,
Æsculapii filios consequaris apud nos,
Quorum opera hoc morbo leveris, & Pergama
His telis unà mecum expugnes.
Unde verò sciam hæc ita esse, jam dicam.
Vir quidam Trojanus à nobis captus tenetur,
Helenus, eximius vates, qui clarè dicit,
Quomodo hæc geri oporteat. Et hoc præterea affirmat,
Quòd necesse sit hac æstate

Totam

ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ.
Φιλ. Ἀλλ' οὔ τι χαίρων, ἢν τόδ' ὀρθωθῇ βέλος.
Νε. Ἆ, μηδαμῶς· μὴ πρὸς θεῶν μεθῇς βέλος.
Φιλ. Μέθες με πρὸς θεῶν χεῖρα φίλτατον τέκνον.
Νε. Οὐκ ἂν μεθείην. Φιλ. Φεῦ τίν' ἄνδρα πολέμιον,
ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς;
Νε. Ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἐστὶ καλὸν, οὔτε σοί.
Φιλ. Ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
τοὺς τῶν Ἀχαιῶν ψευδοκήρυκας, κακοὺς
ὄντας πρὸς αἰχμὴν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
Νε. Εἶεν· τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅπου
ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ.
Φιλ. Ξύμφημι· τὴν φύσιν δ' ἔδειξας ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες· οὐχὶ Σισύφου πατρὸς,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ' ὅτ' ἦν,
ἤκου' ἄριστα, νῦν τε τῶν τεθνηκότων.
Νε. Ἥσθην πατέρα τε τὸν ἐμὸν εὐλογοῦντά σε,
αὐτόν τέ μ'· ὧν δέ σου τυχεῖν ἐφίεμαι,
ἄκουσον. ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίαισιν ἔγκεινται βλάβαις,
ὥσπερ σὺ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν, οὔτ' ἐποικτείρειν τινά.
σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχῃ,
ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω. Ζῆνα δ' ὅρκιον καλῶ·
καὶ ταῦτ' ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.
σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις·
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἐντυχεῖν
νόσου βαρείας, ὡς ἂν αὐτὸς ἥλιος
ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς·
καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν;
νόσου μαλαχθῇς τῆσδε, καὶ τὰ πέργαμα
ξὺν τοῖσδε τόξοις, ξύν τ' ἐμοὶ πέρσας φανῇς.
ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ', ἐγὼ φράσω.
ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλοὺς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους,

Totam Trojam capi: poteſtatémque nobis ultro
Sui occidendi facit, ſi mentitus ſit.
Quæ cùm ita ſint, ſponte concedas.
Pulcher theſaurus eſt, te unum ex Græcis (manu
Judicatum eſſe præſtantiſſimum. Primúmque medicum
Liberari morbo, deinde luctuoſa
Troja expugnata, ſummam conſequi gloriam.

Phil. O vita odioſa: cur me retines viventem,
Nec ſinis mori?
Hei mihi, quid faciam? quomodo diffidam ſermonibus
Hujus, qui benevolus me hortatur?
Cedam ne igitur? At quomodo poſthac lucem hanc
Aſpiciam, ſi fecero? Quem appellabo amplius?
Vos ô cœleſtes orbes, qui omnia aſpicitis,
Quomodo hoc ſuſtinebitis, ut ego cum Atrei
Filiis unà ſim, qui me perdiderunt,
Et cum ſcelerato Ulyſſe?
Non enim mihi tam dolent præterita,
Ut ea, quæ ab his adhuc patienda ſunt, (la eſt.
Quæ jã oculis prævidere videor: quibus enim mens ma-
Eos etiam ad alia ſcelera inſtruit.
Et ego te demiror.
Nam neq; teipſum unquam ad Trojam venire decebat,
Méq; ſi vellem, prohibere, cum te contumelia affecerint,
Ac paterno honore ſpoliaverint, eúmque infœlici
Ajaci, in judicio armorum, Ulyſſem
Præpoſuerint. His tu proficiſceris
Auxilium laturus, méque ut idem faciam impellit
Non fili, ſed me, quemadmodum mihi juraſti,
Deduc in patriam, atque ipſe in Scyro manens
Sine ſceleratos illos malè perire:
Ita duplicem à me gratiam inibis,
Et duplicem à patre, Nec malis opem ferens
Videberis ipſe quoque ſimilis horum eſſe.

Neo. Non aliena dicis, attamen te velim
Diis auſcultare, & meis ſermonibus,
Atque cum hoc amico unà ex hac terra navigare,

Phil. An ad Trojam & inimiciſſimum Atrei filium
Proficiſcar, iſto miſero pede?

Neo. Ad eos nempe, qui te atque hunc purulentum pedem
Dolore liberabunt, & incolumitatem tibi tribuent.

Phil. O triſtem ſermonem, quidnam dixiſti?

Neo. Id quod tibi mihíque honeſtum eſſe judico.

Phil. Et cùm iſta dicas, non te probro deos afficere putas?

Non

Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ' ἑκὼν
κτείνειν ἑαυτὸν, ἢν τάδε ψευδῆ λέγων.
ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων.
καλὴ γὰρ ἡ 'πίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον, τοῦτο μὲν παιωνίας
εἰς χεῖρας ἐλθεῖν· εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα, κλέος ὑπέρτατον λαβεῖν.
Φιλ. Ὦ στυγνὸς αἰὼν, τί με τί δῆτ' ἔχεις ἄνω
βλέποντα, κοὐκ ἀφῆκας εἰς ᾅδου μολεῖν;
οἴμοι· τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρῄνεσεν;
ἀλλ' εἰκάθω δῆτ'· εἶτα πῶς ὁ δύσμορος
εἰς φῶς τάδ' ἔρξας εἶμι; τῷ προσήγορος;
πῶς ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι,
ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισὶν, οἵ μ' ἀπώλεσαν.
πῶς τῷ πανώλει παιδὶ τοῦ Λαερτίου;
οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει·
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι,
δοκῶ προλεύσσειν· οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακά.
καὶ σοῦ δ' ἔγωγ' θαυμάσας ἔχω τάδε.
χρῆν γάρ σε μήτ' αὐτὸν ποτ' ἐς Τροίαν μολεῖν,
ἡμᾶς τ' ἀπείργειν, οἵ τε σοῦ καθύβρισαν
γέρας πατρὸς συλῶντες, οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ
Ὀδυσσέως ἔκριναν· εἶτα τοῖσδε σὺ
εἶ ξυμμαχήσων, κἄμ' ἀναγκάζεις τόδε;
μὴ δῆτα, τέκνον· ἀλλ' ἅ μοι ξυνώμοσας,
πέμψον πρὸς οἴκους· καὐτὸς ἐν Σκύρῳ μένων
ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς.
χοὕτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσῃ χάριν,
διπλῆν δὲ πατρός· κοὐ κακοὺς ἐπωφελῶν,
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.
Νε. Λέγεις μὲν εἰκότ'· ἀλλ' ὅμως σε βούλομαι
θεοῖς τε πιστεύσαντα, τοῖς τ' ἐμοῖς λόγοις,
φίλου μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.
Φιλ. Ἦ πρὸς τὰ Τροίας πεδία, καὶ τὸν Ἀτρέως
ἔχθιστον υἱὸν, τῷδε δυστήνῳ ποδί;
Νε. Πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἔμπυον βάσιν,
παύσοντας ἄλγους, κἀποσώζοντας νόσου.
Φιλ. Ὦ δεινὸν αἶνον αἰνέσας, τί φῂς ποτε;
Νε. Ἃ σοί τε κἀμοὶ κάλ' ὁρῶ τελούμενα.
Φιλ. Καὶ ταῦτα λέξας οὐ καταισχύνῃ θεούς;

Neo. Non probro afficio eos, quos juvo.
Phil. Utrum dicis, quod Atridis utile est, an quod mihi?
Neo. Ego tibi amicus sum, ideo talis est etiam mea oratio,
Phil. Quomodo amicus, cùm me hostibus vis prodere?
Neo. Amice, discas in rebus adversis non efferri.
Phil. Enecas intelligo sermonem tuum.
Neo. Ego verò dico te non intelligere.
Phil. Scio equidem, quòd Atridæ me abjecerunt.
Neo. Sed quid, si, qui abjecerũt, te iterum incolumẽ reddunt?
Phil. Non unquam volentem, ut Trojam aspiciam.
Neo. Quid igitur faciam: si tibi sermonibus
Nullis, quos dico, persuadere possum,
Proximum est ut desinam, téque sinam vivere.
Ita ut vivis, expertem salutis.
Phil. Sine me hæc pati, quæ me oportet pati,
Quod verò fide data promisisti mihi,
Nempe reductionẽ in patriã, id quæso effectum reddas,
Neque cuncteris, nec memineris amplius Trojæ.
Satis enim lachrymis mihi deplorata est.

THROCHÆI.

Neo. Eamus ergo, si videtur. *Phil.* O vocem præclaram.
Neo. Siste nunc pedem tuum. *Phil.* Quantum quidem potero.
Neo. Quomodo verò criminationem Græcorum effugiam?
Phil. Ne cures.
Neo. Quid si bello vastabunt regnũ meum? *Phil.* Ego adero,
Neo. Ad quam utilitatem? *Phil.* Sagittis Herculis,
Neo Quid dicis? *Phil.* Arcebo ipsos à patria tua.
Neo. Si igitur quod ais facturus es, veni, atq; osculare terrã.

ANAPAESTI.

Her. Nondum abeas, priusquam nostrum
Audias sermonem Philoctete,
Ac dicas te vocem Herculis
Auribus percipere, atque vultum aspicere,
Propter te enim venio
Cœlesti sede relicta,
Consilia Jovis tibi commemorabo,
Atque prohibebo, ne quò iturus eras, eas?
Quapropter sermones meos audi.

IAMBI

Νε. Πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελούμενος;
Φιλ. Λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τάδε;
Νε. Σοί που φίλος γ' ὤν, χὠ λόγος τοιός δέ μοι.
Φιλ. Πῶς, ὅς γε τοῖς ἐχθροῖσιν ἐκδοῦναι θέλεις;
Νε. Ὦ τᾶν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.
Φιλ. Ὀλεῖς με (γινώσκω σε) τοῖσδε τοῖς λόγοις.
Νε. Οὔκουν ἔγωγε· φημὶ δ' οὔ σε μανθάνειν.
Φιλ. Ἐγὼγ' Ἀτρείδας ἐκβαλόντας οἶδά με.
Νε. Ἀλλ' ἐκβαλόντες εἰ πάλιν σώσουσ' ὅρα.
Φιλ. Οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
Νε. Τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ' ἐν λόγοις
πείσειν δυνησόμεσθα μηδὲν ὧν λέγω;
ὡς ῥᾷστ' ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν ὥσπερ ἤδη ζῇς ἄνευ σωτηρίας.
Φιλ. Ἔα με πάσχειν ταῦθ' ἅπερ παθεῖν με δεῖ·
ἃ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
πέμψειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον τέκνον.
καὶ μὴ βράδυνε, μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας· ἅλις γάρ μοι τεθρύληται γόοις.

ΤΡΟΧΑΙΟΙ.

Νε. Εἰ δοκεῖ, στείχωμεν. Φιλ. Ὦ γενναῖον εἰρηκὼς ἔπος.
Νε. Ἀντέρειδε νῦν βάσιν σήν. Φιλ. Εἰς ὅσον γ' ἐγὼ σθένω.
Νε. Αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι; Φιλ. Μὴ φροντίσῃς.
Νε. Τί γάρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν; Φιλ. Ἐγὼ παρών,
Νε. (Τίνα προσωφέλησιν ἔρξεις;) Φιλ. Βέλεσι τοῖς Ἡρακλείοις,
Νε. (Πῶς λέγεις;) Φιλ. Εἴρξω πελάζειν σῆς γε τούτους τῆς πάτρας.
Νε. Εἴγε δρᾷς ταῦθ' ὥσπερ αὐδᾷς, στεῖχε προσκύσας χθόνα.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ηρ. Μήπω γε πρὶν ἂν τῶν ἡμετέρων
ἀΐῃς μύθων, παῖ Ποίαντος·
φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους
ἀκοῇ τε κλύειν, λεύσσειν τ' ὄψιν.
τὴν σὴν δ' ἥκω χάριν, οὐρανίας
ἕδρας προλιπών,
τὰ Διὸς φράσων βουλεύματά σοι,
κατερητύσων θ' ὁδὸν ἣν στέλλῃ.
σὺ δ' ἐμῶν μύθων ἐπάκουσον.

IAMBI.

Primum verò tibi fortunam meam exponam,
Quantis laboribus superatis atque exhaustis
Immortalem virtutem consecutus sum, sicut vides,
Et tibi, quod scias, destinatum est ista pati,
Ac per laborem adipisci gloriam.
Profectus cum hoc viro ad Trojam,
Primum hoc tristi morbo liberaberis,
Et principem locum virtute obtinens in exercitu,
Paridem, qui causa est horum malorum
Sagittis meis interficies.
Deinde Troja excisa spolia ad ædes paternas
Mittes, virtute parta, electa in exercitu
Pæanti patri ad OEtæam regionem.
Quæ verò ab exercitu accipies spolia
Monumenta mearum sagittarum, ea ad tumulum meum
Feres: Te porrò nate Achillis,
Moneo: Nam neque tu absque hoc vales
Trojam capere, nec iste sine te,
Sed veluti Leones duo simul pascentes, servate
Tu illum, iste verò te: Egóque Æsculapium
Mittam ad Ilium, qui te hoc morbo liberet.
Denuo enim ipsam oportet sagittis meis
Capi. Hoc verò memineritis, cùm terram
Vastabitis, ut Religionem tueamini:
Quia alia omnia posteriora ducit Jupiter.
Pietas enim simul moritur cum hominibus,
Et seu vivant seu moriantur nunquam interit.

ANAPÆSTI.

Phil. O quàm exoptatam vocem mihi misisti.
Et si post longum tempus appares,
Non recuso parere tuis consiliis.
Neo. Et ego eidem sententiæ subscribo:
Her. Ne igitur nunc diu cunctemini,
Opportuna enim navigatio
Urget atque à puppi instat.
Phil. Age ibo, ac terram hanc salutabo,
Vale ô domus, mea custodia,
Et Nymphæ humidæ pratorum,
Fragórque grandis è mari resonans,

ΙΑΜΒΟΙ.

καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
ὅσους πονήσας καὶ διεξελθὼν πόνους,
ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ' ὁρᾶν.
καὶ σοὶ (σάφ' ἴσθι) τοῦτ' ὀφείλεται παθεῖν,
ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον.
ἐλθὼν δὲ σὺν τῷδ' ἀνδρὶ πρὸς τὸ Τρωϊκὸν
πόλισμα, πρῶτον μὲν νόσου παύσῃ λυγρᾶς,
ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος,
Πάριν μέν, ὃς τῶνδ' αἴτιος κακῶν ἔφυ,
τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίου,
πέρσεις τε Τροίαν, σκῦλά τ' εἰς μέλαθρα σὰ
πέμψεις, ἀριστεῖ' ἐκλαβὼν στρατεύματος,
Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκα.
ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στρατοῦ,
τόξων ἐμῶν μνημεῖα πρὸς πυρὰν ἐμὴν
κόμιζε· καὶ σοὶ ταῦτ' Ἀχιλλέως τέκνον
παρῄνεσ'· οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις
ἑλεῖν τὸ Τροίας πεδίον, οὔθ' οὗτος σέθεν.
ἀλλ' ὡς λέοντε συννόμω φυλάσσετον,
οὗτος σὲ καὶ σὺ τόνδ'· ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
τόξοις ἁλῶναι· τοῦτο δ' ἐννοεῖσθ', ὅταν
πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς· ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς.
κἂν ζῶσι, κἂν θάνωσιν, οὐκ ἀπόλλυται.—

ΑΝΑΠΑΙΣΤΟΙ.

Φιλ. Ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,
χρόνιός τε φανείς,
οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.
Νε. Κἀγὼ γνώμῃ ταύτῃ τίθεμαι.
Ηρ. Μὴ νῦν χρόνιοι μέλλετε πράσσειν,
καιρὸς καὶ πλοῦς.
ὅδ' ἐπείγει γὰρ κατὰ πρύμναν.—
Φιλ. Φέρε νῦν στείχων, χώραν καλέσω.
χαῖρ' ὦ μέλαθρον ξύμφρουρον ἐμοί,
νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου προβλής,

Ubi sæpe meum maduit
Caput in antro imbribus austri,
Ac vocem meam sæpe
Hermæum promontorium iteravit
Repercusso gemitu, cùm tempestate affligerer.
Nunc vos ô fontes & aquæ dulces
Relinquo,
Quod nunquam ita fore existimavi.
Vale ô Lemnia terra maritima,
Méque dimitte prospero cursu,
Quò magna fatorum potentia vocat,
Et amicorum voluntas, & Deus omnipotens.
Qui hæc ita confecit.
Cho. Eamus ergo omnes unà
Precati Nymphas marinas,
Ut reditum fœlicem nobis concedant.

FINIS TRAGOEDIARUM

SOPHOCLIS.

οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη
κρᾶτ' ἐνδόμυχον πληγῇσι νότου,
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
ἕρμαιον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.
νῦν δ' ὦ κρῆναι γλύκιόν τε ποτὸν,
λείπομεν ὑμᾶς, λείπομεν ἤδη,
δόξης οὔποτε τῆσδ' ἐπιβάντες.
χαῖρ' ὦ λήμνου πέδον ἀμφίαλον,
καί μ' εὐπλοίᾳ πέμψον ἀμέμπτως,
ἔνθ' ἡ μεγάλη μοῖρα κομίζει,
γνώμη τε φίλων, χὠ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.-
Χο. Χωρῶμεν νῦν πάντες ἀολλέες,
νύμφαις ἁλίαισιν ἐπευξάμενοι,
νόστου σωτῆρας ἱκέσθαι.-

ΤΟΥ ΣΟΦΟΚΛΕΟΥΣ ΤΕΛΟΣ.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ
ΤΩΝ ΠΑΝΥ
ΔΟΚΙΜΩΝ,

Μετὰ καὶ τῶν τοῦ

ΤΡΙΚΛΙΝΙΟΥ
ΕΙΣ
ΣΟΦΟΚΛΕΟΥΣ

Ἑπτὰ Τραγῳδίας.




Ἐν τῇ Κανταβριγίᾳ.
Ἐξετυπώθη παρ' ΙΩΑΝΝΟΥ ΦΙΕΛΔΟΥ, τοῦ τῆς Ἀκαδημίας τυπογράφου. Ἔτει ἀπὸ τῆς Θεογονίας. α χ ξ η.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ
ΤΩΝ ΠΑΝΥ
ΔΟΚΙΜΩΝ.

Μετὰ καὶ τῶν τοῦ

ΤΡΙΚΛΙΝΙΟΥ
ΕΙΣ
ΣΟΦΟΚΛΕΟΥΣ
Ἑπτὰ Τραγῳδίας.



Ἐν τῇ Καντάβριγίᾳ.
Ἐξετυπώθη παρ' ΙΩΑΝΝΟΥ ΦΙΕΛΔΟΥ, τῷ τῆς Ἀκαδημίας τυπογράφῳ. Ἔτει ἀπὸ τῆς Θεογονίας, αχξε.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

Τῶν πάνυ δοκίμων εἰς

ΑΙΑΝΤΑ ΜΑΣΤΙΓΟΦΟΡΟΝ.

Pag. 1. l. 1. Παρέστιν Ὀδυσσεὺς ἐπὶ τὴν σκηνὴν, ἀγωνιῶν καὶ πολυπραγμονῶν, μή τι ἀπὸ ἐχθροῦ πάθῃ, πάντα δὲ τὰ τῆς ὑποθέσεως συντελικῶς ἐδήλωσεν ἐν τῷ προοιμίῳ, πρὸς τίνα ὁ λόγος, καὶ ποῦ ἡ σκηνὴ καὶ τί πράττει ὁ Ὀδυσσεύς. ἐν δὲ τῷ πειρᾶν τιν' ἐχθρῶν, λείπεται ἡ κατά. ἤδη ἴχνος τι κατέλιπε τῆς ὑποθέσεως, ὡς παρ' ἐχθρὸν ἥκει. δεῖ δὲ τὰ τῆς ὑποθέσεως συντακτικὰ εἶναι ἐν ἀρχῇ. Ἀεὶ ὁρῶ σε ὦ Ὀδυσσεῦ πεῖραν καὶ δόλῳ μετιόντα τῶν ἐχθρῶν πεῖρα δὲ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ, Οὐκ οἶδα τὴν σὴν πεῖραν· ἓν δ' ἐπίσταμαι. Τοῦ παιδὸς ὄντος τοῦ δ' ἐγὼ διόλλυμαι. Τὸ δ' ἀεὶ εἶπεν, ἀναφέρουσα εἰς ἐκεῖνο, ὅτι καὶ μετὰ Διομήδους κατάσκοπος γενόμενος ἐπὶ τῶν Τρώων, οὐκ ἔλαθεν αὐτήν· ὡς αὐτὸς μαρτυρῶν φησι, "Κλῦθί μοι αἰγιόχοιο Διὸς τέκος ἥτε "μοι αἰεὶ Ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω. Δυσχεραίνει δὲ ἡ Ἀθηνᾶ τῷ Αἴαντι, ὅτι ἀπώσατο τὴν συμμαχίαν αὐτῆς. Ἄλλως. Ἀεὶ ὁρῶ σε ὦ Ὀδυσσεῦ τὴν παρὰ τῶν ἐχθρῶν σοι γινομένην βλάβην ζητοῦντα προφθάσαι. ὅ ἐστι, ἐπιβουλεύει τις; σπουδάζεις τὴν ἐπιβουλὴν τὴν κατὰ σοῦ γινομένην αὐτὸς τῷ ἐπιβουλεύσαντι βλαβερὰν γενέσθαι ἐκ μεταφορᾶς τῶν κυνηγῶν, οἳ τὰ μικρὰ θηρία φονεύουσι, προφυλαττόμενοι τὴν ἐξ αὐτῶν ἐσομένην βλάβην. πεῖρα δὲ ἁπλῶς δόλος καὶ τέχνη. ὅθεν καὶ πειραταὶ, οἱ κατὰ θάλασσαν κακοῦργοι.

Λαρτίου κλητικὸν ἀντὶ κυρίου.

l. 2. Θηρώμενον] ἀντὶ τοῦ ἀνιχνεύοντα· ἐπήνεγκε καὶ τὰ ἄλλα μεταφορικῶς καὶ τὸ Μετρούμενον. ἀριθμοῦντα. ζητοῦντα. ἀκολουθοῦντα. τὰ ἴχνη τὰ ἐκείνου.

l. 6. Νεοχάρακθ'] εὐφυῶς. ἁρμόττει γὰρ νεωστὶ αἱ ἀποχαράξεις τῶν ζώων γίνονται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή. Νεοχάρακτα. νεωστὶ κεχαραγμένα. προσοχὴν δὲ ἐργάζεται τῷ ἀκροατῇ περὶ τῶν δηλωθησομένων.

l. 7. Εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον] οὐκ ἀναγκαῖον τὸ πολυπραγμονεῖν ἔτι εἰ ἔνδον ὁ Αἴας, ἔνδον γάρ. ἀλλὰ λέγε διότι τὴν σπουδὴν ταύτην ἔθου, ἵνα παρ' ἐμοῦ μάθῃς τὰ ἀγνοούμενά σοι.

Εὖ δέ σ' ἐκφέρει] ἔξω τῆς σκηνῆς τοῦ Αἴαντος ἐπάγεταί σε ἡ βάσις τοῦ Αἴαντος, δίκην κυνὸς εὐοσφρήτου, ἀπὸ τοῦ ἴχνους ζητοῦντα εἰ ἔνδον γέγονεν ὁ Αἴας. προσέλκονται γὰρ τοὺς κυνηγέτας αἱ κύνες ἐπὶ τὰ ἐπαγόμενα, παρ' ὃ καὶ ἐπακτῆρας θέλουσιν ἔνιοι αὐτοὺς καλεῖσθαι, ὡς ἐπαγομένους ὑπὸ τῶν κυνῶν. "Ὅμηρος, ὑπὸ δ' "ἄρ' αὐτῶν Ἴχνι' ἐρευνῶντες κύνες ἤισαν.

l. 12. Οὐδὲν ἔτ' ἔργον ἐστίν] ἀντὶ τοῦ οὐκ ἀναγκαῖόν ἐστιν.

l. 14. Ὦ φθέγμ' Ἀθάνας] καὶ τοῦτο ἄριστα πεποίηται. φθέγμα γὰρ εἶπεν ὡς μὴ θεασάμενος αὐτήν. δῆλον γὰρ ὡς οὐκ εἶδεν αὐτήν, ἐκ τοῦ, κἂν ἄποπτος ᾖς, τουτέστιν ἀόρατος.

l. 16. Καὶ ξυναρπάζω φρενί] ἤτοι ὀξέως συνίημι καὶ ἀντιλαμβάνομαι. τῆς δὲ φωνῆς μόνης αἰσθάνεται ὡς ἐκτὸς αὐτῆς οὔσης. ἔστι μέν τοι ἐπὶ τῆς σκηνῆς ἡ Ἀθηνᾶ. δεῖ γὰρ τοῦτο χαρίζεσθαι τῷ θεατῇ. προσθεραπεύει δὲ τὸν θεὸν ὁ Ὀδυσσεὺς, καὶ οὕτω λέγει τὰ Αἴαντος.

l. 17. Κώδωνος] ἡ κώδων θηλυκῶς, ἀττικῶς. κώδων δὲ καλεῖται τὸ πλατὺ τῆς σάλπιγγος. ἀπὸ μέρους δὲ τὴν σάλπιγγα φησί. πολλὰ δὲ εἴδη σαλπίγγων· εἰσὶ γὰρ λιβυστικαὶ σάλπιγγες, εἰσὶν αἰγύπτιοι, εἰσὶ τυρσηνικαί. πρῶτος δὲ Ἀρχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις, ἤγαγεν εἰς Ἕλληνας τὴν τυρ-

τυρσίωικιὼ σάλπιγγα, ὁ ἢ νοῦς, Καὶ ὥς τὸ φώνημα ἀκύω ἐξαιρέτως ὡς τυρσίωικῆς σάλπιγγ☉ ὀξυφωνοτάτης ὔσης. σακεσφόρος ἢ ὁ αἴας, ἀχ ἁπλῶς, ἀλλὰ καὶ ἐξοχίω. Ὅμηρος, " Αἴας δ' " ἐγγύθεν ἦλθε, φέρων σάκ☉ ἠΰτε " πύργον οἰκεῖον ἢ τῦτο τῦ αἴαντος.

l. 23. Τρανὲς] σαφὲς, ἀληθές. καλῶς ἢ τῦτο ἐποίησεν, ἵνα ἐπικρεμῆς ἢ ἔτι ἡ ὑπόθεσις, κ̀ τὸ ἄπιςον εἰς ἀμφίγνοιαν ἄγηται· διὸ ἐθελοντὴς τῦτον ὑπέςη τὸν κίνδυνον, ἵνα γνῶσι τἀληθὲς πάντων τίω αἰτίαν τῦ γεγονότος εἰς αὐτὸν ἀναγόντων.

Ἀλώμεθα] τῷ νῷ πλανώμεθα.

l. 26. Λείας ἁπάσας] τὰ ποίμνια τὰ βοσκήματα λείας φησίν. ἔνθεν κ̀ ληςὴς κτ̀ τὸ κύριον. " Ὅμηρος, Ληΐδας " τ' ἐκ πολλῶν συνηλάσαμεν.

Κατηναρισμένας] ἀνῃρημένας. τὸ γδ̀ σκυλεύειν, ἐναρίζειν. ἔτι τὰ ἔναρα, σκῦλα, παρὰ τὸ ἀφῃρῆσθαι, κ̀ ἐκτὸς αὐτῦ εἶναι ἡμῶν. κ̀ τὸ παρ' ὁμήρῳ, τοιῦτόν ἐςιν, " Ἤτοι ὃ ἂν σκυλεύσῃ ἔτι καὶ ἔρια " θῆρας ἐναρίζειν· πῶς γδ̀ οἷόν τέ ἐςι σκυλεύειν τὸν λέοντας, εἰ μὴ εἴη κ̀ ἐπὶ ἀλόγων ζώων τὸ σκυλεύειν. Καλλίμαχος ἐπὶ τῆς λεοντείας φησίν. " —τὸ ἢ " σκῦλον ἀνὴρ ἐκ κακῶ πέρι γιγνόμβμον " νιφετῦ κ̀ βελέων ἔρυμα.

l. 37. Ἐπιςάταις] τοῖς ποιμέσι καλῶς ἢ τῦτο, ἵνα μὴ παραλογίζοιτο τις ἀπαγγέλλων τὸ σαφές. πόθεν ἦν αὐτῷ ἡ ὑπόνοια, ὅτι εἶδέ τις αὐτὸν ἐν τῷ πεδίῳ πηδῶντα μτ̀ τῦ ξίφους νεωςὶ ῥαινομβμέ ὑπὸ τῦ αἵματος.

l. 32. Καὶ τὰ μὲν σημ.] ἢ ἐν σημαινόμεθα, δηλ. σημεῖον γινώσκω. ὅτι, σημεῖα ἐμαυτῷ τινὰ συνίςημι ἀπὸ τῦ ἴχνους. τὰ ἢ ἀπορῶ. τοιῦτον γδ̀ συμβαίνει ἐπὶ τῶν ἰχνευόντων, ἐπιταραττομένων τῶ ἰχνῶν ἐπεὶ ἢ τίω μανίας συγχέοντος κ̀ ἐπιταραγμβμη ἡ βάσις γέγονε τῦ αἴαντος, ἢ ὅπως ὀδυσσεὺς ἀναμφίβολος τὰ ἀκριβῆ γνοίη, ἵνα μὴ δοκοίη καὶ' ἐχθρὸς ὢν καταψεύδεσθαι,

l. 34. Καιρὸν δ' ἐφήκεις] εὐφυῶς ἄρχεται τῆς ὑποθέσεως ὁ ποιητής, ὡς τι τρανῶσαι τὸ πᾶν διὰ τῆς ἀθηνᾶς. ἐπιτηδεύει ἢ ὀδυσσεὺς τίω ἀθηνᾶν, ἵνα κ̀ ἐν τοῖς ἑξῆς ἔχῃ αὐτίω συμμαχῶν.

Pag. 3. l. 36. Ἔγνων ὀδυσσεῦ] ταῦτα πρὸς τὰ ἐξ ἀρχῆς, ἵνα μὴ δόξῃ ἀγνοεῖν ἡ θεὰ τὸ πρᾶγμα.

l. 38. Ἡ κ̀ φίλη] ἐν τοῖς ἀμοιβαίοις κτ̀ βραχὺ δηλῦται ἡ ὑπόθεσις. πυνθάνεται ἢ πρῶτον εἰ ἀληθῶς πεπόνηκε. εἰ γδ̀ αὐτός ἐςιν ὁ τῦ φόνυ δράσας, πρὸς καιρὸν ἂν εἴη πονῶν ὁ ὀδυσσεύς. τὸ ἢ ἐν τῷ, ὡς ἔςιν ἀντὶ τῦ ὄντως κ̀ ἀληθῶς, κεῖ).

l. 40. Καὶ πρὸς τί δυςλ.] ἐπύθετο πρότερον εἰ αὐτὸς ὁ δράσας, εἶτα κ̀ τίω αἰτίαν πυνθάνεται. τὸ ἢ δυςλόγιςον, ὅμοιον τῷ πράγμ☉ ἄσκοπον. ἀγνοεῖ γδ̀ ἔτι τίω μανίαν.

l. 44. Ἡ κ̀ τὸ βύλευμ'] ἐργάσῃ τὸ μόν☉ ὤν, πρὸς πλῆθος ἐδωύατο μάχεσθαι. μὴ λέγε βύλημα, φησίν. ὁ γδ̀ ἰῶ βύλημα, ἀλλὰ πρᾶγμα.

l. 45. Κἂν ἐξεπράξατο, εἰ κατημέλησ' ἐγώ] γράφεται κ̀, ἐξέπραξεν.

l. 48. Ἡ κ̀ παρέςη] ἀντὶ τῦ ἐπλησίασεν ἡμῖν, κ̀ ἐπὶ τὸ τέρμα τῆς ὁδῦ δηλονότι ἀφίκετο.

l. 49. Στρατηγίσι πύλαις] ταῖς τῶν σκηνῶν.

l. 50. Μαιμῶσαν] γράφεται κ̀ διψῶσαν.

l. 51. Ἐγὼ σφ' ἀπείργω] ὅτι παρεκορὴς τῷ διηγηματικῷ εἴδει τὸ πᾶν διεξελθεῖν. τὸ ἢ ἑξῆς, ἐγὼ σφ' ἀπείργω τῆς ἀνηκέςυ χαρᾶς. χαρὰν φησὶ τίω ἐπὶ τῷ δοκεῖν τὸν ἐχθρὸν ἀνῃρῆσθαι. ταύτης οὖν αὐτὸν τῆς χαρᾶς ἀπεῖρξα, δυσφόρους γνώμας ἐμβαλῦσα τοῖς ὄμμασι. καλῶς ἢ εἶπε γνώμας. ἐ γδ̀ κλέψαι φησὶ τίω ὄψιν, ὥςε μὴ ὁρᾶν, ἀλλ' ἐπ' αὐτῇ γνώμίω δύσφορον ἐπιβαλεῖν, ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα. τῦτο ἢ ἐ τῶ ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

l. 53. Σύμμικτά τε] κ̀ τὰ ἑξῆς, διαφορητικῶς τὰ βυκόλια.

l. 54. Ἄδαςτα] ἀδιαίρετα ἀμέριςα. πιθανόν. ἢ κ̀ πρὸς τὸ πλῆθος ἐλάσσονα γδ̀ ἦ) εἰκὸς τὰ μεμερισμένα.

l. 55. Ἔκειρε] ἀντὶ τῦ κείρων ἐπρίει.

l. 56. Κύκλῳ ῥαχίζων] κτ̀ πάντα τόπον τῆς ἐπαύλεως σφάζων κ̀ διακόπτων διὰ τὸ τίω πρᾶξιν κ̀ μεγάλίω διακοπίω κτ̀ ῥάχιν γίνεσθαι. ἐν μεταφορᾷ κ̀ τῶν μεγάλως κατακοπτόντων, ῥαχίζειν φαμέν.

l. 57. Διασὺς Ἀτρείδας] πιθανῶς τῦτον τὰ ὀνόματα εἶπεν. καὶ αὐτὸ γδ̀ πλείων ἡ ἀγανάκτησις, ὡς τῆς ἀδικίας ταῦτα ἐκπεπραξαμβμων. τὸ ἢ τὸν ὀδυσσέα ἐταμιεύσατο τῷ αἴαντι, ἵνα κ̀ μείζων εἴη τὸ πάθ☉ αὐτῷ φανερῶς παραμβμον ὑπ' ☉. κἀπειδὴ γέλοιον περιελθόντα τὸν αἴαντα λέγειν κ̀ παροινεῖν τοῖς θεαταῖς

φθαλμός, εἰ περιπειρόμενα πάντα ἡ Ἀθηνᾶ.

Αὐτόχειρ κτείνειν ἔχων] γράφεται παρών.

l. 58. Ἐμπίπτων] γράφεται ἐμπεσών, ἢ ἐμπιπλάς.

l. 59. Φοιτῶντα] ἀντὶ τοῦ μαινόμενον. φοῖτος γὰρ ἡ μανία. ἢ περιερχόμενον ἐν τοῖς ποιμνίοις διὰ τὴν μανίαν. λέγει γὰρ μανιώδεσι νόσοις. ἢ ἀναστρεφόμενον ἐν τῇ μανίᾳ.

l. 60. Εἰς ἕρκη κακά] γράφεται εἰς ἐριννύων κακά.

l. 61. Ἐλώφησεν] ἐπαύσατο. ἀπὸ τῆς ὑποζυγίων, ὅθεν καὶ τὸ ὑλοφόρους φέρειν.

l. 62. Τοὺς ζῶντας] τοὺς ζῶντας τῶν βοῶν δήσας ὡς αἰχμαλώτους ἄνδρας, ἄγει, καὶ τὰ λοιπὰ ποίμνια. πιθανὸν δὲ καὶ τοῦτο προειρῆσθαι, ἵνα ὅταν εἴπῃ ἡ τετμηκότα περὶ τοῦ κριοῦ, προεπιστάμεθα τοῦτο.

l. 66. Δείξω δὲ καὶ σοί] πιθανὴ ἡ παρείσοδος τοῦ αἴαντος. οὕτω γὰρ μεῖζον γίνεται τὸ πάθος τῆς τραγῳδίας τῶν θεατῶν, νῦν μὲν παραφρονοῦντα, ὀλίγῳ δὲ ὕστερον ἔμφρονα θεωμένων. καὶ ἵνα ἰδὼν ὁ ὀδυσσεὺς ἐξείπῃ τοῖς ἄλλοις ἕλλησιν· οὕτω δὲ καὶ ἡ εὔνοια τῆς ἀθηνᾶς ἐνδείκνυται εἰς τὸν ὀδυσσέα.

l. 69. Ἀποστρόφους] εἰς τοὺς ὀπίσω ἐστραμμένους· διάστροφοι ὀφθαλμοί, οἱ τῶν μαινομένων, καὶ οἱ ἐπ' ἄλλο βλέποντες, ἄλλο καθ' ἄλλο δοκοῦντες βλέπειν. ἀπόστροφοι δὲ οἱ ὄπισθεν ἐστραμμένοι.

l. 73. Ἀπευθύνοντα] ἀντὶ τοῦ τιμωρίαν ἀπαιτοῦντα. ἢ, ἐπιβάλλοντα μετὰ βίας.

l. 75. Προσμολεῖν] τουτέστιν ἐξελθεῖν.

Οὐ σῖγ' ἀνέξῃ] ἐπιστρέφει ἡ ἀθηνᾶ, ὡς οὐδενὸς ἐσομένου κακοῦ.

l. 76. Μὴ πρὸς θεῶν] παραιτεῖται ὀδυσσεὺς οὐχ ὡς κωμῳδοῦντος τοῦ ποιητοῦ δειλίαν τοῦ ἥρωος, (οὔτω γὰρ ἀφανισθείη τῆς τραγῳδίας τὸ ἀξίωμα) ἀλλὰ τὸ εὐλαβὲς ἐνδείκνυται. ἔμφρονος γὰρ ἦν τὸ τῷ μεμηνότι παραχωρεῖν· ὅπερ γὰρ δὴ ἦν, προσελθόντα ἐκεῖνον θεάσασθαι τὸν νεκρόν.

l. 77. Τί μὴ γένηται] μὴ τί γένηται φοβῇ; οὐχ ὁ αὐτὸς ἦν καὶ πρότερον ἄνθρωπος; ἀλλ' οὐδὲν ὑμᾶς εἰργάσατο κακὸν ἤμουν ἐπιμηχανώμενον.

l. 78. Τῷδε τἀνδρί] δεικτικῶς, ἀντὶ τοῦ ἐμοὶ τῷ ὀδυσσεῖ.

Pag. 5. l. 79. Οὔκουν γέλως ἥδιστος] πολλαχοῦ μὲν τὸ λέγειν τὸ ἐπεγγελᾶν τοῖς ἐχθροῖς, ἀλλὰ θεός ἐστιν, ὡς εὐλαβούμενος τὸ νεμεσητόν. ἄλλως τε καὶ παροξύνουσα τὸν ὀδυσσέα φησίν.

l. 80. Ἐμοὶ μὲν ἀρκεῖ] μέτριον διαφυλάττει τὸ τοῦ ὀδυσσέως ἦθος, διὰ τὸ μὴ ἐντρυφᾶν τοῖς κακοῖς.

Ἐς δόμους] ποιητικῶς εἴρηται, ἀντὶ τοῦ ἐν δόμοις.

l. 81. Μεμηνότ' ἄνδρα ὀκνεῖς] ἀντὶ τοῦ φοβῇ. πυκνῶς γὰρ τίθησι τὸ ὀκνεῖν ἀντὶ τοῦ φοβεῖσθαι.

l. 82. Φρονοῦντα γάρ νιν] ἐκφαίνει τὸ οἰκεῖον παραστῆσαι, καὶ οὐ χρὴ τὰ τοῦ ὀδυσσέως φρονιμώτερα εἶναι τῆς ἀθηνᾶς· ἀλλ' ἐκεῖνο σκοπεῖν, ὅτι ἡ μὲν μετὰ παρρησίας διαλέγεται ὡς θεός, ὁ δὲ ὑποστελλόμενος, ὡς θνητός, τὸν καιρὸν ὁρᾷ, ὅτι ὁμοῦ χαρίσαι τῇ μανίᾳ τοῦ ἐχθροῦ οὐχ ἁρμόζει· φρονοῦντα γὰρ αὐτὸν οὐκ ἂν ἐξέστην δι' εὐλάβειαν. τὸ δὲ νῦν ὀκνῆσαι, οὐ τῷ αἴαντι, ἀλλὰ τῇ μανίᾳ.

l. 85. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα] εἰ καὶ βλέποντα τὰ βλέφαρα αὐτοῦ, ποιήσω μὴ δεδορκέναι.

l. 89. Ὦ οὗτος] διὰ τοῦ οὗτος καὶ τῆς αἰτίας, διότι ἡ κλῆσις· ἢ ὅτι καὶ πρότερον ἐκάλεσεν αὐτόν, ὅτι καὶ ὀδυσσεὺς φησί, τί δρᾷς ἀθηνᾶ· ἢ ὡς καὶ πρότερον, ὁπότε ἐδόκει συλλαμβάνειν αὐτῷ πρὸς τὴν ἀναίρεσιν.

l. 90. Τί βαιὸν οὐδέν] ὀλίγον, ἀντὶ τοῦ οὐδὲ ὅλως. σύμμαχον δὲ αὐτὴν νομίζει, ὡς καὶ ἐν τοῖς ἑξῆς φησίν, ὡς ἂν παρέσῃς.

l. 91. Ὦ χαῖρ' ἀθάνα] ἐπίγνω μὲν τὴν ἀθηνᾶν· τὸ δὲ ἑξῆς, τοῦ παραπαίοντος, οὕτω γὰρ ἂν παρασιώπησιν ἡ ὑπόθεσις. οὐ παντελῶς δὲ ἀπώλετο αὐτῷ τὸ ἡγεμονικόν, ἀλλ' ἡ μανία γέγονε περὶ τὸ λογιστικόν. ἐμέμνητο μὲν γὰρ ὡς ἐχθροὺς ἀνελών, περὶ τὸ πρόσωπον δὲ ἐσφάλλετο, ὅτι ποίμνια ἀνεῖλε, καὶ διελογίζετο ἄνδρας ἀνῃρηκέναι.

l. 96. Κἀπαρνοῦμαι τὸ μή] τὸ μὴ οὐχὶ βάψαι τὸ ξίφος εἰς τὸν στρατόν.

l. 97. Ἤχμασας] τὴν αἰχμὴν ἐκίνησας.

l. 98. Ὡς ταῦτ' ἀτιμάσειν] ἐὰν δυσωθῇ τὸ ὅ ἐστιν εἰδότων, εἰδέναι ἐὰν δὲ ψιλόν, τὸ οἶδα ἀντὶ τοῦ ἐπίσταμαι.

l. 100. Τεθνᾶσιν] καλῶς τὸ

τὰ ἐμὰ ἔφη, ἀντὶ τοῦ τὰ ἀνήκοντά μοι, οὐχ ὅτι δεῖ με λαβεῖν, ὡς ἴδιον ἀπεστερημένον.

l. 102. Πῶς σοι τύχης ἔχει, ἦ πέφευγέ σε] οὐχ ὡς διαστέλλουσα φησὶν, ὡς ἂν εἴποι τις, ἔθανεν, ἢ πέφευγέ σε; ἀλλὰ παροξύνουσα. φησὶ γὰρ, πέφευγε δή σε ὁ ὀδυσσεύς.

l. 103. Τοὐπίτριπτον κίναδος] τὸ ἐξ ὅλης θηρίον καὶ πανοῦργον· κίναδος γὰρ ἡ ἀλώπηξ. πάνυ δὲ κατατρέχει τοῦ ὀδυσσέως ὡς ἐχθίστου.

ἐξήρου μ' ὅπου] τῆς τύχης ἐστὶ, δηλονότι.

l. 104. Ἔγωγ' ὀδυσσέα] οἱ ἀττικοὶ ἐν τοῖς λόγοις δεόμενοι ἀποκρίσεως, διὰ τοῦ ναὶ, λέγουσι τὸ ἔγωγε, ἢ μάλιστα, ἢ τοιοῦτόν τι, καὶ ἀρκοῦνται τούτοις· ἐν οἷς δὲ τὸ οὐ ἁρμόζει ἐν τῇ ἀποκρίσει, λέγουσι τὸ μὴ ἀπωμοτικὸν, καὶ ἀρκοῦνται τούτῳ.

Τὸν σὸν ἐνστάτην] ἀντὶ τοῦ ἐχθρὸν καὶ ἀντίπαλον. ἤτοι, κατὰ πάντα ἐνιστάμενόν σοι ἢ ἰδικῶς ἐπὶ τῆς κρίσεως μόνον, ἐπεὶ τὸν ἀντίδικον κυρίως δὲ ἐνστάτης, ὁ ἐν τῇ ὁδῷ ἀντισήκων τινὶ, ὡς εἰ λέγοι τις τὸν οἰδίποδα τοῦ λαΐου ἐνστάτην γεγενημένον.

l. 105. Ἥδιστος] καθ' ἡδονήν μοι.

Δεσμώτης] δεσμώτης λέγεται καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης προμηθεύς, καὶ ὁ δεσμοφύλαξ, ὡς κρατῖνος ἐν πυτίνῃ, « Ἐπὶ τῶν δεσμοφυλάκων· ὄψει γὰρ αὐτὴν ἐντὸς ἐν πολλῷ χρόνῳ παρὰ τοῖς δεσμώτησι καταπεπτωκυῖαν.

l. 108. Ἑρκίου στέγης] τοῦ περιφράγματος τῆς αὐλῆς. ἢ τῆς τοῦ δώματος στέγης· ἕρκιον γὰρ τὸ δῶμα.

l. 110. Μάστιγι] πρῶτον ἐνθένδε ἡ ἐπιγραφὴ τοῦ δράματος, οὐ πρότερον φονεύσω αὐτὸν πρὶν ἂν μαστίξω.

l. 112. Χαίρειν ἀθάνα, τἄλλα] τὸ ἦθος τῆς ἀπαγγελίας, ἀρχαῖον. ἔστι δὲ ἶσον τὸ χαίρειν ἀντὶ τοῦ χαρτῶς ἐμοὶ λέγε. φησὶ δὲ ὡς κατὰ τὰ ἄλλα εἴκων τῇ θεῷ, τοῦτο δὲ ἀντιβαίνων· ὑποκριτικὸν δὲ τὸ ἦθος αὐτοῦ ἐνθένδε ἐνδείκνυται ὁ ποιητής, ἐπεὶ πάνυ πρόσκειται ὁ ἀκροατὴς τῷ αἴαντι διὰ τὴν συμφορὰν, δὲ μονονουχὶ χαλεπαίνει τῷ ποιητῇ, ἵνα δόξῃ ἀξιοπαθεῖν ὁ αἴας, μὴ ὑποτεταγμένος τῷ δαίμονι.

Ἔγωγέ σ' ἐφίεμαι] ἐφίεμαί σε εἰς τὰ ἄλλα πείθειν μοι καὶ χαίρειν, ὡς πειθομένου μου· εἰς τοῦτο δὲ μόνον οὐκ ἀκουσομένου σου.

l. 115. Ὥσπερ ἐννοεῖς] γράφεται ἐννέπεις.

l. 118. Ὁρᾷς ὀδυσσεῦ] παιδευτικὸς ὁ λόγος, καὶ ἀποτρεπτικὸς ἁμαρτημάτων. καὶ διὰ τοῦτο ἐπιτηδὲς καὶ τῷ ὀδυσσεῖ, καὶ τῷ θεατῇ ὑποδείκνυσι τὸν αἴαντα. δηλῶν ὡς ὁ πρότερον φρόνιμος καὶ πρακτικὸς, νῦν ἐξέστη διὰ τὸ θεομαχῆσαι. καὶ τοῦτο δὲ Ὁμήρου παίδευμα, ὅτι ἐφ' οἷς αὐχοῦσι τινὲς, τούτων στεροῦνται παρὰ θεῶν, ὡς καὶ θάμυρις, τῆς μουσικῆς· καὶ νιόβη, τῶν τέκνων.

l. 119. Προνούστερος] προνοίας μᾶλλον ἐχόμενος.

Pag. 7. l. 122. Ἔμπης] ἴωνες ἔμπης φασὶν, ἀττικοὶ δὲ ἔμπας καὶ ἔμπα.

l. 123. Ἡ τοὐμὸν σκοπῶν] ἐπεὶ ἀφορῶν εἰς τὰ ἀνθρώπινα τὰ πάντων κοινά.

l. 125. Ὁρῶ γὰρ ἡμᾶς] πρὸς τὸ πινδαρικὸν, Τί δέ τις· τί δ' οὔτις· σκιᾶς ὄναρ ἄνθρωποι· ἀντὶ ἀνυπάρκτου τὸ ἀνυπαρκτότερον ἐνταῦθα. μέντοι ὁ λόγος ἐστὶν ἐγγυτέρω τῆς ἀληθείας ἤπερ τὸ πινδαρικόν. ὁ μὲν γὰρ πίνδαρος ἐν τοῖς ἀσυστάτοις πεποίηται τὴν ὑπερβολὴν, ὁ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν, οὐχ ὑπάρχουσι δὲ κατ' ἀλήθειαν. ὁ δὲ ὅμηρος δι' ἑνὸς αὐτάρκως τοῦτο δεδήλωκεν, Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

l. 126. Εἴδωλα] ἀπεικασμένα.

l. 127. Ὑπέρκοπον] ἀντὶ τοῦ ὑπέρκομπον. φασὶ τὸν αἴαντα τρίτον ἠσεβηκέναι περὶ τοὺς θεούς· πρῶτον μὲν, ἐκβαλεῖν τοῦ δίφρου τὴν ἀθηνᾶν, βουλομένην αὐτῷ συμμαχεῖν· δεύτερον, ἀπαλεῖψαι τὴν γλαῦκα τὴν ἐγγεγραμμένην τῷ ὅπλῳ αὐτοῦ ἐξ ἔθους πατρῴου· τρίτον, ὅτι οὐκ ἐπείσθη τῷ πατρὶ συμβουλεύοντι πείθεσθαι τοῖς θεοῖς.

l. 130. Χειρὶ] δυνάμει.

l. 131. Ὡς ἡμέρα κλίνει] ἡμέρα γὰρ μία ἐλαττοῖ, καὶ πάλιν αὔξει.

l. 132. Τοὺς δὲ σώφρονας] τὸ συναγόμενον, τοῦτό ἐστιν, ὅτι δεῖ θεοφιλεῖς μόνον εἶναι τοὺς σώφρονας, καὶ μὴ ἐπ' ἄλλῳ ἀλαζονεύεσθαι.

l. 134. Τελαμώνιε παῖ] πιθανῶς αὐτῷ ὁ χορὸς ἐσκεύασται ἀπὸ σαλαμινίων ἀνδρῶν· τοῦτο μὲν παρρησιαζομένων ὡς ἐλευθέρων· τοῦτο δὲ, συμπαθῶς ἐχόντων, ὡς πολιτῶν, καὶ αἰδημόνως λαλούντων, ὡς ὑπηκόων. οὐ γὰρ πιθανὸν ἐξ ἀχαιῶν εἰσάγειν, καὶ διὰ τὸ μὴ συνάχθεσθαι, καὶ διὰ τὸ μὴ προσκρίνειν τῷ βα-

βασιλεῖ. τὸ δὲ τῶν αἰχμαλώτων, κηδεμονικὸν μὲν, ὡς αἰχμάλωτος ἐν Θρήσσαις· οὐ μὴν ἀπρόσωπον ὅρα γὰρ δὴ τῶν αἰχμαλώτας ἐπιτιμᾶν τῷ μενελάῳ. πιθανὴ δὲ καὶ ἡ εἴσοδος· ἀκούσας γὰρ ὁ ὀδυσσεὺς παρὰ τῆς ἀθηνᾶς, δείξω δὲ καὶ σοὶ τήνδε τὴν περιφανῆ νόσον, ὡς πᾶσιν ἀργείοισιν εἰσιδὼν θροῇς, καὶ μαθὼν τὸ σαφὲς, δεδήλωκε τοῖς ἀχαιοῖς. ταύτης οὖν τῆς φήμης ἀκούσαντες οἱ σαλαμίνιοι παραγεγόνασι, μηδέπω ὑπὸ τῆς εὐνοίας πεπεισμένοι ὡς αὐτὸς εἴη ὁ πράξας, ἀλλ' ἀπιστοῦντες, καὶ ὑπὸ ἐχθροῦ πεπλάσθαι οἰόμενοι. ὁ δὲ νοῦς, Σοῦ μὲν εὖ πράσσοντος, ἐν χαρᾷ ἐσμέν. καὶ τὸ ἀνάπαλιν τὸ δὲ ὅλον, ἐν σοὶ ἐσμέν. τὰ δὲ πράγματα νῦν τοῦ αἴαντος φαῦλά ἐστι. καὶ οὐκ ἐπιχωρεῖ αὐτῷ διηγήσασθαι τὰ ἀνδραγαθήματα.

l. 135. Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου] τὸ θεμέλιον. τὸ ἔδρασμα. ἀντὶ τοῦ δι' ὃν ἵσταται ἡ Σαλαμίς. οὐ πάντως δὲ αἱ ἀγχίαλοι, καὶ ἀμφίαλοί εἰσιν. οἷα ἐστὶ καὶ ἡ ἀλεξάνδρεια, ἀγχίαλος μὲν, οὐκ ἀμφίαλος δέ. αἱ δὲ νῆσοι, καὶ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι.

l. 136. Σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω] ἀντὶ τοῦ συγχαίρω. τουτέστιν, σοῦ μὲν εὖ πράσσοντος. ἢ οὕτως. εἰς σὲ μὲν εὖ πράσσοντα ἐπιχαίρω, ἵνα λείπῃ ἡ εἰς.

l. 137. Σὲ δ' ὅταν] ἐπὶ σὲ δὲ, καὶ τὰ ἑξῆς.

Ζαμενὴς] ἀντὶ τοῦ δυσμενής.

l. 138. Ἐπιβῇ] ἀπὸ κοινοῦ τὸ ἐπιβῇ. εἰς σὲ δὲ ὅταν νόσος ἐπιβῇ. κακόθρους δὲ, οἷόν ἐστι καὶ τὸ ἑξῆς.

l. 140. Πτηνῆς ὡς ὄμμα] ἐπεὶ περιδεὲς τὸ ζῶον· ὄμμα δὲ πελείας περιφραστικῶς ἡ πέλεια.

l. 141. Ὡς καὶ τῆς νῦν] ὡς καὶ τῆς παρελθούσης νυκτὸς ἐν φόβῳ γεγόναμεν ἐπὶ τῇ σῇ δυσκλείᾳ. πιθανῶς δὲ οὐκ ἐλέγχει τὸν βασιλέα ὡς ἡμαρτηκότα, ἀλλὰ τὴν δυσπραγίαν προσέλαβεν ὡς ἀπὸ τῆς εἱμαρμένης. πάνυ δὲ εὖνοι ὄντες, ἀπιστοῦσι, καὶ ὑπολαμβάνουσιν αὐτὸν ὑπὸ τῶν ἐχθρῶν συκοφαντεῖσθαι· ἐν δέει οὖν καθέστηκα, ὅταν ᾖ τι ἀδι- βτον περὶ σέ.

l. 143. Σὲ τὸν ἱππομανῆ] τινὲς τὸν μεγαλομανῆ ἐξεδέξαντο, ὡς βούπεινα· ἤτοι τὸν μεγάλως μαινόμενον. ἀλλ' οὐκ ἐπίστευσεν ὁ χορὸς ὅτι ἐμαίνετο ὁ Αἴας. ὅτι τὸν ἵππους μαινόμενον καὶ ἱππικόν. ἀλλ' οἱ νησιῶται οὐχ ἱππομανεῖς εἰσὶν, οὐδ' ἱππήλατοι εἰσὶν αἱ νῆσοι. τὸ ἱππομανῆ τοίνυν πρὸς τὸν λειμῶνα ἐκλήφθη. Ἄλλως. Ἱππομανῆ ἢ αὐτὸν λέγει τὸν Αἴαντα, ὡς μεγάλως μαινόμενον, ἀπὸ μεταφορᾶς. (ἡ γὰρ τῶν ἵππων μανία χαλεπωτέρα ἐστὶν) ἢ ἐπὶ ἵπποις μαινόμενον. τὸ γὰρ ἵππος ἐπὶ μεγάλου τάσσεται, ὡς ἱπποσέλινον, καὶ ἱππογνώμονα, τὸν μεγαλογνώμονα· ἢ ἐπὶ τοὺς λειμῶνας, ὅτι τὸ εὐανθῆ, ἐφ' ὃν οἱ ἵπποι μαίνονται· ἢ τὸν ἄγαν μεμηνότα καὶ ἀνθοῦντα καὶ ἐνυβρίζοντα τῇ χλόῃ, διὰ τὸ πλῆθος.

l. 147. Αἴθωνι σιδήρῳ] λαμπρῷ.

l. 148. Τοιούς δε λόγους] ὄντως, Οὐδὲν ἐπίχυρον εἰδὼς ὁ Ὀδυσσεὺς, πλάττεται ψευδεῖς λόγους, ἀκούσας μόνον ὡς εἴπε

Σὴν πορφύρῳ ξίφει. καλῶς δὲ καὶ τὸ ψιθύρους λόγους, ἀντὶ τοῦ διαβόλους, ὡς διὰ πανουργίαν ἀδεῶς οὐ λεγόμενος, ἀλλὰ πρὸς ἓν ἕκαστον ἐξαπατῶντα λάθρα.

l. 150. Περὶ γὰρ σοῦ νῦν εὔπιστα λέγει] ὅτι ἐν ἀτυχίᾳ καθέστηκας δηλονότι τῆς ἥττης χάριν. ἢ ἐπεὶ μέγας εἶ, ἔχεις τὸν φθόνον συμπαρεπόμενον.

l. 154. Τῶν γὰρ μεγάλων ψυχῶν] τροπικῶς, ὡς ἐπὶ τῶν τοξευόντων κατὰ μεγάλου σώματος, οἳ οὐχ ἁμαρτάνουσι. περὶ οὖν τοῖς ἀκούουσι τὰ κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον. πίνδαρος. Ὄψον δὲ λόγοι φθονεροῖσιν, ἅπτεται δ' ἐσθλῶν. χερόνεσσι δ' οὐκ ἐρίζει.

Ἱεὶς] ἀφιεὶς τοξεύων ἀπὸ κοινοῦ δὲ τὸ τις. κατὰ μὲν τῶν μεγάλων ψυχῶν ἱεὶς τις, οὐκ ἂν ἁμάρτοι· κατ' ἐμοῦ δὲ ἱεὶς τις, οὐ πείθοι τὸν ἀκούοντα.

l. 155. Κατὰ δ' ἄν τις ἐμοῦ] τοῦ δημοτικοῦ καὶ εὐτελοῦς.

l. 157. Πρὸς γὰρ τὸν ἔχοντα] λείπει τὸ εὖ.

l. 158. Καίτοι σμικροὶ] πάνυ αἰδήμων ὁ χορὸς ἐξελέγχει τὴν ἀδικίαν τῶν ἑλλήνων· οὐ τοῦτο ἄντικρυς ποιεῖ ἀλλὰ ψιλῶς γνωμολογεῖν βούλεται. γὰρ ἐπιτιμᾶν ὅτι κακῶς πράττουσι καθαιροῦντες τὸν Αἴαντα, καὶ ἑαυτοῖς ἀσύμφορα. φησὶ γὰρ ὅτι ἀσθενὴς φυλακὴ τοῖς μικροῖς ἄνευ τῶν μεγάλων. τοῦτο δὲ τείνει καὶ ἐπὶ τὸν Αἴαντα, ὅτι ἐνδεηθήσονται αὐτοῦ.

l. 159. Σφαλερὸν ῥῦμα] ἀντὶ τοῦ ἀσθενὴς φυλακή.

l. 161. Καὶ μέγας ὀρθοῖθ' ὑπὸ σμικροτέρων] οὐκ ἔστιν ἐναντίος ὁ λόγος, ἀλλὰ καὶ αὔξησιν ἔχει. εἰ γὰρ ὁ μέγας

ὑπὸ

κατὰ τοῦ ἐλάττονος ἀναπτύξαι, πρέπου μᾶλλον τὴν μείζονα ὑπεξελθεῖν χρή· ὁ κοσμητικὸς δὲ ὁ λόγος καὶ φιλάνθρωπος, καὶ Ὅμηρος, Συμφερτὴ δ᾽ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν.

Pag. 9. l. 162. Ἀλλ᾽ οὐ δυνατὸν τοὺς ἀνοήτους] τοὺς ἐλλιπεῖς, ἀνοήτους καὶ φθονερούς, καὶ οὐδὲ δρέψαι τὰ τοιαῦτα ἀνεπιστήμονας. κατανόησον δὲ τὸ εὐφυὲς σύμφωνον ὅτι τοὺς τοιούτους λόγους ψιθύρους πλάττων, μέχρι γὰρ νῦν, ἐν λόγοις ἐστὶν ἡ ἀδικία, καὶ ἀφαιρεῖ τὴν ἀπὸ τῆς βλασφημίας.

l. 165. Τούτων] τῶν λεχθέντων.

Γνώμας] ὀρθὰς δηλαδὴ τὰς κρίσεις.

l. 166. Ἀπαλέξασθαι] ἀντιτάξασθαι.

l. 168. Ἅτε πτηνῶν ἀγέλαι] θηλυκῶς τὰς ἀγέλας ἐπήγαγε, τὴν μέρος ἐνικὴν μετοχὴν τὴν ὑποδείξαντες, πρὸς τὸ κοινόν· ἐν γὰρ ταῖς ἀγέλαις εἰσὶ καὶ ἄρσενες καὶ θήλειαι. ὁ νοῦς. διὰ τοῦτο κομπάζουσι, ὅτε ἀφανὴς ἦν, ὥς πτηνῶν ἀγέλας παταγοῦντες, καὶ τότε εἰς τὸν κενὸν ψόφον.

l. 172. Ἦ ῥά σε] ὁ χορὸς, οὐδέπω πεπεισμένος ὅτι Αἴας τὰ πεφυλλημένα διεπράξατο, ἀλλ᾽ οἰόμενος ἔκ τινος ὀργῆς θεοῦ ταύτην τὴν φήμην γεγενῆσθαι, ποιεῖται πρὸς τὴν φήμην τὸν λόγον.

Ταυροπόλα] ἡ ὅτι ἐν ταύροις τῆς σκυθίας τιμᾶται· ἢ ἀπὸ μέρους, τῶν ποιμνίων ἡ προστάτις· ἢ ὅτι ἡ αὐτὴ τῇ σελήνῃ ἐστὶ, καὶ ἐποχεῖται ταύροις ἣν καὶ ταυροπόλον ὀνομάζουσιν. τὸ ἑξῆς, ἦ ῥά σε ταυροπόλα ὥρμησεν ἐπὶ βοῦς ἀγελαίας. τὰ πολλὰ γὰρ τῶν μεμηνότων ἐκ σελήνης νοσεῖν ὑποτίθενται, διὰ τὸ νυκτερινῶν [ἀναπλάττειν φασμάτων. Ἄλλως. Τὴν μὲν ἀναίρεσιν τῶν ποιμνίων ὁ χορὸς πιστεύει ὑπὸ Αἴαντος γενέσθαι, οὐκ ἐξ ἰδίας δὲ παρανοίας.

l. 173. Ὦ μεγάλα φάτις] διὰ μέσου ἢ ἀναφώνησις, ὦ θαυμαστὴ φήμη, ἥτις ἐγέννησάς μοι ταύτην τὴν αἰσχύνην. κακὴ γὰρ (φησὶν) ὑπάρξει περὶ τοῦ Αἴαντος.

l. 175. Πανδάμους] ἢ τὰς πάντας τοὺς δήμους, ἢ τὰς συναγομένας.

l. 176. Ἦ πού τινος νίκας] ἢ διὰ χάριν τινὸς νίκης. ἀκάρπωτον δὲ, ἧς καρπὸν οὐκ ἐδέξατο. αἰτιᾶται ἐκ τούτων αὐτὸν ἐγκαλεῖν· ἢ χάριν (φησὶ) χαριζομένη σοι τὸ νικᾶν, καρπὸν καὶ ἀπαρχὰς οὐκ ἐδέξατο τῆς νίκης. ἢ ἀπὸ κυνηγεσίου μὴ λαβοῦσα. ὡς καὶ Ὅμηρος ἐκάλει μεμφομένους τινάς φησι, καὶ δίκην παρέχοντας τῆς λήθης.

l. 179. Ἢ χαλκοθώραξ ἤ τιν᾽ Ἐνυάλιος] διαστέλλει τὸν ἄρη ἀπὸ τοῦ ἐνυαλίου, ὡς ἕτερον δαίμονα ὑπάρχοντα τοῦ μείζονος θεοῦ. καὶ δῆλον ἐκ τοῦ συνδέσμου, δηλοῦται γὰρ ὁ ἄρης ἐκ τοῦ χαλκοθώραξ. ἢ καὶ ὁ ἄρης μεμφόμενός σοι ὡς ἀπαρχὰς παρὰ σοῦ οὐ λαβὼν, ἐτίσατο ἐπὶ τῆς λαβῆς τῆς εἰς αὐτὸν γενομένης λήθης. ἐτίσατο δὲ ἐννυχίοις μηχαναῖς ἐπὶ σὲ ταύτης τῆς νυκτός. πιθανῶς δὲ πλείονας αἰτίας τιθέασιν ἀπορεῖν τες. οἱ γὰρ στοχαζόμενοι οὐ κατὰ ἓν ἵστανται.

l. 183. Οὔποτε γὰρ φρενόθεν] οὐ γὰρ ἐπὶ τοσοῦτον ἀφρονεῖς ὡς ἄνευ αἰτίας ἐθέλειν ἐμπεσεῖν τοῖς ποιμνίοις.

Ἀριστερά] ἀριστερὰ οἱ παλαιοὶ τὰ μωρὰ ἐκάλουν, δεξιὰ δὲ τὰ συνετά.

l. 186. Ἥκοι μὲν ἂν θεία νόσος] ἔοικε γὰρ ὅτι νόσος θεία ἡ ἐκ θεοῦ κατασκήψασα εἰς αὐτόν. τὴν δὲ νόσον αὐτοῦ, φήμην ἀργείων ὠνόμασεν. τὸ δὲ ἥκοι, ἀντὶ τοῦ ἦλθεν ἄν.

l. 188. Ὑποβαλλόμενοι] πειθόμενοι, ἢ ὑποβλήτως λέγοντες. ἢ ἰδιοποιησάμενοι. εἰ δὲ οὐκ ἔστιν ἀληθῆ ταῦτα, ἀλλὰ πεπλασμένα ὑπὸ τοῦ βασιλέως ἢ Ὀδυσσέως.

l. 190. Τᾶς ἀσώτου] τῆς ἐξώλους καὶ σώζεσθαι μὴ δυναμένης.

Σισυφιδᾶν] γράφεται σισυφιδᾶν. λέγεται γὰρ ἡ ἀντίκλεια ἀποστελλομένη ἀπὸ ἀρκαδίας ἐπὶ ἰθάκην πρὸς λαέρτην ἐπὶ γάμον, κατὰ τὴν ὁδὸν σισύφῳ συνελθεῖν, ἐξ οὗ ἐφύη ὁ Ὀδυσσεύς. ὁ δὲ σίσυφος, κορίνθου βασιλεὺς, πανοῦργος ἀνήρ. περὶ οὗ φησιν Ὅμηρος, ὃς κέρδιστος γένετ᾽ ἀνδρῶν. ὅστις ὑπὸ τὰς ὄνυχας καὶ τὰς ὁπλὰς τῶν ζώων ἑαυτοῦ μονογράμματον ἔγραψε τὸ ὄνομα αὐτοῦ. αὐτόλυκος δὲ κατ᾽ ἐκεῖνο καιροῦ ἐκέκαστο κλεπτοσύνῃ θ᾽ ὅρκῳ τε. καὶ αὐτὸς τὰ κλεπτόμενα παρ᾽ αὐτοῦ τὴν μορφὴν ἤλλασσε. κλέψας οὖν καὶ σισύφου θρέμματα, καὶ μεταβαλὼν ὁμοίως, οὐκ ἔλαθε τὸν σίσυφον, ἐπέγνω γὰρ αὐτὰ διὰ τῶν μονογραμμάτων. ἐπὶ τούτοις δὲ ἐξενιζόμενος τὸν σίσυφον, ἐξένισεν αὐτόν. καὶ τὴν θυγατέρα αὐτοῦ ἀντίκλειαν συγκατέκλινεν αὐτῷ, καὶ ἔγκυον ἐξ αὐτοῦ γενομένην τὴν παῖδα συνῴκισε λαέρτῃ. διὸ σισυφίδης ὁ Ὀδυσσεύς.

l. 191. Μὴ μὴ μ᾽, ἄναξ] τὸ πλῆρες, μὴ μή μοι. ὁ δὲ νοῦς, εἰ δὲ πλάττουσι ταῦτα, καὶ οὐκ ἀληθεία συνῴδεσι, μηκέτι κρυπτόμενος ἐν ταῖς ἐφάλοις κλισίαις

κακὴν

[illegible]φάτην ἄρῃ καὶ περιποιήσῃ, ἤτοι ἐπαίρῃς, αὐξήσῃς ἀπὸ σοῦ, ἀλλὰ προελθὼν δεῖξον ψευδῆ τὰ λογοποιούμενα. τὸν δὲ Ὀδυσσέα σισύφου συνήθως φησὶ Σοφοκλῆς καὶ ἐν συνδείπνῳ. " Ὦ πάντα δράσων, ὡς ὁ Σίσυφος πολὺς Ἔνδηλος ἐν σοὶ πανταχοῦ μητρὸς πατήρ. " Καὶ Αἰσχύλος ἐν ὅπλων κρίσει, Ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος, Τῆς σῆς λέγω τοι μητρὸς, ἥ σ' ἐγείνατο. " Καὶ Εὐριπίδης ἐν Κύκλωπι, Χαίρ' ὦ ξέν', ὅστις δ' εἶ φράσον, πάτραν τε σήν. Ἰθακὸς Ὀδυσσεὺς, γῆς Κεφαλλήνων ἄναξ. Οἶδ' ἄνδρα κρόταλον, δριμὺ Σισύφου γένος. Φαίνεται δὲ τὸ κακόηθες αὐτοῦ καὶ διὰ τῆς γενέσεως.

l. 194. Ἀλλ' ἄνα ἐξ ἑδράνων] ἀνάστα ἐκ τῶν θρόνων, ὅπου πολλὴν χρόνον σεαυτὸν ἐνεστήριξας, τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν ἄτην αὔξων, καὶ δὴ ἐμπυρούμενος ὑπὸ τοῦ πάθους, καὶ ἐν ἀγωνίᾳ πολλῇ ὤν.

Ὅπου μακραίωνι στηρίζῃ] ὅπου στηρίζῃ μακραίωνι σχολῇ. ὅ ἐστι πολυχρονίῳ, βραδύνων τὸν ἀγῶνα ἐμποιούσῃ σοι. μακραίαν δὲ αὐτοῖς δοκεῖ διὰ τὴν εὔνοιαν.

Pag. 11. l. 197. Ἄταν οὐρανίαν] τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν. ἤγουν μετέωρον καὶ μεγάλην. φλέγων δὲ, ζωπυρῶν, ἀνεγείρων.

l. 198. ἐχθρῶν δ' ὕβρις] ἡ δὲ τῶν ἐχθρῶν ὕβρις τῶν ταῦτα ἐπὶ σοὶ λεγόντων, οὕτω μᾶλλον ἄφοβός ἐστι καὶ ἀδεῶς εἰς τὸ βλασφημεῖν σε, διὰ τὸ μὴ φαίνεσθαί σε τοῖς Ἀχαιοῖς.

Ἀτάρβητα] ἀντὶ τοῦ ἀταρβήτως, ἀνειμένως

l. 199. Ἐν εὐανέμοις βάσσαις] ὡς πῦρ ἐν εὐανέμοις βήσσαις, τουτέστιν ἐν ἐκείνοις τοῖς τόποις ὅπου τὰ ὑπὸ σοῦ ἀνῃρημένα ποίμνια ὁρῶντες ἐπεγγελῶσιν. ἢ ἐν εὐανέμοις βήσσαις, δὴ ἐν εὐδίᾳ καιρὸν ἔχοντες διαβάλλουσι.

l. 200. Καγχαζόντων] γελώντων.

l. 201. Βαρυάλγητ'] βαρέα καὶ ἀλγεινά.

l. 202. Ναὸς ἀρωγοὶ] ἔξεισι Τέκμησσα, καὶ διδάσκει τὸν χορὸν ὅτι Αἴας ἐστὶν ὁ σφάξας τὰ ποίμνια. πυνθάνεται δὲ παρὰ τοῦ χοροῦ ὅτι Ἑλληνικά ἐστι τὰ σφαγέντα. ἑκάτερος οὖν παρ' ἑκατέρου τὸ ἀγνοούμενον μανθάνει. ἡ δὲ Τέκμησσα, αἰχμάλωτος γυνὴ τοῦ Αἴαντος. πιθανῶς δὲ ἔξεισιν. οὐ γὰρ ἐπὶ πολὺ δεῖ ἀπολοφύρεσθαι τὸν χορὸν, ἀλλὰ προκόπτειν τὰ τῆς ὑποθέσεως. ἡ δὲ διάθεσις εὖ ἔχει τῷ ποιητῇ. ἐπεὶ γὰρ ἄπεστι Τεῦκρος, καὶ ὁ Εὐρυσάκης ἔτι νήπιος, Τέκμησσα κατολοφύρεται. οὐ γὰρ ἕτερον πρόσωπον γνήσιον τῷ Αἴαντι. αἱ δὲ τοιαῦται γυναῖκες ὑποτίθενται εὔνοιαν πρὸς τοὺς δεσπότας, ὡς Βρισηὶς πρὸς Ἀχιλλέα.

l. 203. Γενεᾶς χθονίων] διὰ τὸ τὴν Σαλαμῖνα συνῆφθαι τῇ Ἀττικῇ, καὶ προσαπέδοσον τοῖς Ἀθηναίοις αὐτὴν κληροῦσθαι. πρὸς εὔνοιαν οὖν τῶν ἀκροωμένων τοῦτο φησίν. ἢ ἐπεὶ ἐξ Αἰγίνης ἐλθὼν ὁ Τελαμὼν ἐβασίλευσε Σαλαμῖνος. ἡ δὲ Αἴγινα, τῆς Ἀττικῆς.

l. 204. Τηλόθεν οἴκου] μακρὰν γὰρ Φρυγία Σαλαμῖνος. ἢ, οἱ περὶ πολλοῦ κηδόμενοι, καὶ οὐχὶ νῦν μόνον. ἢ, οἱ τηλόθεν ὄντες, ὅ ἐστι ξένοι κατὰ γένος, καὶ ὅμως τοῦ Τελαμωνίου οἴκου φειδόμενοι, εἰ καὶ μὴ προσήκομεν.

l. 205. Ὠμοκρατὴς Αἴας] ὁ δυσπέπαντον καὶ αἰτιώνυμον ἔχων πάθος. ἢ, ὁ ὠμὸς καὶ καρτερός. ἢ, ὁ ὑπὸ ὠμότητος κεκρατημένος ἢ, ὁ γενναῖος, ὁ καὶ τῶν ὤμων κρατεῖν δυνάμενος.

l. 208. Τί δ' ἐνήλλακται] τί αὐτῷ περὶ τὴν ἡμερινὴν ὄχλησιν γέγονε βαρύς; δὴ, ἐν τίνι γέγονεν ὁ Αἴας βάρει, ὥς τε ἀλλοῖος γενέσθαι πρόσθεν ἢ κατὰ τὴν ἡμέραν; τί αὐτῷ βάρος ἐνήλλακται αὕτη ἡ νύξ.

Τῆς ἀμερίας] γράφεται τῆς ἀημερίας. ἀντὶ τοῦ, τῆς ἀηδοῦς φορᾶς· καὶ ἔστιν ὁ νοῦς, ποῖον βάρος ἔλαβεν αὕτη ἡ νὺξ ἀπὸ τῆς προτέρας ἀηδίας.

l. 211. Ἐπεί σε λέχος] ἐπεί σε ἔχει ὁ Αἴας, δορυάλωτον στέρξας τὸ λέχος σου. ἢ ἄλλως, ἐπεί σε ἀνέχει ὁ Αἴας, τὸ δορυάλωτον σου στέρξας λέχος.

l. 212. Ἀνέχει] ἀντὶ τοῦ ἔχει. παρέλκει γὰρ ἡ ἀνά. ἄμεινον στέρξασαν γράφειν. ἢ, ἀνέχει, ἀντὶ τοῦ ἀνυψοῖ, τιμᾷ.

l. 214. Λόγον ἄρρητον] κακόφημον. μηδὲ λέγεσθαι ὀφείλοντα.

l. 216. Μανίᾳ γὰρ] τὸ κεφάλαιον τοῦ κακοῦ πρῶτον ἐκτίθεται, ὅτι ἐφύβριστα εἴργασται μανίᾳ περιπεσών.

l. 217. Ἀπελωβήθη] ἀντὶ τοῦ ἐφύβριστα εἴργασται. ἢ οὕτως, ἐνυβρίσθη καὶ λωβητὸς γέγονε.

l. 219 Χειροδάϊκτα] ὑπὸ τῶν χειρῶν αὐτοῦ δαϊχθέντα.

l. 220. Κείνου χρηστήρια] ἃ διεχρή-

σατο ἐκεῖνος. τὰ τολμήματα καὶ πράξεις. ἢ τὰ διεφθαρμένα ποίμνια, παρὰ τὸ διαχειρήσασθαι αὐτά. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ μαντεῖον, καὶ τὸν χρησμὸν, καὶ τὸ ἱερεῖον.

l. 222. Ἄιθωνος] διὰ πύρου, θερμοῦ ἐν ταῖς μάχαις, ἢ τὸ θερμὸν νῦν ἐπὶ τοῦ παρακεκινηκότος κεῖσθαι.

l. 225. Κληϊζομένην] φημιζομένην ὑπὸ τῶν ἑλλήνων οὐ θεόθεν.

l. 226. Τὰν ὁ μέγας μῦθος] ἣν ἀγγελίαν πᾶς λόγος αὔξει. πρότερον μὲν γὰρ μόνοι οἱ ἕλληνες ἔλεγον ταῦτα περὶ Αἴαντος, ἡμεῖς δὲ ἐπιστεύομεν, νῦν δὲ καὶ ἡμεῖς ἔγνωμεν.

l. 227. Ὤ μοι φοβοῦμαι] τὸ ἐκ τούτου φησὶν ἀποβησόμενον. εἰκὸς γὰρ τὸν νοῦ ἐξεστηκότα μηδὲ ἑαυτοῦ ἀνασχέσθαι. οὐ γὰρ (φησὶ) φοβοῦμαι μὴ τιμωρηθῇ ὑπὸ τῶν βασιλέων.

l. 228. Περίφαντος] φανερὸς ἐστὶν ὅτι ταῦτα ἑαυτὸν διαθήσει.

l. 229. Παραπλήκτῳ] τῇ μανικῇ. παραπλὴξ γὰρ ὁ μανικός.

l. 232. Βοτῆρας ἱππονόμους] τοὺς μεγάλας φυλάττοντας τοὺς ποιμένας. οὗτοι γὰρ ἐνόμιζον καὶ ποιμένας αὐτὸν ἀνῃρηκέναι.

Pag. 13. l. 233. Ὤ μοι κεῖθεν] ὡς οἰκουροῦσα τὰ ἔξω ἡ τέκμησσα ἠγνόει. δεῖ οὖν τὸν χορὸν τὰ μὲν ἔνδον ἀπ' αὐτῆς γνῶναι τὴν δὲ ἀπὸ τοῦ χοροῦ τὰ ἔξω.

l. 235. Τὴν μὲν] τὴν ποίμνην.

l. 236. Πλευροκοπῶν] κατὰ τῶν πλευρῶν τύπτων.

l. 237. Δύο δ' ἀργίποδας] ἀντὶ τοῦ λευκόποδας ἴσως τὸν μὲν ἕνα, ἐνόμιζεν Ὀδυσσέα, τὸν δ' ἄλλον, νέστορα, ἢ μενέλαον.

l. 238. Τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν] ἴσως τοῦτον ἐνόμιζε νέστορα, ὡς ψευδομαρτυρήσαντα κατ' αὐτοῦ.

l. 241. Μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν παίει] διπλώσας τὸν χαλινὸν, παίει τὸν κριὸν, ὡς λιγυρᾷ καὶ ὀξυφώνῳ μάστιγι. Ἱπποδέτην δὲ ῥυτῆρα, χαλινὸν, μέγαν. Μέγαν δὲ, πρὸς τὸ πικρότερον καθάψασθαι τοῦ ἐχθροῦ.

l 241. Κακὰ δεννάζων] ἀντὶ τοῦ βλασφημῶν. περιστέλλει δὲ καλῶς τὸν λόγον, φάσκουσα τὰ ῥήματα μὴ εἶναι τοῦ Αἴαντος, ἀλλὰ θείων τινὸς ὑποβολῇ. δαίμονα δή φησι τὴν μανίαν. δεννάζων δὲ, ἀπὸ τοῦ δεινὸν, δεινάζω καὶ δεννάζω, ὡς φαεινὸς, φαεννός.

l. 245. Ὥρα τιν'] ὥρα τινὰ ἡμῶν (ἀντὶ τοῦ ἕκαστον ἡμῶν) περικαλυψάμενον τὴν ἐσθῆτα, τοῖς καλύμμασι τὴν κεφαλὴν κρυψάμενον. ὁρῶν δὲ ὁ χορὸς ὅτι ἐν μεγίστῳ κακῷ ἐστὶν Αἴας, τὸ μὲν κατὰ τὴν νόσον, τὸ δὲ, κατὰ τὴν ἀπειλὴν τῶν βασιλέων, διαπορεῖται τί πρακτέον αὐτῷ, πότερον ἐγκαλυψαμένους φυγὴν ὁποιποτοῦν, ἢ ἀποπλεῖν ἐπιβάντας ἐπὶ τῶν νεῶν. καὶ οὐκ ἔστι μὲν μικρὸν, τὸ ἐάσαντας τὸν προστάτην ἀπαλλαγῆναι. ἀλλὰ σημαίνουσι διὰ τούτων ἐστὶν ὅτι τὰ ἐν ποσὶ δεινά. εἰώθασι γὰρ οἱ ἀποροῦντες ἐξ ἀρχῆς τοιαῦτα προσφέρεσθαι.

l. 250. Μεθεῖναι] μετιέναι, φυγεῖν. ἕκαστον ἡμῶν (φησὶ) δεῖ μεθεῖναι, τουτέστι ῥίψαι ἑαυτὸν ἐν νηῒ, καὶ φυγεῖν.

l. 251. Τοίας] ἀντὶ τοῦ μεγάλας.

Ἐρέσσουσιν] εὐτόνως κινοῦσιν. ἀπὸ τῶν ἐρεσσόντων· ἀντὶ τοῦ ἐλαύνουσι, κινοῦσι.

l. 252. Δικρατεῖς] οἱ δισσοί.

l. 253. Πεφόβημαι] εὐλαβοῦμαι τὸ λευσθῆναι, καὶ ἄλλως μετ' αὐτοῦ, ὃν δὴ μοῖρα τις κακὴ κατέχει. λέγει δὲ τὴν μανίαν. φησὶν οὖν ἡ τέκμησσα πεπαῦσθαι, ἀντὶ τοῦ συμπαθεῖν αὐτῷ τῆς μανίας, ἵνα προκόπτῃ τὰ τῆς ὑποθέσεως.

l. 254. Λιθόλευστον ἄρην] τὸν θάνατον· καὶ Ὅμηρος, Γίνετ' ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι.

l. 256. Ἀισ' ἄπλαστος] ἀντὶ τοῦ μεγάλη. οὐκέτι κατέχει αὐτὸν ἡ μανία ἀλλὰ λήγει, ὡς ὀξὺς νότος, ταχέως λήγει, ὡς γενομένων τινῶν σημείων ἐπὶ τοῖς πνεύμασιν. ὥστε παρατείνειν αὐτά, ἢ ταχέως πεπαῦσθαι. οἶεν ὅτι καὶ ἐν τῇ κωμῳδίᾳ, Ἀλλ' ἔπεσε ταχέως. δειλινὸς γὰρ ἤρξατο.

l. 259. Καὶ νῦν φρόνιμος] ἔμφρων γενόμενος, ἤρξατο συμπαρακολουθεῖν τῇ συμφορᾷ, καὶ ἀλγεῖν.

l. 261. Μηδενὸς ἄλλου] ὅτι, μηδενὸς συμπράξαντος, καὶ μετασχόντος τῶν ἁμαρτημάτων. ἡ γὰρ κοινωνία τῶν ἁμαρτημάτων φέρει τινὰ παραμυθίαν. περισσὴ δὲ ἡ παρὰ πρόθεσις.

Φροῦδος γὰρ] δηλονότι ὄντος.

Pag. 15. l. 264. Μείων λόγος] ἀντὶ τοῦ οὐδεὶς λόγος.

l. 265. Πότερα δ' ἂν, εἰ νέμοι] εἰ δοίη τις αἵρεσιν, πότερον ἂν προκρίνειας, λυπῶν τοὺς φίλους, αὐτὸς ἥδεσθαι ἢ λυπῶν τοὺς φίλους καὶ αὐτὸς λυπεῖσθαι. ἄριστα δὲ ἔχουσιν αἱ ἀντιθέσεις, τῶν μὲν οἰομένων ἐν εὐτυχίᾳ γεγονέναι, εἰ πέπαυται τὸ κακόν. τῆς δὲ, βουλομένης παραστῆσαι ὅτι ἐν χείροσιν ἐστὶ τὰ τοῦ

Αἴαντος

Αἴαντος νῦν, ὁπότε καὶ παρακολουθεῖ τοῖς ἁμαρτήμασιν. εἰπόντος δὲ τοῦ χοροῦ ἐν εὐτυχίᾳ εἶναι εἰ πέπαυται ὁ Αἴας τοῦ κακοῦ ἐπάγει ἡ Τέκμησσα ὅτι κακῶν ἐστὶ τῶν οὕτως πραξάντων, καὶ τὸ πεπαῦσθαι τῶν δεινῶν. παρακολουθῶν γὰρ τοῖς πεπραγμένοις, ἐν ὀδύνῃ πλείονι γίνεται. καὶ Εὐριπίδης, Τὸ γὰρ ὀρθοῦσθαι γνώμην, ὀδυνηρόν. πρὸς δὲ τὸ ὑπ' ἐκείνων εἰρημένον ὅτι ἐν εὐτυχίᾳ ἂν εἴημεν εἰ πέπαυται, ἀντιτίθησιν οὕτως, πότερα ἂν ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τοὺς φίλους, αὐτὸς ἐν ἡδονῇ διάγειν· ἢ κοινωνεῖν τοῦ πάθους, καὶ αὐτός τε λυπεῖσθαι καὶ τοὺς φίλους λυπεῖν. δηλονότι, ὁ μὲν Αἴας ἐν τῇ μανίᾳ ὤν, ἐτέρπετο, οἰόμενος τιμωρεῖσθαι τοὺς ἐχθρούς, ἐγὼ δὲ ἐλυπούμην ὁρῶσα αὐτόν. νῦν δὲ παυσάμενος τῆς μανίας, καὶ αὐτὸς λυπεῖται ἐπὶ τοῖς πεπραγμένοις, λυπεῖ δὲ πάλιν καὶ τοὺς φίλους νῦν οὖν δεδιπλασίασται τὸ κακόν. τοῦτο δὲ ἀνταποδίδωσιν ὁ χορὸς διὰ τῶν ἐπιφερομένων, Τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν δηλονότι τὸ ἀμφοτέρους λυπεῖσθαι.

l. 266. Φίλους ἀνιῶν αὐτὸς ἡδοναῖς ἔχει] ὥσπερ ὁ Αἴας ἐν μανίᾳ ὢν λυπῶν ἡμᾶς, αὐτὸς ἥδετο.

l. 269. Ἡμεῖς ἄρ' οὐ νοσοῦντες] ἡμεῖς, ἀντὶ τοῦ ὁ Αἴας νῦν μὴ νοσῶν, ὀδυνᾷ ἑαυτὸν διὰ τὰ πεπραγμένα.

l. 276. Ἡμᾶς δὲ τοὺς φρονοῦντας] γρηγοροῦντας βλέποντας.

l. 279 Ἡμεῖς θ' ὁμοίως] ἐμοὶ (φησί) κατ' ἄμφω τοὺς καιροὺς συμβέβηκεν ἀνιᾶσθαι, αὐτοῦ μὲν τότε ἐξεστηκότος καὶ τερπομένου νῦν δὲ σωφρονοῦντος καὶ λυπουμένου

l. 280. Ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν] ἁπλοῦν μὲν, τὸ τοὺς φίλους ἀνιᾶν· δὶς τόσα δέ, ὅτι καὶ αὐτὸς συναλγεῖ.

l. 282. Πῶς γὰρ, εἰ πεπαυμένος] πῶς γὰρ οὐ θεῖόν τι εἴη τὸ κατὰ τὸν Αἴαντα, εἰ πεπαυμένος τοῦ κακοῦ, μᾶλλον ἐν ἀνίᾳ διάγει;

Πεπαυμένος] ἀντὶ τοῦ σωφρονῶν.

l. 284. Ὡς ὧδ' ἐχόντων] ὅτι κάκιον νῦν ἐκεῖνος ἔχει.

l. 285. Τίς γάρ ποτ' ἀρχὴ] ἀντὶ τοῦ τίς ἡ προσβολὴ τοῦ κακοῦντος αὐτὸν θεοῦ.

l. 288. Κεῖνος γὰρ ἄκρας νυκτὸς] περὶ πρῶτον ὕπνον. πιθανῶς δὲ καὶ τὸ τοῦ καιροῦ προσκεῖται· οἱ γὰρ ἐπιβουλεύοντες, τότε τὰς ἐξόδους ποιοῦνται ὥστε λαθεῖν τὰς παραφυλακάς.

Ἡνίχ' ἕσπεροι] οἱ κατὰ τὴν ἑσπέραν. ἤ, ὅτε οὐκ ἔφαινον ἔτι οἱ ἕσπεροι ἀστέρες. ἤ, ὅτε ἐσβέσθησαν οἱ λύχνοι. συνετῶς δὲ, καὶ οὐ κατὰ μαινόμενον. καὶ ἐκ τῆς τοῦ καιροῦ γὰρ ἐννοίας ἐπιβουλεύοντος, ἐπιθέσθαι περὶ πρῶτον ὕπνον.

l. 289 Λαμπτῆρες] οἱ κατὰ τὴν οἰκείαν φαίνοντες λύχνοι.

Ἧιθον] ἀντὶ τοῦ ἤθοντο.

l. 293. Οὐκέτι] ὥσπερ παρὰ Αἰολεῦσι τὸ ὅτινα κοινόν ἐστι κατὰ γένος, οὕτω καὶ παρ' Ἀττικοῖς τὸ οὔτε τι ὅταν οὕτως συντάσσηται, κοινῶς λέγεται.

Ἐμάστι'] ἐζήτει.

l. 289. Ἐξόδους κενὰς] τὰς οὐκέτι χρησίμως γενομένας.

l. 290. Ἐπτοήσω] ἐνίστασαι.

l. 292. Πεῖραν] πορείαν. ὁδόν

l. 294. Ἀεὶ δ' ὑμνούμενα] ἀεὶ θρυλλούμενα ὑπὸ πάντων ἀνθρώπων, καὶ κοινά. ἤ, ἀεὶ ὑπ' αὐτοῦ λεγόμενα πρὸς ἐμέ. ὅμοιον δὲ τὸ ἦθος ἐκείνῳ, Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε.

l. 296. Κἀγὼ μαθοῦσ' ἔληξ'] φοβηθεῖσα αὐτὸν οὐ διεκώλυσα.

l. 297. Καὶ τὰς ἐκεῖ μὲν] τοῦτο μὲν ἀγνοεῖ ἡ Τέκμησσα λέγειν. τοῦτο δὲ παρεῖπεν αὐτῷ ὁ ποιητής, καὶ ἐνοχλεῖν οὐ δεῖ τὸν θεατὴν ταυτολογοῦντα.

l. 299. Κυνὰς βοτῆρας] τοὺς ποιμενικοὺς κύνας. οὐ γὰρ ἀναιρεῖ κατὰ τὴν σκηνὴν ἄνθρωπον, ἀλλ' ὡς ἔξω τινὰς ἀνεῖλεν.

l. 300. Ηὐχένιζε] τὸν τράχηλον ἀπέκοπτεν. ἐλαιμοτόμει.

l. 301. Ἔσφαζε, κἀρράχιζε] ὅπερ Ὅμηρος ἀνερύειν φησίν· ὥστε κατὰ τοῦ λοιμοῦ γίνεσθαι τὴν σφαγήν.

l. 302. Ἠκίζεθ' ὥστε φῶτας] δηλονότι κύνας βοτῆρας.

l. 303. Τέλος δ' ἐπαΐξας] ἡ μὲν Τέκμησσα ἀγνοεῖ τίνι διείλεκται ἐκ τοῦ προλόγου, ὅτι Ἀθηνᾷ ἦν ἡ λαλήσασα αὐτῷ· τὸ δὲ Σκιᾷ τινί, ὅτι οὐ συνέβαλε τὰ περὶ τὴν θεόν, καὶ ὅτι ἴδιον τοῖς μαινομένοις καὶ τοῖς ματαίοις λαλεῖν ἀγνοοῦσα δὲ ὅτι ἡ Ἀθηνᾶ αὐτὸν ἐκάλεσε διὰ τοῦ ἐπαΐξας, τὴν ἔξοδον τῇ μανίᾳ ἀνατίθησι.

Pag. 17. l. 304. Συντιθεὶς γέλων πολὺν] τουτέστι ῥήματα καταγέλαστα λέγων, κατὰ τῶν κριῶν ὡς κατὰ ἀνθρώπων ἐποιεῖτο τὴν κόλασιν.

l. 308. Καὶ πλήρης ἄτης] οὐχ ὅτι τοῦτο ἀλγεινὸν τὸ ἀνελεῖν τὰ ποίμνια. ἀλλ' ὅτι διήμαρτε τῆς τιμωρίας τῶν ἐχθρῶν.

l. 309. Θωΰξεν] ἐβόησε.

Ἐν δ' ἐρειπίοις] τὸ ἑξῆς, ἐν δὲ τοῖς ἐρειπίοις τῶν νεκρῶν τοῦ ἀρνείου φόνου ἐρειφθείς. ὅ ἐστιν, ἐν δὲ τοῖς πτώμασι τῶν νεκρῶν καταπεσὼν ἔκειτο. θαυμαστῶς δὲ ὑπ' ὄψιν ἤγαγε τὰ πράγματα, μεταξὺ τῶν πτωμάτων τὴν φαντασίαν ἐπιδεικνύς. ὅτι καὶ τὸ παρ' Ὁμήρῳ περὶ τοῦ κύκλωπος, —τανυσσάμενος διὰ μήλων.

l. 310. Ἐρειφθείς] ἀντὶ τοῦ καταπεσὼν, ἐρριμμένος. πάντα γὰρ τὰ ἐπὶ τὴν ἔραν πίπτοντα, ἐρείπια καλοῦνται· καὶ αἱ ῥιπαὶ ἐντεῦθεν ὡς τὰ ἐρείπια. τινὲς δὲ ἐρεισθεὶς γράφουσιν, ὅτι ἐπηρεισμένος.

l. 311. Ἀτρὶξ] ὅλῃ δυνάμει, ἰσχυρῶς. ἀσφαλῶς. προσπεφυκότως. ὃ οὐχ οἷόν τε ὁρίσαι, διὰ τὴν σύμφυσιν.

l. 312. Ἐπεὶ ἐμοὶ] οὐκ ἔχων ἐπιβολὴν τῆς αἰτίας τῶν πεπραγμένων, ἐμὲ ἐρωτᾷ τὸ συμβάν. πάνυ δὲ συμπαθὲς, τὸν ἐμφρονέστατον Αἴαντα παρὰ τῆς γυναικὸς πυνθάνεσθαι τίνα ἐστὶν ἃ ἔπραξεν αὐτός.

l. 315. Κυρεῖ ποτε.] τὸ κυρῶ περισπωμένως φησὶν ἡ συνήθεια καὶ ἀττικοί. ἐν δὲ κυκλικοῖς βαρύνουσιν αὐτὸ ἀττικοὶ μετ' ἐκτάσεως τοῦ υ κύρσε λέγοντες, ἀντὶ τοῦ κυρεῖν. νῦν δὲ ἀντὶ τοῦ κυρεῖ ὁριστικοῦ κεῖται.

l. 318. Ἐξῴμωξεν] ἐξάκουστον ᾤμωξεν.

l. 319. Ἄς οὔποτ' αὐτοῦ] οὐκ εἰώθει (φησὶν) ὁ Αἴας ἐν τοῖς κακοῖς ἀπολοφύρεσθαι, ἀλλ' ἦν καρτερικός. ἔλεγεν οὖν (φησὶν) ἀεὶ, κακοῦ ἀνδρὸς τὸ ὀλοφύρεσθαι. ὁποῖον φησὶ καὶ ἡρακλῆς ἐν τραχινίαις, "Ἀλλ' ἀστένακτος αἰὲν "εἰπόμην κακοῖς. ὁ οὖν Αἴας πρὸ τούτου, εἰ συμβαίη τι αὐτῷ δεινὸν, ὡς ταῦρος ἀνεβρυχᾶτο ἀνεξάκουστον, οὐδέποτε δὲ εἰς προφανῆ γόον ἐξέπιπτεν.

l. 320. Κακοῦ] δειλοῦ.

Βαρυψύχου] μικροψύχου καταπεπτωκότος τὴν ψυχήν. οἱ λέγοντες δὲ τὸ βαρύψυχον ἀντὶ τοῦ γυναικὸς, καὶ διὰ τοῦτο προστιθέντες τὸ οὐ, τἀληθὲς ἠγνοήκασι. βαρύψυχος γὰρ ὁ βαρεῖαν καὶ λιθώδη καὶ ἀκίνητον ἔχων ψυχὴν, ἀλλὰ μὴ πρὸς πόλεμον ὁρμητικὴν καὶ πρόθυμον.

l. 321. Ἐξηγεῖτο] ἡρμήνευεν. ἡ γὰρ ἐξήγησις, ἐπὶ θείων, ἑρμηνεία, ἐπὶ τῶν τυχόντων

l. 322. Ἀψόφητος ὀξέων κωκυμάτων] ἤγουν ὑψηλῶν. ὅμοιον τῷ ἀσπασίον ἀσπίδος τε καὶ στερροῦ. τὸ ὀξὺ, ἐπὶ μὲν φωνῆς ἔχει ἐναντίον τὸ βαρύ· ἐπὶ δὲ ὀφθαλμοῦ καὶ ξίφους, τὸ ἀμβλύ· ἐπὶ δὲ χυμῶν, τὸ γλυκύ.

l. 326. Σιδηροκμῆσιν] τοῖς σιδήρῳ φονευθεῖσιν· ὡς ἀνδροκμῆσιν. καὶ δῆλος ἐστι προσεκτικὴ πρὸς τὸν ἀκροατὴν, ἵνα προσέχῃ ἀκριβέστερον, προσδοκῶν τὸ συμβησόμενον.

l. 328. Τοιαῦτα γάρ πως] ἐοικότα κατά τινα τρόπον.

Καὶ λέγει κὠδύρεται] τοῦ βούλεσθαι δρᾶσαι δηλονότι κακόν τι.

l. 339. Ἀλλ' ὦ φίλοι] τοῦτο πρὸς τὸ μέγεθος τῆς συμφορᾶς. πιθανὴν δὲ τὴν πρόφασιν τῆς ἐξόδου φησὶν, ἵνα μὴ δόξῃ τὸν Αἴαντα ἐν τοιαύτῃ συμφορᾷ καταλελοιπέναι.

Ἐστάλην] κυρίως ἐπὶ θαλάσσης, ὅτι ἔστειλα τό τις τὸν πλοῦν.

l. 331. Φίλων γὰρ οἱ τοιοίδε] οἱ τοιοίδε φίλοι ὁποῖοι ἐστὲ ὑμεῖς, νικῶνται φίλων ἤγουν ἡττῶνται. ἡττᾶται δὲ ὁ ἐρῶν τινὸς, καὶ πολλὴν ἀγάπην εἰς αὐτὸν τρέφων· κρατεῖ δὲ ὁ ἐρώμενος. Ἄλλως. Φίλων γὰρ οἱ τοιοίδε. δηλονότι, καὶ οἱ κακοπραγοῦντες ὑπονέμουσιν αἰδῶ τινὰ τοῖς φίλοις. ἡ οὖν τεκμήσσα, ἅτε δὴ γυνὴ οὖσα καὶ αἰχμάλωτος, οὐχ οἵα τε αὐτὸν παραμυθεῖσθαι, ἀλλὰ τὸν χορὸν προτρέπεται εἰσιέναι. ἐπειδὴ δὲ ἄτοπον τὸν χορὸν ἀπολιπεῖν τὴν σκηνὴν ἀναβοᾷ ἔνδοθεν ὁ Αἴας, ἵνα μείνῃ ἐπὶ χώρας ὁ χορός. τοῦτο γὰρ ἐπόθει θεατής.

l. 333. Διαπεφοιβάσθαι] ἐκμεμηνέναι· παρὰ τὸν φοῖτον ἢ ἀπὸ τῶν φοιβωμένων καὶ ἐνθουσιώντων. καὶ γὰρ ἐκεῖνοι μανίᾳ παρόμοιον πάσχουσί τι.

l. 335. Τάχ' ὡς ἔοικε] τάχα ὡς φαίνεται, μᾶλλον στενάζει, ὡς νῦν αὐτοῦ μᾶλλον παροξυμμένου ἢ πρότερον. εἶτα πρὸς τὸν χορὸν τὰ ἑξῆς, ἢ οὐκ ἠκούσατε Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν; ἐμφαντικῶς δὲ τὸ θωΰσσει. καὶ γὰρ δεῖ τὸν ὑποκρινόμενον τὸ τοῦ Αἴαντος πρόσωπον, ἀπηνεστέρῳ χρήσασθαι τῷ φθέγματι, καὶ κυνικώτερον βαΰζειν. διὰ τοῦτο εἶπεν θωΰσσειν.

l. 338. Ἀνὴρ ἔοικεν] ἢ ἔτι νοσῶν ἀναβοᾷ, ἢ μεταγνοὺς ἐπὶ τοῖς πεπραγμένοις ὑπὸ τοῦ παλαιοῦ νοσήματος.

l. 340. Ἰὼ παῖ παῖ] παρέλκει τὸ παῖ. ἡ δὲ τέκμησσα ἐνόμισεν αὐτὸν τὸν παῖδα καλεῖν.

l. 341. Ἀμφὶ σοὶ] περὶ σοῦ.

Ὦ μοι τάλαιν'] ἀπορούσης τὸ ἦθος. τὸ μὲν, ἀποιμώζει, τὸ δὲ, καλεῖ τὸν παῖδα. εἶτα πρὸς ἑαυτὴν ἐπαπορεῖ, Τίποτε μαμοινᾷ] καὶ πάλιν καλεῖ τὸν παῖδα, καὶ ἑαυτὴν ἀπολοφύρεται. λελυθότως δὲ ἐνεφάνισε καὶ τὸ τοῦ παιδὸς ὄνομα. ἐδεδίει δὲ μὴ ἀνέλη αὐτὸν μαινόμενος. Ἄλλως. Τίποτε μαμοινᾷ; ἀντὶ τοῦ προθυμῆ πρὸς τὸν ἄιαντα λέγει τοῦτο.

l. 342. Ποῦ ποτ' εἶ] πρὸς τὸν εὐρυσάκην. ὁ γὰρ παιδαγωγὸς αὐτὸν ἔξω εἶχε.

l. 343. Τεῦκρον καλῶ. ποῦ τεῦκρος;] μεταβαίνει ὁ αἴας ἐπὶ πολλὰ, ἵνα δὴ πλείονες αἱ ἀγωνίαι γίγνωνται. Ἄλλως. ἴδιον τοῦ κακῶς ἔχοντος, τὸ μὴ ἐφ' ἓν τῶν λοιπῶν τούτων ποιεῖσθαι τὴν ἀναφοράν. ἐπιζητεῖ δὲ τεῦκρον ἵνα παραδῶνται αὐτῷ τὸν παῖδα, ὃν ἀφίησι τῷ χορῷ, μὴ εὑρὼν τὸν τεῦκρον. τὸ δὲ ἀπεῖναι τεῦκρον, χρήσιμον τῇ οἰκονομίᾳ. παρὼν γὰρ ἐκώλυεν αὐτὸν πρᾶξαι ἃ ἐβούλετο, νῦν δὲ μόνης τῆς γυναικὸς ἐγένετο κρείττων. Ἄλλως. παῖ παῖ εἰπὼν, μεταπίπτει εἰς ζήτησιν τοῦ τεύκρου ὑπὸ ἀμηχανίας, ὡς ἐπιλαθόμενος ἐκείνου.

Ἢ τὸν εἰσαεὶ] ἤγουν κατὰ τὸν ἑξῆς χρόνον πάντα. τὸ ἀεὶ λέγεται ἐπὶ ἐνεστῶτος καὶ παρεληλυθότος καὶ μέλλοντος· τὸ δὲ εἰσαεὶ ἐπὶ ἀεὶ μέλλοντος.

l. 344. Λεηλατήσει] λείαν ἐλάσει, λαφυραγωγήσει. λῃστεύσει. πορθήσει. ἁρπάσει.

l. 345. Ἀνὴρ φρονεῖν ἔοικεν] ἐκ τοῦ καλεῖν τὸν τεῦκρον στοχάζονται, καὶ ἀνοῖξαι κελεύουσιν, ἵνα αἰσθανθείη θεασάμενος· οἷον, τάχ' ἂν αἰσθανθείη με. ἢ οἷον, τάχα ἂν ἐφ' ἡμῖν αἰσθανθῇ, ἀπολιπὼν ἡμᾶς ἀνάρχους καὶ ἀπροστατεύτους τοῖς ἐχθροῖς.

P. 19. l. 346. Διοίγω] ἀνοίγω.

Προσβλέπειν δ' ἔξεστί σοι] ἐνταῦθα ἐγκύκλημά τι γίγνεται, ἵνα φανῇ ἐν μέσοις ὁ αἴας ποιμνίοις. εἰς ἔκπληξιν γὰρ φέρει καὶ ταῦτα τὸν θεατὴν τὰ ἐν τῇ ὄψει προτεθέντα. δείκνυται δὲ ξιφήρης ἡματωμένος, μεταξὺ τῶν ποιμνίων καθήμενος.

l. 347. Τὰ τοῦδε πράγμ'] τὰς πράξεις ὡς ἔχει εἰργάσατο.

Ὡς ἔχων κυρεῖ] τουτέστιν ὡς διάκειται.

l. 348. Ἰώ μοι φίλοι ναυβάται] τάχιστα τὸ πᾶν ἀπήγγειλε τοῦ ἐπιπνοῦ. βούλεται δὲ σημᾶναι ὅτι ὥσπερ ἐκ μεγάλου χειμῶνος ὑπὸ κινήσεως ἀνέμων κῦμά τι ὑπολειφθὲν ἀπὸ τοῦ γεγονότος χειμῶνος κυκλεῖ αὐτόν. μετὰ γὰρ τὸν χειμῶνα εἴωθε τὸ κῦμα ἐπὶ πλεῖον μένειν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ ὡς ἀμφίδρομον, ὅ ἐστι τὸ πανταχόθεν περιτρέχον. ἐξ οὗ τὴν ὑπερβολὴν τοῦ κακοῦ σημαίνει, ὅτι κατ' οὐδὲν αὐτῷ ἐν εὐδίᾳ ἦν τὰ πράγματα.

l. 350. Ὀρθῷ νόμῳ] ὀρθὸν νόμον τὸν τῆς φιλίας φησίν. νόμος, ἐστὶν ἔγγραφος συνήθεια· συνήθεια δὲ, ὁ ἄγραφος νόμος.

l. 353. Ἀμφίδρομον] τὸ ἑλικοειδὲς, ὃ βαπτίζει τὰς ναῦς.

Κυκλεῖται] στρέφει. κυκλέω κυκλῶ, τὸ στρέφω· κυκλόω δὲ κυκλῶ, τὸ περιλαμβάνω.

l. 354. Οἴμ', ὡς ἔοικας] ὁ χορός ἐστιν ὁ λέγων. οὐ γὰρ εὐπρεπὲς τὴν τέκμησσαν τὸν λόγον ὑφαρπάζειν λεγόμενον πρὸς τὸν χορόν. ἐν ταῖς γὰρ ἀμφιβολίαις τῶν προσώπων δεῖ τοῦ ἤθους στοχάζεσθαι, καὶ διαστέλλειν τὸ πρόσωπον. ἔοικας οὖν (φησὶν) ὅτι ἐν μεγάλῳ χειμῶνι γέγονας. τὸ γὰρ ἀφροντίστως, οἷον, διὰ τὸ μηδένα ἐπιμεληθῆναί σου, ἐν χειμῶνι γέγονας. ἢ οὕτω πρὸς τὴν τέκμησσαν ὁ λόγος, νομίζω σε ἀληθῆ μοι μεμαρτυρηκέναι περὶ τῆς μανίας τοῦ αἴαντος, οὕτως γὰρ τὸ πρᾶγμα δείκνυσιν ἡμῖν ὅτι μανικῶς διετέθη. τὰ δὲ ὡς, καὶ τὸ ἄγαν, ἐκ παραλλήλου.

l. 355. Ἀφροντίστως] μανικῶς.

l. 356. Ναΐας] τῆς ναυτικῆς. ἐπεὶ ναυτικοὶ δοκοῦσιν οἱ νησιῶται.

l. 358. Ἐπέβας] τῶν νεῶν δηλονότι.

Ἑλίσσων πλάταν] κωπηλατῶν. εἴρηται δὲ παρὰ τὸ ἀμφιελίσσας. κωπηλατῶν δὲ, ἀντὶ τοῦ κωπηλάτης, ἵν' ᾖ τὸ πᾶν, ὃς κωπηλάτης ἐπέβης τῶν νεῶν.

l. 360. Ποιμένων] τῶν κηδεμόνων, τῶν βοηθῶν. ὡς καὶ ποιμαίνειν τὸ φροντίζειν. ποιμένων οὖν, τῶν ἐμὲ ποιμαινόντων καὶ θαλπόντων. τὴν αὐτὴν οὖν μοι προαίρεσιν λάβε, καὶ δόξαι με ἀποθανεῖν. ἢ σφάζων με σὺν τοῖς θρέμμασιν. οὐ διὰ τὴν ἧτταν δὲ τῶν ὅπλων πικρὸς ἂν βούλεται ἀναιρεῖσθαι, ἀλλὰ τὸ ὄνειδος ὑφορώμενος τῶν ποιμνίων. ἐν τούτῳ δὲ τὸ ἦθος καὶ ἡ μεγαλοφροσύνη δείκνυται τοῦ αἴαντος.

Ἐπαρκέσοντα] ὑπηρετήσοντα.

l. 361. Συνδάιξον] ὁμοῦ διαφθείρατε καὶ σφάζετε σὺν τοῖς θρέμμασι.

l. 362. Εὔφημα φώνει] τὸ ἑξῆς, μὴ κακὸν κακῷ διδοὺς ἄκος, μεῖζον ποίει τῆς ἄτης τὸ πῆμα. ἄτην δὲ τὴν μανίαν πῆμα

μα ἢ τὸ θάνατον, ὃ ἐστι χεῖρον τῆς μανίας. τοῦτο δέ φησιν ἐπεὶ ὁ Αἴας λέγει τῷ χορῷ, ἀλλὰ σύν με δαΐξον. Ἄλλως. μὴ θεραπεύουσα κακῷ ἕτερον κακὸν ἐπεισαγάγῃς. ἤγουν μὴ τῷ θανάτῳ διαλύσῃς τὸ ὄνειδος. πῆμα δὲ ἄτης, κατὰ περίφρασιν, τὴν ἄτην μὴ τὴν ἄτην πλείονα ποιήσῃς. ἀρκεῖ γὰρ ἡ παροῦσα.

l. 366. Ἐν ἀφόβοις με θηρσὶ] τοῖς μὴ φόβον ἐμποιοῦσι προβάτοις.

Δεινὸν] φοβερόν.

Χέρας] κατὰ τὴν ἰσχύν.

l. 367. Οἷον ὑβρίσθην ἄρα] ὅτι οὐδὲν αὐτῷ ἄλλο ἀπειλεῖται ὡς τὸ τῆς ἀσχημοσύνης, ὅτι κατὰ τῶν μηδενὸς ἀξίων ἠνδρίσατο.

l. 368. Μὴ δέσποτ' Αἴας] τοῦτο τεκμήσσης ἐστὶ, καὶ παρὰ μέρος γίγνονται αἱ παραμυθίαι οἷα τὰ τῶν φίλων ἐστὶν ἐν ταῖς τοσαύταις συμφοραῖς παραμυθουμένων· ἵνα ἐκεῖνος μὲν ἀπαραλείπτον ἔχῃ τὴν παραμυθίαν, οἱ δὲ ἐν μέρει τυγχάνωσιν ἀναπαύλης.

l. 369. Οὐκ ἐκτός; οὐκ ἄψορρον] πρὸς τὴν τέκμησσαν φησίν. ἐκείνοις μὲν γὰρ διαλέγεται Αἴας δεόμενος αὐτῶν. ἐνταῦθα δὲ τῇ τεκμήσσῃ ἐπιπλήσσει. (εἰώθαμεν γὰρ τοῖς ἐγγυτέροις παρρησιάζεσθαι) οὐχ ὡς αἰχμάλωτον ἐξωθεῖν. ἄψορρον δὲ, ὀπισθόρμητον.

Ἐκνεμῇ] ἐξάξεις. νέμω τὸ βόσκω, καὶ δίδωμι, καὶ διοικῶ ποιητικῶς. νέμομαι δὲ, τὸ βόσκομαι. καὶ νέμεται τὴν ὕλην τὸ πῦρ. ἀπὸ τούτου καὶ νέμομαι, ποιητικῶς.

l. 371. Ὦ πρὸς θεῶν] τοῦτο ὁ χορὸς, τῆς τεκμήσσης σιγησάσης. οὐ μὴν διὰ τὴν ἐπιτίμησιν πρὸς τοῦτο ἀποκρίνεται ὁ Αἴας, ἀλλ' ἀνοιμώζει πάλιν. ἔστι γὰρ καὶ τοῦτο ἴδιον τῶν καμνόντων, ὥστε μὴ ἀκολούθως φθέγγεσθαι.

l. 374. Ἑλίκεσσι βουσὶ] ἕλικας, τὰ περὶ τοὺς καρποὺς ψέλλια ἢ ἐνώτια λέγουσι. καὶ ἑλικώτατον ὕδωρ, τὸ ἑλικοειδὴ ἔχον τὴν ῥύσιν, ἢ διαυγές. ἑλικῶπις καὶ ἑλίκωψ, εὐόφθαλμος.

l. 376. Κλυτοῖς] κλυτὰ λέγει τὰ αἰπόλια, διὰ τὰς ἐν αὐτοῖς ταραχὰς καὶ φωνάς.

l. 378. Ἐπεξειργασμένοις] ἐπιτετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσι κατὰ τὸ σιμωνίδου, τὸ γὰρ γεγενημένον, οὐκ ἔτ' ἄρρεκτον ἔσται.

l. 379. Ὅπως οὐχ ὧδ' ἔχειν] ὅπως ταῦτα μὴ οὕτως χωροίη. οὐχ οὕτως διακεῖσθαι.

Ἁπάντων κακῶν ὄργανον] ἀντὶ τοῦ πανοῦργε καὶ περίεργε.

Pag. 21. l. 380. Κακοπινέστατον] τὸν πίνον, ποτὲ μὲν ἐπὶ τῆς ἰδέας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους. ἐνταῦθα οὖν τὸν κακοήθη, ἀντὶ τοῦ κολάκευμα. τρῖμμα κακορύπαρον. πινώδεις γὰρ, ἀδόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρόν. ἄλλοτε ἄλλα νοῶν. πίνα, ὁ ῥύπος, δι' ἑνὸς ν· πίννα, τὸ ὄστρεον, διὰ δύο νν.

l. 381. Πολὺν γέλωθ'] τοῦτο μάλιστα αὐτῷ ἀπειλεῖ, τὸ τῷ ἐχθρῷ καταγέλαστον εἶναι.

l. 382. Σὺν τῷ θεῷ] κινδυνεύει εἰς ἐναντίον εἶναι τὸ διανόημα. ἐὰν νομίζομεν φάσκειν τὸν χορὸν ὅτι θεοῖς ἀρέσκει γελᾶν ἐκεῖνον, καὶ ἐφήδεσθαί σοι. τοῦτο γὰρ προτρεπτικὸν μᾶλλον φέρει εἰς τὸν θάνατον Αἴαντι. ἀκουστέον οὖν οὕτως, οὐχ ὅτι θεῷ ἀρέσκει γελᾶν ἐκεῖνον, ἀλλ' ὅτι θεῶν βουλομένων, καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν εἰκὸς οὖν καὶ ἡμῖν (φησὶν) βοηθῆσαι τὸ θεῖον. ἢ οὕτως, θεὸς καὶ τὸ γελᾶν καὶ τὸ κλαίειν δίδωσι. πῶς οὖν σὺ ἔχεις καταγελᾶται Ὀδυσσεὺς, Αἴτιος συγγεγονὼς τῆς ἀτυχίας, ὅπουγε παρὰ θεῶν δίδοται.

l. 384. Ἴδοιμι δή νιν] τοῦ χοροῦ τὸν περὶ θεοῦ λόγον ἐμβαλλομένου, οὐκ ἐρίζεται ὁ Αἴας, ἀλλ' ὑπὸ τῆς ἰδίας δυνάμεως ἐπαίρεται. φησὶν οὖν, ἴδοιμι αὐτὸν, καίπερ οὕτως κακούμενος. δῆλον γὰρ ὅτι ἀμυνοῦμαι, εἰ καὶ θεοὶ συλλαμβάνουσιν αὐτῷ.

Ἀτώμενος] ἄτης πεπληρωμένος.

l. 386. Μηδὲν μέγ' εἴπῃς] ὁποῖον καὶ τὸ ἐν ἠλέκτρᾳ. μηδὲν μέγ' αὔσῃς· τοῦτο δὲ πρὸς τὸ ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.

l. 487. Ἰὼ ζόφ] αἱ τοιαῦται προσφωνήσεις οὐ διαλύουσι τὴν ὑπόθεσιν, παραλαμβάνουσαι τὸ μέλλον, ἀλλὰ προσοχὴν ἐργάζονται τῷ θεατῇ, προσδοκῶντι πῶς τὸ δεινὸν ἀπαντήσει.

Προγόνων] πρόγονος, πατὴρ, πάππος, καὶ οἱ ἀνώτεροι ἀπόγονοι, υἱὸς, ἔγγονος, καὶ οἱ κατώτεροι. πρόγονοι, καὶ οἱ ἀπὸ προτέρου γάμου γεγεννημένοι, ὧν ὁ πατὴρ ἢ ἡ μήτηρ εἰς δεύτερον ἦλθε γάμον· λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρου γάμου γεννωμένους· ἐπίγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρου γάμου.

l. 389. Ἄλημα] πλάνη καὶ παραλογιστικὸν πανούργημα, ἢ περίτριμμα, παρὰ τὸ λίπειν.

Ὅλοι

l. 392. Ὅταν κατεύχῃ] ἐπειδὴ τῆς παραμυθίας οὐκ ἠδυνήθη αὐτὸν μεταθεῖναι, δοκεῖ ἐκ τούτων αὐτὴν μεταθεῖναι. καὶ μοὶ οὖν εὔχου ἀποθανεῖν. εὔχομαι δὲ τῷ θεῷ, καὶ εὔχομαι τῷ ἀνθρώπῳ, ὑπὲρ οὗ τὴν εὐχὴν ποιοῦμαι· κατεύχομαι δὲ, τὸ καταρῶ.

l. 396. Ὦ φαεννότατον ὡς ἐμοὶ] τουτέστιν, ὡς ἐμοὶ φαεινότερον τοῦ ἡλίου, ἐμοὶ χρῆσθαι κριτῇ. ἢ παρέλκει τὸ ὡς. λέγει δὲ σκότος, ἐμὸν φάος, ὡς οὗτις τὸν θάνατον σωτηρίαν νομίσειεν.

l. 398. Ἔλεσθε] ἀντὶ τοῦ ἁπλῶς λάβετε, ἔσθ' ὅτε δὲ καὶ ἀντὶ τοῦ προτιμῆσαι.

Οὔτε γὰρ θεῶν] οὔτε θεῶν οὔτε ἀνθρώπων γένος ὁρᾶν ἔτι ἄξιόν μοι εἰς ὠφέλειαν. ἄριστον τοίνυν ἐξιέναι τοῦ βίου. ἢ οὕτως, εἰς ὄνησιν ἀνθρώπων ὠφέλεια οὐκ εἰσί μοι οἱ ἄνθρωποι, οὔτε οἱ θεοί. τί οὖν ζῶ;

l. 402. Ἀλλά μ' ἁ δῖος] καὶ ταῦτα χρησίμως κατὰ τὸν χορόν, ἵνα ἐπίστωνται καὶ ὅθεν ἡ κατάρχη τῆς μανίας. ἔδει οὖν οὐ παρὰ ἄλλου μαθεῖν ἢ παρ' ἐκείνου τοῦ πεπονθότος. συνίησι γὰρ πεπλανημένος ὑπὸ τῆς ἀθηνᾶς. ἡ γὰρ τέκμησσα τὸ ὅλον ἀγνοεῖ.

l. 403. Ὀλέθριον] μέχρι θανάτου.

Αἰκίζει] ἀντὶ τοῦ αἰκίζεται, ἤγουν μαστίζει.

l. 404. Φύγῃ] γράφεται τράπῃ.

l. 405. Ποῖ μολὼν] ποῖ ἐλθὼν παραμενῶ. πανταχοῦ γὰρ ἕπεται ἡ θεὸς αἰκιζομένη.

l. 406. Εἰ τὰ μὲν φθίνει] ἤγουν ἡ ἐμὴ εὐτυχία φθείρεται διὰ τὴν κρίσιν τῶν ὅπλων.

l. 407. Μωραῖς δ' ἄγραις] διὰ τὴν ἀναίρεσιν τῶν βοτῶν, ἃ λαβὼν μωρῶς διεχρήσατο.

l. 408. Δίπαλτος] ἀμφοτέραις ταῖς χερσίν, ἤγουν περιδεξίως με φονεύοι. παντὶ σθένει, ὡς δίδυμος. ἢ, ὁ στρατὸς με φονεύοι λαβὼν τὰ δίπαλτα δοράτια, ὡς τινός φησιν ἀπὸ τοῦ πάλλω· ἀφ' οὗ ἐν ἄλλοις τοῦτο παλτὸν λέγει πῦρ τὸν κεραυνόν, ὡς ἄνωθεν παλλόμενον.

l. 409. Χειρὶ φονεύοι] τὴν ἀπὸ τῶν ἐχθρῶν ἐπιβουλὴν προβάλλεται

l. 410. Τοιόνδ' ἄνδρα χρήσιμον φωνεῖν] τοιαῦτα φωνεῖν ἃ πρότερον οὐκ ἂν εἶπεν γυναικότατός ὤν. Χρήσιμον, τὸ ἐπιτήδειον εἰς χρείαν, ἤγουν τὸ συντελοῦν εἴς τι. θέλει οὖν ἐνταῦθα δεῖξαι ὅτι ἀσυντελὲς φωνεῖν τοιόνδε ἄνδρα ἃ οὐδέποτε τοῦτον πρότερον ὑπέμεινεν ἂν φωνῆσαι.

Pag. 22. l. 413. Πόροι] ποταμοί.

Ἀλίρροθοι] εἰς θάλασσαν ῥέοντες μετὰ ἤχου. οὐ τοὺς ἐν σαλαμῖνι δέ φησιν, ἀλλὰ τοὺς ἐν τροίᾳ.

Πάραλα] ἤγουν παράλια, τουτέστι παραθαλάσσια.

l. 414. Καὶ νέμος ἐπάκτιον] τὸ ἄλσος τοῦ ὄρους τῆς ἴδης τὸ παράλιον. ἀκτὴ δὲ, ὁ κρημνώδης τόπος ἐν θαλάσσῃ· αἰγιαλός, ὁ ἐπίπεδος καὶ ὁμαλός.

l. 416. Κατείχετ'] εἴχετε. κατέχειν γὰρ λέγεται τὸ κρατεῖν, καὶ ἔχει τὸ ἐναντίον τὸ ἀπολύειν.

l. 417. Ἀλλ' οὐκέτι] ἕξετε δηλονότι.

l. 418. Ἀμπνοὰς ἔχοντα] ἤγουν ζῶντα.

l. 419. Ἴστω] ὅτι οὐκ ἔχω ἔτι ζῆν.

l. 420. Ἰὼ σκαμάνδριοι] οὐκ ἔστιν ἡ διαστολὴ πρὸς τοὺς τρῶας, ὡς τοῦ σκαμάνδρου μᾶλλον τὰ τῶν ἑλλήνων αἱρουμένου, ἀλλ' οὕτως, ἐμοὶ ἐχθραὶ ῥοαί, εὔφρονες δὲ τοῖς ἀργείοις τοῖς ἐμοῖς ἐχθροῖς. ταῦτα δὲ πάντα ἐστὶ τοῦ ἀνακρουομένου τὸν θάνατον. εὔφρονες ἀργείοις, διὰ τὸ ποτόν. ἔμφρον μὲν γὰρ, ὁ φρόνιμος· εὔφρον δὲ, ὁ ἡδὺς καὶ εὐφραντικός.

l. 422. Οὗ τοιόνδ' ἄνδρα] οὐ νεμεσητὸν τῷ Αἴαντι μεγαλαυχεῖσθαι. ὅταν μὲν γάρ τις ἐν μετρίᾳ διαγωγῇ ᾖ, τότε εὔσχημον περιστέλλειν τὰ ἑαυτοῦ πλεονεκτήματα· ἀπηυδηκότα δ' ἄνδρα οὐκ ἄν τις μέμψαιτο εἰ μεγαλαυχεῖται. ὁποῖα δὲ ὁ Ἡρακλῆς ἐν τῷ τέλει ὤν, περὶ τῆς ἀνδρείας αὐτοῦ διέξεισι. καὶ γίγνεται ἐπίτασις τοῦ πάθους, ὁπόταν τὸ τοιοῦτο διαφθείρηται. ἔτι δὲ αὔξεται τὸ πάθος οὐκ ὑπὸ ἄλλου λεγόμενον, ἀλλ' ὑπὸ αὐτοῦ.

l. 423. Ἐξερέω] κομπάσω.

Οὔτινα] οὐδένα ἄλλον δηλονότι εἶδεν ἀπὸ στρατοῦ.

l. 427. Πρόκειμαι] προκείμενος εἰμὶ εἰς ὄψιν πάντων δηλονότι.

l. 428. Οὔτοι σ' ἀπείργειν] ὁ χορός ἐστιν ὁ λέγων. ἐνδίδωσι γὰρ τῷ χορῷ κάμνοντι· ὅπερ ἐστὶν εἶδος παραμυθίας. ἡ τέκμησσα τοῦτο οὐκ ἐποίει. ἀπείργω τινὰ βουλόμενον ἐνεργεῖν τι· ἀνείργω δὲ τὸν ἀρξάμενον, καὶ ὁσονοῦν τοῦ ἔργου ἀνύσαντα.

l. 429. Ἔχω] ἀντὶ τοῦ δύναμαι.

l. 430. Αἰ, αἴ] ἐντεῦθεν μακρὰν ῥῆσιν

σιν μηνύει ὁ Αἴας. ἔστι καὶ τοῦτο ἀρχαιότροπον, τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφοράς. καλῶς μὲν οὖν πρέποντα ἂν ἐμέμνητο τοῦ διανοήματος, ἐν συμφορᾷ γὰρ ὤν.

Ἐπώνυμον] σύμφωνον ἔσεσθαι καὶ ἐπώνυμον τοῖς ἐμοῖς κακοῖς, ἔπλεξε γὰρ τὸ ὄνομα παρὰ τὸ αἶ αἶ τὸ θρηνητικόν.

l. 431. Ξυνοίσειν] συνδραμεῖν, καὶ συνενεχθῆναι, καὶ εἰς ταυτὸν ἐλθεῖν.

l. 433. Ἐντυγχάνω] περιπίπτω.

l. 434. Ὅτου πατὴρ] περιπαθῶς τὰ τοῦ πατρὸς κατορθώματα παραλαμβάνει. οὐκ ἐλάσσονα γὰρ τοῦ πατρὸς ποιήσας ἄτιμος ἐλαύνομαι.

Ἰδαίας] Ἰδαία τὸ πάλαι ἡ Τροία ἐκαλεῖτο, ἀπὸ τῆς Ἴδης τοῦ ὄρους.

l. 435. Τὰ πρῶτα καλλιστεῖ'] ὅτι εἴληφε τὴν ἰσότιμον παρὰ τοῦ Ἡρακλέους. πρεσβεῖον μὲν, ἡ διὰ γῆρας προτίμησις, καὶ τὸ δι' αὐτὸ διδόμενον γέρας κατὰ προτίμησιν· ἀριστεῖον γὰρ, τὸ ἕνεκα ἀριστείας γέρας· καλλιστεῖον γὰρ, τὸ ἐκλεγὲν τινὶ γέρας. πρωτεῖα, τὰ τῆς πρώτης τάξεως γέρα· δευτερεῖα, τὰ τῆς δευτέρας.

l. 439. Οὐδ' ἔργα μείω] πιθανῶς, τὸ μὴ εἰπεῖν πλείονα τοῦ πατρὸς κακοπαθῆσαι, ἀλλὰ μὴ ἐλάττονα.

Ἀρκέσας] δείξας, βοηθήσας, ποιήσας· λείπει γὰρ ἡ διὰ· ἵν' ᾖ, δι' ἐμῆς χειρός.

l. 440. Ἄτιμος ἀργείοισιν] ἀντὶ τοῦ ὑπὸ ἀργείων. ἢ, ἀρκέσας, ἀργείοις ἄτιμος ὢν ἀπόλλυμαι.

l. 441. Καίτοι τοσοῦτόν γ'] ἀντὶ τοῦ τοῦτο.

Ἐξεπίστασθαι δοκῶ] γινώσκειν νομίζω.

Εἰ ζῶν Ἀχιλλεὺς] χαρίεν τὸ διανόημα. ἐπεξιὼν γὰρ τὰς ἑαυτοῦ συμφορὰς, καταλέγει πρῶτον τὰ κατὰ τὴν ἀδικίαν τῆς κρίσεως· τοῦτο γάρ ἐστι τὸ πρῶτον αὐτὸν λελυπηκός. εἰπὼν γὰρ τὰ ἴδια κατορθώματα, διεξῆλθε καὶ ὡς συγγενικὴ αὐτῷ ἡ παρὰ τὸ χωρίον ἀνδραγαθία.

l. 443. Κρίνειν ἔμελλε κάρτος] ἀντὶ τοῦ μετὰ κρίσεως διδόναι τινὶ κράτος ἀριστείας. ἤγουν, ἔμελλε κρίνειν τίς ὁ κρατῶν ἐστι διὰ τὰς αὐτοῦ ἀνδραγαθίας. οὐδεὶς ἄλλος κατέσχεν ἂν ταῦτα πρὸ ἐμοῦ ἐν ταῖς ἀριστείαις

l. 445. Παντουργῷ] πάντα πράττοντι, καὶ μηδὲν ὑποστελλομένῳ πανούργῳ καὶ ἀναιδεῖ.

l. 446. Ἀνδρὸς τοῦδε] δεικτικῶς, ἀντὶ τοῦ ἐμοῦ.

Κράτη] νίκην.

l. 448. Φρένες διάστροφοι] ἤγουν παράφορες.

l. 448. Γνώμης ἀπῇξαν τῆς ἐμῆς] ὅτι, εἰ μὴ διὰ ἔκστασιν τοῦ δέοντος ἐξέπεσον αἱ διάνοιαί μου, οὐκ ἄν ποτε ἄλλου οὕτως ἀδίκως κατεψηφίσαντο. ὡς καὶ παρ' Ὁμήρῳ, Ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο.

Ἀπῇξαν γὰρ] ἀντὶ τοῦ ἀπήγαγον, ἀπεῖρξαν γὰρ, ἀντὶ τοῦ ἐκώλυσαν.

l. 449. Ἐψήφισαν] ἐψηφίσαντο. ψηφίζω γὰρ τὸ λογαριάζω· ψηφίζομαι γὰρ τὸ ψήφους τίθημι.

Pag. 25. l. 450. Ἀδάμαστος θεὰ] παρθένος, ἄζυγος.

l. 452. Ἔσφηλεν] σφαλῆναι ἐποίησεν.

l. 455. Ἐμοῦ μὲν οὐχ ἑκόντος) γράφεται οὐκ ἔχοντος. τὸ ἔγκλημα τῆς φυγῆς αὐτῶν. πάνυ γὰρ γενναίως ἐμμένει τῷ λήματι. τὸ γὰρ ἐφ' ἑαυτῷ ἀνῃρηκέναι φησὶ τοὺς ἕλληνας, καὶ ἡττῆσθαι οὐχ ὑπ' ἐκείνων, ἀλλὰ διὰ τὴν ἐπήρειαν τῆς θεοῦ.

l. 456. Φύγοι γ' ἂν) φεύγει τις διωκόμενος ὑπό τινος· φεύγει φυγαδευόμενος καὶ ἐξοριζόμενος· καὶ φεύγει κατηγορούμενος, ἐξέφυγε γὰρ, ἀντὶ τοῦ ἐξελύσατο ἑαυτόν· διαφεύγει δέ τι ὅταν παραδράμῃ διωκόμενον, ἢ ὅταν παρενεχθῇ λαθὸν, ἢ ὅταν κρατηθὲν διολισθήσῃ.

l. 457. Θεοῖς ἐχθαίρομαι) διὰ τὸ πεπλανῆσθαι ὑπὸ τῆς θεοῦ. ἀπὸ τοῦ ἔχθω τὸ μισῶ, ἔχθος τὸ μῖσος, καὶ ἐχθαίρω, τὸ μισῶ, καὶ ἐχθαίρομαι, τὸ μισοῦμαι.

l. 460. Ναυλόχους ἕδρας) τὸν ναύσταθμον ἔνθα αἱ νῆες ἵστανται κατὰ λόχον· τουτέστι κατὰ τάξιν.

l. 461. Περῶ) ἀντὶ τοῦ περάσω.

l. 462. Καὶ ποῖον ὄμμα) αἰσχύνεται ἄνευ ἀριστείων φανῆναι τῷ πατρὶ, καὶ φυγὰς ἀκούειν. δαιμονίως γὰρ ἀνθυπάγει αὐτῷ καὶ τὰ τῆς ἀπαλλαγῆς· καὶ τοῦτο ἀναλύει, ἵνα μὴ λυθῇ ἡ ὑπόθεσις.

l. 464. Γυμνὸν φανέντα) ἀντὶ τοῦ ἔρημον. μεγαλοφυῶς γὰρ οἴεται ἑαυτὸν τὸ πᾶν εἶναι. τὸ γὰρ γυμνὸν καὶ τὸ ἄτερ, ἐκ παραλλήλου, ἀντὶ τοῦ μεμονωμένον καὶ κεχωρισμένον τῆς ἀριστείας, ἤγουν τῶν ἕνεκα ἀριστείας γερῶν.

l. 467.

l. 467. Πρὸς ἔρυμα) πρὸς τὸ τεῖχος, ἢ πολίχνιον. ἔρυμα γὰρ, καὶ φρούριον, καὶ πολίχνιον, ταυτόν.

Ξυμπεσὼν) συμπεσεῖν τὸ συμβαλεῖν εἰς μάχην· προσπεσεῖν, τὸ ἐξαίφνης μὴ εἰδότα τινὰ ἀποκτεῖναι.

l. 469. Ἀλλ' ὧδέ γ' Ἀτρείδας) ἀλλ' εὐφρανθήσονται οἱ Ἀτρεῖδαι ἐὰν τι γενναῖον δράσας πρὸς τοὺς Τρῶας ἀποθάνω, ἀγνοοῦντες ὅτι ἑκουσίως γέγονέ μοι ὁ θάνατος, καλῶς δὴ οὐκ ἐπιτεύξονται τὴν ἀληθῆ δόξαν, ἕως ἂν δράσῃ ἅπερ αὐτὸς ὑπονοεῖ.

l. 470. Οὐκ ἔστι ταῦτα) οὐδέν εἰσι ταῦτα, οὔτε οὐδὲ τὸ μὴ τὰς ἕδρας τὰς ναυλόχους λιπεῖν, καὶ ἀπιέναι πρὸς τὸν πατέρα, οὔτε μὴ εἰς μάχην συνελθεῖν, ὥστε πεπλευτηκέναι ἀποθανεῖν.

l. 472. Μήτοι φύσιν γ' ἄσπλαγχνος) τουτέστιν ἀσθενῆ, καὶ ἀνομοίαν παρὰ τὴν τοῦ πατρός. ἄσπλαγχνος δὲ, ἄτολμος, ταπεινὸς, δειλὸς, ψυχρὸς σπλάγχνα γὰρ, ἡ καρδία. ἀφ' οὗ καὶ εὔσπλαγχνος ὁ εὐκάρδιος καὶ ἀνδρεῖος· ἄσπλαγχνος δὲ, ὁ ἀκάρδιος καὶ δειλός.

l. 473. Τοῦ μακροῦ χρῄζειν βίου) τῆς ἐπὶ πολὺ ἐκτεινομένης ζωῆς. αἰσχρὸν δὲ δηλονότι, ἄδικον, δειλὸν, ἄκοσμον, ἄμορφον.

l. 474. Ἐξαλλάσσεται) ὅστις διαλλαγὴν δέχεται, ἀεὶ ἐν κακοῖς ἐξετάζεται.

l. 475. Τί γὰρ παρ' ἦμαρ) τί γὰρ ἡμέρα μία ἔχει (προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τοῦ θανεῖν) τέρπειν τὸν ἄνθρωπον ;

l. 478. Θερμαίνεται) χλιαίνεται, θάλπεται. τὸ γὰρ τοιοῦτον ἐξαπατῶν ἑαυτὸν, ἐν ψευδολογίᾳ διάγοντα. Ἄλλως. Θερμαίνεται, ἤγουν θαρρεῖ, καθ' ὃ λέγεται θάλπον παρ' Ὁμήρῳ τὸ θάρσος, κατ' ἐναντιότητα τοῦ δέους, ὃ ψυχρὸν αὐτὸς λέγει, ψυχρὸν δέος εἷλεν.

l. 479. Ἀλλ' ἢ καλῶς ζῆν) φιλοσόφως τὸ καλὸν ἐν ἀμφοτέροις.

l. 480. Τὸν εὐγενῆ) τὸν μεγαλοπρεπῆ καὶ γενναῖον· εὐγενεῖς γὰρ, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ εὐγενὴς ὁ μεγαλοπρεπὴς, καὶ γενναῖος· καὶ εὐγενὲς ἦθος, τὸ ἀστεῖον, καὶ πεπαιδευμένον, καὶ ὄγκον ἔχον· καὶ εὐγενὴς ψυχὴ καὶ εὐγενὴς λόγος.

l. 481. Ὡς ὑπόβλητον λόγον) γνήσια τῆς διανοίας τὰ εἰρημένα, καὶ οὐχ ὑπόβλητα οἰκεῖα σου συντεθ' εἶπας· ὅμως γε μὴν παῦσαι, τὸ πᾶν ἀναθεὶς ἡμῖν.

l. 485. Ὦ δέσποτ' Αἴας) τεκμήσσσης ὁ λόγος· οὐ γὰρ δεῖ τὸν χορὸν μηκύνειν τὸν λόγον· μικτὸς δὲ ὁ λόγος· τὸ μὲν γὰρ αὐτοῦ, γενναῖον καὶ ἐλευθέριον διὰ τὴν παρρησίαν τῆς φύσεως (ἐλευθέρα γὰρ ἐπάναγκες γέγονε) τὸ δὲ, συναρμόζον τοῖς καιροῖς. διόλου τὴν φιλοστοργίαν ἐμφαῖνον· καὶ ὅταν τὰ ἑαυτῆς καταβάλῃ, τεχνικῶς ἐπιχειρεῖ, μήθαπώτερόν πως καθιστῶσα τὸν Αἴαντα. δεῖ οὖν αὐτῆς εἶναι τοὺς λόγους, ὅτι διὰ τὴν ἐλευθερίαν παρρησιάζεται.

Τῆς ἀναγκαίας τύχης) τῆς δυστυχίας. τεχνικῶς ὁ λόγος ἐκ προοιμίου, καὶ εἰς ἔλεον ἱκανὸς ἐπισπάσασθαι. διπλῶς δέ φησιν τὸ ἀναγκαῖον, ποτὲ μὲν, ἐπὶ τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων (ὡς ἂν εἴποιμεν ἀναγκαίως τὸ πῦρ θερμὸν, καὶ τὸ γάλα λευκὸν) ποτὲ δὲ, ὡς ἐπὶ τοῦ ἐξ ἀνάγκης γινομένου, ὡς καὶ νῦν ἀναγκαίας τύχης τοῦ βίου φησί.

l. 488. Σθένοντος ἐν πλούτῳ, εἴπερ τινὸς τῶν φρυγῶν) ἀντὶ τοῦ, ὡς οὐκ ἄλλου τινός.

l. 489. Θεοῖς γὰρ) συνίζησις. τὸ δὲ πᾶν περιαγόν.

l. 490. Καὶ σῇ μάλιστα χειρὶ) τῇ αἰχμαλωτισάσῃ με.

l. 491. Εὐ φρονοῦ τὰ σὰ) εὔνους σοι καθίσταμαι, εὖ νοῶ τοῖς σοῖς. φρονῶ αἰτιατικῇ συντάσσεται, καὶ τὸ εὖ φρονῶ, ἐπεὶ διαλελυμένον ἐστί· τὸ δὲ εὐφρονῶ, δοτικῇ ἐνίοτε καὶ αἰτιατικῇ.

l. 492. Καί σ' ἀντιάζω) ἀντὶ τοῦ παρακαλῶ, κάλλιστα δὲ ἀμφοτέροις τοῖς ὅρκοις ἐχρήσατο. μέγιστον γὰρ δικαίωμα τὸ τῆς αὐτῆς ἑστίας ἐπιτυχεῖν, ὁπότε καὶ τῶν πολεμίων φειδόμεθα διὰ ταῦτα. καὶ τὸ σεμνὸν τῆς κοίτης χρήσιμον, ὅπου γε καὶ τὸ σεμνότατον τῶν προσώπων περὶ δικαιωμάτων τῶν πρὸς ἄνδρα καὶ γυναῖκα διαλεγόμενον, αὐτὸ τοῦτο ὄμνυσι, Σή θ' ἱερὴ κεφαλὴ, καὶ νωΐτερον λέχος. ὅρα δὲ ὅτι ἑκατέρωθεν ἀπείλαις ὁ τοιοῦτος λόγος προσάγεται. ἐπὶ δὲ τοῦ Ὀδυσσέως καὶ ἄλλο τι οἰκειότερον ὄνομα ἐξεῦρεν, Ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο, τὴν εὔνοιαν δηλῶν τῶν οὕτως συνιόντων ἐπὶ κοινῇ παιδοποιίας.

Ἐφεστίου Διὸς) ἀντὶ τοῦ συνοίκου· οἱ μὲν γὰρ συνοικοῦντες τὸν ἐφέστιον διαπροτείνουσιν· οἱ δὲ φίλοι, τὸν φίλιον, οἱ δὲ ἐν τῇ μιᾷ τάξει καταλεγόμενοι καὶ

μιᾷ συμμορίᾳ, ἑταιρείων. οἱ δὲ ξένοι ξένιον· οἱ δὲ ἐν ὅρκοις συμφωνίας ποιοῦντες, ὅρκιον. οἱ δὲ διόμαιμοι, ἱκέσιον· οἱ δὲ ἀδελφοὶ, ὁμόγνιον.

l. 493. Συνηλλάχθης) συναλλαγὰς ἔχεις. γράφεται συνεζεύχθης, συνηρμόσθης· ὅθεν καὶ συνάλλαγμα.

Pag. 17. l. 495. Τῶν σῶν ὑπ' ἐχθρῶν χείραν) ἡ ὑπὸ πρὸς τὸ χείραν· ὑποχείραν δὲ τινι τῶν ἐχθρῶν σου. εἰδυῖα δὲ ἀγριαίνοντα τὸν Αἴαντα πρὸς τὰς ἐπιτιμήσεις, διαρρήδην μὲν οὔ φησι, μὴ διαφθείρῃς σαυτόν. στοχαζομένη δὲ τοῦ καιροῦ, ἔξωθεν περιέρχεται, τὰ ἐπακολουθοῦντα λέγουσα. ὅτι ὑποχείριον μὴ τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψεις.

l. 496. Τελευτήσας) τὸν βίον δηλονότι. τελευτῶ τὸ ἔργον, καὶ τελευτῶ ἀντὶ τοῦ ἀποθνήσκω, ἐφ' ᾧ συνυπακούεται τὸν βίον, ἵν' ᾖ τελευτῶ τὸν βίον, ἤγουν τελευτῶ καὶ καταστρέφω τὸ αὐτό. ἔστι δὲ τὸ τελευτῶ καὶ τὸ καταστρέφω, ἔστι δὲ καὶ τὸ μεταλλάττω τὰ αὐτά. δηλοῖ γὰρ τὸ ἀποθνήσκειν.

l. 497. Ταύτῃ) ἀντὶ τοῦ οὕτως, κατὰ τοῦτον τὸν τρόπον.

l. 499. Δούλιον ἕξειν τροφήν) οὐ ψιλὸν τὸ τῆς δουλείας εἶπεν, ἀλλὰ καὶ ὅσα ἔνεστιν εἰπεῖν τινα ἰδόντα αὐτὸν ἐν δουλείᾳ. καὶ ἡ τοιαύτη δὲ διδασκαλία, Ὁμήρου, Μὴ παιδὶ ὀρφανικὸν θείης, χήρην τε γυναῖκα. ἀποστρέψαι δὲ βούλεται αὐτὸν διὰ τῶν τοιούτων λόγων.

l. 501. Λόγοις ἰάπτων) γράφεται ἀτίζων, ὑγιάζων, παρὰ τὸ Ὁμηρικὸν, Ἕκτορος ἥδε γυνή.

l. 503. Τρέφει) αὔξει. ἔχει.

l. 504. Δαίμων ἐλᾷ) δαίμων νικῷ, ἡ δουλεία, ἡ ἡ δυστυχία· ἐλᾷ δὲ ἀντὶ τοῦ ἐλάσῃ, εἰς ταῦτα δηλονότι.

l. 505. Σοὶ δ' αἰσχρὰ τάπη) καὶ διὰ τὴν εὐγένειαν καὶ διὰ τὴν ἀνδρίαν· διὰ μὲν τοῦ σοὶ, τὴν ἀνδρίαν· διὰ τοῦ τῷ σῷ γένει, τὴν εὐγένειαν, τῶν προγόνους. θαυμαστῶς δὲ ἡ προσθήκη τοῦ γένους. Αἰσχρὸς γὰρ προστέψῃ καὶ τῷ υἱῷ, ἐπὶ τοιούτοις αὐτὸν καταλείπων.

l. 506 Ἀλλ' αἴδεσαι μὲν) καλῶς ἐπὶ τοῦ πατρὸς, ἐν γήρᾳ μακρῷ· ἐπὶ δὲ τῆς μητρὸς, πολλῶν ἐτῶν κληροῦχον. ὁ γὰρ ἐπ' ἀμφοτέρων ἑνὶ χρησάμενος ὀνόματι, ἐπιτεμνόμενός ἐστι τὸν λόγον. τὸ δὲ ἐγχρονίζειν ταῖς διηγήσεσιν, ἀνυσιμώτερον. θαυμαστῶς δὲ, ἐπὶ μὲν ἑαυτῆς οὐδαμοῦ τοῖς τοιούτοις ὀνόμασι χρῆται, οὔτε αἰδέσθητι, οὔτε οἴκτειρε, ἐπὶ δὲ τῶν γονέων τε καὶ τοῦ παιδός.

l. 508. Κληροῦχον) μέτοχον. κεκληρωμένην. κλῆρον ἐσχηκυῖαν. κληροῦχος καὶ τῶν γεωργοὺς φησὶν Ἡρόδοτος, κληροῦχοι καὶ οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κλήρους ἑκάστῳ διανέμοντες.

Ἥ σε πολλάκις) τοῦτο οἰκείως ἐκ τῆς φύσεως στοχαζομένη παρέλαβεν.

l. 510. Εἰ νέας) εἰ τῆς νέας τροφῆς σοῦ χωρὶς διάξει καὶ βιώσεται. τροφῆς δὲ, ἀντὶ τῆς ἀναστροφῆς. λέγει δὲ ἀναστροφὴν τὴν ἀνατρέψουσιν αὐτὸν ἄλλοι.

l. 512. Ὑπ' ὀρφανιστῶν) ὀρφανισταὶ εἰσὶν οἱ τῶν ὀρφανοὺς τρέφοντες. ἑλληνικῶς οὕτω φησὶν οὐ φίλους ὀρφανιστὰς, καθὸ δυσμενεῖς. ἤ, ὀρφανισταὶ, ἀρχὴ Ἀθήνησι τὰς τῶν ὀρφανῶν κρίνουσα. ἤ, ὀρφανιστῶν, τῶν τῆς ὀρφανίας ἐπιτρόπων· ὀρφανὸς δὲ ὁ ὄρφνην ἔχων τὸ οὐ φαίνεσθαι· ὁ ἄσημος καὶ μηκέτι ἐμφανής. ἀμέλει καὶ ὑπὸ τῶν ἀμφιθαλῶν ὡς ἐμφανῶν ἐλαύνεται· χηρωσταὶ δὲ οἱ τῶν χηρῶν ἐπίτροποι.

l. 514. Ἐμοὶ γὰρ οὐκ ἔτι) καὶ τοῦτο Ὁμηρικὸν, — οὐδ' ἐμοί ἐστι πατὴρ καὶ πότνια μήτηρ. εἶτα ἑξῆς, — ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ.

l. 515. Ἤϊστωσας) ἠφάνισας. ἀϊστῶ, τὸ ποιητικὸς ἐγείρω ἀΐσσω, ἢ ἀϊστῶ, τὸ ἀφανίζω, ἀπὸ τοῦ στερητικοῦ α, καὶ τοῦ ἴσημι, ποιητικῶς τὸ γινώσκω. ἄϊστος, ἀφανὴς γεγονὼς καὶ ἐκπεπτωκὼς τῆς μνήμης, καὶ ἀπὸ τούτου ἀϊστόω ἀϊστῶ, ῥῆμα.

l. 516. Ἀλλ' ἡ μοῖρα) ὡς τοῦ ἰδίῳ θανάτῳ τετελευτηκότος· τὸ δὲ ἄρα, ἀντὶ τοῦ δέ.

l. 517. Θανασίμους) ἀντὶ τοῦ νεκροὺς, ἢ ποιητικοὺς θανάτου.

l. 519. Ἔγωγε σώζομαι) ὥσπερ ἐὰν ἐσωζόμην ἐν πᾶσι, σώζομαι ἐν σοί. σώζεται δέ τις ἔν τινι, ὅταν ἐν αὐτῷ ἡ σωτηρία αὐτοῦ ᾖ, ὡς συζομένη αὐτὸν σώζεσθαι, ἀπολωλότος δὲ συναπόλλυσθαι.

l. 520. Ἀλλ' ἴσχε κἀμοῦ) καλῶς τὸ κἀμοῦ· ἔστι, μετὰ τὸν πατέρα καὶ τὸν υἱὸν, κἀμὲ ἔν τινι μοίρᾳ κατάθου· αἰσθάνεται γὰρ τῆς τύχης ἐν ᾗ νῦν ἐστιν· αἰδημόνως δὲ αὐτὸν ὑπομιμνήσκει τῆς εὐνῆς. διὰ τοῦτο γὰρ μάλιστα δοκοῦ αὐτὸν πείσειν. ὁ δέ γε Εὐριπίδης μασεροτικώτατα εἰσάγει τὴν ἑκάβην λέγουσαν, Ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις ἄναξ; Ἡ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων

ἀπαισιμάτων Χάειν τίν' ἕξει παῖς ἐμὴ μείνας δ' ἐγὼ;

l. 521. Τερπνὸν) τὸ τέρψιν ποιοῦν· χαροποιὸν δὲ τὸ χαρὰν ἔχον, ὅτι χαροποιὸν ὄμμα.

l. 522. Χάρις χάριν γάρ ἐστιν) ἡ φύσις γὰρ τὴν χάριν χάρις, ἐστὶ προσυπάρξασα.

l. 523. Ὅτω δ' ἀπορρεῖ μνῆστις) ἡ μνήμη τοῦ εὖ πεπονθέναι, οὗτος οὐκ ἂν εἴη εὐγενής. σχεδὸν δὲ διὰ τούτων τῶν ἰαμβικῶν ἤρτηται τὸ περὶ εὐχαριστίας καὶ ἀχαριστίας.

l. 525. Ἔχειν σ' ἂν οἶκτον) ἔλεον. διωσπητικὰ γὰρ τὰ τοιαῦτα. εἰ γὰρ ὁ ξένος ἠλέησε, πόσῳ μᾶλλον ὁ αἴας.

l. 527. Καὶ κάρτ' ἐπαίνου) οὐχὶ καθ' ἃ εἶπεν. ἀλλ', ἐὰν πείθηται κατὰ πάντα ἐμοί. ὁ γὰρ αἴας ἐγνωκὼς ἑαυτὸν ἀποσφάττειν, ἐβούλετο πρὸ τοῦ θανάτου τὸν παῖδα ἰδεῖν. εἰκότως οὖν τοῦτο πάλιν λέγει, ὅτι ἄριστόν ἐστι τὴν γυναῖκα πειθαρχεῖν εἰς ἅπαντα τῷ ἀνδρί. ἔοικε γὰρ ὑφορᾶσθαι ὅτι ὀκνηρῶς ἐκδώσει τὸ παιδίον.

l. 531. Καὶ μὴν φόβοισί γ' αὐτὸν) τοῦ φόβου χάριν, ῥύσασθαι θέλουσα ἐξήγαγον. οὐκ ἄντικρυς μὲν ἀντιλέγει, ἀναβολὰς γὰρ πλάττεται, ὡς ὑποκεκινηκότι μὴ πιστεύουσα. λέγει γάρ, καὶ μὴν ἐξέλυσάμην αὐτόν, εἰς τοῦτο δηλονότι ἵνα σὺ ὁρᾷς αὐτόν.

l. 534. Πρέπον γέ τ' ἦν ἄν) ἦν καὶ τοῦτο τοῦ ἐμοῦ δαίμονος, τὸ ὑπ' ἐμοῦ τὸν παῖδα ἀναιρεθῆναι. ἀντὶ τοῦ, ἔπρεπε τῇ παρούσῃ μου τύχῃ, καὶ τὸ αὐτόχειρά με τοῦ παιδὸς κατασκευάσαι.

l. 535. Τοῦτό γ' ἀρκέσαι) εἰς τοῦτο ἀρκέσαι. τῷ παιδὶ ὑπηρετῆσαι, καὶ ἀποσβῆσαι τὸ θανεῖν.

l. 536. Ἐπῄνεσα) ἀντὶ τοῦ ἐπαινῶ.

l. 537. Τί δῆτ' ἄν) τί σε (φησὶν) ἐκ τῶν παρόντων ὠφέλησα; καὶ τί βούλει σοι γενέσθαι; ὠφειλοίμην ἔδει εἰπεῖν· ποιητικῇ δὲ ἀδείᾳ ἐπεὶ οὕτω χρῆται τοῖς ἀττικοῖς.

Ἐκ τῶνδε) κατὰ τὰ μετὰ ταῦτα.

Pag. 29. l. 538. Προσφωνεῖν) προσφθέγξασθαι. ἀσπάζεσθαι λόγοις.

l. 540. Μὴ οὐ παρουσίαν ἔχειν) ἤτοι παρεῖναι.

l. 542. Εὐθύνων κυρεῖς) ἤγουν διδάσκεις, παιδεύεις, κυβερνᾷς. δεῦρο ἄγε αὐτὸν ὅστις ἀπὸ τῶν προσπόλων κυβερνᾷς αὐτὸν ταῖς χερσίν.

l. 543. Ἕρποντι φωνεῖς) ἐγγύς ὄντι, ἢ ἀπολιμπανομένῳ τῆς κλήσεως. ἤγουν οὐκ ἀκούοντι.

l. 545. Αἶρε δεῦρο) ἀντὶ τοῦ προσφέρε. ὡς τό, Μή μοι οἶνον ἄειρε.

l. 546. Φόνον) τὰ πτώματα τῶν πεφονευμένων.

l. 547. Εἴπερ δικαίως ἔστ' ἐμὸς) εἴπερ ἐστὶν ἐμοῦ, οὐκ εὐλαβηθήσεται τὸν φόνον τῶν ποιμνίων.

Τὰ πατρόθεν) ἤγουν τὰ ἐκ πατρὸς ἰδιώματα λέγω γὰρ ἀνδρίαν καὶ φρόνησιν, καὶ τὸ γενναῖον ἐν συμφοραῖς. ἤγουν, εἴπερ οὐ μόνον κατὰ τὴν σπορὰν ἐμός ἐστιν υἱός, ἀλλὰ καὶ κατὰ τὰ φυσικὰ πλεονεκτήματα ἐμοὶ ἔοικεν ἀληθῶς.

l. 548. Ἀλλ' αὐτίκ' ὠμοῖς) νῦν τὸ ὠμοῖς ὡς κατὰ τῶν καρπῶν· ὅτι εἰσὶν ὠμοί, σκληρότεροί εἰσι καὶ ἰταμοί. μεγαλοφρονοῦν γάρ, νόμους τὴν φύσιν ὀνόμασε καὶ τὸ ἔθος τοῦ γεγεννηκότος.

l. 549. Πωλοδαμνεῖν) ὡς πῶλον γυμνάζειν. πωλοδαμνεῖν ἐπὶ τῶν ἀλόγων λέγεται κυρίως· ἐπὶ γὰρ ἀνθρώπων, τὸ παιδαγωγεῖν καὶ παιδοτριβεῖν· ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης, ὁ λεγόμενος βαίουλος.

l. 550. Ὦ παῖ, γένοιο) μέχρι τοῦ ὁ λόγος. ἡ δὲ ὁμοία εὐχὴ καὶ παρ' ὁμήρῳ, Ζεῦ ἄλλοι τε θεοὶ δότε δὴ καὶ τόνδε γενέσθαι Παῖδ' ἐμὸν ὡς καὶ ἐγώ.

l. 552. Καίτοι σε καὶ νῦν) ἐπειδὴ κατεύχεται αὐτῷ εὐτυχίαν, φησὶν ὅτι, καὶ νῦν σε μακαρίζω ὅτι μικρὸς ὢν οὐκ αἰσθάνῃ τῶν ἐμῶν κακῶν.

Ζηλοῦν) μακαρίζειν.

l. 554. Ἐν τῷ φρονεῖν γὰρ μηδέν,) ἐν τῷ μηδενὸς αἰσθάνεσθαι, μήτε λυπηροῦ, μήτε ἡδέος. ἤτοι, ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν. ἐπεὶ ἔσται γελοιότατον δόγμα ὡς τιμῶντος τὴν ἀφροσύνην.

l. 555. Τὸ μὴ φρονεῖν γάρ,) δεῖ λαβεῖν τοῦτο ὡς ἐπὶ παιδίου. οὐ γὰρ καθόλου τὴν ἀφροσύνην προκρίνει. ὁ δὲ νοῦς, ἐν τῷ νηπίῳ κακὸν μὲν τὸ μὴ φρονεῖν, κακὸν δὲ ὅμως ἀνώδυνον. καὶ εὐριπίδης, "Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ. τάχιστα δὲ διὰ τῆς ἑξῆς ἐσήμανε τὸ συνεκτικὸν καὶ ὡσπερεὶ σύμβολον τῆς φρονήσεως· τὸ γὰρ διακριτικὸν τῶν χαρίτων καὶ τῶν λυπηρῶν, συνετοῦ ἐστι.

l. 557. Δεῖ σ' ὅπως) ἀντὶ τοῦ, δεῖ σε ἐκδικῆσαι τὸν πατέρα. τὸ ὅπως ἐπὶ παραγγελίας κείμενον, οὐδέποτε κατὰ τοὺς ἀττικοὺς ὑποτάσσεται· ἀντὶ γὰρ τοῦ πῶς κεῖται.

l. 558. Οἷος ἐξ οἵου τράφης) οὐ πρὸς τὸ ἐξ οἵου λέγεται τὸ ἐτράφης, ἀλλὰ πρὸς τὸ οἷος ἐτράφης. τὸ δὲ ἐξ οἵου, ἀντὶ τοῦ ἐξ οἵου παιδὸς, δηλονότι γεγονώς. τὸ πᾶν, οἷος ἀνετράφης ἐξ οἵου παιδὸς ὤν.

l. 559. Κούφοις πνεύμασι) κούφῃ καὶ ἁπαλῇ ζωῇ. τῇ μεταφορᾷ δὲ τῶν μικρῶν φυτῶν ἐχρήσατο, ἅτινα οὐδὲν σφοδρὸν δύναται ὑποφέρειν, οὐ καύσωνα, οὐκ ἄνεμον.

l. 560. Ψυχὴν ἀτάλλων) ζωὴν βρεφικῶς διαβιβάζων καὶ τρέφων. ἀτάλλειν γὰρ τὸ νηπιάζειν καὶ σκιρτᾶν.

l. 561. Οὔτοι σ' ἀχαιῶν) ἤγουν, οἶδα ὅτι οὐ μὴ ὑβρίσῃ σέ τις τῶν ἀχαιῶν.

l. 562. Οὐδὲ χωρὶς ὄντ' ἐμοῦ) διὰ τί (φησὶν) ἐν ταῦθα τρανῶς ἐκφέρει τὴν ἑαυτοῦ γνώμην ὁ αἴας, ὅτι δεῖ ἑαυτὸν ἐξάγειν τοῦ βίου; ῥητέον οὖν ὅτι ἐν ἤθει ἔφη, εἰ γένοιτό τις περὶ ἐμὲ συμφορά. μὴ δείδιθι· ἕξεις γὰρ τὸν προνοοῦντα ἀντὶ ἐμοῦ· ἢ ὅτι ἐκφέρει ταῦτα ὑπὸ τοῦ πάθους περαγόμενος.

l. 563. Πυλωρὸν) ἀπὸ μεταφορᾶς τῶν φυλασσόντων τὰς πύλας, λέγει νῦν τὸν ἀποσοβοῦντα, καὶ μὴ ἐῶντα προσβάλλειν κακόν τι.

l. 564. Τροφῆς ἄοκνον ἔμπας) ἀνατροφῆς πρόθυμον φροντιστήν.

Εἰ τανῦν τηλωπὸς οἰχνεῖ,) καὶ εἰ ἔκδημος νῦν ἐστι. Τηλωπός. ἔκδημος. γράφεται καὶ τηλουργός.

l. 565. Δυσμενῶν θήραν ἔχων) φυλακὴν ἔχων τῶν ἐχθρῶν. λέγοι δ' ἂν τῶν θρακῶν. περὶ γὰρ τὰ τελευταῖα τοῦ τρωϊκοῦ πολέμου ἐσυμμάχουν τοῖς τρωσὶν οἱ θρᾷκες. γνόντες δὲ τοῦτο οἱ ἕλληνες, φρουροὺς ἔταξαν προσμηνύσοντας αὐτοῖς τὴν ἐκείνων ἔφοδον· ἵνα οὕτως ἐπελθόντων, κατὰ τὴν ὁδὸν συμβάλωσιν αὐτοῖς, πρὶν ἐλθεῖν εἰς ἴλιον. καὶ πρέσβεις δὲ ἀποστείλαντες, οὐκ ἔπεισαν. τὸ δὲ θήραν γράφεται καὶ φρουράν.

l. 567. Ὑμῖν τε κοινὴν) προθυμοτέρους αὐτοὺς καθίστησι κοινὴν γὰρ καὶ ἴσην φησὶ χάριν ὁμολογεῖν ἐκείνῳ τε τῆς ὑπουργίας, καὶ τούτοις τῆς ἐπαγγελίας. περιπαθῶς δὲ εἰς ἔσχατον περιεστώσης τῆς ἐλπίδος, ἐμφρόνως τὰ συνοδαιότατα τοῖς ἑταίροις ἐπισκήπτει, οὐ τῇ γυναικί. ἐπισκήπτω δὲ τὴν δὲ τὴν ἐντολήν, ὤφειλεν εἰπεῖν· ὁ δὲ λέγει, τὴν δὲ τὴν χάριν, ἐπεὶ ὅπερ ἐντέλλεται ὡς χάριν τοῦτο αἰτεῖ παρ' αὐτῶν.

l. 571. Ὡς σφιν γένηται) πάνυ περιπαθῶς, τὸ ἐπὶ γονεῦσι καὶ παιδὶ διαθήκας ποιήσασθαι. θαυμαστῶς δὲ πρὸς ἅπαντας τοὺς λόγους τῆς τεκμηρίωσης ἀντιθέσεις ἐποιήσατο, οὐκ ἄντικρυς αὐτὸ ὑπισχνουμένου τοῦ ποιητοῦ. τοῦ μὲν μὴ ὑβρισθῆναι τὸν παῖδα ὑπὸ τῶν ἑλλήνων, τὴν ἀπὸ τοῦ τεύκρου φυλακὴν προβαλλόμενος· τοῦ δὲ μὴ γελασθήσεσθαι ὑπ' ἐκείνων, τὴν τοῦ παιδὸς ἀρετὴν, ὃν φησι καὶ ἐκδικήσειν αὐτὸν ἐν ἡλικίᾳ γενόμενον. πρὸς δὲ τὰ περὶ τῶν γονέων, ὅτι ἀντ' αὐτοῦ καταλείπεται ὁ εὐρυσάκης. τὸ δὲ γηροβοσκὸν, γράφεται καὶ μικρὸν, ἀπὸ τοῦ γῆρος· (ἔστι γὰρ ἡ εὐθεῖα τὸ γῆρας) καὶ μέγα, ἀπὸ τῆς γενικῆς τοῦ γήρως.

l. 572. Μέχρις οὗ μυχοὺς κίχωσι) περιφραστικῶς, ἤγουν, ἕως τελευτήσωσι.

l. 573. Καὶ τὰ μὰ τεύχη) πιθανῶς τὸν αἴαντα ἐπὶ τὸν περὶ τῶν ὅπλων λόγον ἰέναι συνεχῶς. ἅπτεται γὰρ αὐτοῦ μάλιστα. ἀνθρώπινον δὲ καὶ μάλα φυσικὸν, τὸ συνεχέστερον μεμνῆσθαι περὶ ὧν ἀνιώμεθα ἐχόμενοι. τεῦχος μὲν τὸ ἀγγεῖον. τεύχη δὲ πληθυντικῶς, τὰ ὅπλα.

l. 575. Ἀλλ' αὐτό μοι σὺ παῖ) πέπεισται ὡς οὐδὲν ἀπολειψομένου τοῦ παιδὸς τῆς αὐτοῦ ἀρετῆς. τὸ δὲ σάκος, διὰ τὸ ἐξαίρετον, τῷ παιδὶ φυλάσσειν κελεύει· τὰ δὲ ἄλλα τεύχη συνθάψαι φησίν. ἐπίσταται γὰρ καὶ αὐτὰ περιμάχητα ἐσόμενα. οἶδεν ὅμηρος ὅπλα συνκαιόμενα, Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισι. τὸ δὲ πᾶν, ἀλλὰ σὺ εὐρύσακες παῖ ἐμοὶ λαβὼν αὐτὸ τὸ σάκος τὸ ἑπτάβοιον, τὸ ἄρρηκτον, τὸ ἐπώνυμον σοὶ δηλονότι, ἔχε στρέφων διὰ τοῦ πολυρράφου πόρπακος. ἔστι δὲ πόρπαξ ὁ λῶρος δι' οὗ κατέχουσι τὴν ἀσπίδα, ὃς λέγεται καὶ ὄχανον. σάκος δὲ οὐδετέρως, ὅπλον, ἀσπίς. σάκος δὲ ἀρσενικῶς, καὶ αὐτὸ διὰ ἑνὸς κ', ὁ θύλακος κάρυκον δὲ, πλέγμα ξύλινον ἄρτων.

l. 581. Καὶ δῶμ' ἀπάκλου) κατὰ τῶν σκηνῶν ἄπαγε. τὸ γὰρ ἀπάκλου, ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦχθαι, ἀκτὸν ὄνομα· καὶ ἀπὸ τούτου, ἀπακλῶ ἀπακτῶ ῥῆμα.

Ἐπισκήνους γόους) ἐπισκηνίους λέγει, ἐπεὶ καὶ ἐπιτάφιοι εἰσὶ καὶ ἐξόδιοι· ἐπισκήνιοι γὰρ θρῆνοι, οἱ ἐπὶ τῆς σκηνῆς.

Pag. 31. l. 583. Πύκαζε) ἀσφάλιζε.

Οὐ πρὸς ἰατροῦ σοφοῦ) οὐκ ἔστιν ἰατροῦ σοφοῦ.

1.584.

l. 584. Θροεῖν ἐπῳδάς) ἀντὶ τοῦ ἐπιφωνεῖν, ἐπάδειν, ἐπῳδαῖς χρῆσθαι.

Πρὸς τομῶντι) τομῆς δεομένῳ τομῶντι ὡς τὸ θανατῶντι, βασιλειῶντι. τὰ γὰρ τοιαῦτα, δευτέρας συζυγίας ὡς ἐπίπαν ἐστίν. ἔστι δὲ γλυκύτατον λέγειν τὸ τραῦμα τομῆς ἐπιθυμεῖν, ὥσπερ εἰ αἴσθησιν εἶχεν.

Πήματι) γράφεται τραύματι.

l. 585. Οὐ γάρ μ' ἀρέσκει) οὐκ ἀρέσκουσιν ἐμοὶ οἱ λόγοι σου θρασεῖς ὄντες. τὸ ὄργανον γὰρ λέγει τῶν λόγων ἀντὶ τοῦ λόγου.

l. 586. Δρασείεις) ἤγουν ἐπιθυμεῖς δρᾶσαι.

l. 587. Μὴ κρίνε) ἤγουν ἀνάκρινε.

Σωφρονεῖν) νῦν τὸ μὴ περιεργεῖν. ἐν τούτῳ γὰρ μάλιστα ἡ σωφροσύνη ταῖς γυναιξὶ διασώζεται, εἰ μὴ περιεργάζοιντο ὅ, τι πράττει ὁ ἀνήρ.

l. 590. Καὶ θεῶν ἱκνοῦμαι) σιωπῆσαι. τὸ δὲ ἱκνοῦμαι, τὸ παρακαλῶ· ἀφικνοῦμαι δὲ, τὸ παραγίνομαι.

Προδοὺς) προδίδωμι, ἐπὶ προδοσίας, ἀφ' οὗ προδότης· προδίδωμι τὸ καταλιμπάνω, ὡς ἐνταῦθα.

l. 591. Οὐ κάτοισθ' ἐγὼ θεοῖς ὡς οὐδ') οὐκ ἔτι (φησὶν) ἐν τούτῳ εἰμὶ ὥστε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ προαιρεῖσθαι τοῦ ζῆν. ὡς οὐκ ἔτι τοῖς θεοῖς ὀφείλω λέγειν ἐγὼ ἐπαρκεῖν ἀντὶ τοῦ οὐδὲν ἐπὶ τιμῇ πράττειν τῶν θεῶν. πρὸς ὃ καὶ ἡ Τέκμησσα ἐπάγει, Εὔφημα φώνει.

l. 594. Τοῖς ἀκούουσιν) τοῖς πειθομένοις.

l. 595. Οὐ ξυνέρξεθ') οὐ συγκλείσετε· κελεύει δὲ τοῖς θεράπουσιν αὐτὴν ἀποκλείειν.

l. 599. Μαλάσσου) μεταβάλλου.

l. 600. Μῶρά μοι δοκ.) εὐήθης εἶ, νῦν βουλομένη μεμαλάσσειν ἐξακμάσαντος τοῦ καιροῦ.

l. 602. Ὦ κλεινὰ Σαλαμίς) συγκέκλεισται ὁ Αἴας διαχρησόμενος ἑαυτὸν, ἐπειδὴ οἱ ἀπὸ τοῦ χοροῦ λόγον περιπαθῆ διεξίασι. πρὸς μὲν γὰρ αὐτὸν λέγειν οὐκ ἦν, εἰσελθόντα ἤδη· γέγονε δὲ αὐτοῖς ἀπολόφυρσις ἐπὶ τὰ οἰκεῖα. καὶ ἔχει ἀκολουθίαν τὰ χορικά. ἀπεστερημένοι γὰρ τοῦ ἄρχοντος, καὶ ἄλλην ἀποστροφὴν οὐκ ἔχοντες, περὶ τῆς πατρίδος τὸν λόγον ποιοῦνται, ἐντιθέμενοι ἐν οἷς εἰσι χαλεποῖς, καὶ ἐν οἷς ἔσονται οἱ γονεῖς αὐτοῦ πυθόμενοι ταῦτα.

l. 603. Ναίεις ἁλίπλαγκτος) ἐνεργητικὸν ἀντὶ παθητικοῦ ναίῃ. τὸ δὲ ἁλίπλαγκτος, ἤγουν ἐν θαλάσσῃ οὖσα, ἀποκλύσῃ περὶ σέ.

l. 606. Παλαιὸς ἀφ' οὗ χρόνος) ἐκ πολλοῦ χρόνου.

l. 607. Ἰδαίᾳ) τῇ Τρωϊκῇ, ὅτι ἐν τῷ τῆς Ἴδης χωρίῳ. τοῖς χλωροῖς καὶ λειμῶνας ἔχουσι διάγων.

l. 608. Λειμωνία πόᾳ) ὅμοιον τῷ, Τελαμώνιε παῖ. λειμωνία γὰρ ἡ ἐν λειμῶσι χλόη.

Μήλων) γενικὸν ὄνομα τοῦτο παρ' Ὁμήρῳ· εἰπὼν γὰρ [illegible] μῆλα, ἐπάγει, ὄϊές τε καὶ αἶγας.

l. 609. Ἀνήριθμος) ἐν οὐδενὶ ἀριθμῷ ταττόμενος, ἀλλὰ παρερριμμένος.

Εὐνώμᾳ) ἤτοι τῷ εὐνομουμένῳ καὶ δικαίῳ. ἢ εὐκινήτῳ. ἢ εὔνομα λειμῶσι, τῷ καλὰς νομὰς ἔχοντι. τὸ δὲ ἑξῆς, παλαιὸς ἀφ' οὗ χρόνος αἰὲν εὐνόμᾳ χρόνῳ τρυχόμενος, Ἰδαίᾳ μίμνω λειμωνίᾳ πόᾳ μήλων, ἀνήριθμος, κακὴν ἐλπίδα ἔχων πῶς με δεῖ τὸν ἄδην ἀνύσαι. ἀντὶ τοῦ, οὐδὲν ἀγαθὸν προσδοκῶν, ἀλλὰ κακῶς τελευτήσειν ἐν τῷ πολέμῳ ἐλπίζων.

l. 610. Χρόνῳ τρυχόμενος) ἤγουν, ὑπὸ τοῦ εὐκινήτου χρόνου δαμαζόμενος καὶ κακοπαθῶν.

l. 611. Κακὰν ἐλπίδα) ἤγουν, φόβον ἔχων ἀνύσαι ἐμὲ ἔτι ποτὲ τὸν ἄδην. τουτέστι λήψεσθαι σπεύδοντα εἰς τοῦτο.

l. 612. Ἀνύσαι) ἀντὶ τοῦ ἐκπρᾶξαι. λείπει δὲ τὸ διά. ἀνύω τὴν ὁδὸν ἀντὶ τοῦ τελειῶ. καὶ, ἀνύω τὸ βραβεῖον, ἤγουν σπουδάσας λαμβάνω· καθ' ὃ λέγεται ἐνταῦθα.

l. 613. Τὸν ἀπότροπον) τὸν ἀποτρόπαιον, ἤγουν τὸν ἀποστροφῆς καὶ ἀποτροπιασμοῦ ἄξιον. ἀΐδηλον δὲ ἀΐδην λέγει τὸ σκοτεινὸν, ἢ ὥσπερ ἄν τις εἴποι ἁλυκὸν ἅλα. ἀπὸ γὰρ τοῦ ἀΐδης γίνεται τὸ ἀΐδηλον κατὰ παραγωγὴν, καθ' ὃν τρόπον ἁλυκὸν ἀπὸ τοῦ ἁλός.

Καί μοι δυσθεράπευτος Αἴας) οἷον, πρὸς τοῖς προτέροις κακοῖς, ὥσπερ δεύτερον ἐστί μοι κακὸν τὸ τοῦ Αἴαντος συνεστηκός. τοῦτο γὰρ δηλοῖ τὸ Ἔφεδρος. ἔφεδρος δέ ἐστιν ἐν τοῖς ἀγῶσιν ὁ μὴ πλανώμενος εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν, ἀλλ' ὅταν δύο τινὲς παλαίωσι, παλαίσαι τῷ νικήσαντι παρεσκευασμένος. ἐνταῦθα οὖν φησὶν, ὅτι ἕτερος καὶ ὡς ἔφεδρος ἐλείφθη μοι ὁ Αἴας εἰς κακόν.

l. 617. Ξύναυλος) κοινωνός.

l. 618. Ἐξεπέμψω) ἀντὶ τοῦ ἔπεμψας ὧδε.

l. 621.

l. 621. Νῦν δ' αὖ φρενὸς οἰοβώτας) αὐθαίρετος, ὡς ἂν εἴποι τις, αὐτὸς ἑαυτοῦ διάνοιαν βόσκων. καὶ μηδενὶ πειθόμενος. ἢ, μονωθεὶς ἐκ τῆς φρενός. ἢ, μονότροπος, μεμονωμένος τῷ λογισμῷ. ἢ, ποιμαίνων τὴν ἑαυτοῦ διάνοιαν, καὶ μόναρχος ὢν τῷ λογισμῷ. ἢ, οἷον διαιτῶν αὐτοῦ τὴν φρένα. παρὰ τὴν βόσιν. ἢ, ὁ βαίνων ἐν ἐρημίᾳ, διὰ τὸ συγκεκλεικέναι ἑαυτόν. καὶ ὅμοιόν ἐστι τῷ, Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων,. ἢ, φρενὸς οἰοβώτας, οὐ σὺν φρεσὶ, ἀλλ' ἐκτὸς φρενῶν διάγων. ἢ, ἀποπλανηθείς· ἀπὸ μεταφορᾶς τῶν πλανηθέντων προβάτων, καὶ μόνων βοσκομένων.

l. 623. Εὕρηται) γέγραπται γεγένηται.

Pag. 33. l. 624. Τὰ πρὶν δ' ἔργα χεροῖν) λείπει γιγνόμενα. τὰ δὲ πρότερα μέγιστα τῆς ἀρετῆς τῶν χειρῶν αὐτοῦ ἔργα ἐν ὀλιγωρίᾳ ἐστὶ παρὰ τοῖς Ἀτρείδαις. ἢ οὕτως, τὰ δὲ πρότερα αὐτοῦ ἀνδραγαθήματα, φροῦδα παρὰ τοῖς Ἀτρείδαις.

l. 626. Ἄφιλα) ἀχάριστα παρὰ τοῖς πρότερον αὐτοῦ φίλοις, νῦν δὲ πάντων ἐπιλελησμένοις. ἢ, ἄφιλα παρ' ἀφίλοις, ἐχθρὰ παρ' ἐχθροῖς.

l. 630. Παλαιᾷ μὲν ἔντροφος ἁμέρᾳ) παλαιὸν, τὸ πάλαι ἀρξάμενον, ᾧ ἀντίκειται τὸ νέον. νέον γὰρ, τὸ νεωστὶ ἀρξάμενον. ἐνταῦθα οὖν, ἔντροφος παλαιᾷ ἡμέρᾳ, ἡ ἐντεθραμμένη παλαιῷ χρόνῳ· οἷον τῇ ἡλικίᾳ ἀντὶ τοῦ πολυετής. ὁ δὲ νοῦς, ὄντως που ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τουτέστι τῷ παλαιῷ χρόνῳ ἔντροφος. τὸ δὲ λευκῷ γήρᾳ, κατὰ κοινοῦ, τὸ ἔντροφος ἡ μήτηρ αὐτοῦ.

l. 631. Λευκῷ δὲ γήρᾳ) ἐπειδὴ τὸ γῆρας λευκαίνει τὰς τρίχας.

l. 634. Φρενομόρως) ἀντὶ τοῦ εἰς τὴν μοῖραν τῶν φρενῶν νοσοῦντα. ὅ ἐστι φρενοβλαβῶς, μανικῶς.

l. 635. Αἴλινον) εἶδος θρήνου.

l. 636. Αὐδ' οἰκτρᾶς γόον) οἷον οὐ μέτριον. ἀναστρεπτέον δέ. ἀρχὴ γὰρ τοῦ λόγου τὸ οὐκ ἴν' ἤ, οὐκ αἴλινον, οὐδ' οἰκτρᾶς γόον ἀηδοῦς ἥσει, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς, καὶ τὰ ἑξῆς.

l. 637. Ἥσει δύσμορος) ἥσει γόον οὐ μέτριον, κατὰ τὴν ἀηδόνα, ἀλλ' ὀξύν. ἡ ἀηδὼν δὲ, κατὰ Μιτυληναίους. ἀηδόνος δὲ λέγει τῆς ἀφροσιώνης ἐστερημένης διὰ τὸ ἀεὶ θρηνεῖν τὸν υἱὸν Ἴτυν. παραβάλλει δὲ τὸν ἀηδόνος θρῆνον καὶ τὸν Ἐριβοίας, καὶ εἰκάζει μείζω ἐκείνην ἔσεσθαι τοῦ τῆς ἀηδόνος.

l. 338. Ὀξυτόνους) ὀξυφώνους. τινὸς, ὁ κοινῶς ἦχος, καθ' ὃ λέγεται λύδιος τόνος, καὶ φρύγιος.

l. 642. Καὶ πολιᾶς) περιπαθῶς ἡ πρόσθεσις τῆς πολιᾶς.

l. 645. Κρείσσων γὰρ ἄδᾳ κεύθων) κρείσσων γάρ ἐστιν ὁ τεθνηκὼς ἢ ὁ ζῶν καὶ νοσῶν μάτην, ὅ ἐστι μεμηνώς. μάτην γὰρ νοσεῖν, τὸ ἀθεραπεύτως μαίνεσθαι. οὐ λέγει δὲ ὅτι ὅταν αὐτὸν πύθηται τετελευτηκότα. ὁ γὰρ μεμηνὼς καὶ τὰς φρένας διεφθαρμένος, κρείσσων ἀΐδᾳ κεύθων· οἷον, ἄμεινον τῷ μεμηνότι ἐξεῖναι τοῦ βίου οἷον. ἡγέσεται κρείσσονα τὸν θάνατον τῆς τοῦ Αἴαντος μανίας. μάτην δὲ, ἀντὶ τοῦ ἀψευδῶς, καὶ ἀντὶ τοῦ ματαίως, ὡς ἐνταῦθα.

l. 646. Ὃς ἐκ πατρῴας) ὡς ἄνωθεν κατὰ πατρῴας γενεᾶς ἄριστα ἥκων. λείπει γὰρ τὸ ἄριστος. ὥστε περιέχειν ἁπάντων τῶν Ἑλλήνων κατὰ γένος, νῦν οὐκέτι ἤθεσιν ἐμμένει.

l. 650. Ὀργαῖς) ὁρμαῖς, τρόποις.

l. 651. Ἀλλ' ἐκτὸς) τοῦ προσήκοντος δηλονότι.

l. 652. Ὦ τλάμων πάτερ] ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Τελαμῶνα, οἵαν σε μένει πυθέσθαι, τοιαύτην ἄτην οἵαν οὐδεὶς πέπονθε τῶν Αἰακιδῶν. παραμυθία γάρ ἐστι τὸ μετέχειν τινὰ τῶν τοῦ γένους τῶν αὐτῶν κακῶν.

l. 656. Ἔθρεψεν) ἔσχεν.

l. 658. Ἄτερθέ γε τοῦδε) χωρὶς τούτου τοῦ Αἴαντος. ἤτοι τοῦ χρόνου.

l. 660. Ἅπανθ' ὁ μακρὸς) ἐξέρχεται ὁ Αἴας ὡς δὴ κατακηληθεὶς ὑπὸ Τεκμήσσης μὴ σφάττειν ἑαυτόν. καὶ προφάσει τοῦ δεῖν εἰς ἐρημίαν ἐλθεῖν καὶ κρύψαι τὸ ξίφος, ἐπὶ τούτων ἀναχωρεῖ καὶ διαχρῆται ἑαυτόν. παρίστησι δὲ ὁ λόγος ὅτι καὶ οἱ ἔμφρονες καὶ παρακολουθοῦντες τῇ φύσει τῶν πραγμάτων, ὅμως ὑπὸ τῶν τοιούτων παθῶν ἐπὶ τὸ χεῖρον ἀπολισθαίνουσιν ὡς ἐν Τραχινίαις ἡ Δηϊάνειρα περὶ τοῦ ἔρωτος διαλεγομένη καὶ τοῦ ἀνδρὸς, ὅτι αὐτοῦ οὐκ ἀντιστήσεται, οὐδὲ λυσιτελεῖ αὐτῇ ἀντιπράττειν τῇ ἐπιθυμίᾳ τοῦ ἀνδρὸς, πράττει μετὰ ταῦτα ἅπερ αὐτὴν ἀνέπεισεν ἡ ζηλοτυπία. ἤτοι δὲ σχῆμά ἐστιν. ἅπαντα ὁ χρόνος φύει, φησίν· εἶτα ἐξάγαγῃ, καὶ ταῦτα φανέντα κρύπτεται. ἢ τὸ κρύπτεται ἐπὶ τοῦ χρόνου, ἀντὶ τοῦ κρύπτει τοῦτο δέ φησιν ὡς μεταβεβλημένος ὑπὸ τῶν προτέρων νοημάτων.

l. 662.

l. 662. Ἀλίσκεται) ἐξελέγχεται. φωρᾶται. ἀπὸ μεταφορᾶς τῶν ἀλισκομένων θηρίων ὑπὸ θηρατῶν.

l. 663. Χὠ δεινὸς ὅρκος) ὅτι καὶ ὀμόσαντές τινες, ἐν μεταβολῇ γίνονται τῷ χρόνῳ.

Περισκελεῖς φρέν.) αἱ ἄγαν σκληραὶ ψυχαί.

l. 664. Ὃς τὰ δείν' ἐκαρτέρουν τότε) γράφεται ἐπιπεῖλης ἔπη. ἢ λείπει τὸ ἔπη, ἵν' ᾖ, ὅστις τὰ δεινὰ ἔπη ἐκαρτέρουν λέγειν τότε ὡσανεὶ πρὸς τοῦ.

l. 665. Βαφῇ σίδηρος ὡς ἐθηλύνθην) ἐν τῇ βαφῇ οὐκ ἀνίεται ὁ σίδηρος, ἀλλὰ μᾶλλον σκιραίνεται. οὕτως οὖν διασταλτέον· κἀγὼ γὰρ (φησὶν) ὃς ἠπειλοῦν καὶ ἴζον καὶ ἐβόων, ὡς ἐνβαφῇ σίδηρος, (ὡς Ὅμηρος, Εἰν ὕδατι ψυχρῷ βάπτῃσι μεγάλα ἰάχοντι) νῦν ἐθηλύνθην ὑπὸ τῶν λόγων τῆς γυναικός. ἢ ὅτι διττῶς βάπτεται ὁ σίδηρος· εἰ μὲν γὰρ μαλθακὸν βούλονται αὐτὸν εἶναι, ἐλαίῳ βάπτουσιν εἰ δὲ σκληρὸν, ὕδατι.

Pag. 35. l. 664. Ἀλλ' εἶμι πρός τε λουτρά) πιθανὴ αὐτῷ ἡ ἔξοδος, ὡς ἐπὶ καθαρμὸν μονάσαι γὰρ βούλεται χάριν τῆς ἀναιρέσεως.

l. 665. Λύματα) μολυσμόν. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς, ὅταν ἢ φόνον ἀνθρώπου, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπτειν τὰς χεῖρας εἰς κάθαρσιν τοῦ μιάσματος.

l. 666. Ἐξαλύξωμαι) φυλάξωμαι, ἐκκλίνω.

Pag. 35. l. 667. Μολὼν δὲ χῶρον) εὑρήσω (φησὶ) τόπον οὗ οὐδεὶς ἐπιβήσεται. τοῦτο δὲ πιθανὸν, ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ. πιθανὸν δὲ καὶ τὸ λαβεῖν τὸ ξίφος, ἵνα εὐπορήσῃ ἑαυτὸν διαχρήσασθαι.

l. 668. Τόδ' ἔγχος) ἀντὶ τοῦ τὸ ξίφος.

Τοὐμὸν ἔχθιστον βελῶν) τὸ ἔχθιστον τῶν βελῶν ἐμοῦ. βέλη δὲ ἀντὶ τῶν ἀμυντηρίων. βέλη γὰρ τὰ πεμπόμενα.

l. 669. Γαίας ὀρύξας) μὴ λάβε εἰς τὸ γαίας ἔξωθεν τὸ ἐπὶ, ἀλλ' οὕτω λέγε, κρύψω τὸ ἐμὸν ἔγχος ὀρύξας ἔνθα τῆς γαίας μήτις ὄψεται.

l. 670. Ἀλλ' αὐτὸ νὺξ) λέγει τὸ νὺξ καὶ τὸ ᾅδης, κατὰ μὲν τὸ φαινόμενον, ἀντὶ τοῦ ἀφάνεια καὶ φθορά· τὸ δὲ ἀληθὲς, διὰ τὴν μέλλουσαν αὐτὸν καταλήψεσθαι νύκτα καὶ θάνατον, ὧν αἴτιον τὸ ξίφος.

l. 672. Δυσμενέστατος) δυσμενὴς, ὁ κακὰ νοῶν τινι, ᾧ ἐναντίον ὁ εὐμενής.

l. 675. Ἐχθρῶν ἄδωρα δῶρα,) ὁ νοῦς, ὅτι μηδὲ τὰ μέγιστα τῶν ἐχθρῶν ἐφίεσο· τῶν δὲ φίλων, καὶ τὰ ἐλάχιστα. ἄδωρα δὲ, κακόδωρα.

l. 676. Τοιγὰρ τὸ λοιπὸν) ἐπιφθόνως ἔφρασεν ἐν εἰρωνείᾳ, ἀντιστρέψας τὴν τάξιν. ἔδει γὰρ εἰπεῖν, θεοὺς μὲν σέβειν εἴκειν δὲ ἀτρείδαις, ὡς τῶν ἀτρειδῶν οὖν ἤδη καὶ θεομαχούντων.

l. 677. Ἀτρείδας σέβειν) μιμεῖται μὲν τὸν σώφρονα, κεκίνηται δὲ ὑπὸ τοῦ πάθους.

l. 678. Τί μή;) διὰ τί οὐχὶ ἄξιον εἴκειν;

l. 679. Καὶ γὰρ τὰ δεινὰ) εἰ γὰρ τὰ θεῖα ὑπείκει τιμῇ, πόσῳ μᾶλλον προσήκει τοῖς ἀνθρώποις ταῦτα πράττειν. τὸ δὲ τιμαῖς ὑπείκει, ταῖς ἀλλήλων διανομήσεσιν. ἐκ γὰρ ἐναντιότητος τὸ πᾶν συνέστηκε. πρεσβύτης τις, ἐπεὶ καὶ νέος ἐγένετο· καθέζεται, ὅτι καὶ ἕστηκε.

Τὰ δεινὰ καὶ τὰ καρτερώτατα) ἤγουν, τὰ θεῖα καὶ δέος μὴ ποιοῦντα.

l. 680. Νιφοστιβεῖς) τουτέστιν οἱ χιόνας συντιθέντες. στιβάζειν γὰρ καὶ τὸ συντιθέναι.

l. 682. Ἐξίσταται) λέγεται τοῦτο καὶ μετὰ τῆς ὑπὸ, καὶ τάσσεται ἀεὶ ἐπὶ ὁδοῦ· τὸ δὲ ὑπανίστασθαι, ἐπὶ καθέδρας. οἷον, ὑπεξίσταμαί σοι τῆς ὁδοῦ, ὑπανίσταμαι δέ σοι τῆς καθέδρας. Λευκόπωλον δὲ λέγει τὴν ἡμέραν, ἐπεὶ τὸν ἥλιον ὃς ποιεῖ τὴν ἡμέραν, ἐπὶ ἅρματος φασὶν ὀχεῖσθαι, δύο ἵππους ἔχοντα λευκοὺς, ὧν τὸν μὲν, λάμποντα, τὸν δὲ, φαέθοντα ὀνομάζουσιν.

Αἰανὴς κύκλος) τουτέστιν ὁ σκοτεινὸς, ἢ ἀδιάλειπτος.

l. 684. Δεινῶν τ' ἄημα) λείπει ὑπὸ, ἵν' ᾖ, ὑπὸ δεινῶν πνευμάτων στένοντα πόντον, ἄημα πρᾶον ἐκοίμισεν αὐτόν· ἀὴρ μὲν, ἀπὸ τοῦ ὃν ἀναπνέομεν. πνεῦμα δὲ ἄνεμος, ἀήτης ποιητικῶς. καὶ αὖραι, ἀὴρ κινηθείς. διαφέρουσι δὲ ἀλλήλων, τῷ μὲν τὴν αὔραν ἐπὶ τῶν ἐξ ὑγροῦ ἐκπνεόντων τάττεσθαι· τὸν δὲ ἄνεμον, ἐπὶ τῶν ἐν ἀέρι πνευμάτων· τὰ πνεύματα δὲ καὶ τοὺς ἀήτας ἐπὶ παντὸς ἀέρος κινηθέντος.

l. 688. Ἐγὼ δ' ἐπίσταμαι) ἐπειδὴ τὸ πᾶν πρὸς τοὐναντίον γίγνεται, εἰκὸς καὶ τοὺς ἀτρείδας φίλους ἀντ' ἐχθρῶν γενέσθαι. δεῖ οὖν (φησὶ) προσέχειν τοῖς ἐχθροῖς

θροῖς, ὡς αὖθις φίλοις ἐσομένοις, καὶ τοῖς φίλοις, ὡς ἐχθροῖς. συμμάχεται οὖν φησι χρῆσθαι τοῖς πράγμασι.

l. 694. Λιμὴν) ἡ φιλία. ἵν' ᾖ, ἤτοι ἑταιρείας φιλία· ἤτοι καταφυγὴ καὶ ὑποδοχή.

l. 695. Ἀλλ' ἀμφὶ μὲν τούτοισιν) ὅρα πόσον ἐπικρατεῖται ὑπὸ τοῦ πάθους ὁ λογισμός. ὁ τὰ σοφώτατα γνοὺς εἰπὼν, ἑαυτὸν ἀναιρεῖ.

l. 698. Ὑμεῖς δ' ἑταῖροι) τὰ μὲν τῆς ἀναιρέσεως, δῆλα τῷ θεατῇ· ἀγνοεῖ δὲ ὁ χορός. πεπίστευκε γὰρ τοῖς ὑπ' αὐτοῦ λελεγμένοις.

l. 699. Τιμᾶτε) ἀντὶ τοῦ πείθεσθε.

l. 700. Ὑμῖν ἅμα) γράφεται ὑπέρμεγα.

l. 701. Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ') αἰνιγματωδῶς ὁ λόγος ἐξενήνεκται.

l. 702. Καὶ τάχ' ἄν μ' ἴσως) ὁ μὲν χορὸς ἀπαλλάττεσθαι νομίζει λέγειν τῆς νόσου· ὁ δὲ αἰνίττεται τὴν κακῶν τοῦ βίου.

l. 705. Ἔφριξ' ἐν ἔρ.) ἀντὶ τοῦ ὥρμησα τῇ ἡδονῇ. χρείας ἕνεκα τὸ χορικὸν νῦν παρείληπται. ἐξελθόντος γὰρ τοῦ αἴαντος, ἔδει βραχὺ διάλειμμα γενέσθαι, ἵνα μὴ καταληφθῇ ὑπὸ τοῦ ἀγγέλου. διὸ καὶ τὴν ὄρχησιν ποιοῦνται. ἔνθεν καὶ βραχύ ἐστι τὸ χορικὸν, ὡς πρὸς χρείαν εἰλημμένον. Ἄλλως. τέρπεται, ὁ χορὸς ἐπὶ τῇ παύσει τῆς νόσου τὸν αἴαντα, καὶ φησὶν, ὑφ' ἡδονῆς ἔφριξα, καὶ βούλομαι χορεῦσαι. εὐεπίφορος δὲ ὁ ποιητὴς ἐπὶ τὰς τοιαύτας μελοποιΐας, ὥς τε ἐντιθέναι τι καὶ τοῦ ἤθους.

Ἀνεπτάμαν) ἀνεπτερώθην. ἔστι δὲ ἀντὶ τοῦ ἀνέπτην. οἱ εἰς ην γὰρ ἀόριστοι τῆς δευτέρας συζυγίας τῶν εἰς μι, οὐ χρείαν ἔχουσι τῶν παθητικῶν καὶ τῶν μέσων χρόνων.

l. 706. Ἰὼ πάν, πάν) ἐπικαλοῦνται τὸν πᾶνα, ὡς χορῶν προεξάρχοντα. καὶ αὐτοὶ γὰρ τοῦτο ποιεῖν βούλονται, ὡς ἐγνωκότες τοῦ αἴαντος μηκέτι τελευτᾶν.

Pag. 37. l. 705. Ἁλίπλαγκτε) ἐπικαλοῦνται τὸν πᾶνα, ἢ ὅτι ἐβοήθησε τοῖς ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ. ἢ ὅτι τὸν τυφῶνα δικτύοις ἠγρεύσεν, ἢ ὅτι ἐν τοῖς ἀκρωτηρίοις τιμᾶται, ἔνθα πλάζεται ἡ θάλασσα. ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν πᾶνα ὡς νόμιμον θεόν. ἢ ἁλίπλαγκτε, ἀντὶ τοῦ μεγαλόφωνε ἐν τῇ χορείᾳ· ὡς ἁλίβρομε, ὅτι τῆς ἠχοῦς ἐρᾷ. πολύηχος δὲ ἡ θάλασσα. ἁλίπλαγκτε δὲ, ἐπὶ κυλληνίας ὄρους ἀρκαδίας.

l. 706. Χιονοκτύπου) ὑπὸ χιόνος τυπτομένου.

l. 707. Δειράδος) ἀκρωτηρίου. ἀπὸ τῆς δέρης τοῦ τραχήλου.

l. 708. Ὅπως μοι νύσια) ὅπως μοι συνάψῃς ὄρχησιν ποικιλμένην παντοίαν, τὴν οὐκ ἐκ διδαχῆς σοι γενομένην, ἀλλ' ἐκ φύσεως. οὐδεὶς γὰρ ἐδίδαξε τὸν πᾶνα.

l. 709. Κνώσια) ἐν νυσίᾳ καὶ ἐν κνωσῷ ἐπιμελὴς ἡ ὄρχησις. ἡ νυσία, τὰ ἐν τῇ νύσῃ γιγνόμενα. ἔστι δὲ αὕτη διονύσου ἱερά. καὶ συνάδει τῷ κνώσια· καὶ ἡ κνωσὸς γὰρ διονύσου. Ἄλλως. τῶν ὀρχήσεων αἱ μέν εἰσι διονυσιακαὶ, αἱ δὲ κορυβαντικαὶ, καὶ ἐνόπλιοι· νύσια οὖν, αἱ διονυσιακαὶ, παρὰ τὴν νύσην. κνώσια δὲ, αἱ κορυβάντιαι. καὶ κνωσὸς γὰρ πόλις κρήτης. ἐν τῇ κρήτῃ δὲ ὑπὸ τῶν κορυβάντων ἐτράφη ὁ ζεύς. τῆς δὲ ὀρχήσεων ἡ μὲν, βερεκυνθιακὴ λέγεται, ἡ δὲ, κρητικὴ, ἡ καὶ πυρρίχη. νύσια ἔν, αἱ βερεκυνθιακαί· τῆς γὰρ νυσίας ἡ βερέκυνθος. κνωσία δὲ, κρητική.

l. 710. Αὐτοδαῆ) αὐτομαθῆ, ἃ ἐκ φύσεως ἔχεις, οὐ διδακτά.

l. 712. Νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι) ἀναγκαίως καὶ τοῦτο ἡ αἰτία τῆς ὀρχήσεως, ἵνα μὴ δοκῇ ἀλόγως ἐπὶ τοῦτο ἀπαντᾶν. μέλει μοι τόδε τὸ πρᾶγμα, καὶ τόδε τὸ πρᾶγμα, καὶ τάδε τὰ πράγματα. καὶ, μέλουσί μοι τάδε τὰ πράγματα.

l. 713. Ἰκαρίων δ' ὑπὲρ πελαγέων) ὅτι ἐν τῷ ἰκαρίῳ πελάγει κεῖται ἡ δῆλος.

l. 714. Μολὼν ἄναξ ἀπόλλων) παραγίνοιτο δὲ καὶ ὁ ἀπόλλων διὰ τοῦ ἰκαρίου πελάγους, τουτέστι τῆς δήλου.

l. 715. Εὔγνωστός ἐμοὶ ξυνείη διὰ παντ'.) φανερὸς ὢν καὶ δῆλος ὅτι φιλεῖς με.

l. 718. Ἔλυσε γὰρ αἰνὸν ἄχος ἀπ' ὀμμ.) ὁ ἀΐξας ὁ ἄρης, ἡ ἄρης ὁ πόλεμος ὁ περὶ τὸν αἴαντα, ἔλυσεν ἐμοῦ τὸ σκότος καὶ τὴν κατήφειαν. ἢ ἀπὸ τῶν ὀμμάτων τοῦ αἴαντος. ὁ ἄρης δὲ, ἡ λύσσα, ἡ μανία.

l. 719. Νῦν αὖ ζεῦ πάρα) νῦν πάρεστιν ἡμέρα λαμπρὰ ἡμῖν ὥστε ἐγγίσαι τῶν νεῶν. πρότερον γὰρ ἐξετρεπόμεθα ἐπιμίγνυσθαι τοῖς ἕλλησι διὰ τὴν αἰδῶ.

l. 720. Πελάσαι) ὥστε πελάσαι ἐπὶ τῶν νεῶν.

l. 721. Ὅτ' αἴας λαθίπονος) ὅτι δὴ ὁ αἴας πάρεστιν ἐκ μετανοίας ἐπὶ τὸ σέβειν τοὺς θεοὺς, καὶ καταλύεσθαι τὴν ἔχθραν τὴν πρὸς τοὺς Ἀτρείδας.

l. 723. Πανθυτα) πάνσεπτα.

l. 724. Ἐξῄνυσεν] ἐξεπλήρωσεν.

l. 726. Πάνθ' ὁ μέγας χρόνος] τὰ ὑπὸ τοῦ αἴαντος διὰ πολλῶν εἰρημένα, διὰ βραχέων ἐξῆλθεν.

l. 727. Ἀναύδητον] ἀπόρρητον. ἀνέλπιστον. ἄλεκτον.

l. 728. Εὖτέ γ' ἐξ ἀέλπτων] ὁ πότε ἐξ ἀνελπίστων καὶ μεγάλων νεικέων ὁ αἴας μετεπείσθη, καὶ μετεβλήθη τὴν ψυχὴν, τοῖς ἀπειλαῖς ἀπὸ τῆς ἔχθρας. ἀπορήσειεν ἄν τις ἐνταῦθα πῶς πρότερον εἰς τὸ μετανεγνώσθη αἰτιατικὴν ἐπήνεγκε τὸν θυμὸν, ἔπειτα γενικὴν τῶν μεγάλων νεικέων. καὶ φαμὲν ὅτι τὴν μὲν αἰτιατικὴν οὐ καθὼς τὸ μετανεγνώσθη ἀπῄτει, ἀλλὰ καθ' ὅλον καὶ μέρος συνέταξε, καὶ μετανεγνώσθη λέγων κατὰ τὸν θυμόν. εἰς δὲ τῶν μεγάλων νεικέων, κατὰ φύσιν.

l. 732. Ἀνδρες φίλοι] ἄγγελος ἥκει ἀπὸ τοῦ στρατοῦ ἀγγέλλων τὴν παρουσίαν τοῦ τεύκρου. θαυμαστὴ δὲ ἡ εἴσοδος τούτου τοῦ ἀγγέλου. τοῦ αἴαντος ἔξω ἑαυτὴν διακεχωρισμένου, οὐκ εἶχον οἱ ἀπὸ τοῦ χοροῦ, οὔτε ἡ τέκμησσα, γνῶναι τὸ πραχθέν. πιθανῶς οὖν ὁ ἄγγελος ἀπαγγείλας, παρασκευάζει αὐτοὺς ἐξιέναι κατὰ ζήτησιν· καὶ οὕτως ἐπιτεύξονται τῷ πτώματι. δεξιῶς δὲ καὶ τὸ, τὸν κάλχαντα μαθεῖν. οἰκεῖον γὰρ τῷ μάντει. καλῶς δὲ καὶ τὰ τῆς σκηνῆς ἐσκεύασται. αἴαντος γὰρ καταλιπόντος, προῆλθεν ὁ ἄγγελος. εἶτα τοῦ χοροῦ τὴν σκηνὴν ἐάσαντος διὰ τὴν ζήτησιν, ἔξεισιν ὁ αἴας ἐπὶ τὴν πρᾶξιν. τῷ δὲ θεατῇ οὐδὲν ἀργὸν παραλείπεται, πεποικιλμένης διαφόρως τῆς ἐν τῇ σκηνῇ προσωποποιΐας.

l. 734. Κρημνῶν] τῶν χωρίων.

Στρατήγιον] στρατήγιον ἤτοι τὸ στρατόπεδον, ἀττικῶς· κυρίως δὲ στρατήγιον ὁ τόπος ὃς τοῖς στρατηγοῖς ἀφιέρωται μετὰ τῶν ἄλλων τῶν προὐχόντων βουλεύεσθαι.

l. 735. Κυδάζεται] λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων. καὶ ἐπίχαρμος ἐν ἀμύκῳ, Ἄμυκε μὴ κύδαζέ μου τὸν πρεσβύτερον ἀδελφόν. καὶ αἰσχύλος ἐν ἰφιγενείᾳ, Οὔτι γυναιξὶ κυδάζεσθαι. τί γάρ; ἀρσενικῶς δὲ ὁ κύδος ἐπὶ τῆς ὕβρεως.

l. 738. Ἤρασσον] ἔπληττον. ἐβλασφήμουν πάντες ὁμοφωνοῦντες.

l. 740. Ἀποκαλοῦντες] ἀττικὸν ἔθος, τὸ ἐπιφέρειν ἑνικοῖς πληθυντικά, καὶ ἀνάπαλιν· ὡς καὶ νῦν, Οὔτις ἔσθ' ὃς οὐχὶ ἔλεγε σύναιμον αὐτὸν ἀποκαλοῦντες.

Ὡς οὐκ ἀρκέσοι] ἐπὶ τοῦ τεύκρου, ὡς οὐκ ἀρκέσοι ἑαυτῷ τὸ μὴ λιθόλευστος γενέσθαι, ὡς οὐ κωλύσει αὐτὸν καταλιθωθῆναι.

l. 741. Καταξανθεὶς] ἤγουν διαλυθεὶς ὑπὸ τῶν πετρῶν.

l. 743. Διεπεραιώθη] διειλκύσθη διῆλθεν. ἐγυμνώθη. εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐκ ἐξέρχεται.

l. 744. Λῆξαι δ' ἔρις] ἡ ἔρις εἰς πολὺ δραμοῦσα, καὶ προκόψασα, ἔστη τῇ συναντήσει τοῦ λόγου Νέστορος. ἐκ τῆς ἀχιλλέως γὰρ πρὸς ἀγαμέμνονα ἀρχῆς παραγέγραπται. καὶ ὥσπερ ὁ νέστωρ ἐκεῖ διῄτησεν, οὕτω καὶ νῦν οἱ γέροντες. ἡ ἔρις οὖν προκόψασα προσωτάτω, λήγει ἐκ συναλλαγῆς λόγου τῶν γερόντων, οἷον ἐκ τῆς ὁμιλίας.

l. 745. Ἐν ξυναλλαγῇ λόγου] τῇ ἀμοιβῇ τοῦ λόγου καὶ συμβιβάσει.

Pag. 39. l. 747. Οὐκ ἔνδον] ἐν συντόμῳ. οὐκ ἀναγκαῖον γὰρ διλογεῖν περὶ ὧν ἤκουσεν ὁ ἀκροατής.

l. 748. Νέοισι] καινοῖς.

Ἐγκαταζεύξας] συνθείς.

l. 749. Ἰοὺ, ἰού.] εἰδὼς ἀπὸ τοῦ μάντεως ὅτι κακὸν αὐτῷ γίνεται, τοῦτο προαναφωνεῖ.

l. 751. Ἤ' φάνην ἐγὼ βραδύς] ἤπερ. φησὶ δὲ ὅτι οὐκ ἐβράδυνα παραγενόμενος, ἀλλὰ βραδέως ἐπέμφθην.

l. 752. Τί δ' ἐστὶ χρείας τῆσδε] ὅτι τί σοι λείπει ὅπερ ἀναγκαῖόν ἐστι πρὸς τὴν χρείαν τὴν νῦν; ἐσαφήνιζε γὰρ τὸ ἄμεινον εἶναι πρὸ ὀλίγου αὐτὸν παραγεγονέναι. καὶ ἐν σιμωνίδῃ ἐπὶ τοῦ πρὸς αἰγέα ἀγγέλου πεμφθέντος, Βιότῳ καί σε μᾶλλον ὤνασα πρότερος ἐλθών.

Ὑπεσπανισμένον] δεόμενον τῆς τοῦ αἴαντος παρουσίας.

l. 753. Τὸν ἄνδρ' ἀπηύδα] ἀναγκαίως διηγεῖται ὁπότ' ἔγνωκεν ἀπόντα τὸν αἴαντα. ἔδει γὰρ δηλωθῆναι τῷ θεάτρῳ. λέγει γὰρ ὅτι ἀπηγόρευσεν ὁ τεῦκρος μὴ παριέναι τὸν ἄνδρα ἐκ τῆς σκηνῆς ἔξω. τοῦ δὲ μὴ καὶ παρόντος καὶ ἀπόντος σώζεται ἡ ἔννοια.

l. 754. Παφήκειν] παριέναι.

l. 755. Πρὸς τὸ κέρδιστον] ἤγουν πρὸς τὴν ἐπικερδῆ καὶ ἐπωφελῆ γνώμην.

l. 756. Ὡς καταλλαχθῇ χόλου] πιθανῶς, ὡς πολῖται, χόλον καὶ οὐ μανίαν λέγουσιν.

λέγουσιν. οἴχεται οὖν τρεπεὶς περὶ τὸ κέρδιστον τῆς γνώμης, ὅπως τὴν ἔχθραν καταθῆται, καὶ διαλλαχθῇ τοῖς θεοῖς ἀπὸ τῆς χόλου.

l. 757. Ταῦτ' ἐστὶ ταύτῃ] ἐπίσταται γὰρ ἀκηκοέναι τὰ παρὰ τοῦ κάλχαντος.

Πλέα] ἤγουν πεπληρωμένα. πλέον, τὸ περισσότερον, μικρὸν, καὶ κλίνεται πλέονος· πλέων δὲ, τὸ ἀνάπλεων, μέγα.

l. 758. Εἴπερ τι κάλχας] ἐκ παροιμίας ὁ στίχος παρῆκται, ὃν καὶ ἀριστοφάνης ἀναγράφει.

l. 761. Κύκλου] χορεύ.

l. 762. Μεταστὰς] μεταχωρήσας. μεθίστασθαι τὸ ἀμείβειν στάσιν ἐκ στάσεως καὶ μεταβαίνειν, τὸ ἀμείβειν τόπον ἐκ τόπου.

Ἀτρειδῶν δίχα] πάνυ ἀξιοπίστως· ὅτι οὐκ ἄντικρυς τῶν βασιλέων ὁ μάντις διελέγετο, ἀλλ' ἐν ἀπορρήτῳ, κατ' εὔνοιαν τοῦ αἴαντος.

l. 764. Παντοίᾳ τέχνῃ εἶρξαι] ἤγουν, κωλῦσαι διὰ παντοίας τέχνης καὶ μηχανῆς τὸν αἴαντα ὑπὸ ταῖς σκηναῖς κατὰ τὴν παροῦσαν ταύτην ἡμέραν.

l. 766. Ἀφέντ' ἐᾶν] ἤγουν ἀπολύσαντα. ὅμοιον δὲ τῷ, ἔφη λέγων.

l. 768. Ἐλᾷ γὰρ αὐτὸν] πιθανῶς, ὡς μάντις, τὴν αἰτίαν λέγει τῆς μανίας. κατ' ἀρχὰς γὰρ ἡ ἀθηνᾶ οὐδὲν τούτων προεῖπε.

l. 770. Τὰ γὰρ περισσὰ κἀνόνητα] τὰ παρέλκοντα καὶ ἀχρήσιμα καὶ πέρα τοῦ μέτρου. τὰ χωρὶς δικαίου.

l. 771. Βαρείαις) ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυσβαστάκτων.

l. 772. Ὅστις ἀνθρώπου φύσιν) περιίσταται ὁ νοῦς εἰς τὸ, γνῶθι σαυτόν. πρὸς τὸ σημαινόμενον δὲ εἶπεν, ὅς τις τὸ, ἀνθρώπου ἀποδοὺς, ἅτινα δέον εἰπεῖν. εἰ καὶ μὴ πληθυντικῶς εἶπεν. ἀπλούστερον γὰρ ὅ τινες, εἰπεῖν ἔδει. τὸ δὲ ὅλον, ὅστις ἄνθρωπος πεφυκὼς, ἔπειτα μὴ καθ' ἄνθρωπον φρονεῖ.

Φύσιν) οὐσία φύσεως διαφέρει· οὐσία μὲν, ἐστὶν ἡ ὕπαρξις· φύσις δὲ, ἡ ἐνοῦσα τινὶ δύναμις. ὅθεν, φύσις ἐστὶ γῆς τὸ ἀναβλαστεῖν βοτάνας, καὶ φύσις τοῦ πυρὸς, τὸ θερμαίνειν ἀφ' οὗ εὐφυὴς, ὁ εὖ ἔχων τῆς φύσεως, καὶ εὐφυΐα ἐπὶ τούτου εἰκότως οὖν εὐφυΐα καὶ ἐπὶ ἀνθρώπων λέγεται, καὶ φυτῶν, καὶ γῆς, καὶ τῶν τοιούτων. λέγεται φύσις καὶ ἡ ποιότης, ὅθεν, περιβέβληται φύσεως οὐ μιᾶς· ἤγουν ποιότητος. καὶ τὸ κάλλος φύσις, καὶ τὸ γένος, ἀπὸ τοῦ φύειν. οὐ

μαθὼν ὃς εὖ φύσιν.

l. 774. Ἀπ' οἴκων) ἀπὸ τῶν οἴκων τῶν πατρικῶν.

l. 778. Ὁ δ' ὑψικόμπως) παρατήρει κἀνθάδε τὴν προσθήκην τοῦ ποιητοῦ, ὅτι προσῆψε τῷ αἴαντι γλωσσαλγίαν, μονονουχὶ θεραπεύων τὸ θεατὴν μὴ ἄχθεσθαι τῇ συμφορᾷ τοῦ αἴαντος. προσφκειωμένοι γὰρ ἤδη τῇ ἀρετῇ αὐτοῦ, σχεδὸν καὶ τῷ ποιητῇ ὀργίζονται.

l. 779. Ὁμοῦ) τὸ ὁμοῦ ἀντὶ τοῦ σύν, τὸ δὲ ἑξῆς, θεοῖς ὁμοῦ.

l. 781. Κείνων) τῶν θεῶν.

Ἐπαυρέσθαι) ἀντὶ τοῦ ἐπαυρέσασθαι, ἤγουν λήψεσθαι. αὐτὸ τὸ μεταλαμβάνω, καὶ συντάσσεται γενικῇ, ὅθεν ἔπαυσε τοῦ ὕδατος· ἐπαυρώμεθα δὲ, τὸ λαμβάνω, καὶ συντάσσεται αἰτιατικῇ.

l. 787. Ἴσω) ἵστασο.

Καθ' ὑμᾶς δ') ἡ καθ' ὑμᾶς μάχη.

l. 788. Ἀστεργῆ) ἀμάλακτον, ἀδιάθετον.

Pag. 41. l. 790. Ἀλλ' εἴπερ ἐστὶ) εἰ παρέλθοι ταύτην τὴν ἡμέραν, σωθείη ἄν. μέχρι γὰρ τῆς σήμερον παρατείνει τὴν ὀργὴν ἡ τῆς θεοῦ ἔλεγχον.

l. 792. Ὁ δ' εὐθὺς ἐξ ἕδρας) ἅμα μὲν διὰ τὸ ἀξιόπιστον τοῦ προσώπου, ἅμα δὲ ὡς μὴ δοκοίη δι' ἀπέχθειαν ταῦτα λέγειν. διὰ πάντων καὶ διδάσκει ὅτι κρατεῖ τῶν ἀνθρωπίνων ἡ εἱμαρμένη. καὶ γνῶναι μὲν τὰ ἐσόμενα διὰ μαντικῆς ἐστιν, οὐ μὴν φυλάξασθαι δυνατόν.

l. 796. Ω δαΐα τέκμησσα) δάϊον κοινῶς τὸ πολέμιον, ἀττικῶς δὲ τὸ δύστηνον. τίνος δὲ ἕνεκεν οὐκ ἐποίησεν ἐξιοῦσαν τὴν τέκμησσαν; ἵνα μὴ τοῦ χοροῦ ἀκούσῃ τὰ περὶ τοῦ αἴαντος ὡς ἐν τοῖς ἄλλοις δράμασιν, ἐν τῇ ἠλέκτρᾳ καὶ οἰδίποδι ἅμα τῷ χορῷ τὰς τῶν γυναικῶν προόδους ποιεῖ, ἵνα μὴ διαλογῶσιν οἱ ἄγγελοι. ῥητέον οὖν ὅτι ὁ αἴας ἐκέλευσεν αὐτὴν καθ' οἶκον εὔξασθαι τοῖς θεοῖς εἰπὼν, καὶ δῶμ' ἀπάκτου. οὐδὲ μὴν αἰχμαλώτου σχῆμα ἔχουσαν ἔδει συνεχῶς ἐξιέναι, μάλιστα ἐν τοιούτῳ καιρῷ ἠγρυπνηκυῖαν, καὶ παρακολουθηκυῖαν τῇ τοῦ αἴαντος μανίᾳ. ἔδει οὖν μέγα τι φανῆναι τὸ ἐξάγον αὐτήν. διὸ πρὸς τὸν χορὸν ἐδέησε πρῶτον εἰπεῖν. ἢ ὡς ἐπὶ μεγάλῃ προφάσει ἐκκαλοῦσιν αὐτήν. ἄλλως τε οἱ ἀπὸ τοῦ χοροῦ οἰκειότεροι εἰσιν, ὡς πολῖται τοῦ αἴαντος. ἐστὶ καὶ ὁ ἄγγελος καλῶς οὐκ ἐζήτησε

μείζω

μῆζον προσιόντων, ἀλλὰ τὸν Αἴαντα οὐ καταλιπὼν ἔνδον πρὸς τὸν χορόν φησιν. εἰς ἀνάγκην δὲ γεγονὼς ὁ ποιητὴς τοῦ διελθεῖν, οὐδαμοῦ προσκορὴς ἐγένετο, ἀλλὰ τὰ δεύτερα διὰ βραχέων ἐξήνεγκεν. Ἄλλως. Ὦ δαΐα· δηΐα πεπονθυῖα. ἢ καταπεκομμένη. καταπεπολεμημένη. κεκακωμένη ὦ δύστηνε. ὦ πεπολεμημένη καὶ ἀθλία. ἀπρεπὲς γὰρ πολεμίαν αὐτὴν ἀποκαλεῖν. καὶ Αἰσχύλος ἀντὶ τοῦ ἀθλία κέχρηται τῇ λέξει.

l. 797. Ὅρα μολοῦσα] ἤγουν σκόπει ἐλθοῦσα. ὅμοιον δὲ, Ὅρα τιν' ἤδη κρᾶτα καλύμμασι κρυψαμένον.

l. 798. Ξυρεῖ γὰρ ἐν χρῷ] ἅπτεται τῆς ἀναγκαίας τοῦ χρωτός. καὶ ἔστι παροιμία ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων, ξυρεῖ ἐν χρῷ. ἐνίοτε γὰρ καὶ τοῦ σώματος ἐφάπτεται ὁ σίδηρος. Ἄλλως. μέχρι βάθους ἐφικνεῖται, ὥστε μὴ χαίρειν. τὸ δὲ τινὰ παρέλκει.

l. 799. Τί μ' αὖ τάλαιναν] πρὸς τὸ ὑπερπίδειον ἐν δικτύϊ, Τί μ' ἄρτι πημάτων λελησμένην ὀρθοῖς;

l. 800. Ἀτρύτων] πολυτρύτων. πάνυ κακούντων.

Ἐξ ἕδρας ἀνίστατε] ἤκουσα διὰ τὸ κεκμηκέναι καὶ ἀναπαύσεως δέεσθαι, ἔνδον διέτριβε. καὶ τὴν πρόφασιν τοῦ μὴ προϊέναι διασαφεῖ.

l. 802. Ἤλγησ'] ἀλγεινῶς ἤκουσα.

l. 803. Τί φῂς ὦ 'νθρωπε] περιπαθῶς ἀναβοᾷ, πυθομένη ὅτι ἀγγέλλει τις νεώτερόν τι περὶ τοῦ Αἴαντος. ἴδιον δὲ τῶν φίλων τὸ τὰ χείρω ἀεὶ ὑπονοεῖν.

Μῶν ὀλώλαμεν] τοιαῦτα γὰρ ἔλεγεν, ὅτι συναπολοῦμαι σοι ἐὰν σὺ ἀποθάνῃς.

l. 804. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν] ἀντὶ τοῦ, τὴν τύχην, ἤγουν εὐπραγίαν, ἢ δυσπραγίαν. πρὸς δὲ τὸ μὲν ὀλώλαμεν, ἐπήγαγεν ὁ ἄγγελος περὶ τοῦ Αἴαντος μόνου. οὐ γὰρ τοιοῦτος ἐστὶν ὁ καιρὸς ὥστε σοφίζεσθαι καὶ τὰς φωνὰς ἐξετάζειν. καλῶς δὲ τὸ θαρσῶ. οὐ δὲ γὰρ αὐτὸς οἶδεν, ἀλλ' ἀπὸ τῶν λόγων τοῦ Κάλχαντος ἀγωνιᾷν φησιν.

l. 805. Οὐ θαρσῶ περὶ] περὶ τοῦ Αἴαντος δὲ οἶδα δηλονότι ὅτι εἴ περ ἐστὶ θυραῖος, ἤγουν ἐκτὸς, καὶ δηλοῖ στάσιν. θύραζε δὲ, ἀντὶ τοῦ εἰς τὸ ἔξω, θύραθεν ἀντὶ τοῦ ἔξωθεν, καὶ δηλοῖ κίνησιν ἀπὸ τῶν ἐκτὸς εἰς τὰ ἔσω.

l. 806. Ὠδίνειν] ἀντὶ τοῦ ὀδυνᾶσθαι. ἀλγεῖν. ἐμφατικῶς δὲ τὸ ὠδίνειν. οἰκεῖον γὰρ γυναικί· χαλεπώτατον δὲ τῶν γυναικείων πόνων ἡ ὠδίς.

l. 807. Ἐξεφίεται] ἀντὶ τοῦ ἐφίεται, ἤγουν ἐντέλλεται.

l. 808. Ὕπαυλον] ἐνδόμυχον. ὑπὸ τὴν αὐλὴν τῆς σκηνῆς.

l. 811. Ὀλεθρίως] ἀντὶ τοῦ ὀλεθρίαν. τὸ δὲ φέρειν τουτέστι δέχεσθαι.

l. 813. Καθ' ἡμέραν τὴν νῦν] ἀμφιβόλως, ἤτοι μαθὼν τὴν νῦν ἡμέραν, ἢ ὅτι κατὰ τὴν νῦν ἡμέραν τεθνήξεται.

l. 814. Ὅτ' αὐτῷ θάνατον ἢ βίον] εἰ μὲν ἔνδον μένει, σωθήσεται· εἰ δὲ μὴ ἀπόλλυται. διὰ τούτου δὲ τὸ διττὸν τῆς μοιριδίου δηλοῖ. ὡς καὶ Ὅμηρος, «Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλος δέ.

l. 815. Πρόστητ' ἀναγκαίας τύχης] ἐπίκουροι γίνεσθε τῆς κατεπειγούσης δυστυχίας. ἤγουν, προστάται γίνεσθε ἕνεκα τῆς ἀνάγκης καὶ βίαν ἐχούσης τύχης.

l. 816. Οἱ μὲν, Τεῦκρον] πιθανῶς καὶ Τεῦκρον μεταπέμπεται, ἵνα μὴ δεήσῃ ἄγγελον πέμπειν ὅτ' ἐντύχωσι τῷ σώματι.

Ἐν τάχει] ἀντὶ τοῦ ταχέως. καὶ σὺν τάχει. καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ ταχέος, καὶ διὰ τάχους, καὶ διὰ ταχέων, ἐπὶ τοῦ αὐτοῦ.

l. 818. Ἑσπέρους] δυτικούς.

Ἀγκῶνας] τὰς ἄκρας τῶν ὀρῶν τὰς πρὸς δύσιν.

Ἀνθηλίους] ἑῴους, τοὺς ἀντικρὺ τῆς ἀνατολῆς τοῦ ἡλίου.

Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη] οἷον, δι' ὧν εὐνοϊκῶς ἔπραξα εἰς αὐτὸν καταφρονήσας ἠπάτησέ με.

l. 820. Οἴ μοι τί δράσω] περιπαθῶς ἐφάψασθαι τῆς ζητήσεως καὶ τῷ τέκνῳ κελεύει, καὶ ὥσπερ ἀπολογουμένη ὅτι καταλιμπάνει αὐτόν. φησὶν οὖν, ἐν ἀπόρῳ γενομένη, τί δράσω. οἷον. πῶς μόνον σε καταλίπω.

Οὐχ ἱδρυτέον] οὐκ ἄξιον καθέζεσθαι.

l. 822. Ὅποι περ ἂν σθένω] ὅσον, τῆς προθυμίας οὐδὲν ἐλλείψω, καὶ εἰ τῷ σώματι ἀδυνατῶ.

l. 823. Ἐγκονῶμεν] ἤγουν σπεύδωμεν. τὸ ἐγκονεῖν λέγουσιν ἀντὶ τοῦ σπεύδειν, ἐπεὶ οἱ μετὰ σπουδῆς πορευόμενοι κόνιν ἐγείρουσιν.

Οὐχ ἕδρας ἀκμή] ἤγουν καθέδρας, ἀναπαύσεως καιρός ἐστιν.

l. 825. Χωρεῖν ἕτοιμος] μετακινεῖται

νεῖται ἡ σκηνὴ τοῦ χοροῦ ἐξελθόντος. ἀναγκαία δὲ ἡ ἔξοδος, ἵνα εὕρῃ καιρὸν ὁ Αἴας χειρώσασθαι ἑαυτόν.

l. 826. Τάχος γὰρ ἔργου] ἤγουν, ἅμα γὰρ ἕψεται, ἀντὶ τοῦ συνδραμεῖται τάχος ἔργου καὶ ποδῶν. ἤγουν πορείας. τουτέστι καὶ ταχέως ἁψόμεθα τοῦ ἔργου, καὶ ταχέως ἐργασόμεθα αὐτό.

l. 827. Ὁ μὲν σφαγεὺς ἕστηκεν] μετάκειται ἡ σκηνὴ ἐπὶ ἐρήμου τινὸς χωρίου, ἔνθα ὁ Αἴας εὐτρεπίσας τὸ ξίφος, ῥῆσιν τινὰ περὶ τοῦ θανάτου προφέρεται. ἐπεὶ γελοῖον ἦν κωφὸν εἰσελθόντα περιπεσεῖν τῷ ξίφει. ἔστι δὲ τὰ τοιαῦτα παρὰ τοῖς παλαιοῖς σπάνια. εἰώθασι γὰρ τὰ πεπραγμένα δι' ἀγγέλων ἀπαγγέλλειν. τί οὖν τὸ αἴτιον; φθάνει Αἰσχύλος ἐν Θρήσσαις τὴν ἀναίρεσιν Αἴαντος δι' ἀγγέλου ἀπαγγείλας. ἴσως οὖν καινοτομεῖν βουλόμενος, καὶ μὴ κατακολουθεῖν τοῖς ἑτέροις, ὑπ' ὄψιν ἔθηκε τὸ δρώμενον. ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος. εἰκῆ γὰρ κατηγορεῖν ἀνδρὸς παλαιοῦ οὐχ ὅσιον. πήξας δὲ τὸ ξίφος ταῦτά φησι. σφαγέα δὲ λέγει ἢ τὸν καιρὸν τοῦ ἀποθανεῖν, ἢ τὸ εἰς σφαγὴν ξίφος.

Ἡ τομώτατος] ἀντὶ τοῦ ὅπου. πρέπον γὰρ ἂν εἴη τῷ ἀπηυδηκότι, ἀλογίστως ἰέναι ἐπὶ τὸ προκείμενον. ἕπεται δὲ τῷ λόγῳ, ὅτι τοῖς καρτερικοῖς καὶ ἅπαξ κρίνασι περί τινος, οὐ γίνεται ἀναβολὴ, οὐδὲ μετάνοια. ὥσπερ δὲ ἀποδίδοται τὸ ὡς πρὸς τὸ οὕτως, οὕτω καὶ τὸ ᾗ τὸ ἐπίρρημα πρὸς τὸ ταύτῃ ἐπίρρημα.

l. 828. Εἴ τῳ καὶ λογίζεσθαι] ὅμοιον τῷ, ἵνα τι καὶ παραθεωρήσω, καὶ, εἰ δεῖ τοῦτο εἰπεῖν, καὶ τοῖς τοιούτοις, ἃ λέγεται ὅτε ἀνακύψει τι καὶ παραρπάσῃ τοῦτο ὁ νοῦς. εὐθὺς γὰρ ἐπάγεται ταῦτα, ἵνα δηλώσῃ ὅτι καὶ ἕτερόν τι ἀνέκυψεν, ὅπερ οὐκ ἦν ἐν τῇ γνώμῃ τοῦ προκειμένου σκοποῦ. ἐμφαίνει δὲ ταῦτα εὐπορίαν τοῦ λέγοντος, ὡς μεταξὺ δύνασθαι καὶ διάζειν παρέργως καὶ ἑτέρας ἐπιβολάς.

l. 830. Μάλιστα μισηθέντος] μεγαλόφρων ὁ Αἴας, καὶ μέχρις ἐσχάτης ὥρας μισῶν τοὺς βαρβάρους. ὅτι δὲ δῶρον εἶπεν, ξένιον ἐπήνεγκε. ξένιον γὰρ λέγομεν τὸ δῶρον τὸ παρὰ ξένων διδόμενον. εἶτα προσέθηκεν, ἐμοὶ μάλιστα μισηθέντος.

Ἐχθίστου θ' ὁρᾶν] ἐμοὶ δῆλον εἰς τὸ ὁρᾶν, ὅμοιον τῷ, ἡδὺς ὁ ποταμὸς πιεῖν, ἤγουν εἰς τὸ πιεῖν τινὰ ἐξ αὐτοῦ.

l. 831. Πέπηγε δ' ἐν γῇ] πρόδηλον μὲν, ὅμως διὰ τὸ περιπαθὲς, ὅτι ἐν πολεμίᾳ γῇ ὑπὸ δυσμενοῦς ἀπόλλυμαι.

l. 832. Θηγάνῃ] ἀκόνῃ. ὅθεν καὶ θήγειν, τὸ ἀκονᾶν.

l. 833. Περιστείλας] εὐτρεπίσας. διαχειρισάμενος. περισφίγξας ἐν τῇ γῇ.

Pag. 43. l. 834. Τῷ δ' ἀνδρὶ] ἀντὶ τοῦ ἐμοί.

Διὰ τάχους θανεῖν] λείπει τὸ ὥστε. ὥστε διὰ τάχους θανεῖν.

l. 835. Εὐσκευοῦμεν] καλῶς παρεσκευάσμεθα, καὶ ἔχομεν πάντα ὧν δεῖ πρὸς θάνατον.

Ἐκ δὲ τῶνδέ μοι] οἷον, τὸ δὲ μετὰ ταῦτα.

l. 836. Καὶ γὰρ εἰκὸς, ἄρκεσον] ἀντὶ τοῦ ἐπάρκεσον, ἤγουν βοήθησον. καὶ γὰρ εἰκὸς, ἐπαρκέσαι δηλονότι πρῶτον. τοῦτο δὲ λέγει ἐπεὶ πρόπαππος αὐτοῦ ἦν, καὶ ἦν δίκαιος ὑπὸ πρώτου αὐτοῦ τυγχάνειν βοηθείας.

l. 837. Οὐ μακρὸν γέρας λαχεῖν] οὐ μεγάλου δώρου τυχεῖν. λαχεῖν, κυρίως τὸ ἀπὸ κλήρου τυχεῖν· ἐνταῦθα δὲ ἁπλῶς ἀντὶ τοῦ τυχεῖν. συντάσσεται δὲ τὸ μὲν λαχεῖν αἰτιατικῇ, τὸ δὲ τυχεῖν γενικῇ.

l. 839. Φέροντα] ἀντὶ τοῦ οἴσοντα· φάτιν δὲ, τὴν ἀγγελίαν.

l. 840. Πεπτῶτα] περιπεπτωκότα, κατὰ συγκοπὴν ἀπὸ τοῦ πεπτωκότα.

Νεορράντῳ] προσφάτῳ· ἢ τῷ δι' ὀλίγου ῥαντισθησομένῳ ὑπὸ τοῦ αἵματος.

l. 841. Καὶ μὴ πρὸς ἐχθρῶν του] καταγέλαστος (φασὶν) ὁ Αἴας, μὴ τὴν κυνῶν καὶ τὴν οἰωνῶν τὴν αἰκίαν ὑποστελλόμενος, ἀλλὰ τὴν θέαν τῶν Ἑλλήνων. ῥητέον οὖν ὅτι ἰδίωμα τῶν ἀνθρώπων τὸ μὴ βούλεσθαι τοὺς ἐχθροὺς ἐναβρύνεσθαι αὐτοῖς, καὶ τούτου μόνου ἀντιποιοῦνται.

l. 842. Ῥιφθῶ] ἀντὶ τοῦ ῥιφῶ. ὡς ἐπιτοπλεῖστον ὅτε εἰσὶν οἱ εἰς ην παθητικοὶ δεύτεροι ἀόριστοι ἐν χρήσει, οἱ παθητικοὶ πρῶτοι ἀόριστοι ἄχρηστοι εἰσὶν, εἰ μὴ παρὰ ποιηταῖς. οἷον ῥίπτω, ῥίψω, ἔρριψα, ἐρρίφην, ἐρρίφθην· φαίνω, ἐφάνην, ἐφάνθην.

Οἰωνοῖς] ὄρνισιν κυρίως δὲ οἱ γῦπες.

l. 843. Τοσαῦτά σ' ὦ Ζεῦ] γράφεται τοιαῦτα.

Προστρέπω] κατευκτικῶς λέγω. προστρόπαιοι γὰρ οἱ ἱκέται.

l. 844. Πομπαῖον] τὸν ψυχοπομπόν.

Εὖ με κοιμίσαι] θαυμαστῶς καὶ γενναίως κοιμίσαι εἶπεν ὡς ἐπὶ ὕπνου τὸν θάνατον

νατον

μαιον. καὶ Ὅμηρος, Κοιμήσατο χάλκεον ὕπνον.

l. 845. Ξὺν ἀσφαδάστῳ] ἀσκαρίστῳ καὶ σπασμὸν μὴ ἔχοντι. ἀντὶ τοῦ συντόμῳ. ὅπως καιρίας τῆς πληγῆς γιγνομένης, μὴ προσγένηται σπασμὸν, μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν. καὶ παρ' Εὐριπίδῃ, Ὁ δ' ἐσφάδαζεν, οὐκ ἔχων ἀπαλλαγάς. σφαδάζειν ἔλεγον τὸ σπᾶσθαι καὶ σφακελίζειν. παραδεδομένη δὲ κατὰ ἱστορίαν, ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην τρωτός, διὰ τὸ τὸν Ἡρακλέα, τῇ λεοντῇ αὐτὸν σκεπάσαντα, κατὰ τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι, διὰ τὸν γωρυτὸν ὃν περιῄρητο. φησὶ δὲ περὶ αὐτοῦ Αἰσχύλος ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο, οὐδαμῇ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ, Τόξον ὥς τις ἐντείνων, πρὶν δή τις, φησὶ, παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ. ὁ δὲ Σοφοκλῆς, ἐρυθοῦσαι μέν τι ὡς πρεσβυτέρᾳ μὴ βουληθεὶς, οὐ μὴν παραλιπεῖν αὐτὸ δοκιμάζων, ψιλῶς φησὶ πλευρὰν ἀναρρήξαντα τῷ δὲ φασγάνῳ, κατὰ τί τὴν πλευρὰν, μὴ εἰπών.

l. 847. Τὰς ἀεί τε παρθένους] μυθικὸν ἐστὶ τὸ λέγειν τὰς ἐριννύας ἀεὶ παρθένους. νῦν δὲ τὰς ἀδωροδοκήτους, καὶ οὐχὶ κηληθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικούντων.

l. 848. Ἀεὶ θ' ὁρώσας] ἀντὶ τοῦ ἐφορώσας, ἐκδικούσας τὰ ἀνθρώπινα πάθη.

l. 849. Τανύποδας] τὰς ἀκαταπαύστως ἐπιούσας συναπτέον δὲ τῷ μαθεῖν τὸ τανύποδας. διὰ ταχέως μαθεῖν τὸ καθ' ἐμὲ, καὶ μὴ ἀμελῆσαι ἐπεξελθεῖν τὸν ἐμὸν φόνον. τὸ γὰρ τεῖναι τοὺς πόδας, ἐστὶ τὸ βαδίσαι. ἢ καθ' ἑαυτὸ τὸ τανύποδας λεκτέον, τὰς πανταχοῦ τεινούσας τοὺς πόδας.

l. 851. Πανωλέθρους] ἀντὶ τοῦ πανωλεθρίους, τουτέστι παντελεῖ καὶ καθολικῷ ὀλέθρῳ.

l. 852. Συναρπάσειαν] ἀντὶ τοῦ ἀναρπάστους ὁμοῦ ποιήσειαν. ἀνάρπαστος δὲ, ὁ ἀφνιδίως ἀποθανών.

l. 853. Αὐτοσφαγῆ] αὐτοχειρία σφαγῇ. ἔστι δὲ ἀντὶ τοῦ ἐπιρρήματος.

Τοὺς αὐτοσφαγεῖς] τοῦτο ἀπέβη τῷ ἀγαμέμνονι ὑπὸ γὰρ τῶν φιλτάτων ἀπώλετο. ταῦτα δὲ νοθεύεσθαί φησιν, ὑποβληθέντα πρὸς σαφήνειαν τῶν λεγομένων.

l. 854. Πρὸς τῶν φιλίστων] παρὰ τῶν φιλτάτων. ἢ πρὸ τῶν φιλίστων, ἤγουν ἔμπροσθεν.

Ὀλοίατο] ὄλοιντο. ἀφανισθεῖεν.

l. 855. Ποίνιμοι] τιμωροὶ, αἱ ἐκδικοῦσαι τῶν ἀδικουμένους.

l. 856. Γεύεσθε] τὸ ἑξῆς, γεύεσθε πανδήμου στρατοῦ, μὴ φείδεσθε.

l. 857. Σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν] ὑπερβολικῶς. εἰώθασι γὰρ περὶ τῶν δεινῶν λέγειν, ὅτι ἐπικαλυψάμενος ὁ ἥλιος τὰ τοιαῦτα παρέρχεται. ὁ δὲ πρὸς τὸν ἥλιον φησὶ, καὶ ἀπάγγειλον ἐποπτεύσας τοῖς γονεῦσι τὰ πεπραγμένα.

l. 859. Ἐπισχὼν] κωλύσας, τῆς πορείας, τὴν ἡνίαν δὲ ἀντὶ τοῦ ἅρμα.

l. 861. Τῇ τε δυστήνῳ τροφῷ] καὶ ταῦτα περιπαθῆ καὶ ἀνθρώπινα. ὅρα γὰρ ὅτι καὶ ἡρακλῆς ἐπὶ τοῦ θανάτου τὴν μητέρα μεταπέμπεται, ὅπου καὶ πάνυ οἰκτρῶς αὐτὴν ἀνακαλεῖ. καλεῖ δὲ τὴν τάλαιναν. ὡς ἀντιλαμβανόμενος δὲ ἑαυτοῦ, ἐπάγει. Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην. Ἄλλως. οἱ μὲν, τῇ θρεψαμένῃ, οἱ δὲ καὶ ἐπὶ τὸ σαφέστερον.

l. 862. Ἦ που] ὄντως.

l. 863. Ἥσει] ἀφήσει, ὁ δὲ κωκυτὸς καὶ ὁ γόος, ποιαὶ φωναί.

l. 865. Ἀρκτέον] ἤτοι ἄξιον ἀρχὴν λαβεῖν τὸ πρᾶγμα. ἔστι γὰρ ὄνομα ἐπίθετον, ἀλλ' οὐκ ἐπίρρημα. τὰ μὲν γὰρ οὕτω προφερόμενα ἐπιρρήματα, ἐνεργητικὴν ἔχουσι τὴν σημασίαν· τὰ δὲ ὀνόματα, παθητικήν.

l. 870. Παύστατον] ἀντὶ τοῦ ὕστατον. τῶν ποιητῶν ἐστὶ τὸ προστιθέναι τοῖς ὑπερθετικοῖς ἑτέρας ἐπιτάσεις, οἷον ὕστατον, πανύστατον· ἄριστον, πανάριστον.

l. 872. Ἑστίας βάθρον] δύναται καὶ τὸ κράτος νοεῖσθαι καὶ ὁ τόπος, καὶ ἡ βάσις τῆς ἑστίας.

l. 873. Κλειναί τ' Ἀθῆναι] τῶν Ἀθηναίων μέμνηται διὰ τὴν συγγένειαν· καὶ ὅτι ἐν ἀθήναις ὁ ποιητὴς ἠγωνίζετο, ταῦτά φησιν, ἐπισπώμενος αὐτοὺς εἰς εὔνοιαν.

Σύντροφον γένος] οἱ ὁμήλικες.

l. 874. Κρῆναί τε ποταμοί θ' οἵδε] καὶ ἐν ἀρχῇ ἔφη, ἐν γῇ πολεμίᾳ τῇ τρωάδι. ἐπὶ δὲ τῷ τέλει, καὶ τὰς κρήνας καὶ τοὺς ποταμοὺς καλεῖ, παρ' οἷς μέλλει τελευτᾶν, καὶ ἔστιν εὐσεβοῦς ἀνδρὸς ἐξευμενίζειν περὶ τοῦ θανάτου θεοὺς. τόπους, χώραν, πατρίδα, ἀδελφοὺς, ὥστε μετ'

εὐμεν-

ἁμαρτίας ἀποθανεῖν, ἴσως δὲ καὶ ἐπιμαρτυρόμενος λέγει.

l. 876. Τοῦθ᾽ ὑμῖν Αἴας] περιπαθῶς καὶ τὸ ὄνομα ἀνακαλεῖται. δεῖ δὲ ὑπονοῆσαι ὅτι περιπίπτει τῷ ξίφει, καὶ δεῖ καρτερόν τινα εἶναι τὸν ὑποκριτὴν, ὡς ἄξαι τοὺς θεατὰς εἰς τὴν τοῦ Αἴαντος φαντασίαν. ὁποῖα περὶ τοῦ ζακυνθίου τιμοθέου φασὶν, ὅτι ἦγε τοὺς θεατὰς καὶ ἐψυχαγώγει τῇ ὑποκρίσει, ὡς σφαγία αὐτὸν κληθῆναι.

Θροεῖ] λέγει.

Pa.45. l.878. Πόνος πόνῳ πόνον φέρει] λείπει ἡ πρὸς, ἵν᾽ ᾖ, ὁ πόνος πρὸς τῷ πόνῳ πόνον φέρει. καὶ ἔστι τὸ μὲν πόνος πόνῳ, ἀρχαϊκὸν, ὡς ἔργον ἐπ᾽ ἔργῳ· τὸ δὲ δεύτερον, πόνον, κοινῶς, ὅτι κάματον. Ἄλλως. οἱ ἀπὸ τοῦ χοροῦ περιΐασιν, ὥσπερ ἐκ διαφόρων τόπων κατ᾽ ἄλλην καὶ ἄλλην εἴσοδον, ζητοῦντες τὸν Αἴαντα· καὶ ἡ τέκμησσα ἐξ ἄλλων, ἥτις καὶ πρώτη ἐπιτυγχάνει τῷ πτώματι. ὁ δὲ νοῦς, ὁ πόνος ἐπὶ πόνῳ πόνον φέρει· ὡς Ὅμηρος, πάντῃ δὲ κακὸν κακῷ ἐστήρικται· καὶ ἐν τραχινίαις, Νὺξ γὰρ εἰσάγει καὶ νὺξ ἀποθεῖ διαδεδεγμένη πόνον.

Φέρει] ἀντὶ τοῦ ἐπιφέρεται.

l. 880. Κοὐδεὶς ἐπίσταταί με] οὐδεὶς οἶδέ με τόπος συμμαθεῖν. ὅτι μεμαθηκότα τὸ γεγονὸς οὐδείς με οἶδε τόπος· ἀλλὰ μάτην περιῆλθεν.

Συμμαθεῖν] ἀντὶ τοῦ διδάξαι, εἰς μάθησιν ἀγαγεῖν τοῦ ζητουμένου.

l. 881. Ἰδοὺ, ἰδοὺ] πιθανὰ ταῦτα, καὶ σχεδὸν τῆς ἀληθείας ἐγγύς. τὸ δὲ Δοῦπον, ἐλπίζοντες τῷ σώματι περιπεσεῖν.

l.882. Κοινόπλουν ὁμιλίαν] ἡ συνουσία, ἐπὶ τῆς αὐτῆς νηὸς πλεύσαντες, ἢ τροπικῶς τὸν αὐτὸν ἡμῖν πλοῦν ἐσταλμένοι πρὸς τὴν ζήτησιν. ὁμιλίαν κλύω δηλονότι ἡμῶν τῆς κοινόπλου νηὸς, ἤγουν τοῦ ναυτικοῦ λαοῦ τοῦ ὁμοῦ ἡμῖν πλεύσαντος.

l. 884. Πᾶν ἐστίβηται] ἤγουν, ὅλον τὸ ἑσπέριον μέρος τῶν νεῶν διαδέδυται.

l. 885. Ἔχεις οὖν] ἀπὸ μεταφορᾶς τῶν ἐχόντων τι ἐν ταῖς χερσὶ, καθ᾽ ὃ λέγεται οὐ κεναῖς χερσὶν ἐπανήκειν, καὶ ἐπὶ πραγμάτων μὴ χερῶν λεγομένων.

l. 887. Ἀλλ᾽ οὐδ᾽ ἐμοὶ δὴ] κατὰ τὴν ὁδὸν τὴν ἀπὸ τῶν ἡλίου βολῶν. ἔστι δὲ καὶ οὕτως, ἀλλὰ οὐδὲ μὲν δὴ μολὼν (ἤγουν ἐλθὼν) ὁ ἀνὴρ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου ἄγουσαν, δηλοῦται φανεὶς οὐδαμοῦ. τουτέστιν ἐν οὐδενὶ τόπῳ φαίνεται.

l. 888. Δηλοῖ] ἀντὶ παθητικοῦ δηλοῦται.

l. 890. Τίς ἂν δῆτά μοι] ὅλος ὁ χορὸς εἰς ἓν συνελθὼν ταῦτά φησι.

l. 891. Τίς ἂν φιλοπόνων ἁλιαδᾶν] τίς τῶν ἁλιέων ἀεὶ ἀγρυπνεῖν εἰθισμένων διὰ τὴν ἄγραν, ἢ τίς θεὰ ὀλυμπιάς, ἢ ποταμῶν ἴδρις, τουτέστι ναΐς, ἀπαγγεῖλαι εἴπου λεύσσει τὸν ὠμόθυμον. ἁλιάς, τὸ ἁλιευτικὸν πλοῖον· ἁλιάδαι δὲ, οἱ παῖδες τῶν ἁλιέων, ἤγουν οἱ ἁλιεῖς, ὡς ἀσκληπιάδαι, οἱ ἰατροί.

l. 894. Ῥυτῶν] τῶν ῥεόντων, παρὰ τὴν ῥύσιν. ἤγουν, ἢ τίς θεὰ ἴδρις τῶν ῥοῶν ποταμῶν τῶν βοσπορίων.

l. 895. Βοσπορίων] ἴσως τῶν ἑλλησποντίων, τῶν εἰς τὸν βόσπορον ῥεόντων τερθρικῶν ποταμῶν. δύο δέ εἰσι βόσποροι, ὁ μὲν, κατὰ τὴν προποντίδα, ὁ δὲ, θρακικός, ὥς φησι φιλίας.

l. 897. Ἀπύοι] εἴποι.

l. 898. Σχέτλια γὰρ ἐμέ γε] δεινὰ γὰρ πράγματα ἐμὲ τὸν ἐπιπόνως πλανηθέντα, μὴ εὐθυδρομῆσαι εἰς τὸ τῆς ζητήσεως μέρος, καθὸ ὁ Αἴας ἐποιήσατο τὴν ἔφοδον. τοῦτο γὰρ ἂν εἴη οὔριον.

l. 904. Ἀλλ᾽ ἀμενηνὸν] ἐφ᾽ ἑαυτοῦ, οὐκ ἐπὶ τοῦ Αἴαντος. σχέτλια ἂν εἴη μὴ ἐπιτετυχηκέναι αὐτῷ, ἀλλ᾽ ἠθεινηκέναι με τῇ ζητήσει.

l. 907. Πάραυλος] παρατεταμένη, ἐγγὺς παρὰ τὴν αὐλήν· ἢ θρηνητική, παρὰ τοὺς αὐλούς.

l. 908. Ἰὼ τλήμων] τοῦτο ἐν τῷ ἐμφανεῖ γενόμενον, ὅπερ δηλοῖ ὁ χορός. Ἄλλως. Τέκμησσα βοᾷ ἐπιτυχοῦσα τῷ σώματι. φαίνεται δὲ οὐδέπω ἔνοπτος οὖσα τῷ χορῷ.

l. 909. Τὴν δουρίληπτον] ἤγουν, τὴν τέκμησσαν ὁρῶ τὴν δύσμορον τὴν δορίληπτον· τουτέστι τὴν ἐν αἰχμαλωσίᾳ νυμφευθεῖσαν.

l. 914. Κρυφαίῳ] τῷ λαθραίως τῶν φίλων γεγονότι· ἢ ἀποκεκρυμμένῳ εἰσδεδυκότι εἰς τὸ σῶμα. τὸ δὲ περιπτυχὴς, κυριώτατα μὲν ὠνόμασαι, ἡμῖν δὲ δυσμετάβλητον, πῶς δὲ περικεκυλισμένως.

l. 916. Ὤ μοι ἐμῶν νόσων] ἐν πρώτοις περὶ ἑαυτῶν ὀλοφύρεται.

l. 918.

l. 918. Τὸν δὲ συνναύταν) ἀντὶ τοῦ ἐμὲ τὸν χερσὶν, συνήθως.

Pag. 47. l. 922. Τίνος ποτ' ἄρ' ἔπραξε) ἤγουν διὰ χειρὸς τίνος ἄρα ἔπραξε τὸν φόνον; οἱ ἀττικοὶ τὸ ἄρα ὅταν μὲν ἐρωτηματικὸν ἦ, τροχαϊκῶς γράφουσιν· ὅταν δὲ ὡς σύνδεσμος συλλογιστικὸς λέγηται, ἀδιαφόρως, ποτὲ μὲν τροχαϊκῶς, ποτὲ δὲ πυρριχιακῶς.

l. 923. Ἐν γὰρ οἱ χθονὶ) αὐτὸ τὸ σχῆμα (φησὶ) δηλοῖ ὅτι ὑφ' ἑαυτοῦ ἀνῃρέθη. πᾶν δὲ ἀμυντήριον, καὶ δόρυ καὶ ἔγχος καλοῦσιν οἱ νεώτεροι.

l. 924. Πηκτὸν) περιπεπηγὸς αὐτῷ.

Περιπετὴς) ᾧ περιέπεσε. τοῦ δὲ θεράποντος εἰδότος τὸν τρόπον τῆς ἀναιρέσεως, ἔδει καὶ τὸν χορὸν καὶ τὴν τέκμησσαν πολυπραγμονῆσαι.

Κατηγορεῖ) σημαίνει, λέγει. τὸ δὲ ὅλον οὕτως, πηκτὸν γὰρ ὂν (δηλονότι ἐν τῇ χθονὶ) τὸ δὲ τὸ περιπετὲς ἔγχος αὐτῷ, κατηγορεῖ (ἤγουν παρίστησι) ὅτι ὑφ' ἑαυτοῦ δηλονότι ἐφονεύθη. Κατηγορῶ σου ἀγαθὰ ἢ φαῦλα, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. κατηγορεῖν δὲ τὸ παριστᾶν καὶ δεικνύειν, μετὰ αἰτιατικῆς μόνης λέγεται.

l. 926. Οἷος ἄρ' αἱμάχθης) μόνος ἡματώθης.

l. 927. Ἄφαρκτος τῶν φίλων) ἀφύλακτος. οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις, διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε.

l. 928. Ὁ πάντα κωφὸς) τὰ πάντα εἰς τὴν ἀπάτην. ἐγὼ δὲ (φησὶν) ὁ ἀναίσθητος κατημέλησα.

l. 930. Πᾶ πᾶ) τοῦτο κατ' ἄλλης ἀρχῆς. βουλόμενοι τὸ σῶμα θεάσασθαι, τοῦτο λέγουσιν. ὃ διακωλύει ἡ τέκμησσα.

l. 931. Ὁ δυστράπελος) δύσκολος, δυσκίνητος, ἀμετάτρεπτος, ὃς οὐχ εὗρεν ἐκφυγὴν τῶν παθῶν. οὕτω λέγουσι καὶ δυστράπελον τὸ ὄργημα, τὸ οὐκ εὐδιάλλακτον. Ἄλλως. δυστράπελον φασὶν ἀττικῶς τὸν ἀμετακίνητον ἐν ὀργῇ, ἢ διαθέσει, ἢ φιλαργυρίᾳ. τὸν αὐτὸν δὲ, καὶ ἀτράπελον.

l. 932. Ὁ δυσώνυμος αἴας) ὡς καὶ αὐτὸς λέγει ὁ αἴας. λέγεται δυσώνυμος καὶ οὗ τὸ ὄνομα ἐπαχθῶς οἱ ἄνθρωποι δέχονται διὰ τὸ μῖσος ὅπερ ἔχουσι πρὸς αὐτὸν, καθ' ὃ λέγεται δυσώνυμος ὁ ᾅδης.

l. 934. Φάρει καλύψω) ἦθος γυναικὸς, τὸ μὴ αἰσχημόνως δείκνυσθαι τὸ σῶμα.

Παμπήδην) παντελῶς. ὅλον τὸ σῶμα.

l. 935. Οὐδεὶς ἂν ὅστις καὶ φίλος] ὑπερβολικῶς· ἐπεὶ οὐκ εἰκὸς ἐν τοῖς δεινοῖς τοὺς φίλους μαλακίζεσθαι.

Τλαίη βλέπειν] ὑπομείνῃ. τλῶ, τὸ ὑπομένω καὶ τολμῶ· οὗ μέλλων τλήσω, δεύτερος ἀόριστος ἔτλην, τὸ εὐκτικὸν τλαίην.

l. 936. Μελανθὲν αἷμα] χυθὲν ὤφειλεν εἰπεῖν, ἢ γεγονὸς ἀπὸ τῆς οἰκείας σφαγῆς· ὁ δὲ, διὰ τὸ μέλαν εἶναι τὸ αἷμα, μελανθὲν αἷμα λέγει.

l. 937. Τίς σὲ βαστάσει φίλων) πάντα τὰ ἀπορηματικὰ, καὶ μάλιστα ἐπὶ τῶν προσώπων τῶν ἑνικῶν, ὑποτακτικῷ γράφεται.

938. Ὡς ἀκμαῖος) καίριος. κατὰ καιρόν. παρὰ τὴν ἀκμὴν τοῦ καιροῦ. καλῶς δὲ ζητεῖ τὸν τεῦκρον, ἵν' ἡ κηδεία γένηται ἀπὸ τοῦ συγγενοῦς.

l. 939. Συγκαθαρμόσαι) περιστεῖλαι.

l. 941. Ὡς καὶ παρ' ἐχθροῖς) αὔξησις περὶ τὸ πάθος, ὡς καὶ τῶν δυσμενῶν ἐλθεῖν.

l 942. Ἔμελλες τάλας) ἰακῶς. ἐῴκεις ἄρα καὶ δῆλος ἦς.

l. 943. Στερεόφρων) ὢν, ἐφ' οἷς ἐδόησας καὶ ἤλγεις περιυβρισμένος ὑπὸ τῶν ἀτρειδῶν, ἔμελλες πληρώσειν κατὰ τὰς φρένας τὴν μοῖραν.

l. 947. Πάννυχα καὶ φαέθοντ') κατὰ νύκτα καὶ ἡμέραν. φαέθων, ὁ ἥλιος, καὶ ὁ υἱὸς τοῦ ἡλίου.

l. 948. Ὠμόφρων) ἀττικῶς μέγα. οὗτοι γὰρ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς. οὕτω καὶ, ὦ δύσμορ' αἴας, ἀντὶ τοῦ αἶαν.

l. 952. Ἄρχων χρόνος) ἀρχηγός. γενναία δὲ, ἡ ἰσχυρά.

l. 953. Ἀριστόχειρ) ὁ γενναῖος περὶ τὰ ἀριστεῖα. τὸ δὲ ὅλον, μέγας ἄρα ἄρχων, ἤγουν ἐπιστάτης ἦν τιμάτων ὁ χρόνος ἐκεῖνος, ἡνίκα περὶ τῶν ὅπλων ἔκειτο ἀγών. ἀριστόχειρ, ἤγουν ὑπὲρ τοῦ φανῆναι τὸν ἄριστον ταῖς χερσίν.

Pag. 49. l. 958. Οὐδέν σ' ἀπιστῶ) εἰώθασιν ἐν τοῖς πάθεσι καὶ συγχωρεῖν τοῖς ἀλγοῦσι. φέρει γὰρ τοῦτο καὶ κόρον τοῦ θρήνου καὶ παραμυθίαν.

l. 960. Σοὶ μὲν δοκεῖν) σοὶ μὲν ταῦτα ἐν δόξῃ καταλαμβάνεται· ἐγὼ δὲ σαφῶς ἐπίσταμαι. ἔστι μὲν γὰρ τῷ χορῷ

οἰκειότης πρὸς αἴαντα, ἀλλ' οὐχ ὅσον πρὸς τὴν τέκμησσαν.

Δοκεῖν) δοξάζειν.

Ἄγαν φρονεῖν) τὸ αἰσθάνεσθαι τῆς λύπης.

l. 962. Δουλείας ζυγά] ἀπὸ μεταφορᾶς τῶν ζυγῶν τῶν ζευγνυόντων τοὺς βοῦς.

l. 963. Σκοποί] οἱ ἀτρεῖδαι.

l. 964. Ὦ μοι ἀναλγήτων] ἀσυμπαθῶν, εἰ τοῦτο πράξειαν. ἤ, τῶν μηδ' ὅλως ἀλγούντων ἐπὶ ταῖς συμφοραῖς τῶν ἑλλήνων. ἢ πολυαλγήτων, τῶν εἰς πολλὰ ἄχη ἡμᾶς ἐμβεβληκότων. Ἄλλως. γράφεται ἰώ μοι. περιπαθῶς δὲ ὁ χορὸς ἀναβοᾷ ἐπὶ τῷ τεκμήσσης λόγῳ.

l. 966. Ἄναυδον ἔργον] ἔργον ἄρρητον, ὅπερ δηλονότι ἔχουσιν ἐν τῇ γνώμῃ πράττειν, εἴρηκας ἐν τῇ δὲ τῇ λύπῃ τῶν ἀσυμπαθῶν διπλῶν ἀτρειδῶν. ἄρρητον δὲ, τὸ μὴ δυνάμενον ῥηθῆναι, καὶ τὸ μὴ ἄξιον ῥηθῆναι. ἢ ὡς ἀπόῤῥητον, οὐκ ἔστιν ἄξιον λέγεσθαι, ἢ ὡς αἰσχρὸν ἢ ὡς μυστηριώδες. ἄρρητον, ὑπερβολικῶς καὶ τὸ μέγα καὶ τὸ πολύ.

l. 967. Τῷ δ' ἄχει] τῇ παρούσῃ συμφορᾷ.

l. 969. Οὐκ ἂν τάδ' ἔστη] οὐκ ἂν ταῦτα ἐπράχθη οὕτω, μὴ θεῶν βουλομένων. ὥς τε καὶ ταῦτά ἐστι προσδοκᾶν περὶ τῶν ἀτρειδῶν. Ἄλλως. πρὸς τὸ εἰρημένον ὑπὸ τοῦ θεοῦ, ἀλλ' ἀπείργοι θεός, φησίν, οὐκ εἰκὸς συλλήψεσθαι ἡμῖν τοὺς θεοὺς, ἐπεὶ οὐδ' ἂν ἐπράχθη ταῦτα.

l. 970. Ἄγαν ὑπερβριθὲς] μέγα καὶ βαρὺ λύουσαν οἱ πράξαντες τὰ περὶ τὸν αἴαντα ὅ ἐστιν οἱ αἴτιοι τούτων.

l. 972. Φυτεύει] ἀντὶ τοῦ ἐφύτευσεν. ἤγουν, τοιαύτης βλάβης ἀφορμὴν ἔδωκε παλλὰς ἡ μεγάλη θεὸς, ἡ θυγατὴρ τοῦ διὸς, εἰς χάριν τοῦ ὀδυσσέως. τὸ φυτεύειν ἐπὶ φυτῶν λέγεται κυρίως. ἤγουν τὸ τὴν ῥίζαν αὐτῶν καταβάλλειν. ἀπὸ τούτου δὲ παρὰ τοῖς ποιηταῖς καὶ ἐπ' ἀνθρώπων. ὡς παρ' εὐριπίδῃ. Οὗτος φυτεύει πέλοπα. καὶ ἁπλῶς ἐπὶ τοῦ καταβάλλειν ἀρχὴν ἔν τινι πράγματι, ὡς ἐνταῦθα.

l. 973. Κελαινώπαν] ὅτι, οὐκ ἐν τῷ φανερῷ ἀλλ' ἐν σκότῳ ἤδη βλεπόμενον, καὶ μέλανα, καὶ ὅτι κεκρυμμένον καὶ δόλιον καὶ οὐχ ἁπλοῦν θυμὸν ἐνυβρίζει. ἔξωθεν δὲ ἡ κατά. τὸ δὲ ἡμᾶς, λείπει. ἵν' ᾖ, κατὰ τὸν θυμὸν ἐφυβρίζει ἡμᾶς. κελαινώπαν δὲ θυμὸν, ἤγουν βαθυγνώμονα ψυχήν.

l. 976. Τοῖς μαινομένοις] τοῖς διὰ μανίαν συμβεβηκόσιν.

l. 981. Γελώντων] ἀντὶ τοῦ γελάτωσαν.

Κἀπιχαιρόντων] ἤγουν ἐπιχαιρέτωσαν.

l. 982. Ἴσως τοι, κεἰ βλέποντα] καὶ νῦν βλέποντα εἶπεν ἀντὶ τοῦ ζῶντα, διὸ τὸ κ' πρόσκειται. τὸ δὲ οἰμώξω, ἀμεταβάτως, καὶ οἰμώξω τὸν τεθνηκότα.

Pag. 51. l. 986. Ἐμοὶ πικρὸς] μᾶλλον ἐμοὶ πικρὸς τέθνηκεν ἢ παρ' ἐκείνοις γλυκύς· ἐπεὶ ὧν ἐπεθύμει ἔτυχεν. οὐκ ἂν οὖν ἐπεγγελῷεν αὐτῷ οἱ ἐχθροί, ὡς αὐτοὶ τῆς ἀπωλείας αἴτιοι γενόμενοι.

l. 990. Θεοῖς τέθνηκε] θεῶν βουλομένων. οὐ γὰρ οἱ ἕλληνες τὴν τοιαύτην αἰτίαν αὐτῷ παρέσχον.

l. 994. Ἰώ μοί μοι] δεῖ ἀκούεσθαι βοὴν, ἣν ἀκούσας ὁ χορὸς ἐφίστησι, γνωρίζων τὸ φθέγμα τοῦ τεύκρου βοῶντος.

l. 996. Ἐπίσκοπον μέλος] σημαντικόν. ἔφορον οὐχ ἡμαρτηκὸς τῆς συμφορᾶς, ἀλλ' ἐστοχασμένον.

l. 997. Ὦ φίλτατ' αἴας] ἔρχεται μεταπεμφθεὶς ὑπὸ τεκμήσσης.

l. 998. Ἆρ' ἠμπόληκας] ἐνεπόλησας. ἐκέρδανας. καὶ ἐπὶ φαύλου λέγεται. ἐμπορικῶς δὲ, ἀντὶ τοῦ περιεποίησας.

l. 1001. Ὡς ὧδ' ἐχόντων] τὸ ἑξῆς, ὡς ὧδ' ἐχόντων, πάρα στενάζειν.

l. 1005. Περιαστερχὲς] ἀντὶ τοῦ βαρύ. ἤτοι ἀμηχανίαν ἐμποιοῦν. περισσῶς κατεπεῖγον. ἀπὸ τοῦ περιαστέρχεσθαι τὸ περιστρέφεσθαι. οἱ ἐν δεινῷ τινὶ καταστάντες ἢ χρείᾳ, καὶ μὴ εὑρίσκοντες λύσιν τούτων, ἄνω καὶ κάτω φέρονται πλανώμενοι ὑπ' ἀπορίας. ἐφ' ὧν λέγεται καὶ τὸ ἀλύειν, ὃ γίνεται ἀπὸ τοῦ ἄλη ἡ πλάνη.

l. 1007. Τί γὰρ τέκνον τὸ τοῦδε] καὶ πρὶν ἀκοῦσαι τὴν ἐντολὴν ὁ τεῦκρος ἔδειξε τὴν περὶ τὸν παῖδα κηδεμονίαν ἀφ' ἑαυτοῦ φρονίμως.

l. 1011. Ὡς κενῆς σκύμνον λεαίνης] κεκενωμένης καὶ ἐστερημένης τοῦ συζύγου. καλῶς δὲ τῷ παραδείγματι χρῆται. οἱ γὰρ κυνηγοὶ τηροῦσι τὸν καιρὸν ὁπότε ἔρημοι τῶν μητέρων γίγνονται οἱ σκύμνοι.

l. 1019. Ὁδὸς θ' ὁδῶν] οὐ λέγει τὴν

ἐπὶ

ἐπὶ τὴν μυσίαν. (ἐπιφέρει γάρ, ἣν δὴ νῦν ἔβην) ἀλλὰ ταύτην ἣν ἦλθεν ἐπὶ τὸ ἰδεῖν τὸν νεκρόν.

l. 1022. Διώκων] ἤγουν φθάσαι ζητῶν.

Κἀξιχνοσκοπούμενος] κατ' ἴχνος ἀκολουθῶν.

l. 1023. Ὀξεῖα γάρ σου βάξις] οὐ κοινῶς τὸ ὀξὺ ἐπὶ τῆς φήμης, ἀλλ' ὁρμὴν ἔχει ἐπὶ τοῖς ἀξιώμασι προσβεβηκόσι.

Ὡς θεοῦ] ἤτοι ὡς ἀπὸ θεοῦ, ἢ ὥσπερ θεοῦ. τοῦτο δὲ πρὸς τὴν φήμην μόνον, ἐπεὶ γίγνεται βλάσφημον διὰ τὴν ἑξῆς.

Pag. 53. l. 1021. Ὑπεστέναζον] ἴσως ἡσύχως ἐστέναζε δεδοικὼς τοὺς ἐχθρούς.

l. 1023. Ἴθ' ἐκκαλυψον] πρὸς τὸν χορὸν φησιν, ἢ τινὰ τῶν θεραπόντων. ὁ γὰρ τέκμησσα ἐπὶ τὸν παῖδα ἀπῄει.

l. 1024. Ὦ δυσθέατον] ὡς ἀνακαλύψας τοῦτο φησί.

l. 1025. Κατὰ σπείρας] δαιμονίας καὶ τὸ σπείρας. οἷον, ἀρχὴν κακῶν παρέχων. ἢ τὸ σπείρας ἐπὶ πλήθους κακῶν ποιητέον.

l. 1028. Ἡ ποῦ τελαμὼν] ἅμα μὲν πρὸς τῆς ἱστορίας, ὅτι ἐκβέβληται· ἅμα δὲ καὶ πρὸς τὸ πιθανὸν τῆς ὑπονοίας.

l. 1029. Εὐπρόσωπος] ἀντὶ τοῦ εὐπροσώπως· τουτέστι ἱλαρῷ προσώπῳ. εὐπρόσωπος δὲ, ὁ εὐειδής. καὶ ἀπὸ τούτου εὐπρόσωπος αἰτία, ἡ πιθανὴ καὶ εὐφραντής.

l. 1030. Πῶς γάρ; οὐχ ὅπως παρά] συνάγει τὸ ἐναντίον ὁ λόγος, ἤγουν, οὐκ εὐμενῶς με δέξεται· πρὸς ὃ ἐπάγεται, πῶς γάρ; οὐχ ὅπως παρά, ἤγουν ὅπως μηδὲν (τουτέστι μηδαμῶς) πάρεστιν οὐδ' εὐτυχοῦντι γελᾷν ἡδέως. Ἄλλως. πῶς γὰρ οὗτός με ἡδέως δέξεται, ᾧ καὶ εὐτυχοῦντι τὸ προσηνὲς ἄπεστι καὶ ἱλαρόν. οὐχ ὅπως παρά, οὐχ ᾧτινι οὐδ' εὐτυχοῦντι πάρεστι τὸ γελᾷν. εὐτυχοῦντι δὲ εἶπεν, οὐκ ἐπὶ τῷ υἱῷ ἐσφαγμένῳ, ἀλλ' ἐπὶ ταῖς ἀνδραγαθίαις τοῦ υἱοῦ καὶ τῇ ἁλώσει τῆς τροίας.

l. 1032. Τί κρύψει] κακὸν σιγήσει, ἀπὸ κοινοῦ.

Ποῖον οὐκ ἐρεῖ κακόν] οἷον, τίνος ἀπόσχοιτο λόγου;

l. 1033. Τὸν ἐκ δορὸς] ἤγουν, τὸν γεγονότα νόθον ἐκ δορὸς πολεμίου, τουτέστιν ἐκ γυναικὸς μάχῃ πολεμίᾳ κρατηθείσης.

l. 1035. Ὡς τὰ σά] ὅπως τὰ σά.

l. 1037. Τοσαῦτ' ἀνὴρ δύσοργος] τὸ μὲν δύσοργος, ἐκ φύσεως (λέγει γὰρ αὐτὸν ἀεὶ σκυθρωπόν) τὸ δὲ ἐν γήρᾳ, εἰς ἐπίτασιν.

l. 1038. Πρὸς οὐδὲν] πρὸς οὐδὲν ἀληθές· ἢ αἴτιόν μοι.

Εἰς ἔριν] εἰς μάχην. ἔρις ὁ ζῆλος καὶ ἡ μέμψις, καὶ ἔρις ἡ μάχη.

l. 1039. Τέλος] κατὰ τὸ τέλος, ἐπιῤῥηματικῶς.

Ἀποῤῥιφθήσομαι] ἐκπεσοῦμαι τῆς γῆς τῆς πατρῴας.

l. 1045. Δοῦλος λόγοισιν] ταῖς τοῦ πατρὸς λοιδορίαις.

l. 1047. Πολλοὶ μὲν ἐχθροὶ] πολλοὶ ἐχθροὶ Ἕλληνές τε καὶ Τρῶες· ὀλίγοι δὲ ὠφελήσιμοι Ἕλληνες.

l. 1049. Πῶς σ' ἀποσπάσω] πῶς (φησὶ) τὸ σῶμα ἀπὸ τοῦ ξίφους ἑλκύσω; συμπληρῶσαι δὲ βούλεται καὶ θάπτειν αὐτόν. καλῶς δὲ, τῇ μὲν τεκμήσσῃ παρείηψε τὸ σκεπάσαι αὐτὸν, ὡς γυναικὶ· τῷ δὲ τεύκρῳ, ὡς ἀνδρὶ καὶ ἀδελφῷ, τὰ δέοντα ποιεῖν περὶ τὸ σῶμα.

l. 1050. Τοῦ δ' αἰόλου κνώδοντος] τῆς ἀκμῆς τοῦ ξίφους, τῆς ὀξείας εἰς τὸ καίνειν, ὡς ὀδούς. ὀδοῦσι γὰρ παραβάλλεται ὀξέσιν. ἀπὸ δὲ τοῦ ἄκρου τὸ ξίφος δηλοῖ. Αἰόλου. τὴν συνεχῆ κίνησιν παρέχοντος διὰ τὴν λεπτότητα.

l. 1055. Πειραθεὶς] ἤγουν δεθείς.

Ἀντύγων] ἤγουν ἁρμάτων.

l. 1058. Πεσήματι] ἀντὶ τοῦ πτώματι.

l. 1060. Κἀκεῖνον] δηλονότι τὸν ζωστῆρα.

l. 1061. Ἐγὼ μὲν οὖν καὶ ταῦτα] καλῶς τὸ φάναι πάντα κατὰ γνώμην θεῶν γίγνεσθαι. εἰσὶ γάρ τινες ἑτεροδοξοῦντες.

l. 1063. Ὅτῳ δὲ μὴ τάδ' ἐστὶ] τὸ ἐκ θεῶν μηχανᾶσθαι ταῦτα.

l. 1064. Ἐκεῖνα στεργέτω] τὰ ἑαυτοῦ δόγματα. γέγονε δὲ τοῦτο καὶ παροιμιακόν.

l. 1065. Μὴ τεῖνε] ἀντὶ τοῦ ἀπότεινε, λόγον δηλονότι. τὸ ἀποτείνειν γὰρ ἐπὶ λόγου λέγεται· οἷον, ἀπέτεινε λόγον μακρόν.

l. 1066. Ἀλλὰ φράζου] σκόπει ὅπως κρύψεις τὸν ἄνδρα ἐν τάφῳ. ὅπως ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ καθά. ἐνταῦθα ἀντὶ τοῦ πῶς.

Χ ὦ, τι μυθήσῃ τάχα] καὶ ὅτι μυθήσῃ

πρὸς τὴν ἔφοδον Μενελάου· τουτέστι τὴν ἄφιξιν· ἤτοι πρὸς αὐτὸν Μενέλαον.

l. 1068. Ἐξίκοιτ' ἀνὴρ] πιθανῶς πάρεστιν, ὅτι οὐ συμπαθήσων πάρεστιν. οὐκ ἀργῶς δὲ τοῦτο, ἀλλ' ὡς περὶ προπαρασκευάζων τὸν Τεῦκρον. λέγει δὲ, ἐξίκοιτο ἂν (ἤγουν διεξέλθοι) ἃ ἀνὴρ κακοῦργος ἐξίκοιτο ἂν δηλονότι.

l. 1069. Τίς δ' ἐστιν] ἤγουν, τίς ἀνήρ ἐστιν ἀπὸ τοῦ στρατοῦ ὃν προσλεύσσεις, ἤγουν βλέπεις.

Pag. 55. l. 1065. Ὦ δὴ τόνδε πλεῦν] ἀντὶ τοῦ, δι' ὅντινα τὴν ἐπὶ Τροίαν ἐστειλάμεθα πλεῦν.

Ἐστείλαμεν] ἀντὶ τοῦ ἐστειλάμεθα. στέλλω, τὸ κοσμῶ. στέλλομαι δὲ, ἐπὶ τῆς ἐν θαλάσσῃ πορείας, ὅθεν ἐστείλατό τις τόν δὲ τὸν πλεῦν.

l. 1066. Μαθεῖν γὰρ, ἐγγὺς] ἤγουν, ἐγγὺς γὰρ ὢν οὐ δυσπετής ἐστιν εἰς τὸ θεαθῆναι. δυσπετὴς, ὁ δυσκόλως ὑπείκων, ἤγουν ὁ δυσχερής· οὗ ἐναντίον ὁ εὐπετὴς, ὁ εὐκόλως ὑπείκων. προπετὴς, ὁ ἔμπροσθεν κείμενος· προπέτης δὲ, παροξυτόνως, ὁ προαρπάζων τὸ πρᾶγμα, καὶ παρὰ τὸν καιρὸν παρρησιαζόμενος· ἀπὸ τῶν στρουθίων τῶν πρὸ τοῦ καιροῦ ζητούντων πέτεσθαι.

l. 1067. Οὗτος, σὲ φωνῶ.] ὑβριστικὸν τὸ ἦθος Μενελάου· ἴσως ἐκ τῆς συνωμοσίας Ὀδυσσέως.

l. 1068. Μὴ συγκομίζειν] μὴ θέλε συγκομίζειν, ἤγουν θάπτειν· ἀπὸ τῶν συναγομένων καρπῶν εἰς τὰς ἀποθήκας. ἐπ' ἐκείνων γὰρ λέγεται κυρίως τὸ συγκομίζειν καὶ συγκομιδή.

Ἀλλ' ἐᾶν ὅπως ἔχει] ἀντὶ τοῦ ἄθαπτον.

l. 1070. Δοκοῦν τ' ἐμοὶ] διὰ τὴν ἐξουσίαν, οὐ διὰ δικαιολογίαν.

l. 1072. Οὕθ' οὕνεκα] ἀντὶ τοῦ ὅτι, ἐκ παραλλήλου. ἔστι δὲ πρῶτον κεφάλαιον, ὅτι ἐπίβουλος ἦν τῶν Ἑλλήνων· δεύτερον, ὅτι ἀπειθής. ἐντεῦθεν δὲ τὴν πρόφασιν τῆς ἀντιλογίας λήψεται ὁ Τεῦκρος, ὅτι οὐκ εἰσὶν αὐτοῦ βασιλεῖς οἱ Ἀτρεῖδαι.

Οἴκοθεν] ἀπὸ τοῦ οἴκου, καὶ ἀπὸ τούτου οἴκοθεν, ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ.

l. 1074. Ἐξευρόμεν] ἀντὶ τοῦ εὕρομεν. εὑρίσκει τὶς τὸ ὂν, ἐξευρίσκει δὲ καὶ ἐφευρίσκει τὸ μὴ ὄν.

Ζητοῦντες] ἐξετάζοντες. ζητῶ τὸ ἐρευνῶ, καὶ ζητῶ τὸ ἐξετάζω.

l. 1076. Ὡς ἔλοιδόρει] κατάφηται, ὡς ἐλοιδόρει. ὡς λοιδορούμενος ἐπηγγεί-λατο. ταῦτα γὰρ εἶπεν ὁ Αἴας.

l. 1082. Ὧν οὕνεκ' αὐτὸν] οὐδείς ἐστιν ἀνὴρ σθένων τοιοῦτον ὥστε τυμβεῦσαι τάφῳ, ἤγουν ἐνταφιάσαι αὐτόν. εἶτα ἐπάγει τὸ σῶμα. καὶ ἔστιν ὅμοιον τῷ, ποῖόν σε φύγεν ἕρκος ὀδόντων; ἐφ' οἷς ὅλον τι δείκνυται καὶ μέρος. προσαρπάζει δὲ τὸ ὅλον τὴν δύναμιν τοῦ ῥήματος, εἶτα ὥσπερ ἐκ μεταμελείας δίδωσιν αὐτὴν τῷ μέρει. συνυπακούεται γὰρ ἐν τούτοις ἐπὶ τοῦ μέρους ἡ κατὰ πρόθεσις, ἵν' ᾖ οὕτως, ποῖον ἔπος ἔφυγέ σε, λέγω κατὰ τὸ ἕρκος τῶν ὀδόντων. καὶ οὐδείς ἐστιν ἀνὴρ σθένων τοσοῦτον, ὥστε τυμβεῦσαι τῷ τάφῳ αὐτὸν, λέγω κατὰ τὸ σῶμα.

l. 1084. Ἀμφὶ χλωρὰν ψάμαθον] διὰ τὰ ἐκεῖσε φυτά.

l. 1086. Μηδὲν δεινὸν] στοχάζεται γὰρ ὅτι ὁ Τεῦκρος οὐ δίχα ὀργῆς δέξεται τοὺς λόγους. ἤγουν, μὴ ἀνταίρῃς δεινὸν μένος, τουτέστι χαλεπὴν ἔνστασιν. τὸ ἀνταίρειν, κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται χερσὶν αἰρομέναις, ἢ ῥάβδοις, ἢ τοιούτοις τισί· καὶ ἀπὸ τούτου καὶ ἐπὶ γνώμης καὶ ἐπὶ τοιούτων τινῶν. ὅθεν, ἀνταίρει γνώμην, καὶ ἀνταίρει μένος.

l. 1089. Παρευθύνοντες) ἐκτρέποντες, ἀπὸ τοῦ μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτῶν ὁδὸν, ἀλλὰ παρεκκλινόντων αὐτούς.

Οὐ γάρ ἐσθ' ὅπου) οὐκ ἔστιν ὅπου, ἀντὶ τοῦ οὐδαμοῦ· τουτέστιν, οὐκ ἔστι τόπος ὅπου, οὐκ ἔστιν ὅτε, ἀντὶ τοῦ οὐδέποτε· ἤγουν οὐκ ἔστι χρόνος ὅτε. οὐκ ἔστιν ὅπως, ἀντὶ τοῦ, οὐκ ἔστι τρόπος ὅπως.

l. 1092. Δικαιοῦν) δίκαιον κρίνειν. κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν.

l. 1094. Φέροιντ' ἂν) ἤγουν διοικοῖντο.

Ἔνθα μὴ καθεστήκοι δέος) καὶ Ἐπίχαρμος, Ἔνθα δέος, ἐνταῦθα καὶ αἰδώς.

l. 1099. Δέος γὰρ ᾧ) καὶ Ὅμηρος, Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται.

l. 1104. Καίριον) πάνυ ἀσφαλῶς τὸ καίριον.

l. 1105. Καὶ μὴ δοκῶμεν) ἐὰν ποιοῦντές τι παρὰ φύσιν ἡδώμεθα, μὴ ὑπολαμβάνωμεν ὅτι οὐκ ἀντιτισόμεθα. παραλαβὼν δὲ τὸ δρῶντες, λαμβάνει τὴν ἀπατικὴν οἰκείως, εἶτα ἐπάγει τὸ ἡδώμεθα, ἀποδεδομένον πρὸς τὴν προηγουμένην πτῶσιν. καὶ ἐπὶ τοῦ ἐφεξῆς στίχου τὸ αὐτὸ συμβαίνει, καὶ ἐφ' ἑτέρων πλείστων.

l. 1106. Ἂν λυπώμεθα) ἀντὶ τοῦ δι' ὧν λυπώμεθα. τοῦτο δὲ δηλοῖ ὅτι ὃ οἱ πολλοὶ τιμῶσιν ἡμῶν, τοῦτο οὐκ ἔστι παραμένον,

μον, ἀλλὰ γίνεται μεταβολὴ τῆς ἡδονῆς εἰς λύπην.

l. 1107. Παραλλὰξ] ἤγουν κατὰ διαδοχήν. ἀλλάττομαι τοῦδε τόδε, ἤγουν διὰ τοῦδε τόδε. ἐναλλάττειν, τὸ μετατεθῆναι τὴν τάξιν ἀντιστρόφως· ἐξαλλάττειν, τὸ ἀμείβειν καὶ ἀλλοιοῦν. ὅθεν, ἐξαλλάττεις τὸ χρῶμα. συναλλάττειν, ἐπὶ συμφωνίας γάμου, ἀφ' οὗ συνάλλαγμα. καταλλάττειν καὶ διαλλάττειν, τὸ εἰς φιλίαν συνάγειν. καταλλάττεσθαι δὲ καὶ διαλλάττεσθαι, τὸ εἰς φιλίαν συνάγεσθαι. μεταλλάττειν, τὸ βαίνειν ἀπό τινος εἴς τι, καθ' ὃ λέγεται τὸ, μετήλλαξε τὸν βίον. παραλλάττειν, τὸ τῇ διαθέσει ἀλλοῖον δείκνυσθαι, ἀφ' οὗ παραλλὰξ ἐπίρρημα, ὅταν ἐφεξῆς ἑκάτερον ἑτέρῳ ἀλλοῖον κέηται· καὶ ἁπλῶς τὸ ἐφεξῆς ἑτέρου ἕτερον κεῖσθαι. ἀπαλλάττειν, τὸ ἐλευθεροῦν καὶ τὸ διάγειν. ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ τοῦ κυρίου λέγειν.

l. 1108. Αἴθων ὑβριστὴς] οὐχ ἵσταται ἐπὶ τῆς αὐτῆς. ἦν τότε ὑβριστὴς ὤν, ἀλλὰ νῦν ἐν μεταβολῇ γέγονε· καὶ ἡμεῖς οἱ πρότερον κρατούμενοι ὑπ' αὐτοῦ, νῦν κρατοῦμεν, καὶ μέγα φρονοῦμεν.

Pag. 57. l. 1111. Μὴ γνώμας ὑποστήσας σοφὰς] ἐπειδὴ τὰ περὶ τῆς εὐπειθείας ἄριστα ἐγνωμολόγησε, διάκειται μὲν ὁ χορὸς πρὸς τὸν Τεῦκρον, ὑπεσταλμένως δὲ διαλέγεται διὰ τὸ τοῦ βασιλέως ἀξίωμα.

l. 1113. Οὐκ ἄν ποτ' ἄνδρες] περὶ τῆς ἀντιλογίας βούλεται μαλάξαι τὸν Μενέλαον, ὅτι εὐγενὴς ὤν, οὐκ ἄξια τῇ γενέσει ἐξαμαρτάνει. ὁ δὲ λόγος παιδεύει τοὺς εὐγενεῖς μὴ ἁμαρτάνειν.

l. 1114. Μηδὲν ὢν γοναῖσιν] οὐδαμινὸς ὢν τῇ γενέσει, ἤτοι δυσγενὴς ὤν.

l. 1115. Ὅθ' οἱ δοκοῦντες] ὅτε οἱ νομίζοντες, τὸ δὲ ὅπου ἁρμόζει μετὰ τοῦ καί.

l. 1117. Ἦ σὺ φὴς ἄγειν] κατ' ἐρώτησιν.

l. 1120. Ποῦ σὺ στρατηγεῖς τοῦδε] πῶς τῷ Αἴαντι προστάσσεις ὁ μὴ τὴν ὑπὸ Αἴαντι ἔχων ἐξουσίαν.

l. 1122. Σπάρτης ἀνάσσων ἦλθες] ὁ λόγος ἅπας, ὅτι σύμμαχος ἦλθεν, οὐχ ὑπήκοος.

l. 1123. Οὐδ' ἔσθ' ὅπου σοι] οὐδ' ἔστιν ὅπου σοι πλέον προὔκειτο τοῦτον κοσμεῖν. ἀλλ' οὐχὶ σὲ ὑπὸ τούτου κοσμεῖσθαι.

l. 1124. Ἢ καὶ τῷδέ σε] γράφεται ἢ καὶ τῷδέ σοι.

l. 1125. Ὕπαρχος ἄλλων] ἀντὶ τοῦ, καὶ αὐτὸς ἑτέροις ὑποτέταξο.

l. 1127. Τὰ σέμν' ἔπη] διὰ τῶν σεμνῶν ἐπῶν κόλαζε τοὺς ὑπὸ σέ.

l. 1128. Κόλαζε] ἤγουν δίδασκε. κολάζειν τὸ παιδεύειν· ἀφ' οὗ κεκολασμένα ἤθη, τὰ πεπαιδευμένα· καὶ ἀκόλαστα, τὰ ἀπαίδευτα.

l. 1129. Εἴθ' ἅτερος στρατηγὸς] τὸν περὶ τῆς ἐπιβουλῆς λόγον ἀποφεύγει, ὡς δυσαναίρετον· ἐνδιατρίβει δὲ τῷ, ὅτι οὐ πάντων εἰσὶν ἄρχοντες.

l. 1131. Οὐ γάρ τι τῆς σῆς] ἀντετίθει γάρ τις, ὅτι διὰ τὴν Ἑλένην ἡ στρατεία ἐγένετο. ὅπερ οὖν ἔθλιβεν αὐτὸν, ἀνεσκεύασεν.

l. 1132. Οἱ πόνου πολλοῦ πλέῳ] οἱ φιλοκίνδυνοι, οἱ πλήρεις τῶν πόνων. λέγει δὲ τοὺς μισθοφόρους. οὐχ ὥσπερ μισθοφόρος τις, ἐπὶ μισθῷ ἐστρατεύσατο.

l. 1133. Ἀλλ' οὕνεχ' ὅρκων] τῶν γὰρ ἀριστέων συνελθόντων ἐπὶ τὴν τῆς Ἑλένης μνηστείαν, ὁ Τυνδάρεως πάντας ὅρκους ἀπῄτησεν συναγωνίσασθαι τῷ γαμοῦντι αὐτήν, καὶ στρατεύειν, εἴ τις ἁρπαγὴ γένοιτο περὶ τὴν Ἑλένην τῷ γήμαντι.

l. 1134. Σοῦ δ' οὐδὲν] ὅλως γάρ σε οὐκ εἶχεν ἐν ἀριθμῷ. πεποιθὼς δὲ Ἀγαμέμνονι, ὑβρίζει Μενέλαον. συνῳδὸν γὰρ τῷ, Τεῦκρε φίλη κεφαλή.

l. 1138. Οὐκ αὖ τοιαύτην γλῶσσαν] ὑποτίθησι τῷ Τεύκρῳ παύσασθαι τῆς κατηγορίας, καὶ μάλιστα ἐν τοιούτῳ καιρῷ ἐν ᾧ ὁ ἐπιβεβουλευτός ἐστιν. ἢ τὸ ἐν κακοῖς, τοῦτο δηλοῖ, οὐκ ἐπιτρέψει ἡ συμφορὰ ἄλλο τι νῦν πράττειν ἢ περὶ τὸ ἐνεστὸς κακὸν γίγνεσθαι.

l. 1143. Κἂν ψιλὸς] τὰ τοιαῦτα σοφίσματα οὐκ οἰκεῖα τραγῳδίας. μετὰ γὰρ τὴν ἀναίρεσιν ἐπικλεῖναι τὸ δρᾶμα θελήσας, ἐψυχρεύσατο, καὶ ἔλυσε τὸ τραγικὸν πάθος.

l. 1147. Κτείναντα μὲν; κτείναντα; δεινόν] ὁ μὲν εἶπεν ὅσον ἐφ' ἑαυτῷ· ὁ δὲ τῆς φωνῆς ἀντιλαμβάνεται. τὸ δὲ τοιοῦτο, κωμῳδίας μᾶλλον, οὐ τραγῳδίας.

l. 1148. Τῷδε δ' οἴχομαι] ἤγουν ὅσον τὸ ἐπὶ τούτῳ.

l. 1149. Ἀτίμα] ἤγουν ἀτίμους ποίει. ἀτιμάζω τὸ καταφρονῶ· ἀτιμῶ, τὸ ἄτιμον ποιῶ· καὶ ἠτιμωμένος ἐπὶ τοῦ αὐτοῦ κατὰ τὸ παθητικὸν παρακείμενον ἐν τῇ τρίτῃ συζυγίᾳ.

Pag. 59. l. 1152. Τοὺς γ' αὐτὸς] ἤγουν τοὺς πολεμίους αὐτὸς αὐτοῦ, ἀντὶ τοῦ ἐμαυτοῦ, οὐκ ἐῶ δηλονότι θάπτειν.

l. 1153. Πολέμιος προὔστη πολεῖ;]

ἤγουν περιεστάτης πολέμου ἐγένετο κατά σου. πολέμιος ὁ ἀπ' ἀλλοτρίας χώρας ἐχθρός· ἐχθρὸς δὲ, ὁ ἀπὸ τῆς αὐτῆς.

l. 1155. Κλέπτης] ἤγουν δόλιος κριτὴς αὐτοῦ ἐφωράθης.

Ψηφοποιός] μιᾷ ψήφῳ φασὶ κατακριθῆναι τὸν αἴαντα ὑπὸ Μενελάου.

l. 1157. Πόλλ' ἂν κακῶς] ἤγουν. πολλὰ ἂν κακὰ κακῶς κλέψας σὺ, ἤγουν μετὰ κλοπῆς ἐργάσαιο λάθρα.

l. 1159. Οὐ μᾶλλον, ὡς ἔοικεν] συνεκδοχικῶς λείπει τὸ λυπηθησόμεθα, ἵν' ᾖ, οὐ μᾶλλον λυπηθησόμεθα ἢ λυπήσομεν. τουτέστι, πλέον λυπήσομέν σε ἀντιβαίνοντα ἡμῖν, ἢ λυπηθησόμεθα ὑπὸ σοῦ. ἢ οὕτως, οὐ μᾶλλον ἦλθέ σοι εἰς ἀνίαν τοῦτο τὸ ἔπος, ἢ λυπήσομεν. ἤτοι, πλέον λυπήσομεν ἔτι ἢ ἐλυπήσαμεν.

l. 1160. Τόν δ' ἐστὶν οὐχὶ θαπτέον] ἤγουν, οὐκ ἄξιόν ἐστι θάπτειν τόνδε. θαπτέον κοινῶς, θαπτέον ἐστὶν, ἀττικῶς. οἱ γὰρ ἀττικοὶ ἀπὸ τοῦ συνήθους ἀεὶ καὶ χθαμαλοῦ τὸν λόγον ἐπαίροντες, ἐπεὶ εὗρον ἐν τῇ συνηθείᾳ τὸ θαπτέον, τὸ ποιητέον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης, χωρὶς προσθήκης τινὸς λεγόμενα, προστιθέασιν αὐτοῖς τὸ ἐστὶν, ὃ συνυπηκούετο ἔξωθεν παρὰ τοῖς κοινοῖς· ἵνα καινότερον τὸν λόγον ἐργάσωνται.

l. 1163. Ναύτας ἐφορμήσαντα] ὁρμήσαντα ἐπὶ τὸ πλεῖν. τὸ δὲ ὁρμήσαντα, ἀντὶ τοῦ παρορμήσαντα.

l. 1166. Πατεῖν παρεῖχε] παρεῖχεν ἑαυτὸν δηλονότι τῷ θέλοντι ναυτίλῳ, ὥστε καταπατεῖν.

l. 1167. Οὕτω δὲ καὶ σε] οὕτω δὲ τάχα ἂν κατασβέσειε καὶ σὲ καὶ τὸ σὸν θρασὺ στόμα κατὰ τὴν πολλὴν βοὴν μεγάλη ζάλη ἀνέμων ἐκ νέφους σμικροῦ πνεύσασα.

l. 1170. Ἐγὼ δέ γ' ἄνδρ'] καὶ τοῦτο αἰνίττεται ὡς ἐφ' ἑτέρου τὸν λόγον ποιούμενος.

l. 1171. Ἐν κακοῖς] ἡ ἐν ἀντὶ τῆς ἐπὶ.

l. 1174. Μὴ δρᾶ] μὴ ποίει. δρῶ σε κακῶς, μετὰ αἰτιατικῆς, καὶ δρῶ σε κακὸν, ὁμοίως.

l. 1176. Ἄνολβον] ἀνόητον. ὄλβος γὰρ κυρίως ἡ φρόνησις.

l. 1178. Ἠνεξάμην] ἀνεξόχως παρείκασε.

l. 1181. Κἀμοὶ γὰρ αἴσχιστον κλύειν] πρὸς μὲν ὑπείκει ὁ Τεῦκρος. κἀμοὶ δὲ (φησὶν) αἰσχρόν ἐστιν ἀνέχεσθαί σου φλυαροῦντος.

l. 1184. Ἀλλ' ὡς δύναται Τεῦκρε ταχύνας] ὁ χορὸς ταχύνει τὸ ταφῆναι τὸ σῶμα πρὶν παραγενέσθαι τοὺς ἀτρείδας. ταχύνας δὲ ἀντὶ τοῦ ταχύνας αὐτοῦ σον, κατ' ἐπίτασιν λέγεται τῆς σπουδῆς.

l. 1185. Κάπετον] τάφον.

l. 1186. Ἀείμνηστον] τὸν ἐσόμενον τοῖς ἀνθρώποις τάφον ἀείμνηστον.

l. 1187. Εὐρώεντα] σεσηπμένον. σπηλαιώδη. τὸ δὲ ὅλον, ἔνθα καθέξει τοῦτος δηλονότι τὸν εὐρώεντα τάφον, τὸν ἀείμνηστον ἐσόμενον δηλονότι τοῖς βροτοῖς, ἤγουν ὑπὸ τῶν βροτῶν.

l. 1188. Ἐς αὐτὸν καιρὸν οἴδε πλησίον] πάρεστιν ἡ Τέκμησσα μετὰ τοῦ παιδός. οὐχ ὅτι δὲ ἱκανὰ τὰ πρόσωπα φυλάξαι τὸ σῶμα, ἀλλ' ὅτι νικῆσαι δυνατά.

Pag. 61. l. 1193. Περιστρόπαιος] περιστετραμμένος αὐτῷ. ἢ ἱκέτευε.

l. 1195. Ἱκτήριον θησαυρόν] τὰς πολλὰς ἱκεσίας. ἢ, τὸ πλῆθος τῶν ἱκετευόντων. Ἄλλως. τὸ ἱκέσιον κλῆμα. λέγει δὲ τὰς τρίχας. ἱκτήριοι δὲ κλάδοι, δι' ὧν ποιοῦνται τὰς ἱκετηρίας· καὶ ἱκτήριος θησαυρὸς, ὁμοίως.

l. 1198. Ἐξημμένος] ἀντὶ τοῦ ἀφῃρημένος.

l. 1199. Αὔτως] ἀντὶ τοῦ ὡσαύτως. ὥσπερ ἀπὸ τοῦ οὗτος γίνεται οὕτως ἐπίρρημα παρὰ τοῖς κοινοῖς, καὶ δηλοῖ δύο. (λαμβάνεται γὰρ καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, καὶ ἔχει ἀνταποδοτικὸν τὸ ὡς, οἷον, οὕτως ποιῶ ὡς ἐκέλευσας· καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν) οὕτως ἀπὸ τοῦ αὐτὴ, τὸ αὔτως παρὰ ποιηταῖς, κατὰ τὰ δύο ταῦτα σημαινόμενα. λέγεται γὰρ τὸ αὔτως καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, ἐφ' ᾧ σημαινομένῳ τὸ ὡσαύτως λέγεται παρὰ τοῖς κοινοῖς μετὰ τοῦ ὡς· καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν.

l. 1202. Ὑμεῖς τε] καλῶς ἐγείρει τοὺς στρατιώτας πρὸς βοήθειαν· τὸν δὲ παῖδα πρὸς οἶκτον προβάλλεται καθ' ἡλικίαν.

l. 1204. Κἂν μηδεὶς ἐᾷ] ἀπονενοημένε (φασὶ) τὰ πάντα ἐπὶ αὐτῷ ἀνατιθέναι, ὅτι μόνος κρατήσει τῶν ἐχθρῶν βιαζομένων. ῥητέον οὖν ὅτι ὑπὸ φιλοστοργίας πάντα λέγει ὑπομένειν.

l. 1208. Τίς ἄρα νέατος] ὁ χορὸς πάλιν καθ' ἑαυτὸν γενόμενος, ἐν ἀναλογισμῷ γίγνεται· καί φησι, τίς ἄρα ἡμῖν ὁ ἔσχατος τῶν ἐτῶν ἀριθμὸς τῶν πολυπλάγκτων ἐτῶν; ἐς πότε λήξει ὁ ἀριθμὸς τῶν ἐτῶν ἐμοὶ πόνους παρασκευάζων; τελέσει τῶν κατὰ πόλεμον μόχθων, κατὰ τὴν σήνησαν ἡμᾶς Τροίαν τῷ χρόνῳ. τὴν Τροίαν λέγω, τὸ δύστηνον ὄνειδος τῶν Ἑλλήνων, διὰ τὴν ἐν αὐτῇ χρονίαν διατριβήν. νέατος δὲ, ὁ ἔσχατος, καὶ νεάτη, ἡ ἐσχάτη·

ἀφ'

δι' ἧς ὕλην καὶ τὰ κέρατα, ἢ τελευταία χορδὴ τῆς μουσικῆς.

l. 1209. Πολυπλάγκτων] καθ' ὃ πολλὰ πλανώμεθα ἐν ἀλλοδαπῇ.

l. 1213. Εὐρώδη] σκοτεινὴν καὶ ἀερώδη τοῖς ἕλλησιν. ἢ σεσηπυῖαν, ἔνθα ἐχειμάζομεν.

l. 1218. Ὤφελε πρότερον] ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ ὁ πρῶτος εἰσενεγκὼν εἰς ἕλληνας πολεμιστήρια ὅπλα, ὡς ἅμα τῇ εὑρέσει ἡκόντων τῶν ἀνθρώπων ἐπὶ τὸ ἀδικεῖν· τὸ δὲ ὤφελεν, ἀπὸ τοῦ ὀφείλω ὤφειλον, ἐκβολῇ τοῦ ι, ὃ ἐξ ἀνάγκης γράφεται διὰ τοῦ ω μεγάλου. τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου. λέγεται καὶ μετὰ τοῦ οὐκ ὄντος ὠφελον. καὶ μετὰ τοῦ ὡς, καὶ τοῦ μή. ἢ τοῦ οὐκ συνταττομένου τοῦ ὡς ὄντος, ὡς μὴ ὤφελον· ἢ οὐκ ὤφελον ὄντος ἐπεὶ ἐγένετο τόδε, ὡς οὐκ ὤφελεν. γενέσθαι δηλονότι. σιωπητικῶς δὲ γὰρ ἐξ ἀνάγκης τὸ ἀπαρέμφατον. καὶ ἐπεὶ παρεγένομην, ὡς μὴ ὤφελον. παρεγενέσθαι δηλονότι. ἀφ' οὗ ὤφελες ἐπὶ δευτέρου, καὶ ὤφελε ἐπὶ τρίτου. λαμβάνεται δὲ ἀντὶ τοῦ ἔπρεπεν. ὤφελον δὲ ἐπίρρημα ἀντὶ τοῦ εἴθε, διὰ τοῦ ο μικροῦ, καὶ τάσσεται ἀεὶ μετὰ εὐκτικοῦ, ἢ μετὰ παρεληλυθότος χρόνου. λέγεται τοῦτο ἐνίοτε μετὰ τοῦ ὡς, ὄντος, ὡς ὤφελόν γε καὶ σὲ δὴ κακοδοξίᾳ νενεκρωμένον.

1223. Πρόγονοι πόνων] ἢ παλαιοί, ἢ ἀρχηγοὶ τῶν πόνων, ὄντος, ὁπότε εἰσαγωγὴ τῶν ὅπλων ἐγένετο. οὐ δεῖ δὲ ἀπεραντολόγως ζητεῖν τίς πρῶτος ἐξηύρατο ὅπλοις.

l. 1228. Ἐκεῖνος οὔτε στεφάνων] ἐκεῖνος ὁ εὑρὼν τὰ ὅπλα, ὅσον ἐφ' ἑαυτῷ, οὐ στεφάνων, οὐ κύλικος, οὐκ αὐλῶν τέρψιν μοι ἔνειμεν, ἀλλὰ πᾶν (φησὶ) τερπνὸν ἐξέκοψεν, ἥδιστος δὲ ἂν ὁ Σοφοκλῆς, πάλιν ἐπὶ τὸ ἴδιον ἦθος ἔκλινεν ἐν τοῖς μέλεσιν· ὅθεν καὶ μέλιττα ἐκλήθη.

l. 1231. Ὄτοβον] ὅμαδον ἦχον.

l. 1232. Ἐννυχίαν] τὴν ἐν παννυχίσιν· ἢ τὴν ἐν κοίτῃ.

l. 1233. Ἐρώτων τῶν ἐρωτικῶν. καὶ ἀκαιρον μὲν περὶ ἐρώτων μεμνῆσθαι ἐν τοῖς παροῦσιν, ὅμως δὲ ἀκολουθίαν ἔχει πρὸς τὰ προειρημένα ἰαύειν δέ, διατελεῖν, ἀνύειν.

Pag. 63. l. 1226. Κεῖμαι δ' ἀμέριμνος.] ἤτοι πολυμέριμνος ὄντος, μὴ σκοπῶν περὶ θυμηδίας μηδέν, ἀλλ' ἐν δρόσοις τεγγόμενος, ἅπερ ἐστί μοι μνημόσυνα εἰς τὸ ἀεὶ χρόνον, ἢ ἐν λαῦσθαι κακοπαθεῖν. ἤ, ἐν οὐδεμιᾷ μερίμνῃ ἂν ἢ μόνον περὶ πολέμων.

l. 1231. Ἐννυχίου] τῆς νυκτερινῆς ἐφόδου τῶν πολεμίων. καὶ τῶν βελῶν ἀλεξητήριον ἦν ὁ Αἴας.

l. 1238. Γενοίμαν ἵν' ὑλᾶεν] ἔνθα ὑλώδης ἐξοχὴ τῆς θαλάσσης. εὔχονται δὲ ἀπαλλαγῆναι ἐπὶ τὰ οἰκεῖα. γενοίμην ἐν (φασὶν) ἐπὶ τὴν ἄκραν πλάκα τοῦ σουνίου. διὰ γὰρ Σουνίου ὁ πλοῦς τοῖς ἀπὸ τροίας ἐπὶ σαλαμῖνα. τὸ δὲ ὅλον, εἴθε γενοίμην ὅπου ἐστὶ τοῦ πόντου τὸ συνδενδρον ἀκρωτήριον, τὸ κλυζόμενον ὑπὸ τῆς ἁλός, λέγω, ὑπὸ τὴν ἄκραν πλάκα, ἤγουν γῆν τοῦ σουνίου. ἀντὶ τοῦ, ὑπὸ τὸ ἄκρον τῆς γῆς τοῦ σουνίου.

l. 1242. Τὰς ἱερὰς] φιλοτέχνως ἀφραίνει τὰς ἀκρωμένας διὰ τὸν ἔπαινον τῆς ἀττικῆς.

l. 1247. Καὶ μὴν ἰδὼν] Τεῦκρος ἀκηκοὼς ἥκειν τὸν Ἀγαμέμνονα, ἔρχεται μετὰ σπουδῆς.

l. 1249. Σκαιὸν στόμα] σκαιοὺς λόγους, ἤγουν κακούς. σκαιὸν γὰρ, καὶ τὸ κακόν, καὶ τὸ ἀπαίδευτον, καὶ τὸ ἀριστερόν.

l. 1251. Τλῆσαι] τολμῆσαι.

Ἀνοιμωκτεὶ] χωρὶς οἰμωγῆς, ἀτιμωρητεί.

Χανεῖν] εἰπεῖν.

l. 1252. Αἰχμαλώτιδος] τῆς ἡσσόνης.

l. 2254. Κἀπ' ἄκραν] ἐπ' ἄκραν δακτύλων ἔβαινες γαυριῶν.

l. 1255. Ὅτ' οὐδὲν ὢν] οὐδὲν μὲν ὤν, διὰ τὴν δυσγένειαν. τοῦ μηδὲν δέ, τοῦ Αἴαντος τελευτήσαντος.

l. 1257. Διωμόσω] γράφεται καὶ διαρίσω.

l. 1263. Πικροὺς ἔοιγμεν] πικροὺς ἀγῶνας ἐοίκαμεν κηρύξαι τοῖς ἀργείοις τότε ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ πανταχοῦ φανούμεθα κακοὶ ἐκ Τεύκρου. ἐν μὲν τῷ ἔοιγμεν τρέπεται τὸ κ εἰς γ, ἀπὸ τοῦ ἐοίκαμεν ἐν δὲ τῷ σῦξαι, τὸ γ εἰς ξ ἀπὸ τοῦ συγήσω, ὅθεν τὸ σῦξαι.

l. 1267. Εἴκειν] οὐκ εἴξετε καὶ ἐμμενεῖτε τοῖς κεκριμένοις.

Πολλοῖσι] πιθανῶς.

l. 1268. Κακοῖς] δηλονότι λόγοις.

Βαλεῖτε] ἀντὶ τοῦ βλασφημήσετε.

Pag. 65. l. 1261. Οἱ λελειμμένοι] οἱ ἡττηθέντες ἐν τῇ κρίσει. τοῦτο δὲ πρὸς τὴν ἐπιχείρησιν τοῦ Αἴαντος.

l. 1265. Κατάστασις γένοιτ' ἂν] γενναῖος ὁ λόγος, εἰ ὁ ἡττώμενος ἴδιον δίκαιον παριστάμενος, πάλιν μέχρι-

το, καὶ οὐκ εἴξει τοῖς κεκριμένοις, οὐδέποτε καταστάσεσιν ἔσται.

l. 1267. Τοὺς ὄπισθεν] τοὺς ἡττωμένους. ἔστι δὲ ἀπὸ μεταφορᾶς τῶν δρομέων.

l. 1268. Ἀλλ' εἰρκτέον] δεῖ (φησὶν) ἐμμένειν τοῖς ἅπαξ κεκριμένοις. ἐπειδὴ δὲ αὐτὸ τὴν κατὰ σῶμα ἀρετὴν καὶ ἰσχὺν διαβάλλειν οὐ δύναται, εἰς ἀφροσύνην αὐτὸν λοιδορεῖ.

l. 1670. Ἀλλ' οἱ φρονοῦντες εὖ] ἤγουν οἱ φρόνιμοι κρατοῦσιν. καὶ πρὸς τοῦτο ἐπάγεται τὸ μέγας δὲ βοῦς ὢν τὴν πλευρὰν, καὶ τὸ ἑξῆς.

l. 1272. Ὀρθὸς] ἤγουν, κατ' εὐθεῖαν εἰς τὴν ὁδὸν πορεύεται, οὐ παρακλίνων.

l. 1273. Τοῦτ' ἐγὼ τὸ φάρμακον] τὸ τῆς μάστιγος.

l. 1275. Ἀλλ' ἤδη σκιᾶς] ὑπὲρ ἀνδρὸς οὐκ ἔτι ζῶντος, ἀλλὰ ὄντος σκιᾶς, τουτέστιν ἀνυποστάτου.

l. 1281. Τὴν βάρβαρον γὰρ γλῶσσαν] σκώπτει αὐτὸν εἰς τὴν μητέρα.

l. 1282. Ἔσθ' ὑμῖν] ἐπεὶ οὐ συμβουλεύει διὰ τὸ ἀγαμέμνονος ἀξίωμα ὁ χορὸς, ἐν τῇ ἀρχῇ τὴν γνώμην κατέθηκε.

l. 1283. Φεῦ, τοῦ θανόντος] παρειπαθὴς ὁ λόγος, εἰς ἀχαριστίαν ἐνδύων, ὅτι ταχεῖα διαρρεῖ ἡ χάρις τοῦ ἀποθανόντος.

Ταχεῖά τις] τὸ μὲν τί ζητεῖ οὐσίαν πράγματος, οἷον, τί τόδ' ἐστιν; ἄνθρωπος τυχὸν, ἢ ἵππος. τὸ δὲ τίς, ὑπόστασιν καὶ πρόσωπον, οἷον, τίς ὅδε ἐστί; σωκράτης τυχὸν, ἢ πλάτων. καὶ, τίς, πόθεν εἰς ἀνδρῶν; ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν, οἶδε μὲν ὅτι ἀνὴρ πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τοιῶσδ' ἂν ἀπὸ τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ σὺν ἐπιθέτῳ ἐνίοτε κύριον, (οἷον τίς ὅδ' ἐστίν; ὁ ἡδὺς λουκιανὸς) διὰ τοῦτο οὐκ ὀνόματι μόνον κυρίῳ ὑποτάσσεται τὸ τίς, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ· οἷον, λουκιανός τις ἐποίησε τόδε. καὶ ὁ λουκιανὸς, ἡδύς τις ἐστίν. ἐντεῦθεν οὖν ἡ χάρις ὡς ἐπίθετον ἔχει τὸ ταχεῖα, ὄνομα ὂν καὶ ἄλλως τοῦτο ἐπιρρηματικὴν ἔχει σημασίαν. διὸ μετὰ τοῦ τις αὐτὸ ἐπάγεται, καὶ ταχεῖά τις αὕτη λέγεται διαρρεῖν· κατὰ ταυτὰ λέγεται καὶ τὸ ὅστις καὶ τὸ ὁποῖός τις, ἐπὶ ἐπιθέτου, ὡς παρὰ λουκιανοῦ. τὸ δὲ ὅλον, οἱ δή μοι οὐκ ἐξετάζοντες τίς

ἐστιν ὁ τοῖς πράγμασιν ἐφεστηκὼς, εἴτε καλὸς δηλονότι, εἴτε τὸ ἐναντίον· ἅπερ ἐπιθετικῶς λέγεται.

l. 1285. Προδοῦσα] ἀντὶ τοῦ προδεδομένη καταλαμβάνεται.

l. 1286. Εἰ σοῦ γ' ὅδ' ἀνὴρ] εἰ σοῦ γε ὦ Αἴας ὅδε ὁ ἀνὴρ οὐκ ἔτι ἔχει μνήμην.

l. 1287. Οὗ σὺ πολλάκις] οὐκ ἀξιοῦται τῆς παρὰ σοῦ μνήμης, οὗ πολλάκις ὦ Αἴαν προεκινδύνευσας ἐν πολέμοις. παρὰ τὸ Ὁμηρικὸν, Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζων.

l. 1291. Οὐ μνημονεύεις] καλῶς, πρὸς τὸ, τοῦ βάντος, ἢ τοῦ στάντος οὗ περ οὐκ ἐγώ.

l. 1292. Ἑρκέων] λείπει ἐντός.

Ἐγκεκλεισμένους] ἡ ἐν ἀντὶ τοῦ ἐντὸς, ἵν' ᾖ ἐντὸς κεκλεισμένους.

l. 1293. Ἐν τροπῇ δορὸς] ἐν ἥττῃ τοῦ πολέμου. τρόπαιον, ἡ νίκη, τροπὴ δὲ, ἡ ἧττα. τρόπαιον, ἐπὶ τῶν διωκόντων· τροπὴ, ἐπὶ τῶν διωκομένων.

l. 1295. Ἄκροισιν ἤδη] ἐπὶ μὲν τοῖς ἄκροις ναυτικοῖς ἑδωλίοις τῶν νεῶν, ἤγουν ὑποστρώμασι, σανιδώμασι, τοῦ πυρὸς ἤδη ἀναπτομένου καὶ ἀναφλεγομένου.

l. 1297. Ἄρδην] αἴρω, τὸ ἀφανίζω καὶ τὸ ὑψῶ. ἀφ' οὗ ἄρδην, ἀντὶ τοῦ μετεώρως καὶ κούφως, ὡς ἐνταῦθα, καὶ ἀντὶ τοῦ ἀφανιστικῶς καὶ ὁμοῦ.

l. 1299. Οὐδὲ συμβῆναι ποδὶ] πρὸς τὸ, τοῦ βάντος, ἢ τοῦ στάντος. συμβῆναι δὲ ἀντὶ τοῦ συνελθεῖν, ἐνταῦθα. βαίνω γὰρ τὸ πορεύομαι, καὶ τὸ ἵσταμαι, ἀφ' οὗ βάσις ἀνδριάντος.

l. 1302. Λαχών τε] ἤγουν κληρωθεὶς, ἀφ' οὗ λαχμὸς ὁ κλῆρος, ποιητικῶς.

Κἀκέλευστος ἦλθ' ἐναντίος] αὐτοκέλευστον φησὶν αὐτὸν ἀναστῆναι εἰς τὸ μονομάχιον, ἐπαινῶν αὐτὸν οὐχ Ὁμηρικῶς.

l. 1303. Οὐ δραπέτην τὸν κλῆρον] οὐδὲν πανουργήσας περὶ τὸν κλῆρον, ἀλλ' εὐξάμενος λαχεῖν αὐτόν. τοῦτο δὲ ἱστορεῖται περὶ κρεσφόντου καὶ τῶν ἀριστοδήμου παίδων, ὅτι πανοῦργος ὁ κρεσφόντης βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν ἐνέβαλε, κληρουμένων περὶ μεσσήνης. οὐκ ἄτοπον δὲ τὸν τεῦκρον λοιδορεῖν ἀγαμέμνονος ὑπὸ τοῦ πάθους παροξυνόμενον. καὶ γὰρ Ἀχιλλεὺς οὐκ ἀπέχετο λοιδορίας, καὶ οὐκ ὢν ἐν τοιούτῳ πάθει.

Κλῆρον] κλῆρος δι' οὗ ἐκληροῦντο, καὶ κλῆρος αὐτὸ τὸ κληρούμενον.

l. 1304. Ἀρούρας] ἤγουν ἠροτριασμένης γῆς.

γῆς χέρσος γάρ, ἡ ξηρὰ γῆ· ἄρυρα, ἡ ἠργα-σμένη· λήϊον, τὸ ἔχον ἀστάχυας χω-ρίον.

Ἀλλ' ὅς εὐλόφου] ὅστις κλῆρος ἐκ τῆς εὐλόφου κυνῆς ἔμελλε πρῶτος κου-φιεῖν τὸ ἅλμα τοῦ Αἴαντος.

l. 1305. Ἅλμα] πήδημα. ἅλμα, πάλμα καὶ πήδημα, ταυτόν.

Pag. 67. l. 1308. Ποῦ βλέπων] ἤγουν ἀφορῶν. ἤγουν, εἰς ποίαν εὐγένειαν τὴν ἀφορῶν ταῦτα λέγεις;

l. 1309. Οὐκ οἶσθα σοῦ πατρὸς] εἰκό-τως καὶ αὐτὸς τὰ ὅμοια ἐξεῦρεν. ἐν δὲ εἰ-πὼν Ἀγαμέμνονα, μυρία ἤκουσεν.

l. 1313. Αὐτὸς δὲ μητρὸς] οὐχ ὡς βαρβάρων τῶν κρητῶν ὄντων, ὀνειδίζει αὐτῷ τὰ περὶ τῆς μητρός, ἀλλ' ὅτι, ἐξ ἀλλοφύλων γέγονέ σοι τὸ γένος.

l. 1314. Ἐπακτὸν] ἐπείσακτον, ἤ-γουν μοιχόν. ἐφῆκεν δέ, ἀντὶ τοῦ ἐπέταξε διαφθαρῆναι.

Φιτύσας] γεννήσας. φυτεύειν, τὸ τῇ γῇ φυτὸν ἐνθεῖναι, ψιλὸν τὸ φυ καὶ βραχύ· φιτύειν τὸ σπείρειν, ποιητικῶς. ὃ παράγεται ἀπὸ τοῦ φῖτυς ὁ πατήρ, ι, καὶ μακρόν. ὃ καὶ ἐνταῦθα τῷ ποιητῇ τέ-τακται, τοῖς δὲ ὕστερον ἡμάρτηται.

l. 1315.] Ἐφῆκεν ἐλλοῖς. ἤτοι ἀφόνοις. ἡ ἱστορία ἐν ταῖς κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρα ὑπὸ Θυέστου, ὁ πατὴρ ναυπλίῳ παρέδωκεν ἐν-τειλάμενος ἀποποντῶσαι. ὁ δὲ οὐκ ἐποίη-σεν, ἀλλ' ἐνεγγύησε πλεισθένει.

l. 1318. Ὅστις στρατοῦ] ἤγουν τὰς τῆς πρώτης μοίρας ἀνδραγαθίας.

l. 1319. Ἡ φύσει μὲν ἦν Βασίλεια] ἀνασκευάζει τὰ εἰρημένα περὶ δυσγενεί-ας αὐτοῦ. φύσει δὲ ἐπὶ γονέως λέγεται κυ-ρίως· ἐπὶ δὲ τῶν υἱοθετουμένων τὸ θέσει· καὶ ἀπὸ τούτων μετάγεται ταῦτα καὶ ἐφ' ἑτέρων.

l. 1323. Τοὺς πρὸς αἵματος] τοὺς συγ-γενεῖς. ἴσως δεικτικῶς εἰς τὸν Αἴαντα, ἵν' ᾖ περιπαθὴς ἡ λέξις.

l. 1325. Ὠθεῖς ἀθάπτους] πιθανῶς πάλιν εἰσέβαλεν εἰς τὸν λόγον τοῦ δρά-ματος.

l. 1327. Βαλεῖτε χ' ἡμᾶς] ἑαυτὸν λέγει καὶ τὴν τέκμησσαν καὶ τὸν εὐρυσά-κην.

Τρεῖς ὁμοῦ συγκειμένους] ἐμὲ καὶ σαυτὸν καὶ μενέλαον. οὐ γὰρ λέ-γει περὶ τῆς τεκμήσσης καὶ τοῦ παιδός. ἐλεεινὸς γὰρ ὁ λόγος, οὐκ ἀπειλη-τικός.

l. 1328. Ἐπεὶ καλόν μοι] καλόν μοι ἐστὶν προδήλως ὑπὲρ τοῦδε πονουμένῳ μᾶλλον ἀποθανεῖν ἢ ὑπὲρ τῆς σῆς γυναι-κός, λέγω τοῦ σοῦ ἀδελφοῦ.

l. 1329. Θανεῖν προδήλως] ἀντὶ τοῦ λαμπρῶς, ἀνδρείας. λέγει δὲ ὅτι ταῦτα ἃ βούλεσθε περὶ τὸν Αἴαντα δρᾶσαι, πρότερον οὐ δράσετε πρὶν ἢ κἀμὲ ἀπο-κτεῖναι. ἀποθνήσκων μέντοι, σὺν ὑμῖν ἀπολοῦμαι.

l. 1332. Βουλήσῃ ποτὲ] μεταμελη-θήσῃ ὡς προπετὴς εἰς ἐμὲ εὑρεθείς, καὶ μὴ ἀποδειλιάσας παρὰ τὸ ἀρχήν. ἀμ-μυνοῦμαι. γάρ σε. ἢ βουλήσῃ ποτὲ καὶ δειλὸς εἶναι, καὶ μὴ ὑπ' ἐμοῦ ἀναιρε-θῆναι δειλὸς δὲ καὶ θρασύς, ἐναντία κακὰ ὑπερβολὴν ἔχοντα καὶ ἔλλειψιν· μέσον δὲ τούτων ἡ ἀνδρεία.

l. 1333. Ἦν ἐμοὶ] ἤγουν ἢ ἐν ἐμοί.

l. 1334. Ἄναξ Ὀδυσσεῦ] ἵνα μὴ εἴη αὐτῶν εἰς μακρὰν ἡ φιλονεικία, δι-αλλακτὴν εἰσήνεγκε τὸν Ὀδυσσέα. τοιοῦ-τον γὰρ ὁ καιρὸς ἐζήτει. εἰσῆκται δὲ Ὀ-δυσσεὺς ὡς σοφὸς καὶ ἀμνησίκακος. και-ρὸν δὲ ἀντὶ τοῦ εἰς καιρόν, ἤγουν ἐγκαίρως.

l. 1335. Ξυνάψων] αὐτοὺς δηλονότι εἰς τὴν μάχην, ἀλλὰ διαλύσων καὶ χω-ρίσων.

Πάρει] ἀντὶ τοῦ παρεγένου.

l. 1337. Βοὴν ἀπεῖπον] οὐκ ἐξ ἑτοί-μου φησὶν ὅτι ἤκουσε ἀνασταλῶν ἀγαμέμνο-να, ἀλλ' ἐπιμελούμενος τί πράττουσιν οἱ Βασιλεῖς. τὴν δὲ ἑαυτοῦ γνώμην ἐδή-λωσε διὰ τοῦ ἀλκίμου νεκροῦ, ὅτι γενναί-αν αὐτοῦ ἐδήλωσε τὴν τελευτήν. διδά-σκει δὲ ὁ λόγος ὅτι οὐ δεῖ κατὰ τεθνεώτων λέγειν, κἂν ἐχθροὶ ὦσιν.

l. 1338. Οὐ γὰρ κλύοντες] ἆρα γὰρ οὐ κλύοντές ἐσμεν αἰσχίστους λόγους, ὦ ἄναξ Ὀδυσσεῦ, ὑπὸ τοῦδε τοῦ ἀνδρός;

l. 1340. Ἐγὼ γὰρ ἀνδρὶ] συνετὸς ὁ Ὀδυσσεύς, οὐκ εὐθὺς προστιθέμενος τῇ ὀργῇ. ἔστι γὰρ συγγνώμη καὶ τῷ κακῶς εἰπόντι, εἰ κακῶς πάσχων ἀμύνοιτο διὰ λόγων.

l. 1342. Ἤκουσεν αἰσχρὰ] οὔτε θε-ραπεύει Ὀδυσσέα ὁ τεῦκρος, διὰ τὸν ἀδελφόν· οὔτε ἀντιλέγει, διὰ τὸν καιρόν.

l. 1343. Τί γάρ σ' ἔδρασεν] τί δέ σ' ἐποίησεν τοιοῦτο δηλονότι ὥστε καὶ ὑπέχειν σοι βλάβην;

l. 1344. Οὔ φησ' ἐᾶσθαι] διατεί-νεται οὐκ ἐᾶσθαι.

l. 1345. Ἄμοιρον] ἀμέτοχον.

Ἀλλὰ πρὸς βίαν] ἀλλὰ διατείνεται θάψειν

θάψειν αὐτὸν πρὸς βίαν ἐμοῦ. βίαν λέγει ἣν βιάζεται αὐτόν.

l. 1346. Ἔξεστιν οὖν] δαιμονίως ἡ ἐπιτήρησις. ἠπίστατο γὰρ ὅτι πάντας ἄνθρωποι πρὸς τὸ ἀληθὲς ἀγανακτοῦσι καὶ ἀντιλέγουσι. τὸ δὲ ἑξῆς, ἔξεστιν ἐμοὶ τῷ φίλῳ σου εἰπόντ' ἀληθῆ. καὶ τὰ ἑξῆς.

l. 1347. Ξυνηρετμεῖν] συμφωνεῖν συντρέχειν, ὡς πρότερον. ἐκ μεταφορᾶς τῶν κοινῶς ἐρεσσόντων.

Pag. 69. l. 1352. Μηδ' ἡ βία σε] μὴ ἡ ἐξουσία βιασάσθω σε ὥστε πρᾶξαί τι παρὰ τὸ δίκαιον. τουτέστι, μὴ ὑπὸ τοῦ ἐνδείξασθαι τοῦτο τὴν ἐξουσίαν, παραβῇς τὸ δίκαιον.

l. 1354. Κἀμοὶ γὰρ ἦν ποθ'] ἱκανὸς ὁ λόγος εἰς πειθώ, ὅτι κἀγώ ποτε ἐχθρὸς ὤν, ἐνδίδωκα νῦν διὰ τὸ δίκαιον.

l. 1363. Βλάπτειν τὸν ἐσθλόν] δύναται καὶ ἐπὶ τοῦ μισοῦντος εἶναι, τὸν ἐσθλὸν οὐ δεῖ μνησικακεῖν. δύναται καὶ ἐπὶ τοῦ μισουμένου καὶ τετελευτηκότος, τὸν ἐσθλὸν οὐ δεῖ βλάπτεσθαι, οὐδ' ἐὰν μισούμενος ᾖ. εὐκαταλλάκτως γὰρ δεῖ πρὸς τοὺς ἀγαθοὺς ἔχειν.

l. 1366. Οὐ γὰρ θανόντι] οὐ γὰρ χρὴ θανόντι καὶ προσεπεμβῆναί σε; τουτέστι πρὸς τῷ μισεῖν, ἐπεμπηδήσεις; ἐπὶ τῶν λὰξ ἐναλλομένων λέγεται τὸ ἐπεμβῆναι.

l. 1367. Μὴ χαῖρε] ἤγουν μὴ πρόσκεισο.

l. 1368. Τόν τοι τύραννον] ὁ λόγος ὅτι οὐ πάντη τῷ δικαίῳ ἀκολουθητέον· ἀλλά τι πρὸς τὸ συμφέρον ῥέπειν χρὴ τὸν τύραννον. ἀπρεπὲς γὰρ ὑπὸ Ἀγαμέμνονος ὁμολογεῖσθαι, πᾶς τύραννος ἀδικεῖ ὑπὸ τῆς ἐξουσίας, περὶ τὰ τοιαῦτα τῶν ἔργων ταύτην προβαλλόμενος.

l. 1369. Ἀλλ' εὖ λέγουσι] κατὰ κοινοῦ τὸ ῥᾴδιον. ἔστιν οὖν ὁ νοῦς τοιοῦτος, ἀλλὰ ῥᾴδιόν ἐστι τοῖς καλῶς συμβουλεύουσι φίλοις τιμὰς νέμειν. ἀντὶ τοῦ, ἐμοὶ καλῶς σοι συμβουλεύοντι τιμὴν ἀπόδος. τουτέστιν ἄκουσόν μου.

l. 1370. Κλύειν τὸν ἐσθλὸν] ἄκρως αἱ ἀντιθέσεις. ὁ μὲν Ὀδυσσεὺς ἐπὶ τιμῇ τῶν φίλων ὑφεῖναι τὸν Βασιλέα τῆς ἐξουσίας παρακαλεῖ· ὁ δὲ ἀντιστρέψας φησὶν ὅτι τὸν ἀγαθὸν ἄνδρα χρὴ πείθεσθαι τοῖς Βασιλεῦσι. κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν.

Ἐσθλὸν] ἤγουν τὸν ἀγαθόν. ἐσθλὸς ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ἀνδρεῖος, καὶ ἀπὸ τούτου ἀγαθός.

Τῶν ἐν τέλει] τῶν ἐν ἀρχῇ τῶν Βασιλέων.

l. 1372. Μέμνησ'] ἀντὶ τοῦ ἀναλογίζου.

l. 1374. Τί ποτε ποιήσεις] ἐν ἐρωτήσει ὁ λόγος, ποδαπός τις ἔσῃ πρὸς ἐχθρούς, καὶ τί αὐτοῦ διαθήσεις δεινόν, ὁπότε οὕτως ὑπὸ νεκροῦ ἡττῆσαι.

l. 1375. Ἡ ῥετὴ] ἡ ἀρετή, ἤγουν ἡ ἀνδρεία.

Πολὺ] ἀντὶ τοῦ πλέον.

l. 1376. Τοιοίδε φῶτες] οἱ τοιοῖδε φῶτες οἷος ἦν ὁ Αἴας, δηλονότι εἰς μάχην ῥᾳδίως μεταβαλλόμενος, ἔμπληκτοί εἰσι παρὰ τοῖς βροτοῖς. πρὸς ὃ ἀπαντᾷ ὁ Ὀδυσσεύς, ὄντως πλεῖστοι, ἄλλοι δηλονότι, νῦν εἰσὶ φίλοι, καὶ κατὰ τὸ ἐπιὸν ἄλγους πρόξενοι. ἔμπληκτος δὲ καὶ ἀπόπληκτος καὶ παράπληξ ταυτό. λέγεται δὲ ταῦτα ἐπὶ τῶν ἐκτεταραγμένων τὴν ψυχήν.

Ἔμπληκτοι βροτῶν] οἱ μὴ ἐμμένοντες τῇ ἀρχαίᾳ ἀρετῇ καὶ φιλίᾳ ἄφρονες παρὰ τοῖς ἀνθρώποις. Ἄλλως. ἔμπληκτοι, κοῦφοι, εὐμετάβολοι. ὀνειδίζει δὲ Ὀδυσσεῖ ὡς εὐμεταβλήτῳ. οἱ τοιοῦτοι οὖν ἔμπληκτοι παρὰ τοῖς βροτοῖς λέγονται. ὡς καὶ Ὅμηρος, Ἐμπλήγδην ἕτερον μὲν τίει βροτόν.

l. 1377. Ἦ κάρτα] πρὸς ταῦτα Ὀδυσσεὺς ἀντιλέγει, ὅτι οὐκ ἐν τῇ ταυτότητι μένει τὸ τῶν ἀνθρώπων γένος· ἀλλὰ ποτὲ μὲν φίλοι εἰσί, ποτὲ δὲ ἐχθροί. πολὺ (φησὶ) τοῦτο ἀνθρώπων ἐστὶ τὸ κατὰ καιρὸν μεταβάλλεσθαι εἰς φιλίαν, ἢ εἰς ἔχθραν.

l. 1381. Ἐνδίκους] ὁ μέν, τὸ τῆς ἀνδρείας· ὁ δέ, τὸ τῆς δικαιοσύνης προβάλλεται. λέγει δέ, μᾶλλον μὲν οὖν δείξω πᾶσι τοῖς Ἕλλησιν ἄνδρας ἐνδίκους εἶναι ὑμᾶς, ἤγουν δικαίους.

l. 1382. Ἄνωγας] συμβουλεύεις.

l. 1383. Καὶ γὰρ αὐτὸς] καὶ γὰρ αὐτὸς ὑπόκειμαι τῇ ὁμοίᾳ τύχῃ τῇ ἀνθρωπίνῃ, ἣν καὶ αὐτὸς ἵξομαι πρὸς τὸ θάψαι αὐτόν.

l. 1384. Ἡ πάνθ' ὁμοία] ὄντως πάντα τὰ ἀνθρώπινα ὅμοια. πᾶς γὰρ ἄνθρωπος τὴν οἰκείαν πραγματεύεται σωτηρίαν. ἔχει δέ τινα δυσκολίαν. καὶ ἔστιν οὕτως κοινὸν ἔγκλημα τοῦτο τοῖς ἀνθρώποις, τὸ εἶναι ἕκαστον φίλαυτον. τοῦτο οὖν ἐγκαλεῖ τῷ Ὀδυσσεῖ ὁ Ἀγαμέμνων, ὅτι εὐδοξίαν σοὶ ἐργάζεται τὸ ὑπείκειν ταφῆναι τὸν Αἴαντα. οὐδαμῶς

τὸ

τὰ κεχαρισμένα ἑτέρῳ διαπράττει. καὶ ὁμολογεῖ Ὀδυσσεὺς τὸ φίλαυτον, ἵνα μὴ δόξῃ πᾶσιν ἀντιλέγειν.

Ἄλλως. Ἡ πάνθ᾽ ὁμοῖα) ὄντως πᾶς ἀνὴρ συμφέροντα ἑαυτῷ πάντα ποιεῖ. τὸ γὰρ ὁμοῖα ἀντὶ τοῦ ἁρμόδια καὶ συμφέροντα.

l. 1385. Τῷ γάρ με μᾶλλον) τίνι γὰρ ἄλλῳ δηλονότι (ἀντὶ τοῦ τίνος ἄλλου χάριν) εἰκός ἐστιν πονεῖν ἐμὴ ἢ χάριν ἐμαυτοῦ.

l. 1386. Σὸν γὰρ) ἀντὶ τοῦ δή.

l. 1387. Ὡς ἂν ποιήσῃς) καθὰ ἤγουν καθ᾽ ὁποῖον δή τινα τρόπον ἂν ποιήσῃς. πανταχῆ, ἐν πᾶσι.

l. 1388. Ἀλλ᾽ εὖ γε μέντοι) τοῦτο μὲν ποιήσω, δηλονότι, ἀλλ᾽ εὖ γε τοῦτο ἐπίστασο, καὶ τὸ ἑξῆς. σύνθεσις δὲ ... ἀλλ᾽ εὖ γ᾽ ἐπίστασο.

l. 1394. Ἀπὸ τοῦδε) ἀπὸ ταύτης τῆς ἡμέρας ἀγγέλλομεν καὶ σημαίνομεν αὐτῷ φιλίαν.

Ἀγγέλλομεν) ἀντὶ τοῦ ἐπαγγελλόμεθα, ὑπισχνούμεθα.

Συνθάπτειν θέλω) καλῶς τὸ θέλω. εἰ ἐπιτρέποιτε, σὺν σοὶ θάπτω τόνδε. δηλῶς δύναται νοεῖσθαι οὗτος ὁ λόγος, ἢ ὅτι καί σε θάπτω μετὰ τοῦδε, ἢ ὅτι τοῦτον ἐγὼ καὶ σὺ θάπτομεν.

Pa 71. l. 1399. Ἄριστ᾽ Ὀδυσσεῦ) λέγηται μὲν πρὸς τὸ παρὸν ὁ Τεῦκρος θεραπεύει τὸν Ὀδυσσέα, καταθέμενος καὶ πᾶν πρὸς αὐτὸν ἔχθος.

l. 1400. Καί μ᾽ ἔψευσας) ψευδῆ ἐποίησας τῆς ἐλπίδος, ἣν κακὴν εἶχον περὶ σοῦ.

l. 1402. Παρέστης χερσὶν) συνεμάχησας ἔργῳ καὶ λόγῳ. τοῦτο δὲ λέγεται ... μετὰ σπουδῆς ἐργαζομένων τι.

l. 1404. Οὐ μεμβρόντητος) ὃν εἰώθαμεν λέγειν ἐμβρόντητον ἐμβρόντητος δ᾽ ἐστὶν ὁ ἐκτραπεὶς τῶν φρενῶν ὑπὸ ἤχου βροντῆς.

l. 1406. Λωβητὸν) ἐφύβριστον.

l. 1407. Τοιγάρ σφ᾽ Ὀλύμπου) διὸ αὐτοὺς τῶν ἐν Ὀλύμπῳ θεῶν τὰ πρεσβεῖα ἔχων Ζεύς, μνήμων τ᾽ ἐριννύς, τῶν ἀδικημάτων δηλονότι, ἤγουν ἡ παμμνήμων τῆς τιμωρίας. ἐριννῦς δὲ εἰσὶν αἱ ἐκτίνουσαι καὶ ἔφοροι τῶν καταρῶν θεαί.

l. 1412. Τάφου μὲν ὀκνῶ τοῦδε) πιθανῶς καὶ εὐσχημόνως τοῦτο λέγει ὁ Τεῦκρος.

l. 1415. Κεῖ τινα στρατοῦ) κεῖ τινα ἄλλον δηλονότι ἀπὸ τοῦ στρατοῦ.

l. 1417. Πορσύνω) παρέξω.

l. 1418. Ἀλλ᾽ ἤθελον) συνεργῆσαι δηλονότι εἰς τὴν ταφήν. μάλιστα καινόσχημον τοῦτό γε.

l. 1419. Εἶμ᾽ ἐπαινέσας τὸ σὸν) πιθανὴ ἡ ἔξοδος διὰ τὴν σπουδὴν τῆς ταφῆς. πολὺς γὰρ ἤδη χρόνος ἀφ᾽ οὗ τετελεύτηκεν ὁ Αἴας, καὶ ἤδη δεῖ αὐτὸν ταφῆναι.

l. 1421. Ἅλις. ἤδη) ἀντὶ τοῦ, ἀρκούντως ἔχει τὸ πρᾶγμα.

l. 1422. Κοίλην κάπετον) ἤγουν τάφον.

l. 1423. Χερσὶ ταχύνετε) μετὰ σπουδῆς ὀρύξατε.

Τοὶ δ᾽ ὑψίβατον) οἱ δὲ θέσθε, ἐπὶ τοῦ πυρὸς δηλονότι, ἐπίκαιρον ἀντὶ τοῦ ἐπικαίρως, ἤγουν εὐκαίρως, χυτρόποδα ἀμφίπυρον, ἀμφοτέρωθεν τὸ πῦρ δεχόμενον ὑψίβατον, ὑψηλὴν βάσιν ἔχοντα.

l. 1424. Λουτρῶν ὁσίων) τουτέστιν ἐπιταφίων. χυτρόπους δὲ ὁ κοινῶς πυροστάτης, ὁ καὶ λάσανον λέγεται. ἀπὸ δὲ τῆς θέσεως τοῦ χυτρόποδος νοεῖται ὁ λέβης καὶ τὸ θερμαινόμενον ὕδωρ.

l. 1425. Ἐπίκαιρον) εὐκαίρως. καιρὸς γὰρ ἤδη καὶ τοῦτο ἀπολοῦσαι τὸ σῶμα, καὶ καθᾶραι.

Ἐκ κλισίας) τῆς σκηνῆς.

l. 1426. Ἴλη) σύστημα. κυρίως δὲ φρατρία.

Ὑπασπίδιον) ἐνόπλιον.

l. 1428. Σὺ δὲ παῖ) τὰ χρήματα καὶ ταῦτα καὶ πάθους ἐχόμενα.

l. 1431. Σύριγγες) ἀναδόσεις. αἱ ὀπαὶ τῆς πληγῆς.

Μέλαν μένος) ἀντὶ τοῦ τὴν δύναμιν τοῦ Αἴαντος. καὶ ἀντὶ τοῦ μέλαν αἷμα μετὰ ἰσχύος.

l. 1432. Πᾶς φίλος) ὅστις φησὶ παρεῖναι φίλος ἐστί, σπευδέτω εἰς τὴν ταφήν.

l. 1433. Σούσθω) παρακινείσθω.

Βάτω) πορευέσθω.

l. 1434. Τῷ πάντ᾽ ἀγαθῷ) οἱ τοιοῦτοι ἔπαινοι περὶ τῶν ἰδίων λεγόμενοι περιπαθέστεροι εἰσίν.

l. 1437. Ἢ πολλὰ βροτοῖς) οἰκείας ἔχει τοῖς ἀπαλλαχθεῖσιν μέλλουσιν ἡ τελευταία γνώμη, ὅτι πλεῖστα ἐστὶ τοῖς ἀνθρώποις γνῶναι ἐπ᾽ αὐτῶν τῶν πραγμάτων γιγνομένων, προμαθεῖν δὲ ἀδύνατον γενέσθαι, καὶ μαντεύσασθαι ὅ,τι ποτὲ ἀποβήσεσθαι μέλλει. ταῦτα δὲ ἅμα λέγοντες παραπέμπουσι τὸν νεκρόν· καὶ γίνεται ἔξοδος πρέπουσα τῷ λειψάνῳ.

 ΣΧΟ-

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΤΩΝ ΠΑΝΥ ΔΟΚΙΜΩΝ ΕΙΣ ΗLEKTPAN.

Ὦ τοῦ στρατηγοῦ.)

Pag. 37. l. 1. ΠΟλλάκις παρατηροῦμεν ὅτι οἱ παλαιοὶ τὰ συνεκτικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσι· καὶ νῦν δηλοῖ πρὸς τίνα ὁ λόγος ὅπερ ἦν ἀναγκαῖον πρόσωπον.

l. 2. Νῦν κεῖν' ἔξεστί σοι) προσοχὴν ὁ λόγος ἀπεργάζεται, σκοπούντων ἡμῶν τί δή ποτε προθυμεῖται τὴν πόλιν ἰδεῖν.

l. 3. Ὧν πρόθυμος ἦσθ') ἤγουν ἐπιθυμῶν, ὀρεγόμενος. ἦσθα δέ, ὑπῆρχες. ἔστι δὲ ἀττικισμός, ἀντὶ τοῦ ἐπεθύμεις.

l. 4. Τὸ γὰρ παλαιὸν Ἄργος) Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην· οἱ δὲ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν. Ἄλλως. Ἄργος ὁμωνύμως τῇ χώρᾳ· ὡς Ὅμηρος, Ἄργος τε Σπάρτην τε. παλαιὸν δέ, ἢ ὅτι Ἄργος ὁ προπάτωρ αὐτῶν γηγενὴς ἦν, ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι. ἔστι δὲ ἔτι καὶ τὸ περὶ τοῦ πυρὸς μέχρι τοῦ νῦν δεικνύμενον καὶ λεγόμενον ὡς ἀπ' οὐρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη. Ἄλλως. τὸ παλαιὸν ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται νέον, ὡς παλαιὰ Ῥώμη λέγεται πρὸς τὴν νέαν. ἐνίοτε δὲ οὐ τῶν πρός τι ἐστίν, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονός, οἷον παλαιὰ πρᾶξις, ἡ πάλαι γεγονυῖα. καὶ ἁπλῶς τὸ παρῳχηκός· ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφός, οὐ μὴν δὲ παυσάμενον· καθ' ὃ λέγεται παλαιὸν Ἄργος. Ἄργος δὲ τὰ περὶ τὰς Μυκήνας χωρία λέγεται· καὶ αὐταὶ αἱ Μυκῆναι λέγονται Ἄργος. Μυκῆναι δὲ ἡ προκαθεζομένη τοῦ Ἄργους πόλις· ὥσπερ Σπάρτη, ἡ προκαθεζομένη πόλις τῆς Λακεδαιμονίας· Λακεδαιμονία δέ, τὰ περὶ αὐτὴν χωρία. εἰσὶ δὲ τὸ Ἄργος καὶ ἡ Λακεδαιμονία ἐντὸς τῆς Πελοποννήσου.

l. 5. Τῆς οἰστροπλῆγος) τῆς οἴστρῳ, ἤγουν μανίᾳ, πληγείσης. τὰ ἀπὸ τοῦ πλήττω εἰ μὲν εἰς ος λήγει, παθητικά εἰσιν ἀεί (οἷον ἔμπληκτος, ἀπόπληκτος, ἃ λέγεται ἐπὶ τῶν πεπληγότων τὴν γνώμην καὶ ἐκτραπέντων) εἰ δὲ εἰς ηξ, ἐνίοτε μὲν ἐνεργητικά, (οἷον βουπλὴξ τὸ κέντρον τὸ τοὺς βοῦς πλῆττον) ἐνίοτε καὶ παθητικά, οἷον παραπλήξ, ὁ φθαρεὶς τὰς φρένας· καταπλήξ, ὁ συνεχῶς πεπληγμένος, καὶ καταπλὴξ εἰλείθυια, ἡ πληγὰς συνεχεῖς ἔχουσα. (εἰσὶ δὲ εἰλείθυιαι οἱ πόνοι, καὶ αἱ ἔφοροι τῶν τόκων θεαί) καὶ οἱ στροπλὴξ ἐνταῦθα, ἡ οἴστρῳ (ἤγουν μανίᾳ) πληγεῖσα ὑπὸ τῆς Ἥρας. ταύτης γὰρ ὁ Ζεὺς ἐρασθεὶς μετέβαλεν αὐτὴν εἰς βοῦν, λαθεῖν πειρώμενος τὴν Ἥραν· ἡ δὲ γνοῦσα τὸν κύνα τὸν Ἄργον τὸν πανόπτην ἐπέστησε φυλάττειν αὐτήν, ὃν Ἑρμῆς ὑπὸ τοῦ Διὸς πεμφθεὶς ἀπέκτεινεν. ἡ Ἥρα δὲ μὴ κατέχειν δυναμένη τὴν ζηλοτυπίαν, εἰς μανίαν αὐτὴν ἔτρεψεν. ἡ δὲ ὑπὸ τῆς μανίας ἐλαυνομένη τὸ Ἰόνιον διεπέρασε πέλαγος, ἀφ' ἧς καὶ Ἰόνιον ὠνομάσθη.

l. 6. Αὕτη δ' ὀρ') οὐκ ἀπ' ἄλλου τινὸς ποιεῖται τὴν δεῖξιν ἢ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος, ὅπερ ἀρχαιότατον κατὰ τὴν ἐν τῷ Ἄργει ἀγοράν, ἐν ᾧ καὶ πῦρ ἀπόκειται. περὶ οὗ πρόσθεν εἰρήκαμεν. ἔστι δὲ καταντικρὺ τοῦ νομίου Διός. παραγενόμενος οὖν εἰς Ἄργος ὁ τροφεὺς δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει (λέγων, ἔστιν οὐκ ἄπωθεν τῶν Μυκηνῶν, ἀλλ' ἐξ ἀπόπτου φαίνεται) καὶ τὸν ναὸν τῆς Ἥρας ἐξ ἀριστερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσι· λυκοκτόνον δὲ τὸν Ἀπόλλωνα, οἱ μὲν διὰ τὸ νόμιον εἶναι τὸν ἐπι-

ἐπιβούλους αὐτῶν φονεύειν· (διὸ καὶ λύκους αὐτῷ φησὶ θύεσθαι ἐν ἄργει) οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι τὸ ζῶον, ὡς καὶ τῆς ἀρτέμιδος τὰς ἐλάφους. ὅθεν καὶ τῷ νομίσματι τῶν ἀργείων ἐγχαράττεσθαί φασι λύκους, ὡς καὶ τὰς γλαῦκας ἀθηνῆσι.

l. 7. Ἀγορὰ λύκειος) τόπος ἔνθα συνηθροίζοντο, οὕτως ὀνομαζόμενος· ἦν δὲ ἀφιερωμένος τῷ ἀπόλλωνι. λέγεται δὲ ὁ ἀπόλλων λύκειος· λύκειον δὲ ἀλλ' ἐπιτηδείως, γυμνάσιον ἐν ἀθήναις.

Οὑξ ἀριστερᾶς) ἔστι γὰρ ἐξ ἀριστερᾶς τῶν μυκηναίων τοῖς ἀπὸ κορίνθου εἰσιοῦσιν, ἥρας ναός. ἐκ φωκίδος δὲ παραγενόμενοι, διὰ κορίνθου πεποίηνται τὴν ὁδόν.

l. 8. Οἷ δ' ἱκάνομεν) ὅποι καταλαβόμεν.

l. 9. Φάσκειν) θέλε φάσκειν ἤγουν φάσκε, λέγε. ἐνταῦθα δὲ ἀντὶ τοῦ βεβαίως ἐπίστασο.

Τὰς πολυχρύσους) ὅμηρος, πολυχρύσοιο μυκήνης.

l. 10. Πολύφθορόν τε) ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο.

l. 11. Ἐκ φόνων) ἀφ' οὗ χρόνου ἐγένοντο οἱ φόνοι τοῦ πατρός σου.

l. 12. Ὁμαίμου καὶ κασιγνήτης) ἐκ παραλλήλου.

l. 14. Τοσόνδ' ἐς ἥβης) τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ, ὡς περὶ παιδαρίου ἔτι βαδίσαι δυναμένου. ἤγουν εἰς τοσοῦτον μέτρον ἥβης, ἤγουν μέχρι τοσαύτης ἀκμῆς ἡλικίας.

l. 15. Φίλτατε ξένων) κυρίως ξένος, ὁ φίλος ὃν ἂν ποιήσῃ τὶς ἐν τῇ πατρίδι ἀπὸ ξένης ἐλθόντα.

l. 19. Μέλαινά τ' ἄστρων) ἔχρην οὕτως εἰπεῖν, μελαίνης νυκτὸς τὰ ἄστρα ἐκλέλοιπεν· ὡς τὸ, Ὁ δὲ χασσάμενος πελεμίχθη. ἢ οὕτως, ἐκλέλοιπε τῶν ἄστρων ἡ μέλαινα εὐφρόνη. ἵν' ᾖ τὸ ἄστρων πρὸς τὸ ἐκλέλοιπεν.

l. 21. Ξυνάπτετον λόγοισιν) ἤγουν συνέρχεσθαι διὰ λόγων.

Ἐμὲν) ἀντὶ τοῦ ἐσμέν. ἀναλογώτερον δὲ τὸ ἐμὲν τοῦ ἐσμέν· ἀπὸ τούτου γὰρ γίνεται τὸ ἐσμὲν, πλεονασμῷ τοῦ σ.

l. 22. Ἀκμὴ) σπουδή. πιθανῶς δὲ ἐγείρει τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις, ὡς ταχέως συμβουλεύει τελεσθῆναι.

l. 23. Ὦ φίλταθ' ἀνδρῶν) διδάσκει ἡμᾶς μεθ' οἵων ἀνδρῶν δεῖ τὰ ἀπόρρητα πράττειν καὶ λέγειν.

l. 24. Ἐσθλὸς εἰς ἡμᾶς γεγὼς) τὸ εἶναι πρόθυμος εἰς ἡμᾶς.

l. 25. Εὐγενὴς) ἀπὸ ἀγαθοῦ γένους. εὐγενεῖς, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. γένος γὰρ, καὶ ἡ πατρὶς καὶ ἡ γενεά. εὐπατρίδαι δὲ παρὰ ἀττικοῖς οἱ αὐτόχθονες, καὶ κατὰ τοῦτο περιφανεῖς, δηλονότι οἱ εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος, ὡς εἶναι τὸν εὐγενεῖς ἐπιπλέον τῶν εὐπατριδῶν. ὥστε εἴ τις εὐπατρίδης, καὶ εὐγενής· οὐ μὴν εἴ τις εὐγενὴς, καὶ εὐπατρίδης. εἴη γὰρ ἂν κατὰ τὸ ἕτερον μέρος εὐγενὴς, οὐ κατὰ τὴν πατρίδα· ὡς ἐνταῦθα εὐγενὴς ἵππος, ὁ ἀπὸ ἀγαθοῦ γένους, οὐ μὴν ὁ εὖ ἔχων ἕνεκα πατρίδος· οὐ γὰρ ἔχουσιν οἱ ἵπποι πατρίδας. ἀπὸ τούτων εὐγενὴς ψυχὴ, εὐγενὴς λόγος, καὶ εὐγενὲς ἦθος.

l. 26. Ἐν τοῖσι δεινοῖς) ἐν τοῖς πολέμοις.

l. 28. Ἐν πρώτοις ἕπῃ) ἕπῃ, ἀκολουθεῖς. διὰ τὴν ἀπὸ τοῦ γήρως ἀβουλίαν.

l. 31. Εἰ μή τι καιροῦ) εἴ τι σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι, μεθάρμοσον. ὃ ἐστιν, ἐπανόρθωσον. ἔστι δὲ ἀγάσασθαι τὸν νεανίσκον ὅτι μὴ πάνυ αὐθέκαστος φαίνεται. ἀπὸ μουσικῆς δὲ κυρίως λέγεται τὸ μεθαρμόζειν, ἤγουν τὸ μετατιθέναι τὴν ἁρμονίαν.

l. 32. Ἐγὼ γὰρ ἡνίχ' ἱκόμην) διὰ τῆς διηγήσεως ταύτης τὸ λεῖπον τῆς ἱστορίας προσανεπλήρωσεν ἡμῖν.

l. 34. Ἀροίμην) ἀντὶ τοῦ λάβοιμι. ἀραίμην, μακρὸν τὸ α, ἐπεὶ ἀπὸ τοῦ ἀορίστου· ἀροίμην δὲ, βραχὺ, ἐπεὶ ἀπὸ τοῦ μέλλοντος.

l. 35. Χρῇ) ἔχρησεν, ἀνεῖλεν.

l. 36. Ἄσκευον αὐτὸν) ἢ αὐτὸν τὸν αἴγισθον ἀπαρασκεύαστον ὄντα, ἢ τὸν ὀρέστην, δηλονότι μὴ μετὰ πολέμου ἐπιβῆναι.

Pag. 77. l. 39. Ἴσθι πᾶν) περιεργάσαι τὰ πραττόμενα.

l. 41. Οὐ γάρ σε μὴ γήρᾳ τε) τοῦ τεθνάναι χάριν οὕτως εἶπε. οὐ μὴ γὰρ ἀναγνωρίσωσιν, οὐδ' ὑποπτεύσουσιν, ἤγουν ὑπονοήσουσιν οὕτως ἠνθισμένον, τουτέστι κεχρωματισμένον ὑπὸ γήρως καὶ χρόνου μακροῦ.

l. 42. Ἠνθισμένον) τινὲς ἐπὶ τῆς κεφαλῆς ἤκουσαν, δηλονότι ταῖς πολιαῖς ἠνθισμένον. τοῦτο δὲ ἀπίθανον. ἐγνώσθη γὰρ ἂν εἰ καὶ τοσοῦτον ἤλλαξε τὴν κεφαλήν. δοκεῖ οὖν μοι τὸ ἠνθισμένον ἀντὶ τοῦ ἠσκημένον. οὐ μὴ οὖν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον. εἰ δὲ τὸ ἠνθισμένον

ἐπὶ ἡλικίας δεξαίμεθα, ἔστιν οὐκ ἐπὶ τῶν τειχῶν, ἀλλ' ἐπὶ παντὸς τοῦ σώματος.

l. 44. Φανοτεὺς) τῆς φωκίδος προσθεὶς, ἐπήνεγκε φανοτέα, ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων. ὁμοίως τῷ, Ἡ δ' ἐς κύπρον ἵκανε φιλομμειδὴς ἀφροδίτη, Ἐς πάφον. ἐλέγοντο γὰρ ὁλοσχερέστερον μὲν φωκεῖς, ἐπὶ μέρους δὲ κρισαῖοι, φανοτεῖς. πόλεως δὲ ὄνομα φασὶ τὸ φανοτέως.

l. 45. Δορυξένων) ἀντὶ τοῦ φίλων. κυρίως δὲ οἱ ἐν πολέμῳ γιγνόμενοι φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης.

l. 46. Ἄγγελλε δ' ὅρκῳ) μὴ μικρολόγως τις ἐπιλάβηται ὡς κελεύοντος ἐπιορκεῖν τοῦ ποιητοῦ. δεῖ γὰρ αὐτὸν πείθεσθαι τῷ θεῷ τὸ πᾶν δόλῳ πράσσειν παρακελευομένῳ. ὥστε ἐν οἷς δοκεῖ ἐπιορκῶν δυσσεβεῖν, διὰ τούτων εὐσεβεῖ πειθόμενος τῷ θεῷ. ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος, ὡς ἐν φωκίδι τρεφόμενον καταβιῶναι ἐς τὰ πύθια. ἀνήκει δὲ τοῖς χρόνοις. ἐπὶ περὶ πολέμου γὰρ φασὶ γενέσθαι πυθικὸν ἀγῶνα ἑξακοσίοις ἔτεσιν ὕστερον. τοῦτο δὲ ἀντιστρόφως λέγεται, ἀντὶ τοῦ προστιθεὶς τὸν ὅρκον τῇ ἀγγελίᾳ.

Ὅθ' οὕνεκα) ἐκ παραλλήλου.

l. 47. Ἐξ ἀναγκαίας τύχης) βιαίως. διὰ ἀναγκαστῷ μόρῳ, καὶ οὐκ ἐκ ταυτομάτου, ἐκ βίας, ἐκ δυστυχίας, οὐκ ἰδίῳ θανάτῳ.

l. 48. Ἄθλοισι πυθικοῖσιν) τοῖς χρόνοις ἀνήκει. νεώτερος γὰρ ὀρέστου ἐστὶν ὁ πυθικὸς ἀγών.

l. 49. Ὧ δή ὁ μῦθος ἱστάτω) ἡ ἔκβασις τοῦ λόγου, ἢ τὸ κεφάλαιον. πιθανὸν δὲ τὸ, ἐν φωκίδι ἀνατρεφόμενον τὰ πύθια ἀγωνίζεσθαι.

Ἐστάτω) δεδόχθω.

l. 50. Ὡς ἐφίετο) ὁ ἀπόλλων δηλονότι ὡς ἐκέλευεν.

l. 51. Λοιβαῖσι πρῶτον καὶ καρατόμοις) τοῖς ἀπὸ κρατὸς τετμημένοις βοστρύχοις. λέγοι δ' ἂν χλιδαῖς, ἤτοι καθόλου τῶν πλοκάμων, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς. ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἐπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. Ἄλλως. καρατόμοις θριξὶν ὤφειλεν εἰπεῖν, ἐπεὶ δὲ αἱ τρίχες ἁβρότητα καὶ καλλωπισμὸν ἐμπαρέχουσιν τοῖς ἀνθρώποις, φησὶ καρατόμοις χλιδαῖς.

l. 53. Τύπωμα) τὸ ἄγγος. πῶς ὑδρίαν, ἐν ᾗ δῆθεν τὰ δοκοῦντα εἶναι ὀστέα ὀρέστου ἀπέκειτο.

Ἡρμένοι) ἀντὶ τοῦ ἠρμένον ἔχοντες. ὅμοιον τῷ, πώγωνα καθειμένος, ἀντὶ τοῦ κεχαλασμένον ἔχων.

l. 55. Κλέπτοντες) ἀπατῶντες. παραλογιζόμενοι. Ὅμηρος, Κλέπτε νόῳ.

l. 60. Ἤδη γὰρ εἶδον) πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ, λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς τεθνηκὼς εἴη· καὶ μετὰ ταῦτα ἐπιφανεὶς, περὶ παλιγγενεσίας καὶ τῶν καθ' ᾅδου τινὰ ἐτερατεύετο διηγούμενος περὶ τῶν ζώντων περὶ τὴν οἰκείαν, οἷς ἐν ᾅδου συντετυχηκέναι ἔλεγε. ἐκ τῶν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν τρωϊκῶν αἰθαλίδης εἶναι ὁ ἑρμοῦ, εἶτα εὔφορβος, εἶτα ἑρμότιμος, εἶτα πύθιος ὁ δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας. εἰς τοῦτο οὖν ἔοικεν ἀποτείνεσθαι ὁ σοφοκλῆς. ἔνιοι δὲ οἴονται, ἀποθανὼν εἰς ὀδυσσέα ἀποτείνεσθαι. οὐ γὰρ πεπραχέναι τι τοιοῦτον ὀδυσσεῖ. ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα, καὶ μὴ τῶν θαυμαστῶν εἶναι δόξῃ ἐν τραγῳδίᾳ, καὶ μύθῳ παλαιῷ τετόλμηκέ τι κακόηθες εἰπεῖν, καὶ προσκρουστικὸν εἰς τῶν καθ' ἑαυτὸν, ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ.

l. 64. Ὡς κἀμὲ) διὰ τὸ μέτρον ἰδίως οὕτω γίνεται. ἥρμοζε γὰρ μᾶλλον, ὡς κἀγὼ ἐπαυχῶ, καθὰ πέποιθα καὶ ἐμὲ ζῶντα λάμψειν τοῖς ἐχθροῖς εἰς τὸ ἑξῆς ὥσπερ ἄστρον, ἀπὸ τῆς φήμης ταύτης.

l. 67. Δέξασθέ μ' εὐτυχοῦντα) ἐπ' εὐτυχίᾳ με δέξασθε, ὥστε ταύτας τὰς ὁδοὺς τελεσθῆναι ἢ οὕτως, δέξασθέ με εὐτυχοῦντα, καὶ εὐτυχῶς ἐπιχειροῦντα ταύταις ταῖς μηχαναῖς.

l. 71. Ἀρχέπλουτον) ἀρχόντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀπολαμβανόμενον.

Καταστάτην) εὐτρεπιστήν.

l. 72. Εἴρηκα μὲν) κατὰ τὸ παρὸν ταῦτα ἱκανὰ δηλονότι. χρὴ ἀποθέσθαι λέγεται, ὡς τὸ, εἶεν καὶ, ταῦτα μὲν δὴ ταῦτα· καὶ, ταῦτα μὲν οὕτως· καὶ, εἴρηται λόγους, καὶ τὰ τοιαῦτα.

Σοὶ δ' ἤδη γέρων) σοὶ δὲ ἀπὸ τοῦ νῦν ὦ γέρον, μελέτω τὸ σὸν, ἤγουν ὃ περὶ ἐπαχθὲς καὶ χρεωστεῖς πληρῶσαι, λέγω τὸ πορευθέντι κατασκοπῆσαι. καιρὸς γὰρ νῦν ἐστι δηλονότι, ὃς ὄντι τοῖς ἀνδράσι μέγιστος ἐπιστάτης, ἤγουν ἡγεμὼν ἔργου παντός.

l. 74. Νῷν δή ἐξιέναι) ἐξιέναι βούλεται διὰ τὴν εἴσοδον τοῦ χοροῦ.

Καιρὸς γὰρ, ὅσπερ) ἐφ' ἑκάστῳ πράγματι τὸ καίριον καὶ χρησιμώτατον, ὁ καιρός ἐστιν. ὅπερ καὶ τὰ παιδεία πολλά αὐτῷ γινόμενα ἐκ ἀποδέχονται, ὡς καὶ τῷ κάμνοντι περὶ τῆς φύσεως τοῦ σώματος διαλεγόμενον. ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο.

l. 77. Καὶ μὴν θυρῶν) τὸ ἑξῆς, ἔνδον θυρῶν. θαυμαστῶς δὲ ὁ γέρων οὐκ παρέβηκε τῷ ἀληθεῖ, ἀλλ' ἀποστῆσαι βουλόμενος τὸν ὀρέστην, προσπόλων τινὸς φησίν.

Προσπόλων) θεραπαινίδων. οὐ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς πρόσπολος, ὥσπερ ἐν ταῦθα, καὶ ἑτέρωθι.

l. 79. Ἆρ' ἐστὶν ἡ δύστηνος) ὑπὸ νεότητος ὀρέστης παρήγγελται φιλοπευστεῖν· ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει.

l. 80. Ἀνακούσωμεν) ἐπακούσωμεν.

Pag. 79. l. 81. Μηδὲν πρόσθεν) ἄρχομεν εἰς τὸ χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ, ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν. διελύθη γὰρ ἂν τὸ πᾶν ἐξ ἀρχῆς μηνυθέντος ὀρέστου.

l. 85. Ὦ φάος ἁγνὸν) ὀλόφυρσίς ἐστι τῆς ἠλέκτρας ἐν ταῖς μονῳδίαις. ὅπερ σύνηθες τοῖς τραγικοῖς, κινητικὸν τοῦ πάθους. τοῦτο δὲ τὸ πρόσωπον εὔνουν ἐστὶ τῷ ἀποθανόντι. ἐπεὶ δὲ ἀηδὲς ἐστὶ πρὸς τοὺς θεατὰς ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς, ἢ μάρτυρας τῶν θρήνων καλοῦσα, πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον· καὶ οὕτως ἡμῖν δηλωθήσεται ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ τὸν πατέρα. ἰσόμοιρον δέ φησιν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ' ὅσον παραλείπειν ἀλλήλοις τὰ στοιχεῖα πρέπει. καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατ' ἀνάλογον ὁ ἀὴρ τῇ γῇ· συνέστηκε γὰρ ἡ γῆ. εἰ δὲ διαλυθῇ, ἰσωθήσεται αὐτῷ. οὕτως ἔχει καὶ τὸ ἡσιόδειον, Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ Οὐρανόν. ἰσόμοιρον δὲ γῆς ἀέρα τὸν σκότον φησὶν, ἵνα τὸ φάος ἁγνὸν ἀντιδιαστέλληται. καὶ γῆς φησὶν ἰσόμοιρος ἀήρ. ἴσην μοῖραν ἔχων τῇ γῇ. πανταχοῦ γάρ ἐστιν ἀήρ. ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα. ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις. τινὲς δὲ, ὅτι μέση ἀέρος ἐστὶν ἡ γῆ, διὰ τὰ ἀπὸ κέντρου διαστήματα. ἰσόμοιρος οὖν διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς. καὶ ταῦτα δὲ φερεκράτης παρῴδηκεν. τὸ δὲ ἀὴρ τὸ ἀσυνήθως διὰ ῥυθμοῦ ἢ μέτρου. Ἄλλως. κατὰ τὴν ἴσην ἐναντιότητα ἐστὶν ὁ μὲν ἀὴρ ἰσόμοιρος τῆς γῆς· τὸ δὲ ὕδωρ, τοῦ αἰθέρος. ἔστι γὰρ ὁ μὲν ἀὴρ, θερμὸς καὶ ὑγρὸς, ἐξαίρετον ἔχων τὸ ὑγρόν· ἡ δὲ γῆ, ψυχρὰ καὶ ξηρὰ, ἐξαίρετον ἔχουσα τὸ ξηρόν. καὶ ὁ αἰθὴρ, θερμὸς καὶ ξηρὸς, ἐξαίρετον ἔχων τὸ θερμόν· τὸ δὲ ὕδωρ, ψυχρὸν καὶ ὑγρὸν, ἐξαίρετον ἔχον τὸ ψυχρόν.

l. 86. Ὥς μοι πολλὰς μὲν ᾠδ.) ὅσας μοι ᾠδὰς θρηνῳδούσῃ καὶ κοπτομένῃ. τὸ δὲ κατάλληλον οὕτως, ὡς πολλὰς μὲν ᾠδὰς ᾔσθου, πολλὰς δὲ πληγὰς, αἱμασσομένων τῶν στέρνων. τὸ δὲ, πληγὰς ἀντήρεις, τραγικώτερον. πῶς ἀπήγγελται, ὥστε τὴν διάλεξιν αὐτῆς μὴ πάνυ πολιτικὴν εἶναι. μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων, ἐπὶ πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας. ἢ ἀντήρεις, ἀντιθέτους, ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. μετῆκται ἀπὸ τῶν ἐρεσσόντων, ὅταν καὶ ἴσον ἐρέσσωσι, καὶ μὴ εἰς θάτερον περιάγηται ἡ ναῦς. ἀντήρεις οὖν, ἀντικτυπούσας τοῖς θρήνοις. θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον.

l. 88. Ἤσθου) ἀντὶ τοῦ ἔμαθες.

l. 89. Αἱμασσομένων) διὰ τούτων ἡ ἐπίτασις. αἱμασσομένων δὲ, αἱματηρῶν γινομένων ὑπὸ τοῦ πλήττεσθαι.

l. 90. Ὁπόταν δνοφερὰ) ὅσα μὲν (φησὶ) διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασιν· ὅσα δὲ δι' ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς. λέγει δὲ, ὅτι οὐ διαλείπω οὔτε νυκτὸς οὔτε ἡμέρας κλαίουσα.

Ὑπολειφθῇ) παρέλθῃ.

l. 93. Ὅσα τὸν δύστηνον) κατὰ βραχὺ ἐνδείκνυσι τὰ τῆς ὑποθέσεως. ἴδου γὰρ ἔγνωμεν ὅτι ἀδελφὴ τοῦ ὀρέστου, καὶ διά τι θρηνεῖ.

l. 94. Ὃν κατὰ μὲν βάρβαρον) παρὰ τὸ ὑπὸ ἀγαμέμνονος ἐν τῇ νεκυίᾳ, Οὔτε με ἀνάρσιοι ἄνδρες, καὶ τὰ ἑξῆς. πάνυ δὲ περιπαθὴς ὁ λόγος, εἰ καὶ πολεμίων πικροτέρα ἐφάνη κλυταιμνήστρα τῷ ἰδίῳ ἀνδρί. πάνυ γὰρ περιπαθὲς τὸ ἐπὶ τηλικούτῳ καὶ τοσαῦτα διαπραξαμένου εἰπεῖν, ὅπως δρῦν ὑλοτόμοι. τὸ δὲ ὅλον, μήτηρ δὲ ἐμὴ καὶ ὁ συγκαθευδῶν αὐτῇ αἴγισθος ἔσχισαν αὐτὸν κατὰ τὸ κάρα διὰ φονικοῦ πελέκεως, καθάπερ δρῦν δενδροτόμοι, σχίζουσι δηλονότι. τὸ μὲν κάρα ἔχει τὸ πρότερον βραχὺ, καὶ τὸ δεύτερον μακρὸν, παίσαντες κάρα θαυμάζεις. τὸ δὲ κρᾶτα, τὸ πρότερον μακρὸν, καὶ τὸ δεύτερον βραχύ.

l. 95. Οὐκ ἐξείνισ᾽) ἀντὶ τοῦ οὐκ ἀπέκλεινε. ξένια γὰρ ἄριστος, τραύματα, φόνοι. καὶ ἀρχίλοχος, Ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενοι.

l. 100. Η μοῦ φέρεται) εἰ δὲ καὶ τὰ τῆς χρυσοθέμιδος παραίνεται, αὕτη γε, διὰ τὸ πάνυ ἀλγεῖν, οὐδένα κατ᾽ ἀξίαν φροντίζειν τῶν γεγονότων οἴεται ἢ μόνην αὐτήν.

l. 101. Αδίκως, οἰκτρῶς τε) ἔν τισιν ὑπόκειται ἀντὶ τοῦ ἀδίκως, ἀεικῶς. καὶ οἰκτρῶς μὲν, διὰ τὸ βίᾳ, καὶ ἐπιβουλευθέντα· ἀεικῶς δὲ, ὅτι πελέκει αὐτὸν μεθ᾽ ὕβρεως ἐπάταξε.

l. 102. Ἀλλ᾽ οὐ μὲν δὴ λήξω) ὁ νοῦς, ἀλλ᾽ οὐ λήξω θρήνων, οὔτε ἡμέρας οὔτε νυκτὸς ὀδυρομένη, ἕως ἂν νύκτας καὶ φῶς βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν.

l. 108. Ηχώ) ἀντὶ τοῦ ἦχον. ὃν οἱ ποιηταὶ ἠχὼ λέγουσι. ἠχὼ γὰρ, τὸ φωνῆς ἀντίφθεγμα.

l. 111. Σεμναί τε θεῶν) εὐφήμως, ὡς καὶ τὸ εὐμενίδες.

l. 118. Ἀντίρροπον) ἢ τὸ καταβαροῦν καὶ καταφερόμενον, ὃ φέρειν οὐ δυνάμεθα· ἢ ἐπὶ τοῦ ὀρέσω ἀκούειν δεῖ οὕτως τὸ ἀντίρροπον, ὅπερ ἂν ἔχῃ ἐκεῖνος φέρειν παρών, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν.

Μόνη γὰρ φέρειν οὐκ ἔτι σωκῶ) ἀντὶ τοῦ ἰσχύω. οἱ δὲ νεώτεροι ἀντὶ τοῦ σώζω.

Pag. 81. l. 124. Ιὼ παῖ παῖ) παράγει ἐπὶ χορὸν γυναικῶν τῇ ἠλέκτρᾳ συναχθομένων.

Δυστανοτάτας) τῆς ἐξωλεστάτης. οὐ γὰρ ἐπὶ οἴκτῳ ἐστὶν ὁ λόγος.

l. 125. Τίν᾽ ἀεὶ τάκεις) ἀντὶ τοῦ διὰ τί τήκῃ τῇ ἀκορέστῳ οἰμωγῇ; ἤγουν, τίς ἐστιν ἡ οἰμωγὴ αὕτη οὕτως ἀκορέστως ἀεὶ τήκουσα σαυτὴν οἰμώζεις, τὸν πάλαι ἁλόντα ἀπάταις ἀγαμέμνονα ἐξ ἐνεργείας τῆς δολερᾶς τῆς ἀσεβεστάτης μητρὸς, ἐκδοτον γενόμενον, δηλονότι χειρὶ κακῇ, ἤγουν κακοποιῷ καὶ φονικῇ.

l. 126. Ἀκόρεστον) ἀντὶ τοῦ ἀκορέστως.

l. 127. Ἀθεωτάτας) ἀσεβεστάτης.

l. 128. Ματρὸς ἁλόντα) λίαν αἰδήμων ὁ χορὸς ἐπὶ τὸν αἴγισθον τρέπει τὴν αἰτίαν. καὶ γυναικῶν ἐστιν ἴδιον, μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασι καταλέγειν ἄλλης γυναικός.

l. 131. Καὶ τὸ, Εἴμοι θέμις τάδ᾽ αὐδᾶν) λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξὶν· ἐπεὶ κατ᾽ ἀρχόντων αὐτῶν ὁ λόγος ἦν, ἐπεὶ δοκεῖ δυσφημεῖν, φησὶν, εἰ δίκαιόν ἐστιν, οὕτως εὔχομαι. Ἄλλως. οὕτως ὡς ὁ Ἀγαμέμνων ἀπώλετο, οὕτως εἴθε ἀπόλοιτο τάδε παρέχων. θέμις δὲ τὸ ἐννόμιον, ὅσιον δὲ, τὸ δίκαιον· ὅμως καὶ ἀμφότερα ἐπὶ θεοῦ, τὸ δὲ δίκαιον ἐπὶ ἀνθρώπων.

l. 132. Ω γενέθλα) ὦ παῖδες τῶν εὐγενῶν μυκηναίων.

l. 133. Ηκετ᾽ ἐμῶν καμάτων) οἶδα (φησὶν) ἃ πράττω, καὶ οὐ λανθάνει με ὅτι ὑπὲρ τὸ δέον ποιῶ. ἢ, οἶδα ὅτι μοι εὐνοεῖτε. ἵνα συνάπτῃ τῷ προκειμένῳ, Ηκετ᾽ ἐμῶν καμάτων παραμύθιον· ἀμεινον δὲ τὸ πρῶτον.

l. 135. Φυγγάνει) ἤγουν διαφεύγει. ἀπὸ τοῦ φεύγω γίνεται φυγάνω, καὶ ἐκβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ ν, εἶτα διὰ τὸ ἐπαγόμενον γ, τροπῇ τούτου εἰς γ, φυγγάνω. οὕτω γίνεται καὶ τὸ τυγχάνω ἀπὸ τοῦ τεύχω ἀχρήστου, καὶ τὸ ἱκάνω ἀπὸ τοῦ ἥκω, καὶ τὸ πυνθάνομαι ἀπὸ τοῦ πεύθομαι, καὶ τὸ ἐρυγγάνω ἀπὸ τοῦ ἐρεύγομαι, καὶ ἕτερα.

l. 139. Εἷ τί μ᾽ ὧδε) τοιοῦτοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορούμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν.

Ἀλύειν) ἐν ἄλλοις δυσφορεῖν σημαίνει· ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἄλης καὶ διαχύσεως. Ὅμηρος, Η ἀλύεις ὅτι ἶρον ἐνίκησας τὸν ἀλήτην;

l. 140. Ικνοῦμαι) ἀντὶ τοῦ παρακαλῶ. ἀφικνοῦμαι δὲ ἀντὶ τοῦ παραγίνομαι, καὶ φθάνω.

l. 142. Ἀλλ᾽ οὔτι τόν γ᾽ ἐξ αἴδα) Ὅμηρος, Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

l. 143. Παγκοίνα λίμνας) εἰς τὴν ἅπαντας ἐφικέσθαι δεῖ.

l. 144. Οὔτε γόοις, οὔτε λιταῖσι) οὔτε ὀδυρομένη οὔτε παρακαλοῦσα τοὺς θεούς. καὶ Αἰσχύλος, Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ, μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος.

l. 149. Ἐφίη) ἐπιθυμεῖς. τίμοι (φησὶ) τούτων γλίχῃ ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνους καὶ πένθη;

l. 151. Νήπιος) ὁ ἐν βρεφικῇ ὢν ἡλικίᾳ, καὶ ἀπὸ τούτου ὁ ἀνόητος.

l. 153. Ἀλλ᾽ ἐμέ γ᾽ ἁ στονόεσσ᾽ ἄραρε) ἀττικῶς τὸ ἄραρέ με, ἀντὶ τοῦ ἤρεσέ μου ταῖς φρεσὶν καὶ ἀρεστὸν ἐστὶ. Σὺ δὲ ταῖς ἀρέσκει. τὸ δὲ ἄραρεν, ἀντὶ τοῦ σύμφωνα προσαρμόζομαι ἐγὼ καὶ ἡ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. Ἄλλως.

πως. δὲ συνήρμοσαί μοι ταῖς φρεσὶ τελέσιν, ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν στενάζουσαν. Ἄλλως, οὕτως ἂν ῥᾴδιον λέγεσθαι, ἀλλ' ἐμὲ ἤρεσε κατὰ τὰς φρένας ἡ ἀεὶ τὸ στενάζειν ἀτυζομένη ἡ τοῦ Διὸς ἄγγελος ὄρνις, ἥτις τεταραγμένη ἀεὶ ὀλοφύρεται Ἴτυν Ἴτυν. νῦν δὲ συνάγει τὸν λόγον τῷ ὑποτακτικῷ ἄρθρῳ, καὶ λέγει, ἥτις ὄρνις Διὸς ἄγγελος ἀτυζομένη ἀεὶ ὀλοφύρεται Ἴτυν Ἴτυν.

l. 155. Ἀτυζομένα) ἐκπληττομένη τοῖς συμβεβηκόσι, καὶ ὀδυρομένη.

Διὸς ἄγγελος) ὅτι δὲ τὸ ἔαρ σημαίνει, Ὅμηρος, Ὡς δ' ὅτε Πανδαρέου κούρη χλωρηὶς ἀηδὼν Καλὸν ἀείδησιν ἔαρος νέον ἱσταμένοιο. ἢ ὅτι τὴν ἡμέραν σημαίνει. ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακά, καὶ τὴν παραθρυλλουμένην ἀγγελίαν, καὶ τὸ πάθος. ἢ ἄγγελον εἶπεν, διὰ τέρας καὶ τὸ παρ' αὐτῇ γιγνόμενον. εἰς τεράστειαν τῆς φύσεως καὶ στροφήν, Ἦρος ἄγγελος ἱμερόφωνος ἀηδών.

l. 157. Σε δ' ἔγωγε νέμω θεὸν) ἀντὶ τοῦ, ἐν τιμῇ τῶν θεῶν μερίζω σέ. ἤγουν, θεόν σε ἔχω καθότι δακρύεις ἐν τάφῳ πετραίῳ. τοῦτο δὲ καὶ αὐτή, καθ' ἑαυτὴν λέγει.

Pag. 83. l. 151. Ἐν τάφῳ πετραίῳ) τουτέστιν ἀπολιθωθεῖσα. καὶ Ὅμηρος, Ἐν σιπύλῳ, ὅθι φασὶ τυφωέος ἔμμεναι εὐνάς.

l. 155. Περισσᾷ) πρὸς τὸ ἄχος περισσή. ἀντὶ τοῦ ἀμέτρως ἐν τῷ θρηνεῖν. περισσῶς (φησὶν) ὀδύρῃ παρὰ πάντας οἳ ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις. ὥστε καὶ ἱστορίαν τι διδάσκει ἡμᾶς. ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσὶ δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι.

l. 157. Οἷα Χρυσόθεμις) ἢ Ὁμήρῳ ἀκολουθεῖ εἰρηκότι τρεῖς τὰς θυγατέρας τοῦ Ἀγαμέμνονος, ἢ ὡς ὁ τὰ κύπρια ποιήσας τέσσαρας φησί.

l. 159. Κρυπτᾷ τ' ἀχέων.] ἡ μετοχὴ ἐστὶ τὸ ἀχέων ἀντὶ τοῦ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος.

l. 160. Ὄλβιος ὃν) συνάπτει κἀνταῦθα τὸν λόγον τῷ ὑποτακτικῷ ἄρθρῳ, ὀφείλων γὰρ λέγειν, ὄλβιος ὁ Ὀρέστης ὃν ἡ κλεινὴ γῆ δέξεται τῶν Μυκηναίων. ὁ δὲ λέγει, ὄλβιος ὅντινα Ὀρέστην ἡ κλεινὴ γῆ τῶν Μυκηναίων δέξεται ποτε. εὐπατρίδην ἀντὶ τοῦ περιφανῆ μολόντα εἰς τήνδε τὴν γῆν. βήματι εὔφρονι ἀντὶ τοῦ πομπῇ ἢ ὁδῷ τοῦ Διός.

l. 163. Βήματι) ἀντὶ τοῦ ὁδῷ, πομπῇ.

l. 164. Ἀκάματα) ἀκαμάτως καὶ ἀδιαλείπτως. λέγοι δ' ἂν ταύτην ὑποκειμένη. ἢ, οὐ κεκμηκότως.

l. 166. Οἰχνῶ) περιέρχομαι. οἰχνῶ δὲ γέγονεν ἀπὸ τοῦ οἴχομαι, παρενθέσει τοῦ ν. μετέπεσε δὲ εἰς τὴν τῶν περισπωμένων συζυγίαν, ὥσπερ καὶ τὸ ἀφικνοῦμαι, γινόμενον ἀπὸ τοῦ αἴχομαι παρενθέσει τοῦ ν. ἀπὸ δὲ τοῦ οἰχνῶ καὶ ἴχνος, διὰ τοῦ ι.

l. 167. Μυδαλέα) διάβροχος τοῖς δάκρυσιν.

Ἀνήνυτον) ἀτελείωτον.

l. 168. Ὧν τ' ἔπαθεν, ὧν τ' ἐδάη) ὧν ἔπαθε παρ' ἐμοῦ εὐεργεσιῶν· διέσωσα γὰρ αὐτόν. ὧν δὲ ἐδάη, ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους δηλοῦσα τὰ κατ' Αἴγισθον.

l. 169. Τί γὰρ ἀγγελίας) ἤγουν, τί εἶδος ἀγγελίας οὐκ ἔρχεται ἐμοὶ ἀπατώμενον, ἤγουν, ἀπάτην ἔχον, τουτέστι ψευδές.

l. 171. Ἀεὶ γὰρ ποθεῖ) ὁ Ὀρέστης φανῆναι, ἀπὸ κοινοῦ.

l. 176. Ὦ τὸν ὑπεραλγῆ χόλον) ὦ τέκνον, διὰ τὸ ὑπεραλγοῦντα, τὸν ἄγαν ὀδυνηρὸν καὶ λυπηρὸν χόλον τοῖς πεπραγμένοις νέμουσα, μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς· μήτε ἐπιλάθου αὐτῶν, ἀλλὰ μέμνησο μετὰ αὐτῶν. γενναίως δὲ φέρε. ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε, μήτε ἐπιλανθάνου τῆς ἔχθρας.

l. 179. Χρόνος γὰρ εὐμαρὴς) ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται· ἐπεὶ δὲ οὐ μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης. ἢ εὐχερής ἐστιν ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκους.

l. 180. Κρίσαν) φωκικήν. Κρῖσα γὰρ πόλις Φωκίδος. * τὴν αὐτὴν τὴν Κρίσαν, ἀντὶ κτητικοῦ, τουτέστι τῆς Κρίσσης.

l. 181. Βουνόμαν) βοῶν θρεπτικήν.

l. 182. Ἀπερίτροπος) ἀνεπίστροφος, ἀνεπιλόγιστος. ἔνθεν καὶ τὸ περιτροπίαν ἐνιαυτός. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος. οὔτε Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ Φωκίδι τρέφεται, οὔτε ὁ κάτω θεός· ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται. καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τοῦ ἀδίκως ἀνῃρημένου προσδόκα. τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὀρέστου, ἀνεπίλυτος· ἐπὶ δὲ τοῦ Πλούτωνος, ἀνεπίστροφος τοῦ ἐκ-

θρὺς

δηρὸς μεταλθεῖν. πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον, διαφόρως νοεῖται. καὶ Ὅμηρος, Ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω. τὸ ἑλέτην κατὰ κοινοῦ ἐστιν, ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου, ἀντὶ τοῦ ἔλαβον· ἐπὶ δὲ τῶν ἀνδρῶν, ἀντὶ τοῦ ἐφόνευσαν.

l. 183. Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα) οὔτε ὁ ᾅδης ἀνεπίστροφος. ἀπὸ κοινοῦ γὰρ τὸ ἀπαραίτητος τοῦ σοῦ ἐχθροὺς μετελθεῖν. ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται. Ἄλλως. παρὰ ἀντὶ τοῦ κατὰ, καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τῆς παρὰ προθέσεως.

l. 184. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς) δηλονότι, τὸ πλεῖστον τοῦ βίου ἐβίωσα ἐν κακοῖς, καὶ ὁ πλεῖστός με (φησὶ) βίος ἀπολέλοιπε, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην. ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται.

l. 189. Ἇς φίλος οὔτις ἀνὴρ) ἤτοι, ἧς φίλος οὐδεὶς προΐσταται, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι. ἢ ἐκεῖνο, Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

l. 190. Ἔποικος) ἀντὶ τοῦ μέτοικος.

Ἀναξία) ἀξίωμα μὴ ἔχουσα, ἀλλὰ ἄτιμος.

l. 191. Οἰκονομῶ) ἀντὶ τοῦ διαιτῶμαι τοὺς πατρῴους οἴκους.

Pag. 85. l. 192. Ὧδε μὲν ἀεικεῖ) δεικτικῶς τὸ ὧδε. ἐλλειπὸν δὲ τὸ τοιούτῳ, καὶ λεληθότως ἐμφαῖνον τὸ σχῆμα τῆς ὑποκριτῆς. ἀεικεῖ δὲ ἀντὶ τοῦ αἰσχρᾷ ἐσθῆτι, παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ καθήκειν.

l. 194. Οἰκτρὰ μὲν νόστοις αὐδά) ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος. ἀπὸ κοινοῦ δὲ τὸ, αὐδά. οἰκτρά σοι φωνὴ γέγονεν ἡ φωνὴ ἡ ἀγγέλλουσα περὶ τοῦ νόστου τοῦ πατρός· οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ. δηλονότι, οἰκτρὰ πέπονθας καὶ ὅτε ἤκουσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται· οἰκτρὰ δὲ, ὅτι καὶ ἡ πλῆξις γέγονε, καὶ ἀνῃρέθη.

l. 197. Ἀνταία γενύων) ὅτε ἀνταίαν ἐπλήγη ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι πελέκεων. γένυς γὰρ, εἶδος πελέκεως.

l. 198. Δόλος ἦν ὁ φράσας) ἀντὶ τοῦ ὁ φρασάμενος, ἐπινοησάμενος· ὁ δὲ ἀνελὼν, ἔρως. δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα. δόλος ὁ φρασάμενος τὴν ἐπίθεσιν ἐν ᾗ ἀνῃρέθη.

Ἔρος ὁ κτείνας) ἔρως, μικρὸν, διὰ τὸ μέτρον· ὅτι δὲ καὶ μικρὸν γράφεται, δῆλον ἐκ τῆς αἰτιατικῆς τοῦ ἔρον. γὰρ λέγομεν. καὶ Ὅμηρος, -- ἐξ ἔρον ἕντο.

l. 199. Προφυτεύσαντες) προσπεψάμενοι, προκατασκευάσαντες.

l. 200. Μορφὰν) μορφὴν, τύπον. τὴν δὲ μοιχείαν φησὶ τοῦ Αἰγίσθου, ἢ τὴν ὄψιν ἣν εἰργάσατο τοῦ φόνου.

Εἴτ' οὖν θεὸς) πάνυ αἰδημόνως ὁ χορὸς τὸ μὲν πρᾶγμα λέγει, τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει.

Εἴτε βροτῶν ἦν τις ἀπὸ βροτῶν.

l. 202. Ὦ πασᾶν κείνα) ὦ ἡμέρα ἐκείνη ἡ ἐλθοῦσα ἐμοὶ ἐχθίστη, ἢ μάλιστα μεμισημένη πασῶν ἡμερῶν τῶν δὲ πλέον, πλειστόν.

l. 204. Ὦ δείπνων ἀρρήτων) τῶν ὑπὸ Αἰγίσθου (φησὶ) τῷ Ἀγαμέμνονι παρασκευασθέντων ἐπ' ὀλέθρῳ, ἃ οὐδὲ ὀνομάσαι καλόν.

Ἔκπαγλ' ἄχθη) μεγάλα.

l. 206. Τοὺς ἐμὸς εἶδε) ὤφειλεν εἰπεῖν πρὸς τὸ ἔκπαγλα ἄχθη, ἃ ὁ ἐμὸς εἶδε πατήρ· ὁ δὲ, πρὸς τὸ σημαινόμενον ἀπέδωκε, λέγων, οὓς θανάτους ἀεικεῖς εἶδεν ὁ ἐμὸς πατὴρ ἀπὸ διδύμαιν χεροῖν.

l. 207. Διδύμαιν χειροῖν) τῆς Κλυταιμνήστρας καὶ τοῦ Αἰγίσθου.

l. 208. Αἳ τὸν ἐμὸν εἷλον βίον) πάνυ περιπαθῶς, αἵτινες χεῖρες αἱ ἀνελοῦσαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον, καὶ προὔδωκαν τοῖς ἐχθροῖς.

l. 210. Οἷς θεὸς) ἀπὸ τῶν χειρῶν μεταβαίνει ἐπὶ τοὺς ἐργαζομένους ταῖς χερσί.

l. 211. Ποίνιμα) ποινῆς ἄξια. ποινὴ δὲ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων, Ὅμηρος, Ποινὴν οὐ παιδὸς ἐδέξατο τεθνειῶτος. καὶ, Ἀλλ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας· Τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ Ποινὴν δεξαμένῳ.

l. 212. Ἀγλαΐας) ἡδονῆς, δόξης.

l. 114. Φράζου μὴ πόρσω φωνεῖν) ὁ χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἀντικρὺς ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν.

l. 215. Οὐ γνώμαν ἴσχεις) οὐ νοεῖς, οὐ γινώσκεις (φησὶν) ἐξ οἵων ἀγαθῶν εἰς τὸ διάφορον ἐλήλυθας.

l. 216. Οἰκείας) ἤτοι τῆς συγγενικῆς· ἢ ἀπὸ σοῦ ἐσομένας, καὶ οὐκ ἀλλαχόθεν.

l. 219. Σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ) σαυ-

αὐτῇ γινώσκω ταῦτα, ἐξ ὧν πολεμοῦταί σου ἡ ψυχή, ὡς ἐν ἀτιμίαις αὐτῆς οὔσης. Ἄλλως, πολὺ ἐκτήσω τὸ πλῆθος τῶν κακῶν, διὰ τῆς σῆς δυσθύμου ψυχῆς τίκτουσα ἀεὶ ταραχάς. καὶ ἔριδας. δύσθυμος· δὲ, σκληρὸς, βαρύθυμος. τὸ ἐναντίον ὁ εὔθυμος.

l. 220. Τὰ δὲ τοῖς δυνατοῖς οὐκ ἐριστά] τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν· ἀντὶ τοῦ οὐχ οἷόν τι σε ἐρίζειν τοῖς δυνατοῖς. καὶ ἄλλως. ταῦτα δὲ ἃ προθεῖς, οὐκ ἐριστὰ τοῖς κρατοῦσιν ἐστί. τουτέστι, περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι ἀσύμφορον. ἐριστὴς δὲ, ὁ φιλόνεικος· ἐριστικὸς δὲ, ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸ ἐρίζειν. ὥσπερ φιλικός, ὁ ἐπιτήδειος ἐς φιλίαν. ἐριστὸν δὲ, τὸ ἀξίαν ἔχον τὴν ἔριν. ὥσπερ παικτὸν παίγνιον, τὸ ἄξιον παίζεσθαι, καὶ παικτὴ παιδιά, ἡ ἀξία παίζεσθαι.

l. 221. Πλάθειν] πελάζειν.

l. 223. Ἐξοίδ'. οὐ λάθει μ' ὀργά] τοῦτο τὸ ἔπος (φησὶν) οὐ λανθάνει με, ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον. διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν, ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι.

Pag. 87. l. 227. Τίνι γάρ ποτε] παρὰ τίνος γὰρ ἂν ἀκούσαιμι τὰ συμφέροντα, ἢ παρ' ὑμῶν τῶν συνοίκων; ὥστε με συγχωρῆσαι ἐν δεινοῖς οὔση παρηγορίαν τινὰ ἴσχειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων. οὐ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας.

Ὦ φίλα γένεθλα] ὦ προσφιλὴς ἐμοὶ γενεά.

l. 229. Τίνι φρονοῦντι] παρὰ τίνος φρονοῦντος καίρια, ἤγουν συμφέροντα.

l. 230. Ἄνετέ μ', ἄνετε] ἐάσατε. ἤγουν, παύσασθέ με παραμυθούμεναι. Ἢ οὕτως, ὑμεῖς με παραμυθούμεναι ἄνετε. ὅ ἐστιν, ἐπιτρέπετε ὀδύρεσθαι, καὶ μὴ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν.

l. 231. Τάδε γὰρ ἄλυτα] τὸ θρηνεῖν τὸν πατέρα, ἄλυτόν μοι ἐστίν. ὅ ἐστιν, οὐδέ ποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι.

l. 233. Ἀνάριθμος ὧδε θρήνων] ἔν τισι κεῖται ἀνάνομος. ἤγουν ἀεὶ νεμομένη ἐν αὐτοῖς, καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ ἀνήριθμος, καὶ ἔστιν ὁ λόγος, οὐκ ἔσομαι ἀνήριθμος θρήνων ἀλλ' ἐν θρήνοις ἀριθμήσομαι. Ἢ οὕτως, ἀνάριθμος, ἤγουν οὐκ ἀριθμοῦσα τοὺς θρήνους, ἀλλὰ διαψιλεῖ χρωμένη αὐτοῖς.

l. 238. Καὶ τί μέτρον] ἔχει τόδε τὸ κακὸν ὥστε μετρίως θρηνεῖν. πρὸς γὰρ ἄμετρον κακὸν καὶ ἄμετρον δεῖται θρήνων.

Κακότητος] τῆς συνεχούσης με.

l. 241. Μήτ' εἴην ἔντιμος τούτοις] τοῖς ἀμελοῦσι τῶν γονέων. μὴ εἴη μοι ταύτης τῆς τιμῆς τὸ τοὺς γονέας μὴ μέχρι τοῦ παντὸς ὀδύρεσθαι. τουτέστι, μὴ θέλοιμι ἔχειν τιμὴν ὑπὸ τούτων.

l. 242. Μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ] μήτε εἴ τινι ἀγαθῷ καὶ χρηστῷ πρόσκειμαι φίλῳ συνοικοίην εὔκηλος. ἤγουν μηδέ, εἰ ἀγαθός τις ἐστὶν ᾧ ἐγὼ πρόσκειμαι, μηδὲ τούτῳ συνοικοίην εὖ, ζηλοῦσα αὐτὸν καὶ ἀποδεχομένη, εἰ τοιοῦτος περὶ τοὺς γονέας φαίνοιτο. μήτε οὖν αὐτὴ γενοίμην, μήτε εἰ ὁ ξυνοικῶν μοι τοιοῦτος εἴη, ζηλοίην τὰ ἐκείνου ὥστε καταφρονεῖν τῶν γονέων. Ἢ οὕτως, μηδὲ εἰ συνοικοίην χρηστῷ τινι ἀνδρί, ζηλώσαιμ' ἂν τὰ ἐκείνου ἡσυχάζουσα, καὶ κατέχουσα τοὺς ἐπὶ τῷ πατρὶ γόους.

l. 243. Γονέων ἐκτ'] τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχουσα ἐκτίμους. ἀντὶ τοῦ ἐκτὸς τιμῆς. ἤγουν ἐν τῷ τιμᾶν τοὺς πατέρας εἶναι ἰδία τῶν γονέων. πτέρυγας δὲ ὀξυτόνων γόων εἴρηκε, διὰ τὸ ταχὺ ἅμα μετὰ γὰρ τῇ μνήμῃ καὶ ὀδυρμὸς οὐδενὸς τοῦ μεταξὺ ὄντος· ὀξυγόους δὲ, διὰ τὸ σφοδρόν. καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τουτέστιν εἰς ἄκρον ἐλθεῖν.

l. 249. Πάλιν δώσουσιν] ἀντὶ τοῦ ἀνταποδώσουσιν, ἀντισταθμήσουσι τοῦ φόνου.

l. 251. Αἰδὼς] ἥ τε αἰδὼς ἔρροι, καὶ ἡ περὶ πάντας εὐσέβεια, εἰ τῶν ἀδίκως ἀνῃρημένων μὴ τιμωρία ἔσται.

l. 253. Σὺ νίκα] τὸ σὺ νίκα, πάνυ ἀναγκαίως, ἵν' ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν τῇ Ἠλέκτρᾳ, ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται.

l. 254. Αἰσχύνομαι μὲν] αἰδοῦμαι εἰ δοκῶ ὑμῖν βαρέως πενθεῖν, καὶ ἀπαραμυθήτως ἔχειν.

l. 255. Δυσφορεῖν] ἀγανακτεῖν. τὸ δυσφορεῖν κυρίως ἐπὶ νόσου λέγεται, οὗ ἐναντίον τὸ εὐφορεῖν, ὡς παρ' Ἱπποκράτει, εὔφοροι φορέουσι.

l. 256. Ἀλλ' ἡ βία γὰρ] ἐπείπερ ἐν

τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνενδότως θρηνεῖν, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται. λέγει δὲ, Ἀλλὰ σύγγνωτε. ἡ βία γὰρ ἀναγκάζει με δρᾶν ταῦτα.

l. 259. Ἀγῶ κατ' ἦμαρ] ἀναγκαίως κέχρηται τῷ νοήματι. ἐπὶ μὲν γὰρ γινομένῳ πράγματι καὶ παρελθόντι εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα. ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ, ἀλλὰ καὶ τὰ τῆς μητρὸς, καὶ τὰ Αἰγίσθου ὁσημέραι γιγνόμενα, εἰκότως παραιτεῖνει καὶ τὸ πενθεῖν.

l. 260. Καταφθίνονθ'] μαραινόμενα, κατὰ μεταφορὰν, ἀντὶ τοῦ μειούμενα. τὸ θάλλειν ἐπὶ τῶν φυτῶν λέγεται κυρίως, καὶ ἔχει ἐναντίον τὸ μαραίνεσθαι, ἢ τὸ φθίνειν. φθίνειν γὰρ καὶ μαραίνεσθαι ταυτόν. καὶ ἀπὸ τούτων καὶ ἐπ' ἄλλων, ὡς ἐνταῦθα, θάλλοντα μᾶλλον ἢ καταφθίνοντα, ἀντὶ τοῦ αὐξάνοντα μᾶλλον καὶ τρεφόμενα, ἢ μειούμενα.

Pag. 89. l. 260. Ἐν τοῖς ἐμαυτῆς] ἀνιαρὸν λίαν τὸ ἐν τοῖς ἐμαυτῆς, ὅτι ἀδικουμένη οὖσα ἐν τοῖς ἐμαυτῆς.

l. 261. Κἀκ τῶν δ' ἄρχομαι] καὶ βασιλεύομαι ὑπ' αὐτῶν. ἔτι δὲ τοῦτο χαλεπώτερον, τὸ καὶ τούτοις ὑποτετάχθαι.

l. 264. Οταν θρόνοις αἴγισθον] καὶ γὰρ μετὰ τὸ φονεῦσαι Ἀγαμέμνονα αἴγισθος ἐβασίλευσεν. Ὅμηρος. Αἴγισθος ἤνασσε πολυχρύσοιο μυκήνης, Κτείνας ἀτρείδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.

l. 266. Φοροῦντ' ἐκείνῳ ταυτὰ] οὐχ ὅμοια βασιλικὰ, ἀλλὰ τὰ ἐκείνου. πάνυ γὰρ τοῦτο περιπαθὲς, καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μεγάλην ἀνάγκην τοῦ πατρὸς. ἐσθήματα μὲν καὶ ἐσθῆτας, ἐν πεζῷ λόγῳ ἄριστα, ἐσθῆς δὲ ἐν χρήσει.

Καὶ παρεστίους] ἤγουν ἐφεστίους. ἐφέστιοι δὲ λοιβαὶ, αἱ ἐν τῇ οἰκίᾳ τελούμεναι.

l. 267. Σπένδοντα λοιβὰς] τὸ τῆς ἀσεβείας αἰγίσθου κατηγόρημα, εἰ σπένδει θεοῖς ὅπου ἄδικος φόνος εἴργασται. σπένδω λοιβὰς, ὡς λέγω λόγον, καὶ σπένδειν ἐπὶ τῶν ὑγρῶν λέγεται.

l. 268. Ιδω δὲ τούτων] ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα. κινητικὸν δὲ πρὸς οἶκτον τὸ αὐτοέντην πρὸς κοίτῃ πατρός.

l. 269. Ἀυτοφόντην] γράφεται καὶ αὐτοέντην. τὸ δὲ ἡμῖν παρέλκει ἀττικῶς.

l. 270. Μητὴρ εἰ χρεὼν] χρεὼν ἀντὶ τοῦ χρέος, καὶ ἀπὸ τούτου πρέπον. ὡς τὸ ὤφειλεν ἀντὶ τοῦ ἐχρεώστει, καὶ ἀπὸ τούτου ἀντὶ τοῦ ἐπρεπεν.

l. 272. Τλήμων] τολμηρὰ, ἀναιδής.

Μιάστορι] λυμεῶνι, φονεῖ. μιάστωρ, ὁ διὰ τὸν παρ' ἑαυτῷ μιασμὸν καὶ τοὺς ἄλλους μιαίνων.

Ωστε τῷ μιάστορι ξυνεῖσι] ξυνυπακούεται ὁ καὶ ξύνδεσμος. τὸ γὰρ ὥστε, μόνον μετὰ ἀπαρεμφάτου ζητεῖ τάττεσθαι.

l. 275. Ευροῦσ' ἐκείνην ἡμέραν] τὸ εὑροῦσα, τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει. οἷον ἡδέως αὐτὴν θεωμένη.

l. 276. Αμὸν] τὸ ἡμέτερον, ἤγουν τὸ ἐμὸν, ἡμέτερον μὲν, ὃ πολλοὶ ἔχομεν· ἐμὸν δὲ, ὃ μόνος ἐγὼ ἔχω.

l. 278. Θεοῖσιν ἔμμηνα ἱερὰ] οἱ ἀργολικοὶ συγγραφεῖς τρισκαιδεκάτην εἶναί φασι μηνὸς γαμηλιῶνος, ὡς δεινίας ἐν ἑβδόμῳ ἀργολικῶν.

l. 180. Κωκύω] δακρύω. λέγομεν δὲ δακρύω τὸν τεθνηκότα, ἐπιδακρύω δὲ τῷ τεθνηκότι.

l. 281. Ἐπωνομασμένην] ἐφ' ᾧ ὠνομάσθην.

l. 283. Ὅσον μοι θυμὸς] ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. αἰσχύλος, Οἵτε στεναγμοὶ τῶν πόνων ἐρείσματα.

l. 284. Γενναία] εὐγενὴς λόγοις καὶ οὐ πράξεσιν.

l. 286. Ὦ δύσθεον] καὶ ταῦτα ἀριστοφάνης παρῴδηκεν ἐν γηρυτάδῃ· δύσθεον δὲ, ἀσεβές.

Σοὶ μόνῃ πατὴρ τέθνηκεν] οὐκ ἀνῃρέθη φησὶν, ἀλλὰ τέθνηκε. τῷ σχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν.

l, 295. Υλακτεῖ] ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ, ὡς κύων.

Συν δ' ἐποτρυνει] συμπαροτρύνει δὲ ἐπὶ ταῦτα ὁ νυμφίος αὐτῆς ὁ ἔνδοξος παρὼν πέλας. ἤγουν συνωθεῖν. λέγεται δὲ τὸ συνωθεῖν ἐπὶ τῶν ἀμφοτέραις ταῖς χερσὶν ὠθούντων, ὅμοιον τῷ, ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν, ἀντὶ τοῦ ἐπὶ τὸ πλεῖν παρορμήσαντα.

l. 296. Ο κλεινὸς] κατὰ εἰρωνείαν.

l. 298. Ο σὺν γυναιξὶ τὰς μάχας] συνεργούσης γὰρ κλυταιμνήστρας ἀνεῖλε τὸν Ἀγαμέμνονα, Αἴγισθος ὑπὸ χερσὶ καὶ δολομένης ἀλόχοιο.

l. 299. Ἐγὼ δ᾽ ὀρέςην τῶνδε] χά-
ριν, ἐγὼ δ᾽ ὀρέςην περιμένουσ᾽ ἀεί
ποτε.

Pag 91. l. 306. Τὰς οὔσας] τὰς πα-
ρούσας.

l. 307. Καὶ τὰς ἀπούσας] ἤγουν καὶ
ἃς εἶχον καὶ ἃς ἔμελλον ἀνακύψειν. λέγεται
δὲ παραβολικῶς.

l. 308. Ἐν οὖν τοιούτοις] θαυμαςῶς
καὶ ἀνθρωπίνως δικαιολογεῖται. ἐπεὶ οἱ
ἐν δεινοῖς καὶ ἔξω λογισμοῦ τινὰ περιςάσου-
σι, καὶ εἰς θεοὺς ἀσεβῆ φθέγγονται.

l. 311. Φέρ᾽ εἰπὲ] ἐπεὶ θρασυτέρῳ
λόγῳ ἡ ἠλέκτρα κέχρηται, ὁ χορὸς
βουλόμενος περὶ ὀρέςου πυθέσθαι, ἐρω-
τᾷ εἰ πάρεστιν αἴγισθος.

l. 313. Η κάρτα) ἐν ἤθει, δηλ. πολ-
λοῦ γε δεῖ.

Μὴ δόκει) ἀντὶ τοῦ ἤγουν. δαιμονίως
ἀνανόμοται τοῦτο πρὸς τὴν χώρωσιν κλυ-
ταιμνήςρας. τὸ δὲ εἴργεσθαι ἐξόδου, παρει-
σαθεὶς μὲν πρὸς τὴν μεἴρακα, χρήσιμον
δὲ πρὸς τὴν ὑπόθεσιν.

l. 314. Θυραῖον οἰχνεῖν) ἀντὶ τοῦ θυ-
ραίως διαλέγειν. θυραῖος ἀντὶ τοῦ
θυραία, καὶ ῥαγδαῖος ἀντὶ τοῦ ῥαγ-
δαία, καὶ βίαιος ἀντὶ τοῦ βιαία, καὶ ὅσα
εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται
εἰς α ληγόντων, ἀττικά ἐςι. χρύσεος
δὲ ἀντὶ τοῦ χρυσῆ, καὶ κλυτὸς ἀντὶ τοῦ
κλυτὴ, καὶ ὅσα εἰς ος ἀρσενικὰ ἀντὶ
θηλυκῶν λέγεται εἰς η ληγόντων, ποι-
ητικά.

l. 315. Η κἂν ἐγὼ) ὄντως, εἰ ταῦ-
τα οὕτως ἔχει, καὶ ἐγὼ ἂν θαρροῦσα
μᾶλλον ἀφικοίμην εἰς τῶν σοὺς λόγους.

l. 317. Ιςόρει) ἐρώτα. ἱςορεῖν τὸ
διέρχεσθαι τόπους παρὰ τοῖς κοινοῖς.
παρὰ δὲ τοῖς ποιηταῖς, τὸ ἐρωτᾶν.

l. 318. Τοῦ κασιγνήτου τί φῄς) λεί-
πει ἡ περί.

l. 319. Μέλλοντος) βραδύνοντος.

l. 321. Φιλεῖ γὰρ ὀκνεῖν) δύναται
τὸ ὀκνεῖν Ὁμηρικῶς εἰρῆσθαι ἀντὶ τοῦ
φοβεῖσθαι, Ὀκνείω δ᾽ ἵππων ἐπιβαινέ-
μεν ὠκειάων.

Πράσσων) ἐπιχειρῶν πράττειν.

l. 323. Πέφυκεν ἐσθλὸς) ἤγουν ἀγα-
θὸς ὑπάρχει, ὥςτε ἐπαρκεῖν, τουτέςι βο-
ηθεῖν τοῖς φίλοις.

l. 324. Ἐπεί τ᾽ ἂν) ἐπεί τοι ἄν.

l. 325. Ως δμῶων ὁρῶ τὴν σὴν ὅμαι-
μον) οὐχ ὡς τῆς χρυσοθέμιδος τἀναν-
τία φρονούσης τῇ ἠλέκτρᾳ, ἀλλ᾽ ἐπει-
δὴ ὁρῶσιν ἐναγίσματα βαςάζουσαν, τοῦ-
το περὶ τούτων πυθέσθαι βουλόμεναι, κωλύ-
ουσιν αὐτὴν τῆς ἑξῆς λόγων.

l. 326. Φύσιν) κατὰ φύσιν, ἤτοι φύσει,
καὶ οὐ θέσει. τοῦ γνησίου ἐναντίον ὁ μὴ
φυσικὸς, ὁ λεγόμενος κόπελος· τοῦ δὲ
φύσει υἱοῦ, ὁ θέσει, ἤγουν ὁ υἱοθετούμενος.

l. 329. Τίν᾽ αὖ σὺ τήνδε) τὸ ἑξῆς,
τίνα φάτιν φωνεῖς; ἐπιτηδείως δὲ τοῖς ἀ-
γελαίοις ἤθεσιν ἀντιπαρατάττουσι πρᾶα,
καθάπερ νῦν τῇ ἠλέκτρᾳ χρυσόθεμιν
συνέζευξε, καὶ τῇ ἀντιγόνῃ τὴν ἰσμήνη-
ην, ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιῤ-
ῥήσεσι τὰ δράματα.

l. 333. Καίτοι τοσοῦτόν γ᾽ οἶδα) ὡς
εἰ ἔλεγεν, οἶδα ὅτι καὶ αὐτὴ ἀλγῶ ἐπὶ
τοῖς παροῦσιν.

l. 334. Ὥστ᾽ ἄν, εἰ σθένος) τρία
γὰρ παρακολουθοῦσιν εἰς τὸ γενέσθαι τὶ,
βούλησις, δύναμις καὶ ἐπιςήμη.

l. 336. Υφειμένῃ δοκεῖ) μὴ ὅλον τὸ
ἱςίον ἀναπεπτασμένη. ἀντὶ τοῦ, δοκεῖ μοι
ταπεινῶς διαλέγειν καὶ ὑπηκόως. μετα-
φορικῶς δὲ λέγεται ἀπὸ τῶν πλεόντων,
οἱ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντέχον-
τες ὑφιᾶσι τῶν ἱςίων. Εἰς τὸ αὐτό.
ὑφήσειν τὸ ἱςίον, δηλ. συςέλλειν τὸ φρόνη-
μα, καὶ μὴ ἄντικρυς μάχεσθαι· οἱονεὶ τῇ
προαιρέσει χρῶμαι.

l. 339 Τὸ μὲν δίκαιον) ὁ νοῦς, τί ὄ-
φελος τῆς δικαιοσύνης, εἴ τις διὰ ταύ-
την τοῖς δεινοῖς περιπέσοι.

l. 341. Ακουςέα) ἀττικῶς, ἀντὶ τοῦ
ἀκουςέον. τουτέςιν, ἄξιόν ἐςιν ὑπακούειν
κατὰ πάντα τῶν ἀρχόντων.

l. 343. Μέλειν) φροντίζειν;

l. 444. Ἅπαντα γάρ σοι). ταῦτα ὁ-
ποῖά ἐςι τὰ ἐπὶ τῇ ἀντιγόνῃ, ὅπου τῇ
ἰσμήνῃ λοιδορεῖ, καί φησιν αὐτῇ τὰ
κρέοντος φρονεῖν.

Τἀμὰ νουθετήματα) δηλ. ἃ εἶπες ἐμὲ
νουθετοῦσα.

l. 346. Ἐπεὶ θ᾽ ἐλοῦ γε) ὁμολόγησον
σαυτὴν ἢ φρονεῖν κακῶς, προςτιθεμένη-
ην τοῖς ἐχθροῖς, ἢ φρονοῦσαν, τῶν φιλ-
τάτων ἀμνημονεῖν. δηλ. θάτερα σε δεῖ
ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ
ὅτι ἐκοῦσα ἁμαρτάνεις καὶ παρορᾷς. τὸ
δὲ θάτερα ἀντὶ τοῦ θάτερον, ἀττικῶς εἴ-
ρηται. τὸ δὲ, ἐπεὶ θ᾽ ἔλεγε, ἀντὶ τοῦ, εἰ
δὲ μή τοι, ἔκλεξαι θάτερον.

l. 349. Τὸ τούτων μῖσος) λείπει ἡ
κατά.

Pag. 93. l. 351. Τιμῶ τε δρῶσαν) ἀν-
τὶ τοῦ ἐμέ.

Ἐκτρέπεις) ἡ ἐκ ἀντὶ τῆς ἀπό. ἀπο-

 τρέπεις.

τρέπεις. ἐκτρέπειν, τὸ παρακλίνειν τῆς ὁδοῦ· καὶ ἐκτροπὴ, ὅταν τις τὴν βαδίζει ὁδὸν ἀφεὶς, ἑτέραν βαδίσῃ.

l. 355. Κακῶς μὲν, οἶδ') κακῶς μὲν ζῶ, ἀλλ' ὑπὲρ τοῦ λυπεῖν σοῦ ἐχθροὺς τοῦτο προτιμῶ· οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῆν.

l. 356. Λυπῶ δὲ τούτους) διὰ τὸ τιμᾶν τὸν πατέρα.

l. 364. Ἐμοὶ γὰρ ἔστω) ἐμοὶ (φησὶν) ἔστω τροφὴ ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα, καὶ τὴν πεῖναν ἀπελαύνουσα. οὐ δέομαι γὰρ τοιαύτης τροφῆς ἀφ' ἧς ἡδονὴν σχήσω. Ἢ οὕτως, τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι.

l. 366. Οὐδ' ἂν σὺ σώφρων) οὐδὲ σὺ, εἰ ἐσωφρόνεις, ἀβρῶς ἔζης, ἠμεληκυῖα τοῦ πατρός.

Νῦν δ' ἐξὸν) ἀδείας οὔσης. τὸ ἐξὸν, τὸ παρὸν, τὸ ἐνὸν, καὶ ὅσα ἄλλα οὐδέτερα μετοχικὰ, οὐδέποτε οἱ ἀττικοὶ πλαγιάζουσιν, ὅτε πλαγιασμὸν ἡ σύνταξις ἀπαιτεῖ.

l. 367. Καλοῦ) ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου.

l. 370. Μηδὲν πρὸς ὀργὴν) ἀντὶ τοῦ ὀργίλως· καὶ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως· καὶ πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς· καὶ πρὸς ἀλήθειαν, ἀντὶ τοῦ ἀληθῶς, καὶ πολλὰ ἕτερα λέγεται οὕτως ἀντὶ ἐπιρρήματος.

l. 71. Εἰ σὺ μὲν μάθοις) εἰ συγκεράσειε σοῦ τρόπους. οὗ ἂν ἔχοι. ἡ μὲν γὰρ, αὐστηρά. ἡ δὲ, ἀνειμένη.

l. 373. Ἠθὰς εἰμὶ) ἀντὶ τοῦ ἐν συνηθείᾳ εἰμί. ἔθος ἡ συνήθεια, ἦθος δὲ ὁ τρόπος. ἐνταῦθα οὖν ἐθὰς ὤφειλεν εἶναι, διὰ δὲ τὸ μέτρον ἐτέθη τὸ ἠθὰς ἀπὸ τοῦ ἦθος, ἐπεὶ πλησιάζει τὸ ἔθος καὶ τὸ ἦθος.

l. 374. Τῶν τῆς δὲ μύθων) τῶν παρὰ ταύτης λεγομένων μύθων.

l. 376. Μακρῶν) μεγάλων, ἢ πολυχρονίων.

Σχήσει) ἐφέξει, κωλύσει.

Γόων) γράφεται καὶ λόγων.

l. 381. Ἐνταῦθα πέμψειν) ἐκεῖσε. τὸ ἐνταῦθα νοεῖται ἐν πρώτῳ προσώπῳ, ἤγουν ἐνταῦθα ἔνθα εἰμὶ ἐγώ· τὸ αὐτοῦ, ἐν δευτέρῳ, ἐπὶ αὐτοῦ ἔνθα εἶ σύ. τὸ ἐκεῖ, ἐν τρίτῳ, ἐπὶ ἐκεῖ ἔνθα ἐστὶν ἐκεῖνος. ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐκεῖσε λέγεται, τὸ ἐπίρρημα ἀντὶ τοῦ ἐπιρρήματος.

l. 382. Κατηρεφεῖ) κατεσκεπασμένῃ. σκοτεινῇ.

l. 383. Ὑμνήσεις) θρηνήσεις. ὕμνος κυρίως ἡ εἰς θεὸν ᾠδή· παρὰ δὲ ποιηταῖς ἁπλῶς ἡ ᾠδὴ, εἴτε ἐπὶ ποιητικῆς ἐμμελείας, (ἀφ' οὗ λέγεται ὑμνοπόλος παρ' αὐτοῖς, ταυτὸν τῷ ἀοιδοπόλος) εἴτε μέλους θρηνῳδοῦς. καθ' ὃ λέγεται ἐνταῦθα τὸ ὑμνήσεις.

l. 385. Ἐν καλῷ) εὔκαιρον. νῦν (φησὶν) εὔκαιρόν ἐστι καλῶς φρονῆσαι.

l. 386. Ἦ ταῦτα δή με) ἄρα δή μοι καὶ βεβούλευνται. ἤγουν οὐκ ἠπείλουν μόνον ταῦτα, ἀλλ' ἤδη καὶ βουλῇ κυροῦσιν.

l. 388. Ἀλλ' ἐξίκοιτο) ἁρμόζει μάλιστα τὸ πρόσωπον Ἠλέκτρας τῇ ἀντιγόνῃ.

l. 392. Ἀφ' ὑμῶν) πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτῆς συγκαταλέγει ὡς τῶν αὐτῶν αἱρουμένην.

Pag. 95. l. 394. Καλῶς γὰρ) εἰρωνεύεται ἐν ἤθει.

Ὥστε θαυμάσαι] ἀντὶ τοῦ ἀγαπῆσαι βιοῦν αὐτὸν δηλονότι τὸν βίοτον. θαυμάζει τις ἀρετὴν, ἀντὶ τοῦ ἀγαπᾷ ἐργάζεσθαι ἀρετὴν, καὶ θαυμάζει λόγους, ἀντὶ τοῦ ἀγαπᾷ κτᾶσθαι λόγους. κατὰ τοῦτο λέγεται κἀνταῦθα τὸ θαυμάσαι. ἤγουν, καλὸς γὰρ ὁ ἐμὸς βίος, ὥστε θαυμάσαι αὐτὸν δηλονότι.

l. 397. Ἀλλ' οὐ διδάσκω] ἀλλ' οὐ διδάσκω κακὴν εἶναι τοῖς φίλοις, διδάσκω δὲ εἴκειν τοῖς ἄρχουσιν.

l. 399. Ἀβουλίας] ἐξ αἰτίας τῆς κακοβουλίας. ἤγουν διὰ κακοβουλίαν.

l 400. Εἰ χρὴ] εἰ ἀπόκειται.

Τιμωρούμενοι] ἀντὶ τοῦ τιμωροῦντες.

l. 401. Πατὴρ, δὲ τούτων] οἶδα ὅτι ὁ πατὴρ ἕνεκα τούτων συγγνώμην ἕξει ἡμῖν δηλονότι.

l. 402. Ταῦτ' ἐστὶ τἄπη] κακῶν ἐστὶ ἐπαινέσαι ταῦτα τὰ ἔπη.

l. 404. Νοῦ κενὴ] ἀντὶ τοῦ συνέσεως κούφη.

l. 405. Οἷπερ ἐστάλην ὁδοῦ] καὶ τὸ οἷ μόνον ἱκανόν ἐστιν· ἐπὶ πορεύσομαι οἷ ἀπεστάλην. ἐπεὶ δὲ ὁδὸς ἄγει ἐκεῖσε ὅποι ἀπεστάλη, λέγει οἷ τῆς ὁδοῦ. Ἐστάλην, ἀντὶ τοῦ ἀπεστάλην. στέλλομαι ἀντὶ τοῦ πορεύομαι· ἀποστέλλομαι δὲ ὑφ' ἑτέρου, ἀντὶ τοῦ πέμπομαι.

l. 407. Τυμβεῦσαι] ἀφιερῶσαι τῷ τύμβῳ.

l. 412. Συγγένεσθε] συμμαχήσατε. συνεργήσατε. συμπράξατε ἡμῖν καὶ νῦν, ἀκούσατε δὲ ὅτι ἐν τοῖς ὀνείροις

δείματα

δειγματικά τινα τῇ Κλυταιμνήστρᾳ γέγονε, θαρρεῖ, καὶ ἐπικαλεῖται τοὺς θεοὺς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παρεστάναι.

l. 414. Τὴν ὄψιν] ἤγουν ὃ εἶδεν. ὄψις, τὸ θεαθὲν, καὶ ἡ ὁρατικὴ δύναμις, καὶ τὸ πρόσωπον.

l. 415. Πλὴν ἐπὶ σμικρὸν] ἀντὶ τοῦ πλὴν δι᾽ ὀλίγων.

l. 416. Λέγ᾽ ἀλλὰ τοῦτο] λέγε κἂν τοῦτο.

Πολλά τοι] ἀντὶ τοῦ κατὰ πολὺ, ἐπιρρηματικῶς. ἔστι δὲ ἀττικὸν ὡς καὶ τὸ πότερα ἀντὶ τοῦ πότερον.

l. 417. Ἔσφηλαν] ἔσφαλαν. σφαλῆναι ἐποίησαν.

l. 418. Λόγος τις αὐτὴν] λόγον λέγω, ἐπεὶ οὐκ αὐτὴ παρ᾽ ἐκείνης ἔμαθεν, ἀλλὰ παρ᾽ ἄλλου διηγουμένου.

l. 419. Δευτέραν ὁμιλίαν] ὡς αὖθις αὐτοῦ ἀναζήσαντος, καὶ προσομιλήσαντος. ὁμιλία δὲ, ἐπὶ τῶν ἐνουμένων. κοινωνία, ἐπὶ τῶν συμμετεχόντων τινός. ἐπεὶ δὲ ἡ ἕνωσις καὶ διὰ λόγων γίνεται καὶ διὰ μίξεως ἀφροδισίων καὶ δι᾽ ἑτέρων, λέγεται ἡ ὁμιλία καὶ ἐπὶ συνουσίας καὶ ἐπὶ διαλέξεως. ὁμιλεῖ γάρ τις τινί. ἤγουν διαλέγεται, καὶ ὁμιλεῖ βιβλίῳ, ἀντὶ τοῦ εἰς λόγους ἔρχεται. λόγους γὰρ τὸ βιβλίον ἐμπεριέχει. ὁμιλεῖ δὲ θανάτῳ, ἀντὶ τοῦ ἑνοῦται· καὶ ὁμιλεῖ συμφοραῖς, ἀντὶ τοῦ ἑνοῦται καὶ συγκρίνεται. Κοινωνοῦσι δὲ τινὲς, ἢ μεταδιδόντες ἀλλήλοις καὶ μεταλαμβάνοντες παρ᾽ ἀλλήλων φιλίας, ἢ γνώσεως. ἢ τινος τοιούτου τῶν παρ᾽ ἑαυτοῖς, ἢ ἑτέρου τινὸς ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον τραπέζης, ἢ χωρίων, ἢ τοιούτων τινῶν.

l. 420. Ἐφέστιον] ἐπὶ τὴν οἰκίαν γενόμενον. τουτέστιν ἐπ᾽ οἶκον. ἐφέστιος, ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ. ὡς παρ᾽ Ὁμήρῳ, Ἀλλ᾽ ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων. καὶ ὁ ἔχων οἰκίαν, ὡς παρὰ τῷ αὐτῷ, Τρῶας μὲν λέξασθε ἐφέστιοι ὅσσοι ἔασιν. ἐφέστιος ἁπλῶς καὶ ὁ ἐν οἰκίᾳ ὢν, ὡς ἐνταῦθα. ὁμέστιος δὲ καὶ συνέστιος, ὁ ἐν μιᾷ οἰκίᾳ μεθ᾽ ἑτέρου ὤν.

l. 423. Θαλλὸν] θαλλὸς καὶ θύρσος τὸ αὐτό. ἔστι δὲ ὁ ἁπαλὸς κλάδος

l. 425. Ἡνίχ᾽ ἡλίῳ] τοῖς γὰρ παλαιοῖς ἔθος ἦν, ἀποδιοπομπαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα.

Ἡλίῳ] ἀντὶ τοῦ ἡμέρᾳ. ἤκουσα (φησὶ) τοῦ ὀνείρου ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ἐμοί.

l. 426. Ἐξηγουμένου] ἀντὶ τοῦ διηγουμένου. Ἑρμηνεία, συνθήκη λόγου δηλοῦσά τι, καὶ ἡ τῶν τυχόντων διασάφησις· ἐξήγησις δὲ, δι᾽ σαφήνεια θείαν· διήγησις δὲ, ἡ ἁπλῶς ἀφήγησις.

l. 430. Εἰ γάρ μ᾽ ἀπώσῃ] εἰ γὰρ νῦν (φησὶ) δεομένην σου ἀπώσῃ με, κακοῦ σοί τινος γενομένου μετὰ ταῦτα, αὐτὴ μετελεύσῃ με καὶ ἀξιώσεις μετὰ σοῦ γενέσθαι. Ἄλλως. μέτει, ἀντὶ τοῦ κολακεύσεις. μετέρχομαι, τὸ ὑπέρχομαι καὶ κολακεύω, καὶ τὸ κολάζω.

l. 432. Οὐ γάρ σοι θέμις] ἵνα μὴ ἀποτρέψῃ, εἴ τι κακὸν μέλλει γενέσθαι ἀπὸ τῶν ὀνείρων. ἐπὶ νῦν δὲ νῦν, τὸν τάφον θέμις, τὸ ἔννομον· ὅσιον, τὸ δίκαιον. ὅμως ἀμφότερα ἐπὶ θεοῦ, δίκαιον δὲ ἐπὶ ἀνθρώπου.

l. 436. Βαθυσκαφεῖ κόνει] εἰς βάθος ὀρωρυγμένῃ. πρὸς μὲν τὸ βαθυσκαφεῖ κόνει ἁρμοδίως λέγεται τὸ κρύψον· πρὸς δὲ τὸ πνοαῖς οὐ δύναται ἁρμόσαι. δεῖ οὖν συνυπακούειν ἔξωθεν ῥῆμα κατὰ ἀναλογίαν, ἢ τὸ ῥῖψον, ἢ τὸ δὸς, ἤ τι τῶν τοιούτων. καὶ ἐν ἑτέροις τοῦτο γίνεται πολλοῖς, ὡς παρ᾽ Ὁμήρῳ, ἦχι ἑκάστῳ Ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε᾽ ἔκειτο. οὐ γὰρ οἱ ἵπποι ἔκειντο (ἵν᾽ ἀπὸ κοινοῦ τὸ ἔκειντο λέγηται, μετεσχηματισμένον ἀπὸ τοῦ ἔκειτο) ἀλλ᾽ εἱστήκεσαν.

Pag. 97. l. 440. Εἰ μὴ τλημονεστάτη] καθόλου (φησὶν) εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, οὐκ ἄν ποτε ταῦτα ἐπέστειλεν ἐπὶ τιμῇ τοῦ παιδὸς, ὃν αὐτὴ ἀνεῖλεν. εἰκὸς οὖν αὐτὴν τοῦτο ἐπί τινι λυσιτελοῦντι προστέλλειν· ᾧ μὴ ὑπουργήσῃς σύ.

l. 443. Εἴ σοι προσφιλῶς αὐτῇ] σκέψαι γὰρ εἰ σοὶ αὐτῇ δοκεῖ ὁ νέκυς δέξασθαι ἐν τοῖς τάφοις προσφιλῶς τάδε τὰ δῶρα.

l. 446. Ἐμασχαλίσθη] ὑπὸ τὰς μασχάλας ἔλαβε τὰ ἄκρα, ἀντὶ τοῦ ἠκρωτηριάσθη. ἢ ἐπεὶ εἰώθεσαν εἰς τὰς κεφαλὰς τῶν ἀναιρουμένων ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. κάρα δὲ, κατὰ τὴν κεφαλὴν ἑαυτοῦ δηλονότι. τὸ δὲ ἐξέμαξεν, ἐπὶ τοῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήστρας. καὶ τὸ κάρα αὐτοῦ, τὰς κηλῖδας τούτου τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν. οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον, ἐπεὶ φησὶν ἐκεῖνος, Δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ. ἤρκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι.

ματι. τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτῃ τῆς ὑποθέσεως. Ἄλλως. εἰώθεσαν οἱ δρῶντες ἐμφύλιον φόνον, ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποταμνόμενοι, καὶ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείροντες· διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν ἐς ὕστερον τὶ δεινὸν παρ' ἐκείνων. ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα ὃ καὶ μασχαλισθῆναι ἔλεγον. Ἄλλως.

l. 447. Κηλῖδας ἐξέμαξεν] ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλῖδας, ἢ τῇ τοῦ φονευομένου, ὥσπερ τὰς ἐπὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι. Ἄλλως. ἐπὶ ταῖς καθάρσεσι τῶν φονευθέντων τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὰς μασχάλας αὐτῶν ἐκρέμαζον αὐτά, ἵνα (φασὶν) ἀσθενεῖς γένοιντο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. καὶ Ἀπολλώνιος, Ἐξάργματα τέμνε θανόντος, ὁ Ἰάσων τοῦ ἀψύρτου.

l. 449. Ἀλλὰ ταῦτα μὲν μέθες] προοικονομικῶς ἀποστέλλει αὐτὴν εἰς τὸν τάφον ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου.

l. 452. Ἀλιπαρῆ τρίχα] περιπαθῶς μέν, τὸ τῆς πενίας· τὸ δὲ ἀλιπαρῆ, ἀντὶ τοῦ αὐχμηρόν. ἐν δὲ τῷ ὑπομνήματι, λιπαρῆ· ὅ ἐστιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.

l. 453. Καὶ ζῶμα τοὐμόν] σύμφωνον τοῦτο τῷ, ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ. ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα. ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας. δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ τῆς ταινίας.

l. 456. Ἐξ ὑπερτέρας] ἀντὶ τοῦ ἰσχυροτέρας, μετὰ δυνάμεως μείζονος.

l. 464. Κοινῷ πατρὶ] τῷ σῷ καὶ ἐμῷ.

l. 467. Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον] οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν. δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι. ἢ τό, οὐκ ἔχει λόγον, ἀντὶ τοῦ οὐ παρέχει πρόφασιν. Ἄλλως. οὐδισταγμοῦ (φησὶ) καὶ ἀμφιβολίας προσδεῖται τοῖς δύο, πότερον δεῖ τούτων ποιεῖν ἢ προαιρεῖσθαι.

l. 468. Ἀλλ' ἐπισπεύδειν] ἀλλὰ παρέχει σπεύδειν ἐπὶ τὸ δρᾶν. σπεύδω ἐπὶ τόδε, ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω.

l. 470. Σιγὴ παρ' ὑμῶν] εὐλαβὴς οὖσα ἡ χρυσόθεμις κρύπτειν ἀξιοῖ τὸν χορόν.

l. 471. Ὡς εἰ τάδ' ἡ τεκοῦσα] ὅτι εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα, ἀλγεινὴν νομίζω εἰς τὸ ἑξῆς τολμήσειν ἐμὲ τήνδε τὴν πεῖραν, ἤγουν εἰς ἄλγος ἐμὸν τολμήσειν τήνδε τὴν ἐπιχείρησιν, εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα. ὀφείλει δὲ μᾶλλον οὕτω λέγεσθαι, πικρὰν δοκῶ ἐγὼ τολμήσειν τήνδε τὴν πεῖραν. ὅμοιον δέ, ὡς κἀμ' ἐπαυχῶ.

l. 474. Εἰ μὴ ἐγὼ παράφρων] ἀνόητος ὁ χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος, θαρρεῖν παραινεῖ τὴν ἠλέκτραν.

l. 477. Εἶσιν ἁ πρόμαντις] ἡ προμαντευομένη τὰ μέλλοντα, ἢ τοῖς συνετοῖς προγιγνωσκομένη.

l. 478. Δίκαια φερομένα] δίκαια φερομένη κράτη χεροῖν. ἤγουν ἰσχὺν δικαίαν ἐπιφερομένη διὰ τῶν χειρῶν.

l. 479. Μέτεισιν] μέτεισι, φησί, παρέχουσα τούτοις δύναμιν ὡς χειρώσασθαι τοὺς ἐχθρούς. Ἄλλως. μέτεισι, κολάσει, οὐ διὰ μακροῦ χρόνου.

Pag. 99. l. 482. Οὐ γάρ ποτ' ἀμνηστεῖ] οὐ γὰρ ἀμνημονεῖ (φησὶ) τῶν τολμηθέντων καθ' ἑαυτοῦ ὁ βασιλεύς, ἀλλ' ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν.

l. 484. Χαλκόπληκτος] ἀπὸ κοινοῦ τὸ ἀμνηστεῖ. οὐδ' ἀμνημονεῖ (φησὶν) ἡ χαλκόπληκτος γένυς, ἡ ἐλοῦσα αὐτόν, ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων. χαλκόπληκτος δὲ λέγεται ὑπὸ χαλκοῦ πληγείς· ἐνταῦθα δὲ χαλκόπληκτος γένυς, ἡ ὑπὸ χαλκοῦ ἠλασμένη. παλαιὰ δὲ ἀναφέρεται πρὸς τὴν πρᾶξιν ἥτις πάλαι ἐγένετο.

l. 487. Αἰκίαις] ὕβρεσιν. αἰκία, ὕβρις, ἀπὸ τοῦ μὴ ἐοικέναι· ἀφ' οὗ καὶ τὸ ἀεικής. Γένυς δέ, εἶδος πελέκεως.

l. 491. Ἥξει δὲ καὶ πολύπους] ἡ ἐριννὺς ἡ ἐκείνου τῷ φόνῳ ἀκολουθήσουσα. οὕτως ἐν τῷ ὑπομνήματι. Πολύπους, ἐν ὑπερβολῇ τοῦτο εἴρηκεν· ἐν δὲ τῷ ὑπομνήματι κεῖται πολύπαις. ἐπεὶ γὰρ (φησὶν) ἐν τῷ Ὀρέστῃ τὴν πᾶσαν ἐλπίδα ἔχουσι, τὸ πολύπαις ἐν ὑπερβολῇ εἴρηκεν, ἡ πολλὰ κακὰ τίκτουσα.

l. 494. Χαλκόπους] ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων.

l. 495. Ἄλεκτρ', ἄνυμφα] δύσλεκτρα καὶ κακόνυμφα. ἀντὶ τοῦ μὴ νενομισμένα, ἀλλὰ παράνομα, διὰ τὴν μοιχείαν.

l. 496. Μιαιφόνων γάμων] ἤτοι ἐπὶ τῆς ἐριννύος ἐστὶν ὁ λόγος. ἐπειδὴ γὰρ ἐπὶ ἁμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα, ἐπειδὴ δὲ τούτοις οἷς οὐ θέμις, οὓς οὐκ ἐχρῆν εἰς γάμον ἤγαγεν ἡ ἐριννύς. διόπερ καὶ νῦν αὐτῶν μετελεύσεται. ἢ ἐπὶ τῆς κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον. τὸ δὲ, Οἷσιν οὐ θέμις, ἐπὶ τῶν γάμων. φησὶν οὖν ὅτι ἐπειδὴ γάμοις ἡ κλυταιμνήστρα οἷς οὐκ ἔπρεπε.

l. 497. Πρὸ τῶνδέ τοι μ' ἔχει] τὸ τοι σύνδεσμος παραπληρωματικός. λείπει δὲ τὸ ἐλπὶς, ἢ θάρσος με ἔχει, μὴ περὶ τούτων τῶν προειρημένων (αἴγισθον φησὶ καὶ κλυταιμνήστραν) τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν. ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. Ἄλλως. θαρρῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος. παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. Ἄλλως. ὑπὲρ τῶνδε ἔχει ἐμὲ τοῦτο μή ποτε πελᾶν. ἤγουν πλησιάζειν ἡμῖν τοῖς δρῶσι, καὶ τὰ ἑξῆς. τὸ δὲ τέρας ἀντὶ τοῦ σημείου.

l. 493. Τέρας] τὸ τοῦ ὀνείρου τέρας λέγει.

l. 496. Τοῖς δρῶσι καὶ συνδρῶσιν] ὑμῖν ταῖς δρώσαις ὑπὸ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις.

l. 497. Ἤτοι μαντεῖαι] ἢ μαντεῖαι ἀνθρώπων οὐκ εἰσὶν ἐν ὀνείροις δεινοῖς, ἀντὶ τοῦ ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις, ἤγουν χρησμοῖς, ἀληθεύουσιν, εἰ μὴ τὸ φάσμα τόδε τῆς νυκτὸς εὖ κατασχήσεται, ἀντὶ τοῦ εὖ ἕξει.

l. 498. Ἐν δεινοῖς ὀνείροις] τοῖς ἐκφοβοῦσι τοὺς ὁρῶντας ὅταν ὦσι δεινοί.

l. 499. Θεσφάτοις] τοῖς τῶν ὀνείρων.

l. 500. Εὖ κατασχήσει] οὐ τοῖς ἑωρακόσιν. ἀλλὰ τῇ Ἠλέκτρᾳ.

l. 505. Ὦ πέλοπος] ὡς ἦν καὶ τὸ πρῶτον, πολύφθορόν τε δῶμα πελοπιδῶν τόδε. φησὶ δὲ φερεκύδης ὅτι πέλοψ νικήσας τὸν ἀγῶνα, καὶ λαβὼν τὴν ἱπποδάμειαν, ὑπέστρεφεν ἐπὶ τὴν πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τοῦ μυρτίλου. καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν πειρῶντα πρὸς τὸ φιλῆσαι αὐτὴν, ἔρριψεν εἰς θάλασσαν.

l. 506. Πολύπονος ἱππεία] πολύπονος γενομένη πᾶσιν ἀργείοις· καὶ ἑρμηνεύει αὐτὸ, λέγων, ὡς ἔμολες αἰανῆ τᾷδε γᾷ. αἰανὴ δὲ, θρηνητική· ἐξ οὗ γίνεται αἶ, αἶ. ἱππασία παρὰ τοῖς κοινοῖς· ἱππεία δὲ καὶ ἱπποσύνη παρὰ τοῖς ποιηταῖς.

l. 509. Εὖτε γὰρ ὁ ποντισθεὶς] ὁ νοῦς τοιοῦτός ἐστιν, ἀφ' οὗ ὁ μυρτίλος ἀπέθανεν, οὐ διέλιπεν αἰκία τοὺς πολυκτήμονας δόμους· ὁ γὰρ ἑρμῆς πατὴρ μυρτίλου ἐμήνισε τοῖς πελοπίδαις.

l. 511. Αἰκίαις] αἰκισμοῖς, ὕβρεσι.

l. 512. Πρόρριζος] ἀντὶ τοῦ παντάπασιν.

Pag. 101. l. 517. Ἀνειμένη] ἄνεσιν ἔχουσα. πανταχόθεν δὲ διαφόροις ἐξαλλαγαῖς τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής.

Στρέφῃ] ἀναστρέφῃ. γράφεται τρέφῃ, ἀντὶ τοῦ διάγεις.

l. 519. Αἰσχύνειν] ἀντὶ τοῦ καθ' ὑμῶν λέγειν. Ἄλλως. ὅς ἐπεῖχέ σε μὴ αἰσχύνειν τοὺς φίλους. ἁρμόζει δὲ καὶ χωρὶς τοῦ μὴ λέγεσθαι, ὃς ἐπεῖχέ σε αἰσχύνειν τοὺς φίλους. ἔνθα τὸ ἐπεῖχε, τὸ ἐκώλυε μόνον δηλοῖ. ἐν δὲ τῷ ἐπεῖχε μὴ αἰσχύνειν, ἀντὶ τοῦ κωλύειν ἐποίει, λαμβάνεται.

l. 527. Τέθνηκεν] ἐδύνατο δὲ λέγεσθαι καὶ μετὰ μετοχῆς, τεθνηκὼς πατήρ.

Ἐξ ἐμοῦ] καλῶς. ἴδιον ῥητορικῆς, τὸ μὴ ἀρνεῖσθαι μὲν, πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν. οὐχ ὡς δίκαια δὲ προστιθούσης συνηγορεῖ ὁ ποιητὴς, ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον.

l. 540. Πότερον ἐκείνῳ παῖδες] λαμβάνονται τινὲς τοῦ ποιητοῦ ἐκ τῶν ὁμηρικῶν· ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ μενελάῳ τὴν ἑρμιόνην φησίν, οὗτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγονέναι. ὅμως συμφωνεῖ τῷ ἡσιόδῳ, λέγοντι, Ἡ τέκεθ' ἑρμιόνην δουρικλυτῷ μενελάῳ, Ὁπλότατον δ' ἔτεκεν νικόστρατον, ὄζον ἄρηος. οὐ περὶ μεγάλων δὲ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν. ὥστε οὐ πάνυ δεῖ αὐτοῖς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων, ἅπερ παρατηρεῖν ἐχρῆν. ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο, ὅτι συνέφερε τῷ λόγῳ τῆς κλυταιμνήστρας.

Παῖδες δίπλοῖ] ἑρμιόνη καὶ νικόστρατος.

l. 543. Ἡ τῶν ἐμῶν ἅδης] τὸ ἑξῆς, ἢ τῶν ἐμῶν τέκνων δαίσασθαι πλίον ἵμερόν τινα ἅδης ἔσχεν ἢ τῶν ἐκείνης.

l. 546. Παρεῖτο] ἠμέλειτο, παρῃρεῖτο.

l. 551. Δύσθυμος] μετάμελος, κακόβουλος.

l. 552. Γνώμην δικαίαν] ἀντὶ λογισμῷ χρησαμένη δικαίῳ. τότε δηλονότι.

Τοὺς πέλας ψέγε] ἡμᾶς, μὴ τὸ πᾶν ὀργῇ καταχαρίζομένη. τινὲς τοὺς πέλας, τοὺς περὶ Ἀγαμέμνονα ἔγνωσαν.

l. 553. Ἐρεῖς μὲν οὐχὶ νῦν] οὐκ ἂν εἴποις ὡς λυπήσασά με. τοιαῦτα ἀντακήκοας. ἐμοῦ γὰρ εἰπούσης οὐδέν, σὺ προκατῆρξω τῆς εἰς ἐμὲ λοιδορίας.

l. 557. Εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις] εἰ περὶ τῶν λόγων ἐπυνθάνου εἰ τὸ λέγειν σοι ἐφίημι, οὐκ ἂν ἦς λυπηρά.

Pag. 103. l. 559. Πατέρα φὴς κτεῖναι] ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον. καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴγε δικαίως. δεύτερον, ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα αἰγίσθῳ. δείκνυσι δὲ ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσε τὴν ἰφιγένειαν ἐν τῇ αὐλίδι

l. 560. Αἰσχίων ἔτι] ἀντὶ τοῦ ἀκμὴν παρὰ τοῖς κοινοῖς. οἷον, ἔτι νέος ἐστί, καὶ, ἔτι ποιῶ τόδε. λέγεται δὲ καὶ ἀντὶ τοῦ ἐπὶ τούτῳ. λέγεται καὶ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς, οἷον οὐ μὴ ἔτι ποιήσω τόδε. ἔστι καὶ περιασσὸν, ὡς ἐνταῦθα.

l. 562. Ὡς οὐ δίκην γ' ἔκτεινας] ἐναντίον τὸ, ἡ γὰρ δίκη νιν εἷλε, τὸ ὡς οὐ δίκῃ γ' ἔκτεινας.

Ἀλλὰ σ' ἔσπασε πειθὼ] αὕτη γὰρ ἀπόδειξις, οὐ διὰ τὴν θυγατέρα, ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν.

Ἔσπασε] παρήγαγε, παρέπεισεν.

Τίνος ποινῆς] λείπει ἡ διά.

l. 568. Ἐξεκίνησεν] ἐξεδίαξεν.

l. 576. Κἀντιβὰς] ἀντιπαραταττόμενος, καὶ μὴ βουλόμενος. διὰ δὲ τῆς λέξεως δηλοῖ τὸ ἀκούσιον τῆς περαιρέσεως. ἀντιβαίνειν δὲ καὶ ἀντισπᾶν καὶ ἀντιτείνειν, ταυτὸν παρὰ δὲ τοῖς κοινοῖς, ἀντιπατεῖν.

l. 378. Εἰ δ' οὖν (ἐρῶ γὰρ καὶ τὸ σόν] πιθανῶς κατασκευάζει, ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλου ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομοθετεῖς.

l. 582. Μετάγνοιαν] ἀντὶ τοῦ μετάνοιαν, τουτέστι μεταμέλειαν. ἄνοια, ἡ παντελὴς ἀφροσύνη· ἄγνοια δὲ ἑνός τινος πράγματος. μετάνοια δὲ καὶ μετάγνοια ταυτὸν, πλὴν ὅτι τὸ μὲν ἐστὶν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, τὸ μετάνοια· τὸ δὲ μετάγνοια παρὰ τοῖς ποιηταῖς.

l. 584. Πρώτη θάνοις ἂν] ἀντὶ τοῦ Ἀγαμέμνονος.

l. 585. Ἀλλ' εἰσόρα] ὅρα (φησὶ) μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κομίζῃ τὴν πρόφασιν.

l. 588. Παλαμναίῳ] φονεῖ. παλαμναῖος, ὁ ταῖς οἰκείαις χερσὶ φόνον ἐργασάμενος.

l. 591. Ἐκβαλοῦσ' ἔχεις] ἐξέβαλες, ἀπέρριψας, ἐδίωξας.

l. 596. Ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε] ἐπεὶ πάνυ αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ, ὥσπερ ἐπιλαμβανομένη αὐτῆς, κἀκείνην ἐκμειλισσομένη, φησὶν ὅτι οὐδὲ νουθετεῖν σε δεῖ. χαλεπαίνεις γὰρ ὡς λοιδορουμένη. τὸν ἔλεγχον δὲ νουθεσίαν ὠνόμασεν.

Pag. 105. l. 608. Εἴτε στόμαργον] εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδὴς (ὡς φὴς) οὐ καταισχύνω σου τὴν φύσιν, ἐλάττων σου οὖσα· ἀλλ' ὁμοία σοι φανήσομαι. ζηλῶ σε. (φησὶν) ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος αἴγισθον, ἔθρεψας, οὕτω κατὰ σοῦ τὸν ὀρέστην ἐγώ.

l. 610. Σχεδόν τι] ἴσως καὶ ἀντὶ τοῦ πάντως.

Καταισχύνω] ἐξουθενημένην ποιῶ τὴν σὴν φύσιν, ἐπεὶ καὶ αὕτη οὐκ ἀμέτοχος τούτων ἐστίν.

l. 611. Ὁρῶ μένος πνέουσαν] ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις, φησὶν Ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν τούτου τοῦ μένους φροντίδα οὐκ ἔτι ὁρῶ γιγνομένην ὑπό τινος. ἀσχήμονας δὲ ἐς τὴν κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν, ἀντιλαμβανομένη οὖν ἐκείνη τοῦ λόγου, φησὶ, ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος;

l. 612. Οὐκ ἔτ' εἰσορῶ] ἀντὶ τοῦ οὐκ ἐννοῶ.

l. 613. Ποίας δέ μοι] ποίας γνώσεως χρεία ἐστὶν ἐμοὶ εἰς τὸ ἰδεῖν εἰ δίκαια αὕτη λέγει, ἥτις τοιαῦτα ὕβρισε τὴν τεκοῦσαν;

l. 615. Καὶ ταῦτα τηλικοῦτος] ὑποπτεύσεως, ὅτι εἰ καὶ δέοι τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' οὐ ταύτῃ παρθένῳ οὔσῃ ἔπρεπε τηλικαύτῃ.

l. 616. Αἰσχύνης ἄτερ] ἀντὶ τοῦ ἀναισχύντως

χωρίτως. τὸ χωρὶς, τὸ ἄνευ, καὶ τὸ δίχα, κοινά. τὸ δὲ ἄτερ, ποιητικόν.

l. 619. Ἔξωρα πράσσω] κἀγὼ (φησὶ) αἰσθάνομαι ἐπονείδιστα πράσσουσα, καὶ οὐ κατὰ τὴν ἐμὴν ὥραν.

l. 620. Καὶ τὰ σὰ ἔργα ἐξαναγκάζει με] ἐμφατικώτερον τὸ ἐξαναγκάζει με, διὰ τῆς προθέσεως.

l. 623. Ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη] ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν ταῦτά φησιν ἡ κλυταιμνήστρα.

l. 627. Θράσους τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν αἴγισθος μόλῃ] πιθανῶς ἐπὶ τῶν ἀγρῶν ἔρη τὸν αἴγισθον, ὑπὲρ τοῦ παῤῥησίαν δοθῆναι τῇ κόρῃ.

l. 629. Ἐκφέρῃ] ἐκκλίνεις. τὸ ἐκφέρεσθαι, κυρίως ἐπὶ νεκροῦ λέγεται, καὶ ὅταν φέρῃ τινα ἵππος ἔξω τῆς εὐθείας ὁδοῦ· ἀφ' οὗ κατὰ μεταφορὰν λέγεται ἐνταῦθα τὸ πρὸς ὀργὴν ἐκφέρῃ.

l. 630. Χρῄζοιμι] θέλοιμι. χρῄζω, τὸ χρείαν ἔχω καὶ τὸ θέλω· ὧν τὸ μὲν συντάσσεται γενικῇ, τὸ χρείαν ἔχω τὸ δὲ θέλω, αἰτιατικῇ.

l. 931. Οὔκουν ἐάσεις] οὐκ ἐμμένεις οἷς πρότερον εἶπα; ἔφη γὰρ, καὶ μὴν ἐφίημι. πιθανῶς δέ. οὐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμοῦσθαι τὸν ἡττώμενον.

l. 633. Ἔα, κελεύω· θῦε, μηδ' ἐπαιτιῶ] δεῖ γὰρ καὶ προκόπτειν τὴν ὑπόθεσιν. διὸ οὐ ποιεῖται πλείονας ἀντιῤῥήσεις.

l. 635. Ἔπαιρε δὴ σύ] πρὸς θεράπαιναν φησί.

Θύμαθ'] θυμιάματα.

l. 636. Πάγκαρπα] ἐπίπαν ὅσα ὡραῖα θύουσι τοῖς θεοῖς.

l. 637. Εὐχὰς ἀνάσχω] ἀναπέμψω. ἀνέχω, ἐπὶ εὐχῆς, τὸ ἀναπέμπω· ἀνέχω, ἐπὶ χειρῶν, ἀντὶ τοῦ ὑψῶ· ἀνέχω, ἐπὶ βάρους, ἀντὶ τοῦ βαστάζω. ἀνίσχει δὲ ὁ ἥλιος, ἀντὶ τοῦ ἀνατέλλει. καὶ ἀνίσχει ἡ βοτάνη, ἀντὶ τοῦ βλαστάνει. ἀνίσχομαι δὲ παθητικῶς, τὸ ὑπομένω.

l. 638. Κλύοις ἄν] ἐπάκουε. ἐπὶ γὰρ μεγάλων προσώπων, ἐφ' ὧν ἐδόκει βαρὺ τὸ φανερῶς προστάττειν, ἐχρῶντο οἱ ἀττικοὶ εὐκτικῷ μετὰ τοῦ ἄν, ὡς ἐνταῦθα.

Προστατηρίου] ὅτε πρὸ τῶν θυρῶν ἵδρυται.

l. 638. Βάξιν] λόγον.

Οὐ γὰρ ἐν φίλοις] οὐκ εἰς τὸν χορὸν ἀποτείνεται, ἀλλ' εἰς τὴν Ἠλέκτραν.

l. 642. Σπείρῃ ματαίαν] τὸ ματαίαν οὐκ ἔστι ψευδῆ, ἀλλ' ἀνωφελῆ. τί γὰρ πράξει τοὺς κρατοῦντας διαβάλλουσα, ματαίαν γοῦν, κενὴν λέγει, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι.

l. 643. Ἀλλ' ὧδ' ἄκουε] οὕτως ἐμοῦ λεγούσης.

Τῇδε γὰρ] ἀντὶ τοῦ τούτῳ τρόπῳ.

Δισσῶν ὀνείρων) ἢ, διπλῆν ἐχόντων φύσιν, ὡς καὶ Ὅμηρος, Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων. δύναται δὲ τὸ δισσῶν καὶ ἀριθμὸν ἐμφαίνειν, ὡς δύο αὐτῆς ὀνείρους θεασαμένης· καὶ τὸ μὲν ἕν, φάσμα ἡγησαμένης εἶναι, ὑπὲρ οὗ καὶ πέπομφεν, ἀποτρεπτασθησομένη τὴν χρυσόθεμιν. τάχα δὲ καὶ ἕτερον αὐτὴν κεκίνηκεν, ὑπὲρ οὗ καὶ εὔχεται τῷ ἀπόλλωνι. ὅπερ οὐδὲ ἐξεῖπε πρός τινι, οὐδὲ πρὸς τὸν ἀπόλλωνα. ἢ δισσῶν ὀνείρων, τῶν ἀμφιβόλων καὶ δισσοποιῶν ἔλυσε δὲ αὐτὸ, εἰποῦσα. Εἰ μὲν πέφυκεν ἐσθλὰ, δὸς τελεσφόρα εἰ δ' ἐχθρὰ, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.

Pag. 107. l. 651. Ἀλλ' ὧδέ μ' ἀεὶ ζῶσαν] τὸ ὅλον ὑπὲρ τοῦ αἰγίσθου εὔχεται. διὰ δὲ τοῦ πληθυντικοῦ τοῦ φίλους τὸ τολμηρὸν τοῦ λόγου ἐπεκάλυψεν.

l. 652. Ἀμφέπειν] τὸ γὰρ διέπειν, εὐθετεῖν· περιέπειν δὲ, τὸ φίλον τινὰ κυβερνᾶν καὶ σκέπειν.

l. 653. Φίλοισί τε ξυνοῦσαν] ἀκατάλληλον φαίνεται τὸ ὅλον, ἐὰν μὴ ᾖ τὸ οἷς ξυνεῖμι νῦν, ἀπὸ κοινοῦ λαμβανόμενον. φίλοισί τε καὶ τέκνοις συνοῦσαν, οἷς ξύνειμι νῦν. τὸ δὲ δύσνοια, ἀπ' αὐτῶν εἰς ἐμέ ἢ ἀπ' ἐμοῦ εἰς αὐτούς.

l. 654. Εὐημεροῦσαν] ἑκάστην ἡμέραν εὖ διάγουσαν

l. 658. Τὰ δ' ἄλλα πάντα] τὰ περὶ τῆς τελευτῆς ὀρέστου ἔοικεν εὔχεσθαι. ζητοῦσι δὲ διὰ τί ἐνταῦθα μὲν οὐκ ἐμφαίνει περὶ τοῦ ὀρέστου; ὕστερον δὲ τοῦ ἀγγέλου ἐλθόντος φαίνεται ἐφηδομένη. ῥητέον οὖν ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα, τότε δ' ὡς κατὰ ἀποθανόντος παῤῥησιάζεται ἄφοβος γενομένη.

l. 659. Ἐπαξιῶ] ἀξιῶ. παρακαλῶ, ἀξιῶ ποιεῖν τόδε, καὶ ἀξιῶ σε τοῦδε, καὶ ἀμφότερα ἀντὶ τοῦ ἄξιον κρίνω. ἀξιῶ δὲ, τὸ παρακαλῶ· καὶ συντάσσεται αἰτιατικῇ μόνῃ.

l. 661. Ξεῖνα γυναῖκες] ὁ παιδαγωγὸς ἥκει πλασάμενος τὰ περὶ τοῦ θανάτου ὀρέστου. τὸ δὲ ἦθος αὐτοῦ μέσον ἐστὶν, οὔτε ἐποικτιζομένου παντάπασιν, οὔτε ἡδομένου, ἀλλ' ὡς ξένου. εὐκαίρως δὲ ἥκει, ἔξω οὐσῶν ἀμφοτέρων· πρῶτον, ἵνα μὴ δισσολογίη, πρὸς ἀμφοτέρας ἀπαγγέλλων· δεύτερον, πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων. πιθανῶς δὲ ἐρωτᾷ ὡς ἀγνοῶν.

l. 665. Πρέπει γὰρ ὡς τύραννος] στοχάζεται ἐκ τῆς στολῆς καὶ τῶν βασιλείων.

l. 669. Ἐδεξάμην] λείπει ἡ ἀπὸ, ἵν' ᾖ, ἀπεδεξάμην.

l. 676. Τί φῄς, τί φῄς] οἱ ἡδέως ἀκούοντες λόγου, κἂν πάνυ σαφῶς ἀκούσωσι, δὶς καὶ τρὶς τὰ αὐτὰ ἀκούειν βούλονται.

Μὴ ταύτης κλύε] ἤγουν, μὴ διὰ ταύτην φυλάξῃ εἰπεῖν τὰ ἑξῆς.

l. 680. Τῷ τρόπῳ διόλλυται] ἴδιον καὶ τοῦτο τῶν ἡδομένων. μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος ἡδόμενοι πυνθάνονται. ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λέγων ἑλληνικοῦ.

l. 683. Δελφικῶν ἄθλων χάριν] οὔπω ἦν ἐπὶ ὀρέστου ὁ πυθικὸς ἀγών.

l. 687. Δρόμου δ' ἰσώσας] τοῦ ἐκ ποδὸς δρόμου. τινὲς δολιχόν φασιν ἀγωνίσασθαι ὀρέστην (ὅς ἐστιν εἴκοσι στάδια) εἴκοσι ἐτῶν ὄντα· ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο. Ἄλλως. Δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα, ἤγουν, οὐκ ἐλλιπὼν κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι, κατὰ τὴν αὐτοῦ φύσιν τῆς νίκης ἔτυχεν. ἀλλ' ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἐπὶ τῇ μορφῇ. ἀντὶ τοῦ, ὡς θαυμαστὸς ἐπὶ τῇ μορφῇ, οὕτω καὶ τῷ ἔργῳ, ἐφάνη· ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ ἐπὶ τῷ ἔργῳ.

Pag. 109. 693. Πένταθλ' ἃ νομίζεται] ἅλμα, δίσκον, ἄκοντα, δρόμον πάλην. ταῦτα ἐν μιᾷ τις ἠγωνίζετο ἡμέρᾳ.

l. 698. Ὅταν δέ τις θεῶν] ὅμοιον τούτῳ τὸ πινδαρικὸν, Θεὸς ὁ καὶ πτερόεντ' αἰετὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται δελφῖνα.

l. 703. Εἰσῆλθε πολλῶν] φιλοτίμως διὰ πιθανότητα ταῦτα ἐπεξεργάζεται.

l. 706. Κἀκεῖνος ἐν τούτοισιν] ὁ ὀρέστης.

l. 708. Λεύκιππος αἰνειᾶν] ἐμοὶ δοκεῖ ὄνομα εἶναι. οὐδὲν γὰρ ἄτοπον ἐπίθετον εἶναι. ὄνομα γὰρ κύριον οὐ περιτίθηκε, πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον. ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται· οἱ δὲ, αἰνειᾶν, τῶν θεσσαλῶν, ἢ θρακῶν. Ὅμηρος. Τῷ δ' ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε περαιβοί.

l. 709. Ἔνατος] ἐννέα, δύο νν· ἔνατος, ἕν.

Ἀθηνῶν τῶν θεοδμήτων ἄπο] προσχαρίζεται τοῖς ἀθηναίοις, ἐν ἀθηναίοις λέγων.

l. 718. Ὡς ὑπέρβαλλοι χνοαῖς τις αὐτοῦ] οἷον πρῶτος τοῦ δρόμου γενέσθαι χνόας δὲ, τὰς τοῦ ἄξονος σύριγγας, καὶ τὰ ἱππικὰ φρυάγματα. ἀπὸ δὲ μέρους τὸ ὅλον ἅρμα. σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος. καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται. λείπει δὲ τὸ ἐλαύνων. τὸ δὲ χνόας, βαρέως. τὰ γὰρ εἰς η δισύλλαβα τῷ ο παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα ὧν προηγεῖται δασὺ, βαρύνεται, χνόη, φθόη, χλόη. τὸ δὲ πνοὴ, οὐκ ἔχει δασύ.

Ὑπέρβαλλοι] ὑπερεκδράμοι.

l. 719. Φρυάγματα] φυσήματα, πνεύματα.

l. 722. Στήλην] τὸν λίθον τὸν καμπτῆρα. στῆλαι, κυβοειδεῖς λίθοι, ἐπιγράμματα τινῶν ἔχοντες. ἐσχάτην δὲ λέγει, ἐπεὶ καὶ ἄλλαι ἦσαν ἐν τῷ μέσῳ τοῦ δρόμου.

l. 723. Ἔχριμπτ' αἰὲν] ὅ ἐστι, προσεπέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ.

Σύριγγα] τὴν ὀπὴν τοῦ τροχοῦ.

l. 724. Σειραῖον ἵππον] τὸν ἔξω τοῦ ζυγοῦ, τὸν δεξιόν· προσκείμενον δὲ τῷ καμπτῆρι ἀριστερόν.

l. 726. Ἄστομοι] σκληρόστομοι.

l. 727. Ἐκ δ' ὑποστροφῆς] ἐξ ὑπαντήσεως ἐκείνων ὑποστρεφόντων.

l. 729. Βαρκαίοις ὄχοις] τοῖς λιβυκοῖς. βάρκη γὰρ πόλις λιβύης, ἡ νῦν πτολεμαῒς καλουμένη.

l. 732. Ναυαγίων] τῶν πτωμάτων.

l. 733. Γνοὺς δ' ὁ ὐξ ἀθηνῶν δεινὸς ἡνιοστρόφος] ἀντὶ τοῦ ἔμπειρος· πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς ἀθηναῖον.

l. 734. Ἔξω παρασπᾷ] φυλαξάμενος.

μένος (φησὶ) τούτοις συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν παρασπᾷ.

Κἀνακωχεύει] ἀναστρέφει, κατέχει. ἀνακωχεύειν γὰρ κυρίως λέγεται ὅταν χειμῶνος ὄντος ἐν τῷ πελάγει, στείλαντες τὰ ἄρμενα, σαλεύωσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα, καὶ ὕστερον ἠρέμα ἤλαυνε.

Pag. 111. l. 736. Πώλους] πῶλος λέγεται ἀρσενικῶς καὶ θηλυκῶς.

Τῷ τέλει πίστιν φέρων] ἤγουν πιστεύων ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται. ἢ νομίζων ἕως τοῦ τέλους οὕτως ἐλαύνειν.

l. 739. Κἀξισώσαντες ζυγὰ] ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος.

l. 744. Λύων ἡνίαν] χαυνῶν· διὰ τὸ συμπεπλέχθαι.

l. 746. Ἔθραυσε δ' ἄξονος μέσας χνόας] τὸ λεπτὸν μέρος τοῦ ἄξονος, τὸ περιβαινόμενον ὑπὸ τῆς χοινικίδος. εἴρηται δὲ ὁμοίως τὸ παρ' Ἀπολλωνίῳ, Ἀξόμενος πλήμνῃσι παρακλιδὸν αἰνυμένοιο.

l. 752. Λασχάνει] γράφεται καὶ τυγχάνει.

l. 756. Ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα] καὶ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος, ἵνα πάλιν τὸ περιπαθὲς εἴη τῇ Ἠλέκτρᾳ.

Αἱματηρὸν] ᾑμαγμένον. αἱματηραὶ γὰρ σταγόνες, αἱ ἀπὸ αἵματος στάζουσαι· ᾑμαγμέναι δὲ, τῷ αἵματι μεμιγμέναι.

l. 758. Ἐν βραχεῖ χαλκῷ] ἀγγείῳ. ἡ εὐθεῖα ὁ βραχὺς χαλκὸς, ὃ δηλοῖ τὴν οὐσίαν τοῦ χαλκοῦ καὶ τὴν ὕλην. ἀπὸ δὲ τῆς ὕλης ἐνταῦθα δηλοῦται τὸ ἀγγεῖον τὸ ἐκ τῆς ὕλης.

l. 759. Μέγιστον σῶμα δειλαίας σποδοῦ] ἀντίπτωσις, ἀντὶ τοῦ, σποδὸν δειλαίαν μεγίστου σώματος.

l. 766. Ω Ζεῦ] ὡς μὲν γυνὴ κεκίνηται ἐπὶ τῷ πάθει, πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα, ἥδεται. διὰ δὲ τὸν χορὸν, ἀλγεῖν ὑποκρίνεται.

l. 777. Φυγὰς] ἀντὶ τοῦ φυγών. φυγάδες γὰρ κυρίως οἱ διωχθέντες ἀπὸ τῆς οἰκείας πατρίδος.

Pag. 113. l. 782. Ω προστατῶν χρόνος] ὁ ἐπιγενόμενος.

l. 786. Ξυνοίκος ἦν μοι] τοῦτο οἰκονομικῶς. εἰ γὰρ ἀπορήσασα ἐπὶ τοῖς ἠγγελμένοις, ἀπέκλεισεν ἑαυτὴν, διελύετο ἂν ἡ ὑπόθεσις.

l. 788. Ἡμερεύσομεν] διημερεύσομεν. διημερεύω, τὸ τὴν ἡμέραν διαβιβάζω. οὕτω καὶ διανυκτερεύω· ἐνταῦθα δὲ τὸ διημερεύσομεν ἀντὶ τοῦ βιώσομεν.

l. 799. Πολλῶν ἂν ἄξιος] ἄξιος ἂν εἴης ὦ ξένε διὰ τὴν ὁδὸν ἣν ἦλθες, τυχεῖν πολλῶν ἀγαθῶν.

l. 802. Πορεύσαντος] ἀποστείλαντος. πορεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον, ἀντὶ τοῦ ἄγω. ὡς παρὰ Πλάτωνι, ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι. ἀντὶ τοῦ ἀγαγεῖν. ἐνταῦθα δὲ πορεύσαντος ἀντὶ τοῦ πέμψαντος, λέγεται.

l. 803. Ἀλλ' εἴσιθ' εἴσω] περιττὸν τὸ εἴσω. τὸ γὰρ εἴσιθι τὸ εἴσω ἐλθὲ δηλοῖ. εἰσῆλθε δὲ εἰς τὴν οἰκίαν, λέγεται κατὰ λόγον. τὸ γὰρ εἰσῆλθε, δηλοῖ μὲν τὸ εἴσω ἦλθεν, οὐ μὴν καὶ ὅποι εἰσῆλθεν ὡρισμένως· διὸ ἐπάγεται εἰς τὴν οἰκίαν, ἢ εἰς τὴν πόλιν, καὶ οὐ δοκεῖ φορτικόν.

Pag. 115. l. 824. Ποῦ ποτε κεραυνοὶ Διὸς] ἐν τοῖς ἔμπροσθεν παραμυθούμενος ὁ χορὸς τὴν Ἠλέκτραν, ἔλεγε, θάρσει μοι τέκνον, θάρσει. ἔστι μέγας ἐν οὐρανῷ Ζεὺς, καὶ τὰ ἑξῆς. νῦν οὖν πανταχόθεν ἀπεγνωσμένης τῆς σωτηρίας, καὶ προστεθείσης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν, καὶ ὅλως ἀμφιβάλλειν εἰ ὅλως ἐν οὐρανῷ εἰσιν, εἴγε περιορῶσι τοιαῦτα γιγνόμενα. καὶ τὸν μὲν ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβεν· τὸν δὲ Δία, ὡς πάντων δεσπότην ὄντα. δεῖ δὲ τὴν ὑποκριτὴν ἅμα τῇ βοῇ ἀναβλέψαι τε εἰς οὐρανὸν, καὶ τὰς χεῖρας ἀνατεῖναι. ὃ δὴ κωλύει ὁ χορὸς, Μηδὲν μέγ' ἀΰσης.

l. 825. Φαέθων] ἐπίθετον ὄνομα ἐνταῦθα, ἀντὶ τοῦ λάμπων. λέγεται δὲ Φαέθων καὶ ὁ υἱὸς τοῦ ἡλίου καὶ ὁ ἕτερος τῶν ἵππων αὐτοῦ.

l. 826. Εἰ ταῦτ' ἐφορῶντες κρύπτουσιν] ἤγουν, οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν.

l. 828. Ε ἒ, αἶ αἶ] θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν. ἐλεεινὸν δὲ λίαν τὸ τοιοῦτον μέρος.

l. 832. Ἀπολεῖς με] ἀποκναίεις με (φησὶν) ἐν τοῖς ἀθεραπεύτοις παρηγοροῦσα. δαιμονίως δὲ τοῦτο ἐπήγαγεν. οὐ γὰρ ἀμελήσασα τῆς ἀπὸ χοροῦ ἐπιτιμήσεως, ἐρεῖ τι ἀπρεπὲς εἰς θεοὺς (ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς

θεοὺς βλασφημοῦν. καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων) ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν, ὡς ψυχραῖς, τοῦτό φησιν. οἱ δὲ ἐν τοῖς περιφανέσι καὶ ἀθρέως πεσοῦσι πάθεσι μετειδάζειν αὐτὴν ἀξιοῦσιν.

l. 839. Οἶδα γὰρ ἄνακτ' ἀμφιάρεων χρυσοδέτοις] ταῖς διὰ χρυσοῦ γινομέναις τέχναις, τοῦ δοθέντος ὅρμου ἐριφύλῃ διὰ τὴν ἀμφιαράου ἔξοδον, διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας. Ἄλλως.

l. 840. Χρυσοδέτοις ἕρκεσιν] ἢ ἐπὶ τῶν ἁρμάτων φησὶν, ἤτοι τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις. ἅπερ ἕρκη εἶπεν, ἤτοι περιφράγματα καὶ τείχη ὧν οὐκ ἐξέφυγεν ὁ ἀμφιάραος, ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς. ἢ χρυσοδέτοις, τῷ ὅρμῳ ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος. τὸ δὲ ἕρκεσιν, οἷον τοῖς δεσμοῖς καὶ φράγμασι, καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ ὅρμου γινομένῃ.

l. 841. Γυναικῶν ἀπάταις] ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ, ἢ καθόλου τὸν χρυσὸν, γυναικῶν ἀπάτην εἶπεν. θαυμαστῶς δὲ εἴκασεν, ὅτι καὶ οὕτως διὰ γυναικῶν ἀπώλετο. Ἄλλως. οἶδα γὰρ ἄνακτ' ἀμφιάρεων, ὁ χορὸς φησὶν ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία. τιμὴν δὲ αὐτῷ φησὶν ἔσεσθαι, διὰ τὸ μαντεύεσθαι αὐτόν.

l. 843. Ε ἒ] οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους, θρηνεῖ ἡ ἠλέκτρα.

l. 844. Πάμψυχος ἀνάσσει] ἀντὶ τοῦ πασῶν ψυχῶν ἀνάσσει. αἳ δὴ ἐν χρείᾳ καθιστᾶσι τῆς ἐκείνου μαντικῆς. ἢ πάμψυχος, ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν. ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν ἀθάνατος.

l. 845. Φεῦ] μνησθεῖσα τῆς ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ, ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα.

l. 846. Φεῦ δῆτ'. ὀλοὰ γὰρ] ὁ χορὸς συγκατατιθέμενος, φησὶν ὅτι δικαίως ἀνεβόησας· ὀλοὴ γὰρ ἦν ἡ ἐριφύλη. ἆρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ χορός. ἀπέσπασε γὰρ αὐτὴν τοῦ θρηνεῖν, ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθευμα.

l. 847. Εδάμη] ἡ ἐριφύλη δηλονότι. ὁ δὲ λόγος ἀποφαντικός. ὁ χορὸς δὲ, ὡς πυνθανομένης, ἐπάγει τὸ ναί.

l. 849. Οἶδ', οἶδ'· ἐφάνη] οἶδα ὅτι ἐδάμη. ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ τουτέστι τιμωρὸς τοῦ πατρός. ἐμοὶ δὲ οὐδεὶς πάρεστιν, ἀποθανόντος Ὀρέστου. ὁ μὲν οὖν χορὸς παρέβαλε τὸν ἀγαμέμνονα τῷ ἀμφιαράῳ, ἵνα ἡ Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ πατρὸς, ὅτι τεύξεται τιμῆς τινος. ἡ δὲ φησὶν ὅτι ἀμφιάραος ὑπὸ τοῦ ἀλκμαίωνος ἔτυχε τιμωρίας. πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ τοῦ ἐμοὶ δ' οὔτις.

l. 850. Μελέτωρ] φροντιστής. ὁ ἐπιμελὴς γέγονε μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον τοῦ ἀμφιαράου.

l. 854. Δειλαία δειλαίων] καὶ τοῦτο εἶδος παραμυθίας, τὸ εἴ τι παραχωρεῖν τοῖς λυπουμένοις, καὶ συγχωρεῖν αὐτοῖς κλαίειν, ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς. Ἄλλως. εἴρηται ὑπερβολικῶς ὡς τὸ ἑορτὴ ἑορτῶν, οὕτως ἀθλιωτάτη ἀθλιωτάτων.

Κυρεῖς] ἤγουν ὑπάρχεις.

l. 855. Κἀγὼ τοῦδ' ἴστωρ] οἶδα (φησὶν) ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων.

Κἀγὼ τοῦδ' ἴστωρ] κἀγὼ τούτου ἐπιστήμων εἰμὶ, ὅτι ταλαίπωρός εἰμι.

l. 856. Πανσύρτῳ] τῷ πάντα σύροντι τὰ κακά. ἢ πανσύρτῳ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ.

Παμμήνῳ] τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία οὖν εἰμὶ, οἷον κατ' αὐτὸ τοῦτο καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνέσυρε καὶ διηνεκῆ παρέμεινεν. Ἄλλως.

Pag. 117. l. 859. Μή με νῦν μηκέτι] μηκέτι οὖν με (φησὶ) παρηγορήσητε, ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαὶ, αἱ ἀπὸ τῶν ἀδελφῶν.

l. 863. Κοινοτόκων] τῶν ἀπὸ ἀμφοῖν τῶν γονέων. τινὲς, τῶν πᾶσι κοινῶν. διὰ δὲ τοῦ εὐπατρειδᾶν ηὔξησε τοῦ πατρὸς τὸ ἐγκώμιον. οἷον εὐγενῶν καὶ γενναίων, οἷος ἦν καὶ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος. ἢ κοινοτόκων, τῶν ἀδελφικῶν, τῶν τοῦ αὐτοῦ πατρὸς κεκοινωνηκότων.

l. 865. Η καὶ χαλαργοῖς] ταῖς λευκόποσιν, ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς. χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν. εἰπόντος δὲ τοῦ χοροῦ, πᾶσι θνητοῖς ἔφυ μόρος, ἀντιτίθησιν ἡ ἠλέκτρα, ἆρα οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς;

l. 867. Τμητοῖς ὁλκοῖς] τμητοῖς λώροις τοῖς ἱμᾶσιν. ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων ἐν οἷς εἱλκύσθη.

l. 868. Ἄσκοπος] ἀπροόρατος ὁ θάνατος.

l. 869. Πῶς γὰρ οὐκ ἐπὶ ξένου] τοῦ χοροῦ εἰπόντος, ἀπροϊδὴς ἡ κατὰ τὸν ἀγῶνα, ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν, ὅτι δὴ πέπονθεν ἀπροσδοκήτως, ἐπ' ἀλλοδαπῆς τελευτῶν, καὶ ἐμοῦ χωρίς.

l. 871. Κίκευθεν] ἀντὶ τοῦ κρύπτεται.

l. 872. Ὑφ' ἡδονῆς τοι] ἡ χρυσόθεμις παραγέγονε τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκαταλειμμένα τῷ τάφῳ εὑροῦσα. τοῦτο τὸ πρόσωπον εἰσήγαγεν ἵνα μὴ εἰς μακρὸν ἡ ὀλόφυρσις ἡ Ἠλέκτρας γένηται.

l. 873. Σὺν τάχει μολεῖν] λείπει ἡ ὑπέρ. ὑπὲρ τοῦ σὺν τάχει μολεῖν.

l. 875. Τῶν ἐμῶν συνπημάτων] τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις· τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις. κατ' οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον.

l. 878. Κλύουσ' ἐναργῶς] ἐπὶ τοῦ κλύουσα, πρὸς βραχὺ διαστικτέον· ἵν' ᾖ, πάρεσ' ἐναργῶς. ἴσθι τοῦτο κλύουσα ἐμοῦ.

l. 888. Βλέψασα, θάλπη] ἀντὶ τοῦ παρακόπτεις τὰς φρένας, ὡς ἐν πυρετῷ ἀνηκέστῳ ἢ πυρί, ὡσεὶ ἔλεγεν ἀνιάτῳ ἐλπίδι. ἀνέλπιστον γὰρ τὸ παραγενέσθαι Ὀρέστην, ἤδη ἀπολωλότα.

Pag. 119. l. 886. Ἀρχαῖον τάφον] τὸν ἐκ πολλοῦ ᾠκοδομημένον.

l. 888. Πηγὰς γάλακτος] πολὺ γάλα. ὡς τὸ δακρύων πηγάς, ἀντὶ τοῦ πολλὰ δάκρυα.

l. 889. Θήκην πατρὸς] τὴν σορὸν λέγει ἔνθα τὸ λείψανον ἐτέθη.

l. 904. Νεωρῆ] τὸν νεωστὶ ἠρτημένον. ἢ ἐκ νέου τινὸς καὶ ὥραν ἔχοντος νέαν.

l. 906. Συνήθες ὄμμα] ὅραμα ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν.

l. 912. Τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;] τὸ ἀποκείρασθαι τὰς κόμας δηλονότι. τὸ μὲν γὰρ ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν, γελοῖον. πιθανῶς οὖν ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει.

l. 916. Τοιαῦτα προφάσειν] τὰ ἐπὶ τῇ τιμῇ γινόμενα τοῦ πατρός.

l. 917. Ταῦτα τἀπιτίμια] γράφεται τἀπιλαίσματα.

l. 921. Ὑπάρξει κῦρος] ἐπιτυχίαν ἀρχῆς.

l. 931. Οὐδὲ μητρὶ δυσχερὴς] ὅ ἐστιν, οὐ κατὰ τοῦτο τῇ μητρὶ δυσχερὴς ὀφθείς, καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν, γράφεται καὶ, μητρὶ δυσμενής.

l. 935. Μνημεῖ' ὀρέστου] τοῦ ὀρέστου μνημόσυνα.

Pag. 121. l. 945. Ὧν ἐγὼ φερέγγυος] ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι. φερέγγυος λέγεται ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτίσαι ἐστὶν ἀξιόχρεως, δυναμένη ἀναδέξασθαι.

l. 947. Ἀλλ' εἴ τις ὠφέλειά γ'] τοῦτο τῷ προτέρῳ ὅμοιον, ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;

l. 948. Εὐτυχεῖ] ἀντὶ τοῦ ἐπιτυγχάνεται.

Ποιεῖν] γράφεται τελεῖν.

l. 949. Συνοίσω] συμπονήσω. τοῦτο συνῳδὸν τῷ, τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος;

l. 956. Πράκτορ'] ἔκδικον.

l. 961. Ποῖ γὰρ μενεῖς] ἀντὶ τοῦ εἰς τίνα χρόνον.

l. 967. Οὐ γὰρ ὧδ' ἄβουλος] προειποῦσα τὰ δεινά, τὸ χαλεπώτερον ἐπιφέρει, ὡς οὐδὲ μεταβολῆς τυχεῖν ἐλπὶς ἔνεστι.

l. 978. Τίς γάρ ποτ' ἀστῶν] ὅρα ἐν τούτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας, ὅτι πάντα τέθεικε τὰ ἀγαθὰ ἅπερ αὐταῖς παρέσται ἀνελούσαις τὸν Αἴγισθον· τὰ δὲ ἕτερα ὑπεξῄρηκεν, ὁποῖα πείσονται ἀλοῦσαι. καίτοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα προσθεῖναι, ὅτι καλόν μοι ἀποθανεῖν οὕτω δυστυχούσῃ· ὁποῖα καὶ πρόσθεν ἔλεγεν, ὡς χάρις μέν, ἂν θάνω· λύπη δ', ἂν ζῶ. ἀλλ' ᾔδει τὸ περίφοβον τῆς χρυσοθέμιδος, ὥστε ἑκοῦσα τοὺς δειλοτέρους τῶν λόγων ὑπεξεῖλεν, ὥστε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι.

l. 980. Ἴδεσθε τώδε] ἀντὶ τοῦ τάσδε. ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηνται, ὅπερ σύνηθες Ἀττικοῖς· τὼ χεῖρε γάρ φασι. καὶ Ὅμηρος, Τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.

Pag. 123. l. 983. Ὣ προὐστήτην] ἀντὶ τοῦ αἵτινες προέστησαν περὶ τοῦ φόνου τῶν ἐχθρῶν.

l. 984. Τούτω] ἀντὶ τοῦ ταύτας.

l. 987 Τοιαῦτα πᾶς τις ἐρεῖ] ἤγουν οὕτως ἐπαινέσεται ἡμᾶς ὥστε μὴ λιπεῖν ἡμῖν τὸ κλέος καὶ ζώσαις καὶ θανούσαις.

l. 993. Ἐν τοῖς τοιούτοις ἐστὶν] ὁ χορός,

ρὰς, ὑπέρτε θαυμαςῶς τὸ τολμηρὸν τῆς Ἠλέκτρας, φησὶν ὅτι μετὰ προγνώσεως καὶ ἀσφαλείας δεῖ τὰ τοιαῦτα καὶ λέγειν καὶ ἀκούειν.

l. 996. Ἐσώζετ' ἂν τὴν εὐλάβειαν] οὐ σώζει (φησὶ) τὴν εὐλάβειαν, ἀλλ' ἔστι θρασεῖα καὶ ῥιψοκίνδυνος.

l. 998. Τοιοῦτον θράσος αὐτή θ' ὁπλίζῃ] λίαν ἐμφαντικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν, εἰ μὴ μόνον θράσος.

l. 1000. Γυνὴ μὲν] ταῦτα πάντα ὅμοια τοῖς ἐν Ἀντιγόνῃ· εἴ τις παραβάλλοι, εἴσεται τοῖς αὐτοῖς διανοήμασι χρησάμενον Σοφοκλέα.

Σθένεις δ' ἔλαττον] τοῦτο δεύτερον κεφάλαιον.

l. 1002. Δαίμων δὲ] τὸ τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκὸς, τῆς τύχης μὴ συλλαμβανομένης.

l. 1003. Ἀποῤῥεῖ] ἐλαττοῦται. μαραίνεται.

l. 1008. Λύει γὰρ ἡμᾶς οὐδὲν] οὐ λυσιτελεῖ γὰρ ἡμῖν, (φησὶν) οὐκ ἀπαλλάσσει τῶν κακῶν. ἢ ἀντὶ τοῦ, οὐδὲν ἡμᾶς ἐκλύσεται.

l. 1009. Δυσκλεῶς θανεῖν] ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. καὶ Ὅμηρος, Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην.

l. 1010. Ἀλλ' ὅταν θανεῖν χρῄζων] ὅρα ὅτι τοῦτο δηλοῖ τὸ δυσκλεῶς.

l. 1011. Εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν] οὐ τὸ τοῦ θανάτου δεινὸν, ἀλλ' ὅταν ἐπιθυμῇ τις ἀποθανεῖν ὥστε τὰς παρούσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ, τοιαῦτα οὖν πεισόμεθα ὧν ὁ θάνατος αἱρετώτερος.

l. 1021. Ἀπηγγελλόμην] ἀντὶ τοῦ ἠξίουν. τὸ δὲ παρακαλεῖν, ἀπαγγέλλειν φησίν.

l. 1022. Ἀλλ' αὐτόχειρί μοι] παρατήρει κἀνθάδε τὴν εὐτολμίαν, ὡς καὶ ἐν Ἀντιγόνῃ.

Pag. 125. l. 1029. Εἰκὸς γὰρ ἐγχειροῦντα] εἰκὸς γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειροῦντα, καὶ παθεῖν κακῶς. τοῦτο δὲ Πινδαρικόν, Ἐπηρεάζοντά τι καὶ παθεῖν ἔοικεν.

l. 1031. Χ' ὅταν εὖ λέγῃς] οἷον, ἴσως καιρὸς ὅτε με εὐφημήσεις. ἤτοι πεισθήσομαι καὶ ἐπαινέσω σε ὅταν εὖ λέγῃς.

l. 1039. Ἀτιμίας μὲν οὐ] οὐκ ἀτιμάζω σε, ἀλλὰ προνοοῦμαί σου.

l. 1042. Ἡ δεινὸν εὖ λέγουσαν] δεινὸν ἐμὲ καλῶς λέγουσαν, δοκεῖν ἐξαμαρτάνειν. ἐπεὶ δὲ ἡ Χρυσόθεμις καλῶς λέγει, δοκεῖ δὲ ἁμαρτάνειν, διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρὸς, πρὸς τοῦτο ἡ Ἠλέκτρα, δεινόν ἐστι σύμφορα δοκοῦσαν συμβουλεύειν, ἄδικα πράττειν καὶ ἁμαρτάνειν. ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ, Εἴρηκας ὀρθῶς ᾧ σὺ προσκεῖσαι κακῷ, τῷ ἁμαρτάνειν. λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ, ἐν αὐτοῖς ἁμαρτάνεις. ἀλυσιτελῆ γὰρ ἐπιχειρεῖς ποιεῖν.

l. 1047. Ἀλλ' εἰ ποιήσεις ταῦτα] δῆ, τοῖς δεινοῖς περιπεσοῦσα, ἐπαινέσεις με σύμφορα σοι βουλεύσασαν.

l. 1049. Πάλιν] εἰς τοὔπισω. εἰς τὸ ἐναντίον.

l. 1055. Μεθέψομαι] ἀντὶ τοῦ κοινωνήσω.

l. 1059. Ὅταν γὰρ ἐν κακοῖς] παρὰ τὸ Ὁμηρικὸν, Ῥεχθὲν δέ τε νήπιος ἔγνω.

l. 1061. Τί τοὺς ἄνωθεν φρονιμωτάτους] τὸ ἄνωθεν, ἢ τόπου ἢ χρόνου ἐστίν. ἄνωθεν ἐκ φύσεως· ἢ τοὺς ἐν τῷ ἀέρι. οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ Κλυταιμνήστρᾳ τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία. ἡ δὲ Κλυταιμνήστρα ἄστοργος. τὸ δὲ ἑξῆς, τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς ἀφ' ὅτων τε ἂν βλαστῶσι, καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν. ἐπὶ τῶν τέκνων τὰ δύο, ἀφ' ὧν τ' αὐτοῖς βλαστῶσι τὰ τέκνα, ἀφ' ὧν τε καὶ ὄνησιν εὕρωσι. λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστάζειν τοῖς πτεροῖς, ἕως ὅτου πτεροφυήσωσι.

l. 1065. Τὰ δ' οὐκ ἐπίσας] καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις καθ' ὧν τὸν λόγον πεποίηται.

Pag. 127. l. 1068. Οὐκ ἀποίνητοι] ἀντὶ τοῦ, οὐκ ἐπιπολὺ ἔσονται ἀθῷοι οἱ περὶ Αἴγισθον καὶ Κλυταιμνήστραν.

l. 1069. Ω χθονία βροτοῖσιν] οὐ τὴν ἐπίγειόν φησιν, ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην.

l. 1071.

l. 1071. Τοῖς ἔνερθ' ἀπρεπέας] ἢ Ἀγαμέμνονα, ἢ ὀρέστην. δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι.

l. 1072. Ἀχόρδυτα φέρουσ' ὀνείδη] ἐφ' οἷς οὐκ ἄν τις χορεύσειεν. ὀνείδη δὲ τὰ πένθιμα ὀνείδη, ἐπειδὴ ὄνειδος ἦν τῇ κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ.

l. 1073. Ὅτι σφίσιν ἤδη] ἡ ἀπόταξις πρὸς τὴν κλυταιμνήστραν. ἄγγελον οὖν (φησὶν) ὅτι τὰ κατ' οἶκον νενόσηκε, καὶ οὐκ ἔστιν ὑγιῆ.

l. 1075. Οὐκέτ' ἐξισοῦται] οὐκέτι ἴσα φρονοῦσιν ὡς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας.

l. 1077. Πρόδοτος δὲ μόνα σαλεύει] κινδυνεύει. ἐκ μεταφορᾶς τῶν νηῶν. μόνη δὲ αὕτη ἐφ' ἑαυτῆς χωρὶς ἀγκύρας.

l. 1078. Τὸν ἀεὶ πατρὸς] λείπει ἡ περὶ, περὶ τοῦ πατρὸς στενάχουσα. ὡς τὸ Ὁμηρικὸν, Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ, Ὡς ἑνός. τὸ δὲ ἑξῆς, ἀεὶ τὸν τοῦ πατρὸς μόρον στενάχουσα. ἢ τὸν ἀεὶ, εἰς τὸν ἀεὶ χρόνον.

l. 1081. Οὔτε τι τοῦ θανεῖν προμηθής] πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν. ὅ ἐστιν ἀφειδοῦσα τῆς ἰδίας τύχης, καὶ ῥιψοκινδυνοῦσα.

l. 1082. Τότε μὴ βλέπειν ἑτοίμα] ἑτοίμη καὶ τῆς ὄψεως στερεῖσθαι· τουτέστιν ἀποστερηθῆναι τῶν ὀμμάτων. ἀντὶ τοῦ, καὶ ἀποθανεῖν ἑτοίμη, καὶ ζῶσα κολάζεσθαι. καὶ τοῦτο λέγει διδύμην ἐριννύν. ἢ ἐπὶ τοῦ θανάτου τὰ δύο. ἑτοίμη μὴ βλέπειν αὐτοὺς, ἀλλ' ἐν σκότει γενέσθαι τοῦ θανάτου. ἐν τῇ αὐτῇ ἐριννύϊ γενομένη τῷ Ἀγαμέμνονι· ὅ ἐστι διπλῆ ἐριννύς.

l. 1983. Διδύμαν] αἴγισθον καὶ κλυταιμνήστραν.

l. 1087. Νώνυμνος] νώνυμνος τῆς δυσκλείας θέλων γενέσθαι.

Ω παῖ παῖ] οὕτω καὶ σὺ ὦ παῖ εἵλου τὸν αἰῶνα πάγκλαυστον.

l. 1089. Κοινὸν] διηνεκῆ, καὶ κοινὸν ἐπὶ παντὸς αἰῶνος ἑαυτῆς.

l. 1090. Καθοπλίσασα] καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα, δηλονότι τοὺς ἐχθροὺς καταγωνισαμένη.

l. 1098. Ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα] ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε, τούτων ἀποφερομένην τὰ ἄριστα. ἢ ἄριστα, ἀμφότερα τῇ εὐσεβείᾳ, τῇ τοῦ διός. ἢ ἄριστα τῇ εὐσεβείᾳ, ἣν ἄν τις ἑλέσθαι, ἀντὶ τοῦ προειρημένου δὶς προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα· ἀντὶ τοῦ μετὰ εὐσεβείας περιέπουσαν.

l. 1100. Τὰ διὸς] γράφεται τοῦ ζηνός.

Pag. 129. l. 1102. Ἆρ' ὦ γυναῖκες] ὀρέστης πάρεστι σὺν τῷ πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιουμένων ὀστῶν ἑαυτοῦ. θαυμαστὴ δὲ ἡ οἰκονομία τοῦ ποιητοῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα· ἵνα εὔλογος πρόφασις γένηται τῆς παρόδου τῷ ὀρέστῃ, καὶ παρ' αὐτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους.

l. 1104. Ἱστορῶ] γράφεται μαστεύω.

l. 1105. Αζήμιος] ἀληθής, καὶ οὐχ ὑπέχων ζημίαν τοῦ ψεύδους.

l. 1121. Εἴπερ τι κλαίεις] ἀξιοπίστως ἄγαν ὀρέστης σκληρός ἐστιν, οὐχ ὅτι δεῖ ἄγγελον εἶναι, καὶ συναχθόμενον τοῖς ἀτυχήμασιν ἔσθ' ὅτε.

l. 1126. Δόθ', ἥτις ἐστὶ] εἰκὸς αὐτοῖς ἕπεσθαι τινας. προσπαθῶς δὲ λίαν τὸ, ἥτις ἐστί.

l. 1131. Ψυχῆς ὀρέστου λοιπὸν] λοιπὸν μνημεῖον. τοῦτο δέ φησι, λαβοῦσα τὸ τεῦχος. ὑπερφυῶς δὲ ἔχει τῇ διαθέσει, λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι. Οὐχ ὧν προεξέπεμπον. Ὅμηρος, Ζωὸν μέν σ' ἔλιπον ἐγὼ κλισίηθεν ἰοῦσα. Σῆς κασιγνήτης δίχα] δηλονότι μόνης σου κηδομένης. ὅλα δὲ ἐπιτέταται τῷ πάθει, διὰ τὸ παρεῖναι τὸν ὀρέστην. ὡς καὶ πηνελόπη παρόντα Ὀδυσσέα θρηνεῖ, παρ' Ὁμήρῳ ἐν οἷς φησι, Σὸν ἄνδρα παρήμενον. ἐνθάδε δὲ δίκαιον δηλοῦσθαι ὅτι ἀδελφὴ αὐτοῦ ἐστὶν, ἢ ἐν τῷ λόγῳ. ἀγνοῶν γὰρ αὐτὴν ὀρέστης, ἀπολοφυρομένην γινώσκεται.

Pag. 131. l. 1148. Οὔτε γάρ ποτε] οὐ γὰρ ἦς (φησὶ) τῆς μητρὸς ποτὲ, ἢ καὶ ἐμοῦ μᾶλλον· ἵνα ἐπὶ τοῦ ἧσσα διαστείλωμεν. Οὐχ ἧσσα τῆς μητρὸς, ἀλλὰ μᾶλλον καὶ ἐμοῦ. δηλονότι, ἐγώ σοι μᾶλλον ἤμην μήτηρ ἤπερ ἡ κλυταιμνήστρα. τὸ δὲ φίλος, ἀντὶ τοῦ ὄφελος. Ἄλλως. οὐκ ἦς τῆς μητρὸς φίλος μᾶλλον ἢ ἐμοῦ· ἀντὶ τοῦ, οὐ τῇ μητρὶ προσῳκειοῦ μᾶλλον. ἄμεινον δὲ τὸ ἕτερον, διὰ τὴν ἡλικίαν τοῦ ὀρέστου, ἐφ' ἣν τὸ φίλον εἶναι αὐτὸν, καὶ διακρίνειν τινὰ τότε, οὐκ ἐνεχώρει. μικρὸς γὰρ ἦν.

l. 1174 Θνητοῦ πέφυκας πατρὸς Ηλέκτρα, φρόνει] πιθανῶς προσκεῖται τὸ ὄνομα τῆς Ηλέκτρας ἵνα μάθῃ ὀρέστης. οὐ γὰρ μόνη ἦν αὐταδέλφη· τοῖς δὲ κοινοῖς ἐνθυμήμασι χρῆται ὁ χορὸς ἐν τῇ παρηγορίᾳ.

l. 1177. Φεῦ, φεῦ. τί λέξω] ἀναγκαῖον ἐμφανισθῆναι τὸν ὀρέστην. διεφθάρη γὰρ τὸ συνεκτικὸν τῆς ὑποθέσεως, σιωπῶντος αὐτοῦ.

l. 1178. Γλώσσης] γράφεται γνώμης.

l. 1181. Τὸ δ' ἐς ἐκεῖνο] τοῦτο δύναται μὲν καὶ ἡ Ηλέκτρα λέγειν· εὐπρεπέστερον δὲ τῷ χορῷ περίκειται, ἵνα μὴ περὶ τῆς ἑαυτῆς εἴδους εἴπῃ τι. θαυμαστῶς δὲ τὴν μὲν κλυταιμνήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν· αὐτὸς δὲ οὐ γινώσκει τὴν Ηλέκτραν, διὰ τὸ κατεσκληκὸς τὸ σῶμα.

Pag. 133. l. 1187. Ω δ' ἐπισκοπῶν στένεις] ἀντὶ τοῦ, ἀμφ' ἐμοὶ καθορῶν στενάζεις.

l. 1189. Εν τῷ δείγνυς] ἐν τίνι, ἢ διὰ τί; ποίῳ λόγῳ εἰρημένῳ τοῦτοι συνῆψας τὸν λόγον.

l. 1196. Τῷδε] εἰς τοῦτο.

l. 1197. Μητρὶ δ' οὐδὲν ἐξισοῖ] οὐκ ἴσα πράττει τῷ τῆς μητρὸς ὀνόματι.

l. 1215. Πρὸς δίκης γὰρ] ἡ πρὸς ἀντὶ τῆς μέτα.

l. 1218. Οὕτως ἄτιμος εἰμὶ τοῦ τεθνηκότος;] ὥστε μήτε ὀνομάζειν αὐτὸν δηλονότι.

l. 1219. Τοῦτο δ' οὐχὶ σὸν] οὐ σοὶ προσῆκον.

l. 1221. Ησκημένον] κατεσκευασμένον ἀσκήματα γὰρ, τὰ κατασκευάσματα.

Pag. 135. l. 1226. Σφραγῖδα πατρὸς] τὸν δακτύλιον.

l. 1229. Ω φθέγμ' ἀφίκου] λείπει φίλτατον.

l. 1238. Γοναὶ σωμάτων] ἀντὶ τοῦ ἐνικοῦ, γονὴ σώματος ἐμοὶ φιλτάτου, τοῦ Ἀγαμέμνονος.

l. 1241. Εἴδεθ' οὖς ἐχρῆζετε] ἀντὶ τοῦ ἐμέ.

l. 1243. Σῖγ' ἔχουσα πρόσμενε] ἀντὶ τοῦ σίγα, ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν.

l. 1244. Τί δ' ὀξὺν] παράκειται ἐκάστῳ τὸ οἰκεῖον. ἡ μὲν γὰρ, γυνή τε οὖσα καὶ παρὰ προσδοκίαν εὐτυχοῦσα, θρασυτέρα ὀξὺν· ὁ δὲ, ἧττον ἀσφαλὴς, διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ.

l. 1245. Ἀλλ' οὐ μὰ τὰν ἄρτ.] ἡ ἀπόστασις πρὸς κλυταιμνήστραν, ὅρα δὲ εἰ οἰκεῖα ταῦτα τῇ Ηλέκτρᾳ παρόντος ὀρέστου, ὁπότε καὶ μόνη οὖσα τοσοῦτον ἐθρασύνετο.

l. 1250. Ορα γε μὲν δὴ] ἐπὶ τὴν κλυταιμνήστραν τείνων, φησὶν ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν.

l. 1251. Οτοτοτοῖ] ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τὴν προειρημένην δύο στίχων, φησὶν, ὅτι ἐνέβαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαστον ὡς εἰ ἔφη, διάδηλον κακὸν, ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον.

l. 1253. Ουποτε καταλύσιμον] οὐδέποτε λυθησόμενον, οὐ καταλυόμενον· ὁ δὲ νοῦς, λήθης τυχεῖν μὴ δυνάμενον.

Pag. 137. l. 1254. Ἀλλ' ὅταν παρουσίαν φράζῃ] ὅταν ἐπιτρέπῃ ὁ καιρὸς καὶ καλῇ· ἢ ὁπόταν ἡ παρουσία τέτευχε, καὶ ὁ καιρὸς ἐπιτήδειος. τὸ γὰρ διεξιέναι τὰ κατὰ τὸν Ἀγαμέμνονα, δι' ὄχλου ἦν τοῖς θεαταῖς, ἐπισταμένοις τὸ πᾶν, καὶ πεπληροφορημένοις ἰδεῖν τὰ ἐξ ὀρέστου γενόμενα.

l. 1255. Ο πᾶς ἂν πρέποι] ὁ πᾶς χρόνος πρέποι τῇ δίκῃ λέγειν μοι ταῦτα.

l. 1257. Τάδε δίκαια] γράφεται τάδε δίκα.

l. 1259. Σώζου τόδε] ποῖον; τὸ ἐλευθερεσσομεῖν. τοιγαροῦν ἀντέχου τῆς ἐλευθερεσσομίας.

l. 1261. Μὴ μακρὰν] ἀντὶ τοῦ μὴ μακρῶς.

l. 1262. Τίς οὖν ἀξίαν γε] τίς ἂν (φησὶ) νοῦς ἄφαντος δικαίως ἕλοιτο ἀντὶ λόγων σιωπήν.

l. 1269. Υπερτέραν] λείπει χάριν.

l. 1270. Τὰς πάρος ἔτι χάριτος] τῆς σῆς παρουσίας.

Pag. 139. l. 1277. Ω δ' ἰδὼν] γράφεται, ὦ δι' ὧν.

l. 1278. Μή μ'] μὴ ἀποστερήσῃς με (φησὶ) τοῦ μεθέλκειν τὴν προσώπων, καὶ ἀπαλλαγῆναι μετὰ ἡδονῆς. ὅπερ μὴ παρέσται ἐπὶ πλέον μετεχούσῃ σου καὶ ἀπολαυούσῃ. οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς· ἐὰν δὲ ἤδη ἀποστερήσῃς σαυτοῦ, μετὰ λύπης ἀπαλλαγήσομαι.

l. 1284. Ω φίλαι, ἔκλυον ἂν ἐγὼ] ὦ φίλαι οἵαν ἤκουσα φήμην περὶ τοῦ ἀδελφοῦ ἀπροσδόκητον, ἐφ' ἧ οὔτε σιωπῆσαι ἂν ἠδυνάμην οὔτε ἀκούσασα βοῆσαι καὶ γὰρ ἡ ἡδονὴ προετρέπετο αὐτὴν βοῆσαι, καὶ ὁ φόβος ὁ περὶ τὸν αἰχμάλωτον καὶ τὴν μητέρα, σιωπῆσαι. ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσοψιν. ὁ νοῦς, ἔκλυον αὐδὴν, ἣν οὐδέποτ' ἤλπισα, καὶ ἔσχον τρόπον ἄναυδον τῷ μὴ δυνάσθαι ἀκούειν· οὐδὲ βοῶντος τινὸς ἀκούειν δυναμένη. οὕτως ἐξέστην ἐμαυτῆς. λέγει δὲ περὶ τῆς ἀπωλείας τοῦ ὀρέστου, ὅτι ἤκουσεν.

l. 1296.

l. 1296. Μηθ' ὡς πατρῴαν) ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας. ἤρκει γὰρ καὶ ἓν τῶν λελεγμένων.

l. 1298. Χρόνος γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος) ἀφαιρεῖται γὰρ (φησὶ) τὴν ἐπικαιρίαν τῶν μελλόντων πραχθήσεσθαι, τῶν λόγων ἡ ἀδολεσχία.

l. 1310. Λεξαίμην βραχύ) γράφεται βουλοίμην βραχύ.

l. 1313. Ἀλλ' οἶδα μὲν τὰ 'νθένδε) οἶδα γὰρ καὶ ἔξωθεν ταῦτα πεπυσμένη τὸν ὀρέστην.

Pag. 141. l. 1311. Μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι) πρὸς τὴν μητέρα δηλονότι.

l. 1323. Σιγᾶν ἐπῄνεσ') τινὲς τὸν χορὸν φασὶ λέγειν ταῦτα.

l. 1325. Ἐσίτ' ὦ ξένοι) τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι, ὁ ὀρέστης αἰσθόμενος τοῦ ψόφου, ἀγνοῶν κελεύει αὐτὴν σιγᾶν. διὸ καὶ Ἠλέκτρα ὡς ξένοις διαλέγεται.

l. 1326. Καὶ φέροντες οἷ' ἂν οὔ τίς) τοιαύτην ἀγγελίαν δηλονότι φέροντες ἣν οὐκ ἄν τις ἀπώσαιτο (λαβεῖν τὰ ὄντα) οὐδὲ ἡδέως λάβοι, ὅτι κακή ἐστιν.

l. 1328. Ὦ πλεῖστα μῶροι) ἐπιτιμᾷ αὐτοῖς ὅτι φανεροὶ τοῖς ἐχθροῖς γίγνονται.

l. 1330. Ἐγγενὴς) ἐγγεγενημένος ἢ ἄξιος τοῦ γένους.

l. 1335. Πρόσθεν ἢ τὰ σώματα) ἐστὶ, πρὶν ἰδεῖν τὰ σώματα ὑμῶν, οἱ ἐχθροὶ ἔγνωσαν ἂν τὰ βουλεύματα τῆς ψυχῆς.

l. 1340. Ἐν τοῖς τοιούτοις) καιροῖς δηλονότι.

l. 1346. Τελουμένων εἴποιμ' ἄν) θαυμαστῶς, ὑπὲρ τοῦ μὴ ἐπιπλέον διαλέγεσθαι. ὡς καὶ ὀρέστης ἐν τοῖς ἔμπροσθεν, τὰ μὲν ἀμειψόντα τῶν λόγων ἀφεὶς. ὁ δὲ νοῦς, καὶ τὰ μὴ καλῶς ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα, καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν. ἅπερ λεγόμενα πρὸς ἄκρον, ἐστὶ παροξυντικά.

l. 1348. Τίς οὗτός ἐστ' ἀδελφέ) οὐκ ἠρώτησε τοῦτο ὀρέστην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς· ἀλλ' ἐφύλαξε νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν.

l. 1353. Οὗ τὸ φωκέων πέδον) οὗ χώραν εἰς τὸ φωκέων, πέδον ὑπεξεπέμφθην, σῇ προμηθείᾳ.

Pag. 143. l. 1367. Αἱ ταῦτά σοι) τὰ κατ' ἐμὲ, φησί,

l. 1369. Νῦν καιρὸς ἔρδειν) Νῦν κλυταιμνήστρα μόνη) ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας αἰγίσθου.

l. 1370. Ἐφίξετον) μελλήσετε.

l. 1373. Ἔθ' ἡμῖν οὐδὲν ἂν λόγων) τὸ οὐδὲν παρέλκει.

l. 1379. Λιπαρεῖ προὔστην χερί) ἀντὶ τοῦ λιπαρῶς, συνεχῶς.

l. 1380. Ἐξ οἵων ἔχω) ὡς δυνάμεως ἔχω, λόγοις ἀξιοῦσα, οὐ θύειν.

l. 1383. Τἀπιτίμια) τοὺς μισθούς.

l. 2385. Ἴδεθ' ὅπου προνέμεται] ἀντὶ τοῦ προβιβάζει. τοῦ ὀρέστου δὲ εἰσεληλυθότος ὁ χορὸς ταῦτά φησιν. Ἄλλως. εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ ὀρέστην καὶ πυλάδην. τοῦτο δὲ ἤτοι ὁ χορὸς φησὶ, καὶ τῆς Ἠλέκτρας συνεισελθούσης αὐτοῖς. καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν αἱ τοῦ χοροῦ, ἢ ὅτι ἔξω οὖσα ἡ Ἠλέκτρα λέγει πρὸς τὸν χορὸν τοὺς δύο στίχους, καὶ οὕτως εἰσέρχεται. καὶ ἔστι διάλειμμα ὥστε ἐξελθοῦσαν αὐτὴν ἄρχεσθαι τοῦ, ὦ φίλταται γυναῖκες. παρατήρει δὲ ὅτι ἐπὶ μὲν τῇ τοῦ ἀγγέλου παρουσίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διαλέγεσθαι τὴν κλυταιμνήστραν, δι' ἃς προείπομεν αἰτίας· ἐνθάδε δὲ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τοῦ ὀρέστου, οὐδὲν λείπει εἰς τὸ ἀνελεῖν τὴν κλυταιμνήστραν, ἅπερ ἐν τῷ ἐμφαίνειν ὁ ποιητὴς οὐκ εἰσήγαγεν.

l. 1386. Τὸ δυσέριστον αἷμα φυσῶν) ἐστὶ, ὁ ἄρης συναγελάζεται αὐτοῖς φυσῶν αἷμα καὶ φόνον. Δυσέριστον, τὸ δι' ἔριν γιγνόμενον κακὸν, οὐχ ὡς κατηγοροῦσα φησὶν (ἐνδύτιον γὰρ τῷ ἤθει τοῦ χοροῦ) ἀλλ' ὅτι τὰ τοιαῦτα ἔργα οὐχ ἡδέα τοῖς ἀνθρώποις.

l. 1389. Ἄφυκτοι κύνες) ἤτοι εἰς τὸν ὀρέστην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες, ἢ ἐπὶ τῶν ἐριννύων. εἰσῆλθον εἰς τὴν οἶκον αἱ ἐριννύες ἃς οὐκ ἔστι φυγεῖν.

l. 1390. Ὥστ' οὐ μακρὰν) οὐ περὶ τοῦ ὀνείρου τῆς κλυταιμνήστρας φησί. (τοῦτο γὰρ βίαιον) ἀλλὰ τοῦτό φησιν, ἃ κατ' ἐμαυτὴν ἀνεπερπόλουν, οὐκ εἰς μακρὰν ἔσται μετέωρα, ἀλλ' εὐθέως τελεσθήσεται.

Pag. 145. l. 1383. Παράγεται γὰρ ἐνέρων δολιόπους) ἡ ἐριννὺς ἀφόβως χωροῦσα ἢ δαίμων τις ἁπλῶς βοηθὸς νεκρῶν· ἢ ἐπὶ τοῦ ὀρέστου. παρέρχεται (φησὶν) ἔσω στέγης ὁ ὀρέστης.

Ἐνέρων δ' ἀρωγὸς) ἤτοι τοῦ Ἀγαμέμνονος, ἢ τῶν χθονίων θεῶν βοηθὸς, ὅ ἐστιν ὑπηρέτης.

l. 1385. Ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια) ἑδράσματα ἀρχαῖα. παλαιὰ οἰκήματα.

l. 1386. Νεακόνητον αἷμα) τὸ ξίφος

τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον.

l. 1386. Ὁ μαῖας δὲ παῖς) ὁ ἑρμῆς αὐτὸν ἄγει πρὸς αὐτὸ τὸ τέρμα, κατακρύψας σκότῳ τὸν ὑπ' αὐτοῦ γινόμενον λόγον.

l. 1389. Ὦ φίλταται γυναῖκες) ἐξερχομένη ταῦτά φησιν.

l. 1402. Ἡ μὲν ἐς τάφον) εἰς τὸ περίδειπνον τὸ ἐπὶ τῷ ὀρέστῃ δοκοῦντι ἀπολωλέναι.

l. 1404. Σὺ δ' ἐκτὸς ἦξας πρὸς τί) ἐν τούτοις δῆλον ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα.

l. 1407. Αἶ, αἶ. ἰὼ στέγαι) ὁ λόγος ἀποτείνεται εἰς αἴγισθον. ἔθος δὲ ἔχουσι τὰ γεγονότα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι, νῦν δέ, διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι, οὐκ ἐποίησε τοῦτο. προκείμενον γὰρ τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος. νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει τῆς κλυταιμνήστρας, ὁ θεατὴς ἀκούει, καὶ ἐναργέστερον τὸ πρᾶγμα γίγνεται ἢ δι' ἀγγέλου σημαινόμενον. καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέστη, τὸ δὲ ἐναργὲς οὐδὲν ἧσσον καὶ διὰ τῆς βοῆς ἐπραγματεύσατο.

l. 1409. Βοᾷ τις ἔνδον) οἰκεῖον τὸ διανόημα γυναικῶν. τὸ δὲ ἀνήκουσα, οὐχ ὡς καταγινώσκουσαι τοῦ ὀρέστου φασίν, ἀλλὰ πᾶν τὸ πρᾶγμα ἐκτρεπόμεναι.

Ὦ πόλις, ὦ γενεὰ] ὦ γενεὰ τοῦ οἴκου τούτου, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν ἄγει τοῦ γένους.

Pag. 147. l. 1419. Τελοῦσιν ἀραί) ἀντὶ τοῦ ἐπεξέρχονται αὐτούς.

l. 1421. Ὑπεξεροῦσιν) ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες.

Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν) δηλονότι, οὐκ ἀπ' ἐμαυτοῦ ἐπιβαλλόμενος ἔπραξα, ἀλλὰ πειθόμενος τῷ θεῷ.

l. 1430. Λεύσσω γὰρ αἴγισθον ἐκ προδήλου) δηλονότι ὑποστρέψαντα. μετεκέκλητο γὰρ ἴσως ὑπὸ κλυταιμνήστρας.

l. 1436. Νῦν τὰ μὲν πρὶν εὖ θέμενοι, τὰ μὲν πρὶν εὖ θέμενοι τὰ κατὰ τὴν κλυταιμνήστραν. ὡς καὶ ὑμῖν εὖ εἴη τὰ κατὰ αἴγισθον.

Pag. 149. l. 1441. Δι' ὠτὸς ἂν παῦρά γ') μὴ ἀνατεταμένας φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς, ἐν τῷ λαλεῖν, δεῖ μηδὲ μηκύνειν τὸν λόγον.

Ὡς ἠπίως ἐννέπειν) γράφεται νηπίως. ὡς ἂν μικρῶν παίδων ῥήματα, οὕτως αὐτῷ ἀφελῶς διαλέγεσθαι δεῖ, μὴ ἀνακαλύπτοντας εὐθέως το γεγονὸς κατὰ τὸν οἶκον.

l. 1443 Πρὸς ἄνδρα τόνδε συμφέροι) καθ' ὑπερβατόν, συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι' ὠτὸς αὐτοῦ ἐννέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγόμενον. λείπει δὲ τῷ λόγῳ διαλεγόμενον τῷ νηπίῳ, ἢ πρὸς ἀπατητικὴν μεταληπτέον, πρὸς τὸν ἄνδρα συμφέρει τοῦτον, ὡς πρὸς νήπιον, ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτὸς ὅπως ἂν ἀπατηθεὶς ἐμπέσῃ εἰς τὸν ἀγῶνα τῆς δίκης τὸν λάθρα κατ' αὐτοῦ γιγνόμενον.

l. 1453. Δίδασκέ με) γράφεται μήνυέ μοι.

l. 1460. Χαίροις ἂν εἴσοι χαρτὰ) ἐπισαρκάζουσα λέγει τάδε.

l. 1461. Σιγᾶν ἄνωγα) κελεύει ὁ αἴγισθος ἐμφανῶς δείκνυσθαι τὸ σῶμα τοῦ ὀρέστου· οἱ δὲ ἐπιδεικνύουσι τὸ τῆς κλυταιμνήστρας.

l. 1465. Μηδὲ πρὸς βίαν) ἐὰν μὴ πείθηται, πρὸς βίαν, κολάσεως τυχών, τότε φύσει φρένας, καὶ εἴσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι.

Pag. 151. l. 1470. Ἄνευ φθόνου μὲν) δηλονότι, ἐφθονήθη καὶ ἔπεσεν ὁ ὀρέστης.

l. 1471. Εἰ δ' ἔπεστι νέμεσις, οὐ λέγω) εἰ δὲ μεμφόμεθα τοῖς περὶ αὐτῷ συμβᾶσιν, οὐ λέγω.

l. 1484. Τοῖς ζῶσι) τῷ ὀρέστῃ.

l. 1490. Μὴ πέρα λέγειν ἔα) περισσὴ γὰρ καὶ ἀπίθανος διάλεξις, πρὸς τῷ τέλει ἐκτείνειν λόγους.

l. 1494. Πρόθες ταφεῦσιν ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν) ἤγουν οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν.

l. 1496. Ὡς ἐμοὶ τόδ' ἂν) τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.

l. 1502. Μὴ τάσσε) μὴ ἐπίτασσε. Χώρει δ' ἔνθα περ κατέκτανες) πρόφασιν ἱκανὴν εὗρε τοῦ μὴ ἐν τῷ ἐμφανεῖ φονεύσαι αὐτόν.

Pa. 153. l. 1518. Ὡς πολλὰ παθὸν) ἀντὶ τοῦ, μετὰ πολλῶν καμάτων μόλις ἠλευθερώθη,

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΤΩΝ ΠΑΝΥ ΔΟΚΙΜΩΝ ΕΙΣ ΟΙΔΙΠΟΔΑ ΤΥΡΑΝΝΟΝ.

Ὦ τέκνα, Κάδμου τοῦ πάλαι νέα τροφή)

Pa. 155. l. 1. Φιλόδημον καὶ προνοητικὸν τοῦ κοινῇ συμφέροντος τὸ τοῦ Οἰδίποδος ἦθος, καὶ εὔνοιαν ἔχον ἀπὸ τοῦ πλήθους, δι' ὧν αὐτοὺς εὐηργέτησεν. εἰκότως οὖν κέχρηται τῷ τέκνα, ὡσπερεὶ πατήρ. νέοι ὄντες νῦν, ἀπὸ τοῦ ἀρχαίου Κάδμου· οἰκτρὸν δὲ τὸ νέα.

Ὦ τέκνα) ἐμά.

Κάδμου) Κάδμου τοῦ πρὸ μακροῦ γεγονότος ἀπόγονοι, νῦν βλαστήσαντες.

Τροφή) ἀνατροφή, ἣν ἀνατρέφει τίς τινα, ἢ ἣν ἀνατρέφεταί τις ὑπό τινος. ἐνταῦθα δὲ νέαν ἀνατροφὴν λέγει τοὺς ἀνατραφέντας νῦν. τὸ δὲ προοίμιον τοῦτο ἐστὶ προσφωνητικόν.

l. 2. Τίνας ποθ' ἕδρας) περιττὸν τὸ ποτέ. τίνες εἰσὶν αἱ καθέδραι αὗται ἃς κάθησθε χάριν ἐμοῦ; καθήμενοι τήνδε τὴν καθέδραν, καὶ βαδίζω ταύτην τὴν ὁδὸν, καὶ ὑβρίζω· τοιαῦτά τινα τὸν αὐτὸν ἔχουσι σχηματισμὸν τῷ, λέγω λόγον, καὶ γράφω γραφήν, καὶ τοῖς τοιούτοις.

Ἐμοὶ δὲ εἰκότος εἴρηκεν) δι' αὐτὸν γὰρ ἐκάθηντο.

Θοάζετε) κατὰ διάλυσιν, ἀντὶ τοῦ θάσσετε· ἢ θοῶς προσκάθησθε.

l. 3. Ἱκτηρίοις κλάδοισιν) ἀντὶ τοῦ ταῖς ἱκτηρίοις. τὸ δὲ ἐξεστεμμένοι ἀντὶ τοῦ κεκοσμημένοι. εἰώθασι γὰρ τῷ στέφειν χρῆσθαι ἀντὶ τοῦ κοσμεῖν. στέμμα δέ ἐστι τὸ περιειλημμένον ἔριον τῷ θαλλῷ.

l. 4. Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων) οἱ μὲν μηδὲν πεπονθότες ἐπὶ ἀποτροπῇ τοῦ κακοῦ θύουσι, καὶ παιᾶνας ᾄδουσιν· οἱ δὲ ἐπταικότες, ἐπὶ τοῖς οἰκείοις κακοῖς ἀποιμώζουσιν. τὸ δὲ ὁμοῦ, ἐπὶ συνάξει δύο κώλων λεγόμενον, ἐπὶ τοῦ προτέρου κώλου δύναται λέγεσθαι καὶ τοῦ δευτέρου, ὥσπερ τὸ ἅμα, καὶ ὁ καὶ σύνδεσμος. καθ' ὃ λέγεται ἐνταῦθα, ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων.

l. 6. Ἁγὼ δικαιῶν) οὐ δι' ἀγγέλων μαθεῖν τὴν αἰτίαν ἠξίωσα, ἀλλ' αὐτὸς παραγενόμενος, προκηδόμενος ὑμῶν.

l. 8. Ὁ πᾶσι κλεινὸς) ἢ πᾶσι τοῖς ἐπιτηδεύμασιν, ἢ ὑπ' ἀνθρώπων. πιθανῶς δὲ τὸ ὄνομα τοῦ προλογίζοντος ἐδήλωσεν. ἅμα τε καὶ εἰς ἐπιθυμίαν φέρει τὸν θεατὴν τῶν περὶ τοῦ Οἰδίποδος. οὐκ εὐθὺς δὲ τὰς αἰτίας τῆς δόξης ἐπάγει, ἀλλὰ ταμιεύεται κατὰ βραχὺ ἐν καιρῷ ἐνθήσων. καλῶς δὲ, οὐ δι' ἀγγέλων ἀπήγγελται, ἵνα διαλεγομένου αὐτοῦ ἐκ Δελφῶν εἰσαγάγῃ τὸν Κρέοντα.

l. 9. Ἀλλ' ὦ γεραιὲ) εὐτάκτως ἑκάστῳ τὸ δέον ἀπένειμε· διὰ μὲν τῶν παίδων, τὸν οἶκτον τῆς ἱκετείας· διὰ δὲ τοῦ πρεσβύτου, ἡ πρὸς βασιλέα ἀπόκρισις. εἰς γὰρ τοῦτο ἀπρεπὲς τὸ τῶν νέων πρόσωπον. δεδήλωται οὖν ἡμῖν τὸ χρήσιμον τῆς παρουσίας τοῦ γέροντος.

l. 10. Τίνι τρόπῳ) ἀντὶ τοῦ, ἐπὶ ποίᾳ προφάσει ἱκετεύετε. εἶτα ἐπιφέρει τὰς αἰτίας. ἢ γὰρ διὰ δέος κολάσεως, ἢ παθόντες, ἐκδικίας τυχεῖν ἀξιοῦτε. ὅπερ ἐδήλωσε διὰ τοῦ στέρξαντες, οἱ ἤδη πεπονθότες.

l. 12. Δυσάλγητος) σκληρός. δυσμετάκλαστος. ἀνηλγής. ἀπαθής. ἀνελεής. ἴσως τὸ ἀνάλγητος καὶ σκληρός.

Pag. 157. l. 13. Τοιάνδε ἕδραν) ἀνθρώπους οὕτω καθημένους ἐλεεινῶς.

Ἀλλ' ὦ κρατύνων) ἐν τῷ πρώτῳ λόγῳ ἐγνώκαμεν τὸ ὄνομα τοῦ Οἰδίποδος, καὶ ὅτι παιᾶνές εἰσιν ἐν τῇ πόλει·

νιῶ δὲ, διὰ τῆς ἀντέχνου ἐπεξεργασίας, ὅτι καὶ βασιλεὺς, καὶ τὴν αἰτίαν τῶν παιδίων. προσαγωγὸν δὲ εἰς πειθὼ τὸ προοίμιον.

1. 14. Ἡλίκοι προσήμεθα) τοῦτο καὶ τὴν ἡλικίαν σημαίνει, καὶ δυσωπητικόντως τυγχάνει· ὡς γὰρ ἐπὶ θεοῦ βωμοὺς πάρεισιν ἐπὶ τῶν πρὸ τῶν βασιλείων ἱδρυμένους. τὸ ἡλίκος δὲ, πρὸς τὸ τηλικάσδε ἔχει τὴν ἀναφοράν. λέγεται δὲ καὶ ἀμφότερα ἐπὶ ἡλικίας κυρίως· αὐτῆ τηλικοῦτος ἐστὶν, ἀντὶ τοῦ τοσοῦτος τὴν ἡλικίαν. καὶ ἀπὸ τούτου ἐπὶ μεγέθους ἁπλῶς. ἔστι δὲ αὕτη προκατάστασις καὶ διήγησις τῶν συμβάντων αὐτοῖς ἐκ τοῦ λοιμοῦ.

1. 15. Βωμοῖσι) ναοῖσι, βωμὸς, τὸ οἰκοδόμημα ἐν ᾧ ἔθυον· ἀπὸ τούτου βωμὸς, καὶ ὁ περιέχων τοῦτον ναός· βωμὸς καὶ ἐν ᾧ τὰ ἅρματα ἐτίθετο, ὡς παρ' Ὁμήρῳ, Ἅρματα δ' ἀμβωμοῖσι τίθει. ναὸς καὶ ἱερὸν πᾶν τὸ οἰκοδόμημα, ὑφ' οὗ περιέχεται ὁ βωμός. πρόναον, ἔμπροσθεν τοῦ ναοῦ. τέμενος, ἐν ᾧ καθιδρύετο τὸ ἄγαλμα. λέγεται τέμενος ἁπλῶς καὶ ὁ ἀποκεκομμένος καὶ ἀνατεθειμένος τόπος τινί.

1. 16. Πτέσθαι) ἀντὶ τοῦ βαδίσαι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεοττῶν.

Σὺν γήρᾳ βαρεῖς) ἐφ' ἑαυτοῦ τῷ πληθυντικῷ ἐχρήσατο, καὶ τὸ ἱερεῖς ὁμοίως. βαρὺς δὲ ἐνίοτε μὲν λέγεται ἐπὶ ψυχῆς, ὡς ἐν τῷ, Τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρύς. ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος, ὡς ἐνταῦθα.

1. 18. Λεκτοὶ) τὸ λεκτοὶ, τάχα μὲν εἰς σύστασιν τῶν παίδων. τάχα δὲ καὶ δημοσίαν ἐκφαίνει τὴν ἐκπομπὴν, ὡς ἐπιλεχθεῖσαι καὶ πεμφθεῖσαι παρὰ τοῦ κοινοῦ.

1. 19. Πρός τε Παλλάδος διπλοῖς ναοῖς) δύο ἱερὰ ἐν ταῖς Θήβαις ἵδρυται τῇ Ἀθηνᾷ, τὸ μὲν, οἰκαίας, τὸ δὲ, ἰσμηνίας. οἱ δὲ οὕτως, τὸ μὲν, ἀλαλκομενείας, τὸ δὲ, καδμείας. τινὲς δὲ τὸ τῆς ἀλαλκομενείας οὐκ ἐν Θήβαις, ἀλλ' ἐν κώμῃ εἶναί φασιν.

1. 20. Ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ) καὶ γάρ ἐστι παρὰ τῷ Ἰσμηνῷ Ἀπόλλωνος ἱερόν. διό φησι, μαντείᾳ σποδῷ. τοῦτο δὲ ἀντὶ τοῦ βωμῷ, ὅτι διὰ τῶν ἐμπύρων ἐμαντεύοντο οἱ ἱερεῖς, ὥς φησι Φιλόχορος.

Μαντεία σποδῷ) μαντικῇ· χρησμὸς μὲν, ὁ τῶν θεῶν· μαντεία δὲ καὶ μάντευμα, τὸ ἀπὸ μάντεων ἀνθρώπων. ἐνταῦθα δὲ τὸ ἁπλοῦν ἀντὶ τοῦ κτητικοῦ.

1. 22. Ἤδη σαλεύει) ἡ μεταφορὰ ἀπὸ τῶν χειμαζομένων νεῶν.

1. 24. Φθίνουσα μὲν κάλυξι) σὺν τοῖς βλαστήμασιν. οὐ μόνον ἀφορίαν φησὶν εἶναι τῆς γῆς, ἀλλὰ καὶ τῶν πεφυκότας καρποὺς διαφθείρεσθαι ὑπὸ τοῦ λοιμοῦ.

1. 26. Ἀγόνοις) κακογόνοις.

Πυρφόρος θεὸς) ὁ λοιμὸς ὁ πυρετοφόρος. τὸν γὰρ πυρετὸν, πῦρ καλοῦσι. καὶ τὸ ἐναντίον, ὡς Ὅμηρος, Καί τε φέρει πολλὸν πυρετόν.

1. 27. Σκήψας) ἐπιβαλών.

1. 28. Δῶμα Καδμεῖον) περιφραστικῶς ἡ πόλις. ἢ ἀντὶ τοῦ τὰ δώματα πάντα τὰ τῆς πόλεως.

1. 32. Ἀνδρῶν δὲ πρῶτον) οὐ μόνον οὖν ὡς βασιλέως δέονται, ἀλλὰ καὶ σοφοῦ. κατὰ βραχὺ δὲ παρεμβάλλει ἡμῖν ὁ ποιητὴς τὰ τῆς ἱστορίας τοῦ Οἰδίποδος.

Συμφοραῖς) ταῖς βιοτικαῖς συντυχίαις.

1. 33. Ἔν τε δαιμόνων ξυναλλαγαῖς) καὶ ἐν ταῖς πρὸς τὸ θεῖον κοινωνίαις καὶ φιλίαις. τὸ στοχάζεσθαι τῆς τῶν θεῶν διανοίας. ἐκ τούτου δὲ παθητικωτέραν τὴν τραγῳδίαν ποιεῖ. ὅταν ὁ τοιοῦτος εἶναι νομιζόμενος, φανῇ καινοῖς μίασιν ἔνοχος.

1. 34. Ὅς γ' ἐξέλυσας ἄστυ Καδμείων μολὼν ὥστε μολὼν ἄστυ Καδμείων. καὶ ἵνα ἡ ἀπὸ ξένης αὐτοῦ ἄφιξις δηλωθῇ.

1. 35. Σκληρᾶς ἀοιδοῦ) ὅτι τὸ ἀοιδοῦ εὔφημόν ἐστι, προσέθηκε σκληρᾶς· ὅ ἐστι δυσκόλου, διὰ τὸ αἴνιγμα, ἢ φονικῆς.

1. 36. Οὐδὲν ἐξειδὼς πλέον) οὐδὲν πλέον εἰδὼς, οὐδὲν εἰς προσθήκην τῆς γνώσεως. τὸ πλέον οὕτω τιθέμενον, οὐ περισσὸν τίθεται, ἀλλ' ἔχον δεῖ ὅπως ἀποδοθήσεται· ἔστι, συνδήσας, οὐδὲν πλέον λύματα. ἀντὶ τοῦ οὐδὲν πλέον τῆς συνδῆς. καὶ, Δένδρεσιν ἀκάρποις οὐδὲν πλέον. τῆς ἀκαρπίας δηλονότι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

1. 37. Οὐδ' ἐκδιδαχθεὶς) ἐστὶ, οὐ προακούσας παρ' ἡμῶν τὸν τρόπον τῶν αἰνιγμάτων. ὅπερ συμβάλλεταί πως σοι πρὸς τὴν λύσιν. ὡς πρὸς θεοφιλῆ οὖν καὶ εὐτυχῆ ἀπαντῶσι. περιττὴ δὲ ἡ ἐξ, ἡ ὑπό.

Προσθήκη) συμβουλῇ, ἐπικουρίᾳ.

1. 38. Ὀρθῶσαι βίον) ἀνορθῶσαι. ἀπὸ μεταφορᾶς τῶν κλινομένων, ὅταν αὐτοῖς τις ἀνορθοῖ.

1. 39. Ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα)

ος) ἢ ὑπὸ πάντων κράτιστος εἶναι ὑπολαμβανόμενος, ἢ πᾶσι τοῖς προειρημένοις.

Τύχῃ) συνέσει, θεοφιλίᾳ.

l. 40. Πρόστροποι) προσπεπτωκότες, προστετραμμένοι. ἴσως δὲ τοῦτο εἰπὼν ὁ ὑποκριτὴς προσέπιπτε πρὸς τοὺς πόδας τοῦ ἄρχοντος.

l. 41. Φήμην) χρησμόν. ἐπὶ μὲν θεῶν χρησμὸς ἀπαντᾷ οἰκείως. ἐπὶ δὲ τοῦ ἀνδρὸς προσυπακούεται ἡ μαντεία κατ' ἀναλογίαν.

l. 43. Ως τοῖσιν ἐμπείροισι) ἐν τοῖς συνετοῖς τὰς συντυχίας καὶ τὰς ἀποβάσεις τῶν βουλευμάτων ὁρῶ ζώσας καὶ οὐκ ἀπολλυμένας. οὐ σφάλλεται, ἀλλὰ τὸ ἀποβησόμενον στοχάζεται καλῶς.

l. 44. Ζώσας) ἐνεργεστέρας.

l. 45. Ἴθ' ὦ βροτῶν ἄριστ') διεξηλθὼν τὰ τῆς πόλεως κακὰ, καὶ ὅτι ἱκανός ἐστιν ἐπινοῆσαι ἀπαλλαγὴν, ἐπάγει ὅτι καὶ χρήσιμον σῶσαι τὴν πόλιν, μᾶλλον δὲ κινδυνῶδες τὸ ἀμελῆσαι. ἴθι οὖν καὶ εὐλαβήθητι μὴ τὴν ὑπάρχουσαν δόξαν τὴν ἐπὶ τῇ εὐποιΐᾳ ἀπολέσῃς. πάνυ δὲ αἰδημόνως οὐκ εἶπεν ὅτι οὐκ ἔτι τιμᾶσθαι ἡ πόλις, ἀλλὰ σὺν τῇ τύχῃ τὸ ὅλον κατέθηκεν. εἰώθαμεν δὲ καὶ τῶν ἀτυχημάτων καὶ τῶν εὐημεριῶν μνημονεύειν, καθὼς ἄρχοντες ἀποβῶσιν. ἔασον οὖν (φησὶν) ἀκέραιον τὴν προγεγενημένην σοι δόξαν ἵνα αὐτὸ τοῦτο λέγωμεν, ὅτι ἐπὶ Οἰδίποδος τῆς σφιγγὸς ἀπαλλαγέντες, εὖ διαγεγόναμεν.

l. 48. Ἀρχῆς δὲ τῆς σῆς] ὧν κατάρχειν ἐποίησας, οὐδαμῶς μεμνησόμεθα.

l. 50. Ἀλλ' ἀσφαλείᾳ) γνώμῃ ἀσφαλεῖ, καὶ ἐχυρᾷ εὐβουλίᾳ, τὸ ἐμπεσὸν κακὸν τῇ πόλει ἀνόρθωσον.

l. 51. Ὄρνιθι αἰσίῳ) μαντείᾳ εὐσυμβόλῳ. ὄρνιθες, ἁπλῶς μὲν πάντα τὰ πετόμενα· ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες. ἀφ' οὗ ἔλεγον καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον, ὄρνιν, οἷον πταρμὸν, ἢ παλμὸν, ἢ τοιοῦτόν τι. οὐ μόνον δὲ τὰ εἰς μαντείαν συντείνοντα, ἀλλ' ἤδη καὶ αὐτὴν ἁπλῶς τὴν μαντείαν ὄρνιν καλοῦσι, καθ' ὃ λέγεται ἐνταῦθα. τὸ αἴσιον δὲ καὶ τὸ ἀπαίσιον ἐπὶ τῆς τῶν ὀρνίθων μαντείας· κυρίως λέγεται, καὶ ἀπὸ τούτου καὶ ἐπ' ἄλλων, εἰσὶ ἀπαίσιοι ὄρνιθες, οἱ δυσοιώνιστοι· αἴσιοι δὲ, τὸ ἐναντίον, οἷον οἱ εὐσύμβολοι καὶ τὰ ἀγαθὰ σύμβολα δηλοῦντες.

l. 53. Ὡς εἴπερ ἄρξεις τῆσδε) τὸ πᾶν τοῦ κινδύνου (φησὶν) εἰς σὲ φθάνει. τίνος γὰρ ἄρξεις, ἢ ποίαν ἕξεις πολιτείαν, ἀπολωλότων τῶν οἰκούντων;

l. 55. Ὡς οὐδέν ἐστι) καὶ Ἀλκαῖος φησὶν, Ἄνδρες, πόλεως πύργοι ἀρήϊοι, καὶ Δημοσθένης, Ἄνδρες γὰρ πόλεις, καὶ οὐ τείχη. ὅμοιον δὲ τὸ τῶν νεῶν ταῖς πόλεσιν· ὅθεν καὶ τροπικοῖς τοῖς ὀνόμασιν ἀπὸ τῶν εἰωθότων χρῶνται ἐπὶ τῶν πόλεων, οἴακας νεῶν ἀντὶ τοῦ ἄρχοντας λέγοντες, καὶ ὀρθῶς πλεῖν τὴν πόλιν φάσκοντες.

Pag. 159. l. 58. Ω παῖδες οἰκτροὶ) οὐκ εἰς τὴν ἡλικίαν τοσοῦτον τὸ ὦ παῖδες, ὡς ἂν ἁρμόζον ἐστὶ τῷ φιλοφρονουμένῳ ἤθει. οἷον καὶ τὸ ὦ τέκνα, ἐν ἀρχῇ. πρὸς τοὺς παῖδας δὲ διαλέγεται, ὡς οἰκτροτέρους καὶ μᾶλλον βοηθείας δεομένους. ἅμα δὲ καὶ διὰ τὸ πλῆθος, ὡς ἐπικρατέστερον.

l. 65. Ὡς οὐχ ὕπνῳ) ἀντὶ τοῦ, οὐκ ἀμέριμνόν με ὄντα παρακαλεῖτε φροντίζειν, ἀλλὰ περὶ πολλοῦ πεφροντικότα.

l. 67. Πολλὰς δ' ὁδοὺς ἐλθὼν) πολλὰς γνώμης ἐπιβουλὰς ἐν τῇ σκέψει πλανώμενος ἦλθον, ἕως οὗ ἀρίστην εὗρον τὴν ἐπὶ τὸν θεὸν καταφυγήν. ἀρσενικῶς δὲ ἐχρήσατο πλάνοις ἀντὶ θηλυκοῦ πλάναις.

l. 70. Κρέοντ' ἐμαυτοῦ) οὐ τὸν τυχόντα ἔπεμψα, ἀλλὰ τὸν ἀναγκαῖον

Γαμβρὸν) ἁπλοϊκῶς ἀντὶ τοῦ κηδεστήν.

l. 74. Λυπεῖ, τί πράσσει) λυπεῖ ἀποροῦντα δηλονότι τί πράττει. φυσικός ἐστιν ὁ λόγος, ἀπὸ τῶν ἐπαγομένων συνυπακούειν τοὺς πρέποντας πρότερον λέγεσθαι. ὡς ἐνταῦθα, ἀντὶ τοῦ πράσσει, ἀπορίαν ἐμφαίνοντος γνώμης ζητούσης ὑπ' ἐρείσει, συνυπακούεται τὸ ἀποροῦντα. καὶ ἐν τῷ Οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίστους λόγους Ἄναξ Ὀδυσσεῦ τοῦ δ' ὑπ' ἀνδρὸς ἀρτίως;

Τοῦ γὰρ εἰκότος πέρα) οὐ πρέποντα ποιῶν ἄπεστι πλέον τοῦ καθήκοντος χρόνου.

l. 78. Ἀλλ' εἰς καλὸν) καὶ μάλα καλῶς καὶ κατὰ τὸν προσήκοντα χρόνον ἐμνήσθης καὶ ἀνεζήτησας αὐτόν. καὶ οὗτοι μηνύουσι, καὶ τὰ ἑξῆς.

Οἱ δέ τ' ἀρτίως) οἱ ἤϊθεοι πρὸς τὸ οὖς αὐτοῦ φασιν ὅτι πάρεστι Κρέων, ὡς ὀξυαπέστεροι. δι' αἰδῶ δὲ τοὺς λόγους παρῃτήσαντο. ὁ δὲ ἱερεὺς, ἅμα μὲν ὡς πρεσβύ-

βύτης, οὐχ ὁρᾷ, ἅμα δὲ καὶ τὸν ἔχων τὸ λόγον τοῦ βασιλέως.

l. 80. Ὦ 'ναξ Ἄπολλον) εἰκότως πρὸς Ἀπόλλωνα ἡ ἀναβόησις. ἐν γὰρ τῷ ἀπὸ θεοῦ ῥηθησομένῳ χρησμῷ κεῖται τὸ τῆς ἀπαλλαγῆς. εἴθε οὖν παραγένοιτο Κρέων ἐπί τινι σωτηρίῳ τύχῃ λαμπρὸς, ἐκ τῆς περὶ τὸ πρόσωπον καταστάσεως φαιδρός. λεληθότως δὲ δείκνυσιν ἡμῖν τὸ σχῆμα τοῦ ὑποκριτοῦ ὁποῖον εἰσῆλθε.

Εἰ γὰρ ἐντύχῃ γέ τῳ) εἴθε γὰρ ἐντύχῃ τινὶ, ὥσπερ παρὰ τοῖς Αἰολεῦσι τὸ ὅντινα κοινόν ἐστι κατὰ γένος, οὕτω καὶ παρὰ τοῖς Ἀττικοῖς τὸ τοῦ, καὶ τὸ τῳ, κοινῶς λέγεται. οὔτε τευ κλύων σάλπιγγος. καὶ, τῆς χρείας καὶ ἐν τύχῃ γέ τῳ.

l. 82. Κάρα πολυστεφὴς) οἱ γὰρ ἐπί τινι αἰτίᾳ παραγενόμενοι ἐκ Δελφῶν, ἐστεμμένοι ἐπανῄεσαν. ὡς καὶ Ἀριστοφάνης ἐν πλούτῳ φησί.

l. 84. Ξύμμετρος γὰρ ὡς κλύειν) οὐκ ἔστι (φησὶ) μακρὰν, ἀλλ' ἐγγύς· καὶ μέτρον ἔχων τοῦ ἀκούειν, διὰ τὸ πλησίον γενέσθαι. Ἄλλως. ἐπὶ τοῦ διαστήματος ὤφειλε θεῖναι τὸ σύμμετρον· ὁ δὲ ἐπὶ τοῦ προσώπου τίθησιν ἀντιστρόφως. τὸ σχῆμα δὲ τοῦτο τοῦ λόγου καὶ τῷ πεζῷ λόγῳ συνήθες, ὥσπερ καὶ τὸ ταχὺς ἦλθεν.

l. 85. Ἄναξ, ἐμὸν κήδευμα) ἴδιον τῶν ἐν χρείᾳ καθεστώτων φιλοφρονεῖσθαι μείζοσιν ὀνόμασι τοὺς ταπεινοτέρους.

l. 87. Ἐσθλήν· λέγω γὰρ) ὁ μὲν Οἰδίπους τίς εἴη ὁ χρησμὸς ἐπυνθάνετο, ὁ δὲ οὐκ εὐθὺς αὐτὸ τὸ ῥητὸν ψιλὸν εἶπεν. ἀπὸ γὰρ τῶν εὐφήμων ἄρξασθαι θέλει. ὁ δὲ νοῦς, λέγω γὰρ πάντα ἂν εὐτυχεῖν τὴν πόλιν, εἰ καὶ τὰ δύσφημα τύχοι ἂν κατ' ὀρθὸν ἐξελθόντα. τουτέστιν, εἰ τὰ ἄγνωστα γνωσθείη, τὸ τίς ἐστιν ὁ φονεὺς Λαΐου, οὐδὲν γὰρ χαλεπὸν ἦν ἐν τῷ χρησμῷ, ἀλλ' ἀγνοεῖται μόνον τὸ ὑπ' αὐτοῦ ῥηθέν.

Καὶ τὰ δύσφορ', εἰ τύχοι) καὶ τὰ χαλεπὰ εἰ τύχοι κατ' ὀρθὸν προϊόντα, πάντα εὐτυχεῖν ἡμᾶς λέγω.

l. 89. Ἔστι δὲ ποῖον τοὔπος;) ὅτι ἀσαφῆ τὸν λόγον εἶπεν, ἔτι ἀξιοῖ αὐτὸν τὸ ῥητὸν ἀκοῦσαι μέχρι γὰρ νῦν οὔτε θαρσήσας, οὔτε ἔμφοβός εἰμι, τῷ ὑπό σου ἀκοῦσαι.

l. 93. Ἐς πάντας αὔδα) ἀξίως τοῦ βασιλικοῦ ἤθους δημοσίᾳ φράζειν κελεύει, ἅμα μὲν, ἐπεὶ μηδὲν ὑποπτεύων περὶ ἑαυτοῦ, οἴεται καὶ θεοφιλὴς εἶναι. ἅμα δὲ καὶ ὑπὲρ τοῦ ἐν μέσῳ ῥηθέντων ἀκινδυνεύειν τὰ τῆς ἀναζητήσεως. αὔξει δὲ ὁ ποιητὴς τὸ ὡς εὐνοϊκὸν ἦθος τοῦ Οἰδίποδος, ὅπως αὔξοιτο τὰ τῆς τραγῳδίας, ὕστερον αὐτὸν αὐτῷ τῶν κακῶν ἀναφαινομένων.

Πλέον φέρω τὸ πένθος) περὶ τούτων πλέον ἀγωνίζομαι ἢ περὶ τῆς ἐμαυτοῦ ψυχῆς.

l. 95. Λέγοιμ' ἂν οἷ' ἤκουσα) ὅτι πολλάκις ἐκπίπτουσι λοξοὶ χρησμοί.

l. 96. Ἐμφανῶς) ἵνα μὴ γένηται ἀφορμὴ τοῦ παραπέμψασθαι τοὺς χρησμοὺς, οὕτως εἶπεν.

l. 100. Ὡς τόδ' αἷμα χειμάζον) ἀττικῶς ἀντὶ τοῦ αἵματος χειμάζοντος τὴν πόλιν τοῦ Λαΐου.

Pag. 161. l. 103. Πρὶν σε τήνδ' ἀπευθύνειν) πρὸ τοῦ κυβερνᾶν σε τὴν δὲ τὴν πόλιν. τὸ εὐθύνειν καὶ τὸ ἀπευθύνειν ἐπὶ τῶν ὀρθουμένων λοξῶν λέγεται. καὶ ἐπὶ τῶν κυβερνωμένων νεῶν· καὶ ἀπὸ τούτων κατὰ μεταφορὰν, καὶ ἐπὶ τοῦ κολάζειν, καὶ ἐπὶ τῶν ἄλλως διοικουμένων, καθ' ὃ λέγεται ἐνταῦθα.

l. 105. Ἐπιστέλλει) ἐντέλλεται, ὑποτίθεται.

l. 106. Τοὺς αὐτοέντας) τοὺς φονέας τούτου τιμωρεῖσθαι.

l. 108. Δυστέκμαρτον) δυσκατάληπτον. δυσεύρετον. δυσκατάληπτον. εἴρηται δὲ ἀπὸ τῶν κυνῶν τῶν τὸ ἴχνος σκοπούντων.

l. 110. Ἁλωτὸν) ὥστε καὶ εὐχερῶς μὴ εἰς πολλὰ πλανωμένους ἐξευρεῖν. ἀπὸ κοινοῦ δὲ τὸ ἔφασκε. λέγει δὲ τὸ πρᾶγμα.

Ἐκφεύγει) λανθάνει. καὶ ταῦτα ἀπὸ τῶν θηρίων λέγεται τῶν ἁλισκομένων, ἢ ἐκφευγόντων.

l. 111. Πότερα δ' ἐν οἴκοις) ὡς συνετὸς ὁ Οἰδίπους ζητεῖ τὰ καθ' ἕκαστα, εἶτα οὕτως ἐπὶ τὴν ἀναζήτησιν ἔξεισι, μεταπεμψάμενος τοὺς πολίτας, ἵνα καὶ ἀφορμὴ τῆς εἰσόδου γένηται. θεωρὸς δὲ ὁ πρὸς τοὺς θεοὺς διὰ χρησμὸν ἀποστελλόμενος.

l. 113. Ἐκδημῶν πάλιν πρὸς οἶκον) οὐκέτι πάλιν ἀφίκετο, ἀντὶ τοῦ ἐπανέστρεψε πρὸς οἶκον.

l. 114. Ὡς ἀπεστάλη) καθὰ ἀπεδήμησεν. ἀπεστάλη τις ὑπό τινος, ἀντὶ τοῦ ἐπέμφθη· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἀπῆλθε καὶ ἀπεδήμησεν.

l. 115. Οὐδ' ἄγγελός τις) ἐστὶ, οὐδὲ ἀκόλουθος, παρ' οὗ τις ἂν μαθὼν ἐχρήσαιτο πρὸς ζήτησιν.

l. 117. Θνήσκουσι γὰρ) ἐστὶ, πάντες οἱ ἀκολουθοῦντες αὐτῷ ἀνῃρέθησαν, δηλονότι

φιλοῦσι ὑπεραγωνιζόμενοι τοῦ δεσπότου πλὴν ἑνός· ὃς διὰ δειλίαν ἐκφυγὼν, οὐδὲν ἀκριβὲς εἶχεν εἰπεῖν, πλὴν ὅτι ὑπὸ λῃστῶν ἀνῃρέθη. ἄκρως δὲ ὑπέγραψε τὸ ἦθος τῶν δειλῶν. ἅμα μὲν γὰρ ἐπαίρουσι τὰ πεπραγμένα, ἵνα μὴ δόξωσι διὰ δειλίαν φυγεῖν. ἅμα δὲ καὶ ἐν παραφρονήσει ὄντες, τὰ βραχέα μείζω δοξάζουσι. καλῶς δὲ ᾠκονόμηται, ἵνα τέως μὴ ἐλέγχοιτο τὸ κατὰ τὸν Οἰδίποδα.

l. 121. Οὐ μιᾷ ῥώμῃ) ἀντὶ οὐχ ἕνα μόνον, ἀλλὰ καὶ πολλούς.

l. 123. Εἴ τι μὴ ξὺν ἀργύρῳ) ἀντὶ τοῦ, εἰ μὴ ἐπὶ κέρδει. τείνει δὲ τοῦτο εἰς Κρέοντα, ὡς αὐτοῦ συνθεμένου τῷ τοῦ Λαΐου φονεῖ, διὰ τὴν βασιλείαν. Ἐνθένδε οὖν, ἐκ τῆς πόλεως ταύτης.

l. 125. Δοκοῦντα ταῦτ' ἦν) καὶ τότε (φησὶ) ταῦτα ὑπενοεῖτο, ὅτι ἐπιβεβούλευται.

l. 129. Ἡ ποικιλῳδὸς) ἠνάγκαζεν ἡμᾶς ἡ σφὶγξ μεθέντας τὰ ἀφανῆ τὰ κατὰ τὸν φόνον τοῦ βασιλέως. τοῦτο γὰρ ἀφανές, τὸ παρὰ ποσὶ κακὸν σκοπεῖν. Ἢ οὕτως. ἡ σφὶγξ ἠνάγκαζεν ἡμᾶς, μεθέντας τὸ σκοπεῖν τὰ κατὰ τὸν φόνον, τὰ πρὸς ποσὶν ἀφανῆ ζητεῖν τουτέστι τὰ ἀφανῆ αἰνίγματα.

l. 131. Ἀλλ' ἐξ ὑπαρχῆς) αὖθις ζητεῖν τὰ παρακείμενα ἡμῖν. δηλ. ἀναδραμοῦμαι ἐπὶ τὴν ἀρχὴν τοῦ πράγματος, καὶ εἰς φῶς ἄξω ἴσως δὲ λεληθότως καὶ τὸ ἕτερον ἔγκειται ἐν τῷ ἐγὼ φανῶ ὅπερ οὐ φησι μὲν ὁ Οἰδίπους, μανθάνει δὲ ὁ ἀκροατής, ἐπεὶ τὸ πᾶν ἐν αὐτῷ φανήσεται.

l. 133. Τήνδ' ἔθεσθ' ἐπιστροφήν) γράφεται, τήνδε θεσπίζει γραφήν.

l. 135. Τιμωροῦντα) προσβοηθοῦντα.

l. 136. Ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων) οὐ μόνον ὑπὲρ τοῦ ἀνῃρημένου βασιλέως ἄξιον ποιήσασθαι τὴν ἀναζήτησιν. ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ ἐμοῦ. ὁ γὰρ ἐκεῖνον ἐπιχειρήσας, ἴσως κἀμοὶ ἐπιβουλεύσει. πεπλασίασται δὲ πάλιν ὁ λόγος, καὶ τὴν ἀλήθειαν αἰνίττεται τῷ θεάτρῳ, ὅτι αὐτὸς δράσας τὸν φόνον ὁ Οἰδίπους, καὶ ἑαυτὸν τιμωρήσεται.

l. 139. Κείνῳ προσαρκῶν) καὶ τοῦτο κινητικὸν τοῦ θεάτρου. τὰ γὰρ ἐναντία ἀποβήσεται.

l. 141. Ἵστασθε) ἀνίστασθε.

Ἱκτῆρας) τοὺς ἱκετευτικούς.

l. 142. Ἄλλος δὲ Κάδμου λαὸν) πιθανὴ ἡ εἴσοδος τοῦ χοροῦ. σκέψεσθαι γάρ φησι δεῖν μετὰ τοῦ δήμου περὶ τῶν πρακτέων.

Pag. 163. l. 147. Ὦ παῖδες) ἔξεισιν ὁ ἱερεὺς πράξας δι' ὅπερ ἦλθεν. ἅμα δὲ καὶ ὑπὲρ τοῦ χώραν εἶναι ἑτέρῳ ὑποκριτῇ.

l. 148. Ἐξαγγέλλεται) ἐξαγγέλλει. ἡ δὲ χρῆσις ἀττική.

l. 151. Ὦ Διὸς ἁδυεπὲς) κατὰ τὴν πρόσταξιν τοῦ βασιλέως πάρεισι πρεσβῦταί τινες, ἐξ ὧν ὁ χορὸς συμπληροῦται. Διὸς δὲ ἡδυεπῆ φάτιν τὴν μαντείαν φησίν. ὁ γὰρ Ἀπόλλων ὑποφήτης δοκεῖ εἶναι τοῦ πατρός, καὶ παρ' ἐκείνου λαμβάνειν τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρειν, καὶ Ὅμηρος, Διὸς ἄγγελος ὅσσα δεδήει. λείπει δὲ ἡ ἀπὸ ἵν' ᾖ, ἀπὸ τῆς Πυθῶνος. ἡ δι' ἀέρος διαδιδομένη.

l. 152. Τίς ποτε τᾶς πολυχρύσου) εἴτις ποτέ ἐστιν. ὅτι μὲν γὰρ πάρεστι λόγιον ἀπὸ τῆς Πυθῶνος, ἀκηκόασι, τὸ δὲ ῥητὸν αὐτοῦ ζητοῦσιν.

l. 154. Ἐκτέταμαι) ἐκπέπληγμαι.

Φοβερὰν φρένα) τὴν περίφοβον. καὶ Ἀλκαῖος, ἐλάφῳ δὲ βρόμος ἐν στήθεσι φύει φοβερός. ἀντὶ τοῦ περίφοβος.

l. 155. Δείματι πάλλων) ἀντὶ τοῦ παλλόμενος φόβῳ, ἀγωνιῶν. γράφεται καὶ πολλῷ. τοῦτο δὲ τοῖς περὶ αὐτοῦ συναπτέον, ἀγωνιῶν τὴν φρένα ἐπὶ τοῖς ἀπὸ σοῦ χρησμοῖς, σεβόμενος τὰ ἀπὸ σοῦ εἰρημένα.

l. 156. Ἰήϊε Δάλιε παιὰν) διὰ μέσου τοῦτο. ἐπεὶ δὲ τῶν παιάνων λέγεται τὸ ἰήϊος, ἐπεὶ τοιούτῳ μέλει ᾖδον τοὺς παιᾶνας. ἐπεὶ δὲ πρὸς τὸν Ἀπόλλωνα ᾖδοντο οἱ παιᾶνες, ἐλέγετο καὶ ὁ Ἀπόλλων ἰήϊος, ὡς ὑπὸ τοιούτου μέλους ὑμνούμενος· ὥσπερ εὔϊος ὁ Διόνυσος. καὶ ἐπὶ τοῦ παιᾶνος τὸ αὐτὸ τοῦτο συμβαίνει λέγεται γὰρ παιὰν ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος, καὶ ἀπὸ τούτου καὶ ὁ Ἀπόλλων, καθ' ὃ καὶ ἐνταῦθα, δείκνυται δὲ καὶ ἐν τούτοις τοῦτο σαφέστερον. Ὑμνεῖτε παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα.

l. 159. Ἢ περιτελλομέναις ὥραις) εἰς τὸν ἑξῆς χρόνον περιϊούσης τῆς ὥρας. ὁ δὲ νοῦς, τί μοι ἢ νῦν ἢ μετὰ χρόνον ἀνύσεις.

l. 162. Ἐλπίδος ἄμβροτε φάμα) καλῶς. παρ' ὅσον ἐν ἐλπίδι τινὶ γενόμενοι οἱ ἄνθρωποι οὕτω φημίζουσι περὶ τὸ λόγιον, παρ' ὅσον ὑπὸ ἐλπίδος καὶ χρησμοὺς αἰτοῦσιν ἀπὸ θεῶν.

l. 163. Πρῶτά σε) γράφεται πρώταν γε.

l. 164. Θύγατερ Διὸς) μεταβαίνει

λοιπὸν

κοινὸν εἰς τὸ ἐπικαλεῖσθαι τινὰς τῶν θεῶν.

l. 166. Γαιάοχον τ') ἐπειδὴ ἡ αὐλὴ ἐστὶ τῇ ἑκάτῃ. ἡ δὲ θεὸς αὕτη ἐν ταῖς ἀγοραῖς εἰλεῖται καὶ τιμᾶται ἐν ταῖς τριόδοις. ἢ ἀντὶ τοῦ τὴν πολιοῦχον. ὥστε τὴν γῆν ἀντὶ τῆς πόλεως εἴληφεν.

l. 168. Εὐκλεᾶ θάκσει) Εὔκλεια ἄρτεμις οὕτως παρὰ βοιωτοῖς τιμᾶται.

l. 169. Καὶ φοῖβον) τάχα μὲν διὰ τὸ ἐπὶ λοιμοῦ τὴν εὐχὴν γίνεσθαι, ὧν αἴτιος εἶναι δοκεῖ· τάχα δὲ διὰ τὴν μαντείαν.

l. 172. Καὶ προτέρας ἄτας) τῆς ἀπὸ τῆς σφιγγός. τὸ δὲ ἠνύσατε ἀντὶ τοῦ ἐφθείρατε καὶ Ὅμηρος Ηθλω σ' ἐξανύω δὲ καὶ ὕστερον ἀντιβολήσας.

l. 174. Ἐκτοπίαν) ξένην καὶ ἀλλόκοτον. ἢ ἠνύσατε αὐτὴν ἐκτοπίαν γίνεσθαι, ὅ ἐστιν ἐκτὸς καὶ ἐπὶ τῶν τόπων τῆς πόλεως.

Φλόγα πήματος) περιφραστικῶς, τὴν πημονὴν τὴν διάπυρον.

l. 177. Πρόπας στόλος) ἡ πᾶσα δύναμις. ὁ πᾶς λαός.

l. 178. Φροντίδος ἔγχος) ἀλληγορικῶς ἡ βοήθεια, παρὰ τὸ ἔχεσθαι. ἔστι, οὐκ ἔνεστι τῷ νῷ τῆς φροντίδος ἔγχος. τοῦτο δὲ, ἐστι τὸ διὰ τῆς βουλῆς καὶ προμηθείας γινόμενον ἀλέξημα καὶ ἀμμυντήριον.

l. 180. Ἔκγονα χθονὸς) ἢ τὰ δένδρα, ἢ τῶν παῖδας φησίν.

l. 181. Οὔτε τόκοισιν) αἵτε γυναῖκες τῶν καμάτων ἐν τοῖς τόκοις οὐκ ἀνέχουσι. τουτέστιν, οὐ περιγίγνονται τῶν πόνων. τὸ δὲ ἀνίχουσιν, ἤτοι ἐλευθεροῦνται, καὶ ἄνω ἑαυτὰς ἔχουσιν, ἢ ἄγουσιν, ἐκ μεταφορᾶς τῶν ἀνανευόντων μόγις ἐν τῷ νήχεσθαι. ἢ ἄνεσιν ἔχουσιν.

l. 182. Ἰηίων) ἤτοι τῶν μετ' εὐχῆς γιγνομένων. ἢ τῶν λοιμικῶν. ἰήϊος γὰρ ὁ ἀπόλλων, εἰς ὃν ἡ ἀγνεία τῶν λοιμῶν ἀναφέρεται. ἢ ὅτι ἐπίφθεγμα κοινόν ἐστι καὶ ἀντέκειδος αἱ δὲ γυναῖκες ἐν ταῖς ἀνάγκαις τὰς τοιαύτας ἀφιᾶσι φωνάς, οἱ δὲ ἀκούσι τῶν θρηνητικῶν.

l. 183. Ἄλλον δ' ἂν ἄλλῳ) ἄλλον ἐπ' ἄλλῳ ἴδοις ἀποθνήσκοντα, ὡς ὄρνιθες ἐν τῷ πλήθει ἄλλος ἐπ' ἄλλῳ πέτεται.

l. 186. Κρεῖσσον ἀμαιμακέτου πυρὸς) ἢ ἔστι ὀξυτέρου πυρὸς εἰς τὸ ἀπιδεῖν εἰς ἅδην ἢ κρεῖσσον πυρὸς, ὡς μὴ καταλαμβάνειν τὸ πῦρ τὸ τῶν ἀποθνησκόντων πλῆθος καὶ καίειν, καὶ γὰρ ὑπερβολὴ καὶ ἐπίτασις τοῦ πάθους. Ἄλλως. ἀπτονώτερον τῆς περιουσίας μεγάλης φλογὸς, καὶ πρὸς τὴν ἰὰ ἐστι μῆκος παραβαλεῖν.

Pag. 165. l. 187. Ὅρμενον) κινούμενον πρὸς τὴν παραλίαν τοῦ ἑσπέρου θεοῦ, ἤγουν σκοτεινοῦ. περιφραστικῶς δὲ τοῦ ἅδου, πρὸς ὃν ἔλεγον διὰ τῆς ἀχερουσίας λίμνης κατάγεσθαι τὰς ψυχάς.

Ἑσπέρου θεοῦ) τοῦ ἅδου.

l. 189. Νηλέα δὲ γένεθλα) νηλέα τὰ μὴ τυχόντα ἐλέους. τὸ αὐτὸ δὲ ἐστι τῷ ἀνοίκτους οὐκ ἠλέουν δὲ ἀλλήλους, ἕως ὑπὸ τῆς συνηθείας τοῦ κακοῦ, ἢ ὑπὸ φόβου καὶ προσδοκίας τῶν ὁμοίων.

l. 193. Ἀκτὰν παραβώμιον) ἀντὶ τοῦ παραχώριον, ὅπου οἱ βωμοὶ τῶν ναῶν εἰσίν. ἐκ τούτου δῆλον ὅτι καὶ τέλειοι ἀπέθνησκον. Ἄλλως. ἐπ' ἀκτὰν παραβώμιον, ἐπὶ τὴν παρὰ τοῖς βωμοῖς ἐξοχήν.

l. 194. Ἄλλοθεν ἄλλαι) ἤγουν ἀπ' ἄλλου μέρους ἄλλαι κείμεναι.

l. 195. Ἱκτῆρες) ἱκετίδες ἐπιστενάχουσιν ἕνεκα τῶν χαλεπῶν πόνων.

l. 196. Παιὰν δὲ λάμπει) ἀντὶ τοῦ ἀκμάζει λαμπρῶς τῇ φωνῇ. λέγεται πρὸς ἀποτροπὴν τῶν κακῶν.

l. 197. Ὅμαυλος) ὁμόθρους. ὁμόφωνος. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Ὧν ὕπερ ὦ χρυσέα θύγατερ) πρὸς τὴν φήμην πάλιν φησὶ τῆς μαντείας. ἐλπίζουσι γὰρ ἐπί τινι ἀγαθῷ τὸ μάντευμα ἀποβήσεσθαι. χρυσέα δὲ, τιμία. φασὶ γὰρ οὕτως τιμᾶσθαι χρυσῆν.

l. 199. Ἄρεά τε τὸν μαλερὸν) ἀντὶ τοῦ, τὸν καταμαραίνοντα. τάττει δὲ τοῦτο ἐπὶ τοῦ λοιμοῦ τοῦ δίκην ἀνειρῶντος πολέμου. ἀπὸ κοινοῦ δὲ τὸ πέμψον.

l. 200. Ὃς νῦν ἄχαλκος ἀσπίδων) οὐ χρώμενος ὅπλοις φλέγει ἡμᾶς. περιβόντος δὲ, περὶ ὃν ἕκαστος βοᾷ. μετὰ βοῆς καὶ οἰμωγῆς ἐπιών, ὡς ἐπὶ πολέμου πάλιν.

l. 202. Νωτίσαι) ἀπελάσαι ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς. ἢ οὕτως, πέμψον ἀλκὴν ὥστε παλινόρμητον αὐτὸν γενέσθαι, τὰ νῶτα τῇ πόλει δόντα. λείπει δὲ τὸ δός.

l. 203. Πάτρας ἔπουρον) ἤτοι ἐπ' οὖρον. ὅ ἐστιν εἰς ἄνεμον. Ὅμηρος, Εἰς ὄρος, ἢ εἰς κῦμα. ἢ ἄπωθεν, ἀπὸ τῶν ὅρων τῆς πόλεως.

Εἰτ' ἐς μέγαν) κατὰ τοῦ βυθοῦ. τοῦτο γάρ ἐστι θάλαμος ἀμφιτρίτης. ἤγουν, ἔνθα αἱ συμπληγάδες πέτραι εἰσίν.

l. 205.

l. 205. Ἔς τ' ἐς τὸν ἀπόξενον] ἴσως τὸ ἀλιμυδικατόν φησι, περὶ ὃν ἰσορεῖται πολλὰ ναυάγια γίγνεσθαι. ὥστε μὴ μόνον ἐξ ἁπάσης γῆς ἐξεληλάσθαι, ἀλλὰ μηδὲ ἐν κοινῇ θαλάσσῃ εἶναι. ἀπόξενον δὲ, δυσχείμερον.

l. 207. Τέλει γὰρ εἴ τι] ἀντὶ τοῦ εἴ τι ἡ νὺξ ἀγαθὸν καταλείπεται, τοῦτο ἐν ἡμέρᾳ διαιρεῖται. βούλεται δὲ λέγειν ὅτι τὰ παραδιαλειπόμενον ἔχει, εἰ γάρ τι ἡ νὺξ ἀφῇ ἐπὶ τοῦ ἑαυτῆς τέλει ἀβλαβὲς, μὴ φθάσασα αὐτὸ ἀπολέσαι, τοῦτο μεθ' ἡμέραν ἀνήρπασται.

l. 209. Τὸν, ὦ πυρφόρων] τὸ ἀντὶ τοῦ ὅν. τὸν μαρμαντικὸν ἄρεα κεραύνωσον ὦ Ζεῦ. Ἄλλως. ὦ νέμων (ἤγουν διοικῶν) τὰ κράτη τῶν πυρφόρων ἀστραπῶν. ἢ οὕτως, ὦ νέμων τῷ κράτει τῷ σῷ καὶ διὰ τῆς σῆς ἰσχύος τὴν πυρφόρον ἀστραπήν.

l. 212. Λύκει' ἄναξ] βουλοίμην δὲ καὶ τὰ σὰ βέλη, ὦ Ἄπολλον, τὰ ἀδάμαστα καταμερίζεσθαι εἰς αὐτὸν, καὶ τὰς λαμπάδας Ἀρτέμιδος.

l. 214. Ἐνδατεῖσθαι] ἐν μερισμῷ δίδοσθαι καὶ διατρίβειν μετῆκται δὲ ἀπὸ τῶν δαιμονιζομένων.

l. 218. Τὸν χρυσομίτραν] τὸν Θηβαῖον Διόνυσον, τὸν ταῖς βάκχαις συνοικοῦντα.

l. 221. Μονόστολον] γράφεται ὁμόστολον.

l. 223. Ἐπὶ τὸν ἀπότιμον θεὸν] λέγει τὸν λοιμὸν, τὸν μὴ μετέχοντα τῆς τιμῆς τῶν θεῶν. θεοῦ γάρ ἐστι τὸ εὐεργετεῖν τοὺς ἀνθρώπους.

Pag. 167. l. 224. Αἰτεῖς] ὧν δὲ αἰτεῖς, ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν. ἐὰν θέλῃς τὰ ἐμὰ ἔπη δέχεσθαι, ἃ δὴ ἐπὶ ἐξερῶ ξένος ὢν καὶ τοῦ πράγματος καὶ τοῦ λόγου, ὅτι οὐκ ἀκηκοὼς πρότερον περὶ τοῦ φόνου τοῦ Λαΐου, οὐδὲ μὴν καθ' ὃν χρόνον ἐπράχθη ὁ φόνος παρών.

l. 225. Ὑπηρετεῖν] ἐπαρκεῖν καὶ συμπράττειν.

l. 227. Τοῦ λόγου] τοῦ λεχθέντος ὑπὸ Ἀπόλλωνος.

l. 228. Τοῦ πραχθέντος] τοῦ φόνου.

Οὐ γὰρ ἂν μακρὰν] οὐ γὰρ ἂν (φησὶ) πολλοῦ ὄντος τοῦ χρόνου τοῦ μεταξὺ ἀνεζήτει τὸ πρᾶγμα, εἰ μὴ ᾔδειν καταληψόμενος. ἐλπίδα δὲ αὐτοῖς ὑποβάλλει ὅτι δύναται ἀνευρεῖν τὸν φονέα, ἵνα προθυμότεροι συλλάβωνται αὐτῷ.

l. 229. Σύμβολον] τῆς γνώσεως.

l. 230. Νῦν δ' ὕστερος γὰρ ἀστὸς] μεταφέρει ἀπὸ τῶν ἐν ταῖς πόλεσι ξένων τελεύτων τῇ μετοικίᾳ. ἀντὶ τοῦ πεπολιτογράφημαι, καὶ ἄρτι αὐτὸς ἐνομίσθην ξένος ὤν, καὶ ἐβασίλευσα. Ἄλλως. νῦν δὲ εἰς ἀστοὺς τελῶ. δοκῶν γὰρ εἶναι ξένος, τῆς βασιλείας τετύχηκα, ἐπεὶ οὖν (φησὶ) συντελῶ εἰς τὴν πολιτείαν, καὶ μέλει μοι τῶν κοινῶν, ταῦτα ὑμῖν προφωνῶ. μετῆκται δὲ ἀπὸ τῶν συντελούντων ἐν ταῖς πόλεσι, καὶ τὴν ἰδίαν δύναμιν εἰς τὸ κοινὸν φερόντων.

l. 234. Πάντα σημαίνειν ἐμοὶ] τὰ πραχθέντα δηλονότι.

l. 235. Κεἰ μὲν φοβεῖται] καὶ εἰ μὲν αὐτὸς εἴη πράξας. καὶ φοβεῖται λέγειν αὐτὸς καθ' αὑτοῦ, τὸν φόβον ὑπεξελὼν λεγέτω. οὐδὲν γὰρ δεινὸν πείσεται, εἰ μὴ ὅτι τῆσδε τῆς γῆς ἀπαλλάξεται. εἰ δὲ ξένον τις οἶδε τὸν φονέα, μηνυσάτω. καὶ αὐτὸς μὲν παρέξω κέρδος, καὶ εἰς ἀεὶ χάριν ἕξω. πανταχόθεν οὖν προτρέπεται τοὺς μηνύοντας.

l. 243. Ἀκτῶν δ'] ὅτι ἂν αὐτῶν ἀναγκασθείς τῶν πραγμάτων.

l. 244. Τὸν ἄνδρ' ἀπαυδῶ] πολὺν ἔλεον ἐργάζεται ὁ λόγος, ὅτι κατηγορεῖ ἑαυτοῦ ἀγνοῶν. πρότερον δὲ τὰ φιλανθρωπα εἰρηκὼς, τελευταῖα ἐπήνεγκε τὰ σκληρότερα.

l. 252. Τῷ δέ δαίμονι] τῷ ταῦτα μαντευσαμένῳ Ἀπόλλωνι.

l. 254. Κατεύχομαι] καταρῶμαι τὸν φονέα.

l. 256. Ἄμοιρον ἤτοι κακὸν μοῖρον] ἢ μηδενὸς τῶν νενομισμένων μετειληφότα, ἀλλ' ἄταφον ἐκβληθῆναι. ἀγνοῶν δὲ ἐπαρᾶται ἑαυτῷ εἰ ξυνοίδε τὸν φονέα, δις. καὶ περιπαθέστερος γίγνεται ὁ λόγος.

l. 260. Ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω] ἐνόρκως ἐντέλλομαι τὸ ἀγγεῖλαι τὸν φονέα, ἢ ἀπωθεῖσθαι τῶν οἰκιῶν καὶ τῶν θυσιῶν. πρὸς τὸ Ἐγὼ μὲν τοιόσδε, ἀποδίδοται τὸ ὑμῖν δέ.

l. 261. Ὑπέρ ἐμαυτοῦ] ἐπισκήπτω ταῦτα ἐπειδὴ εὑρημένου τοῦ φονέως καὶ δίκην δεδωκότος, ἀπαλλάξομαι μὲν φροντίδος. ἀσφαλέστερον δὲ αὐτὰ καὶ τὰ πράγματα ἕξει, τοῦ κατὰ τῶν βασιλέων τόλμης ὑπεσταλμένης, τοῦ τὸν ἅπαξ τετολμηκότα κεκολάσθαι.

Τοῦ θεοῦ τε] τοῦ Ἀπόλλωνος.

l. 263. Οὐδ' εἰ γὰρ ἦν] καὶ γὰρ εἰ μὴ ἦν ὅλως τὸ ἄγος ὑπὸ θεῶν ἐλαυνόμενον, καὶ οἱονεὶ πολυπραγμονούμενον, ὑμᾶς ἔδει κινουμένους οἴκοθεν, καὶ μὴ ἀναμείναντας

αὐτὰς τὴν ἐκ θεῶν πρᾶξιν ἀναζητεῖν. Μὴ θεήλατον] δηλονότι χωρὶς θείας βοηθείας

Pag. 169. l. 269. Κοινῶν τε παίδων κοίν' ἂν κοινὰ ἀδελφὰ τοῖς ἐξ ἡμῶν δηλονότι, καὶ ἡμῖν ἂν ἐγένετο εἰ ἦν τέκνα τῷ Λαΐῳ γενόμενα.

l. 170. Μὴ 'δυστύχησεν] ὥστε μὴ παιδοποιήσασθαι.

l. 271. Τὸ κείνου κρᾶτα] τὴν ἐκείνου κεφαλήν.

l. 272. Ἀνθ' ὧν ἐγὼ] αἱ τοιαῦται ἔννοιαι οὐκ ἔχονται μὲν τοῦ σεμνοῦ, κινητικαὶ δέ εἰσι τοῦ θεάτρου. αἷς καὶ πλεονάζει Εὐριπίδης· ὁ δὲ Σοφοκλῆς πρὸς βραχὺ μὲν αὐτῶν ἅπτεται, πρὸς τὸ κινῆσαι τὸ θέατρον.

l. 287. Τοῖς μὴ δρῶσι] τοῖς μὴ δεικνύουσί μοι τὸν φονέα.

l. 288. Ἄροτον] τουτέστι καρπόν.

l. 294. Ὡδ' ἄναξ ἐρῶ] οὕτως ἐρῶ καὶ αὐτὸς ἐπομνύμενος καὶ κατὰ τὰς ἀρὰς ἐπαρώμενος, μήτε δρᾶσαι τὸν φόνον, μήτε τοὺς δράσαντας ἐπίστασθαι.

l. 296. Τὸ δὲ ζήτημα] ἀπορῶν ὁ χορὸς ἐπὶ τὸ θεῖον πάλιν ἀνατρέχει.

l. 298. Δίκαι' ἔλεξας] τοῦτό φησιν ἵνα μὴ πάλιν πέμψωσιν εἰς θεὸν, καὶ γένηται διατριβὴ ἐν τῷ δράματι· ὅπερ ὑπόψυχρον.

l. 305. Τὰ δεύτερ' ἐκ τῶνδ' ἂν] τὰ ἐκ τῶνδε δεύτερα, (ἤγουν τὰ ἐν δευτέρᾳ τάξει) μετὰ ταῦτα λέγοιμι ἂν ἅ μοι δοκεῖ, ἤγουν φαίνεται δεύτερα.

l. 307. Ἄνακτ' ἄνακτι] ἀποκλειομένου τοῦ πέμπειν εἰς θεὸν, καταφεύγουσιν εἰς τὴν ὁμοίαν μαντικήν. τῷ αὐτῷ δὲ ὀνόματι προσαγορεύει τὸν Τειρεσίαν ὡς καὶ τὸν θεὸν καὶ τὰ αὐτὰ ὁρᾶν ἐκείνῳ φησίν. Ἄλλως. ἄνακτα λέγει τὸν Ἀπόλλωνα καὶ τὸν Τειρεσίαν, τὸν μὲν, ὡς φύσει ἀνάσσοντα, τὸν δὲ Τειρεσίαν, ὡς ὑπὸ τῶν ἀνθρώπων οὕτω τιμώμενον διὰ τὸ κράτος τῆς μαντικῆς.

l. 310. Ἀλλ' οὐκ ἐν ἀργοῖς] κἀνταῦθα τὸ κηδεμονικὸν τοῦ ἤθους διετήρησε· τὸ μὲν οὖν διπλοῦς πομποὺς, τῆς σπουδῆς ἐστι τεκμήριον· τὸ δὲ, Κρέοντος εἰπόντος, πιθανὸν εἰς τὰ ἑξῆς, ἵνα ἡ ὑπόνοια αὐτοῦ πίστιν ἔχοι, τὸ πεπεισμένον ὑπὸ τοῦ Κρέοντος τὸν Τειρεσίαν μαντεύεσθαι κατὰ τοῦ Οἰδίποδος τὰ ψευδῆ.

l. 313. Κωφὰ] ψυχρὰ, καὶ οὐδὲν σαφὲς ἔχοντα, τὰ ψιθυριζόμενα.

l. 319. Ὧι μή 'στι] ὁ μὴ τὸ ἔργον δεδοικὼς, οὐδὲ τὸν λόγον φοβεῖται. ἢ, οὐδὲ ὁ λόγος φόβον αὐτῷ ἐντίθεται.

l. 320. Ἀλλ' ὁ ὑξηλέγχων] καὶ ταῦτα εἰς σύστασιν τῶν προσώπων, ἵνα μηδὲ ὕστερον δυνηθείη ἀρνήσασθαι.

Pag. 171. l. 309. Χθονοστιβῆ] τὰ ἐν τῇ γῇ, τὰ ἐπίγεια.

l. 320. Ῥῦσαι δ' ἐμὲ] ὅρα τὸ τοῦ κηδεμόνος, ὅτι τελευταῖον ἑαυτὸν ἔταξεν, ὅπως ἀφέλοιτο τὸ φορτικὸν τῆς ἐξουσίας.

l. 322. Ἄνδρα δ' ὠφελεῖν] παιδευτικὸς ὁ λόγος, ἔδει ἅπαντας ἀφ' ὧν δύναιντο ὠφελεῖν τοὺς πέλας.

l. 324. Φρονεῖν ὡς δεινὸν] ὡς δεινὸν (φησὶ) τὸ φρονεῖν, ὅταν τὸ φρονούμενον τῷ φρονοῦντι μὴ λυσιτελῇ. χελιδίζει δὲ, μὴ βουλόμενος εἰς φῶς ἄγειν τὰ τοῦ Οἰδίποδος. διαλελυμένως δὲ εἶπε, τέλη λύῃ, ἀντὶ τοῦ λυσιτελῇ.

l. 325. Ταῦτα γὰρ καλῶς ἐγὼ] τὰ συμβησόμενά μοι, ὅτι ἀναγκασθήσομαι, λέγειν ἃ μὴ βούλομαι, τὸ ἐξελέγχειν τὸν Οἰδίποδα, ταῦτα εἰδὼς, διώλεσα αὐτά. οὐ γὰρ ἂν δεῦρο ἠρχόμην.

l. 329. Ἤν ἐμοὶ πίθῃ] ἐάν με ἀπελθεῖν ἐάσῃς.

l. 331. Τήνδ' ἀποστερῶν φάτιν] μὴ λέγων τὸν χρησμόν. τὸ δὲ ἀποστερῶ, ἐνίοτε μὲν ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν ἐνίοτε δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, ὡς ἐνταῦθα.

l. 332. Ὁρῶ γὰρ οὐδέ σοι τὸ σὸν φώνημ' ἰὸν] οὐ γὰρ σύμφορος σοι οὐδὲ κατὰ καιρὸν ἡ ζήτησις γίγνεται. ἵνα οὖν μὴ ἐκ τούτου μέμψις ἀπολουθήσῃ, σιωπῶ. τὸ μὲν κατὰ λόγον, ἐλλιπές ἐστι. τὸ δὲ κατὰ διάνοιαν, πλῆρες. ὃ δὲ βούλεται λέγειν, ὁρῶ τὸ σὸν φώνημα μὴ πρὸς καιρὸν ἐξιόν· κἀγὼ οὖν φωνὴν μὴ πρὸς καιρὸν ἀφιέναι φυλάσσομαι.

l. 334. Μὴ πρὸς θεῶν] ὑποβαλόντος τοῦ Τειρεσίου ἀρχὴν ὅτι ἐπίσταται, ὁ χορὸς καταλιπαρεῖ εἰπεῖν· εἶτα ἀρνουμένου, ἐξάγεται εἰς λοιδορίαν πρὸς αὐτὸν ὁ Οἰδίπους. ὅθεν παροξυνθεὶς λέγει. ἔχει οὖν τὰ τῆς ὑποθέσεως ἄριστα.

l. 336. Ἐγὼ δ' οὐ μήποτε] οὐκ ἐμφανῶ τὰ ἐμὰ ἔπη, ἵνα μὴ τὰ σὰ εἴπω κακά. ἤδη δὲ τρανότερον φησιν, ὅτι τὰ αὐτοῦ κακὰ ἀποκρύπτεται.

l. 340. Ἐγώ τ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ] ἑαυτὸν ἀλγυνεῖν ἔφη, ἴσως ἐπιστάμενος ὅτι κακῶς ἀκούσεται ὑπ' αὐτοῦ ἀπιστοῦμενος. τάχα δὲ καὶ βουλόμενος ἀποκρύπτειν συμπεριέλαβεν ἑαυτὸν, ὡς καὶ ἔμπροσθεν, Τἄμ', ὡς ἂν εἴπω μὴ τὰ σ' ἐκφήνω κακά.

l. 342.

l. 342. Οὐκ, ὦ κακῶν κάκιστε] ἐν ὑπερβατῷ ὁ λόγος, οὐ λέξεις ὦ κακῶν κάκιστε.

Καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ᾽ ὀργάνειας] ὅ ἐστι παροξύνειας, καὶ εἰς ὀργὴν ἐμβάλλειας. ἀπολογεῖται δὲ περὶ τῆς ὕβρεως, λέγων ὅτι καὶ πέτρου φύσιν σύ γ᾽ ὀργάνειας.

l. 344. Ἀλλ᾽ ὧδ᾽ ἄτεγκτος κἀτελεύτητος φανῇ] ἄτεγκτος ἀντὶ τοῦ ἀσυμπαθής, καὶ ἀδάκρυτος. τέγγειν γὰρ τὸ βρέχειν. ἀτελεύτητος, δυσαξίωτος. δυσπαράκλητος. ἀμείλιχος.

l. 349. Ἥξει γὰρ αὐτά] ἤγουν αὐτόματα.

l. 351. Πρὸς τάδ᾽, εἰ θέλεις, θυμοῦ] τὸ θυμοῦ οὐκ ἔστι γενική, ἀλλὰ ῥῆμα προστακτικόν.

Pag. 173. l. 353. Καὶ μὴν παρήσω γ᾽ οὐδὲν] ὀργιζόμενος οὐδὲν σιωπήσομαι ὧν πέπεισμαι καὶ ὑπονοῶ.

l. 355. Εἰργάσθαι δ᾽ ὅσον μὴ χερσί] εἰργάσθαι τὰ ἄλλα τοῦ φόνου χωρὶς τῆς ἀπὸ τῶν χειρῶν ἐνεργείας. εἰ δὲ ἔβλεπες, ἐνεκάλουν ἄν σε καὶ φονέα αὐτόχειρα.

l. 358. Ἀληθὲς ἐννέπειν] λέγω σε τῷ κηρύγματι ὑπεύθυνον εἶναι τῷ ὑπὸ σοῦ εἰρημένῳ.

l. 362. Οὕτως ἀναιδῶς ἐξεκίνησας] οἴεται αὐτὸν πλασάμενον ψεύδεσθαι. εἰκότως δὲ ἀπιστεῖται ὡς δι᾽ ὀργὴν εἰρηκώς. εἰ δὲ ἐπιστεύθη κατ᾽ ἀρχὴν ὁ μάντις, τὰ ἑξῆς τοῦ δράματος ἀνῄρητο τοῦ ἀναγνωρισμοῦ, ἐν οἷς καταγίνεται μάλιστα ὁ ποιητής.

l. 370. Οὐ γὰρ ἔκ γε τῆς τέχνης] φανερῶς εἰς Κρέοντα ἡ ἀπότασίς ἐστι.

l. 384. Λεληθέναι σε φημὶ σὺν τοῖς φιλτάτοις] ἀσχημόνως ἀπήγγειλε τὸ περὶ τῆς μητρός.

l. 388. Ἀλλ᾽ ἔστι πλὴν σοί] δέον εἰπεῖν σου, πρὸς τὸ πλήν, πρὸς τὴν ὁπόθεν ἔξωθεν νοουμένην, εἰς τὸ ἔστι δεικτικὴν ἐπήνεγκε τὸ σοί.

Σοὶ δὲ τοῦτ᾽ οὐκ ἔστ᾽, ἐπεί] ἴσον ἐστὶν ὁ Οἰδίπους παραβαλλόμενος ὡς ὁ Ἀγαμέμνων πρὸς τὸν Κάλχαντα.

l. 390. Ἃ σοὶ οὐδεὶς] οὐδείς ἐστιν ὃς οὐ ταῦτα ὀνειδίσει ἅπερ μοι ὠνείδισας. τὸ δὲ τάχα, ἀντὶ τοῦ ταχέως. ἔστι, καί σε μετ᾽ ὀλίγον ἐροῦσι τυφλόν. καὶ περὶ τῆς πηρώσεως δὲ λεληθότως αὐτῷ μαντεύεται.

l. 392. Μιᾶς τρέφῃ πρὸς νυκτὸς] διπλοῦν τὸ διανόημα. ἤτοι οὕτως, ὑπὸ μιᾶς νυκτὸς τῆς ἀορασίας τῆς διηνεκῶς κατεχούσης σε τρέφῃ, ὡς μηδὲν διαθεῖναι κακὸν τοὺς ὁρῶντας· ἢ οὕτως, διὰ τὸ πηρὸν εἶναι ἐλεοῦσί σε πάντες. ἀπόχρη γὰρ καὶ τὸ τῆς πηρώσεως.

Μιᾶς νυκτὸς] συνεχοῦς τυφλώσεως.

l. 395. Ἱκανὸς Ἀπόλλων, ᾧ τάδ᾽ ἐκπρᾶξαι μέλει] ἀντὶ τοῦ, τὰ κατ᾽ ἐμὲ ἐκδικῆσαι. λείπει, ἐάν με φονεύσῃς.

l. 398. Ὦ πλοῦτε] πεποίηκε τὸν Οἰδίπουν ὑπονοεῖν ἐξ ὑποβολῆς Κρέοντος ταῦτα εἰρῆσθαι, ἵνα ζητοῦντος αὐτοῦ ἀφορμὴν εὔλογον ἔχῃ τὰ λοιπὰ τοῦ δράματος.

l. 403. Οὐξ ἀρχῆς φίλος] ἐν εἰρωνείᾳ.

l 404. Ὑπελθὼν] ὑπερχόμενος, τὸ ὑποκάτω τινὸς ἔρχομαι, καὶ ἀπὸ τούτου τὸ κολακεύω. οἱ γὰρ κολακεύοντες ὑπὸ τὴν γῆν σχηματίζονται. ἐνταῦθα δὲ τὸ ὑπελθὼν ἀπὸ μεταφορᾶς τῶν παλαιόντων λέγεται, ὅταν τοὺς ἀντιπάλους ὑπέρχωνται λαθόντες, ἵνα εὐχερῶς αὐτοὺς ποιήσαντες καταστρέψωσι.

l. 405. Μηχανορράφον] τὰ φαῦλα μηχανώμενον. μάγους δὲ ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας. ἀπὸ τούτου δὲ καὶ τοὺς φαρμακεῖς μάγους ἔλεγον.

l. 406. Ἀγύρτην] πτωχόν, ὀχλαγωγόν.

Pag. 175. l. 397. Δέδορκεν] ἐνταῦθα ἀντὶ τοῦ δύναμιν ἔχει τοῦ ὁρᾶν λαμβάνεται, καί ἐστιν ἀμετάβατον. εἰ γὰρ ἐλέγετο μεταβατικῶς, διὰ τῆς εἰς προθέσεως μετέβαινεν ἄν, τῆς δηλούσης κίνησιν, (καὶ εἶχεν ἂν ὁ λόγος οὕτως, ὅστις εἰς τὰ κέρδη δέδορκε μόνον) οὐ διὰ τῆς ἐν, ἥτις ἀεὶ στάσεως ἐστὶ δηλωτική.

l. 399. Ῥαψῳδὸς] ἡ σφὶγξ ἡ ῥάπτουσα τὰς ᾠδάς. τὸ δὲ ὄνομα τοῦ ῥαψῳδοῦ καθ᾽ Ὅμηρον, ἢ μεθ᾽ Ὅμηρον ἦν. κύνα δὲ αὐτὴν καλεῖ διὰ τὸ ἁρπακτικόν.

l. 401. Οὐχὶ τοῦ ᾽πιόντος ἦν] τοῦ τυχόντος. ἀντὶ τοῦ, οὐ τοῦ τυχόντος ἦν σαφηνίσαι. διὰ τούτων δὲ αὔξει τὸ ἴδιον κατόρθωμα μεῖζον καὶ μαντικῆς καὶ πάσης ἀνθρωπίνης συνέσεως.

l. 408. Παραστατήσειν πέλας] ἐκ παραλλήλου. τὸ γὰρ παραστατήσειν, τὸ πέλας στήσεσθαι δηλοῖ.

l. 410. Ἀγηλατήσειν] ἐὰν δασέως, τὸ ἄγος ἀπελάσειν τὸ περὶ τὸν Λάϊον· ἐὰν δὲ

ψῆλας, ἀντὶ τοῦ βασιλεύσειν.

l. 416. Ἐξιστατέον] λείπει ἐμοί.

l. 417. Τῶδε γὰρ κἀγὼ κρατῶ] τοῦ ἐξεῖναι λέγειν.

l. 419. Ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι] δηλώσομαι. ὅρα δὲ καὶ τὴν διαφορὰν τοῦ ὀνόματος. τῷ μὲν γὰρ ἐπιφθονωτέρῳ ἐπὶ τοῦ Οἰδίποδος ἐχρήσατο, τῷ δοῦλος· τῷ δὲ εὐπρεπεστέρῳ ἐπὶ τοῦ Κρέοντος. προστάτης δὲ λέγεται ὁ ἐν πολέμῳ ἔμπροσθεν ἱστάμενος καὶ βοηθὸς τοῖς ὄπισθεν, καὶ ὁ τῷ ἀξιώματι προέχων τῶν ἄλλων.

l. 425. Ἀμφιπλὴξ] ἡ ἐξ ἀμφοτέρων ἐλασία· ἡ ἑκατέρωθεν πλήξουσα, ἔκ τε πατρὸς καὶ μητρός.

l. 426. Δεινόπους] ἡ διὰ τὴν ποδῶν δέος ποιοῦσα.

l. 427. Βλέποντα νῦν μὲν ὄρθ'. ἔπειτα δὲ σκότον] καινότερον εἶπε, βλέποντα σκότον, ὥσπερ εἴ τις εἴποι σκοτίζοντα λέγοντα.

l. 428. Ποῖος οὐκ ἔσται λιμὴν] τὸ λιμένα τίθησιν ἀεὶ ἀντὶ τοῦ τόπου. τροπικῶς δὲ ἀντὶ τοῦ, ποῦ οὐκ ἐλεύσῃ βοῶν;

l. 430. Ὅταν καταίσθῃ] ὅταν αἰσθανθῇς καὶ νοήσῃς.

l. 436. Ἐκτριβήσεται] ἀντὶ τοῦ διαφθαρήσῃ ἐν τοῖς κακοῖς, ἢ ἀπολεῖσαι. ἡ μεταφορὰ ἀπὸ τῶν σμηχομένων ἀργύρων ἢ χαλκῶν, ἢ ἄλλων τοιούτων· ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα τριβόμενα ἐλαττοῦται.

Pag. 177. l. 442. Σχολῇ σ' ἂν] ἀντὶ τοῦ βραδέως. οὐδαμῶς.

l. 446. Ἥδ' ἡμέρα φύσει σε] ἀντὶ τοῦ, οἵων εἶ γονέων δείκνυσι.

Διαφθερεῖ] διὰ τὴν πήρωσιν, καὶ τὴν λοιπὴν τοῦ βίου ἀναστροφήν.

l. 447. Αἰνικτὰ] ἀσαφῆ καὶ κεκρυμμένα.

l. 448. Οὔκουν σὺ ταῦτ' ἄριστος] ὥσπερ εἰρωνευόμενος φησίν, αἰνίγματα ὄντα σὺ δῆλον ποίησον, ὅτι καὶ τὸ τῆς σφιγγὸς αἴνιγμα πρῶτος ἐξεῦρες. ὃ δέχεται εἰς ἔπαινον.

l. 450. Αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν] τὸ σὲ διαγνῶναι τὸ αἴνιγμα.

l. 451. Ἀλλ' εἰ πόλιν τήνδε] πάνυ τοῦτο προσφιλονεικεῖ τοῦ πλήθους.

l. 455. Εἰπὼν ἄπειμι] ἐνταῦθα παρρησιαστικώτερον ὅλον τὸ πρᾶγμα παραινίττεται, ἀμφοτέρων τοῦ ποιητοῦ στοχαζομένου, τοῦ τε τῷ δράματι συμφέροντος, ὅπως μὴ ἀνακαλύπτηται ἡ ὑπόθεσις· (διὸ αἰνιγματωδῶς πάντα φησί) τοῦ τε τῷ προσώπῳ πρέποντος. ἔδει γὰρ εἰπεῖν τὸν μάντιν τὰ μετ' ὀλίγον φανησόμενα.

l. 457. Τὸν ἄνδρα τοῦτον] ὡς περὶ ἑτέρου λέγων, αὐτὸν αἰνίττεται.

l. 462. Τῇ ξυμφορᾷ] τῇ συντυχίᾳ.

l. 464. Σκήπτρῳ προδεικνὺς] τὸ σκῆπτρον δεικνὺς σύμβολον τῆς ἑαυτοῦ εὐγενείας, ὅτι ἐκ βασιλέως πτωχὸς ἐγένετο.

l. 467. Καὶ τοῦ πατρὸς ὁμόσπορος] τὴν αὐτὴν σπείρων γυναῖκα.

l. 471. Τίς ὅντιν' ἁ Θεσπιέπεια] ἀκόλουθά εἰσι τὰ τοῦ χοροῦ πρὸς τὰ προειρημένα. νῦν δὲ οὐκ ἔστιν αὐτοῖς εὐπρόσωπον ἀναλογίζεσθαι περὶ ὧν εἶπεν ὁ μάντις· διὸ ἀνατρέχει ἐπὶ τὸ μάντευμα τοῦ θεοῦ. ὁ δὲ νοῦς, τίς ἐστιν οὗτος ὅντινα ἐμφανίζει τὸ μαντεῖον; ἢ οὕτως, τίς ἐστιν οὗτος ὃν κατεμήνυσεν ἡ δελφὶς πέτρα; ὅτι, ὁ μὴ λαθὼν τὸ μαντεῖον τοῦ Ἀπόλλωνος.

l. 473. Ἄρρητ' ἀρρήτων] ὑπερβολικῶς, ὡς τὸ δειλαία δειλαίων.

l. 475. Ὥρα νιν] καιρός ἐστι κινεῖν αὐτὸν πόδα εὐτονώτερον ἀνέμοις ἰσοταχῶν ἵππων.

l. 479. Κῆρες ἀναπλάκητοι] αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων κρατοῦσαι. κῆρες δὲ, τοῦ τελευτήσαντος Λαΐου. ἢ οὕτως, ἄφυκτοι. ἀπλάνητοι, ἀπαραπλάνητοι, ἀφανεῖς, ἃς οὐκ ἔστιν ἀποφυγεῖν.

Pag. 179. l. 481. Ἔλαμψε γὰρ] ὁ χρησμὸς γὰρ τοῦ Παρνασσοῦ τοῦ χιονώδους ὁ φανεὶς ἀρτίως ἐδήλωσε πάντα Θηβαῖον ζητεῖν τὸν κρυπτόμενον ἄνδρα, ἤγουν τὸν φονέα.

l. 484. Ἐξιχνεύειν] τοῦτο ἐπήγαγε καὶ τὰ ἄλλα ὀνόματα τροπικῶς, ὡς ἐπὶ ἀγρίας ταύρου τοῦ ὑπὸ πάντων ζητουμένου, καὶ ὥσπερ ἐν ὕλῃ κεκρυμμένου. οἰκεῖα δὲ ταῦτα τὰ ὀνόματα ἄντρα καὶ πέτραι.

l. 485. Φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν] ἐκεῖνος ὁ πεφονευκὼς, πανταχοῦ κρυπτόμενος οὐ βούλεται ἑαυτὸν ἐμφανίσαι.

l. 487. Μέλεος μελέῳ ποδὶ χηρεύων] ἀντὶ τοῦ, μηδενὶ γιγνωσκόμενος, τῇ φυγῇ μονάζων. ἢ καὶ αὐτὸ οἰκεῖον τῇ θηριώδει διαίτῃ.

l. 488. Τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων] ἀντὶ τοῦ φυγών. τὸ τόπον δὲ εἶπεν ἀντὶ τοῦ χρησμοῦ. ὅτι, τὸ δὲ χρησμὸς διαφεύγει μέχρι νῦν ὁ μηνυθεὶς

ὑπὸ

ὑπὸ τῶν θεοῦ. ὅτι δὲ ἡ Πυθὼ μεσόμφαλος, δηλοῖ καὶ ἡ περὶ τῶν ἀετοὺς ἱστορία, καὶ ὅτι χρύσεοι ἀετοὶ διὰ τοῦτο ἀνάκεινται, καὶ ὅτι τούτου χάριν ἐκεῖσε ὁ Ζεὺς τὸ μαντεῖον ἱδρύσατο.

l. 489. Μαντεῖα δ᾽ ἀεὶ ζῶντα] ἀλλ᾽ ἐστὶν ἤγουν τὰ μαντεύματα περιποτᾶται ζῶντα, καὶ ἰσχύοντα τῇ ἀληθείᾳ.

l. 491. Δεινὰ μὲν οὖν] μεταβαίνει ἐπὶ τὰ εἰρημένα ὑπὸ Τειρεσίου, σοφὸν μὲν οὖν αὐτὸν ὁμολογοῦσιν.

Δεινὰ ταράσσει] τούτῳ ἐχρήσατο, ἐπεὶ ἔδοξε δυσχερῶς ἐνεχθῆναι πρὸς τὸν ἄρχοντα.

l. 492. Σοφὸς οἰωνοθέτας] Τειρεσίας ὁ τὰς πτήσεις τῶν οἰωνῶν διατιθείς.

l. 493. Οὔτε δοκοῦντα] οὔτε πιστά, οὔτε ἄπιστα.

l. 497. Τί γὰρ ἢ Λαβδακίδαις] εἰκότως ἀπορεῖσι. ποῖον γὰρ νεῖκος γέγονε τοῖς ἀπὸ Λαβδάκου πρὸς τὸν Πόλυβον, ἔτι γὰρ νομίζουσιν αὐτὸν εἶναι Πολύβου.

Λαβδακίδαις] τῷ Λαΐῳ.

l. 498. Τῷ Πολύβου] τῷ Οἰδίπου.

l. 501. Πρὸς ὅτου δὴ βασάνῳ] ἀντὶ τῷ ποίῳ λογισμῷ. τίνος πράγματος κρίσει χρησάμενος τοῖς λεγομένοις πιστεύσω κατὰ τοῦ Οἰδίποδος.

l. 503. Φάτιν' ἐμ' Οἰδιπόδα] τὴν κατὰ τοῦ Οἰδίποδος γιγνομένην παρὰ Τειρεσίου.

l. 506. Ἀλλ᾽ ὁ μὲν οὖν Ζεὺς] θέλουσιν ἀνατρέψαι τὰ ὑπὸ τοῦ Τειρεσίου εἰρημένα, καί φασιν ὅτι οἱ μὲν θεοί, συνετοὶ καὶ μόνοι τὰ τῶν ἀνθρώπων εἰδότες· ὅτι δὲ οἱ μάντεις μᾶλλον τῶν λοιπῶν ἀνθρώπων τι ἐπίστανται, οὔ φημι, καὶ οὐδὲ ἡ κρίσις αὕτη ἀληθής ἐστι. γένοιτο μὲν γάρ τις κατὰ σύνεσιν ἕτερος ἑτέρου προύχων, οὐ μὴν αὕτη γε ἡ ἐπιστήμη ἐκ μαντικῆς ἐστιν, ἀλλ᾽ ἐκ φύσεως καὶ ἐντρεχείας ἑκάστῳ πάρεστιν.

l. 508. Ἀνδρῶν δ᾽ ὅτι μάντις] οὔπω πιστεύω ὅτι οἱ μάντεις πλέον ἐμοῦ φρονοῦσιν.

l. 511. Σοφίᾳ δ᾽ ἂν σοφίαν] σοφίαν νῦν φησὶ τὸν στοχασμόν. ὃ γὰρ λέγει, τοῦτό ἐστιν, ὅτι ἐν τῷ στοχάζεσθαι ἄλλος ἄλλον παρέλθοι καὶ νικήσειεν.

l. 513. Ἀλλ᾽ οὔποτ᾽ ἔγωγ᾽ ἂν] ἐγὼ δὲ οὐκ ἄν ποτε ἐπαινέσοιμι τῶν μεμφομένων τὸν βασιλέα, οὐδ᾽ ὀρθὸν ἂν αὐτῶν τὸ ἔπος φαίην, πρὶν ἴδοιμι σαφῆ τὰ ἔργα καὶ τὴν ἀπόβασιν.

l. 515. Φανερὰ γὰρ] ἃ μὲν ἐγκαλοῦσιν αὐτῷ, ἄδηλα, καὶ οὐ πάντως ἀληθῆ· ἃ δὲ κατώρθωσε, φανερά, ὅτι ἐπελθούσης αὐτῷ τῆς Σφιγγὸς ὤφθη σοφός.

Pag. 181. l. 519. Βασάνῳ θ᾽ ἡδύπολις] κρίσει τε ἡδὺς ὤφθη τῇ πόλει. ἢ οὕτως· ἀπὸ τῆς βασάνου δὲ τῆς Σφιγγὸς ἡδέως διετέθη ἡ πόλις πρὸς τὸν Οἰδίποδα.

l. 521. Ἄνδρες πολῖται] ἔρχεται ὁ Κρέων ἐπὶ τῇ κατὰ ἑαυτοῦ ὑπονοίᾳ ἀγανακτῶν, καὶ ἀπολογήσασθαι βουλόμενος. πολίτης δὲ ἐμός ἐστιν ὁ δεῖνα, οὐδέποτε δὲ μετὰ τῆς Συω. ἤγουν ἀπὸ τῆς αὐτῆς ἐστιν ἐμοὶ πόλεως. συμπολιτεύεται δέ μοί τις, μετὰ τῆς Συω, ἤγουν τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκεῖ.

l. 523. Ἀτλητῶν] μὴ καρτερῶν. μὴ φέρων δυσανασχετῶν.

Εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς] ἐν ταῖς δυστυχίαις ταῖς νῦν νομίζει τι πεπονθέναι παρ᾽ ἐμοῦ εἰς βλάβην φέρον, εἴτε διὰ λόγων εἴτε διὰ ἔργων, οὐδαμῶς ἐστιν ἐμοὶ ἐπιθυμία τῆς ἐπὶ πολὺ χρόνον παρεκτεινομένης ζωῆς φέροντι τήνδε τὴν κατηγορίαν.

l. 527. Οὐ γὰρ εἰς ἁπλοῦν] τὸ ἁπλοῦν ἐνίοτε δηλοῖ τὸ ἀποίκιλον, ὅθεν ἁπλοῦν ἦθος καὶ ἁπλοῦς λόγος. ἐνίοτε δὲ τὸ ἀσύνθετον· ἐνταῦθα δὲ τὸ ἓν δηλοῖ κατὰ ποιητικὴν ἐξουσίαν. ἀλλ᾽ εἰς πολλά, ὀφείλων εἰπεῖν, πρὸς τό, οὐ γὰρ εἰς ἁπλοῦν ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει, ὃ δὲ εἰς μέγιστον ἀποδίδωσι, συνάγων τὰ πολλὰ μετὰ ἐπιτάσεως εἰς τὴν τοῦ μεγίστου ὑπόθεσιν.

l. 531. Ἀλλ᾽ ἦλθε μὲν δὴ] ἐπειδὴ τὸ τοῦ χοροῦ πρόσωπον ἰσόρροπον δεῖ ἐν ταῖς διαίταις εἶναι, διὰ τοῦτο καὶ νῦν παραμυθεῖται τὸν Κρέοντα, ὅτι ἴσως καθ᾽ ὀργὴν τοῦτο εἶπεν, ἐρεθισθεὶς ὑπὸ τοῦ μάντεως.

l. 533. Πρὸς τοῦ δ᾽ ἐφάνθη] καθ᾽ ἐρώτησιν ὁ λόγος.

l. 536. Ἐξ ὀμμάτων ὀρθῶν δὲ] τοῦ χοροῦ οὐκ ἔχοντος λέγειν τινὶ γνώμῃ ταῦτα ἐλέγετο, ἀπὸ τοῦ ἔξωθεν συμβάλλειν βουλόμενος ὁ Κρέων, περὶ τοῦ βλέμματος καὶ τοῦ σχήματος ἐν ᾧ ταῦτα ἔλεγεν ὁ Οἰδίπους, πυνθάνεται.

l. 542. Τοῦδε τἀνδρὸς] ἀντὶ τοῦ, ἐμοῦ καὶ τοῦ Λαΐου.

l. 551. Οἶσθ᾽ ὡς ποιήσων] ἀντὶ τοῦ ποιήσεις. ἔστι δὲ ἀττικισμός.

l. 553. Λέγειν σὺ δεινὸς] σὺ μὲν δεινὸς εἶ ἐν τῷ λέγειν, ἐγὼ δὲ οὐ μετὰ εὐνοίας

σοῦ

σοῦ ἀκούω διὰ τὴν δυσμένειαν.

Pag. 183. l. 560. Οὐχ ὑφέξειν τὴν δίκην] οὐκ ἐκτίσειν τὴν τιμωρίαν. ὑπέχει τὰ νῶτα ἡ θάλασσα τοῦ Διονύσου, ἤγουν ὑποκείμενα ἔχει· καὶ ὑπέχει τις τινὶ δίκην, ὑποκείμενον ἔχει ἑαυτὸν εἰς δίκην. ὅτι δὲ ἀνδρὶ δοτικῆς ἐστιν συνυπακούεται.

l. 564. Τὸν σεμνόμαντιν] ἐν εἰρωνείᾳ. εὐήθη γὰρ θέλει λέγειν τὸν Τειρεσίαν.

l. 567. Οὐ γὰρ ἐννοῶ] ἐπεὶ κατὰ παράλειψιν εἶπε, λέγει, τί με ἐρωτᾷς ἀγνοῶ.

l. 574. Ἀλλ' οὐκ ἔρευναν] ζήτησιν. δοκιμασίαν.

l. 580. Οὕνεκ' εἰ μή σοι ξυνῆλθεν] ὁ μάντις εἰ μὴ ἐλάμβανέ σε κοινωνὸν τοῦ βουλεύματος, οὐκ ἄν με ἔφη τοῦ Λαΐου φονέα.

l. 581. Ἂν] τὸ τέλειον, ἃ ἄν, ἀντὶ τοῦ ἅ τινα ἄν.

Pag. 185. l. 607. Πῶς δῆτ' ἐγὼ κεῖν' ἂν] προκατασκευάσας ὡς ἄμεινόν ἐστιν αὐτῷ τοῦ τυραννεῖν τὸ ἀφόβως κοινωνεῖν τῇ τυραννίδι, τοῦτο ἐπήνεγκεν. ὁ γὰρ νοῦς, ὁ ταῦτα τὰ συμφέροντα ἐνθυμούμενος, οὐκ ἂν γένοιτο κακός, ὥστε ἑτέρῳ τινὶ ἀσυμφόρῳ ἐπιχειρῆσαι.

l. 608. Φρενῶν] ἀντὶ τοῦ φρονοῦντος. ἢ οὕτως, ὁ καλῶς φρονῶν νοῦς, οὐκ ἂν κακὸς γένοιτο.

l. 611. Καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν Πυθώδ' ἰών] ζήτησον (φησὶν) εἰ τὸν χρησμὸν ὑγιῶς ἀφῖγμαί σοι φέρων· εἶτα εἰ κατεκοινώνησα τοῦ μαντείου τοῦ Τειρεσίου.

l. 615. Διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ] ὅτι καὶ αὐτὸς τὸν ἐμαυτοῦ καταψηφίζομαι θάνατον.

l. 618. Χρηστοὺς νομίζειν] ἀγαθοὺς τοῦ χρηστοῦ ἐναντίον ὁ φαῦλος. ἔστι δὲ χρηστὸς οὗ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ. φαῦλος δὲ, οὗ ὁ βίος ἄτακτος καὶ ἀκόλαστος, ὡς καὶ ἄλλους βλάπτεσθαι ἀπὸ τῆς αὐτοῦ ὁμιλίας. τῷ ἀγαθῷ δὲ ἐναντίον ὁ κακὸς, τῷ καλῷ δὲ ὁ αἰσχρὸς καὶ ὁ δυσειδής.

l. 619. Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν] ἴσον γάρ ἐστι κακὸν, ἀπωθήσασθαι φίλον, καὶ τὸν ἑαυτοῦ βίον.

l. 624. Καλῶς ἐλέγξεν] σοὶ εὐλαβούμενος πιστεῖν καὶ ἐπιβουλευθήσεσθαι παρ' αὐτοῦ, καλῶς ἐλέγξει ὁ Κρέων ὅτι ἐν χρόνῳ γνώσῃ ταῦτ' ἀσφαλῶς, ὁποῖός εἰμι περὶ σέ. ὁ γὰρ ταχὺ βουλευόμενος, καὶ μὴ πολλάκις βασανίζων τὴν γνώμην, σφάλλεται. πρὸς ὃ ὁ Οἰδίπους φησὶν, ὅτι πρὸς τὰς ταχείας ἐπιβουλὰς δεῖ ταχεῖαν καὶ τὴν ἄμυναν εἶναι.

l. 628. Τὰ τοῦδε μὲν] τὰ τοῦ Κρέοντος τοῦ ἐμοὶ ἐπιβουλευσαμένου.

l. 629. Τἀμὰ δ' ἡμαρτημένα] ἡ ἄμυνα.

l. 632. Ὡς οὐκ ὑπείξων] οὕτως λέγεις ὡς μὴ πεισθησόμενός μοι, ἀλλ' ἀντιπλέξων τῇ κελεύσει.

l. 634. Τὸ γοῦν ἐμὸν] ὅσον ἧκεν εἰς ἐμὲ καλῶς βουλεύομαι. ἢ οὕτως, τὸ γοῦν ἐμαυτοῦ σύμφορον ποιῶ. πρὸς ὃ φησιν ὁ Κρέων, ὅτι καὶ τὸ ἐμὸν συμφέρον δεῖ σε σκοπεῖν, ὅτι οὐ δεῖ με ἀκαίρως ὑπονοεῖσθαι.

l. 637. Εἰ δὲ ξυνίεις μηδὲν] ὧν ὑπονοεῖς.

l. 638. Ἀρκτέον γ' ὅμως] ἀλλὰ χρὴ βασιλεύειν.

Pag. 187. l. 644. Ἴδια κινοῦντες κακὰ] φιλονεικοῦντες.

l. 645. Οὐκ εἶ σύ τ' οἴκους] ἀντὶ τοῦ οὐκ ἐλεύσῃ. καλῶς δὲ, οὐ πυνθάνεται τὴν αἰτίαν τῆς ἔριδος, ἐκ παντὸς ἀπαλλάξαι αὐτοὺς βουλομένη. ἅμα δὲ καὶ ἵνα μὴ διάλογος ᾖ.

l. 648. Δυοῖν ἀποκρίνας] ἐν τῶν δύο ποιήσας.

l. 652. Μὴ νῦν ὄνταμην] τοῦ βίου δηλονότι.

l. 656. Τοὺς δὲ θ' οἵ] ἀντὶ τῆς χορῦ.

l. 657. Πιθοῦ θελήσας φρονήσας τ' ἄναξ] ὅτι, μὴ τῇ ὀργῇ εἴκων, ἀλλὰ τὰ δέοντα διασκεψάμενος. καλῶς τὸ θελήσας. πολλάκις γὰρ ἐπὶ ταῖς ὀργαῖς μεταγνῶναί τις ὀφείλων, αἰδούμενος ἐμμένει τοῖς ἁμαρτήμασι.

l. 660. Τὸν οὔποτε πρὶν νήπιον] ἢ, τὸν ἐν τῷ πρὶν χρόνῳ, ἢ τὸν ἐν τῷ εἰρημένῳ λόγῳ· (ἀπελογήσατο γὰρ) νῦν δὲ μεγάλην πίστιν ἐπαγόμενον ἀπὸ τοῦ ὅρκου, αἰδέσθητι.

l. 666. Τὸν ἐναγῆ φίλον] γράφεται φίλον ἐναγῆ. ἐναγὲς δὲ, τὸ σεβάσμιον καὶ ἁγνόν. ἄγος γὰρ τὸ ἱερὸν σέβας. ὅθεν καὶ τὸ, ἄγημ' ἔχει. καὶ ὡς σε γυῖαι ἀγαμαι. κατ' εὐφημισμὸν δὲ καὶ τὰ μιάσματα ἄγη λέγεται, καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται. ὁ δὲ νοῦς, τὸν μηδέποτε ὑπὸ φίλων ἐν ἀφανεῖ αἰτίᾳ γενόμενον, ἀλλὰ καθαρὸν ὄντα, δεόμεθα μὴ λόγον ἄτιμον ἐκβαλεῖν, ἀλλὰ προσδέξασθαι αὐτοῦ τὴν ἀπολογίαν ἢ ἐναγῆ, τὸν ἐχόμενον μίσει. οὕτως, δεόμεθα

τῇ μηδέ ποτε ἐναγὲς γενόμενον εἰς φίλους, μὴ ἐν ἀφανεῖ αἰτίᾳ ἄτιμον ποιήσῃς τὸν λόγον. ἢ τῇ ἐναγῆ τῇ σοὶ νομιζόμενον ἐναγῆ.

l. 668. Εὖ νῦν ἐπίςω] γίγνωσκε ὅτι τούτῳ συνηγορῶν ἐμὲ ἀδικεῖς. οὐδὲν γὰρ ἄλλο ἢ ὄλεθρόν μοι ἐπάγεις, εἰ παρόψομαι τὸν ἐπιβεβουλευκότα.

l. 670. Οὐ τὸν πάντων θεῶν] ἐπὶ ὅρκον καταφεύγει, ἐξ οὗ μάλιστα ἐδόκει πεῖσαι τὸν βασιλέα. ἥλιον δὲ ὄμνυσιν ὅτι πάντα ἑωρακὼς αὐτὸς συνήδει τὸ πᾶν.

l. 673. Ὅ,τι πύματον ὀλοίμην] ἀντὶ τοῦ ἔσχατος ἀπολοίμην.

Pag. 189. l. 678. Οὐδ' οὖν ἴτω] τὸ φιλόκοινον αὐτοῦ κἀνταῦθα δείκνυσιν, ὡς οὐ δι' ἑαυτὸν παρακεχωρηκότος, ἀλλὰ διὰ τὴν πόλιν, κἂν δέῃ αὐτὸν πεισθέντα κινδυνεῦσαι.

l. 682. Στυγνὸς μὲν εἴκων] δῆλος εἶ ἀνδρὸς εἴκων· ὅταν δὲ ἐπὶ τὸ πέρας ἔλθῃς τῆς ὀργῆς, τότε βαρέως οἴσεις τὸ πρᾶγμα, ἤγουν μεταγνώσῃς, καὶ ἄδικα ἐνθυμηθήσῃ. ἔτι δὲ ἐμμένει ὁ Κρέων τῇ αὐτῇ παῤῥησίᾳ, ἐπιστάμενος ὡς οὐδὲν ἐσκαιώρησεν.

l. 686. Σὺ μὲν τυχὼν ἀγνῶτος] σὺ μὲν μὴ ἐπισταμένου τὴν ἐμὴν προαίρεσιν, ἤγουν ἠγνοηκότος με. παρὰ δὲ τούτοις τῆς ὁμοίας δόξης ἧς καὶ πρώην εἶχον περὶ ἐμέ.

l. 688. Γύναι τί μέλλεις] ὡς κατέγνωκεν ὁ χορὸς τοῦ Οἰδίποδος, παρακαλεῖται τῇ γυναικὶ εἰσάγειν αὐτόν.

l. 690. Μαθοῦσά γ' ἥτις ἡ τύχη] πιθανῶς, μετὰ τὸ διαλλάχθαι αὐτοὺς, ἐπιζητεῖ τὴν αἰτίαν· ἅμα δὲ καὶ ἵνα ἀρχὴ γένηται τοῦ ἀναγνωρισμοῦ.

l. 691. Δόκησις ἀγνὼς λόγων] ὁ χορὸς ὑπὲρ ἀμφοτέρων ἀπολογεῖται· ὑπὲρ μὲν τοῦ Κρέοντος, ὅτι ἐπ' ἀδήλοις ἐγκέκληται· ὑπὲρ δὲ τοῦ Οἰδίποδος, ὅτι εἰκότως ὠργίσθη ἐπὶ τοιούτοις διαβληθείς.

l. 694. Ἀμφοῖν ἀπ' αὐτοῖν] ἤγουν, ἀμφότεροι τῆς διαφορᾶς αἴτιοί εἰσιν.

l. 696. Ἅλις ἔμοιγ', ἅλις] αὐτάρκης μοι φαίνεται στῆσαι τὸν λόγον ἔνθα ἔληξεν. ἀντὶ τοῦ, ἱκανὰ λέλεκται· καὶ αὔταρκες ἐστὶν ἀναπαύσασθαι τὰ τοῦ λόγου ἔνθα ἔληξεν ἡ στάσις.

Ὁρᾷς ἵν' ἥκεις ἀγαθὸς] τοῦτό φησιν ὁ Οἰδίπους ἀγανακτῶν· διὰ τί πρὸς ἕτερον ἀποφθέγγῃ, καίτοι ἀγαθὸς ὢν ἀνήρ, καὶ οὐχ ὁμολογεῖς τὰ λυπήσαντά με τῇ Ἰοκάστῃ· διὰ τί οὖν οὐ συνοργίζῃ μοι, ἀλλὰ πραΰνεις με ὑπὲρ τοῦ Κρέοντος;

l. 701. Εἶπον μὲν οὐχ ἅπαξ μόνον] πολλάκις (φησὶ) τὰ ἐπελθόντα κατὰ τὴν ἐμὴν διάνοιαν εἶπόν σοι· οἷα καὶ ἐν τοῖς ἀνωτέρω ὤμνυεν.

l. 703. Ἴσθι δὲ παραφρόνιμον] Ἴσθι πεφάνθαι με παραφρόνιμον, ἀντὶ τοῦ παράφρονα καὶ ἀνόητον, καὶ ἄπορον ἐπὶ τὰ φρόνιμα. δὶς δὲ τὸ αὐτὸ εἶπεν, ἀντὶ τοῦ, μωρὸν κατὰ διάνοιαν καὶ ἄπορον.

Pag. 191. l. 702. Εἴ σε νοσφίζομαι] εἰ ἀλλότριόν σε καὶ οὐκ οἰκεῖον νενόμικα. ἢ οὕτως, εἴ σε ἀποκρύπτομαι, ἢ ἐκτρέπομαι, καὶ οὐ συγγίνομαί σοι. ἢ οὕτως, εἰ βούλομαί σε ἐκβαλεῖν τὸν τοσαῦτα ἡμᾶς εὐεργετήσαντα.

l. 705. Καθ' ὀρθὸν οὔρισας] ἔστησας, ἔσωσας.

l. 712. Λέγ', εἰ σαφῆ] λέγε, εἰ σαφῆ ἐστιν ἃ μέλλεις ἐγκαλεῖν. ἤγουν ὡμολογημένα.

l. 716. Τό γ' εἰς ἑαυτὸν] ὅσον κατὰ τὸ εἰς ἑαυτὸν ἧκον μέρος, ἤγουν, κατὰ τὴν ἑαυτοῦ δύναμιν.

l. 719. Φανῶ δέ σοι σημεῖα] διὰ τὸ ἅμα παρακαλοῦσαι ἐκτίθεσθαι τὰ εἰς τὴν ὑπόνοιαν αὐτὸν ἐμβαλοῦντα.

l. 726. Παιδὸς δὲ βλάστας] καλῶς τὸν τόπον προσέθηκεν, ἵνα εἰς ὑπόμνησιν ἀγάγῃ τὸν Οἰδίποδα.

Pag. 193. l. 743. Φωκὶς μὲν ἡ γῆ κλῄζεται· σχιστὴ δ' ὁδὸς] περὶ αὐλίδα, φησὶ, τὴν σχιστὴν ὁδόν. ὁ δὲ Αἰσχύλος περὶ Ποτνίας, οὕτως, ἐπήειμεν τῆς ὁδοῦ τροχήλατον, Σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς Τριῶν κέλευθον Ποτνιάδων ἠμείβομεν. τινὲς δὲ τὴν Δαυλίδα ἀνακρίδα λέγουσιν οὕτως, Κρίσαντι ζαθέῃ, καὶ ἀνακρίδα, καὶ πανοπῆα.

l. 748. Ὦ Ζεῦ τί μου δρᾶσαι] ἀναμιμνήσκεται ὁ Οἰδίπους καὶ τοῦ χρόνου καὶ τοῦ τόπου· καὶ πρὸς τὸν Δία φησὶ, τί μοι ποιήσεις;

l. 751. Τίνα δ' ἀκμὴν ἥβης] ἡλικίας, κυρίως δὲ ἡ ἀκμὴ τῆς ἡλικίας.

l. 752. Μέγας, χνοάζων] διὰ τὰ προφανῆ ταῦτα σημεῖα εἶπεν.

l. 756. Ὀκνῶ] δέδοικα. καὶ Ὅμηρος, Ὀκνείω δ' ἵππων ἐπιβαινέμεν.

l. 766. Οἰκεύς τις] οἰκέτης. ἐκ τοῦ αὐτοῦ οἴκου ὤν.

l. 773. Ἄξιος γὰρ ὅ γ' ἀνὴρ] ἤγουν, τὸ αἴτημα οὐχ ὑπερέβαλε δοῦλον.

l. 776.

l. 776. Πάρεστιν] δηλ, νόμιζε αὐτὸν παρεῖναι.

Pag. 195. l. 785. Μήτηρ δὲ Μερόπη] Φερεκύδης φησὶ Μέδουσαν εἶναι τὴν Πολύβου γυναῖκα, θυγατέρα δὲ Ὀρσιλόχου τοῦ ἀλφειοῦ· οἱ δὲ, Ἀντιοχίδα τὴν Καύκωνος.

Δωρὶς] πελοποννησιακή.

l. 787. Θαυμάσαι μὲν ἀξία] ἦδει γὰρ πρὸς τὸ ὀξὺ μὲν, ἀκούσαντα ὡς εἴη νόθος, θαυμάζειν, οὐ μὴν τοσοῦτον φροντίσαι τοῦ πράγματος.

l. 788. Σπουδῆς γε μέντοι] τῆς ἀρετῆς.

l. 790. Πλαστὸς] παρασυνετός. ἀλλότριος. νόθος.

l. 792. Θατέρα] τῇ ἑτέρα τῇ ἑξῆς.

l. 796. Ἐκνιζε] ἐλύπει. κυρίως δὲ, ἐρωτικῶς λυπεῖν.

l. 799. Ἄτιμον] ἀνήκουσον. περὶ ὧν γὰρ ἀπῆλθεν οὐκ εἶπεν.

l. 802. Ἄτλητον ὁρᾶν] τὸ μὴ δυνάμενον ὑπὸ ἀνθρώπων ὁρᾶσθαι.

l. 805. Ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος] χρόνον τινὰ φησίν, ἐπεὶ πρὸς τοὺς ἀστέρας ἠρίθμουν τὸν χρόνον. ἢ οὕτως, ἐπὶ τὰ ἄστρα ἐπορευόμην. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ πελάγη μετρούντων ὡς ἂν δι' ἄστρων τεκμαιρομένων τὸν πλοῦν.

l. 812. Κἀπὶ πολικῆς] ὑπὸ πώλων ἑζευγμένης.

l. 816. Κἀγὼ τὸν ἐκτρέποντά με τὸν τροχηλάτην] τὸν ἔμπροσθεν τῶν τροχῶν πορευόμενον.

l. 818. Ὄχου] ἅρματος.

l. 819. Διπλοῖς κέντροισι] πληγαῖς. δὶς ἔπαισέ με τοῖς κέντροις, οἷς ἐκέντριζε τοὺς ἵππους· ἐπ' ἴσης δὲ καὶ παρ' ἐμοῦ ἔλαβεν.

l. 823. Εἰ δὲ τῷ ξένῳ] τοῦ ὑπ' ἐμοῦ φονευθέντος εἰ μή τις πρὸς Λάϊον συγγένεια. ἢ οὕτως, εἰ δὲ ἐστὶ ὁ ξένος ὃν ἀπέκτεινα, Λάϊός ἐστιν. οὔπω γὰρ οἶδεν εἰ αὐτός ἐστι.

l. 825. Τίς τοῦδέ γ' ἀνδρὸς] ἀντὶ τοῦ ἐμοῦ.

Pag. 197. l. 832. Δι' ὧνπερ ὤλετο] ὧν χερῶν.

l. 833. Ἄναγνος] ἀντὶ τοῦ μιαρός.

l. 835. Ἐμβατεύειν] ἐπιβαίνειν.

l. 843. Κηλῖδα συμφορᾶς] ἀντιστρόφως, συμφορὰν κηλῖδος καὶ μολυσμοῦ.

l. 845. Ἔχ' ἐλπίδα] ἀντὶ τοῦ, μὴ ἀθύμει πρὶν ἂν τὸ ἀληθὲς καταμάθῃς.

l. 848. Πεφασμένου] φανοῦ γενομένου καὶ ἐλθόντος τοῦ ποιμένος, τίνα ἕξεις γνώμην;

l. 850. Σοὶ ταῦτ'] σοὶ ὅμοια καὶ τὰ αὐτά.

l. 852. Ἔφασκες αὐτὸν] τὸν βοτῆρα.

l. 856. Οἰόζωνον] μονόζωνον. μόνον.

l. 859. Τοῦτό γ' ἐκβάλλειν πάλιν] ἀποκρύπτεσθαι ἢ ἀπορρίψαι. τουτέστιν, οὐ δύναται ἀρνεῖσθαι ὁ βουκόλος.

l. 862. Τόν γε Λαΐου φόνον φανεῖ] αὐτὸς ὁ θεράπων.

l. 867. Ὥστ' οὐχὶ μαντείας] ὅθεν ἐγὼ χάριν τῆς μαντείας, οὔτε ἐπ' ἐκεῖνα τὰ ῥήματα, οὔτε ταῦτα βλέψαιμι· οὐ πῇ ἑκατέροις πιστεύσαιμι, ἀλλ' ἀπορῶ.

Pag. 199. l. 873. Εἴ μοι ξυνείη φέροντι] εἴθε μοι ξυνοικοίη τὴν ἄχραντον καὶ σεβασμίαν ἀλήθειαν διασώζοντι. δηλ, εἴθε μοι συνείη εὐτυχία, καὶ λόγων καὶ πραγμάτων ἁγνείαν φυλάττοντι. μοῖρα δὲ ἡ εὐτυχία. δηλ, εἰ ἀληθεύω, γένοιτό μοι καὶ εὐτυχεῖν τὸ ἀληθὲς διασώζοντι. ταῦτα δέ φησι τὴν Ἰοκάστην ἀποπεμπόμενος ὅτι ἀσεβῶς ἐψεύσατο τὸν Ἀπόλλωνα. φέροντι οὖν τὴν εὐσεπτον ἁγνείαν τῶν λόγων καὶ τῶν ἔργων τῶν περὶ τῶν θεῶν, περὶ ὧν νόμοι πρόκεινται ἔργων καὶ λόγων, τὴν περὶ τούτων λέγοντες ἀκρίβειαν, καὶ τῶν μαντειῶν, ὅτι οὐδὲν αὐτοῖς ὑγιές ἐστιν.

l. 876. Οὐρανίαν δι' αἰθέρα] ἀντὶ τοῦ ἐν οὐρανῷ τεχθέντες.

l. 877. Ὧν Ὄλυμπος] ὧν νόμων τῶν ὀρθῶς ἐχόντων

l. 878. Οὐδέ νιν θνατὰ φύσις] οὔτε ὑπὸ ἀνθρώπων εὕρηται ὁ περὶ θεῶν λόγος

l. 881. Μέγας ἐν τούτοις θεὸς] ἐν τοῖς νόμοις μέγας ἐστὶν ὁ θεός. τουτέστι θεία δύναμις καὶ μεγάλη τοῖς νόμοις ἔνεστι.

l. 883. Ὕβρις φυτεύει τύραννον] διὰ τῆς ὕβρεως φύεται καὶ ἀνατίθεται ὁ τύραννος. ὅταν (φησὶ) πολλὰ διαπράξηται, τότε εἰς μεγάλα ἐμπίπτει διὰ τῆς ὕβρεως ἐπαρθείς. ταῦτα μὲν φησὶ περὶ τῆς Ἰοκάστης, ὅτι ανεπιτήδεια λέγει περὶ τῶν θείων νόμων. τὸν δὲ λόγον ποιοῦσι περὶ τῆς τυραννίδος, ἵνα μὴ δόξωσιν ἐμφανῶς αὐτὴν διελέγχειν. ὁ δὲ νοῦς, ὕβρις φυτεύει τύραννον, ὁπόταν πολλῶν ὑπερπλησθῇ μάτην, ἃ ἐστι μηδὲ ἐπικαιρα, μηδὲ ἑαυτῷ ἐκείνῳ συμφέροντα. ἀσυνδέτως δὲ εἶπεν, ὕβρις (φησὶ) μηδὲν καίριον διαπραττομένη, εἰς δύσβατον ἀκρωρείαν ἀναβιβάσασα τὸν χρώμενον αὐτῇ, κατακρημνίζει. ἢ οὕτως, ἀπότομον

μαι ὥρμησεν εἰς ἀνάγκην, ἥλατο εἰς τοῦτο ὥστε αὐτὸν εἰς ἀνάγκην γενέσθαι ὑφ' ἑτέρων κρατυνθῆναι.

l. 888. Ἔνθ' οὐ ποδὶ χρησίμῳ] ἀντὶ τοῦ, ἀρχῆς οὐ τὰς πορείας ποιεῖται. καὶ εἰ μὲν ἐπὶ τοῦ ὑπὸ ὕβρεως δυσσεβοῦντος, λέγει οὕτως, οὐ βαδίζει ὀρθὴν ὁδὸν, οὐδὲ χρῆται τοῖς ποσὶ δεόντως· εἰ δὲ ἐπὶ τοῦ ὑπὸ ἀνάγκης βιαζομένου, οὐ χρῆται τοῖς αὐτοῖς ποσίν.

l. 889. Πάλαισμα] ζήτησιν τοῦ φόνου τοῦ Λαΐου.

l. 890. Μήποτε λῦσαι θεὸν αἰτοῦμαι] ἀξιῶ τὸν θεὸν μὴ λῦσαι τὸ συμφέρον τῇ πόλει, ἐξ οὗ κρατεῖ τῶν ἀντιπάλων.

l. 899. Δίκας ἀφόβητος] τὴν δίκην μὴ δεδοικώς.

l. 902. Δυσπότμου χάριν χλιδᾶς] ἕνεκα (φησὶ) τῆς ἀνοσίου τρυφῆς καὶ ὑπερηφανίας. ὑπὸ τρυφῆς γὰρ καὶ ἐπὶ τὰ αὐτὰ οἱ τύραννοι παραγίγνονται.

l. 904. Καὶ τῶν ἀσέπτων] ὁ τοιοῦτος ἐν κακῇ εἴη μοίρᾳ, ὃς μὴ ἀφέξεται τῶν ἀσέπτων, ἢ ἕξεται τῶν ἀθίκτων. ὅ ἐστιν εἰ οὐ χρὴ ἔχεσθαι.

Ἕρξεται] παύσεται. ἐκτὸς ἔσται. Ἕξεται δὲ, ἀντὶ τοῦ ἐπιθυμήσει τῶν ἀσέπτων καὶ ἀθίκτων.

l. 905. Ματάζων] ματαιοφρονῶν.

l. 906. Τίς ἔτι ποτὲ] τίς ἔτι τῶν ἀδίκων ἀφέξεται, τῷ θυμῷ αὐτοῦ τὰς τῆς ψυχῆς κακίας ἀπηξαύνων; ἢ (οὔτις ἂν) ἀπελάσειεν αὐτοῦ τὴν τιμωρίαν τοιαῦτα πράττων.

Pag. 201, l. 906. Οὐκέτι τὸν ἄθικτον εἶμι] οὐκ ἔτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, οὐδὲ πρὸς τὸν ἄχραντον καὶ ἀπροσπέλαστον αὐτοῦ ναόν.

l. 908. Ἀβαῖσι ναὸν] Ἄβαι, τόπος Λυκίας ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος. ἢ διὰ τῶν Σχμίων, ὅτι καὶ ἐκεῖ μαντεύονται ὡς καὶ Πίνδαρος. ἢ ἐπὶ τῶν πανηγύρεων, ὅτι καὶ τούτων ἀφέξομαι, εἰ μὴ ταῦτα φανερωθῶσιν.

l. 910. Εἰ μὴ τάδε] εἰ μὴ ταῦτα τῶν χρησμῶν τὰ λεχθέντα ὑπὸ Ἰοκάστης, φανερὰ καὶ καταδῆλα γένωνται, οὐκ ἔτι τιμήσω θεούς.

l. 916. Φθίνοντα] ἀντὶ τοῦ παλαιά. παρεληλυθότα. γράφεται φθίνοντ' ἵν' ᾖ, μὴ λάθοι σε ὁ Λαΐου φθίνων, ἀλλὰ δείξειας αὐτοῦ τὸν θάνατον. τὰ γὰρ περὶ Λαΐου μαντεύματα ἐκβάλλουσι, καὶ οὐ παραδέχονται τὰ παρὰ τῶν θεῶν εἰρημένα ὡς ἀληθῆ.

l. 918. Ἐξαιροῦσιν] ἀφανίζουσι. τὰ γὰρ ἐπὶ Λαΐου θεσπισθέντα ἐξαφανίζεται ὑπὸ Ἰοκάστης, καὶ παραγράφεται, καὶ ψευδῆ νομίζεται.

l. 921. Χεῖρας ἄνακτος] ἀνακτὰς φησὶ τὰς τοῦ χοροῦ, ὅτι βασιλικοὺς καὶ ἐντίμους.

l. 924. Ὑψοῦ γὰρ αἴρει] ἀντὶ τοῦ μετεωρίζεται τὴν ψυχὴν, καὶ ὑπερβαλλόντως ἄχθεται, πάντα λογιζόμενος, αὐτὸν τὸν φόνον, τὸ τὴν γυναῖκα ἔχειν τοῦ ἀνῃρημένου, τὴν προσδοκωμένην φυγὴν, τὸ μὴ δύνασθαι ἀναστρέψαι πρὸς τοὺς οἰκείους, τὸ δέος τῶν χρησμῶν.

l. 925. Οὐδ' ὁποῖ' ἀνὴρ ἔννους] οὐχ ὡς συνετὸς ἀνὴρ διὰ τῶν φθασάντων τὰ παρόντα γιγνώσκει. εἰ γὰρ ὁ ὑπὸ Ἀπόλλωνος δοθεὶς τῷ Λαΐῳ χρησμὸς ἠκύρωται, δῆλον ὅτι καὶ ἃ νῦν ἐμαντεύσατο ὁ Τειρεσίας, ψευδῆ ἐστιν.

l. 927. Ἀλλ' ἔστι τοῦ λέγοντος] μόνοις προσέχει τοῖς τὰ δεινὰ καὶ φοβερὰ ἀπαγγέλλουσι. τῶν δὲ παραμυθουμένων οὐκ ἀνέχεται.

l. 929. Πρὸς σ' ὦ Λύκει' Ἄπολλον] Λύκειον, γυμνάσιόν ἐστιν Ἀθήνησιν ἔνθα Ἀπόλλων τιμᾶται. καὶ Καλλίμαχος, — ἐγὼ δ' ἤντησα Λυκείου Καλὸν ἀεὶ λιπόωντα κατὰ δρόμον Ἀπόλλωνος. ἄγχιστος οὖν, καθότι οὐ πόρρω τῆς Ἀττικῆς αἱ Θῆβαι. ἢ καὶ ἐν Θήβαις ὁμώνυμον τῷ γυμνασίῳ Λυκείου Ἀπόλλωνος. νῦν οὖν, οὐ τὸν ἐν Λυκίᾳ, ἀλλ' ἢ τὸν ἐν Θήβαις ἢ ταῖς πλησιοχώροις Ἀθήναις τιμώμενον.

l. 934. Ἆρ' ἂν παρ' ὑμῶν] ἔρχεται ἄγγελος ἀπὸ Κορίνθου, ἀπαγγέλλων τὸν θάνατον Πολύβου, καὶ ἀντ' αὐτοῦ τύραννον τὸν Οἰδίποδα αἱρεῖσθαι. οὗτος δέ ἐστιν ὁ ἐκτεθέντα τὸν Οἰδίποδα εὑρὼν, καὶ δοὺς Πολύβῳ.

l. 938. Γυνὴ δὲ μήτηρ] κἀνταῦθα ἔθηκε τὸ ἀμφίβολον, ὃ τέρπει τὸν ἀκροατήν.

l. 940. Ἐκείνου γ' οὖσα παντελὴς δάμαρ] τοῦτο πρὸς τὸ, γυνὴ τε μήτηρ τε τῶν κείνου τέκνων. τοῦτο γὰρ τέλειον ἐν γάμῳ. ὅθεν καὶ ἐκ τοῦ ἐναντίου Ὅμηρός φησι, Καὶ δόμος ἡμιτελής.

Pag. 203. l. 947. Ἥδοιο μὲν] διὰ μὲν τὸ εὖ προφάσειν, καὶ ἑτέρας ἀρχῆς ἀντιλαβέσθαι ἡσθήσεσθαι φησὶν αὐτήν. ἀσχαλεῖν δὲ διὰ τὸ ἀπιέναι Οἰδίπουν ἐπὶ τὰ οἰκεῖα.

l. 949. Τύραννον αὐτὸν] πιθανῶς ὁ ἄγ-

ἄγγελος τὰ ἡδέα πρῶτον ἀπαγγέλλει, πρὶν εἰπεῖν τὰ περὶ θανάτου.

l. 950 Τῆς Ἰσθμίας] τῆς Κορινθίας. ἐκεῖσε γὰρ ὁ ἰσθμός.

l 955. Ὦ φίλτατον]. θεραπαινίδι καλοῦσι τοῦτο ἡ Ἰοκάστη. ἀσμένως γὰρ ἀκούσει τὰ περὶ τοῦ θανάτου, ἵνα πάλιν ἀνατρέψῃ τὰ μαντεύματα, οἶδε γὰρ τὸν Οἰδίποδα τοῦτον δεδοικότα.

l. 957. Ἵν' ἐστὶ] ὅπου ἐστί. καὶ ἔγκειται παιδευτικόν τι τῷ δράματι, ὡς οὐ δεῖ καταφρονεῖν τῶν θείων. οἱ γὰρ τοιαῦτα φθεγξάμενοι, μετ' ὀλίγον φανήσονται οἷοί εἰσι.

l. 962. Σκόπει κλύων] δοκίμαζε.

l. 968. Εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγέλλειν] ἠθικῶς ὁ ἄγγελος οὐχ ὡς ἀπὸ τούτων θέλων ἄρξασθαι, ἀλλ' ἀπὸ τῶν ἡδίων

l. 970. Ξυναλλαγῇ] κοινωνίᾳ νόσου. ἀντὶ τοῦ ὑπὸ νόσου.

l. 971. Σμικρὰ παλαιὰ] ἡ τυχοῦσα πρόφασις ἐξαρκεῖ ὥστε τὸ παλαιὸν σῶμα ἐξενεγκεῖν τοῦ βίου.

Εὐνάζει] κατακοιμίζει.

l. 973. Καὶ τῷ μακρῷ γε] τοῦτο ὁ ἄγγελός φησιν ὡς παραμυθούμενος, ὅτι μακραίων ἀπέθανε, καὶ οὐ δεῖ ἐπ' αὐτῷ ἀπολοφύρεσθαι.

l. 976. Ὧν ὑφηγητῶν] ὑφ' ὧν μαντείαν δεχόμενος, τῶν ὀρνεοσκόπων καὶ μάντεων.

l. 978. Κεύθει κάτω δὴ γῆς] ἀντὶ τοῦ κεῖται, κρύπτεται καὶ ἐν Ἀντιγόνῃ, Μητρὸς δ' ἐν ᾅδου καὶ πατρὸς κεκευθότοιν.

Ἐγὼ δ' ὅδ' ἐνθάδε] ἐγὼ ὁ ἐνταῦθα ὤν, οὐκ ἔλαβον δόρυ, ἵνα αὐτὸν ἀποκτείνω, εἰ μή τις εἴποι ὅτι τάχα διὰ τὸν ἐμὸν πόθον ἀπέθανεν.

l. 980. Οὕτω δ' ἂν θανὼν] τοῦτο ὡς ἐπιμωκώμενος φησί δῆλον δὲ ἐκ τῶν ἑξῆς. ὁ γὰρ Πόλυβος τὰ παλαιὰ θεσπίσματα (φησὶ) παραλαβὼν μηδενὸς ἄξια, κεῖται παρὰ τῷ ᾅδῃ.

l. 986. Καὶ πῶς τὸ μητρὸς] περὶ τοῦ λείποντος εὐλαβεῖται, τοῦ μιχθῆναι τῇ μητρί.

l. 987. Ὦ τὰ τῆς τύχης κρατεῖ] ᾧ ἡ τύχη δεξιῶς ἔχει. ἀντὶ τοῦ, τῆς ἀγαθῆς τύχης ἐπικρατούσης.

l. 988. Πρόνοια] πρόγνωσις.

Pag. 205. l. 989. Εἰκῆ κράτιστον] καλὸν τὸ ζῆν ἀλόγως.

l. 997. Καὶ μὴν μέγας ὀφθαλμὸς] ὄψις καὶ τεκμήριον τοῦ μὴ τὰ κατὰ τὴν μητέρα ἀποβήσεσθαι, ἡ πατρὸς τελευτή.

l. 1015. Καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην) ἦγον διὰ τοῦτο.

l. 1016. Σοῦ πρὸς δόμους ἐλθόντος] ἀντὶ τοῦ εἰς Κόρινθον.

l. 1018. Ὦ παῖ, καλῶς] ἀντὶ τοῦ περιφανῶς.

l. 1024. Ἆρ' οἶσθα δῆτα] ἆρα οἶσθα ὅτι ἀδίκως εὐλαβῇ;

l. 1025. Τῶνδε γεννητῶν] τῶν γεγεννηκότων.

l. 1026. Οὕνεκ' ἦν σοι Πόλυβος οὐδ'] ὅτι οὐδέν σοι διαφέρει κατὰ γένος ὁ Πόλυβος.

l. 1029. Ἐξ ἴσου τῷ μηδενὶ] τῷ ἠλλοτριωμένῳ καὶ μὴ οἰκείῳ. ἔτι γὰρ Πολύβου νομίζει ἑαυτόν.

l. 1030. Ἀλλ' οὔ σε γείνατ' οὔτ' ἐκεῖνος, οὔτ' ἐγὼ] ὥσπερ οὐ γέγονας ἐξ ἐμοῦ, οὕτως οὐδὲ ἐκ Πολύβου.

Pag. 207. l. 1033. Κἄθ' ὧδ' ἀπ' ἄλλης] ἴδιον τῶν ἐν παραδόξοις ἀκούσμασι, τὸ αὐτὸ πολλάκις ἐπερωτᾶν.

l. 1035. Σὺ δ' ἐμπολήσας] ὁ ὄντι ἀγοράσας. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ ἀργύριον.

l. 1039. Κἀπὶ θητείᾳ πλάνης] ἐπὶ μισθῷ, καὶ ἐπὶ μισθῷ πλάνης. ἔστι δὲ ἀρσενικόν.

l. 1041. Τί δ' ἄλγος ἴσχοντ'] εἰπόντος τοῦ γέροντος ὅτι σωτήρ σοι γέγονα (ὅπερ κοινὸν ἐπὶ πάντων ἐκτεθειμένον) ἀναπυνθάνεται ὁ Οἰδίπους ὅτι ἐν ποίῳ ἄρα κακῷ ὄντα κατὰ τὴν ἔκθεσιν. ἵνα ἐκεῖνος εἴπῃ τὸ περὶ τῶν ποδῶν· ὅθεν ἐπιγιγνώσκει ἡ Ἰοκάστη.

l. 145. Δεινόν γ' ὄνειδος σπαργάνων] ἐκ σπαργάνων χαλεπὴν αἰσχύνην, διὰ τὴν τῶν ἄρθρων βλάβην.

l. 1047. Πρὸς μητρὸς ἢ πατρὸς, φράσον] ὑπὸ μητρὸς ὠνομάσθην, ἢ ἀπὸ τοῦ πατρὸς Οἰδίπου, ἢ πρὸς θεῶν, τίνος εἰμὶ μητρὸς, ἢ ποίου πατρός.

l. 1052. Ὑμεῖς γὰρ ἄριστ' εἰδῆτ' ἂν] ἀντὶ τοῦ, εἰδείητε ἄν.

l. 1057. Οἶμαι μὲν οὐδὲν ἄλλον] ἐστοχάζετο ὁ χορὸς ἐκεῖνον εἶναι τὸν τὴν ἔκθεσιν ποιησάμενον τοῦ παιδίου, διὰ τὸ ἀλλ' εὐνοϊκὸν τὸ πρόσωπον αὐτοῦ εἶναι τῷ οἴκῳ.

l. 1059. Οὐχ ἥκιστα] ἀντὶ τοῦ πάνυ. αἱ γὰρ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιοῦσι. μάλιστ' ἂν ταῦτα εἴποι ἡ Ἰοκάστη

l. 1060. Ὅντιν' εἶπε] συνίησιν ἤδη τὸ πᾶν ἡ Ἰοκάστη, καὶ θέλει ἤδη ἑαυτὴν διαχειρίσασθαι, πρὶν ἐκπύστα γενέσθαι τὰ κακά. τοῦτο δὲ δηλοῖ διὰ τοῦ, ἅλις νοσοῦσ' ἐγώ.

l. 1061

l. 1068. Οὐδ' ἂν ἐκ τρίτης] τρίτον προμάμμου, καὶ αὐτὸς τρίπρατος. οἴεται δὲ τὴν Ἰοκάστην, δυσγένειαν αὐτῷ συνειδυῖαν, ἀποκρύπτειν καὶ κωλύειν τὴν ζήτησιν.

Pag. 209. l. 1080. Πλούτῳ χαίρειν γένει] ἤτοι τρυφᾶν καὶ ἐναβρύνεσθαι.

l. 1081. Ἴσ' δύστηνε] ἐννοουμένη τὰ τῆς ἀναιρέσεως, αὐτὴ μὲν ἀπήλλακται, ὁ δὲ Οἰδίπους περιλέλειπται. τὸ γὰρ αὐτοῦ πρόσωπόν ἐστι τὸ περιπαθὲς, περὶ ὃ πᾶσα ἡ διάθεσις τοῦ δράματος.

l. 1083. Τί ποτε βέβηκεν', Οἰδίπους] ἀντὶ τοῦ, ὦ Οἰδίπου. ἔστι δὲ ἀττικόν.

l. 1090. Ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς τύχης νέμων] ἀντὶ τοῦ, ἐμαυτὸν τῇ τύχῃ παραδοὺς, ἀτιμίαν ἐκφεύξομαι.

l. 1094. Τοιόσδε δ' ἐκφὺς] τοιοῦτος πεφυκὼς, οὐκ ὀκνήσω τὸ γένος ἐξερευνῆσαι τὸ ἡμέτερον.

l. 1096. Εἴπερ ἐγὼ μάντις εἰμὶ] ὑπονοοῦσιν οἱ τοῦ χοροῦ χρηστότερόν τι περὶ τοῦ Οἰδίποδος, ὅτι θειοτέρου γένους τυγχάνει ἀπό τινος τῶν ὀρείων νυμφῶν. ποιεῖται δὲ τὸν λόγον πρὸς τὸν Κιθαιρῶνα, καί φασιν, οὐκ ἔτι ἐς τὴν αὔριον ἀπείρατος τοῦ ἡμᾶς αὔξειν σε, ὡς τροφὸν καὶ μητέρα τοῦ Οἰδίποδος.

l. 1097. Καὶ κατὰ γνώμην ἴδρις] ἔμπειρος κατὰ τὴν γνώμην, ὅ ἐστι συνετός.

l. 1103. Αὔξειν] μεγαλύνειν. λέγειν.

Καὶ χορεύεσθαι] ἀντὶ τοῦ ὑμνεῖσθαι. τιμᾶσθαι.

l. 1104. Ὡς ἐπίηρα φέροντα] ὥσπερ τὰ θυμήρη παρέχοντα τοῖς ἐμοῖς βασιλεῦσιν ἐνόμιζε γὰρ ὁ χορὸς τὸν ἀναγνωρισμὸν ὑπὲρ Οἰδίποδος γίγνεσθαι.

l. 1106. Ἰήϊε Φοῖβε] ἀναγκαίως πρὸς τὸν Ἀπόλλωνα ἀποτείνει, διὰ τὸ ἄρξαι τῶν χρησμῶν.

l. 1109. Ἆρα Πανὸς ὀρεσσιβάτα] ἆρά τις προσπελασθεῖσα τοῦ Πανὸς ἢ τοῦ Ἀπόλλωνος θυγάτηρ. καὶ γὰρ οὗτος νόμιος.

l. 1112. Ταῖς γὰρ πλάκες ἀγρονόμοι] αἱ ἐξοχαὶ, αἱ ἀναστάσεις τῶν ὀρῶν.

l. 1113. Ἀγρονόμοι] ἔνθα τὰ ἄγρια νέμεται. ὅ ἐστι τὰ μὴ ἥμερα θηρία.

l. 1114. Εἴθ' ὁ Κυλλάνας] εἴτε ὁ ἑρμῆς (νόμιος γὰρ) εἴτε ὁ διόνυσος, ἀπό τινος νύμφης γεννηθέντα σε ἀνεδέξατο.

Pag. 211. l. 1120. Μὴ ξυναλλάξαντά που] μὴ κοινωνήσαντα. μὴ συναλλάξαντα, τουτέστι μὴ συντυχόντα. μὴ εἰς ἀμοιβὴν καὶ ὁμιλίαν ἐλθόντα. θεασάμενος δὲ ὁ Οἰδίπους τὸν πρεσβύτην ἐρχόμενον ὃν μετεπέμψατο, στοχάζεται μὲν εἶναι αὐτὸν, ἐκ τοῦ γήρως, καὶ τῶν ἀγόντων οἰκετῶν· τὴν δὲ ἐπιστήμην καὶ ἀκριβῆ γνῶσιν τῷ χορῷ ἀνατίθησι.

l. 1123. Τῷδε τἀνδρὶ ξύμμετρος] τῷ Κορινθίῳ. ὁμῆλιξ καὶ ἴσος ἐστὶ κατὰ τὴν ἡλικίαν.

l. 1125. Τῇ δ' ἐπιστήμῃ] τῇ γνώσει ὑπερβάλλοις, ὡς καὶ πρὶν αὐτὸν θεασάμενος.

l. 1132. Δεῦρό μοι φώνει βλέπων] ἀντὶ τοῦ ἐγνωκώς.

l. 1138. Ἦν δὲ πρόσχωρος τόπος] ἀντὶ τοῦ, ἦσαν οἱ πλησιόχωροι.

l. 1139. Οἶσθα τῇδε που μαθὼν] ἀντὶ τοῦ ἐκεῖ μαθών.

l. 1146. Ο μὲν διπλοῖσι ποιμνίοις] δύο ἀγέλαις.

l. 1147. Ἐπλησίαζον τῷδε] συνήμην (φησὶ) τούτῳ. ἔαρ, θέρος, φθινόπωρον, καὶ οὗτοι ἂν εἶεν οἱ τρεῖς χρόνοι. Ἐμμήνους δὲ, τοὺς ἐν μησὶν ὁριζομένους, οὐκ ἐνιαυτοῖς.

l. 1148. Ἐξ ἦρος εἰς ἀρκτοῦρον] τὴν ἑῴαν ἐπιτολὴν ποιούμενον. ποιεῖ δὲ ταύτην ἡλίου ὄντος ἐν τῇ παρθένῳ.

l. 1152. Λέγεις ἀληθῆ] συγκατατίθεται ὁ γέρων ἔδει γὰρ ταῦτα πρῶτον ὁμολογῆσαι, εἶτα ἐπάγειν τὰ συνεκτικώτατα, ἵνα μὴ ᾖ ἔξαρνος.

Pag. 213. l. 1154. Ἱστορεῖς] ἐρωτᾷς. ζητεῖς.

l. 1156. Οὐκ εἰς ὄλεθρον] αἰσθηθεὶς ὁ γέρων τοῦ παντὸς, ἀρνήσασθαι βούλεται, οὐχ ὡς εἰδὼς καὶ ἀποκρυπτόμενος.

l. 1165. Ἀντὶ τοῦ] ἀντὶ τίνος.

Τί προσχρῄζων μαθεῖν] λείπει ταῦτά με διαλύθης.

l. 1167. Ὀλέσθαι δ' ὤφελον] τοῦτο πάλιν, οὐχ ὡς εἰδὼς ὅτι αὐτὸς εἴη ὁ ἐκτεθειμένος, ἀλλ' ὅτι διὰ τὴν ἔκθεσιν τοῦτο πάσχει.

l. 1168. Ἀλλ' εἰς τόδ' ἥξεις] εἰς τὸ ἀποθανεῖν, μὴ λέγων τὸ ἀληθές.

l. 1170. Ἐς τριβὰς ἐλᾷ] ἤγουν, εἰς βραδυτῆτα, καὶ διατριβὰς καὶ ἀναβολάς.

l. 1181. Ὄλωλας, εἴσει ταῦτα] εἰ δευτέραν ἀναμείνῃς ἐξέτασιν.

l. 1191. Ὡς ἀναλώσαιμί νιν] ἀντὶ τοῦ ἀπολέσαιμι.

l. 1193. Τεκοῦσα τλήμων;] κατ' ἐρώτησιν.

l. 1194. Κτενεῖν νιν τοὺς τεκόντας] τοῦτε κατὰ σύλληψιν. οὐ γὰρ φονεύει τὴν μητέρα.

l. 1195. Πῶς δῆτ'] παρατηρητέον ὅτι τὸν γέροντα μετεπέμψατο ἐπὶ τῷ ἀνακρῖναι τὸν φόνον τοῦ Λαΐου, καὶ παρεμβληθέντος ἑτέρου τινὸς, ἐπὶ τὸ ἀναγκαιότερον τρέπεται.

l. 1200. Ἐξίκοι σαφῆ] ἀντὶ τοῦ ἀποβαίη.

Ω φῶς, τελευταῖόν σε] εὖ πεπλαγίασται ὁ λόγος, οὐχ ὡς τὴν πήρωσιν αἰνιττομένου, ἀλλ' ἐπὶ τὸν θάνατον αὐτοῦ ὁ λόγος. ἀπορήσας γὰρ ξίφους, ἑαυτὸν ἐτύφλωσεν.

Pag. 215. l. 1197. Ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν] οὕτως καὶ ἐν Αἴαντι, Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν Εἴδωλ' ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν. καὶ Πίνδαρος, Τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωποι.

l. 1198. Ἐναριθμῶ] ἐναριθμοῦμαι. ἐν ἢ ῥῆμα πρώτου προσώπου, καὶ οὐ δοτικὴ ἀρσενικοῦ.

l. 1200. Ὅσον δοκεῖν] ὅσον δόξαι εὐδαίμων εἶναι· κατὰ ἀλήθειαν δὲ τοῦτο ἀνθρώπῳ οὐκ ἔστι. τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

l. 1201. Ἀποκλῖναι] πεσεῖν, ἢ ἀποβαλεῖν.

l. 1202. Τὸ σόν τοι παράδειγμ' ἔχων] τὸν σὸν βίον παράδειγμα ἔχων, οὐδένα μακαρίζω καὶ εὐδαιμονίζω.

l. 1205. Τοξεύσας] ἐπιτυχών. ἐπιτυχὼν πᾶς.

l. 1207. Γαμψώνυχα παρθένον] τὴν Σφίγγα.

l. 1209. Θανάτων δ' ἐμᾷ χώρᾳ] θανάτων τῶν ὑπὸ τῆς Σφιγγὸς γιγνομένων.

Πύργος δὲ] ἀντὶ τοῦ, ἀσφάλεια καὶ ἀπαλέξησις γέγονε.

l. 1213. Τὰ νῦν δ' ἀκούειν] εἰς τὸ ἀκούειν.

l. 1215. Ξύνοικος ἀλλαγᾷ βίου] ξυνοικῶν τῇ τοῦ βίου μεταβολῇ.

l. 1217. Ω μέγας λιμὴν] ὦ ὑποδοχὴ εἰς τὸ ἄμφω δέξασθαι, σέ τε καὶ τὸν πατέρα. ἢ ὅτι μήτηρ ἦν καὶ γυνὴ ἡ Ἰοκάστη, ἣν λέγει λιμένα.

l. 1218. Θαλαμηπόλῳ] νυμφίῳ.

l. 1220. Ἄλοκες] ἀντὶ τοῦ αὔλακες. αἱ κοῖται. αἱ σποραί. οἱ γάμοι.

l. 1221. Σιγ' ἐδυνάσθησαν] πῶς (φησὶ) φανερὸν οὐκ ἔρρηξαν;

l. 1227. Ὡς περίαλλα] περιάλλως ὑπερβολικῶς.

l. 1230. Ἀνέπνευσα τ' ἐκ σέθεν] ἤγουν διὰ σὲ καὶ νῦν κατέμυσα τὸ ὄμμα, ἐξ οὗ δῆλος, καὶ νῦν ἐπηρώθημεν περιεσωθέντες.

Pag. 217. l. 1232. Ω γῆς μέγιστα] ἐξάγγελος ἔρχεται ἀπαγγέλλων ὅτι ἀγχόνῃ ἐτελεύτησεν ἡ Ἰοκάστη, καὶ ὁ Οἰδίπους ἑαυτὸν ἐτύφλωσεν.

l. 1234. Ἀρεῖσθε πένθος] ἀντὶ τοῦ λήψεσθε.

Ἐγγενῶς] γνησίως.

l. 1241. Αἳ ἂν φανῶσ' αὐθαίρετοι] ἑκουσίως γὰρ ἑαυτὸν καὶ ὁ Οἰδίπους ἐτύφλωσε, καὶ ἡ Ἰοκάστη ἀπήγξατο. μάλιστα (φησὶ) τῶν κακῶν λυπεῖ τὰ μὴ ἐκ τύχης συμβάντα, ἀλλ' ὥσπερ ἐπίτασιν καὶ αὐθαίρετα γιγνόμενα.

l. 1253. Πύλας δ' ὅπως εἰσῆλθ'] τὸ ἑξῆς, ὅπως εἰσῆλθεν ἔσω, ἐπιρρήξασα τὰς πύλας. τουτέστι κλείσασα. Ὅμηρος, - τρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοὶ, Τρεῖς δ' ἀναοίγεσκον. καλῶς δὲ τοῖς λέκτροις ἐπεμπίπτει. δι' αὐτὰ γὰρ ἀπόλλυται.

l. 1256. Τὴν δὲ τίκτουσαν λίποι] τὴν δὲ γυναῖκα λίποι τὴν ἑαυτοῦ. τουτέστι, τὴν ἰδίαν γυναῖκα παιδοποιόν.

l. 1263. Περιπολοῦντα] περιερχόμενον, ὥσπερ ἐμμανῆ.

l. 1270. Ἐκ δὲ πυθμένων] ἀνέῳξε τὰς πύλας καὶ κατέβαλεν ἐκ τῶν πυθμένων.

Pag. 219. l. 1273. Πλεκταῖς ἐώραις] ἐώρα λέγεται κρέμασις, ὕψωσις, μετεωρισμός.

l. 1275. Ἀρτάνην] τὴν ἀναρτητικήν. κυρίως δὲ ἀρτάνη λέγεται ἡ ἐκ τῶν καλωδίων ἀγχόνη.

l. 1282. Ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν, οὓς μὲν οὐκ ἔδει Ὀψοίαθ', οὓς δ' ἔχρῃζεν οὐ γνωσοίατο] τὸ συμβαῖνον πᾶσι τοῖς τυφλοῖς εἶπεν. οὐχ ὁρῶντες γὰρ, πολλάκις συμπίπτουσιν οἷς οὐκ ἂν ἐβούλοντο, οὐχ ὁρῶσι δὲ ὧν δέονται. ἐν σκότῳ οὖν ἔσται καὶ ἀγνοίᾳ.

l. 1284. Ἐφυμνῶν] ἀνοιμώζων.

l. 1285. Ἤρασσ' ἐπαίρων βλέφαρα] ἀναπετάσας τοὺς ὀφθαλμοὺς ἔπαιεν.

l. 1295. Ἐν τίνι σχολῇ] ἐστὶν, ἐν ποίᾳ διατριβῇ.

l. 1296. Βοᾷ διοίγειν κλεῖθρα] πιθανὴ ἡ αἰτία τοῦ ἐξιέναι αὐτόν, ἵνα (φησὶ) δείξῃ τοῖς πολίταις ὅτι ἄξιος ἑαυτοῦ

ἑαυτὸν ἐτιμωρήσατο, ἐπὶ ἀκουσίοις παθήμασι, καὶ ὡς μέλλων ἑκόντι ἐξεῖναι τῆς πόλεως διὰ τὰς ἀρὰς ἃς ἔφθασεν ἐπαρασάμενος.

l. 1306. Ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις] ἴσως οἱ κατὰ τὸν χορὸν ἰδόντες ἀπεστράφησαν, μὴ δυνάμενοι θεάσασθαι τὸ πάθος.

Pag. 221. l. 1322. Ποῖ γᾶς φέρομαι] ποῦ εἰμι; ἐν ποίῳ χωρίῳ ἡ φθογγή μου φέρεται; τίνος ἀκούω; ποῦ ἐστιν ἡ φθογγὴ ἥτις σφόδρα μοι διαπέτεται, ἧς φερομένης ἀκούω. ἢ οὕτως, ἀντὶ τοῦ ἀπέπτη ἡ φωνή.

l. 1325. Ἰν᾽ ἐξήλου] ἡ μεταφορὰ ἀπὸ τῶν ἀγωνιζομένων.

l. 1328. Ἀπότροπον] ὃ ἄν τις ἀποστρέψαιτο.

l. 1329. Ἄφατον] ἀφάτως ἐπεληλυθός.

Ἀδάμαστον] ἀνίατον, ὃ οὐδεὶς δαμάσαι δυνήσεται. ἢ σκληρὸν καὶ τραχὺ, ἀπὸ τοῦ ἀδάμαντος.

l. 1330. Δυσούριστον] οὖρον μὴ ἔχον, ἀλλ᾽ ἀεὶ παραμένον. δυσπεριόδευτον.

l. 1331. Οἷον εἰσέδυ μ᾽ ἅμα] ὁμοῦ με εἰσέδυ ἥ τε ἀπὸ τῆς πηρώσεως ἀλγηδὼν, καὶ ἡ τῶν κακῶν ὑπόμνησις.

l. 1332. Κέντρων τε τῶνδε] εἰλήφει γὰρ αὐτὸν ὀδύνη ἐπεὶ νεωστὶ τοῖς κέντροις ἐπεπήρωτο.

l. 1336. Ἐπίπολος] περιπολῶν ἐμὲ καὶ παραμένων ἔτι. νῦν δὲ τῶν ἀπὸ τῆς χειρὸς γνωρίζει, ἴσως διὰ τὸ τεταράχθαι ἐπὶ τῷ τοσούτῳ προσφάτῳ κακῷ.

l. 1342. Τίς σ᾽ ἐπῆρε δαιμόνων;] ἤγουν ἔπεισε. καὶ Εὐριπίδης, Ὅστις μ᾽ ἐπῆρας ἔργον ἀνοσιώτατον.

Pag. 223. l. 1351. Δείλαιε τοῦ νοῦ] δείλαιε τῆς συνέσεως ἕνεκεν, καὶ τῆς συμφορᾶς χάριν. χαλεπὸν γὰρ συνετῷ ἀνθρώπῳ τὰ τοιαῦτα συνεχθῆναι.

l. 1353. Ὄλοιθ᾽ ὅστις ἦν] ἀπόλοιτο (φησὶν) ὅστις ἀπὸ τῆς ἀγρίας πέδης τῆς διανεμομένης τοὺς πόδας μου ἔλαβε καὶ διέσωσέ με.

l. 1354. Νομάδος ἐπιποδίας] ἐν τῇ δημοσίᾳ ὁδῷ τῇ ὑπὸ τῶν νομέων πατουμένῃ.

l. 1355. Οὐδὲν εἰς χάριν] εἰς οὐδενὸς χάριν τὴν ἐμὴν σωτηρίαν ἐργαζόμενος. ἀντὶ τοῦ, μηδὲν χρηστὸν ἐργασάμενος ἐν τῷ διασῶσαί με.

l. 1356. Τότε γὰρ ἂν θανὼν] ἀντὶ τοῦ θανόντος. ἢ τὸ ἦν, ἀντὶ τοῦ ἤμην.

l. 1363. Ἀφ᾽ ὧν αὐτὸς ἔφυν τάλας] ἐξ ὧν ἐτέχθην, ἐξ αὐτῶν καὶ τέτοκα.

l. 1364. Εἰ δέ τι πρεσβύτερον] εἴ τι κακοῦ κάκιον, τοῦτ᾽ ἔλαχεν Οἰδίπους.

Pag. 225. l. 1368. Ὡς μὲν τάδε] τὰ τῆς τυφλώσεως.

l. 1370. Ἐγὼ γὰρ οὐκ οἶδ᾽ ὄμμασιν] φησὶ περὶ τοῦ θανάτου ταῦτα διαθεῖναι, ὅπως ἂν τοῖς γονεῦσι καθ᾽ ᾅδου μὴ συντυγχάνῃ ὁρῶν. εἶναι γὰρ αὐτῷ τοῦτο αἰσχρόν.

l. 1372. Οἷν ἐμοὶ δυοῖν ἔργ᾽ ἐστὶ κρείσσον᾽ ἀγχόνης εἰργασμένα] ἀγχόνης ἐπικρατέστερα ἅπερ οὐκ ἦν ἰάσασθαι οὐδὲ ἐν θανάτῳ. διὰ τούτου οὖν ἀπολογεῖται ὅτι μεῖζον κακὸν διεπράξατο εἰς ἑαυτὸν, ἢ εἴπερ ἦν τελευτήσας.

l. 1374. Ἀλλ᾽ ἡ τέκνων δῆτ᾽ ὄψις] ἐν ἐρωτήσει.

l. 1395. Κακῶν ὕπουλον] ὕποπτον. κρυπτόν. ὡς εἰ ἔλεγε, τὸ κράτιστον τῶν κακῶν.

Pag. 227. l. 1415. Ἀλλ᾽ ὧν ἐπαιτεῖς] ὧν χρείαν ἔχεις εἰς βοήθειαν.

l. 1433. Πρὸς σοῦ γὰρ] ὑπὲρ σοῦ καὶ οὐχ ὑπὲρ ἐμαυτοῦ λέξω.

l. 1441. Οὕτως ἐλέχθη ταῦθ᾽· ὅμως δ᾽ ἵν᾽ ἕσταμεν] ὁ μὲν τοῦ προειρημένου χρησμοῦ ἀξιοῖ ἀκολουθεῖν, ὅτι δεῖ ῥίπτειν αὐτὸν ἀπὸ τῆς χώρας· ὁ δὲ Κρέων ἐπανέρεσθαι φησὶ δεῖν, ὅτι καὶ Λαΐου παῖς καὶ βασιλεὺς τυγχάνει.

Ὅμως δ᾽ ἵν᾽ ἕσταμεν χρείας] ἡ χρεία ἡ κατέχουσα ἡμᾶς (φησὶ) ταῦτα ἀπαιτεῖ.

l. 1444. Καὶ γὰρ σὺ νῦν τ᾽ ἂν τῷ θεῷ πίστιν φέροις] ἵνα καὶ μετὰ γνώμης θεοῦ ἀπέλθῃς.

Pag. 229. l. 1452. Κύριον τάφον] ἴδιον, ἢ ὀφειλόμενον καὶ κεκυρωμένον.

l. 1453. Ἵν᾽ ἐξ ἐκείνων οἵ μ᾽ ἀπωλλύτην θάνω] ἵνα δόξω νῦν ἀναιρεῖσθαι ἐν τῷ Κιθαιρῶνι, καθὼς τοῖς γονεῦσιν ἐδόκει. καὶ νῦν τῷ βουλήματι αὐτῶν ἀπόλλυμαι.

l. 1471. Οὐ δὴ κλύω πω πρὸς θεῶν] αἰσθάνεται τῶν θυγατέρων παρουσῶν.

Τοῖν μοι φίλοιν δακρυρροοῦντοιν] ἀντὶ τοῦ τῶν ἐμῶν θυγατέρων. δέον δὲ εἰπεῖν δακρυρροούσαιν, ἀρσενικῶς ἐξήνεγκεν. ἔστι δὲ ἀττικώτερον, ὡς τὸ μὰ τὼ θεώ. καὶ, τὼ χεῖρε.

l. 1481. Αἵ τοῦ φυτουργοῦ πατρὸς] αἵτινες χεῖρες τὰ πρόσθεν λαμπρὰ ὄμματα τοῦ ἡμετέρου πατρὸς ὧδε ὁρᾶν προὐξένησαν.

l. 1487.

l. 1487. Οἷον βεβῶναι] πῶς ὑμῖν βεβιῶναι ἐκ τῶν ἀνθρώπων ἀνάγκη. ἢ ἡ πρὸς ἀντὶ τῆς μετά. ἀντὶ τοῦ, μετὰ ἀνδρῶν.

Pag. 231. l. 1493. Τοιαῦτ' ὀνειδιεῖσθε] ὑβρισθήσεσθε.

l. 1507. Τηλικάς δ' ὁρῶν] ἀντὶ τοῦ μικράς.

l. 1525. Τέκνων δ' ἀφοῦ] ἀφίστασο. τῇ προσῳδίᾳ ὡς ἀφαιροῦ.

l. 1529. Καὶ γὰρ ἃ 'κράτησας] ὅσα νενίκηκας, οὐ συνήνεγκέ σοι. καὶ αὐτάρκως ἔχει τὸ δρᾶμα. Τὰ γὰρ ἑξῆς, ἀνοίκεια γνωμολογοῦντος Οἰδίποδος.

ΣΧΟΛΙΑ

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΤΩΝ ΠΑΝΥ ΔΟΚΙΜΩΝ ΕΙΣ ΑΝΤΙΓΟΝΗΝ.

Ὦ κοινὸν αὐτάδελ.]

Pag. 237 l. 1. ΠΕριφραστικῶς, ὦ ἀδελφὴ Ἰσμήνη. αὐτάδελφον δὲ εἶπεν ὅτι ἐκ τῶν αὐτῶν γεγόνασι. πολλάκις δὲ ὁ Σοφοκλῆς ἐπὶ τοῦ ἀδελφοῦ τὸ κοινὸν τίθησιν, ὡς νῦν. ἐπειδὴ τὸ ἀδελφὸς κοινῶς λέγεται ἐπὶ τῶν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων ὄντων ἀδελφῶν, ἐπήγαγε τὸ αὐτάδελφον. ὅπερ παρίστησι τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς γεγονότας. τὸ δὲ κοινὸν ὁ Σοφοκλῆς συνεχῶς ἐπὶ τοῦ ἀδελφοῦ τίθησιν, ὅτι καὶ ἐν ταῖς ὑδροφόροις τέταχε, Πολύκοινον ἀμφιλέγεται. ἀντὶ τοῦ πολυάδελφον.

l. 2. Ἆρ᾽ οἶσθ᾽ ὅ, τι Ζεὺς] τὸ ὅ, τι ἀντὶ τοῦ ὁποῖον. ὁ δὲ νοῦς, ἆρα γε ἔστι τῶν ἀπ᾽ Οἰδίποδος κακῶν ὁποῖον οὐχὶ ὁ Ζεὺς ζώσαις ἡμῖν ἐπιτελεῖ; ὡς εἰ ἔλεγεν, ἆρα ἔχει τι ὁ Ζεὺς τούτων τῶν κακῶν μεῖζον ποιῆσαι εἰς ἡμᾶς, εἶπε δὲ διπλῶς, πρῶτον μὲν, ὅ, τι, ἔπειτα δὲ ὁποῖον, ἀρκοῦντος θατέρου.

l. 4. Οὔτ᾽ ἄτης ἄτερ] Δίδυμος φησὶν ὅτι ἐν τούτοις τὸ ἄτης ἄτερ, ἐναντίας συντέτακται τοῖς συμφραζομένοις. λέγει γὰρ οὕτως, οὐδὲν γάρ ἐστιν οὔτε ἀλγεινὸν, οὔτε ἀτηρὸν, οὔτε αἰσχρὸν, ὃ οὐκ ἔχομεν ἡμεῖς. ἄτης ἄτερ δέ ἐστι τὸ ἀγαθόν. περισσὸν δέ ἐστι καὶ τὸ Ἕτερον οὐ, ὥστε ὥσπερ ἀπόφασιν εἶναι. συνήθης δὲ τοῦτο τραγικοῖς

l. 7. Καὶ νῦν τί τοῦτ᾽ αὖ φασι] ἐγκλιτικῶς ἀναγνωστέον τὸ Τι. οὐ γάρ ἐστιν ἐν ἐρωτήσει ὁ λόγος, ἀλλ᾽ ἐν ἀποφάσει ἀορίστως.

Πανδήμῳ πόλει] πάσῃ τῇ πόλει.

l. 9. Ἤ σε λανθάνει] ἢ λανθάνει σε τὰ τῶν ἐχθρῶν μηχανήματα ἐπὶ τοὺς φίλους ἰόντα. τὰ ἀπὸ τῶν ἐχθρῶν κακὰ εἰς ἡμᾶς στείχοντα. ἡ δὲ πρὸς ἀντὶ τῆς ἐπὶ ληπτέα.

l. 11. Ἀντιγόνη φίλων] λείπει ἡ περὶ, ἵν᾽ ᾖ περὶ φίλων.

l. 14. Διπλῇ χερὶ] τῇ ὑπ᾽ ἀλλήλων. τοῦτο γὰρ δηλοῖ τὸ διπλῇ. ὅτι ὑπ᾽ ἀλλήλων ἀναιρεθέντων ἀδελφῶν.

l. 15. Ἐπεὶ δὲ φροῦδος] ἀντὶ τοῦ ἀφ᾽ οὗ. Ὅμηρος, Ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον. τὸ δὲ φροῦδος, καθ᾽ ὑπερβολὴν εἴρηται.

l. 16. Οὐδὲν οἶδ᾽ ὑπέρτερον] ἀντὶ τοῦ πλέον. ὅτι, οὐκ οἶδα ἐν τίσιν εἰμὶ, ἢ ἐν ἀγαθοῖς, ἢ ἐν κακοῖς.

l. 17. Ἀτωμένη] ἄτῃ συνεχομένη.

l. 18. Ἤδειν καλῶς] ἀντὶ τοῦ ᾔδεα καὶ ᾔδειν σε καλῶς τὰ τοιαῦτα μὴ πολυπραγμονοῦσαν.

l. 19. Τοῦδ᾽ οὕνεκ᾽ ἐξέπεμπον] ἀντὶ τοῦ, διὰ τοῦτο σε ἤγαγον ἐνταῦθα. τὸ δὲ ἐξέπεμπον, ἀντὶ τοῦ μετεπεμπόμην.

l. 20. Καλχαίνουσα] ἀντὶ τοῦ πορφύρουσα, καὶ ταραττομένας φροντίζουσα. κάλχη γάρ ἐστιν ὁ κόχλος τῆς πορφύρας, ἥτις ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἀνιοῦσα βάπτει τὴν καλλίστην πορφύραν. ἀφ᾽ οὗ καὶ Κάλχας ὁ μάντις. Ἄλλως. Ἐκ βάθους τι μεριμνῶσα, ὡς τὸ βυσσοδομεύων.

l. 21. Οὐ γὰρ τάφου νῷν] ἀντὶ τοῦ

ἡμῖν. ὁ δὲ λόγος κατ' ἐρώτησιν οὕτω πρὸς τὸ ἑξῆς, οὐ γὰρ τὸν κασιγνήτων ἡμῶν τὸν μὲν ἐτίμησε τάφῳ ὁ Κρέων, τὸν δὲ οὔ;

l. 23. Σὺν δίκῃ χρησθεὶς δικαίᾳ] ἀντὶ τοῦ δικαίᾳ κρίσει χρησάμενος.

l. 26. Πολυνείκους νέκυν] ἀντὶ τοῦ αὐτὸν τὸν Πολυνείκην.

l. 29. Γλυκὺν θησαυρὸν] ἕρμαιον, εὕρημα.

l. 30. Πρὸς χάριν βορᾶς] πρὸς τέρψιν τροφῆς.

l. 31. Τοιαῦτά φασι] τὸ ἑξῆς, τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντα σοὶ κἀμοὶ κεκηρυχέναι τόδε ἀγαθὸν ἐν εἰρωνείᾳ.

l. 32. Λέγω γὰρ κἀμὲ] διὰ μέσου μετὰ πάθους ἀνεφώνησε. λέγω γὰρ (φησὶν) ὅτι κἀμὲ περιείληφε τῷ κηρύγματι ἔτι γὰρ καὶ ἐμαυτὴν ἐν τοῖς ζῶσι καταριθμῶ τοῖς.

Κηρύξαντ' ἔχειν ἀντὶ τοῦ κεκηρυχέναι. ὡς τὸ, σιγήσας ἔχω. ἀντὶ τοῦ σιγῶ. λέγει δὲ, εἴπερ δεῖ κἀμὲ συγκαταριθμεῖσθαι ἐν τοῖς ζῶσι.

l. 33. Καὶ δὲ προνεῖσθαι] ἀντὶ τοῦ ἡγεῖσθαι.

Pag. 239. l. 37. Εἴτ' ἐσθλῶν κακὴ] λείπει γονέων, ἵν' ᾖ, ἐσθλῶν γονέων.

l. 38. Τί δ' ὦ ταλαῖφρον] τὸ ἑξῆς, τί δὲ ἂν σοι ἐγὼ προσθείμην πλέον; ἀντὶ τοῦ, σοὶ γνησίως χρήσιμος, εἰ ταῦτα οὕτως ἔχοι, λύουσα τὸν νόμον, καὶ θάπτουσα τὸν ἀδελφόν. εἰ δὲ γράφεται ἢ θάπτουσα, ἀντὶ τοῦ λύουσα τὸν νόμον, ἢ ἐπιβεβαιοῦσα αὐτόν.

Εἰ τάδ' ἐν τούτοις] εἰ ταῦτα Κρέων ἐκέλευσε.

l. 35. Οὐχ ὡς παρ' οὐδὲν] οὐχ ὡς ἔτυχεν ἔχειν τὸ πρᾶγμα. ἀντὶ τοῦ οὐκ εὐτελῶς, καὶ ὡς πάρεργον, ἀλλ' ὡς, μέγα. ἢ οὕτως, οὐχ ὡς οὐδὲν, ἀλλὰ μέγα.

l. 39. Προσθείμην] ἀντὶ τοῦ ποιήσαιμι.

l. 41. Ποῖόν τι κινδύνευμα] ἐκ τούτου ἤδη τὸ ἦθος ὅρα, κινδύνευμα καλέσης τὸ ἔργον. τὸ δὲ, Ποῖ γνώμης ποτ' εἶ, ὡς ἀδυνάτοις ἐπιχειρούσης λέγει.

l. 43. Ἦ γὰρ νοεῖς θάπτειν σφ' ἀπόρρητον πόλει;] τὸν ἀπηγορευμένον καὶ κεκωλυμένον ὑπὸ τῆς πόλεως τολμᾷς θάπτειν σύ;

l. 44. Τὸν γοῦν ἐμὸν καὶ τὸν σὸν] εἰ μὴ σὺ θέλεις θάπτειν, ἐγὼ τοῦτο ποιήσω μόνη. ἢ οὕτως, κἂν μὴ προσαποθῇ αὐτὸν ἔτι σὸν ἀδελφὸν, ἀλλ' ἀλλοτρίοις σωτῆρα τὸν συγγενείας, ἐγὼ θάψω τὸν ἐμὸν καὶ σὸν ἀδελφόν. Δίδυμος δέ φησιν ὑπὸ τῶν ὑπομνηματιστῶν τὸν ἑξῆς στίχον νενοθεῦσθαι.

l. 46. Ὦ σχετλία Κρέοντος] αἱ ἀντιλογίαι δῆλαι εἰσιν· ἢ μὲν γὰρ τῷ προστάγματι, ἡ δὲ τῇ οἰκειότητι ἀκολουθεῖ.

l. 47. Ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν] οὐ μέτεστιν αὐτῷ εἴργειν με ἀπὸ τῶν ἐμῶν. ἢ οὕτως, οὐ μέτεστιν αὐτῷ τὰ ἡμέτερα βουλεύματα εἴργειν.

l. 48. Πατὴρ ὡς νῷν ἀπεχθὴς] τὰς συμφορὰς σκόπησον τοῦ παντὸς γένους, καὶ πῶς πατὴρ ἀκλεῶς ἀπώλετο. οὐ μόνον δὲ ἀκλεὴς, ἀλλὰ καὶ ἀπεχθὴς διὰ τὸν γενόμενον λοιμόν.

l. 50. Πρὸς αὐτοφώρων ἀμπλακημάτων] αὐτὸς γὰρ ἑαυτὸν ἐφώρασε, καὶ ἔγνω συνὼν τῇ μητρί. ἢ, ὧν αὐτὸς ἐπόπτης ἐγένετο. ἢ, τῶν φανερῶν καὶ πᾶσιν ἐγνωσμένων.

l. 52. Διπλοῦν ἔπος] διπλοῦν ὄνομα ἔχουσα, μήτηρ τε καὶ γυνή.

l. 53. Ἀρτάναισιν] ἀγχόναις.

Λωβᾶται] ἀφανίζει. ἀπολλυσι.

l. 57. Μόνα δὴ νῶ λελειμμένα] μηδενὸς δηλονότι ἐπικούρου ὄντος ἡμῖν.

l. 58. Εἰ νόμου βίᾳ ψῆφον τυράννων] εἰ τὴν γνωμικὴν ψῆφον τῶν τυράννων τῇ τοῦ νόμου ἀνάγκῃ παραβαινομένη. τουτέστιν, εἰ τὴν ἐξουσίαν τὴν ἐκ τῶν νόμων τοῖς τυράννοις ἐπομένην παραβαίνομεν.

l. 59. Κράτη] τὰς βασιλείας.

l. 60. Ἀλλ' ἐννοεῖν χρὴ τοῦτο] πρῶτον μὲν ὅτι ἀσθενεῖς ἐσμὲν ἐκ φύσεως, καθὸ γυναῖκες· ἔπειτα καὶ ὑπὸ τῆς τύχης ἀσθενέστεραι, καθὸ ἀσθενέστεραι. παρὰ τὸ Εὐριπίδειον, γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα, Κακή δ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν.

l. 63. Κἄτι τῶνδ' ἀλγίονα] λυπηρότερα. λείπει δὲ τὸ, ὥστε ἀκούειν ταῦτα, καὶ τὰ τούτων χείρονα.

l. 64. Τοὺς ὑπὸ χθονὸς] ἢ τὸν Πολυνείκην, ἢ τοὺς χθονίους δαίμονας. πιθανῶς δὲ καὶ τοῦ πρέποντος ἐφρόντισε· φησὶ γὰρ ὅτι ἀπολογήσομαι τοῖς κατὰ χθονός.

l. 65. Ξύγνοιαν ἴσχειν] συγγνώμην ἔχειν, ὅτι βίᾳ πράσσω ταῦτα.

l. 66. Τοῖς ἐν τέλει] τοῖς βασιλεῦσι.

l. 67. Τὸ γὰρ περισσὰ πράσσειν] γνωμολογικῶς ἀπαλλάττεται. τὸ γὰρ παρὰ δύναμίν τι πράττειν, ἠλίθιον.

l. 68. Οὔτ' ἂν κελεύσαιμι] τὸ τέλειον, οὔτ' ἂν κελεύσαιμι. τὸ δὲ ἑξῆς, οὔτε,

ἐπὶ, εἰ θέλοις πράττειν ἐμοῦ μέτα, ἡδέως ἂν δρῴης. δαιμόνιον δὲ τὸ ἦθος, φησίν, ἔτι σε ἀναγκάσω, ἀλλ' οὔτ' ἂν θέλοις, ἡδέως ἀνέξομαί σου τὴν ἐπικουρίαν.

l. 70. Ἀλλ' ἴσθ' ὁποῖά σοι δοκεῖ] γίγνωσκε ὁποῖα σὺ θέλεις, τὸ πείθεσθαι τοῖς τυράννοις ἢ τοιαύτη γίνου ὁποία καὶ βούλει.

l. 71. Καλόν μοι τοῦτο ποιούσῃ] θαπτούσῃ τὸν ἀδελφόν. ἀντὶ τοῦ, καλός μοι ἔσται ὁ ὑπὲρ ἀδελφοῦ θάνατος. τουτέστιν, εὐκλεέστατος.

l. 73. Ὅσια πανουργήσασα] δίκαια μετὰ πανουργίας ἐργασαμένη, ὡς αὐτὴ λέγει. ἐπεὶ προεῖπε, τὸ γὰρ περισσὰ πράττειν οὐκ ἔχει νοῦν οὐδένα. ἢ οὕτως, ὅσια πανουργήσασα. ἀντὶ τοῦ εὐσεβῶς πάντα ἐργασαμένη.

l. 74. Τοῖς κάτω τῶν ἐνθάδε] γνωμικὸν καὶ τοῦτο, εἰς ὑποθήκας συντελοῦν τῆς μετὰ ταῦτα ἐπιδημίας, ὅτι δεῖ εὖ τίθεσθαι, μεμνημένον ἐκείνου τοῦ χρόνου, καὶ ὅτι δεῖ λόγον ὑπέχειν κάτω. ἐπεμβέβληται δὲ ταῦτα τοῖς ποιήμασιν οὐκ ἀχρείως, εἰς εὐσέβειαν προτρεπόμενα.

l. 76. Τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσασ' ἔχε] τὰ παρὰ θεοῖς τίμια ἀτίμαζε. πτίμηται γὰρ παρὰ θεοῖς καὶ ὅσιον νενόμισται τὸ θάπτειν νεκρούς, οἷς μᾶλλον δεῖ πείθεσθαι ἢ τοῖς τοῦ Κρέοντος κηρύγμασι.

l. 78. Βίᾳ] ἀντὶ τοῦ βιαίως.

l. 79. Σὺ μὲν τάδ' ἂν προύχοιο] σὺ μέντοι ταῦτα προφασίζου. τὰς γὰρ προφάσεις, προχάνας ἐκάλουν ὡς καὶ Καλλίμαχος, Ἀγχοδέτιω πάσῃσιν ἐπὶ προχάνῃσιν ἐφοίτα, ἐν τῷ τρίτῳ τῶν αἰτίων. ἤ, σὺ ταῦτα προβάλλου. ἤ, σὺ μὲν τούτοις ἂν σεαυτὴν σκεπάζοις.

Ἐγὼ δὲ δὴ τάφον χώσουσ'] τοῦτο ἤδη τῆς προθυμίας αὐξητικόν.

Pag. 241. l. 81. Οἴμοι, ταλαίνης] φιλόστοργον καὶ ταύτης τὸ ἦθος, ἀλλ' εὐλαβές. δέδοικεν οὖν καὶ περὶ τῇ ἀδελφῇ, καὶ ἀναβοᾷ περιπαθῶς.

l. 82. Πότμον] γράφεται βίον.

l. 85. Οἴμοι, καταύδα] διὰ τούτου δηλοῖ ὅτι, ἐφ' οἷς ποιῶ, ἀγάλλομαι. πᾶσιν οὖν ἀπάγγελλε αὐτά. ἅμα δὲ καὶ ὑβρίζει ἐν οἷς δοκεῖ αὐτῇ προχαρίζεσθαι.

l. 87. Θερμὴν ἐπὶ ψυχροῖσι] ἐπὶ ἀδυνάτοις νεανιεύῃ, καὶ ἐπὶ ἀηδέσι τέρπῃ τὴν ψυχήν.

l. 88. Οἷς μάλισθ' ἁδεῖν με χρή] τῇ τῶν θεῶν ὁσίᾳ, διὰ τὸ θάπτειν τὸν νεκρόν, καὶ μάλιστα ἀδελφόν.

l. 89. Εἰ καὶ δυνήσῃ γ' ἀλλ' ἀμ.] εἰ καὶ δυνήσῃ ἀρέσκειν. ἀλλ' ἀμηχάνων καὶ ἀδυνάτων ἐρᾷς.

l. 90. Οὐκοῦν ὅταν δὴ μὴ σθένω] ὅταν ἀδυνατήσω, τότε παύσομαι· νῦν δὲ ἀναγκαῖον ἐπιχειρεῖν.

l. 91. Ἀρχὴν δὲ θηρᾶν] οὐδὲ ἐπιβάλλειν τοῖς ἀμηχάνοις καλόν ἐστι.

l. 93. Προσκείσῃ δίκῃ] ἀντὶ τοῦ δικαίως. ὡς καὶ ἡμεῖς ἔτι φαμὲν ἐν τῇ συνηθείᾳ ἢ ἡ Πρός, τοῦ δίκῃ ἐστίν· ἵν' ᾖ οὕτως, πρὸς τῷ τῇ δίκῃ ἀπέχθεσθαι, καὶ τῷ θανόντι δυσμενὴς ἔσῃ. καλῶς δὲ τὸ κείσῃ; ἵνα τὴν μετὰ θάνατον αὐτῇ προσγενησομένην τιμωρίαν αἰνίξηται.

l. 95. Πείσομαι γὰρ οὐ τοσοῦτον οὐδὲν] οὐδὲν δεινὸν (φησὶ) πείσομαι, ὅπερ με τῆς εὐκλείας τοῦ καλοῦ θανάτου ἀποστερήσει. ἀντὶ τοῦ, οὐδὲν τηλικοῦτον κακὸν πείσομαι ὥστε μὴ οὐ καλῶς ἀποθανεῖν.

l. 98. Ἄνους μὲν ἔρχῃ] ἀνοήτως μὲν καὶ φιλοκινδύνως πράττεις, εὐνοϊκῶς δὲ τῷ θανόντι.

l. 99. Ἀκτὶς ἀελίου] συνῳδὸς τινῶν Θηβαίων γερόντων, ἐξ ὧν ὁ χορὸς συνέστηκε. μετάπεμπτοι δὲ ἐοίκασιν οὗτοι ὑπὸ τοῦ Κρέοντος γεγενῆσθαι. ἐπεὶ καὶ τὰς προφάσεις τῆς εἰσόδου τῶν χορῶν πιθανὰς εἶναι δεῖ. καὶ ἐπειδὴ κατωρθώκασι τῇ προτεραίᾳ Θηβαῖοι, καὶ οἱ ἄριστοι πάντες τῶν Ἀργείων ἀνῄρηνται, εἰκότως περιχαρεῖς εἰσι καὶ τῇ παρούσῃ ἡμέρᾳ εὐχαριστοῦσιν. ὁ δὲ λόγος, ὦ φίλη ἡμέρα παρὰ τὰς πρόσθεν ἡμέρας ἡμῖν φανεῖσα.

Τὸ κάλλιστον ἑπταπύλῳ] τὸ τῷ, πρὸς τὸ φανέν· τὸ δὲ ἑξῆς, ὦ τοῦ ἀκτῖνος τοῦ ἡλίου φῶς, τὸ φανὲν ἡμῖν κάλλιστον τῶν προτέρων ἡμερῶν. τοῦτο γὰρ προσληπτέον.

l. 102. Ὦ χρυσέας ἁμέρας] ὦ ἀκτὶς τῆς ἡμέρας ὀφθαλμός. ὁ δὲ νοῦς, ὦ καλλίστη ἡμέρα, ἐφάνης ἐν Θήβαις, βάντα τὸν ἀργολικὸν στρατὸν τὸν λεύκασπιν πανσαγίᾳ, τουτέστι πάσῃ σάγῃ καὶ σκευῇ χρησάμενον, ὀξυτόρῳ κινήσασα χαλινῷ φυγάδα.

l. 104. Διρκαίων ὕπερ] Δίρκη κρήνη καὶ ποταμὸς Θηβῶν.

l. 106. Λεύκασπιν] καὶ Εὐριπίδης, Λεύκασπιν εἰσορώμενοι Ἀργείων στρατόν.

l. 107. Πανσαγίᾳ] σὺν πανοπλίᾳ. ἤτοι δὲ τὸν Ἄδραστον φησίν, ἢ ἐφ' ἑνὸς τὸ πλῆθος δηλοῖ.

l. 108. Πρόδρομον] ὑπὲρ τὸ δέον δραμόντα διὰ τὴν φυγήν.

l. 9. Κινήσασα χαλινῷ] ἤγουν παρασκευάσασα τῶν χαλινῶν μετὰ σπουδῆς

ἐφάψασθαι, διὰ τὴν ὀξυτέραν φυγήν.

l. 110. Ὃν ἐφ' ἁμετέρᾳ γᾷ] ὅντινα στρατὸν Ἀργείων ἐξ ἀμφιλόγων νεικέων ἀρθεὶς ἤγαγεν ὁ Πολυνείκης· διὰ ἀμφιλογίᾳ χρησάμενος πρὸς τὸν ἀδελφόν. διὰ βραχέων δὲ εἶπεν αὐτὸ, ὡς γνωρίμου οὔσης τῆς ὑποθέσεως.

l. 11. Ἀρθεὶς] ἐπαρθεὶς εἰς θυμὸν καὶ παροξυνθείς.

Νεικέων ἀμφιλόγων] ἢ τῶν ἀμφισβητησίμων, ἢ τῶν ἀμφιβολίας ἐμποιούντων.

l. 112. Αἰετὸς εἰς γᾶν ὣς] τὸ ἑξῆς, ὡς αἰετός.

l. 114. Λευκῆς χιόνος πτέρυγι] ὡς ἐκ χιόνος οὔσῃ πτέρυγι. ἀντὶ τοῦ λευκοτάτῃ.

Στεγανὸς] ἐστεγασμένος λευκοῖς ὅπλοις· ἀλληγορικῶς δὲ τοῦτό φησιν, ὡς ἐπὶ αἰετοῦ. δηλοῖ δὲ ὅτι λευκάσπις ἦν ὁ τῶν Ἀργείων στρατός. λείπει δὲ τὸ ὡς ἵν' ᾖ, ὡς χιόνος. τὸ δὲ πτέρυγι μεταφορικῶς ἐπὶ τῶν ὅπλων ἔλαβε.

Pag. 243. l. 20. Στὰς δ' ὑπὲρ μελάθρων] ὡς αἰετὸς Πολυνείκης κυκλώσας τὰς Θήβας, ταῖς τῶν φόνων ἐρώσαις λόγχαις ἀμφιχανὼν ἔβα. ἐνέμεινε δὲ τῇ μεταφορᾷ.

l. 23. Ἔβα] ἀντὶ τοῦ ἠπλάθη.

l. 24. Αἱμάτων γένυσι] παρήλλαξε τὸ ὄνομα, τὰ χείλη τοῦ αἰετοῦ γένυς εἰπών.

l. 27. Πευκάενθ' Ἥφαιστον ἑλεῖν] τὸν ἐκ τῆς πεύκης ἐγειρόμενον. ἢ τὸν πικρὸν τοῖς τοῦτο πάσχουσι.

l. 130. Δυσχείρωμα δράκοντι] ἐγεγόνει ὁ δράκων ἐξ Ἄρεως καὶ Τιλφώσσης ἐριννύος. ἀπὸ δὲ τοῦ δράκοντος τοὺς Θηβαίους δηλοῖ, ἐπεὶ δρακοντογενεῖς εἰσίν. ὁ δὲ λόγος, τοιοῦτος· πάταγος Ἄρεως περὶ τὰ νῶτα τοῦ αἰετοῦ ἐτάθη. τουτέστι, δραπετεύειν καὶ νῶτα αὐτὸν διδόναι πεποίηκεν ὑπὸ τοῦ ἀντιπάλου δράκοντος, ὃς ἐποίησεν αὐτὸν τὸν δράκοντα δυσχερῶς χειρωθῆναι. πολέμιον δὲ ζῶον ἐστὶν ὁ δράκων πρὸς τὸν αἰετὸν, ὥς φησι Νίκανδρος. τῷ δὲ ἀντιπάλῳ δράκοντι, ἀντὶ τοῦ ὑπὸ τοῦ ἀντιπάλου δράκοντος, ὡς Ἀχιλλῆϊ δαμασθείς. ἢ οὕτως, τῷ ἀντιπάλῳ δράκοντι τοσαύτη μάχη συνεστάθη, ἣ ἐποίησεν αὐτὸν μὴ δύνασθαι ὑμᾶς χειρώσασθαι. ἵνα δράκοντα λέγῃ τὸν τῶν Ἀργείων στρατὸν, ὡς θανατηφόρον· ἢ τὸν Πολυνείκη, ὡς αὐτὸν Θηβαῖον ὄντα.

l. 131. Ζεὺς γὰρ μεγάλης γλώσσης] τοῦτο κοινὸν, ὡς πάντων τῶν Ἑλλήνων μεγαλαυχούντων, ἢ ἰδίᾳ κατὰ Καπανέως. τὰ γὰρ ἑξῆς εἰς αὐτὸν μόνον τείνει.

l. 134. Χρυσοῦ καν. ὑπ.] καὶ τὴν τοῦ χρυσοῦ φαντασίαν ὑπερβεβηκότας τῇ ἰδίᾳ ὑπεροψίᾳ. ὑπερήφανον γάρ τι ὁ χρυσός. οἱ δέ φασι λείπειν τὴν μετά. ἵν' ᾖ οὕτως. καὶ ἰδὼν αὐτοὺς προσνισσομένους μετὰ χρυσοῦ καὶ καναχῆς καὶ ὑπεροψίας, οὐκ ἠνέσχετο, ἀλλ' ἐνεμέσησε τῷ κόμπῳ αὐτῶν. ἀεὶ γὰρ τοὺς κόμπους τῆς μεγάλης γλώσσης ὑπερεχθαίρει.

l. 135. Παλτῷ ῥιπτεῖ πυρὶ] τῷ κεραυνῷ τῷ ἄνωθεν παλθέντι.

Βαλβίδων] μεταφορικῶς εἴρηται ἀπὸ τῶν δρομέων. ἀντὶ τῶν κρηπίδων τοῦ τείχους.

l. 137. Ἀλαλάξαι] παιανίσαι. ἀλάλαγμα δέ ἐστιν ἐπινίκιος ᾠδή.

l. 142. Ἀντίτυπα δ' ἐπὶ γᾷ πέσε] εἰς ἀντίτυπον δὲ (φησὶ) πτῶμα ἔπεσε, διατιναχθεὶς ἄνωθεν κάτω, οὐχὶ πλάγιος. τὸ δὲ ἀντίτυπος οὐκ ἀπὸ τοῦ τόπου ἀλλ' ἀπὸ τοῦ τύψαι συντέθειται. αὐτὸς μὲν γὰρ τὴν ἄνω φορὰν ἐδίωκεν, ὁ δὲ κεραυνὸς τὴν κάτω. ὅτι δὲ ταντολωθεὶς σημαίνει τὸ διασεισθεὶς, μαρτυρεῖ καὶ Ἀνακρέων, Μελαμφύλλῳ δάφνᾳ χλωρᾷ τ' ἐλαίᾳ ταντολίζει. Ἄλλως ἄνωθεν τυπεὶς ὑπὸ τοῦ κεραυνοῦ, κάτωθεν δὲ ὑπὸ τῆς γῆς, ὑπὸ τὸν κεραυνὸν γενόμενος ὅτι τῷ Ταντάλῳ ἡ Σίπυλος ἐπικατεστράφη.

l. 144. Πυρφόρος] πῦρ φέρων ἐν αὐτῷ. ὁ πῦρ τοῖς τείχεσι προσάγων ἢ πεπυρακτωμένος ὑπὸ τοῦ κεραυνοῦ.

l. 145. Μαινομένᾳ ξὺν ὁρμᾷ] ὡς ἐπὶ τυφῶνος καὶ καταιγιδώδους πνεύματος, ἐπέπνει τὴν πόλιν ῥιπαῖς ἀνέμων.

l. 146. Βακχεύων] ἐνθουσιῶν, καὶ μέγα φυσῶν, καὶ πνέων ὀργήν. ὡς τὸ Μενάνδρου. Ἀλλὰ καὶ πν. * * *

l. 148. Εἶχε δ' ἄλλα] τὸ εἶχεν, οὐκ ἔτι ἐπὶ τοῦ Καπανέως. ἀλλ' ἐπὶ τοῦ Ἄρεως. ὅτι Ἄρης βοηθῶν ἡμῖν, πανταχοῦ τροπὰς ἐποιεῖτο τῶν πολεμίων· τοῦτο δέ φησιν ὡς εἰ ἔλεγεν, οὐδεὶς τόπος ἀπήλλακτο ταραχῆς, ἀλλὰ πανταχοῦ ὁμοίως ἐξεφλέγετο ὁ πόλεμος.

l. 150. Δεξιόσειρος] κατὰ τὸ δεξιὸν φερόμενος κέρας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἵππων τῶν ἐν τοῖς ἅρμασι παρασειρόντων. ὅ ἐστι, δεξιὸς Ἄρης ἡμῖν γενόμενος ὁ κεραυνὸς, καὶ ἀγαθὸς ἡμῖν φανείς. ἐὰν δὲ ᾖ δεξιόχειρος,, ἀντὶ τοῦ γενναῖος καὶ περιδέξιος. Ἄλλως. δεξιόσειρος. ὁ γενναῖος. οἱ γὰρ ἰσχυροὶ ἵπποι εἰς τὴν δεξιὰν σειρὰν ζεύγνυνται τοῦ ἅρματος.

l. 151.

l. 151. Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη] ὅ ἐστι τὰ ὅπλα ἀπέσταλον.

l. 152. Πλὴν τοῖν στυγεροῖν] στυγερῶν φησὶ τῶν ἀτυχῶν. οἱ τοιοῦτοι γὰρ ἀεὶ στυγνοὶ καθεστήκασιν. οὗτοι δὲ (φησὶν) ἀλληλοκτονηθέντες οὐ διέκριναν τὴν νίκην, ὥστε τοῦ ἡττηθέντος ἀνατεθῆναι τὰ ὅπλα.

l. 153. Καθ' αὑτοῖν] ἀντὶ τοῦ κατ' ἀλλήλων.

Pag. 245. l. 149. Δικρατεῖς λόγχας] ἀμφοτέρωθεν ἠκονημένας. ἢ ὅτι ἀλλήλους ἀπέκτειναν, καὶ ἡ ἑκατέρου λόγχη οὐκ εἰς κενὸν ἀπεπέμφθη, ἀλλ' ἐκράτησε τοῦ ἑτέρου.

l. 154. Ἁ μεγαλώνυμος] ἡ μεγάλην περιποιοῦσα δόξαν.

l. 157. Ἀντιχαρεῖσα Θήβᾳ] ἀντὶ τοῦ, ἴσον αὐτῇ χαρεῖσα, ὡς ἀντίθεος. θέλει δὲ εἰπεῖν ὅτι ὅσον ἐφίλει τὴν νίκην, καὶ ἡ νίκη αὐτὴν ἀντεφίλησε. πρὸς χαίρουσαν γὰρ αὐτὴν καὶ αὐτὴ χαρεῖσα ἦλθεν. ἤ, ἀντὶ τῶν κακῶν χαρεῖσα.

l. 158. Ἐκ μὲν δὴ πολέμων] παύου πένθους τὰ τῆς ψυχῆς. ἐπιμνησθέντες γὰρ δυσχερῶν, πάλιν ἐπὶ τὰ κατάρχας εὔφημα τρέπονται.

l. 161. Θήβας δ' ἐλελίζων] ἐξάρχοι δὲ ὁ Διόνυσος ὁ τὰς Θήβας ἐλελίζων καὶ κινῶν ταῖς Βακχείαις. Ἄλλως. ὁ Θήβας δ' ἐλελίχθων Βακχεῖος, ὁ κινησίχθων. ἐλελίχθονα δὲ τὸν Διόνυσον φησὶ διὰ τὰς ἐν ταῖς Βακχείαις κινήσεις. ἢ τὸν τὴν γῆν σείοντα καὶ ἀναβακχεύοντα ταῖς χορείαις. ὁ δὲ νοῦς, ὁ Θήβας Βακχεῖος. ὁ Θηβαγενὴς Διόνυσος, ὁ τῆς Θήβης πολίτης, ὁ ἐλελίχθων, ἄρχοι τῆς χορείας.

l. 163. Ἀλλ' ὅ δε γὰρ δὴ βασιλεὺς χώρας] ἄριστα καὶ μεγαλοφρόνως διεσκεύασται αὐτῷ ὁ χορός. ἕτερος γὰρ ἂν ταῦτα πρῶτον εἰσήγαγεν ὅτι ἡμεῖς συνήχθημεν ὑπὸ Κρέοντος. χαίρειν δὲ τὸ πρῶτον μετὰ εὐχὴν αὐτοὺς ποιήσασθαι, ἑξῆς δὲ δηλῶσαι ὑπὸ τίνος συνηθροίσθησαν. παρατήρει δὲ ὅτι πάντη ἐπιμελῶς διαγίνεται δηλῶν ἡμῖν τὰ πράγματα ὁ ποιητής, ὥστε ἐσπάρθαι μὲν αὐτὰ καὶ παρακεῖσθαι ἑτέροις προσώποις, πάντα δὲ δηλοῦσθαι. καὶ τὸ τοῦ βασιλέως ὄνομα εὐθὺς παρατήρει, Κρέων ὁ Μενοικέως. καὶ τὸ νεοχμὸς δὲ οὐκ ἔστιν ἀργόν.

l. 164. Νεοχμὸς] νέος. νεωστὶ καταστάθεὶς εἰς τὴν ἀρχὴν καὶ τυραννίδα. τὸ δὲ ἑξῆς, ἀλλ' ἰδοὺ γὰρ Κρέων ὁ νεωστὶ καινὸς βασιλεὺς τῆς χώρας γενόμενος, ταῖς προσφάτοις παρὰ θεῶν αὐτῷ δεδομέναις ἐπιτυχίαις, τοῦτο κατορθώσας.

l. 165. Συντυχίαις] συναντήσεσι.

Τίνα δὴ μῆτιν ἐρέσσων] ἐν ἑαυτῷ κινῶν καὶ μεριμνῶν· ἐκ μεταφορᾶς τῶν ἐρεσσόντων.

l. 166. Σύγκλητον λέσχην] τὴν συγκληθεῖσαν ἐξαίφνης ὁμιλίαν. ἐπειδὴ γὰρ μεταπεμψάμενος τοὺς ἐντίμους, εἰς ἐκκλησίαν συνήγαγε.

l. 167. Προὔθετο λέσχην] ὁμιλίαν συνεκρότησε.

l. 168. Πέμψας] μεταστειλάμενος.

l. 170. Πολλῷ σάλῳ] τροπικῶς, ὡς ἐπὶ νεώς.

Ὑμᾶς δ' ἐγὼ πομποῖσιν] διὰ τῶν πομπῶν ὑμᾶς μετεκαλεσάμην χωρὶς ἁπάντων, ἐξαιρέτως πρὸς ὑμᾶς μόνον ἀπεσταλμένων. ὁ δὲ λόγος, ἔστι μὲν καὶ σημαντικὸς τοῦ πράγματος, ἔστι δὲ καὶ τεχνικός. ἐγκωμιάζει γὰρ πρῶτον αὐτούς. ἀναγκαῖον δὲ τῷ παριόντι πρῶτον ἐπὶ πολιτικὴν ἀρχὴν, εὔνους ἑαυτῷ καταστῆσαι τοὺς ὑπηκόους. μετεπεμψάμην οὖν (φησὶν) ὑμᾶς, εἰδὼς ὅτι ἄνωθεν πρὸς Λάϊον καὶ Οἰδίποδα εὐνοϊκῶς εἴχετε. ὡς δήπου καὶ πρὸς αὐτὸν τοιούτων φανησομένων. δηλοῖ δὲ διὰ τούτων καὶ τὴν ἡλικίαν τῶν κατὰ χορὸν γερόντων, ὡς ἔτι ἄνωθεν ἀπὸ Λαΐου ὄντων ἐν πολιτείᾳ.

l. 179. Κατ' ἀγχιστεῖα] οὐδετέρας κατ' οἰκειότητα. κατὰ συγγένειαν.

l. 180. Ἀμήχανον δὲ] οἱ μὲν Χίλωνι ἀνατιθέασι τὴν γνώμην, οἱ δὲ Βίαντι, ὅτι ἀρχὴ ἄνδρα δείκνυσιν.

Pag. 247. l. 184. Μὴ τῶν ἀρίστων] δέον γὰρ ἀρίστων βουλευμάτων ἅπτεσθαι, καὶ παρρησιάζεσθαι ἐν αὐτοῖς, μὴ ἀποδειλιῶντα.

l. 186. Νῦν τε καὶ πάλαι] καὶ πρὶν ἄρξαι, καὶ νῦν ὅτε ἐπὶ τὴν ἀρχὴν ἐλήλυθα.

l. 192. Οὔτ' ἂν φίλον ποτ'] οὐκ ἂν κτησαίμην φίλον τῆς ἐμῆς πόλεως δυσμενῆ. τοῦτο δὲ εἰς Πολυνείκην συντείνει.

l. 194. Ἥδ' ἐστὶν ἡ σώζουσα] ἡ πόλις δηλονότι.

l. 195. Πλέοντες ὀρθῆς] πορευόμενοι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεῶν.

l. 197. Καὶ νῦν ἀδελφὰ] ἴσα. ὅμοια. μέλλων δὲ περὶ ἀπεχθοῦς κηρύγματος λέγειν, μακροτέρῳ χρῆται τῷ λόγῳ· καὶ

πρῶτον μὲν ἐγκωμιάζει τὸν Ἐτεοκλέα, ὕστερον δὲ ἐλέγχει τὸν Πολυνείκη, καὶ δεικνυσιν αὐτὸν μίσους ἄξιον καὶ τῆς τοιαύτης τιμωρίας.

l. 206. Αἵματος κοινοῦ] ἀντὶ τοῦ ἐμφυλίου. ἢ τοῦ ἀδελφικοῦ αἵματος. παρεξευτικὰ δὲ λίαν ταῦτα τῶν ἀκουόντων.

l. 211. Ἐδεστὸν] βρωτόν.

l. 217. Τὸν τῇδε δύστυχον] λείπει τὸ μὴ θάπτειν.

l. 218. Νόμῳ δὲ χρῆσθαι παντί πού τ' ἔνεστί σοι] ἀντὶ τοῦ, ἔξεστί σοι ὅπως θέλεις νομοθετεῖν.

l. 220. Ὡς ἂν σκοποὶ νῦν] σκοποὶ, φύλακες. ἀντὶ τοῦ, μελέτω ὑμῖν ἡ φυλακὴ τῶν εἰρημένων.

l. 221. Νεωτέρῳ τῳ τοῦτο βαστάζειν] τοῦτο τὸ φορτίον. τὸ δὲ Πρόσθες, ἀντὶ τοῦ πρόσθες. χρῶνται γὰρ τῇ Πρὸ ἀντὶ τῆς Πρός.

l. 224. Τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσι τάδε] λείπει ἡ διά. διὰ τὸ μὴ ἐπιτρέπειν μηδὲ συγχωρεῖν τοῖς ἀπειθοῦσιν. ἔλεγον δὲ καὶ τὴν πειθὼ, πίστιν.

l. 226. Καὶ μὴν ὁ μισθὸς οὗτος] ὁ θάνατος δηλονότι.

l. 227. Ἄνδρας τὸ κέρδος] ἕνεκα κέρδους καὶ τοῦ θανάτου ἔνιοι καταπεφρονήκασιν. ὅτι, ὑπὸ ἐλπίδων τοῦ διαφυγεῖν, καὶ τοῖς ἐπικινδύνοις ἔργοις ἐπιχειροῦσιν. οὐ γὰρ προσεδόκα τινὰ τῶν οἰκείων τοῦτο ποιῆσαι θήλειαι γὰρ ἦσαν.

Pag. 249. l. 228. Ἐρῶ μὲν, οὐχ ὅπως τάχους ὕπο] οὐ τοῦτο λέγω ὅτι μετὰ σπουδῆς ἀσθμαίνων, πρὸς σὲ πεπόρευμαι. πολλάκις γὰρ ἐπιστὰς ἐλογισάμην πότερον ἔλθω πρὸς σὲ, ἢ μή.

l. 230. Ἐπιστάσεις] ἐνστάσεις.

l. 231. Ἀναστροφὴν] ὑποστροφήν.

l. 233. Τάλας τί χωρεῖς] ταῦτα ἡ ψυχή μου παρῄνει.

Οἷ μολὼν] ἀντὶ τοῦ ὅπου.

l. 235. Οὐκ ἀλγυνεῖ] οὐ τιμωρηθήσῃ.

l. 236. Ἤνυτον σχολῇ βραδὺς] γράφεται ταχύς. καίτοι ταχὺς ὢν, βραδέως ἤνυον τὴν ὁδόν.

l. 239. Κεἰ τὸ μηδὲν ἐξερῶ] καὶ εἰ μηδέν σοι τερπνὸν λέξω. ἢ οὕτως· εἰ καὶ τὸ μηδέν σοι μέλλω λέγειν. καὶ γὰρ ἐκ τοῦ εἰπεῖν καὶ σιγῆσαι, οὐδὲν ἄλλο λείπεται, ἢ θανάτῳ με κολάζεσθαι. ἀκόλουθον δὲ καὶ τὸ ἑξῆς διανόημα. ἐλπίζω γὰρ ὅτι οὐδὲν ἄλλο πάθοιμι ἢ τὸ μόρσιμον. ὥστε οὐδέν μοι χεῖρον ἀποβήσεται ἐκ τοῦ εἰπεῖν.

l. 240. Τῆς ἐλπ. γὰρ ἔρχ' δεδρ] ὑπὸ γὰρ τῆς ἐλπίδος νενικημένος ἐλήλυθα. ἢ οὕτως. ἀντειλημμένος τῆς ἐλπίδος ἐλήλυθα.

l. 247. Κἀπυφραγνύσαι κύκλῳ] κύκλῳ σεαυτὸν ἀσφαλίζῃ, ἢ αὐτὴν τὴν πρᾶξιν.

l. 250. Οὔκουν ἐρεῖς ποτ'] τοῦ ἀγγέλου περιπλέκοντος τὸν λόγον, καὶ ὑλαβουμένου σημῆναι τὸ πραχθὲν, ἐπιθυμῶν ὁ Κρέων ἀκοῦσαι, εὐέλπιν αὐτὸν ποιεῖ ὡς ὅτι οὐδὲν πείσεται. οὐ γὰρ ἀπειλεῖ κελεύων εἰπεῖν, ἀλλά φησιν ὅτι δηλώσας τὸ πρᾶγμα, ἄπιθι ἀθῷος. δίδωσιν οὖν καὶ ἀνδράσι βασιλικοῖς τὸ ψεύσασθαι διὰ τὸ χρήσιμον.

l. 252. Διψίαν] ξηράν.

l. 253. Κόνιν παλύνας] βαλὼν, ἢ λεπτύνας τὴν λεγομένην χυτὴν γῆν.

l. 256. Δικέλλης] πελέκεως. ἀξίνης.

Στύφλος] σκληρά.

l. 257. Ἀρρὼξ] μὴ ἐσχισμένη.

Οὐδ' ἐπημαξευμένη] ἐσκαμμένη.

l. 258. Ἀλλ' ἄσημος ὁ ὑργάτης τις ἦν] ὁ τοῦτο ἐργασάμενος ἄγνωστος ἦν. ἐκπλῆξαι δὲ αὐτὸν βούλεται ὡς ὅτι ἔκ τινος τῶν κρειττόνων γέγονεν.

l. 261. Τυμβήρης μὲν οὔ] οὐ κατὰ βάθος ἦν τεθαμμένος, ἀλλ' ὡς ἔχει, ἐπιβεβλημένη ἦν ἡ ἄμμος. τοῦτο δὲ ἐποίησεν ὁ θάψας νόμου χάριν. οἱ γὰρ νεκρὸν ὁρῶντες ἄταφον, καὶ μὴ ἐπαμησάμενοι κόνιν, ἐναγεῖς εἶναι ἐδόκουν. ὥσπερ οὖν τὸ τῆς ἀσεβείας τις ἔγκλημα φεύγων λεπτὴν κόνιν ἐπιχέει τοῖς νεκροῖς, οὕτως ἦν καὶ ἐπάνω τοῦ Πολυνείκους. καὶ τοῦτο δὲ ἡ Ἀντιγόνη καθαρσίαν ἕνεκα πεποίηται. λόγος δὲ ὅτι Βουζύγης Ἀθήνησι κατηράσατο τοῖς περιορῶσιν ἄταφον σῶμα.

l. 266. Φύλαξ ἐλέγχων φύλακα] ἐπεὶ ἐκ διαδοχῆς αἱ φυλακαὶ γίγνονται, ἠποροῦμεν εἰς τὴν τίνος φυλακὴν ἐγεγόνει.

l. 268. Εἷς γάρ τις ἦν ἕκαστος] ἕκαστος μὲν γὰρ τὸν πλησίον ἐδόκει πεπραχέναι, ἀκριβῶς δὲ αὐτὸν κατελέγχειν οὐκ ἐδύνατο.

l. 270. Ἦμεν δ' ἕτοιμοι καὶ μύδρ.] σίδηρον πεπυρακτωμένον. εἰώθασι γὰρ οἱ ὀμνύοντες ταῦτα ποιεῖν. μύδρους γὰρ αἴροντες ἐπαρῶνται μένειν τὰ ὅρκια ἕως αὐτοὶ φανῶσι, καὶ ῥίπτουσιν αὐτοὺς εἰς θάλασσαν.

θάλασσαν, ὅπως οὐ αἰώνια τὰ ὅρκια ὑπάρχῃ. ὡς καὶ Καλλίμαχος. Φωκείων μέχρις κε μύδρος μέγας εἰν ἁλὶ μύδρος. καὶ τὸ πῦρ δὲ διαπορευόμενοι ὤμνυον. Ἄλλως. ἕτοιμοι ἦμεν πάσας βασάνους ὑπομένειν πρὸς ἔλεγχον. εἰώθασι δὲ ὀμνύοντες καὶ πίστεις διδόντες, μύδρους βαστάζειν, καὶ πῦρ ὑπερβαίνειν. τοῦ γὰρ μὴ ἐνόχους τῷ ἁμαρτήματι, ᾤοντο καὶ ἐν τούτοις μὴ ἀλγεῖν.

Μύδρος] πεπυρακτωμένος σίδηρος.

Pag. 251. l. 273. Τέλος δ᾽ ὅτ᾽ οὐδὲν] τὸ ἑξῆς, ὅτε δὲ ἐρευνῶσιν ἡμῖν οὐδὲν πλέον τέλος ἐφαίνετο.

l. 280. Πάλος καθαιρεῖ] ἀντὶ τοῦ καταλαμβάνει, ὥστε ἀπαγγεῖλαί σοι. ἐπειδὴ εἰς τὰ ἀγαθὰ κλήρους βάλλουσιν, ἐν ἤθει τοῦτό φησι. καὶ εὔκληροι γάρ τινες λέγονται.

l. 284. Η σύννοια βουλεύει] πάλαι ἡ σύννοιά μοι βουλεύεται καὶ οἴεται μὴ καὶ θεήλατόν ἐστι τὸ πρᾶγμα.

l. 285. Μεστῶσαι] πληρῶσαι.

l. 286. Ἄνους τε καὶ γέρων ἅμα] ἐναντίον γὰρ ἡ ἄνοια τῷ γήρᾳ.

l. 290. Ἀμφικίονας] τοὺς ἀμφοτέρωθεν ὑπὸ κιόνων βασταζομένους ναούς.

l. 295. Ἐρρόθουν ἐμοὶ] ἠρέμα ψιθυρίζοντες ὕβριζόν με.

l. 296. Κρυφῇ κάρα σείοντες] τουτέστι, μὴ πειθόμενοι τοῖς ἐμοῖς κηρύγμασι, μόνον συνιῆναί μοι, οὐχ οὕτω διακείμενοι.

l. 297. Λόφον δικαίως εἶχον] ἡ μεταφορὰ ἀπὸ τῶν ὑποζυγίων τῶν μὴ βουλομένων ὑπὸ τὸν ζυγὸν εἶναι. ταῦτα (φησὶν) ὑπ᾽ ἐκείνων παρέπεται τῶν βουλομένων λάθρα σαλεῦσαι τὴν ἡμετέραν ἀρχήν.

l. 298. Ἐκ τῶνδε τούτους ἐξεπίσταμαι] ἀπὸ τούτων (φησὶ) τῶν δυσαρεστούντων μου τοῖς κηρύγμασιν οἱ φύλακες μισθὸν λαβόντες ἔθαψαν τὸν νεκρόν.

l. 299. Παρηγμένους] ἠπατημένους.

l. 307. Μισθαρνοῦντες] μισθὸν λαβόντες.

Ἤνυσαν] ἀντὶ τοῦ ἐτιμωρήθησαν.

l. 308. Χρόνῳ ποτ᾽ ἐξέπραξαν] ἀντὶ τοῦ, φανεροὶ ἔσονται καὶ τιμωρηθήσονται.

l. 309. Ἀλλ᾽ εἴπερ ἴσχει Ζεὺς] ὅ ἐστιν, εἰ τιμῶ καὶ σέβω τὸν Δία, καὶ μὴ ἐπιορκῶ αὐτόν.

l. 313. Οὐχ ὑμῖν ἅδης μοῦνος ἀρκέσει] οὐκ εὐθέως ὑμᾶς τῷ ᾅδῃ παραδώσω, ἀλλὰ τιμωρίαις κρεμασταῖς παραδοὺς, βαρύτερον τὸ ζῆν τοῦ θανεῖν ὑμῖν ἀπεργάσομαι· παρὰ τὸ Ὁμηρικὸν, --οὔ οἱ ἔπειτα Ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ᾽ οἰωνούς.

l. 314. Τὴν δὲ δηλώσηθ᾽ ὕβριν] ὁμολογήσητε ταύτην τὴν καταφρόνησιν.

l. 315. Ἵν᾽ εἰδότες τὸ κερδαίνειν] ἵνα μαθόντες ὅθεν δεῖ κερδαίνειν, τὸ λοιπὸν ἐκεῖνα ἁρπάζητε.

Pag. 253. l. 325. Εἰπεῖν δὲ δώσεις] ἐπιτρέψεις καὶ ἐμοὶ εἰπεῖν; ἢ ἀπέλθω;

l. 326. Οὐκ οἶσθα καὶ νῦν] ἄπιθι. καὶ γὰρ νῦν λέγων, ἀνιαρός μοι εἶ.

l. 328. Ῥυθμίζεις] σχηματίζεις, διατυποῖς.

l. 329. Ο δρῶν σ᾽ ἀνιᾷ] συνετῶς ὑπὲρ τῶν ἀγγελθέντων ἀπελογήσατο, ὡς οὐκ ὢν αἴτιος.

l. 330. Ὡς λάλημα δῆλον] λάλημα, τὸ περίτριμμα τῆς ἀγορᾶς, ὅ ἐστι πανοῦργος.

l. 331. Οὔκουν τόδ᾽ ἔργον τοῦτο ποιήσας ποτὲ] ἀντὶ τοῦ, οὐδέποτε ἐφλυάρησα.

l. 333. Η δεινὸν ᾧ δοκεῖ γε] δεινὸν τοῦτο ἐστι τὸ ψευδῆ ὑπονοεῖν. οὐκ ἔστι γὰρ τὴν δόξαν ἐκείνων μεταστρέψαι.

l. 334. Κόμψευε νῦν τὴν δόξαν] σεμνολόγει τὴν δόκησιν. περιλάλει. κομψοὺς γὰρ ἔλεγον οὓς νῦν ἡμεῖς περπαίρους καὶ πολυλάλους φαμέν.

Εἰ δὲ ταῦτα μὴ] τὸ ἑξῆς, εἰ δὲ μὴ φανεῖτέ μοι τοὺς ταῦτα δρῶντας.

l. 336. Τὰ δεινὰ κέρδη] γράφεται τὰ δειλά. ἀντὶ τοῦ τὰ κακά. ἀπὸ τοῦ τοὺς δειλοὺς εἶναι ἀχρείους.

l. 338. Τοῦτο γὰρ τύχη κρινεῖ] ἀπιὼν ὁ θεράπων καθ᾽ ἑαυτὸν ταῦτα φησίν. οὐ γὰρ δυνατὸν ὑπὸ τοῦ Κρέοντος ταῦτα λέγεσθαι. ὡς καὶ ἐν τοῖς κωμικοῖς.

l. 342. Πολλὰ τὰ δεινὰ] ἐν σχήματι εἶπεν, ἀντὶ τοῦ, πολλῶν ὄντων τῶν δεινῶν, οὐδὲν ἐστιν ἀνθρώπου δεινότερον.

l. 344. Τοῦτο καὶ πολιοῦ πέραν] τοῦτο τὸ γένος τῶν ἀνθρώπων.

l. 346. Περιβρυχίοισι] τοῖς ἠχώδεσιν. ἢ τοῖς καλύπτουσι τὴν ναῦν. τοῖς γὰρ ἐν τοιαύτῃ ὥρᾳ τοῦ ἔτους πλέουσι, μονονουχὶ τὰ κύματα φέρεται ἡ ναῦς. ἢ, τοῖς κυματίζουσι τὴν ναῦν. τὸ μὲν γὰρ καθόλου κεκρυμμένον ὑπὸ ὕδατος, ὑποβρύχιόν ἐστιν. Ὅμηρος, Τὸν δ᾽ ἄρ᾽ ὑπόβρυχα θῆκε πολλὸν χρόνον. τὸ δὲ ἕτερον, περιβρύχιον καλεῖται.

l. 348.

l. 348. Θεῶν τε τὰν ὑπερτάταν] τοῦτο ὡς ἐν πανουργίᾳ οὐ δεῖ ἀκούειν, ἀλλὰ διὰ τὴν ἐπίνοιαν αὐτῶν. εἰ γάρ τις καταμάθοι πῶς ἐπενόησαν τὸ ἀροτριᾶν, ἢ σπείρειν, θαυμάσειεν.

l. 350. Ἀποτρύεται] γεωπονεῖ. ἢ ἀποσχίζει τὴν γῆν· καθότι ἐν τῷ ἀροτριᾶν σχίζει καὶ δαμάζει τὴν γῆν.

Παλλομένων] γράφεται ἰλλομένων, καὶ περικυκλουμένων τῶν ἀρότρων ἔτος ἐξ ἔτους.

l. 352. Ἱππείῳ γένει πολεύων] ταῖς ἡμιόνοις.--αἳ γάρ τε βοῶν προφερέστεραί εἰσιν Ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον. τινὲς δὲ ἵπποις χρῶνται εἰς ἀροτριασμόν.

l. 355. Ἀμφιβαλὼν ἄγει] περιβαλὼν τοῖς δικτύοις ἀγρεύει.

l. 357. Ἐναλίαν φύσιν] τοὺς ἰχθύας.

l. 358. Σπείραισι δικτυοκλώστοις] τοῖς σχοινίοις τοῖς εἰς δίκτυον κεκλωσμένοις, οἳ συγκλείουσι τὰ δίκτυα. ἀπὸ κοινοῦ δὲ τό, ἀμφιβαλὼν ἄγει.

Pag. 255. l. 359. Κρατεῖ δὲ μηχαναῖς] καθολικὸν τοῦτο φησίν, ὅτι ἐν ζώοις ὁ ἄνθρωπός ἐστι πολυμήχανος καὶ ἔντεχνος. καὶ Θεόκριτος, ---σοφόν τι χρῆμ' ἄνθρωπος. ἐπεὶ δὲ ἀνωτέρω εἶπεν ὅτι περιγίγνεται πάντων τῶν ζώων ὁ ἄνθρωπος, ἐνταῦθα τὸ μηχαναῖς προσέθηκεν ἐπὶ τῶν τιθασευομένων. οὐ γὰρ μόνον κρατῆσαι δυνατός, ἀλλὰ καὶ τιθασεῦσαι.

l. 362. Ἀμφίλοφον ζυγὸν] ἀντὶ τοῦ, περιβαλὼν αὐτῷ ζυγόν, περὶ τὸν λόφον ὑπάγει. ἢ ἀμφίλοφον, τὸν ἀμφιτράχηλον. τὸν ἀμφοτέρωθεν συνέχοντα τοὺς λόφους τῶν ὑποζυγίων. καὶ λείπει ἡ Ὑπο. ὑπὸ ζυγὸν ἄγει.

l. 364. Καὶ φθέγμα] τὴν ἀνθρωπίνην διάλεξιν.

l. 365. Καὶ ἀστυνόμους ὀργὰς] τὴν περὶ τῶν μετεώρων φιλοσοφίαν. τὴν τῶν νόμων ἐμπειρίαν, δι' ὧν τὰ ἄστεα νέμονται, ὅ ἐστι διοικοῦνται.

l. 367. Δυσαύλων] δυσχερῆ τὸν ἐπαυλισμὸν ποιούντων.

Αἴθρια] ψυχρά.

l. 368. Δύσομβρα φεύγειν βέλη] δυσαίθητός ἐστι καὶ οἰκοδομημάτων.

l. 369. Παντοπόρος] εἰς πάντα μηχανὰς ἐξευρίσκων, καὶ ἐπ' οὐδὲν ἄπορος τῶν μελλόντων, θανάτου μόνον οὐκ εὗρεν ἴαμα.

l. 373. Νόσων δ' ἀμηχ. φυγ.] ὡς ἰατρικὴν δίαιταν, γυμναστικήν, καὶ τὰ ὅμοια. ταῦτα δὲ οὐκ ἂν ἕτερον ζῶον μηχανήσαιτο.

l. 374. Ξυμπέφρασται] ἐπινενόηκε, καὶ γιγνώσκει.

l. 375. Σοφόν τι τὸ μηχανόεν] τὸ μηχανόεν τῆς τέχνης σοφὸν ἔχων, ὅ ἐστι, τὸ μηχανικὸν τῆς ἐπιτεχνήσεως σοφὸν ἔχων, ὡς οὐκ ἄν τις προσδοκήσειεν, οὐ μίαν ὁδὸν βαδίζει τὴν ἐπὶ τὰ ἀμείνω, ἀλλὰ ποτὲ μὲν ἐπὶ τὰ ἀγαθὰ φέρεται, ποτὲ δὲ ἐπὶ τὰ χείρω.

l. 379. Νόμους παρείρων χθονὸς] ὁ πληρῶν τοὺς νόμους καὶ τὴν δικαιοσύνην, ὑψίπολις γίγνεται, ὅ ἐστιν ἐν τῇ πόλει ὑψηλός.

l. 380. Ἄπολις, ὅτῳ τὸ μὴ καλὸν] ἄπολις δὲ ἐκεῖνος καὶ ταπεινὸς τῇ πολιτείᾳ ᾧ τινι μὴ τὸ καλὸν σύνεστι, καὶ ὅστις οὐ μετὰ τόλμης τὸ καλὸν ἐκπληροῖ.

l. 385. Ὃς τάδ' ἔρδει] ὃς τοιοῦτον ἐπιτετήδευκε βίον.

l. 386. Ἐς δαιμόνιον τέρας] ὁρῶντες ἑλκομένην τὴν Ἀντιγόνην ἐκπλήττονται, ὅτι γυνὴ ἦν ἡ ὑπερβᾶσα τὸ κήρυγμα.

Ἀμφινοῶ] περισσὴ ἡ Ἀμφι.

l. 391. Ἀπιστοῦσαν] μὴ πειθαρχοῦσαν.

Pag. 257. l. 398. Πρέπει] ἔξεστι.

l. 399. Ἀπώμοτον] ἀντὶ τοῦ ἀπηγορευμένον καὶ ἀπροσδόκητον. ἀντὶ τοῦ, οὐκ ὀφείλει τις ἀπομόσασθαι περί τινος ὅτι οὐκ ἂν αὐτὸ πράξειεν. ἡ γὰρ πρώτη δόκησις ἐκκρούεται ἀπὸ τῆς ἐπιγιγνομένης δόξης δευτέρας. τοῦτο δέ φησιν ὅτι τοῦ Κρέοντος ἀπειλήσαντος, τότε ὤμοσε μηκέτι ἐμφανὴς ἔσεσθαι· νῦν δὲ εὑρὼν τὴν Ἀντιγόνην, πάλιν ἐλήλυθε.

l. 400. Ψεύδει γὰρ ἡ 'πίνοια] ψευδῆ ποιεῖ. ἡ γὰρ ἐπίνοια (ὅ ἐστιν ἡ ἐπιοῦσα γνώμη) τὴν ἀπελπίσασαν γνώμην ψευδῆ ποιεῖ.

l. 403. Ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας] ἡ ἀπροσδόκητος χαρὰ οὐκ ἔοικεν εἰς τὸ μέγεθος τῇ ἄλλῃ ἡδονῇ. ὅ ἐστι, πᾶσαν ἡδονὴν νικᾷ τὸ μέγεθος τῆς παρ' ἐλπίδα χαρᾶς.

l. 405. Καίπερ ὢν ἀπώμοτος] καίπερ ὀμωμοκὼς μὴ ἐλθεῖν.

l. 407. Κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο] ἄνω γὰρ εἶπεν ὅτι κληρωτὸς ἦλθε.

l. 408. Θ' ἕρμαιον] τὸ ἕρμαιον. τὸ κέρδος.

l. 411. Δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι]

λάχθαι] ἀντὶ τοῦ, μὴ ὑποπτεῦσαι.

l. 415. Ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας] τὸ ἑξῆς, τὸν νεκρὸν ὃν σὺ ἀπεῖπας θάπτειν. οὕτως δὲ χρῶνται οἱ παλαιοί, ὥστε δύο ἄρθρα προτακτικόν τε καὶ ὑποτακτικὸν κατὰ τοῦ αὐτοῦ ὀνόματος παραλαμβάνειν. Κρατῖνος, Ὅνπερ Φιλοκλέης τὸν λόγον διέφθορεν.

l. 417. Καὶ πῶς ὁρᾶται] ποίῳ τρόπῳ αὐτὴν συνελάβεσθε καὶ κατειλήφατε.

l. 420. Πᾶσαν κόνιν σήραντες] ἀποψήξαντες.

l. 421. Μυδῶν τε σῶμα] μυδῶν, ἰχῶρα ἀποπέμπον. τουτέστι, διαλελυμένον, καὶ δίυγρον τὸ ἀπὸ σήψεως ἰχῶρα ἀποστάζον. ὡς τὸ, δάκρυσι μυδαλέον.

l. 422. Ὑπήνεμοι] ἀντὶ τοῦ ὑπὸ τὸν ἄνεμον, οὐκ ἐναντίον τοῦ ἀνέμου, ἀλλ' ἐστραμμένοι ἀπὸ τοῦ νεκροῦ, ὅπως μὴ φέρῃ πρὸς ἡμᾶς τὴν ὀσμήν.

l. 424. Ἐπιρρόθοις] λοιδόροις, ὑβριστικοῖς.

l. 429. Τυφὼς ἀείρας] τυφὼς λέγεται ὁ καταιγιδώδης ἄνεμος, Ἡσίοδος, Ἐκ δὲ τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων.

Σκηπτὸς] σκηπτὸς λέγεται πᾶν πνεῦμα θυελλῶδες, ὅταν συνερείδῃ τῇ γῇ, καὶ πάλιν ἄνω αἴρῃ. τὸ δὲ τοιοῦτον, καὶ στρόβιλον τινὲς καλοῦσι, παρὰ τὸ στρέφειν

Οὐράνιον ἄχος] τὸ λυποῦν τὸν αἰθέρα, καθὸ ταράσσει αὐτόν. τὴν κόνιν. τὸν τυφώνιον ἄνεμον.

l. 432. Μύσαντες δ' εἴχομεν] ἀντὶ τοῦ ἀντείχομεν πρὸς τὴν κόνιν.

Pag. 259. l. 433. Κἀνακωκύει πικρᾶς ὄρνιθος ὀξὺν φθόγγον] τὸ φιλόστοργον τῆς κόρης διὰ τούτων ὁρᾶται. θάλασσα γὰρ οὐκ ἠμέλησε δακρύων καὶ θρηνημάτων.

l. 436. Ψιλὸν] γυμνὸν τῆς κόνεως.

l. 439. Διψίαν] ξηράν. γράφεται διψίαν φέρει.

l. 440. Πρόχου] προχόου.

l. 441. Τὸν νέκυν στέφει] κοσμεῖ. κύκλῳ περιρραίνει.

l. 442. Ἱέμεσθα] ἐπορθούμεθα. ὡρμώμεθα.

l. 443. Οὐδὲν ἐκπ.] περίφοβον γινομένην.

l. 444. Ἀλλ' ἡδέως ἔμοιγε κἀλγ.] ὁμολογούσης αὐτῆς ἡδέως καὶ ἀλγεινῶς ἤκουον.

l. 448. Τοὺς φίλους ἄγειν] φίλους φησὶ διὰ τὸ εἶναι τὴν Ἀντιγόνην τοῦ βασιλικοῦ γένους.

l. 449. Ἀλλὰ πάντα ταῦθ' ἥσσω] ἀντὶ τοῦ, ἀλλ' οὐδὲν γὰρ προκρίνω τῆς ἐμῆς σωτηρίας.

l. 454. Σὺ μὲν κομίζοις ἂν] πρὸς τὸν ἄγγελον φησὶν ὁ Κρέων.

Ἡ θέλεις] ὅποι καὶ θέλεις.

l. 460. Οὐ γάρ τι μοι Ζεὺς ἦν] Ἡ Δίκη (φησὶ) καὶ ὁ Ζεὺς ὥρισαν ὥστε θάπτεσθαι τοὺς νεκρούς· εἰ οὖν ἦσαν αὐτοὶ τοῦτο ἀποκηρύξαντες καὶ κελεύσαντες μὴ θάπτεσθαι τὸν νεκρὸν, ἐπείσθην ἂν αὐτοῖς. θέλει δὲ εἰπεῖν ὅτι ἀπὸ τῆς φύσεως δίκαιον ἡγημαι θάπτειν τὸν ἀδελφόν.

l. 464. Ὡς ἄγραπτα] τινές φασι τὰ γραπτά. οὐ γὰρ ἄγραφοι τῶν θεῶν οἱ νόμοι.

l. 466. Οὐ γάρ τι νῦν γε] οὐ γάρ τι σήμερον (φησὶ) ταῦτα ἐγένετο, ἀλλ' ἔστιν ἀΐδια, καὶ ἀρχὴν αὐτῶν οὐδεὶς οἶδε.

l. 268. Τούτων ἐγὼ] ἀντὶ τοῦ, ὑπὲρ τούτων ἐγώ.

l. 471. Εἰ μὴ σὺ προὐκήρυξας] τὸν θάνατον δηλαδή.

Εἰ δὲ τοῦ χρόνου] τοῦ εἱμαρμένου δηλονότι.

l. 476. Παρ' οὐδὲν ἄλγος] οὐδεμία λύπη.

Pag. 261. l. 477. Ἠνεχόμην] ἠνεχόμην ὑπεριδεῖν.

l. 479. Σοὶ δ' εἰ δοκῶ νῦν μῶρα] εἰ δοκῶ παρὰ σοὶ εὐήθη πράττειν, οὐκ ἔστι περὶ ἐμὲ ἡ εὐήθεια, ἀλλὰ περὶ σέ. ὥστε δεῖ μὴ τὴν ἰδίαν πλάνην τοῖς πλησίον ἐπιφέρειν.

l. 481. Δηλοῖ τὸ γέννημ' ὠμὸν] τὸ σκληρὸν αὐτῆς τοῦ φρονήματος ὁμολογεῖ πατέρα τὸν Οἰδίποδα.

l. 485. Περισκελῆ] περισκληκότα, ἢ κεκαμμένα.

l. 494. Ἡ νῦν] ὄντως δή.

l. 495. Εἰ ταῦτ' ἀνατεὶ] εἰ ταῦτα τὰ τολμήματα καὶ ἡ νίκη αὕτη χωρὶς βλάβης καὶ τιμωρίας.

l. 496. Ἀλλ' εἴτ' ἀδελφῆς, εἴθ' ὁμαιμονεστέρας] εἴτε ἐξ ἀδελφῆς ἐμῆς, εἴτε οἰκειοτέρα καὶ συγγενικωτέρα πάντων τῶν οἰκείων (τοῦτο γὰρ δηλοῖ τὸ, τοῦ παντὸς ἡμῖν Ζηνὸς ἑρκείου κυρεῖ) ἀθῶος οὐκ ἄπεισιν.

l. 500. Τοῦδε βουλεῦσαι τάφου] λείπει ἡ περί.

l. 502. Ἐπίβολον φρενῶν] κυρίαν τῶν φρενῶν, καὶ ἐσῶσαν ἐν αὐτῇ.

l. 503. Φιλεῖ δ' ὁ θυμὸς] εἴωθεν ἡ ψυχὴ τῶν λάθρα τι κακὸν τεχνωμένων προαλίσκεσθαι, καὶ ἑαυτὴν καταφανῆ ποιεῖν

εἶν πρὶν φωραθῆναι. Ἄλλως. τῶν λάθρα τι βουλομένων δρᾶν ὁ θυμὸς προκλέπτεται, καὶ περὶ τὴν κατάστασιν τοῦ σώματος εὔδηλόν τι γίγνεται τὸ κατηγοροῦν τῆς πράξεως αὐτῶν.

l. 505. Μισῶ γε μέντοι] μισῶ τὴν ἁμαρτάνοντα καὶ ἐπικοσμοῦντα τὴν ἁμαρτίαν αὐτοῦ. τοῦτο δέ φησιν ὅτι ἀλοῦσα ἡ Ἀντιγόνη ἔφασκε τῷ θείῳ νόμῳ ἐπαρκεῖν.

l. 509. Ὡς ἐμοὶ τῶν σῶν λόγων] τὸ κήρυγμα τοῦ Πολυνείκους αἰνίττεται.

l. 513. Κατέχον] ἀντὶ τοῦ ἔχον.

l. 516. Ἀλλ' ἡ τυραννὶς] οὐκ ἐν ἐπαίνῳ τοῦτο τῆς τυραννίδος, ἀλλ' ἔχει τι εἰρωνείας ὁ λόγος.

l. 518. Σὺ τοῦτο μούνη] σοὶ μόνη τοῦτο δοκεῖ δίκαιον εἶναι, ταφῆναι τὸν Πολυνείκη

l. 519. Σοὶ δ' ὑπίλλουσι στόμα] γιγνώσκουσι καὶ οὗτοι, διὰ δέ σε τὸ στόμα συστέλλουσι, καὶ σιωπῶσιν. ἢ, στρέφουσι τοὺς διὰ τοῦ στόματος λόγους.

l. 520. Τῶνδε χωρὶς εἰ φρονεῖς] ἀντὶ τοῦ, παρὰ τούτους φρονοῦσα.

Pag. 263. l. 624. Τιμᾷς χάριν] ἀντὶ τοῦ νέμεις.

l. 627. Οὐ γάρ τι δοῦλος ἀλλ' ἀδελφὸς] οὐ τοιοῦτός ἐστιν ὁ ἀπολόμενος ὥστε εἰς χάριν τοῦ Ἐτεοκλέους ἐᾶσαι αὐτὸν ἄταφον. οὐ γὰρ τοσοῦτον αὐτοῦ ὑπερβέβηκεν. οὐ δεῖ οὖν σκοπεῖν εἴ τι ἐκείνῳ ἀποθύμιον ποιῶ, ἀλλ' εἰ κοινῆς τῆς φύσεως ἔλαχον.

l. 529. Τοὺς νόμους] γράφεται ἴσους. λέγει δὲ τὸ θάπτειν.

l. 531. Τίς οἶδεν εἰ κάτω 'στὶν] γράφεται κάτωθεν, ἀντὶ τοῦ κάτω. ὡς τό, Αἴας δ' ἐγγύθεν ἦλθεν, ἀντὶ τοῦ ἐγγύς. ὁ δὲ νοῦς, τίς οἶδεν εἰ καθ' ᾅδου ἀλλήλοις διαλεχθέντες, ἡγοῦνται εὐσεβῆ τάδε;

l. 533. Οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν] τὰς φιλίας (φησὶ) κοινὰς ποιοῦμαι, ἀλλ' οὐ τὰς ἔχθρας ἐν δέ τισιν οὕτως, εἰ καὶ ἐχθαίρουσιν ἀλλήλους οἱ ἀδελφοί, ἐγὼ οὐ τοιαύτη εἰμὶ τὴν φύσιν ὥστε σὺν ἑτέρῳ αὐτῶν ἐχθαίρειν τὸν ἕτερον, ἀλλὰ συμφιλεῖν τοῖς φιλοῦσι.

l. 536. Καὶ μὴν πρὸ πυλῶν] εἰκὸς μὲν τὴν Ἰσμήνην ὑπὲρ τῆς ἀδελφῆς ἀγωνιῶσαν συγνάζειν, οὐδὲν δὲ ἧττον καὶ διότι ὑπωπτεύθη.

l. 537. Φιλάδελφα] ἀντὶ τοῦ φιλαδέλφως.

l. 538. Νεφέλη δ' ὀφρύων ὕπερ] ἐὰν μὲν δοτικὴ τῇ νεφέλῃ, ἔσται ὁ λόγος, τῇ νεφέλῃ, τουτέστι τῇ συγνότητι τῇ ὑπεράνω τῶν ὀφρύων, τὸ αἱματόεν ῥέεθος αἰσχύνει ἡ Ἰσμήνη, τέγγουσα εὐῶπα παρειάν. ἐὰν δὲ κατ' ὀρθὴν ᾖ ἡ νεφέλη, ἔσται μεταξὺ ἡ νεφέλη δ' ὀφρύων ὕπερ· ἵνα τὸ ἑξῆς τοῖς προτέροις συνάπτηται, καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη φιλάδελφα δάκρυα λειβομένη, αἱματόεν ῥέεθος αἰσχύνει, τέγγουσα εὐῶπα παρειάν.

Νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν ῥέεθος αἰσχύνει] τὸ ἐπὶ τῷ προσώπῳ ἐρύθημα, ἀλληγορικῶς δὲ εἶπε τὴν νεφέλην· ὡς γὰρ ἡ νεφέλη στυγνὴν καὶ ὁμιχλώδη τὴν ἡμέραν ποιεῖ, οὕτω καὶ ταύτην διάδηλον φησὶ γίγνεσθαι ταῖς ὀφρύσι συμφράζουσαν, καὶ τὸ πρόσωπον στυγνὸν καὶ κατηφέστερον πεποιηκυῖαν.

l. 541. Ὡς ἔχιδν'] ἡ γὰρ ἔχιδνα λάθρα καθεζομένη τῶν ἀνθρώπων ἐκπίνει τὸ αἷμα.

Ὑφειμένη] ὑποχαλωμένη καθεῖσα. ἀπολωθεῖσα.

l. 545. Ἡ ἐξομεῖ] ἢ ἀπαρνὴ εἶναι ἐνώμοτος

l. 546. Ὁμορροθεῖ] ὁμοφωνεῖ. ὅρα δὲ πῶς ἑαυτὴν πρόδηλον ὡς συκοφαντουμένη ποιεῖ. ὁμολογεῖ πεπραχέναι, ταύτης συντιθεμένης· ὅπερ ἀδύνατον.

l. 548. Ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη] ἡ μὲν μὴ δράσασα ὁμολογεῖ πεπραχέναι, καὶ κεκοινωνηκέναι διὰ τὸν πόθον τῆς ἀδελφῆς· ἡ δὲ σπουδάζει ζῶσαν αὐτὴν διαφυλάξαι.

l. 550. Ἀλλ' ἐν κακοῖς τοῖς σοῖς] καὶ διὰ τούτων μὴ δεδρακέναι ὁμολογεῖ.

l. 551. Ξύμπλουν] κοινωνόν.

l. 552. Ὧν τοὔργον] ἀντὶ τοῦ, ὑφ' ὧν τὸ ἔργον πέπρακται αἴτιων.

l. 555. Τὸν θανόντα θ' ἁγνίσαι] ἀντὶ τοῦ τιμῆσαι.

Pag. 247. l. 559. Τοῦδε γὰρ σὺ κηδεμὼν] ἢ τοῦ βίου, ἐπεὶ φιλοζωοῦσα οὐ συνέπραξας· ἢ τοῦ Κρέοντος, ἐπεὶ μὴ παρέβης αὐτοῦ τὰ ψηφίσματα.

l. 560. Ὠφελουμένη] ἀντὶ τοῦ ὠφελοῦσα.

l. 561. Εἰ γέλωτ' ἐν σοὶ γελῶ] εἰ γελῶ (φησὶν) ἐπὶ σοί, ἀλγοῦσα γελῶ. οὐ γὰρ καταγελῶ σου ὅτι οὐκ ἠθέλησας μοι συμπονῆσαι

l. 563. Τί δῆτ' ἂν ὠφελοίμην] ἀντὶ τοῦ, ποίαν μηχανὴν εὕροιμι.

l. 566. Ἀλλ' οὐκ ἐπ' ἀρρήτοις] ἀντὶ τοῦ, προεῖπόν σοι τὰς ἐσομένας τιμωρίας ἐν τῇ παραβάσει· ἀλλ' οὔπω παρὰ γνώμην μου ταῦτα πέπραχας ἀλλὰ κἀμοῦ συνειδυίας τὰ πραττόμενα.

l. 567. Καλῶς σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν] σεαυτῇ καλῶς ἐδόκεις φρονεῖν

φρονεῖν, μὴ συμπαρέστηκας μοι.

Τοῖς δ' ἐγὼ] τούτοις δ' ἐγὼ, ἢ τοῖς ἀνδράσιν, ἢ τοῖς ἐμοῖς δόγμασι. τινὲς δὲ, τῷ νόμῳ καὶ δικαίῳ.

l. 568. Ἴση νῷϊν ἐστὶν ἡ 'ξαμαρτία] ἴσως σὺ μὲν ἔπραξας, ἐγὼ δὲ συνήδειν.

l. 569. Η δ' ἐμὴ ψυχὴ πάλαι] ἐστὶ, τεθνηκυῖα τοῦ ζῆν, βοηθῆσαι βουλομένη τῷ ἀδελφῷ.

l. 571. Τὴν μὲν ἀρτίως ἄνουν πεφάνθαι] τὴν Ἰσμήνην, ὅτι μὴ συνειργάσατο, καὶ ῥίπτει ἑαυτὴν εἰς κίνδυνον.

l. 573. Ου γάρ ποτ' ὦ 'ναξ] τοῦτο φησὶν ὑπεραπολογουμένη τῆς Ἀντιγόνης, ὅτι εἰ καὶ κακῶς ποιεῖ, μεταβληθήσεται. οὐ μένει γὰρ οὐδὲ ὁ ἐξ ἀρχῆς κακὸς τοῖς κακῶς πεπονθόσι. πρὸς ὅ φησι Κρέων, οὐ σὺν μένει κακὸς ὁ νοῦς, ὁπότε εἴης τῶν κακῶν εἶναι κοινωνός.

l. 577. Μὴ λέγ'. οὐ γάρ ἐστ' ἔτι] ἀντὶ τοῦ μὴ φρόνει ὅτι ἐν τοῖς ζῶσιν ἐστί.

l. 578. Νυμφεῖα] ἀντὶ τοῦ τὴν νύμφην.

l. 579. Ἀρώσιμοι] παιδοποιήσιμοι. ἐπεργαστοί.

l. 580. Ἡρμοσμένα] τὰ τοῦ γάμου φησί.

l. 581. Γυναῖκας ὑμᾶς ἐγὼ] τὸ συνήθως δηλονότι.

l. 583. Καὶ σοῦ καὶ τὸ σὸν λέχος] τὸ σὸν, τὸ ὑπὸ σοῦ ὀνομαζόμενον ἐστὶ τὸ ὄνομα τῆς νύμφης ὃ σὺ προβάλλῃ.

l. 587. Καὶ σοί γε κἀμοί] οὐ μόνον ταύτῃ δέδοκται τὸ ἀποθανεῖν, ἀλλὰ καὶ σοί. μηκέτι οὖν μοι τριβὰς ἐμβάλλετε. ὡς καὶ ἐμοὶ καὶ σοὶ δέδοκται μηκέτι διατρίβειν ἐν τοῖς λόγοις.

l. 588. Ἐκ δὲ τοῦδε χρὴ] ὁ δὲ νοῦς τοιοῦτος. λέγει γὰρ ὅτι χρὴ λοιπὸν μὴ ἀνειμένας εἶναι (ἤγουν αὐτεξουσίους) ταύτας τὰς γυναῖκας, ἀλλὰ φρουρεῖσθαι. φεύγειν γὰρ εἰώθασι καὶ οἱ τολμηροὶ, πλησιάζοντα ὁρῶντες τὸν θάνατον.

l. 592. Εὐδαίμονες, οἷσι κακῶν] ἀπὸ κοινοῦ τὸ αἰών. οἷς γὰρ ἂν σεισθῇ ὁ δόμος, τούτοις ὁ αἰὼν οὐδὲν ἄτης ἐλλείπει, ἕρπων ἐπὶ τὸ πλῆθος τοῦ γένους, ἀλλὰ πάντα ἐπιφέρει τὰ δεινά. ὥστε ὅμοιόν ἐστι τὸ οἴκου κίνημα, τῷ ἐκσεισθέντι κύματι ὑπὸ τοῦ Βορέου πνοαῖς. ἐστὶ γαλήνης οὐ ῥᾳδίως τυγχάνουσιν ὅσοι ἐν κλύδωνι γίγνονται, ἀλλ' οὐδὲ δυσυχία ἐκλείπει ὧν οἶκος, ὑπὸ χειρῶν ἀναβλύει.

l. 598. Ὁμοῖον ὥστε ποντίας ἅλος] τὸ ἑξῆς, ὅμοιον ὡς ὅταν Θρῄσσῃσι ποντίαις δυσπνόοις πνοαῖς οἶδμα ἔρεβος ὕφαλον

ἐπιδράμῃ· ἀντὶ τοῦ, ἐκ βάθους κινήσῃ τὴν θάλασσαν, τὰ γὰρ βαθέα, μέλανα ἐκάλουν. Ὅμηρος, Δνοφερὸν χέει ὕδωρ. καὶ ὁ Ποσειδῶν, κυανοχαίτης.

Pag. 267. l. 599. Ἔρεβος] μέλαν.

l. 601. Δυσάνεμον] τὴν ὑπὸ ἀνέμων ταραχθεῖσαν.

l. 602. Στόνῳ] λείπει ἡ Σὺν, ἵνα ᾖ, Σὺν στόνῳ.

Ἀντιπλῆγες] ἀντιπλησσόμεναι.

l. 607. Ἀπαλλάσσει] καταβάλλει. καταφέρει.

Γενεάν] τὸ γένος τὸ ἐπιγιγνόμενον οὐκ ἀπαλλάσσει τὴν γενεάν, ἀλλ' ἀεὶ ἐν συμφορᾷ ἐστί.

l. 610. Νῦν γὰρ ἐσχάτας ὑπὲρ] λείπει ἄρθρον τὸ ὅ. τὸ δὲ λεγόμενον, ἐστὶ τοιοῦτο. νῦν γὰρ ὅπερ ἐτέτατο, φησὶ καὶ σωτηρία τὴν τοῖς οἴκοις τοῦ Οἰδίποδος, ἐσχάτης ὑπὲρ ῥίζης. ἀντὶ τοῦ, ὅπερ ἔβλαστεν ἄνω τῆς ῥίζης, θάνατος καταλαμβάνει. νῦν γὰρ (φησὶν) ὅπερ ἦν λείψανον γενεᾶς, τοῦτο μέλλει καλύπτειν ἡ κόνις. τὸ καταλειφθὲν φησὶν ἀπὸ Οἰδίποδος βλάστημα.

l. 612. Κατ' αὖ νιν] αὐτὴν τὴν ῥίζαν· ἐὰν δὲ στίξωμεν κατ' αὖ νιν, οὐδὲν λείπει τῷ λόγῳ.

l. 613. Ἀμᾷ κόνις] θερίζει. καὶ ἐκκόπτει. ἢ καλύπτει.

l. 614. Λόγου τ' ἄνοια] ἁμαρτία, ὅτι οἰστρηθεῖσα ὑπὸ τῶν ἐριννύων Ἀντιγόνη τοῦτο τετόλμηκε.

l. 615. Τεὰν Ζεῦ δύναμιν] τοῦτό φησιν ὅτι προαιρέσει τοῦ Διὸς πάντα γίγνεται.

l. 616. Κατάσχοι] ἀντὶ ποιητικῶς, ὡς ποιήσαι τρίτον πρόσωπον. ἀντὶ τοῦ ὑπερφανία κρατῆσαι δύναται.

l. 618. Ὁ παντογήρως] ὁ ἀσθενείας παραίτιος. τὸ γὰρ γῆρας, ἀσθενές ἐστι. ἀσθενοῦμεν δὲ τῇ γλυκείᾳ προσβολῇ τοῦ ὕπνου κατεχόμενοι. ἢ παντογήρως, ὁ αἰώνιος, καὶ ἄχει γῆρας τοῖς ἀνθρώποις καὶ πᾶσι τοῖς ζώοις παραμένων.

l. 619. Οὔτ' ἀκάματοι θεῶν μῆνες] ἀντὶ τοῦ ἢ τοῦ χρόνου περίοδος.

l. 620. Ἀγήρῳ δὲ χρόνῳ δυνάστης] ἀντὶ τοῦ, δυνάστης ὢν καὶ ἄρχων τοῦ ἀγήρου χρόνου κατέχεις τὸν ὄλυμπον. ἀγήρων δὲ τὸν τῶν θεῶν χρόνον φησὶν, ἐπεὶ μήτε ὑπὸ δυσυχιῶν, μήτε ὑπὸ ὕπνου ἐλαττοῦται.

l. 623. Τό τ' ἔπειτα] τὸ ἐσόμενον, καὶ μετ' ἐκεῖνο μέλλον καὶ πάλιν ἐσόμενον. τινὲς δὲ τὸ ἔπειτα ἰδίως ἐπὶ ἐνεστῶτος λελέχθαι φασὶν, ἀντὶ τοῦ νῦν.

l. 624. Καὶ τὸ πρὶν ἐπαρκέσαι] ὅ ἐστιν, ἀεὶ δυνάμενον βοηθεῖν.

l. 625. Νόμος δ' οὐδὲν ἕρπων] ὁ κατὰ πᾶσαν πόλιν ἕρπων νόμος. ὅ ἐστι πάντες ἄνθρωποι. Ἄλλως. οὐδεὶς (φησὶν) ἐστὶ νόμος ἐν πάσαις ταῖς πόλεσιν ὥστε φθάσαι τοὺς ἀνθρώπους τὸ συμβησόμενον. ἢ οὕτως, οὐδεὶς ἐστὶ νόμος ὃς δύναται τῶν ἤδη τελειωθέντων κακῶν προσάγειν βοήθειαν. ἢ οὕτως, ὁ γὰρ νόμος ὁ πάντων ἀνθρώπων κοινὸς τοῦτο ἔχει, μηδένα ζῆν ἄνευ λύπης.

l. 626. Θνατῶν βιότῳ πάμπολις ἐκτὸς ἄτας] ὁ λόγος, σὺ μὲν ὦ Ζεῦ ἀγήρως τε καὶ δυνάστης εἰς ἅπαντα τὸν χρόνον. ἐν δὲ γὰρ τῶν ἀνθρώπων πολιτείᾳ οὐδέποτε χωρὶς κακῶν ἐστιν.

l. 628. Ἁ γὰρ δὴ πολύπλαγκτος] οὐδὲν (φησὶ) περὶ τῶν μελλόντων ἐπίστανται οἱ ἄνθρωποι, ὥσπερ ὁ Ζεύς. ἠπάτησε γὰρ πολλοὺς ἡ ἐλπίς, κούφους ἔρωτας ἐμβάλλουσα. τὰ ἀδύνατα γὰρ ἐλπίσαντες ἐσφάλησαν. ἔρωτας γὰρ λέγει καὶ τὰς ἐπιθυμίας.

l. 631. Κουφονόων ἐρώτων] ἀντὶ τοῦ τῶν κούφων ἐπιθυμιῶν, ἐν αἷς πολλοὶ ἠπατήθησαν, ἕτερα προσδοκήσαντες, ἑτέρων ἀποβάντων.

l. 632. Εἰδότι δ' οὐδὲν ἕρπει] τῷ ἀνθρώπῳ οὐδὲν εἰδότι ἐπέρχεται.

l. 633. Προσαύρῃ] προσφέρῃ. πρὶν τοῖς δεινοῖς ἐπικύρσῃ, καὶ εἰς αὐτὸν ἐμπέσῃ τὸν κίνδυνον.

Pag. 269. l. 635. Σοφίᾳ γὰρ ἐκ του κλεινὸν ἔπος] μετὰ σοφίας γὰρ ὑπό τινος ἀοίδιμον καὶ κλεινὸν ἔπος πέφανται, Τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν Τῷδ' ἔμμεν ὅτῳ φρένας Θεὸς ἄγει πρὸς ἄταν. Ὅταν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά, Τὸν νοῦν ἔβλαψε πρῶτον ᾧ βουλεύεται.

l. 640. Πράσσει δ' ὀλιγοστὸν] ἀντὶ τοῦ οὐδὲ ὀλίγον.

l. 645. Τάλιδος] τάλις λέγεται παρ' Αἰολεῦσιν ἡ ὀνομασθεῖσα τινὶ νύμφη. Καλλίμαχος, Αὐτίκα τὴν τάλιν παιδὶ σὺν ἀμφιθαλεῖ.

Ἥκει μόρον] λείπει ἡ διά, διὰ τὸν μόρον

l. 646. Ἀπάτας λεχέων ὑπεραλγῶν] ὑπὲρ τῆς τῶν λεχέων ἀπάτης (ὅ ἐστιν ἀποτυχίας) ἀχθόμενος.

l. 647. Τάχ' εἰσόμεσθα] ὁ λόγος παροιμιακός, ὁπότε μὴ στοχασμῷ χρώμεθα, ἀλλ' αὐτόπται τῶν πραγμάτων γινόμεθα. προγιγνώσκει μὲν γὰρ καὶ ὁ μάντις, ἀλλὰ στοχασμῷ χρῆται. τάχα οὖν ἀκριβῶς γνωσόμεθα ταῦτα παρὰ τοῦ παιδὸς πυνθανόμενος.

l. 648. Τελείαν ψῆφον] τελείαν, τὴν ἤδη τετελεσμένην. τοῦτο δὲ φησὶν ὡς μὴ μεταβουλευσάμενος. ἢ τὴν τέλος ἐπάγουσαν τῇ Ἀντιγόνῃ.

l. 652. Ἀπορθοῖς] ὀρθῶς καθηγῇ.

l. 653. Ἐμοὶ γὰρ οὐδεὶς ἀξίως] οὐδεὶς μοι προκριθήσεται γάμος τῆς σῆς ἀρχῆς, καλῶς σου ἄρχοντος. πανταχοῦ γὰρ μετὰ παρατηρήσεως.

l. 654. Μεῖζον φέρεσθαι] προκρίνεσθαι.

l. 655. Διὰ στέρνων ἔχειν] ἀντὶ τοῦ ἐνθυμεῖσθαι.

l. 656. Γνώμης πατρ. πάντ' ὄπ.] τῆς πατρῴας γνώμης πάντα εἶναι δεύτερα δεῖ, χρὴ τὸν τὴν πατρῴαν προσέχοντα γνώμην, περὶ τῶν ἄλλων οὐδένα λόγον ἔχειν. ἀσφαλῶς γὰρ προσέθηκε τὸ πάντα, μὴ ἄρα ἐκ τοῦ παιδὸς ὑπαντηθῇ, ὅτι πλὴν τῶν χρησίμων.

l. 661. Πλὴν αὐτοῖς πόνους] γράφεται πέδας. ἵνα ᾖ, ἐμπόδιον, δεσμούς, κώλυμα τοῦ πράττειν ἃ βούλεται.

l. 665. Ψυχρὸν παραγκάλισμα] ἀνιδὲς φίλημα. στέργηθρον. κοινώνημα. παρακοίμημα. περιπλοκή.

l. 668. Πτύσας] ἐν οὐδενὶ λόγῳ θέμενος. καταφρονήσας.

Pag. 271. l. 674. Εἰ γὰρ δὴ τά γ' ἐγγενῆ φύσει] εἰ γὰρ τοὺς ἐμοὺς (φησὶ) ἀκόσμως βιοῦντας μὴ τιμωρήσομαι, οὐδὲ τῶν ξένων περιγενήσομαι. ἀπὸ κοινοῦ γὰρ τὸ Θρέψω, ἀντὶ τοῦ ἕξω.

l. 676. Ἐν τοῖς γὰρ οἰκείοισιν] εἰ διτηρήσω τὰ νόμιμα καὶ τὰ δίκαια ἐπὶ τῆς ἐμαυτοῦ πρῶτως οἰκίας, τηρήσω ἂν αὐτὰ καὶ ἐπὶ τῆς πόλεως.

l. 678. Ὅστις δ' ὑπερβὰς] λείπει τὸ δίκαιον.

l. 681. Ἀλλ' ὃν πόλις στήσειε] καταστήσειεν ἄρχοντα.

l. 682. Καὶ τἀναντία] τὰ ἐναντία τῷ δικαίῳ δηλονότι.

l. 683. Καὶ τοῦτον ἂν] τοῦτον τὸν τῷ βασιλεῖ πειθόμενον

l. 685. Ἐν χειμῶνι] τῆς μάχης δηλονότι.

l. 687. Ἀναρχίας] ἀντὶ τοῦ ἀπειθίας.

l. 690. Τροπὰς καταρρήγνυσιν] ἐκ γὰρ διαρρήξεως στρατοῦ τροπὴ γίνεται.

Τῶν δ' ὀρθουμένων] τῶν ἀρχομένων.

l. 691. Σώζει τὰ πολλὰ σώμαθ'] Ὅμηρος. Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται.

l. 693.

l. 692. Τοῖς κοσμουμένοις] τοῖς ἄρχουσιν. Ὅμηρος, Δύω κοσμήτορε λαῶν.

l. 696. Εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα] εἰ μὴ τῆς φρονήσεως ὑπὸ τοῦ γήρως συλλήμεθα, λέγειν φρονούντως δοκεῖς περὶ ὧν λέγεις. ὁ δὲ λόγος πάνυ πρεσβυτικῶς καὶ αἰδημόνως εἴρηται.

l. 700. Ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις] ἐγὼ δ' οὐ δύναμαι ταῦτα ἀποδέξασθαι, ἐπειδὴ μὴ καλῶς ταῦτα λέγεις.

l. 702. Γένοιτο μέν τ' ἂν] δυνατόν σε καὶ ἑτέρως μεταβεβλῆσθαι.

l. 703. Σοῦ δ' οὖν πέφυκα] γράφεται, σὺ δ' οὖν πέφυκας.

l. 705. Τὸ γὰρ σὸν ὄμμα] τὸ σὸν ὄμμα (φησὶ) τοιοῦτόν ἐστιν, ὥς τε μηδένα τῶν πολιτῶν ἀντικρύ σου λέγειν τοιαῦτα οἷς σὺ μὴ τέρψῃ· ἐμοὶ δὲ πάρεστιν ἀκούειν τῶν λάθρα κατὰ σοῦ λεγομένων.

l. 706. Λόγοις τοιούτοις] λείπει τὸ χρῆσθαι.

l. 707. Ὑπὸ σκότου] λαθραίως.

l. 711. Η τις τὸν αὑτῆς αὐτάδελφον] διὰ τούτων ὑπεραπολογεῖται τῆς κόρης, ὑπερδυσωπητικῶς τῇ πόλει περιθεὶς τὸν λόγον.

l. 715. Ἐρεμνὴ] σκοτεινή. λαθραία σου.

Pag. 273. l. 724. Διαπτυχθέντες] ἀνακαλυφθέντες. μετέβη δὲ ἀπὸ ἑνικοῦ ἀριθμοῦ τοῦ ὅστις, εἰς πληθυντικὸν τὸ οὗτοι.

l. 726. Καὶ τὸ μὴ τείνειν ἄγαν] μὴ αὐθάδη εἶναι, ἀντιτείνοντα τοῖς συμβουλεύουσι. τοῦτο δὲ παρὰ Σόλωνος, Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

l. 729. Αὐτόπρεμνα] αὐτόρριζα.

l. 731. Ὑπείκει μηδὲν] τοῖς ἱστίοις μὴ ἐγχαλάσῃ.

Ὑπτίοις κάτω] ἀντὶ τοῦ ὑπτίας.

l. 732. Στρέψας τὸ λοιπὸν] στρέψας τὴν ναῦν.

l. 733. Μετάστασιν] μετάνοιαν.

l. 734. Γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ] ἀντὶ τοῦ, εἰ οἷός τέ εἰμι λέγειν κἀγὼ διὰ τὸ νέον.

l. 735. Πρεσβεύειν] ὑπερέχειν. ἐγὼ (φησὶ) τοῦτο οἶμαι ὑπερέχειν τὸ τὸν ἄνθρωπον φῦναι πάντα ἐπιστάμενον. Ἡσίοδος, Οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσῃ.

l. 737. Εἰ δ' οὖν (φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν)] εἰ δέ τις ἀνόητος εὑρεθῇ.

l. 743. Μηδὲν τὸ μὴ δίκαιον] μηδὲν διδάσκου ὃ μὴ δίκαιον ἐστί σοι μανθάνειν. ἤ, μηδὲν ἔστω ὃ μὴ δίκαιον.

l. 745. Τοὺς ἀκοσμοῦντας] ἀπειθοῦντας, καὶ ἄκοσμα διαπραττομένους.

l. 748. Οὔ φησι Θήβης τῆσδε] οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλὰ πάντες οἱ τὴν πόλιν οἰκοῦντες. χαριέντως δὲ τὴν δίαιταν προσάπτει τῇ πόλει, τῷ μὴ δοκεῖν βούλεσθαι ἀνατρέπειν τὰ τῷ πατρὶ βεβουλευμένα.

l. 749. Πόλις γὰρ ἡμῖν ἃ 'ν χρὴ] ἃ ἄν με χρὴ προστάττειν τῇ πόλει, ἐκείνη μοι ἔχει κελεύειν;

l. 750. Ὁρᾷς τάδ' ὡς εἴρηκας] τὸ X, ὅτι ἀσυνήθως προσηνέχθη τῷ πατρί.

l. 756. Εἴπερ γυνὴ σὺ] λείπει τυγχάνεις. πάλιν δὲ τὸ X, διὰ τὸ ἀσυνήθη.

l. 757. Διὰ δίκης ἰὼν] δικαζόμενος. δικαιολογούμενος. παρρησιαζόμενος.

Pag. 275. l. 761. Καὶ γυναικὸς ὕστερον] ἀντὶ τοῦ ἡττηθὲν ὑπὸ γυναικός.

l. 766. Ἡ δ' οὖν θανεῖται καὶ θανοῦσ' ὀλεῖ τινα] δι' ἑαυτὸν ἔφη· ὁ δὲ Κρέων ᾤετο δι' αὐτὸν λέγειν.

l. 767. Ἐπεξέρχῃ θρασὺς] περαιτέρω χωρήσεις.

l. 768. Τίς δ' ἔστ' ἀπειλὴ] ποίαν ὠφέλειαν ἔχει ἀπειλὴ πρὸς μωρὸν ἄνθρωπον λεγομένη;

l. 773. Ἀλλ' οὐ τόνδ' ὄλυμπον] μὰ τὸν ὄλυμπον.

l. 774. Δεννάσεις] λυπήσεις. ὑβρίσεις.

l. 775. Ἄγαγε τὸ μῖσος] τὴν Ἀντιγόνην φησίν.

Ὡς κατ' ὄμματ'] ἀντὶ τοῦ ὑπ' ὀφθαλμούς.

l. 780. Ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃς ξυνών] γράφεται καὶ μαίνῃ. Ὡς μαίνῃ (φησὶ) παρὰ τοῖς φίλοις τοῖς θέλουσιν ὑπομεῖναι τὴν σὴν μανίαν.

l. 782. Νοῦς δ' ἐστὶ τηλικοῦτος] ἤτοι ὁ τῶν νέων. ἢ ὁ φρόνιμος. ὁ δὲ νοῦς ὁ τηλικοῦτος, (φησὶ) βαρύτατός ἐστιν ἀλγήσας.

l. 785. Ἄμφω γὰρ αὐτὰ] τὰς κόρας. δυϊκὸν γάρ ἐστι.

l. 787. Μόρῳ δὲ ποίῳ καί σφε] ἀντὶ τοῦ αὐτήν.

l. 789. Ἐν κατώρυχι] ἐν ὑπογείῳ σπηλαίῳ.

l. 790. Φορβῆς τοσοῦτον] ἔθος παλαιόν,

λαιὸν, ὥστε τὸν βουλόμενον καθείργνυσθαι τινὰ, ἀφοσιοῦσθαι βραχύ τι θέντα τροφῆς. καὶ ὑπονόσιον κάθαρσιν τὸ τοιοῦτο, ἵνα μὴ δοκῶσι λιμῷ ἀναιρεῖν. τοῦτο γὰρ ἀσεβές.

l. 792. Ον μόνον σέβει θεῶν] διὰ τὸ περιεῖναι τῆς ἰδίας σωτηρίας τὴν πρὸς τὸν κατοιχόμενον δίκην.

l. 795. Ο τι πόνος περισσός ἐστι] πλήρης ὀργῆς καὶ ἀβουλίας ὁ λόγος, ὅτι καὶ εἰς θεοὺς θρασύνεται.

l. 796. Ερως ἀνίκατε μάχαν] λείπει ἡ κατά. διὰ τὸν Αἵμονα τοῦ ἔρωτος μέμνηται. πάλαι γὰρ ὁμονόει τῷ πατρὶ, νῦν δὲ σχεδὸν πολέμιος γέγονε διὰ τὴν Ἀντιγόνην. τὸ δὲ ἐρᾷν πλουσίους, ἔχει καὶ ἡ παροιμία, Ἐν πλησμονῇ τοι κύπρις, ἐν πεινῶσι δ᾽ οὔ.

l. 797. Ος ἐν κτήμασι πίπτεις] ἐπεὶ καὶ κτήματα ἐρῶσι πολλοί.

l. 799. Ἐννυχεύεις] διατρίβεις.

Φοιτᾷς δ᾽ ὑπερπόντιος] διότι καὶ τὰ θαλάσσια ζῶα ἐρᾷ. ἢ ὅτι καὶ τὰ πόρρω θηρεύει ὁ ἐρῶν, καὶ διὰ θαλάσσης ἄπεισι καὶ πανταχοῦ, ὥστε τοῦ ἔρωτος ἐπιτυχεῖν. ἢ ὅτι πολλοὶ τῶν ἐν πόντῳ ἐρῶσιν.

Pag. 277. l. 801. Ἀγρονόμοις αὐλαῖς] ταῖς ἐπαύλεσιν.

l. 805. Ο δ᾽ ἔχων] τὸν ἔρωτα δηλονότι.

l. 806. Σὺ καὶ δικαίων ἀδίκους] σὺ καὶ δικαίους διαφθείρεις ὥστε τὰς φρένας αὐτῶν ἀδίκους γίγνεσθαι. ὡς Ἡρακλῆς ἐνεχόμενος τῷ ἔρωτι τῆς Ἰόλης, τὰ ἐν Οἰχαλίᾳ ἔπραξεν, ἀφορμὴν τοῦ πολέμου μὴ ἔχων ἢ τὸν ἔρωτα μόνον.

l. 809. Ξυναίμον ἔχεις] ξυγγενές. ὅτι υἱοῦ πρὸς πατέρα γέγονε μάχη καὶ διαφορά.

l. 810. Νικᾷ δ᾽ ἐναργὴς βλεφάρων] ὅτι ὁρῶν τὴν παῖδα ὁ Αἵμων σπουδάζουσαν, καὶ πάντα πράττουσαν ὑπὲρ τοῦ ἀδελφοῦ, ἥττων αὐτῆς γέγονε. νικᾷ οὖν, φησὶν, ὁ ἔρως τῆς νύμφης, ὅς ἐστι πάρεδρος τῶν μεγάλων θεσμῶν ἐν ἀρχαῖς. τοῦτο δὲ εἶπεν ὅτι θαυμαστή τις ἐστὶν ἡ τοῦ ἱμέρου ἀρχὴ, καὶ ὥσπερ νομοθετεῖσα ἄνωθεν. διὸ καὶ πάρεδρον αὐτὴν φησὶ τῶν θεσμῶν.

l. 813. Πάρεδρος ἐν ἀρχαῖς] τινὲς πάρεδρος δωρικῶς ἀναγινώσκουσι κατ᾽ ἔλλειψιν τοῦ υ, ἵν᾽ ᾖ, παρέδρους. λέγει δὲ τὸν κρέοντα, νικᾷ δὲ ὁ φανερὸς ἵμερος τῶν βλεφάρων τῆς εὐλέκτρου νύμφης τὸν Κρέοντα, τὸν ἐν ταῖς ἀρχαῖς τῶν μεγάλων θεσμῶν.

l. 814. Ἄμαχος] ἀκαταμάχητος.

Ἐμπαίζει] ἥδεται. χαίρει.

l. 816. Νῦν δ᾽ ἤδη ᾽γὼ καὐτὸς θεσμῶν ἔξω φέρομαι] ὅ ἐστι, δύναμαι παρακούομεν τοῦ ἄρχοντος, δακρύοντες τὴν Ἀντιγόνην ἣν αὐτὸς κατεδίκασε.

l. 819. Τὸν παγκοίταν] τὸν πάντας κοιμίζοντα.

l. 820. Ορῶ θάλαμον] τὸν θάλαμον τὸν ἐν τῷ τάφῳ.

l. 821. Τὴν δ᾽ Ἀντιγόνην ἀνύτουσαν] ἀνοίγουσαν. ἢ τρέχουσαν, καὶ πορευομένην.

l. 830. Ἔγκληρον] μέτοχον.

Pag. 279. l. 835. Οὔτε ξιφέων ἐπίχειρα] οὐ διὰ ξιφῶν τὸν μισθὸν τοῦ πλημμελήματος λαχοῦσα καὶ τὴν τιμωρίαν, ἀλλὰ μετ᾽ ἐλευθερίας τεθνήξῃ, ἰδίῳ καὶ καινῷ νόμῳ περὶ τὸ τέλος χρησαμένη. ὅ ἐστι, οὔτε νοσήσασα, οὔτε ἀναιρεθεῖσα ἐξελεύσῃ τοῦ βίου,

l. 837. Θνατῶν ἀΐδαν] ἤτοι πρὸς τὸν τόπον τοῦ θανάτου· ἢ πρὸς τὴν προαίρεσιν τοῦ ἐπιχειρήματος. ἢ ἀντὶ τοῦ, ἰδίοις αὐτῆς νόμοις χρησαμένη.

l. 838. Ηκουσα δὴ λυγροτάταν] ἀντὶ τοῦ λυγροτάτης. ἢ, τὴν λυγρὰν ὑπομείνασαν. ἢ λυγρὰν, καθὸ τὴν Λητὼ ὑβρίσαι τετόλμηκε. τοῦτο δὲ ἔλαβε πρὸς τὸ ὅμοιον τοῦ θανάτου, ὅτι οὐδὲ ἡ Νιόβη ὑπό τινος ἀνῃρέθη.

l. 839. Τὰν Φρυγίαν ξέναν] τὴν Νιόβην.

l. 840. Σιπύλῳ πρὸς ἄκρῳ] Φρυγίας ὄρος ὁ Σίπυλος.

l. 841. Τὰν κισσὸς ὡς ἀτενὴς] ὁ μὴ εὐθὺς τετραμμένος, ἀλλ᾽ εἰλιτενής. πολὺς καὶ ἐπιμήκης. ἢ ὁ μὴ ἀνατείνων εἰς ὕψος, ἀλλ᾽ αὐτοῦ περιειλούμενος, καὶ οὐχ ὑψηλός. ὁ δὲ νοῦς, ἣν ἐδάμασεν ἡ πέτρας βλάστησις, ὡς κισσὸς περιβαλοῦσα αὐτήν. περιέφυσεν αὐτῇ (φησὶ) τῇ πέτρα ὡς κισσὸς δένδρῳ.

l. 842. Πετραία βλάστα δάμασεν] ὅτι περιεκεκάλυπτο πανταχῆ τῇ πέτρᾳ.

l. 849. Ἀλλὰ θεός τοι καὶ θεογεννής] παραμυθούμενος αὐτὴν, θεὸν φησὶ τὴν Νιόβην. ἤγουν, καρτερεῖν σε χρὴ ὡς καὶ ἡ Νιόβη ἐκαρτέρησε, καίτοι θεωτέρου γένους τυγχάνουσα. Ταντάλου γὰρ ἦν τοῦ Διός.

l. 851. Καίτοι φθιμένᾳ] καὶ γὰρ φθιμένῃ πάντῃ μακαριστὸν ἂν εἴη τῆς αὐτῆς μοίρας τυχεῖν τοῖς ἰσοθέοις. ἢ, μακα-

μακάριος ἂν εἴη ὅστις τοῖς ἰσοθέοις ὁμοίως ἐτελεύτησεν.

l. 852. Ἔγκληρα λαχεῖν] ἤγουν κοινά. ὅμοια. τοῦ αὐτοῦ κλήρου καὶ τύχης.

l. 854. Οἴμοι, γελῶμαι] ὑφ' ὑμῶν γελῶμαι ὅτι θεοῖς ἴσον με λέγετε.

l. 862. Ὑμμ' ἐπικλῶμαι] γράφεται ἐπιβοῶμαι.

l. 863. Οἵα φίλων ἄκλαυτος] οὐδὲ μὲν οἰκτειρομένη παρὰ τῶν φίλων ἀπόλλυμαι.

Pag. 281. l. 864. Ἔρμα] ἕρμα. ἀπείραγμα.

l. 865 Τάφου πολυαινίου] ἔστι μὲν προσφάτου. θέλει δὲ εἰπεῖν καινοῦ καὶ παρεξηλλαγμένου.

l. 867. Οὔτ' ἐν βροτοῖσιν] οὔτε ἐν ζῶσι, διὰ τὸ εἶναι ἐν εἱρκτῇ· οὔτε ἐν θανοῦσι, διὰ τὸ ἔτι ἀναπνεῖν.

l. 868. Οὐ ζῶσιν, οὐ θανοῦσιν] λείπει σύνοικος.

l. 869. Προβᾶσ' ἐπ' ἔσχατον θράσους] προβᾶσα ἐπὶ τὸ τῆς δικαιοσύνης ἔσχατον βάθρον μετὰ θράσους. βουλομένη τε ὅσιόν τι δρᾶν περὶ τὸν ἀδελφὸν, τὰ ἐναντία πέπονθας. ἔπεσες γὰρ εἰς τὸ κενοτάφιον. τὸ δὲ ἑξῆς, προβᾶσα ὑψηλὸν εἰς δίκας βάθρον, ἔπεσες ἐπ' ἔσχατον θράσους ἐν τῷ παρακοῦσαι τῶν τοῦ ἄρχοντος προσταγμάτων.

l. 872. Πατρῷον δ' ἐκτίνεις] ἢ τὰ ἡμαρτημένα τῷ Οἰδίποδι, ἢ ὑπὲρ τῆς κατάρας τοῦ Οἰδίποδος ταῦτα πάσχεις. αὐτὴ γὰρ τὰ δίκαια προέθου ποιεῖν.

l. 875. Τριπόλιστον οἶκτον] γράφεται οἶκον. πολλάκις ἀναπεπολημένον. ἢ διάσημον, καὶ πανταχοῦ ἀκουόμενον. καὶ πολούμενον. ἢ τὸν πολλάκις ἐπελθόντα τῷ ἐμῷ οἴκῳ καὶ γένει. λείπει δὲ τὸ εἰποῦσα.

l. 876. Τοῦ τε πρόπαντος ἁμετέρου πότμου] καὶ τῆς προτέρας ἡμῶν δυστυχίας.

l. 878. Λαβδακίδαισιν] ἀντὶ τοῦ Λαβδακιδῶν.

l. 880. Κοιμήματ' αὐτογέννητα] καὶ συνουσίαι τοῦ πατρὸς αὐτογεννεῖς. ἢ συγγενικαί, ἢ ὅτι ταύτῃ συνεκοιμήθη ἐξ ἧς γέγονε. τὸ δὲ ἑξῆς, κοιμήματα αὐτογέννητα, κοιμήματα δυσμόρου μητρὸς, ἐμῷ πατρὶ αὐτογέννητα. ὅτι ὁ αὐτὸς, πατὴρ ἅμα καὶ παῖς ἦν.

l. 882. Οἷσιν ἐγώ ποθ'] λείπει γονέων.

l. 883. Ἀραῖος] ἐπικατάρατος διὰ τὰ ἐκείνων ἁμαρτήματα.

l. 884. Ἐγὼ μέτοικος ἔρχομαι] πρὸς τοὺς γονεῖς δηλονότι.

l. 885. Δυσπότμων κασίγνητε γάμων κυρήσας] διὰ τὴν πρὸς Ἄδραστον ἐπιγαμίαν, ἥτις αἰτία τοῦ πολέμου κατέστη.

l. 888. Σέβειν μὲν, εὐσέβειά τις] οἱ τοῦ χοροῦ τὸ μὲν ἔργον τῆς παιδὸς ἐπαινοῦσιν, οὐ μὴν δὲ θαρροῦσιν ὡς καὶ τὴν γνώμην τοῦ βασιλέως διελέγχειν ὡς μοχθηράν. φησὶν οὖν ὅτι πέπρακται μὲν δι' εὐσέβειαν τὸ ὑπὸ ταύτης. ᾧ δὲ ἡ βασιλεία μέλει, τούτῳ οὐκ ἔστι παραβατὴ ἡ ἀρχὴ, ὅ ἐστι τὰ προστάγματα. παραβαίνουσι δὲ ὅσοι ἀρχόντων καταφρονοῦσιν.

l. 891. Αὐτόγνωτος ὀργὰ] αὐθαίρετος καὶ ἰδιογνώμων τρόπος.

Pag. 283. l. 898. Πότμον ἄδακρυτον] ἀντὶ τοῦ πολυδάκρυτον.

l. 1000. Ἄρ' ἴστ' ἀοιδὰς καὶ γόους] πρὸς τοὺς ὑπηκόους τοῦτο φησὶν ὁ Κρέων, ὀργιζόμενος ὅτι μὴ θᾶττον αὐτὴν ἀπήγαγον πρὸς εἱρκτήν. ὁ δὲ λόγος, ἆρα ἴστε εἰ χρεὶ ἢ λέγειν ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν, οὐδέ ποτέ τις παύσαιτο; δεῖ οὖν ἐκ βίας ἕλκειν αὐτήν.

Εἴτε χρῇ θανεῖν] εἰ χρήζει καὶ θέλει θανεῖν. μετριάζειν δὲ προσποιεῖται τῇ κολάσει, ὡς δηλοῖ καὶ τὸ, Ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην.

l. 1006. Ἡμεῖς γὰρ ἁγνοὶ] (τουτέστιν ἀκοινώνητοι) τοῦ φόνου τούτου, φησὶ διὰ τὸ μὴ χερσὶν αὐτὴν ἀνῃρηκέναι. Ἄλλως. τὸ κατὰ ταύτην τὴν κόρην ἁγνοὶ ἡμεῖς ἐσμὲν, καὶ οὐδὲν ἐναγὲς ἐπράξαμεν.

l. 1007. Μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται] ἀντὶ τοῦ, μεθ' ἡμῶν ἄνω οἰκεῖν.

l. 1008. Κατασκαφῆς] κατεσκαμμένη. ὑπόγειος.

l. 1009. Οἴκησις αἰείφρουρος] τῷ μὴ πρὸς καιρὸν εἶναι τὴν φρουρὰν, ἀλλὰ διόλου.

l. 1012. Κάκιστα δὴ μακρῷ] ἀντὶ τοῦ πολύ.

l. 1014. Ἐν ἐλπίσι τρέφω] ἀντέστρεψε Σοφοκλῆς εἰς τὸ τρέφω ἀντὶ τοῦ ἔχω λέγειν. ὁ δὲ νοῦς, ἐλπίζω ἀποθανοῦσα πάντας ἕξειν φίλους.

l. 1016. Κασίγνητον κάρα] ὦ Ἐτεόκλεις. ἑξῆς γὰρ τοῦ Πολυνείκους μετ' ὀλίγα μνημονεύει.

l. 1021. Καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ] παρὰ τοῖς καλῶς φρονοῦσι δοκῶ σε τετιμηκέναι, ὥστε τοὺς

συνετῶν ἀποδέξασθαι τὰ ὑπ' ἐμοῦ εἰς σὲ γλυφόμενα.

l. 1024. Ἀνηρόμην πόνον] ἀντὶ τοῦ ὑπέστην.

l. 1025. Τίνος νόμου δὴ ταῦτα] ἀντὶ τοῦ τίνος νομίσματος καὶ λογισμοῦ.

l. 1030. Τοιῷδε μέντοι] τῷ τοιούτῳ νόμῳ ὃς ἀποδείκνυσι τὸ κατὰ τῶν ἀδελφοὺς δίκαιον ὑπερέχειν ἁπάντων, τιμήσασά σε, ἔδοξα τῷ Κρέοντι ἁμαρτάνειν, διὰ τὴν ἔνδειξιν τῆς βίας αὐτοῦ.

l. 1033. Καὶ νῦν ἄγει με] ἐμφατικώτερον τὸ ἄγει. οὐ γὰρ εἶπεν ὅτι ἐκέλευσέ με ἀχθῆναι, ἀλλ' αὐτὸς ἄγει.

Pag. 285. l. 1037. Ποίαν παρεξελθοῦσα δαιμόνων] ἐπεὶ τὰ τοῦ Κρέοντος θνητοῦ ὄντος παρέβη.

l. 1039. Τίν' αὐδᾶν συμμάχων] λείπει καλεῖν.

l. 1041. Ταῦτ' ἐστὶν ἐν θεοῖς καλὰ] εἰ ταῦτα τοῖς θεοῖς ἀρέσκει, παθόντες τὴν τιμωρίαν, γνοίημεν τὴν ἁμαρτίαν.

l. 1043. Εἰ δ' οἵδ' ἁμαρτάνουσιν] ὅτι τὸν Κρέοντα ἡ ἀναφορά.

l. 1044. Η καὶ δρῶσι ἐνδίκως] ἢ ἐκδίκως, ἤγουν ἔξω τοῦ δικαίου.

l. 1045. Ετι τῶν αὐτῶν] ἔτι ἐν τῷ αὐτῷ κινήματι ἔοικεν ἡ παῖς εἶναι, δηλονότι ἐκδίδωκεν ὀδυρομένη.

l. 1048. Κλαύμαθ' ὑπάρξει] ἀντὶ τοῦ, κλαύσονται οἱ ἄγοντες αὐτὴν, ἐὰν ἔτι βραδύνωσι.

Βραδυτῆτος ὕπερ] διὰ τὸ ἐν αὐτῇ ἐμβραδύνειν.

l. 1049. Οἴμοι, θανάτου] ἀπειληθέντες ὑπὸ τοῦ Κρέοντος οἱ ὑπήκοοι ἄξουσί με λοιπὸν ἐπὶ θάνατον.

l. 1051. Θαρρεῖν οὐδὲν παραμ.] οὐ παραμυθοῦμαί σε θαρρεῖν, ὡς μὴ κατακρατουμένη σοι τοῦ ἀποθανεῖν. τοῦτο δέ φησιν ὡς οὐκ ἐνδιδοὺς, ἵνα μὴ ὑπονοήσῃ ἐκείνη μεταπεπεῖσθαι αὐτὸν δακρύσασα οὐ ὁ χορὸς λέγει ὡς τοῦ Κρέοντος μὴ μεταπεισθέντος.

l. 1053. Ω γῆς Θήβης] λοιπὸν πρὸς βίαν αὐτὴν ἄγουσιν οἱ ὑπήκοοι, τὰ πρὸ τοῦ αὐτὴν ἐλεοῦντες καὶ αἰδούμενοι.

l. 1056. Οἱ κοιρανίδαι] κοίρανοι. τῶν ἀπὸ τοῦ χοροῦ φησίν. εἰώθασι γὰρ οὐ μόνον τοὺς βασιλεῖς, ἀλλὰ καὶ τοὺς ἐν δόξει τῶν πολιτῶν οὕτω καλεῖν. ἡ πρὸς τὸν Κρέοντα, ἠθικῶς ἄγει αὐτὸν εἰς συμμαχίαν προσκαλουμένη. ἢ πρὸς τῶν πάλαι βασιλείας τῶν προγόνους αὐτῆς.

l. 1057. Τὴν βασιλίδα] τὴν βασίλειαν.

l. 1059. Σεβίσασα] τιμήσασα.

l. 1060. Ετλα καὶ Δανάας] δηλονότι, ἡ Δανάη ἔτλη μὴ εἶναι ἐν φωτὶ, ἀλλ' ἐν σκότῳ· ἐπεὶ καὶ αὐτὴ ἐν χαλκῷ οἴκῳ ἐκέκρυπτο.

l. 1062. Κρυπτομένα δ' ἐν τυμβήρει] κατεκλείσθη ὑπὸ τὴν κιβωτόν. οὐ ὑπὸ τὸν ζυγὸν τῆς ἀνάγκης ἦλθε καὶ τῆς εἱμαρμένης. ἢ, κατεζεύχθη συνελθοῦσα τῷ Διί.

l. 1065. Ταμιεύεσκε] ἀντὶ τοῦ ἐν αὐτῇ εἶχε τὰς γονὰς τοῦ Διός. ὅ ἐστιν ἔκυον.

l. 1068. Μοιρίδια] εἱμαρμένη.

l. 1069. Οὔτ' ἄν νιν] αὐτὴν τὴν μοῖραν.

Ὄμβρος οὔτ' ἄρης] ἄρης νῦν ὁ πόλεμος. καὶ γὰρ τὰ κατὰ μοῖραν ἐγείρεται. βούλεται γὰρ εἰπεῖν ὅτι οὔτε τὰ ἐν οὐρανῷ, οὔτε τὰ ἐν τῇ γῇ, οὔτε τὰ ἐν τῇ θαλάττῃ πραττόμενα, παρὰ μοῖραν γίγνεται.

Pag. 287. l. 1071. Ζεύχθη δ' ὀξύχολος] τὸ ἑξῆς, ζεύχθη πετρώδει καταφρακτῷ ἐν δεσμῷ μὴ οὕτω γὰρ αὐτὸ λαβόμενοι, ὅτι καὶ ἡ Ἀντιγόνη ἀσεβὴς οὖσα πέπονθεν ὅπερ ὁ ἀσεβὴς Λυκοῦργος. ἀλλ' ἁπλῶς τῇ παραθέσει τῶν ὁμοίων δυστυχιῶν παραμυθεῖται τὴν κόρην. τὸ δεσμὸν γὰρ τὸ ἀμπέλου πετράδη εἶπεν ἀντὶ τοῦ τὸ ἰσχυρόν.

l. 1072. Κερτομίοις ὀργαῖς] διὰ τὰς κερτομίους ὀργάς.

l. 1074. Πετρώδει] τῷ στερεῷ δεσμῷ τῆς ἀμπέλου.

l. 1075. Οὕτω τᾶς μανίας δεινὸν] οὕτω καὶ τοῦ Λυκούργου ἀπὸ τῆς μανίας ὀργὴ ἀποβαίνει. μένος γὰρ ἡ ὀργή. ἀνθηρὸν γὰρ, τὸ ἀκμαῖον καὶ ἀνθοῦν ἐν κακοῖς.

Δεινὸν ἀποστάζει] ἀντὶ τοῦ πολύ.

l. 1076. Κεῖνος ἐπέγνω] τὸ ἑξῆς, κεῖνος ἐπέγνω τὸν θεὸν κερτομίοις γλώσσαις μανίαις ψαύων.

l. 1078. Ἐνθέους] τὰς θεολήπτους βάκχας.

l. 1079. Εὐιόν τε πῦρ] τὸ ὑπὸ τῶν βακχῶν αἰρόμενον ἐν ταῖς Διονυσιακαῖς δᾳδουχίαις.

l. 1080. Φιλαύλους ἠρέθιζε μούσας] κακολογῶν αὐτὰς ἠρέθιζε καθ' αὐτοῦ. λέγει οὖν, ἐπέσχε καὶ ἐσκόρπιζε τὰς τῶν αὐλῶν

αὐλοῖν ᾠδάς. ἢ οὕτως, τὰς μύστας τὰς περὶ τὸν Διόνυσον ἐχλεύαζε. τουτέστι τοὺς ἐμοὺς, ἢ τοὺς λόγους. τινὲς δέ φασιν ὅτι καὶ τὰς μύστας ὕβριζε.

l. 182. Παρὰ δὲ κυανέων πελαγέων] ἀντὶ τοῦ παρὰ δὲ τοῖς κυανέοις πελάγεσι τῆς διδύμης θαλάττης, γέγονεν ἐμφύλια κακὰ περὶ τοὺς Φινείδας. κυανέοις δὲ πελάγεσιν εἶπε, τοῖς ὑπὸ τῶν κυανέων πετρῶν περιεχομένοις.

l. 1083. Διδύμης ἁλὸς] ἢ διὰ τὸ διαχωρίζεσθαι ὑπ' αὐτῶν τὴν θάλασσαν, ἢ διὰ τὸ συνιέναι αὐτὰς καὶ ἐνοῦσθαι, διδύμους φησίν.

Ακταὶ Βοσπόριαι] αἱ ὑπὸ τοῦ Βοσπόρου τοῦ πελάγους περιεχόμεναι.

l. 1084. Η δ' ὁ Θρηκῶν Σαλμυδησσὸς] ὁ Θρακικὸς Σαλμυδησσὸς. πέλαγος δέ ἐστι δυσχείμερον περὶ Θρακικήν. Αἰσχύλος, Σαλμυδησσία γνάθος, ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν.

l. 1085. Ιν' ἀγχίπολις ἄρης] παρὰ γὰρ Θραξὶ τιμᾶται ὁ Ἄρης, ὡς καὶ ὁ ποιητὴς, Τὼ μὲν ἄρ' ἐκ Θρῄκης Ἐφύρους μετὰ θωρήσσεσθον. τὸ δὲ ἵνα τοῖς ἄνω συνάπτεται. ἵνα ἀκταὶ βοσπόριαι· καὶ ἐνδέον λείπει ὅσοι δὲ γράφουσιν ὁν ἄρης, περιττὸν λαμβάνουσι τὸ ὄνομα.

l. 1086. Δισσοῖσι Φινείδαις] τῶν δισσῶν Φινειδῶν, Πληξίππου καὶ Πανδίονος. ἢ Γηρύμβα καὶ Ἀσπόνδου.

l. 1088. Τυφλωθὲν] τὸ ἑξῆς. τυφλωθὲν ὀμμάτων κύκλοις.

l. 1089. Ἀλαστόροισι] τοῖς ἄλαστα πεπονθόσιν, ἢ τοῖς δυστυχέσι κύκλοις τῶν ὀμμάτων.

l. 1090. Ἀραχθὲν ἐγχέων] ἀντὶ τοῦ τυφλωθέν. ἀραχθὲν αἱματηραῖς χείρεσσιν ὑπ' ἐγχέων καὶ κερκίδων ἀκμαῖς. τουτέστι γυναικείαις.

l. 1093. Μέλεοι μελέαν πάθαν] ὅτι πλουτήσασα ἀφῆκεν αὐτοὺς ὑπὸ μητρυιᾶν. ἤ, ὅτι αὐτὴ αὐτοὺς ἐξετύφλωσεν.

l. 1095. Ἀνύμφευτον γονὰν] κακόνυμφον γονάν. ὅτι ἐπὶ κακῷ νυμφευθεῖσα, δυστυχεῖς αὐτοὺς ἔτεκεν. ἤ, τὴν ἀνύμφευτον ἑαυτῷ κοινωνίαν ἔχει, τὸ πρὸς γυναῖκας συνουσίας ἄπειροι ὄντες.

Α δὲ σπέρμα μὲν ἀρχαιογόνων] Βορέας κῆδος συνῆψε τοῖς Ἀθηναίοις, ἁρπάσας Ὠρείθυιαν τὴν Ἐρεχθέως· ἐξ ἧς ἔσχε Ζήτην καὶ Κάλαϊν καὶ Κλεοπάτραν· ταύτην ὁ Φινεὺς ἔγημεν· ἐξ ἧς αὐτῷ δύο παῖδες ἐγένοντο, Πλήξιππος καὶ Πανδίων· κατὰ δέ τινας Γηρύμβας καὶ Ἀσπονδὸς. μετὰ δὲ τὸν Κλεοπάτρας θάνατον, ἐπέγημεν Ἰδαίαν τὴν Δαρδάνου. κατὰ δέ τινας, Εἰδοθέαν τὴν Κάδμου ἀδελφήν· (ἧς καὶ αὐτὸς Σοφοκλῆς μνημονεύει ἐν τυμπανισταῖς) ἥτις ἐξ ἐπιβουλῆς τυφλώσασα τοὺς τῆς Κλεοπάτρας παῖδας, ἐν τάφῳ καθεῖρξεν. ὡς δέ τινες φασὶν, ὅτι κατεψεύσατο αὐτῶν, ἅτε δὴ πειρασάντων αὐτήν· ἐφ' οἷς ἀπατηθεὶς ὁ Φινεὺς ἀμφοτέρους τυφλοῖ. ταῦτα δὲ ἱστορεῖ Ἀπολλόδωρος ἐν τῇ βιβλιοθήκῃ. τινὲς δὲ ἱστοροῦσιν ὅτι περιοῦσαν τὴν Κλεοπάτραν ὁ Φινεὺς ἐκβέβληκε, καὶ τὴν Ἰδαίαν ἐπέγημεν· ἡ δὲ, ὀργισθεῖσα τοὺς ἑαυτῆς ἐτύφλωσε παῖδας.

l. 1100. Αμιππος] ταχεῖα, ἴσον ἵππῳ δυναμένη τρέχειν. εἰ δὲ γράφεται ἁμίπποις, πρὸς τὸ θυέλλαις, τράφη θυέλλαισιν ἁμίπποις, ταῖς ἐξισουμέναις ἵπποις· ὡς καὶ Ὅμηρος, --- θείειν δ' ἀνέμοισιν ὁμοῖος.

l. 1102. Ἀλλὰ κἀπ' ἐκείνᾳ] ἀλλὰ καὶ κατ' ἐκείνης, τῆς θυγατρὸς Βορέου τῆς ἐξ Ἐρεχθειδῶν γεγονυίας, ἐπέσκηψαν αἱ πολυχρόνιοι μοῖραι, καὶ μεγάλα δυστυχῆσαι αὐτὴν πεποιήκασιν. ἤ, μεγάλαι δυστυχίαι καὶ ἐπ' ἐκείνῃ τῇ Κλεοπάτρᾳ ἦλθον.

l. 1103. Μακραίωνες] ἀθάνατοι καὶ πολυχρόνιοι.

Ἔσχον] ἐπέσχον· ἐπετέθησαν. ἐπεβάρησαν.

Pag. 289. l. 1104. Θήβης ἄνακτες] καὶ νῦν ἄνακτάς φησι τοὺς ἀπὸ τοῦ χοροῦ ἐντίμους.

l. 1106. Ἐκ προηγητοῦ πέλει] ἡ ὁδὸς τοῦ τυφλοῦ μετ' ἄλλου ἐστίν.

1109. Οὐκοῦν πάρος γε] οὐκ, οὐδὲ τὴν ἀρχὴν τῆς σῆς κατωλιγώρουν μαντείας.

l. 1113. Τὸ σὸν φράσαντο στόμα] ἀντὶ τοῦ τὸν σὸν λόγον.

l. 1115. Εἰς γὰρ παλαιὸν θῶκον] θῶκος, τόπος οὕτω καλούμενος.

l. 1116. Οἰωνοῦ λιμένα] λιμένα, ὅρμος καὶ ἕδρα ὅπου πάντα τὰ ὄρνεα προσέρχονται.

l. 1117. Κακῷ κλάζοντας] λείπει ἐπὶ, ἵνα ᾖ ἐπὶ κακῷ.

l. 1118. Βεβαρβαρωμένῳ] ἑρμηνευθῆναι μὴ δυναμένῳ, δηλαδὴ ἀσαφεῖ.

l. 1119. Ἐν χηλαῖσιν] ἀντὶ τοῦ τοῖς ὄνυξι.

Φοναῖς

Φοναῖς] ταῖς αἱματικαῖς.

l. 1121. Ἐμπόρων ἐγδυσόμην] ἀντὶ τοῦ ἀπεπειρασάμην τῆς διὰ πόρων μαντείας.

l. 1123. Μυδῶσα] δίυγρος οὖσα ἡ κνίσις. κηκὶς δὲ, ἡ ἀνάδοσις ἐνταῦθα. κυρίως δὲ, ἡ λιγνὺς τοῦ καπνοῦ ἡ ἀπὸ τῶν καιομένων γιγνομένη.

l. 1124. Κἄτυφε] καὶ ἔτυφε, τύφειν ἐστὶ τὸ ἠρέμα ὑποσμύχειν. Ἀνέπτυε δὲ, ἀνέβλυζε τὰ μηρία ἐκ τοῦ λίπους.

l. 1125. Καταρρυεῖς μηροὶ καλυπτῆς ἐξέκ. πιμελῆς] καταρρεόμενοι, καθυγραινόμενοι ἐκ τοῦ λίπους τῆς καλυπτούσης πιμελῆς ἐξέπιπτον.

l. 1127. Τοιαῦτα παιδὸς] τοῦ δηλονότι.

l. 1128. Φθίνοντ'] ἢ φθοροποιά, ἢ διὰ τοῦ πυρὸς ἀσήμως φθειρόμενα.

l. 1131. Ἐσχάραι] αἱ ἑστίαι.

Παντελεῖς] αἱ τὰ τέλεια τῶν ἱερείων δεχόμεναι. ἢ ὅλαι, ἢ δι' ὧν πάντα τελειοῦται.

l. 1132. Πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς] ἀντὶ τοῦ, οἱ κύνες καὶ οἱ ὄρνιθες διασπάσαντες τὸ τοῦ Πολυνείκους σῶμα, ἐπὶ τοὺς βωμοὺς ἐκόμισαν, καὶ οὕτως ἐμόλυναν ἅπαντας.

l. 1134. Θυστάδας λιτὰς] τὰς διὰ θυσιῶν γιγνομένας λιτάς.

l. 1136. Ἀπορροιβδεῖ] ἀπηχεῖ. ἀφίησιν.

l. 1137. Ἀνδροφθόρου βεβρῶτες] ἀπὸ τοῦ ἑνικοῦ ἐπὶ τὸ πληθυντικὸν μετέβη.

l. 1142. Ἀκεῖται] ἰᾶται. θεραπεύει.

Ἀκίνητος] ἀμετάθετος.

l. 1143. Αὐθαδία τοι] διὰ τὴν αὐθάδειαν εἰς σκαιότητα πίπτουσιν οἱ ἄνθρωποι.

Pag. 291. l. 1146. Τίς ἀλκὴ τὸν θανόντ'] καὶ Ὅμηρος, Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.

l. 1150. Τοξόται' ἀνδρὸς τοῦδε] ἤγουν, ἀποπειρᾶσθέ μου ὡς τοξόται σκοποῦ.

Ἀνδρὸς τοῦδε] ἀντὶ τοῦ ἐμοῦ.

l. 1151. Ἀπρακτος ὑμῖν εἰμι] ὑφ' ὑμῶν τῶν μάντεων καὶ τῶν συγγενῶν.

l. 1152. Ἐξημπόλημαι] ἀνεμπόλητος, μὴ πεπραγματευμένος. καὶ Ὅμηρος, ---οἵτε περιπλῆρες ἔασιν.

Κἀμπεφόρτισμαι] προδέδομαι. φόρτος γεγένημαι. ἐποιήσαντό με φόρτον. ὑποπέπραγμαι. πεπραγμάτευμαι.

l. 1153. Τὸν πρὸς Σάρδεων ἤλεκτρον] Σάρδεις πόλις Λυδίας, παρακειμένη τῷ χρυσοφόρῳ Πακτωλῷ. ἀντὶ τοῦ, εἰ βούλεσθε εἰς χρήματα νοσεῖν, δέχεσθε. τὸν γὰρ Πολυνείκη οὐ θάψετε.

l. 1160. Θεοὺς μιαίνειν οὔ τις ἀνθρώπων σθένει] ἀμίαντον γὰρ τὸ θεῖον.

l. 1165. Ποῖον τοῦτο πάγκοινον] τῷ βίῳ κοινὸν ἐπεισέπεσεν, ἆρ' οἶδεν ἀνθρώπων τις, καὶ καθόλου ἔλαβε πᾶσι κοινὸν καὶ φανερόν.

l. 1168. Τῆς νόσου πλήρης ἔφυς] ἀντὶ τοῦ τῆς ἀβουλίας.

l. 1173. Ἆρ' οἶσθα ταγοὺς ὄντας] οἶσθα (φησὶ) βασιλέας ὑβρίζων;

l. 1176. Ὄρσεις με τἀκίνητα] τὰ ἄρρητά με δημοσιεύειν ἀνακινεῖς.

l. 1178. Οὕτω γὰρ ἤδη] οὕτω νομίζεις, ὅτι ἐπὶ κέρδει τῷ λέγω.

l. 1179. Ὡς μὴ μπολήσων] μὴ ἐξαπατήσων.

l. 1180. Μὴ πολλοὺς ἔτι τροχοὺς] μὴ πολλοὺς ἡλίου δρόμους τελέσων, ὅ ἐστιν ἡμέρας.

Ἁμιλλητῆρας δὲ,] τοὺς ἀλλήλους διαδεχομένους. τροχοὺς δὲ, ἀντὶ τοῦ κύκλους. δρόμους.

Τελῶν δὲ, ἀντὶ τοῦ τελέσων. ἴσθι (φησὶν) οὐ πολλοὺς δρόμους ἡλίου τελέσων.

l. 1184. Ἔχεις βαλὼν] ἀντὶ τοῦ ἔβαλες.

l. 1185. Ψυχήν τ' ἀτίμως] τὴν τῆς Ἀντιγόνης.

l. 1187. Ἀνόσιον] νεκρὸν τὸν μὴ τυχόντα τῶν ὁσίων λέγει.

l. 1188. Ὧν οὔτε σοὶ μέτεστιν] ἐξουσία δέδοται. λέγει δὲ τῶν νεκρῶν. ἐκ δὲ ἢ βιάζονται καὶ οἱ ἄνω θεοὶ ἔχειν αὐτὸν ἄταφον.

Pag. 293. l. 1190. Ὑστεροφθόροι] αἱ ὕστερον μέλλουσαι βλάψαι. καὶ τὸ λοχῶσι γὰρ, τὴν οὐ παραχρῆμα, ἀλλὰ τὴν ἐς ὕστερον ἀποφηπτὴ τιμωρίαν δηλοῖ. τὸ ἀρσενικὸν δὲ ἀντὶ τοῦ θηλυκοῦ ἔταξεν. ὡς καὶ τὸ, σωτῆρα ψυχή.

l. 1193. Κατηργυρωμένος] ἀργυρίῳ πεισθείς.

l. 1194. Φανεῖ] δείξει.

Χρόνου τριβὴ] ἀντὶ τοῦ ἀναβολή.

l. 1195. Ἀνδρῶν γυναικῶν] λείπει ὁ καὶ, ἀνδρῶν καὶ γυναικῶν.

l. 1196. Ἐχθραὶ δὲ πᾶσαι] ἢ Θηβαίοις ἐχθραί, ἢ τοῖς θεοῖς. αἱ πόλεις δὲ (φησὶν) ὧν ἄρχεις ἐπαναστήσονται σοί.

l. 1197. Καθήγνισε] μετ' ἄγους ἐκόμισε.

Ἐστὶ

Ἑστιοῦχον ἐς πόλιν) ἀντὶ τοῦ ἐπὶ τὴν ἑστίαν τῆς πόλεως, ἑστιοῦχον δὲ, τὴν ἔχουσαν ἑστίαν καὶ βωμούς.

l. 1200. Τοιαῦτά σου) (λυπεῖς γὰρ) τοιαῦτα κατὰ τῆς καρδίας σου τοξεύματα ἀφῆκα μετὰ θυμοῦ. ἢ, τοῦ θυμοῦ τῆς καρδίας σου. λείπει δὲ ἡ Κατά.

l. 1202. Τῶν σοῦ θάλπος) τὴν δριμύτητα. τὸν ἐμπρησμόν. τὸν ἰόν. θάλπος γὰρ τὸ καῦμα. ἐκ μεταφορᾶς δὲ τῶν ἑρπετῶν. ἐκεῖνα γὰρ θερμαινόμενα, τὸν ἰὸν ἀφίησι. διὸ καὶ ἐν θέρει μᾶλλον ἰσχύουσι.

l. 1208. Ἐξ ὅτου λευκὴν ἐγὼ τήνδ' ἐκ μελαίνης) ἀντὶ τοῦ, ἀπὸ νεότητος. ἄχρι γήρως.

l. 1210. Λακεῖν) φθέγξασθαι.

l. 1212. Τό, τ' εἰκάθειν) τὸ μὲν ὑποχωρεῖν, δεινόν· τὸ δὲ ἀντιστάντα βλαβῆναι, πάρεστι.

l. 1219. Συντέμνουσι γὰρ) Συντόμως κατακόπτουσι καὶ βλάπτουσι.

l. 1221. Οἴμοι, μόλις μὲν) μόγις μεθίσταμαι τῆς προτέρας γνώμης.

l. 1222. Δυσμαχητέον) προστίθει τὸ Δυς.

l. 1223. Δρᾶ νῦν) ἀντὶ τοῦ δρᾶσον.

l. 1226. Εἰς ἐπόψιον τόπον) φανερὸν διὰ τὸ ὕψος. φησὶ δὲ τὸν τάφον.

l. 1227. Δόξα τῇ δ' ἐπεστράφην) δοκεῖ μοι μετεστράφην.

l. 1229. Δέδοικα γὰρ μὴ) δέδοικα γὰρ (φησὶ) μὴ οὐκ ἔστι καλὸν τὸ νομοθετεῖν καινὰ, ἀλλ' ἄριστόν ἐστι τὸ πείθεσθαι τοῖς ἀρχαίοις νόμοις.

Pag. 295. l. 1230. Πολυώνυμε) ὦ Διόνυσε. οἱ μὲν γὰρ Βάκχον, οἱ δὲ Ἴακχον, οἱ δὲ Λύαιον, οἱ δὲ Εὔϊον, οἱ δὲ Διθύραμβον αὐτὸν καλοῦσιν.

l. 1233. Ἀμφέπεις Ἰταλίαν) διὰ τὸ πολυάμπελον τῆς χώρας.

l. 1235. Παγκοίνοις Ἐλευσινίας) ἐν οἷς πάντες συνάγονται διὰ τὰς πανηγύρεις. ἢ διὰ τὸ τὴν θεὸν πάντας τρέφειν. ἢ ὅτι κοινὰ τὰ μυστήρια Δήμητρος καὶ Διονύσου.

l. 1236. Δηοῦς ἐν κόλποις) ἀντὶ τοῦ ἐν τοῖς πεδίοις.

l. 1238. Ὦ βακχᾶν βακχᾶν) τῶν βακχῶν βακχευτά.

l. 1239. Μητρόπολιν) τὴν πόλιν τῆς μητρός σου.

l. 1241. Ἀγρεῖτ' ἐπὶ σπορᾷ δράκοντος) παρὰ τὸν τόπον ἐν ᾧ ἐσπάρησαν οἱ ὀδόντες τοῦ δράκοντος.

l. 1243. Σὲ δ' ὑπὲρ διλόφου πέτρας) τοῦ Παρνασσοῦ δηλονότι. τοιοῦτο γάρ ἐστι τὸ ὄρος.

l. 1244. Στέροψ) ἡ λαμπρά.

Ὄπωπε λιγνὺς) σὲ ὁρᾷ ὁ λαμπρὸς καπνός. ἀντὶ τοῦ, σοὶ θυσίαι κατὰ Παρνασσὸν γίγνονται. ἢ παρόσον αὐτόματον πῦρ ἐκεῖσε ἀναδίδοται.

l. 1245. Κωρύκιαι) αἱ Παρνασσίδες. Κωρύκιον γὰρ ἄντρον ἐν Παρνασσῷ.

l. 1247. Κασταλίας τε νᾶμα) Κασταλία, πηγὴ ἐν Παρνασσῷ.

l. 1248. Νυσσαίων ὀρέων) Νύσσα Φωκίδος ὄρος. εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ Νύσσαι.

l. 1349. Κισσήρεις) κισσοφόροι.

l. 1250. Χλωρά τ' ἀκτὰ) ἢ τὸ ἐν Εὐβοίᾳ φησὶν ἄλσος, ἢ τὸ ἐν Παρνασσῷ ἐν ἀμφοτέροις γὰρ τοῖς τόποις ἡ ἄμπελος, ἣ καθ' ἑκάστην ἡμέραν περὶ μὲν τὴν ἕω βότρυας φέρει, περὶ δὲ τὴν μεσημβρίαν, ὄμφακας, ἐτρυγᾶτο δὲ πεπανθεῖσα περὶ τὴν ἑσπέραν.

l. 1252. Εὐαζόντων) ὑμνούντων. μετ' εὐφημίας εὐοῖ λεγόντων, ὅς ἐστιν ὕμνος Διονύσου.

l. 1257. Κραυγίᾳ) κεραυνοβλήτῳ.

l. 1260. Ἐπὶ νόσου μολεῖν) λείπει θέλησον. ἢ, ἀπαρέμφατον ἀντὶ προστακτικοῦ.

l. 1261. Παρνησίαν ὕπερ κλιτὺν) ἀντὶ τοῦ, Παρνησίας ἀπὸ κλίτυος. ἤτοι διὰ γῆς, ἢ δι' ὑγρᾶς.

l. 1262. Ἢ στονόεντα πορθμὸν) ἢ στονόεντος διὰ πορθμοῦ. καὶ ὁ ποιητής, Οἶδ' ἔστενεν οἴδματι θυῖαν. στονόεντα δὲ, τὸν ἠχώδη διὰ τὰ κύματα. πορθμὸν δὲ ἔνιοι, τὸν ἀπ' Εὐβοίας εἰς Βοιωτίαν· οἱ δὲ, τὴν Σικελικὴν θάλασσαν.

Pag. 297. l. 1264. Ἰὼ πῦρ πνεόντων ἄστρ. χ.) τῶν πυρπνόων ἄστρων ἐπίσκοπε. καὶ γὰρ αἰθέριος τιμᾶται, ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις, φησὶν αὐτὸν ἐν αἰθέρι κατοικεῖν. Ἄλλως. χόραγε τὸν χορὸν ἄγων ἢ τῶν ἄστρων χορηγέ. κατὰ γάρ τινα μυστικὸν λόγον, τῶν ἀστέρων ἐστὶ χορηγός.

l. 1265. Καὶ νυχίων φθεγμάτων) τῶν ἐν νυκτὶ εὐφημιῶν καὶ ὕμνων. ἐν νυκτὶ γὰρ αἱ Διονυσιακαὶ χορεῖαι γίγνονται. ὅθεν καὶ νυκτέλιος. καὶ Εὐριπίδης, Νύκτωρ τὰ πολλὰ, σεμνότητ' ἔχει σκότος.

l. 1269. Περιπόλοις) ταῖς ἱερείαις, ταῖς σαῖς ἀκολούθοις. καὶ ἐν Νάξῳ γὰρ τιμᾶται, ὅτι ἐκεῖ τῇ Ἀριάδνῃ συνεγένετο.

l. 1270. Αἱ σὲ μαινόμεναι] λείπει ἡ περὶ, ἵν' ᾖ, αἵτινες περὶ σέ.

l. 1274. Οὐκ ἔσθ' ὁποῖον στάντα] ὅπως δήποτε βεβηκότα, εἴτε καλῶς εἴτε ἐναντίως.

l. 1276. Καὶ τύχῃ καταρρέπει] πίπτει. καταβάλλει. γράφεται δὲ καταρρέπειν, ὅ ἐστι πίπτειν ποιεῖ.

l. 1279. Ὡς ἐμοί ποτε] λείπει ἰδοῦκει.

l. 1283. Καὶ νῦν ἀφεῖται πάντα] ἀπολέλυται. ἀπόλλυται. Ἄλλως. ἀφεῖται πάντα] ἡ μεταφορὰ ἀπὸ τῶν παιζόντων τοῖς κύβοις. ἢ ἀπὸ τῶν ἁλιέων. βόλος γὰρ ἡ τοῦ δικτύου ἄφεσις.

l. 1284. Ὅταν προδῶσιν] ἀπολέσωσιν.

Οὐ τίθημ' ἐγὼ] οὐ τίθημι (φησὶν) ἐν τοῖς ζῶσι τὸν τοιοῦτον. ὅ ἐστι, οὐ νομίζω ζῆν ἐκεῖνον τὸν ἄνδρα ὃν ἂν προδῶσιν αἱ ἡδοναί.

l. 1287. Καὶ ζῆ] ἀντὶ τοῦ ζῆθι, προστακτικῶς.

l. 1288. Τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς] τὰ ὑπόλοιπα οὐδ' ἂν ἀλλάξαιμι πινὸς πριαίμην.

l. 1291. Οἱ δὲ ζῶντες, αἴτιοι] τούτοις δὲ τοῦ θανεῖν αἴτιοι ἐγένοντο οἱ ζῶντες.

l. 1294. Πότερα πατρῴας] τὸ χ. ὅτι ἐρωτᾷ πότερα πατρῴας ἢ πρὸς οἰκείας χειρὸς, ἀκούσας ἤδη ὅτι αὐτόχειρ ἀπέθανεν.

l. 1298. Τάλαιναν Εὐρυδίκην] Ἡσίοδος Ἡνιόχην αὐτὴν καλεῖ, Ικιτο δὲ ἐς Κρέοντα καὶ Ἡνιόχην.

Ὁμοῦ] ἐγγύς.

l. 1300. Κλύουσα παιδὸς] λείπει ἡ περὶ, ἵν' ᾖ, περὶ τοῦ παιδὸς.

Ἡ τύχη πάρα] ὅ ἐστιν ἐκ τύχης.

Pag. 299. l. 1303. Εὐγμάτων προσήγορος] δι' εὐχῶν προσαγορεύουσα.

l. 1304. Ἀνασπάσοῦ] ἀνεχαρῶς ἀνασπωμένης, καὶ ἀνοιγομένης.

l. 1307. Ἀποπλήσσομαι] ἐκπλήττομαι.

l. 1311. Παρήσω] παραλιμπάνω.

l. 1312. Μάθοιμι ἄν] ἀπατήσαιμι.

l. 1315. Ἔνθ' ἔκειτο νηλεὲς] ἀντὶ τοῦ ἐλέους μὴ τυχόν.

l. 2317. Καὶ τὸν μὲν] πρὸς τὸ ἑξῆς, καὶ τὸν μὲν λούσαντες.

Ἐνοδίαν θεὸν] τὴν Ἑκάτην, ἢ τὴν Περσεφόνην.

l. 1320. Θαλλοῖς] ξύλοις.

Συγκαθήλθομεν] συγκατεκαίομεν.

l. 1321. Ὀρθόκρανον] ὑψηλόν.

l. 1323. Νυμφεῖον] τὸν νυμφῶνα.

l. 1325. Ἀκτέριστον] τὸ κακοκτέριστον τῆς Ἀντιγόνης τόπον. ἢ τὸν μὴ δεξάμενον ἐντάφια.

l. 1327. Ἄσημα περιβαίνει βοῆς] τὰ κακὰ σύμβολα τῆς βοῆς περισοιχίζει.

l. 1333. Ἴτ' ἆσσον] προσέλθετε δηλονότι.

l. 1334. Ἁρμὸν χώματος] τὴν ἐκ λίθων ἁρμονίαν τοῦ τάφου. ἢ τὸ ὑψηλὸν μέρος τοῦ χώματος τὸ ἡρμοσμένον λίθοις.

Λιθοσπαδὴ] ὡς λίθου ἀποσπασθέντος ὅπως εἰσέλθῃ ὁ Αἵμων, ἢ, ὑμεῖς ἀποσπάσαντες ἀθρήσατε.

l. 1336. Ἡ θεοῖσι κλέπτομαι] ἢ ἀπατῶμαι ὑπὸ τῶν θεῶν.

l. 1338. Ἠθροῦμεν] ἐθεωροῦμεν.

l. 1340. Βρόχῳ μιτρώδει] μιτρώδη βρόχον λέγει ὅστις ἦν αὐτῇ ζώνη ἀπὸ σινδόνος.

Καθημμένην] τὸν τράχηλον δεδεμένην.

Pag. 301. l. 1351. Πτύσας προσώπῳ] ὅ ἐστιν ἀποστραφεὶς καὶ σκυθρωπάσας, καὶ ἐκ τοῦ προσώπου καταμεμψάμενος οὐ κυρίως προσπτύσας τῷ πατρί. ὡς καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμέν. κατέπτυσεν αὐτοῦ ὅ ἐστι κατεφρόνησε τῶν λόγων αὐτοῦ. οὐχ εἷλκε δὲ τὸ ξίφος κατὰ τοῦ πατρὸς, ὥσπερ ᾤετο. εἶπε γὰρ ἄνω ἡ δὲ οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά. ὁ ἄγγελος δὲ οὔπω νομίζων ἀπαγγέλλει.

l. 1352. Διπλοῦς κνώδοντας] ἀντὶ τοῦ διπλᾶς ἀκμὰς] ἀμφήκης γὰρ τὸ ξίφος κνωδόντων δὲ, τὸ ὀξὺ τοῦ ξίφους, παρὰ τὸ καίνειν τοῖς ὀδοῦσι.

l. 1355. Μέσσον ἔγχος] τὸ ἔγχος οἱ τραγικοὶ καὶ ἐπὶ ξίφους λαμβάνουσι.

l. 1358. Φοινίου σταλάγματος] τὴν πνοὴν τοῦ φοινίου σταλάγματος ἐκβάλλει τῇ λευκῇ αὐτῆς παρειᾷ. ὅ ἐστιν αἷμα ἐξέπνευσε.

l. 1360. Τέ λελαχὼν] ἐσεῖ γὰρ γαμοῦντας τελείους ἐκάλουν.

l. 1365. Ἐλπίσι δὲ βόσκομαι] νομίζω αὐτὴν μὴ βούλεσθαι δημοσίᾳ θρηνεῖν, ἀλλ' ἐν τῷ οἰκήματι μετὰ τῶν θεραπαινίδων.

l. 1369. Γνώμης γὰρ οὐκ ἄπειρος] οὐκ ἀνόητος (φησὶν) ὑπάρχει, ὥστε δημοσίᾳ ὀδύρεσθαι.

Ἀμαρ

Ἁμαρτάνειν δὲ λέγει νῦν τὸ ἐμφανῶς θρηνεῖν.

l. 1372. Ἀλλ' εἰσόμεσθα] ἀλλ' ἔσω ἀπελθόντες μαθησόμεθα μή τι καὶ μανιώδες κρύφα βουλεύεται, ἀνελεῖν ἑαυτὴν πειρωμένη.

l. 1373. Ἐφήκει] ἀντὶ τοῦ ἥκει.

l. 1374. Μνῆμα τὸν νεκρόν.

Οὐκ ἀλλοτρίαν ἄτην] οὐ δι' ἄλλον ἀποθανόντα. οὐκ ἐξ ἄλλου νεκρωθέντα.

l. 1377. Θανατόεσσα] θανάτου ἄξια. ἢ θανάτου αἴτια.

l. 1379. Ἄνολβα] ἀνωφέλητα.

l. 1380. Νέος νέῳ ξυμμόρῳ] νέᾳ ἡλικίᾳ καὶ καινοπρεπεῖ θανάτῳ τετελεύτηκας.

Pag. 303. l. 1386. Δίκην ἰδεῖν] γράφεται ἔχειν.

l. 1390. Ἀγρίαις ὁδοῖς] ἀγρίαις ὁρμαῖς.

l. 1391. Λακπάτητον] τὴν μεθ' ὕβρεως ἀπωθουμένην. ἢ τὴν μεγάλως καταπατουμένην.

Λακπάτητον ἀντρέπων χαρὰν] τὴν χαρὰν λὰξ πατήσας.

l. 1394. Τὰ μὲν πρὸ χειρῶν] ὡς τοῦ Κρέοντος τὸν παῖδα βαστάζοντος.

l. 1397. Παμμήτωρ] ἡ κατὰ πάντα μήτηρ. ἐμφαντικῶς δὲ εἶπεν, ὅτι καὶ μέχρι θανάτου μήτηρ ἐδείχθη, μὴ ἑλομένη ζῆν μετὰ τὸν τοῦ παιδὸς θάνατον.

l. 1400. Κακάγγελτα] κακὴν ἀπαγγελίαν ἔχοντα.

l. 1402. Ἐπεξειργάσω] ἐπέσφαξας.

l. 1404. Σφάγιον γυναικεῖον] τὸν ἀπὸ σφαγῆς τῆς γυναικὸς μόρον.

Ἐπ' ὀλέθρῳ] τοῦ Αἵμονος.

l. 1406. Ὀυ γὰρ ἐν μυχοῖς ἔτι] ἐγκέκλεισται ἡ γυνή.

Pag. 305 l. 1411. Τὰ δ' ἐναντία] γράφεται, τὸ δὲ ἔναντα.

l. 1413. Ὀξύθηκτος] ὀξεῖαν λαβοῦσα πληγήν.

Ἡ δὲ βωμία πέριξ] ὡς ἱερεῖον περὶ τὸν βωμὸν ἐσφάγη περιπετής.

l. 1314. Λύει κελαινὰ] ἀπόλλυται.

l. 1315. Τοῦ πρὶν θανόντος Μεγαρέως] ὡς αὐτῆς προγαμηθείσης Μεγαρεῖ τινι πρὸ τοῦ Κρέοντος. οἱ δέ φασι τοῦ Μενοικέως τοῦ ἀποσφάξαντος ἑαυτόν· πρότερον γὰρ Μεγαρεὺς ἐκαλεῖτο. ἐν δὲ τῷ τυράννῳ Οἰδίποδι καὶ αὐτὸς Μενοικέα αὐτὸν καλεῖ.

l. 1217. Ἐφυμνήσασα] καταρασαμένη σοι ὡς παιδοκτόνῳ.

l. 419. Ἀνίπταν φόβῳ] ἐσείσθην. ἐταράχθην.

Ἀνταίαν] γράφεται καιρίαν.

l. 1423. Τῶνδε κἀκείνων] τοῦ τὴν γυναῖκα καὶ τὸν υἱὸν ἀποθανεῖν.

l. 1424. Ἐπισκήπτου] κακῶς ἔλεγου. τελευτώσης αὐτῆς ἐνόμιζου ἐπιγράφου.

l. 2425. Ποίῳ δὲ] τίνι τρόπῳ (φησι) ἐλύετο καὶ ἐφέρετο εἰς φονάς; ἀντὶ τοῦ, ποίῳ τρόπῳ εἰς φόνον ἔπεσε;

l. 1428. Τάδ' οὐκ ἐπ' ἄλλον οὐδεὶς ἀνθρώπων ταῦτα ἐπὶ ἄλλον ἀπὸ τῆς ἐμῆς αἰτίας μεθαρμόσει. ὅ ἐστι, τοῦ σοῦ φόνου. ἤ, οὐδεὶς ἂν εἴποι ἕτερον τῶν ἀνθρώπων αἴτιον ἀλλ' ἐμέ.

l. 1433. Τὸν οὐκ ὄντα] τὸν οὐκ ὄντα ὅλως, μᾶλλον δὲ μηδένα.

l. 1434. Κέρδη παραινεῖς, εἴτι κέρδος ἐν κακοῖς] κέρδος μεταφωνεῖς τὸν θάνατον. παρὰ τοῦτο γὰρ τὰ κράτιστα κακὰ ἀπαλλάσσεται, καὶ βραχύτατα γίγνεται, τουτέστιν, ἐλάχιστα γίγνεται. ἐν ἄλλοις δὲ οὕτω, τὰ μικρὰ τῶν κακῶν λυσιτελέστερά ἐστιν ὡς ἂν κακά. ἢ οὕτως, τὰ ἐν ποσὶ κακά, ἂν ἐλάχιστα ᾖ κράτιστά ἐστιν. ἢ οὕτως, βραχέα γὰρ τὰ κακά, ἐάν τις ἀναχωρῇ, ἢ τὰ μικρὰ τῶν κακῶν. λυσιτελέστερά ἐστι. τὸ γὰρ ταχέως φεύγειν τὰ ἐν ποσὶ κακά, κράτιστόν ἐστιν.

l. 1437. Φανήτω μόρων] ὁ ἐμὸς θάνατος μείζων τούτων τῶν κακῶν.

l. 1438. Τερμίαν] τῆς τελευτῆς παρασκευαστικήν. τέρμα γὰρ τὸ τέλος.

Pag. 307. l. 1441. Μέλλοντα ταῦτα] δεύτερα.

l. 1442. Ὅτοισι χρὴ] τοῖς θεοῖς.

l. 1443. Ἀλλ' ὧν ἐρῶ] ὧν βουλόμεθα τυχεῖν, ταῦτα ηὐξάμην.

l. 1444. Πάντα γὰρ λέχρια] ἤγουν πλάγια καὶ πεπτωκότα, τὰ μὲν ἐν χερσὶ τὰ δὲ ἐπὶ τῇ κεφαλῇ.

l. 1451. Δυσκόμιστος] ἀφόρητος.

l. 1452. Πολλῷ τὸ φρονεῖν] τὸ καλῶς φρονεῖν, πρῶτόν ἐστιν εὐδαιμονίας, καὶ τοῖς ἀνθρώποις ἐξοχώτατον.

l. 1454. Μεγάλοι δὲ λόγοι] αἱ μεγαλορρημονίαι τῶν ὑπερηφάνων, τιμωρίας μεγίστας τοῖς κεκτημένοις ἐπάγουσαι, τελευταῖον διδάσκουσι τὸ φρονεῖν. καὶ ὁ ποιητής, Ῥεχθὲν δέ τε νήπιος ἔγνω. ἰστέον δ' ὅτι διαφέρει τῆς Εὐριπίδου Ἀντιγόνης αὕτη, ὅτι φωραθεῖσα ἐκείνη, διὰ τὸν Αἵμονος ἔρωτα ἐξεδόθη πρὸς γάμον· ἐνταῦθα δὲ τοὐναντίον.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΤΩΝ ΠΑΝΥ ΔΟΚΙΜΩΝ ΕΙΣ ΟΙΔΙΠΟΔΑ ΕΠΙ ΚΟΛΟΝΩ.

Pag. 311. l. 1. Τέκνον τυφλοῦ γέροντος] Οἰδίπους εἰς Ἀθήνας παραγινόμενος, ἐρωτᾷ τὴν θυγατέρα Ἀντιγόνην,

l. 3. Τίς τὸν πλανήτην Οἰδίπουν] ἔστι μὲν ἀφ' ἑτέρας ἀρχῆς λαμβάνοντα λέγειν οὕτω, τίς τὸν πλανήτην Οἰδίπουν δέξεται; ἢ, τίς ἡμᾶς σήμερον ὑποδέξεται; δύναται δὲ καὶ τοῖς ἄνω συνάπτεσθαι, τοῦ τίς μὴ πυσματικῶς κειμένου, ἀλλ' ἀντὶ τοῦ ἡ ἄρθρου· ὥστε τὴν πόλιν συντετάχθαι, καὶ τὸν λόγον ἔχειν οὕτως, τίνας χώρους ἀφίγμεθα, ἢ τίνων ἀνδρῶν πόλιν, ἣ τὸν πλανήτην Οἰδίπουν δέξεται; ὅτι δὲ τῷ τις ἀντὶ ἄρθρου χρῶνται, Καλλίμαχός φησιν οὕτως, Ὑπεὶρ ἅλα κεῖνος ἐνάσθη Ἀλκάθοόν τις ἄπλυστος. ἠθικώτερον δὲ τὸ πρῶτον.

l. 4. Σπανιστοῖς] εὐτελέσι. τοῖς κατὰ σπάνιν τοῦ αἰτοῦντος διδομένοις.

l. 6. Μεῖον φέροντα] βραχύτερον ἀποφερόμενον τοῦ αἰτηθέντος. οὐ γὰρ ὅσα αἰτεῖ τις λαμβάνει.

Καὶ τοῦδ' ἐξαρκοῦν] ὅμως γοῦν τούτοις ἀρκούμενος.

l. 7. Στέργειν γὰρ αἱ πάθαι με] ταῦτά με στέργειν, τὰ δυστυχήματα καὶ ὁ πολὺς πεποίηκε χρόνος, καὶ τὸ τῶν συμφορῶν πλῆθος, καὶ τὸ τῆς ἀνδρείας πλεονέκτημα. πάθαι γὰρ αἱ συμφοραί. ἀπὸ κοινοῦ δὲ τὸ διδάσκει. ἀντὶ τοῦ εἴθισμαι τῷ πολλῷ χρόνῳ, καὶ μεμελέτηκα τῆς τύχης τὰ δύσκολα.

l. 9. Θάκοισι] καθέδραις.

l. 10. Ἢ πρὸς βεβήλοις] βατοῖς. βέβηλος γὰρ τόπος, ὁ ἀκάθαρτος καὶ βατὸς πᾶσι. καὶ βέβηλος ἀνήρ, ὁ μιαρός. Εὐριπίδης Πρωτεσιλάῳ, Οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων. καὶ, Ἀείδω ξυνετοῖσι. θύρας δ' ἐπίθεσθε βέβηλοι. βεβήλοις οὖν, τοῖς πᾶσι βασίμοις τόποις μηδὲ ἀνειμένοις θεοῖς. ἐκ μεταφορᾶς δὲ βεβήλους, καὶ τοὺς ἀμυήτους φασὶ καὶ ἀκαθάρτους. Σοφοκλῆς δὲ ἐν συνδείπνῳ, βέβηλον τὸν ἰδιώτην φησί.

l. 11. Στῆσόν με] στῆσόν με ἐκ τῆς ὁδοιπορίας καὶ μαθησόμεθα.

l. 12. Μανθάνειν γὰρ ἥκομεν εἰς γὰρ τοῦτο (φησὶ) ἐληλύθαμεν ἅτε δὴ ξένοι ὄντες, παρὰ τῶν ἀστῶν μανθάνειν τί δεῖ πρακτέον ἡμῖν.

l. 14. Πάτερ ταλαίπωρ' Οἰδίπους] οὐκ ἐμπαροινεῖν βουλομένη τῷ πατρὶ ταλαίπωρον ἀποκαλεῖ, ἀλλὰ τοῦ πάθους παριστῶσα τὸ μέγεθος. πωρεῖν δὲ οἱ Ἠλεῖοι τὸ πενθεῖν φασί. καὶ Ἀντίμαχος, Πῶρος τοί γ' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος. παρὰ τοῦτο οὖν ταλαίπωρος ἐτυμολογεῖται.

l. 15. Ὡς ἀπ' ὀμμάτων πρόσω] γράφεται ὡς ἀνομμάτῳ ὅ ἐστιν, ὡς τυφλῷ σημᾶναι, πρόσω εἰσίν. ὡς ἄν τις πρόσω ἀφορῶν τεκμήραιτο ὡς ἄν τις τὰ ὄμματα πόῤῥω ἔχων.

l. 16. Ὡς ἀπεικάσαι] ὡς ἔστιν ἐκ προόψεως τεκμήρασθαι.

l. 17. Πυκνόπτεροι δ' εἴσω] διὰ τὰ κατὰ τὸν χῶρον. ἐκράτησε δὲ μεγάλως τῇ

φρά

φράσῃ ὥστε μέλισσαν αὐτὸν ἐκάλεσαν οἱ κωμικοί.

l. 18. Ἐυστομοῦσιν] εὐφθογγοῦσιν. εὐφώνως ᾄδουσιν.

l. 19. Ἐπ' ἀξέστου πέτρου] γράφεται πάγου. ἐπὶ τοῦ λιθίνου βάθρου.

l. 20. Μακρὰν γὰρ ὡς γέρ.] προῆλθες μακροτέραν ὁδὸν ἢ ὡς ἥρμοζε γέροντι.

l. 22. Χρόνου μὲν οὕνεκα] ἀντὶ τοῦ, δεδίδαγμαι τῷ χρόνῳ τὸ φυλάττειν σε ὁδηγοῦσα. σύνηθες οὖν τὸ πρᾶγμα. Εἰς τὸ αὐτό. τοῦ μὲν χρόνου οὐ σύνειμί σοι χάριν, οὐ χρεία μαθεῖν ὅτι τυφλὸς εἶ, καὶ ὅτι δεῖ σε προμηθείας τυχεῖν.

l. 24. Τὰς γοῦν Ἀθήνας οἶδα] ὅτι ἐν τῇ ἀττικῇ ἐσμὲν οἶδα. τίς δέ ἐστιν ὁ δῆμος, ἀγνοῶ.

l. 25. Πᾶς γάρ τις ηὔδα] τί ηὔδα; ὅτι αὐταί εἰσιν Ἀθῆναι.

Ἐμπόρων] ἀντὶ τοῦ ὁδοιπόρων διὸ τὸ χ.

l. 26. Η μάθω] ἐν ἐρωτήσει ὁ λόγος. βούλει μάθω τίς ὁ περὶ τοῦ ἄστεος τόπος.

l. 27. Ἐξοικήσιμος] ἀντὶ τοῦ ἐνοικήσιμος.

l. 28. Οἴομαι δὲ δεῖν οὐδὲν] οὐ δεῖν τοῦ προσελθοῦσαν ἐρωτῆσαί με. ἰδοὺ γὰρ ἀνὴρ πάρεστι παρ' οὗ εἰσόμεθα, δηλονότι, οὐκέτι δεῖν ἔοικε προσιοῦσαν μανθάνειν περὶ τοῦ τόπου. καλῶς δὲ τὰ τῆς οἰκονομίας ἵνα μὴ μόνος ὁ Οἰδίπους ἀπολειφθῇ.

l. 30. Η δεῦρο] κατ' ἐρώτησιν.

l. 31. Χὤτι σοι λέγειν] καὶ ὅπερ σοι λέγειν εὔκαιρον νομίζεις, λέγε· ἀκούεται γάρ.

l. 33. Τῆς ὑπέρ τ' ἐμοῦ αὐτῆς θ' ὁρ.] τουτέστιν, ὑπὲρ ἀμφοῖν ὁρώσης.

l. 34. Ὁουνεχ' ἡμῖν αἴσιος] ὅτι αἴσιος ἡμῖν σκοπὸς ἀφῖξαι ὥστε φράσαι περὶ ὧν ἀγνοοῦμεν· ἤ, ὥστε φράσαι ἡμῖν ἃ σοι λέξομεν.

l. 36. Πρὶν νῦν τὰ πλείονα] ἀπόστηθι πρῶτον τῶν ἀβάτων, καὶ τότε ἐρώτα.

Pag. 313. l. 36. Χῶρον οὐχ ἁγνὸν] δηλονότι, σοὶ οὐκ ἁγνὸν, εἰ μὴ μόνοις ἱερεῦσιν ἢ δηλονότι, οὐκ ἀνειμένον καὶ βατόν.

l. 38. Αἱ γὰρ ἔμφοβοι θεαὶ] Φύλαρχός φησι δύο αὐτὰς εἶναι, τά τε Ἀθήνησιν ἀγάλματα, δύο. Πολέμων δὲ τρεῖς αὐτάς φησι.

l. 41. Τὰς πάνθ' ὁρώσας Εὐμενίδας] Ἐπιμενίδης Κρόνου φησὶ τὰς Εὐμενίδας, Ἐκ τοῦ καλλίκομος γένετο χρυσῆ Ἀφροδίτη, Μοῖραί τ' ἀθάνατοι, καὶ ἐριννύες αἰολόδωροι. Ἴστρος δὲ ἐν τῇ τετάρτῃ μητέρα τῶν Εὐμενίδων Εὐωνύμην ἀναγράφει, ἣν νομίζεσθαι γῆν, ἔνιοι δὲ μεταβαλεῖν αὐτῶν φασὶ τὸ ὄνομα ἐπὶ Ὀρέστη. τότε γὰρ πρῶτον Εὐμενίδας κληθῆναι, εὐμενεῖς αὐτῷ γενομένας, κριθέντι νικᾶν παρ' Ἀθηναίοις, καὶ ὁλοκαυτώσαντι αὐταῖς ὄϊν μέλαιναν ἐν Καρνίᾳ τῆς Πελοποννησίας. Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς σεμνὰς θεὰς τῶν Εὐμενίδων.

l. 42. Εἴποι λεὼς νιν] ἀντὶ τοῦ αὐτάς. διὸ τὸ Χ.

Ἀλλ' ἄλλα ἀλλαχοῦ καλὰ] παρ' ὅσον ἄλλοι ἄλλοις ὀνόμασι καλοῦσιν αὐτάς. ἄλλα ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας.

l. 43. Ἀλλ' ἵλεῳ μὲν] ἵλεῳ μοι αἱ Εὐμενίδες. ἐγὼ γὰρ οὐκ ἀναστήσομαι ἐντεῦθεν.

l. 45. Τί δ' ἐστὶ τοῦτο] ἀντὶ τοῦ, διὰ τί οὐκ ἀνίστασαι;

l. 46. Ξυμφορᾶς ξύνθημα] σύμβολόν μοι τῆς συμφορᾶς, τὸ καταντῆσαι με εἰς ἐριννύων ἱερόν.

l. 48. Πρίν γ' ἂν ἐνδείξω] ἕως οὗ τῇ πόλει ἐνδείξω τί χρὴ ποιεῖν.

l. 50. Προστρέπω] ἱκετεύω.

l. 55. Ὁ πυρφόρος θεὸς] ὁ Ἥφαιστος.

l. 56. Τιτὰν Προμηθεὺς] περὶ τοῦ τὸν Προμηθέα περὶ Ἀκαδημίαν καὶ τὸν Κολωνὸν ἱδρῦσθαι, Ἀπολλόδωρος γράφει οὕτως, Συντιμᾶται δὲ καὶ ἐν Ἀκαδημίᾳ τῇ Ἀθηνᾷ, καθάπερ ὁ Ἥφαιστος· καὶ ἔστιν αὐτῷ παλαιὸν ἵδρυμα καὶ ναὸς ἐν τῷ τεμένει τῆς θεοῦ δείκνυται δὲ καὶ βάσις ἀρχαία κατὰ τὴν εἴσοδον, ἐν ᾗ τοῦ τε Προμηθέως ἐστὶ τύπος καὶ τοῦ Ἡφαίστου. πεποίηται δὲ, ὡς καὶ Λυσιμαχίδης φησὶν, ὁ μὲν Προμηθεὺς, πρῶτος καὶ πρεσβύτερος ἐν δεξιᾷ σκῆπτρον ἔχων· ὁ δὲ Ἥφαιστος, νέος καὶ δεύτερος. καὶ βωμὸς ἀμφοῖν κοινός ἐστιν ἐν τῇ βάσει ἀποτετυπωμένος.

l. 57. Χαλκόπους ὀδὸς] ὡς οὕτω τινὸς καλουμένου τόπου ἐν τῷ ἱερῷ, χαλκόποδος ὀδοῦ. φησὶ δὲ Ἀπολλόδωρος δι' αὐτῆς κατάβασιν εἶναι εἰς ᾅδου. καὶ Ἴστρος δὲ μνημονεύει τῆς χαλκῆς ὀδοῦ. καὶ Ἀστυδάμας. καί τις τῶν χρησμοποιῶν φησὶ, Βοιωτοὶ δ' ἵπποιο ποτιστείχουσι Κολωνὸν, Ἔνθα λίθος τρικάρανος ἔχει καὶ χαλ-

χάλκεος ὁδός. τὸ ἑξῆς, ὃν δ' ἐπισείβεις τόπον χθονὸς τῆσδε, καλεῖται χαλκόπους ὁδός. οὕτως δὲ ἐκαλεῖτο διὰ τὸ εἶναι μέταλλα χαλκοῦ ἐν τῷ Κολωνῷ.

l. 58. Οἱ δὲ πλησίοι γύαι] γράφεται, αἱ δὲ πλησίον γύαι.

61. Τὸ τοῦδε κοινὸν] τὸ τοῦ Κολωνοῦ ὄνομα κοινὸν φέρουσι πάντες, ὠνομασμένοι Κολωνιάται δηλονότι.

l. 63. Ἀλλὰ τῇ ξυν. πλέον] τῷ ἔργῳ καὶ τῇ πείρᾳ πλέον τιμώμενα, οὐ τοῖς λόγοις.

l. 65. Ἐπώνυμον] Κολωνιάται καλούμενοι.

l. 66. Ἡ 'πὶ τῷ πλήθει λόγος] ἢ ἐν τῷ πλήθει ἐστὶν ἡ ἰσχύς, τουτέστι, δημοκρατοῦνται.

l. 71. Ἢ καταρτύσων μόλοι] παρασκευάσων. εὐτρεπίσων. Ὅμηρος. Ἠρτύναντο δ' ἐρετμά. καὶ Κλυταιμνήστρα δόλον ἤρτυε. τὸ δὲ ἑξῆς, ὡς τί προσλέξων αὐτῷ μόλοι τις. ἢ πρὸς τὶ εὐτρεπίσων αὐτὸν μολεῖν.

l. 72. Ως ἂν προσαρκῶν] τὰ αὐτὰ αὖθις ἐρεῖ, ὅτι ἐπ' ὠφελείᾳ τοῦτο γίγνεται τῶν δεχομένων αὐτὸν καὶ θαπτόντων, ἐπὶ βλάβῃ δὲ τῶν ἀποπεμψάντων.

l. 76. Τοῦ δαίμονος] τῆς τύχης.

l. 77. Αὐτοῦ] αὐτόθι.

Pag. 315. l. 84 Ω πότνι', ὦ δεινώπες] τὸ ἐντελὲς ὦ πότνιαι. ὁ δὲ νοῦς, οὕτως, ἐπειδὴ ἦλθον πρὸς ὑμᾶς, μὴ ἐναντιωθῆτέ μοι καὶ τῷ χρήσαντί μοι Ἀπόλλωνι

Εὖτε νῷν] ὅτε. ἐπειδή.

l. 86. Ἀγνώμονες] ἐναντιογνώμονες. ἀσύγγνωστοι.

l. 88. Χώραν τερμίαν] τερμίαν αὐτῷ, εἱμαρμένην. ἐφ' οἷς ἔμελλε τὸ τέλος τοῦ βίου ἀνύσειν.

l. 89. Καὶ ξενόστασιν] γράφεται καὶ κατάστασιν.

l. 90. Ἐνταῦθα κάμψειν] εἰσὶ γε οἵ φασι τὸ μνῆμα τοῦ Οἰδίποδος ἐν ἱερῷ Δήμητρος εἶναι Ἐτεωνῷ, μεταγαγόντων αὐτὸν ἐκ Κεοῦ τινος ἀσήμου χωρίου. καθάπερ ἱστορεῖν φησιν Ἀρίζηλον Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ τρισκαιδεκάτῳ τῶν Θηβαϊκῶν, γράφων οὕτως, Οἰδίπου δὲ τελευτήσαντος, καὶ τῶν φίλων ἐν Θήβαις θάπτειν αὐτὸν διανοουμένων, ἐκώλυον οἱ Θηβαῖοι διὰ τὰς προγεγενημένας συμφοράς, ὡς ὄντος ἀσεβοῦς. οἱ δὲ, κομίσαντες αὐτὸν εἴς τινα τόπον τῆς Βοιωτίας καλούμενον Κεὸν ἔθαψαν αὐτόν. γιγνομένων δὲ τοῖς ἐν τῇ κώμῃ κατοικοῦσιν ἀτυχημάτων τινῶν, οἰηθέντες αἰτίαν εἶναι τούτων τὴν Οἰδίπου ταφὴν, ἐκέλευον τοὺς φίλους ἐκβαλεῖν αὐτὸν ἐκ τῆς χώρας. οἱ δὲ ἀπορούμενοι τοῖς συμβαίνουσιν, ἀνελόντες ἐκόμισαν εἰς Ἐτεωνόν. βουλόμενοι δὲ λάθρα τὴν ταφὴν ποιήσασθαι, καταθάπτουσι νυκτὸς ἐν ἱερῷ Δήμητρος, ἀγνοήσαντες τὸν τόπον. καταφανοῦς δὲ γενομένου, πέμψαντες οἱ τὸν Ἐτεωνὸν κατοικοῦντες, τὸν θεὸν ἐπηρώτων τί ποιήσουσιν. ὁ δὲ θεὸς εἶπε μὴ κινεῖν τὸν ἱκέτην τῆς θεοῦ. διόπερ αὐτοῦ τέθαπται. τὸ δὲ ἱερὸν φασιν Οἰδιπόδειον κληθῆναι.

l. 91. Κέρδη μὲν οἰκήσοντα] ὁ ποιητὴς χαριζόμενος τοῖς Ἀθηναίοις τοῦτό φησιν· ἐδήουν γὰρ τότε Βοιωτοὶ καὶ Ἀθηναῖοι πρὸς ἀλλήλους διαφέρεσθαι.

l. 94. Η σεισμὸν, ἢ βροντὴν] ταῦτα ἐπὶ τέλους τοῦ δράματος γίγνονται.

l. 96. Οὐκ ἔσθ' ὅπως οὐ πιστὸν] ἔστι, κατὰ διάνοιαν, φησὶν, ἐξ ὑμῶν τῶν θεῶν εἰς τὸν τόπον ἀφῖγμαι.

Πτερὸν] οἰωνὸν, τὴν πλήρωσιν τῆς διανοίας.

l 99. Νήφων ἀοίνοις] ἀοίνους αὐτὰς λέγει ὅτι οὐ σπένδεται οἶνος αὐταῖς, ἀλλ' ὕδωρ. διὸ καὶ νηφάλιαι καλοῦνται αἱ σπονδαὶ αὐτῶν. Πολέμων δὲ ἐν τῷ πρὸς Τίμαιον, καὶ ἄλλοις τισὶ θεοῖς νηφαλίους φησὶ θυσίας γίγνεσθαι, γράφων οὕτως, Ἀθηναῖοί τε γὰρ ἐν τοῖς τοιούτοις ἐπιμελεῖς ὄντες, καὶ τὰ πρὸς τοὺς θεοὺς ὅσιοι, νηφάλια μὲν ἱερὰ θύουσι Μνημοσύνῃ, Μούσαις, Ἠοῖ, Ἡλίῳ, Σελήνῃ, Νύμφαις, Ἀφροδίτῃ οὐρανίᾳ. Φιλόχορος δὲ καὶ περί τινων ἄλλων θυσιῶν τὸν αὐτὸν τρόπον δραμμένων φησὶν ἐν τῇ δευτέρᾳ τῶν Ἀτθίδων, Διονύσῳ τε καὶ ταῖς Ἐρεχθέως θυγατράσι. καὶ οὐ μόνον θυσίας νηφαλίους ἀλλὰ καὶ ξύλα τινὰ ἐξέκαιον. Κράτης μὲν οὖν ὁ Ἀθηναῖος τὰ μὴ ἀμπέλινα τῶν ξύλων πάντα νηφάλια φησὶ προσαγορεύεσθαι. ὁ δὲ Φιλόχορος ἀκριβέστερόν φησι, τὰ μήτε ἀμπέλινα, μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν θύμων, νηφάλια καλεῖσθαι· καὶ πρῶτον φησὶν ὕλη πρὸς τὰς ἐμπύρους θυσίας ταύτῃ κεχρῆσθαι. ἐξ οὗ καὶ τουνομα λαβεῖν τὸν θύμον, ὡς παρὰ τὴν θυμίασιν καὶ τὴν θυσίαν πεποιημένης τῆς φωνῆς. εἰσὶ δὲ καί τινες τὸ παράπαν ἄσπονδοι θυσίαι κατὰ τύχην εἰς ἔθος παρελθοῦσαι.

Κἀπὶ σεμνὸν ἑζόμην] ὃ ἄνω εἶπε, τοῦδ' ἐστ' ἀξέστου πέτρου.

l. 100.

l. 100. Ἀσκέπαρνον] ἄγλυφον, καὶ ἀπελέκητον, καὶ ἄξυστον. οὐκ εἰργασμένον.

l. 102. Πέρασιν ἤδη] πέρασιν, ἀντὶ τοῦ πέρας, ὅ ἐστι τελευτήν. τὸ δὲ ἑξῆς, βίου πέρασιν.

l. 103. Εἰ μὴ δοκῶ τι μειόνως] εἰ μὴ δοκῶ ὑμῖν ἐλαττόνως ἔχειν τὰ κακὰ, καὶ δεῖσθαι προσθήκης κακῶν.

l. 105. Ἴτ' ὦ γλυκεῖαι] εὐφήμως τὰς ἐριννύας γλυκείας φησὶν, ἵνα μὴ πικραὶ αὐτῷ γένωνται.

l. 110. Σῖγα πορεύονται] τὴν εἰσαγωγὴν τοῦ χοροῦ εὐαφόρμως θέλει ποιήσασθαι.

l. 112. Σιγήσομαί τε] ἵνα μὴ πρὸς τούτους ὁ χορὸς προσπυνθανομένους γένηται, ἀλλὰ τηρηθῇ Θησεῖ παραγιγνομένῳ.

l. 114. Τίνας λόγους ἐροῦσι] δεῖ νοεῖν ὅτι ἐκρύβη εἰς τὸ ἄλσος.

Ἐν γὰρ τῷ μαθεῖν] ἐν γὰρ τῷ προμαθεῖν ἔννοια καὶ σκέψις γίγνεται. οὐ γὰρ τὸν φόβον φησίν.

l. 116. Ὅρα τίς ἄρ' ἦν] ὁ χορὸς ἐν τὴν ἐπιχωρίαν ἀνδρῶν πεπυσμένος ὅτι προσκαθίζεταί τις τῷ ἱερῷ τόπῳ τούτῳ, τὰ πρῶτα ὑποχαλεπαίνοντες φασι, τίς ἄρα ἐστίν; ἢ ποῦ διατρίβει;

l. 117. Ἐκτόπιος συθεὶς] ἀπὸ ξένου τόπου ὁρμήσας.

l. 118. Ὁ πάντων ἀκορέστατος] παρ' ὅσον οὐδεὶς αὐτῷ τῶν ἄλλων ἤρκεσε τόπων, ἀλλ' ἐπὶ τοῦτον ἦλθεν ἀφόβως. δῆλον, ὁ μηδενὶ τῶν ἄλλων τόπων ἀρκεσθεὶς, ἀλλ' ἐπὶ τοῦτον ἥκων ἀπληρώτως, ὅτι τοσούτου τόπου παρακειμένου, εἰς τὸ ἄβατον ὥρμησεν.

Pag. 317. l. 121. Οὐδ' ἔγχωρος] πάντως (φησὶ) ξένος ἐστὶν, ἀγνοῶν. οὐ γὰρ ἂν ἐπέβαινεν εἰ ᾔδει.

l. 123. Ἀστιβὲς] ἄβατον, ἀπροσπέλαστον.

l. 124. Ἀμαιμακετᾶν] ἀκαταμαχήτων, ἢ ἀπροσπελάστων.

l. 126. Καὶ παραμειβόμεσθ' ἀδέρκτως] οὐ προσβλέποντες, ἀλλ' ἢ καταμύοντες, ἢ κύπτοντες.

l. 127. Ἀφώνως. ἀλόγως] παριόντες (φησὶν) ἐπὶ ταύτας τὰς θεὰς, ἄλλου οὐδενὸς λόγον ποιούμεθα, ἀλλὰ σιωπὴν ἔχομεν. ἐν ἑαυτοῖς δὲ μόνον καὶ κατὰ διάνοιαν εὐφημότερον διαλεγόμεθα. ὁποῖοι γιγνόμεθα ὅταν μάλιστα ἔν τινι φρικωδεστάτῳ γενώμεθα φόβῳ. ἄκρας δὲ καινότερον διανόημα ἐξιλεῶσι κε μετὰ κατασιωπῆς.

l. 128. Εὐφήμου στόμα φροντίδος] στόμα λέγει τὴν φωνήν. στόμα γὰρ ἡ φωνή. Ὅμηρος, Πολέμου στόμα. καὶ Σοφοκλῆς, Χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς. ὁ δὲ νοῦς, τὴν φωνὴν τῆς εὐφήμου φροντίδος ἱέντες. ὅ ἐστι, μετὰ φροντίδος πολλῆς εὐφήμως τὴν φωνὴν ἀφιέντες. ἤγουν εὐφημοῦντες καὶ καθ' ἑαυτοὺς συλλογιζόμενοι εὔφημα. οἱ δὲ τὸ εὐφήμου ἀντὶ τοῦ σιωπηλῆς. τὸ γὰρ εὐφημεῖν καὶ ἐπὶ τοῦ σιωπᾶν τάττεται.

l. 130. Οὐδὲν ἅζονθ'] οὐδὲν σέβοντα. ἀσεβῆ. γράφεται, οὐδὲν λιάζοντα, ἀντὶ τοῦ, οὐκ ἐκτρεπόμενον ἃ προσήκει.

l. 131. Ὃν ἐγὼ λεύσσων] τὸ ἑξῆς, ὃν ἐγὼ λεύσσων περὶ πᾶν τέμενος, οὔπω δύναμαι γνῶναι ποῦ μοι ποτὲ ναίει. ἤγουν διατρίβει.

l. 135. Τὸ φατιζόμενον] τὸ λεγόμενον παρ' ὑμῶν.

l. 137. Δεινὸς μὲν ὁρᾶν] ἀσεβής. οὔπω ἀκριβῶς αὐτὸν ἑωρακότες, τοῦτό φασι.

l. 138. Προσίδειν τ' ἄνομον] λείπει τὸ ὡς, ἵν' ᾖ, ὡς ἄνομον.

l. 140. Οὐ πάνυ μοίρας] οὐ πάνυ μοίρας εἰμὶ πρώτης εἰς τὸ εὐδαιμονίσαι. ἤγουν, οὐκ ἀγαθῆς μοίρας εἰμὶ, ἀλλὰ κακῆς. ἤγουν, οὐ πάνυ τῆς πρώτης κατ' εὐδαιμονίαν μοίρας, τοὐναντίον δὲ τῆς κατὰ δυσδαιμονίαν ἐσχάτης.

l. 142. Δηλῶ] δηλῶ τὸ δυστυχὲς διὰ τῶν ὀφθαλμῶν.

l. 144. Κἀπὶ σμικροῖς μέγας] ἤγουν ἐπὶ εὐτελέσιν αἰτήμασιν οὐκ ἂν σφόδρα ἱκέτευον, εἰ μὴ ἦν δυστυχής. τοῦτο δέ φησι παρ' ὅσον μέγας ὢν κατὰ μέγεθος καὶ τὴν ἡλικίαν, ὑπὸ σμικρᾶς τῆς θυγατρὸς ὁδηγεῖται.

l. 145. Ἦσθα φυτάλμιος δυσαίων] ἀπὸ φύτλης, ἀπὸ γενέσεως, καὶ ἐξ ἀρχῆς τυφλὸς πέφυκας.

Δυσαίων] δυστυχὴς καὶ γέρων εἶ, ὡς ἔστι στοχάζεσθαι ἐκ τοῦ εἴδους. φυλακτικῶς δὲ καὶ τοῦτο λέγουσιν, ἄρτι ἑωρακότες αὐτοῦ τὸ σχῆμα. τὰ πρῶτα γὰρ οὐχ ἑωρακότες αὐτὸν ἀλλ' ἀγνοοῦντες, φασὶν, ἆρα πρὸς ἦσθα καὶ τοιοῦτος ἐγεννήθης; οὐδέπω γὰρ τἄλλα παθήματα ἴσασιν αὐτοῦ.

l. 146. Μακραίων τ' ἔθ', ὡς ἐπεικάσαι] λείπει τὸ εἶ.

l. 147. Ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ] ἀλλ' οὐκ ἄν με (φησὶν) αἰτιάσῃ. ὡς μὴ προμηνύσαντά σοι μὴ εἰσελθεῖν εἰς τόδε τὸ ἱερόν. ἐὰν γάρ τις (φησὶν) ἀγνοοῦντά τινα

καὶ

καὶ μιαίνοντα τόπον ἄβατον μὴ διδάξῃ, αὐτὸς ἐνέχηται ταῖς ἀραῖς. οὐκ ἐμοὶ φιλῶ (φησὶ) προσθήσεις τὴν σὴν ἀράν. παραγγέλλω γάρ σοι μὴ πατεῖν τὸν ἄβατον τόπον.

l. 148. Περᾷς γὰρ, περᾷς] οὕτω Δίδυμος, βαδίζεις γὰρ εἰς ὃ οὐ προσήκει χωρίον ἐπιβαίνειν.

l. 149. Ἀλλ' ἵνα τῷδε] καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν εἰώθαμεν λέγειν οὕτως, ἵνα παραγγέλλῃ πρὸς ἐμέ, βουλόμενοί σοι σημαίνειν. τὸ δὲ ἑξῆς, ἀλλ' ἵνα τῷδε μὴ προσπέσῃς νάπει ποιάεντι, μετάστηθι. ποίῳ νάπει; ὅπου κρατὴρ ὕδατος πλήρης συγκιρνᾶται ῥεύματι γλυκέων ποτῶν.

l. 155. Ἵνα μὴ προσπέσῃς] ἀντὶ τοῦ μὴ προσπέσῃς.

Τῷ δή σ' ἀφθέγκτῳ] τὸ νάπος ἄφθεγκτον εἴρηκε διὰ τὰς προδεδηλωμένας αἰτίας.

l. 156. Κάθυδρος οὗ] ὅπου ὕδατος πλήρης.

l. 157. Μειλιχίων ποτῶν] γλυκέων ποτῶν, ὅ ἐστι μέλιτος, ᾧ μειλίσσουσι τὰς θεάς. συγκιρνᾶται γὰρ ταύταις ταῖς θεαῖς ὕδατος καὶ μέλιτος κρᾶμα.

l. 158. Συντρέχει] συγκιρνᾶται.

Pag. 319. l. 154. Ξένε πάμμορ' εὖ] ὦ περὶ πάντα δυστυχής.

l. 155. Μετάστηθι] ἀπόβηθι. οὕτω πολλά ἐστι τὰ κωλύοντά σε προσμένειν καὶ ἵστασθαι ἐν τῷ ἄλσει.

Πολλὰ κέλευθος ἐρατύει] ἤγουν, πολλή ἐστιν ἡ ὁδὸς διαχωρίζουσά σε ἡμῶν. δεῖ γὰρ νοεῖν ὡς ὅτι πόῤῥωθεν προσφωνοῦσιν αὐτόν, μὴ δυνάμενοι ἐπιβῆναι τῷ τόπῳ. καὶ ταῦτα εἰπόντων, κατὰ μικρὸν ὁ Οἰδίπους προσέρχεται, καὶ ἵσταται ὥσπερ ἐν τῷ οὐδῷ τοῦ χωρίου.

l. 161. Φώνει εἰ θέλεις μέ τι ἐρωτῆσαι] πρῶτον ἀποστὰς τῶν ἀβάτων, καὶ ἐπιβὰς τοῖς βατοῖς τόποις, οὕτως ἐρώτα με.

Πρόσθεν δ' ἀπερύκου] πρότερον δὲ μὴ διαλέγου.

l. 162. Ποῖ τις φροντίδος] λογισώμεθα τί ποιήσομεν.

l. 163. Ἀστοῖς ἴσα χρὴ μελετᾶν] ἃ ἐκεῖνοι ἀσκοῦσιν, τούτων καὶ σὲ δεῖ ἐπιμέλειαν ἔχειν.

l. 164. Εἴκοντας ἃ δεῖ] πρὸς τό, Χρὴ δὲ ξένον μὲν κάρτα πρὸς χωρεῖν πόλει.

l. 168. Σοὶ πιστεύσας] κατά τινα συνέθειαν ποιητικὴν πληθυντικὸν προειπών, ἑνικὸν ἐπέζευξεν.

l. 175. Σὺ γὰρ ἀΐεις] ἤγουν, αἰσθάνῃ τοῦ ἐσμοῦ.

l. 177. Ξεῖνος ἐπὶ ξείνης] ξένος ὢν ἐπὶ ξένης τόλμα ὦ τλᾶμον ταῦτα φιλεῖν, ἃ καὶ ἡ πόλις φιλεῖ· ἐκεῖνα δὲ μισεῖν ἃ καὶ ἡ πόλις μισεῖ.

l. 179. Τέτροφεν] ἔχει.

l. 181. Ἵν' ἂν εὐσεβείας ἐπιβ.] ὅπου ἂν εὐσεβῶς πατοῦντες, τὸ μὲν εἴπωμεν, τὸ δ' ἀκ. ἀντὶ τοῦ τῶν βατῶν τόπων.

l. 184. Καὶ μὴ χρείᾳ πολεμῶμεν] καὶ μὴ τῇ αὐτῶν ἐνδείᾳ ἐναντιώμεθα.

l. 185. Ἀντιπέτρου] ἰσοπέτρου χαλκοῦ.

l. 186. Βήματος] τοῦ κατ' ἴσον βεβηκότος τῷ πέτρῳ, ὅπερ ἄνω εἶχε χαλκοῦν οὐδόν. τοῦτον δὲ τὸν πέτρον ὑποτίθεται τοῦ ἀβάτου ὅρον. Ἄλλως. Βήματος, τοῦ οὐδοῦ ἀντιπέτρου δέ, ὅτι ἀντὶ πέτρας χαλκὸς ἦν.

Κλίνης] γράφεται καὶ κινήσεως.

l. 189. Ηστῶ] ἀντὶ τοῦ καθεστῶ, ἀπὸ τοῦ ἕω. γράφεται ἥστω. ὃ καὶ βέλτιον.

l. 190. Ἐπ' ἄκρον λᾶος] ἀπὸ τῆς λᾶος ἐστὶ παροξυνομένης εὐθείας, ἀπὸ γενικῆς τε, Λᾶος ὑπὸ ῥιπῆς οὕτως Ἡρωδιανὸς ἐν τῷ ε΄ τῆς καθόλου.

Pag. 312. l. 188. Ἐμὸν τόγε] τὸ ὁδηγῆσαί σε. ἢ τὸ ἁρμόσαι σοῦ ἐφ' ἡσυχίας τὴν βάσιν τῇ καθέδρᾳ.

l. 191. Γεραιὸν ἐς χέρα] τὸ ἑξῆς οὕτω, γεραιὸν σῶμα σὸν προσκλίνας ἐς χέρα φιλίαν ἐμήν. τὸ δὲ κλίνας ἀπὸ τῆς μετοχῆς ἤρτηται, ἀντὶ τοῦ κλίνας ἔσω. σχηματίζει δέ πως αὐτὴν καὶ εὐθετίζει Ἀντιγόνη.

l. 194. Ὅτε νῦν χαλᾷς] ὅτε νῦν εἴκεις καὶ οὐκ ἀντιτείνεις τὸ ἐξελθεῖν λέγει δὲ ἐκ τοῦ ἱεροῦ.

l. 194. Τίς σε ἔφυ] γράφεται καὶ τίς ἔφυς.

l. 196. Τίς ὢν πολύπονος ἄγῃ] γράφεται καὶ τίς ὁ πολύπονος. τίς ὢν ἄγῃ ἀπὸ τῆς σῆς πόλεως, ἢ οὕτως, τίς ὢν διὰ πολλῶν πόνων ἄγῃ.

l. 198. Ἀπόπτολις] ἔρημος καὶ ἄπολις εἰμί.

Ἀλλὰ μὴ] τὸ ἑξῆς, ἀλλὰ μή με ἀνέρῃ τίς εἰμι, μηδὲ ἐξετάσῃς. ἐμπαθὲς δὲ τὸ χωρίον, τῶν μὲν, σπευδόντων μαθεῖν, τοῦ δὲ, κατοκνοῦντος λέγειν. αἱ δὲ, διὰ βραχέων ἀκούσαντες, τἄλλα συμβάλλουσιν. οὐδὲν δὲ θαυμαστὸν ἐπίστασθαι τοὺς Ἀθηναίους τὰ ἐν Θήβαις πραττόμενα, μάλιστα οὕτως ἐπισήμων ὄντων τῶν κατὰ τὴν Σφίγγα.

l. 203.

l. 203. Δεινὰ φύσις] ἡ ἐμὴ γέννα δεινή ἐστι καὶ ἀθλία.

l. 210. Καταχρυφὰν] ἀποφυγὴν τοῦ μὴ εἰπεῖν,

l. 212. Λαΐου ἴστε τιν'] εὖ διατέθειται γνωριζόμενον ὑπὸ τῶν Ἀθηναίων τὸν Οἰδίποδα, ὑπὲρ τοῦ μὴ γενεαλογοῦντα ἄνωθεν ὀχλεῖν αὐτὸν τοῖς θεωμένοις. ἀλλ' ὅγε Εὐριπίδης τοιοῦτος. ἐν γοῦν ταῖς ἱκέτισι τῶν Θησέα ὑποτέθειται τῶν περὶ τὸν Ἄδραστον ἀγνοοῦντα, ἕνεκα τοῦ μηκῦναι τὸ δρᾶμα.

l. 218. Δέος ἴσχετε] ὅσα (φησὶ) λέγω περὶ τούτων, μηδὲν φοβεῖσθε. δεῖ δὲ προσυπακούσαι ψευσαμένου.

l. 221. Τί κόρος] τί προβήσεται ἡμῖν, ὁρῶ γὰρ τούτους μυσαττομένους με.

l. 222. Ἔξω πόρσω βαίνετε χώρας] ἀνύσαντες τὰ κατ' αὐτὸν, ἀξιοῦσιν ἐξιέναι τοῦ χωρίου. φησὶν οὖν ὁ Οἰδίπους, ὅτι πρότερον ὑπέσχεσθε τοῦ μὴ ἐκβαλεῖν με. οἱ δέ φασιν, οὐδεμία τίσις ἔρχεται τοῖς προπαθοῦσιν, ἀντιτιμωρουμένοις. καὶ ἡμεῖς οὖν, ἀπατηθέντες ὑπὸ σοῦ, ἐν μέρει ἀπατώμενοί σε. πέφρασται δὲ δυνατῶς. μοῖρα δὲ, ἡ ἐξ ἐριννύων δηλαδή. μοίρας γὰρ νῦν τὰς ἐριννύας ἀκουστέον.

l. 225. Ὧν προπάθη, τὸ τίνειν] λείπει ἡ Διὰ, ἵν' ᾖ, διὰ τὸ τιμωρεῖν ὑπὲρ ὧν ἂν προπάθῃ.

l. 226. Ἀπάταις δ' ἀπάταις] ἡ δὲ ἀπάτη (φησὶ) παραβαλλομένη καὶ ἀντισουμένη ἑτέραις ἀπάταις, πόνον ἔχειν ἀντιδίδωσι τῷ ἀπατήσαντι ἐξ ἀρχῆς, καὶ οὐ χάριν· καὶ αὐτοὶ οὖν νομίζουσι προσδέξασθαι αὐτὸν καὶ ἐπαγγέλλεσθαι τὴν ἀσφάλειαν αὐτῷ, ἀπατώμενοι καὶ οὐ πρότερον ἐπιγνωκότες ὅτι οἰκείοις ἐνέχεται μιάσμασι. τοιοῦτόν ἐστι καὶ τὸ, Ἡ γλῶσσ' ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος. καὶ ἐκεῖνος γὰρ ἀπατηθεὶς ὤμοσεν.

Pag. 323. l. 225. Ἄφορμος] ἀφορμηθείς.

l. 228. Ὦ ξένοι αἰδόφρονες] τὸ τῆς Ἀντιγόνης πρόσωπον ὅλον καὶ τοῦ χοροῦ τὸ τετράστιχον ἀθετοῦνται. κρεῖττον γὰρ, φασὶν, εὐθέως τῷ δικαιολογικῷ χρήσασθαι τὸν Οἰδίπουν πρὸς αὐτούς. ἀλλὰ τὰ πράγματα αὐτοῖς οὐκ ἐν καιρῷ ἐστιν, ἀλλ' ἐν δυσπραγίᾳ· ὥστε ἐπαφρόδιτον εἶναι αὐτοῖς τὴν ἐλεεινολογίαν. καὶ τοῦτο τὸ πρόσωπον ἡ Ἀντιγόνη πληροῖ. ἐπεὶ μέντοι οὔτοι οὐ πείθονται, τότε δικαιολογικώτερον καὶ ὥσπερ ἀπολογούμενος ἐκφέρει τὰ ἑξῆς ὁ Οἰδίπους, ὅτι ἀκούσια ἐστὶν αὐτῷ τὰ ἁμαρτήματα. καὶ εἰ ταῦτα τῆς ὁμοίας ἔχεται δυνάμεως τοῦ ποιητοῦ, καθόλου θαυμαστή τις ἐστὶν ἡ οἰκονομία τοῦ δράματος. οὐδὲν δὲ ἐν τοῖς Διδύμου τούτων ὀβελισθὲν εὕρηται.

Ἀλλ' ἐπεὶ γεραὸν] ἐπειδὴ γάρ ἐστιν ὁ ἀλλὰ ἀντὶ τοῦ δὲ, ὁ δὲ Δε ἀντὶ τοῦ Δή, πλεονάζει ὁ ἀλλά.

l. 229. Γεραὸν, ἢ ἀλαόν] ἐκ τοῦ ἐπιθέτου νεύει εἰς τὴν τοῦ πατρὸς ἀπολογίαν.

l. 230. Ἔργων ἀκόντων] τῶν ἀκουσίων. ἢ τῶν ἀπαρεσκόντων ὑμῖν.

l. 234. Οὐ καλοῖς] οὐ καλοῖς ὄμμασιν ὁρῶσα τὸ σὸν ὄμμα. ὀφθαλμοὶ γὰρ ὀφθαλμοὺς αἰδεῖσθαι ποιοῦσι.

l. 235. Προσορωμένα] ἀντὶ τοῦ ὁρῶσα τούτους ὧν καὶ δέομαι.

l. 236. Ὥς τις ἀφ' αἵματος] ὡς ἂν τῆς κοινῆς ἀνθρωπότητος ἐχούσης τὸ συγγενές. ἢ, τοιαύτας ἱκετείας ποιοῦμαι οἵας ἄν τις προσαγάγοι τοῖς συγγενέσι.

l. 237. Τὸν ἄθλιον] τὸ ἑξῆς, ἄντομαι τὸν ἄθλιον αἰδοῦς κύρσαι.

l. 241. Ἐκ σέθεν ἄντομαι] λείπει ἐκείνου· ἵν' ᾖ, ὑπὲρ ἐκείνου σε ἄντομαι, ὃ ἐκ σέθεν τίμιόν ἐστι σοι. ἀντὶ τοῦ, ὃ ἐκ σῆς προαιρέσεως τίμιον σοὶ ἔνεστιν.

l. 243. Οὐ γὰρ ἴδοις ἀναθρῶν] τὸ ἑξῆς, οὐ γὰρ ἴδοις ἀναθρῶν βροτῶν ὅστις ἂν ἐκφυγεῖν δύναιτο εἰ θεὸς ἄγοι.

l. 247. Οὐ σθένοιμεν ἂν φωνεῖν] ἀλλ' ἐμμένοιμεν τοῖς λεχθεῖσι δηλονότι. λεγόμενον δὲ, τὸ ἀναστῆναι τοῦτον τοῦ ἱεροῦ, μὴ μολύνειν αὐτό.

l. 249. Τί δῆτα δόξης] ὡς μάτην τῆς περὶ τῶν Ἀθηναίων τεχούσης δόξης, ὡς ἄρα φιλοικτίρμων τις ἂν εἴη καὶ ἱκεταδόκος, τοῦτο λέγει. φησὶ γὰρ καὶ ὁ Κυρηναῖος ἐν τῷ τέλει τοῦ δευτέρου τῶν αἰτίων, Οὕνεκεν οἰκτείρειν οἶδε μόνη πολίων.

l. 251. Εἰ τάς γ' Ἀθήνας φασὶν] ἐπεὶ καὶ ἐλέου βωμὸς ἐν Ἀθήναις ἵδρυται.

l. 254. Κἄμοί γε ποῦ] καί μοι ποῦ ταῦτ' ἐστὶ, τὰ λεγόμενα περὶ Ἀθηνῶν;

l. 257. Οὐδὲ τἄργα τὰ 'μά] ἀπὸ κοινοῦ τὸ δείσαντες.

l. 258 Πεπονθότ' ἐστὶ μᾶλλον] μᾶλλον (φησὶν) ἔπαθον ἤπερ ἐποίησα. οὐκοῦν καὶ συγγνώμης ἄξιός εἰμι. Ἄλλως. τοῦτο ἐγὼ καλῶς ἔξοιδα ὅτι μᾶλλον ἠδικήθην ἤπερ ἠδίκησα.

l. 259. Εἴσοι τὰ μητρὸς καὶ πατρὸς χρεῖ-

ἢ λέγειν] χρεία, χρήσιμα. ἤτοι χρήσιμον ἢ λέγειν. ἐκ τούτων γὰρ σύγκειται καὶ τὸ χρή. τὸ δὲ χρεία τριγενὲς ἐστιν. ἔστι γὰρ ὁ χρεῖος, ἡ χρεία, τὸ χρεῖον. ἔστι δὲ καὶ μονογενὲς ἡ χρεία. ὅτι δὲ ἐνταῦθα τὸ χρεῖα οὐδέτερόν ἐστι, δηλοῖ τὸ συνηλεῖφθαι τὸ Α· ὅπερ οὐκ ἂν ἐγένετο εἰ μὴ βραχὺ ἦν.

l. 260. Τοῦτ' ἐγὼ καλῶς ἔξοιδα] οἶδα ὅτι μᾶλλον ἠδικήθην ἤπερ ἠδίκησα.

l. 262. Ὡς εἰ φρονῶν ἔπρασσον] ἄκων μὲν (φησὶν) ἔδρων· εἰ δὲ καὶ ἑκὼν, προπαθὼν ἠμυνάμην. δῆλον δὲ διὰ τὸ βλαβῆναι ὅτε ἐγεννήθην. ὥστε δύο μοι (φησὶ) βοηθεῖ, ἥ τε ἄγνοια καὶ τὸ προπεπονθότα ἀμύνασθαι.

Pag. 325. l. 264. Νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην] τὴν τοῦ πατρὸς φόνου λέγει ὁδόν.

l. 268. Καὶ μὴ θεοὺς τιμῶντες] ἐπεὶ κατὰ πυθόχρηστον ἐλήλυθα (φησὶ) καὶ γνώμῃ θεοῦ, μὴ ἐναντία τοῦ θεοῦ, ποιεῖτε.

l. 271. Φυγὴν δὲ] ἀντὶ τοῦ ἐκφυγεῖν.

l. 272. Μήπω γενέσθαι φωτὸς] ὃ βούλεται λέγειν, μηδένα διαφυγεῖν ποτε φῶτα ἀνόσιον ἀνθρώποις. ὡς τὸ, δικαιότατος κενταύρων.

l. 273. Ξυνθοῖς] Ξυνοῖς θεοῖς.

Σὺ μὴ καλύπτε] ἀντὶ τοῦ, μὴ περικαλύψῃς θεοὺς καὶ Ἀθήνας. ὅ ἐστι, ἀνόσια πράττων, μὴ ἀφάνιζε τὰς Ἀθήνας.

l. 275. Ἐχέγγυον] ἀσφαλῆ.

l. 278. Ἱερὸς] καθαρός.

Καὶ φέρων ὄνησιν ἀστοῖς] ἐρεῖ γὰρ περὶ ὧν ὡς ἔσται ποτὲ αὐτοῖς ἔχθρα πρὸς Θηβαίους, ἐν ᾗ κρατήσουσιν αὐτῶν, διὰ τὸ τὸν τάφον αὐτοῦ παρ' Ἀθηναίοις τυγχάνειν. ἦν γάρ τι λόγιον, ἐν ᾗ ἂν ταφῇ χώρα, ἐκείνην μηδὲν κακὸν πείσεσθαι ὑπὸ θεῶν.

l. 283. Τἀνθυμήματα] εἶπε γὰρ σώζειν τὰς Ἀθήνας.

l. 287. Καὶ ποῦ 'σθ' ὁ κραίνων] ἀρίστη ἡ οἰκονομία, ὥστε μὴ διαλείψας γενέσθαι, τίς ὁ καλέσων ἐστί.

l. 292. Τοὔνομ' αἴσθηται] τὸ γὰρ ὄνομα Οἰδίπους πανταχοῦ.

l. 294. Πολλὰ δ' ἐμπόρων ἔπη] εἰκὸς οὖν ἐστιν ἡμῶν ἀκηκοότων, καὶ ἕτερον μεμαθηκέναι. ὁ γὰρ ἀπεληλυθὼς πρότερον, οὐδέπω μεμαθήκει ὅστις ἦν. τῷ γὰρ χορῷ πρώτῳ ὡμολόγησε. διὰ μέσου δὲ τὸ θάρσει.

l. 296. Πολὺ γὰρ ὦ γέρον τὸ σὸν ὄνομα] οὕτω λέγει διὰ τὰς πράξεις αὐτοῦ τάς τε κατὰ τῆς Σφιγγός, καὶ ὅσα ἄλλα αὐτῷ πεπράκται.

l. 298. Κλύων σοῦ] λείπει ἡ περί. περὶ σοῦ κλύων.

l. 300. Οὐχ' αὑτῷ φίλος] χρήσιμος. ὁ γὰρ ἀγαθὸς, αὑτῷ τε καὶ τοῖς φίλοις ἐστὶ χρήσιμος.

l. 302. Γυναῖχ' ὁρῶ] ἡ Ἰσμήνη προσιοῦσι τὰ κατὰ τοὺς ἄρρενας ἀπαγγέλλουσα παῖδας τοῦ Οἰδίπου πῶς ἔχοι.

l. 303. Αἰτναίας ἐπὶ] τῆς Σικελικῆς. λέγει δὲ ἀντὶ τῆς μεγάλης.

l. 304. Ἡλιοστερὴς] σκιαστική. πλατύπιλος κυνῆ, ἥτις περικεφαλαία, τὴν ὄψιν αὐτῆς περιέχει, καλύπτουσα, καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν. τὸ ἑξῆς δέ. κρατὶ ἡλιοστερὴς κυνῆ.

l. 305. Κυνῆ πρόσωπα Θεσσαλίς νιν] καὶ γὰρ περισσοὶ ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι, ὡς καὶ Καλλίμαχος, Ἐσδίος ἀμφὶ δέ οἱ κεφαλῇ νέον αἱμονίηθεν Μεμβλωκὸς, πίλημά τι πέτρου ἀλήρ ἔκειτο. Ἄλλως. Κυνῆ Θεσσαλικὴ τὴν κεφαλὴν αὐτῆς περικαλύπτει πλατύπιλος ἀποπέμπουσα τοῦ προσώπου αὐτῆς τὰς τοῦ ἡλίου ἀκτῖνας, ἣν ἡλιοστερῆ ὠνόμασεν. ὅτι δὲ πλατεῖς ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι. καὶ Καλλίμαχος λέγει, Εἴδιος ἀμφὶ δέ οἱ, καὶ τὰ ἑξῆς.

l. 307. Ἆρ' ἔστιν] ἆρα ἔστιν ἡ Ἰσμήνη; ἆρα οὐκ ἔστιν.

Pag. 327. l. 310. Φαιδρὰ γοῦν] τὸ ἑξῆς, φαιδρὰ προσσαίνουσα. φαιδρὰ δὲ ἀντὶ τοῦ φαιδρῶς.

l. 311. Σημαίνει μοι] εἰς γνῶσιν με ἐφέλκεται.

l. 315. Αὐδῆ δ' αὐτίκ'] ἐκ τῆς φωνῆς ἔξεστί σοι μαθεῖν.

l. 318. Εὑροῦσα λύπῃ δεύτερον] τὸ ἑξῆς, εὑροῦσα δεύτερον. ἴσως τὸ δεύτερον διὰ τὸ δὶς μόλις εὑρηκέναι.

l. 319. Ὦ δυστάθλιαι τροφαὶ] ἡμῶν δηλονότι.

l. 321. Δυοῖν ὁμοῦ] σοῦ καὶ Ἀντιγόνης.

l. 322. Δυσμόρου δ' ἐμοῦ τρίτης] οἱ γὰρ περιλαμβάνοντές τινα, καὶ ἑαυτὸν τρόπον τινὰ περιλαμβάνουσιν. ἰδιαζόντως δὲ εἶπεν ὡς ἑαυτῆς τρίτης θιγγάνει, εἰ μὴ ἄρα πρὸς τὸ δυστάθλιαι ὑπήντηκε.

l. 323. Σῇ πάτερ προμηθίᾳ] ἀντὶ τοῦ διὰ τὴν σὴν πρόνοιαν.

l. 326. Ποῖ νεανίαι πονεῖν] πῶς τὸ πονεῖν ἐστι.

l. 327. Δεινὰ δ' ἐκείνοις τὰ νῦν] νῦν δὲ τὰ ἐν ἐκείνοις ἐστὶ δεινά.

l. 328. Ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ]

γύπτῳ] διαβάλλει τοὺς Αἰγυπτίους ὡς παρὰ τὸ πρέπον διαιτωμένους, καὶ γυναῖκας καὶ ἄνδρας. Νυμφόδωρος δὲ ἐν τῷ τρισκαιδεκάτῳ τῶν βαρβαρικῶν γράφει οὕτως, Ἔθεσι δὲ, τὰ μὲν ἐναντίοις, τὰ δὲ ὁμοίοις χρῶνται τοῖς Ἕλλησι. τὸ μὲν γὰρ ἐξίστασθαι τοῖς πρεσβυτέροις τοὺς νεωτέρους, ὁμοτρόπως καὶ ἡμῖν διοικοῦσι, τῶν δ' ἄλλων οὐδέν. ἐν μὲν γὰρ τοῖς Ἕλλησιν οἱ μὲν ἄνδρες τὰ κατὰ τὴν ἀγορὰν οἰκονομοῦσιν, αἱ δὲ γυναῖκες, ἔνδον μένουσαι ταλασιουργοῦσιν ἐκεῖ δὲ αἱ μὲν γυναῖκες ἐν ἀγορᾷ περιπατοῦσι καὶ καπηλεύουσιν, οἱ δὲ ἄνδρες κατὰ τὴν οἰκίαν ὑφαίνουσιν. ὁ γὰρ Σέσωστρις ἐκθηλῦναι τοὺς ἄνδρας βουλόμενος, ἅτε μεγίστης χώρας γεγενημένους καὶ πολλοὺς ὄντας, ὅπως μὴ συστραφέντες ἐπ' ἰσομοιρίαν ὁρμήσωσι, τὰ μὲν ἐκείνων ἔργα ταῖς γυναιξὶ, τὰ δὲ τῶν γυναικῶν ἐκείνοις προσέταξεν· ἵνα μὴ μόνον τῶν ὅπλων ἀναγκαίως στερηθέντες, ἀλλὰ καὶ τὴν ψυχὴν ὑπὸ τῶν ἐπιτηδευμάτων ἀνεθέντες, ἀσμένως ἐπὶ τοῖς ὑπάρχουσι καταμένωσιν. ὅθεν τοὺς μὲν ψιλοὺς εἶναι, τὰς δὲ ἀνιέναι τὰς τρίχας προσέταξε· καὶ τοὺς μὲν ἐπὶ τῆς κεφαλῆς φέρειν τὰ φορτία, τὰς δὲ ἐπὶ τῶν ὤμων ἠνάγκασε. ἔπειτα δὲ τοὺς μὲν, καθημένους, τὰς δὲ, ὀρθὰς ἑστώσας οὐρεῖν. καὶ τοῖς μὲν δύο ἱμάτια περιέβαλε, ταῖς δὲ, ἕν. ὑπολαμβάνων ἅμα τοῖς ἐπιτηδεύμασι καὶ τὰς ψυχὰς αὐτῶν ἐκθηλυνθῆναι. ὃ καὶ Λυδοῖς ὕστερον συμπεσεῖν φασιν.

l. 331. Αἱ δὲ σύννομοι] αἱ ἀδελφαὶ, ἢ αἱ γυναῖκες.

l. 340. Νηλίπους] ἀνυπόδητος.

l. 345. Μαντεῖ' ἄγουσα] ποῖα μαντεῖα φησίν; ὅτι ὅπου δ' ἂν ταφήσεται, σωτήριος ἔσται τῇ γῇ ἐκείνῃ.

Pag. 329. l. 353. Ζητοῦσα τὴν σὴν] τὸ ἑξῆς, ζητοῦσα τὴν σὴν τροφήν. ἀντὶ τοῦ τὴν δίαιταν.

l. 354. Δὶς γὰρ] τὸ ἑξῆς, δὶς γὰρ οὐ βούλομαι ἀλγεῖν.

l. 358. Πρὶν μὲν γὰρ αὐτοῖς] πρώην ἦσαν σκοπήσαντες, τῷ Κρέοντι παραχωρῆσαι τὴν σὴν βασιλείαν.

Κρέοντί τε] ὁ Τε πλεονάζει.

l. 360. Λόγῳ σκοποῦσι] μετοχή ἐστιν, οὐ ῥῆμα.

l. 362. Ἀλειτηροῦ] μιαροῦ.

l. 364. Λαβέσθαι] ἀντιλαβέσθαι.

l. 366. Τὸν πρόσθεν γεννηθέντα Πολυνείκη] τὸ Χ παράκειται ὅτι πρεσβύτερόν φησι τὸν Πολυνείκη.

l. 369. Τὸ κοῖλον Ἄργος] πολλαχοῦ τὸ Ἄργος κοῖλον φησι, καθάπερ καὶ ἐν Ἐπιγόνοις, Τὸ κοῖλον Ἄργος οὐ κατοικήσαντ' ἔτι. καὶ ἐν Θαμύρᾳ, Ἐκ μὲν Ἐριχθονίου ποτιμάστιον ἔσχεθε κοῦρον Αὐτόλυκον, πολέων κτεάνων σίνιν Ἄργει κοίλῳ. καὶ Ὅμηρος, Οἳ δ' εἶχον κοίλην Λακεδαίμονα.

l. 371. Ὡς αὐτίκ' Ἄργος] ὡς αὐτίκα καὶ τὸ Ἄργος πρὸς οὐρανὸν βιβῶν, καὶ τὸ Καδμείων πέδον τιμωρίᾳ ὑποτάξων. τὸ γὰρ τιμῇ ἐστι ὅτι περίσημον δηλοῖ. Ὅμηρος, Εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες Τίνειν οὐκ ἐθέλωσιν. ἑκάτερον δὲ ἢ ἀντὶ τοῦ καὶ ἐστί. τὸ δὲ ἑξῆς, οὕτως, αὐτίκα ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων, ἢ τὸ Ἄργος πρὸς οὐρανὸν βιβῶν ὑψώσων τῇ εὐκλείᾳ. ὡς πορθησόντων Ἀργείων τὰς Θήβας, καὶ κατὰ τοῦτο ἔνδοξον γενησομένην. ὑπερβατὸν οὖν ἐστι, καὶ τὸ ἑξῆς, οὕτως, ὡς αὐτίκα ἢ πρὸς οὐρανὸν τὸ Ἄργος οἴσων, ἤγουν ἐπὶ μέγα αὔξημα· ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων. ἄλλως γὰρ ἀκούειν τραχύτερον.

l. 373. Ταῦτ' οὐκ ἀριθμὸς] οὐ μέχρι λόγων προκόπτοντα.

l. 377. Ὥραν τιν' ἕξειν] φροντίδα.

l. 379 Ποίοισι τούτοις] οἱ ὑπομνηματισάμενοι γράφουσιν οὕτω, χρησμὸς τοιοῦτος γέγονεν, ὁποτέρῳ ἂν ὁ Οἰδίπους προσθῆται, τοῦτον κρατήσειν. καὶ χωρὶς κατὰ κοινὸν τοῖς Θηβαίοις, ὅτι ἔσται αὐτοῖς. μεγάλων κακῶν αἴτιος ἐὰν μὴ θάψωσιν αὐτὸν ἐπὶ τῆς χώρας. ἐβουλόμην δὲ αὐτοὺς μαρτυρίᾳ χρήσασθαι ἢ συγγραφέως τινὸς ἢ ποιητοῦ.

l. 381. Εὐνοίας χάριν] ἵνα εὐνοῇς αὐτοῖς. ἐν τοῖς ἀναγκαιοτέροις τῶν ἀντιγράφων γράφεται, εὐσοίας χάριν. ὃ καὶ οἱ ὑπομνηματισάμενοι ἀξιοῦσιν. εὐσοίαν δέ φασι τὴν εὐσθένειαν. καθάπερ καὶ ἐν Ἀμφιτρύωνι, Ἐπεὶ δὲ βλαστοί, τῶν τριῶν μίαν λαβεῖν Εὐσοίαν ἀρκεῖ.

l. 386. Γέροντα δ' ὀρθοῦν, φλαῦρον] τὸν ἅπαξ ἐν νεότητι πεσόντα, ἐν γήρᾳ ὀρθοῦσθαι ἀδύνατον. ἢ φλαῦρον, χαλεπόν.

l. 390. Ὡς σ' ἄγχι γῆς στήσωσι] ὅπως σχῶσί σε, ἢ κατοικίσωσι.

l. 392. Θύραισι κειμένου] ἀντὶ τοῦ οἰκοῦντος.

l. 393. Κείνοις ὁ τύμβος] ὁ τύμβος δυστυχῶν

δυστυχῶν ὁ Ζεὺς, κείνοις βαρύς. ἀντὶ τοῦ, ἐπὶ ξένης σοῦ ἀπολομένου, δυστυχήσουσιν ἐκεῖνοι.

l. 394. Κἄνδον θεοῦ] ἤγουν, πῶς ἄν τις ταῦτα δύναιτο μαθεῖν ἄνθρωπος ὤν, θείας δυνάμεως χωρίς; τοῦτο δὲ λέγει ἐπεὶ οὐκ ἐπίσταται ὅτι πυθόχρηστόν ἐστι τὸ λεγόμενον.

l. 395. Προσθέσθαι πέλας] ἀντὶ τοῦ κατοικίσαι.

Pag. 331. l. 401. Χώρας] τῆς Θήβης.

Μηδ' ἵν' ἂν σαυτοῦ κρατῇς] μηδὲ ἐὰν σὺ ὅπου ἂν σαυτοῦ ἐξουσιάζῃς. λείπει δὲ τὸ ἐὰν ῥῆμα. ἢ ἀπὸ κοινοῦ τὸ προσθέσθαι νόει.

l. 462. Ἦ καὶ κατασκιῶσι] ἤγουν ἐν Θήβαις με χώσουσι.

l. 403. Τοὐμφύλιον αἷμα] ὁ πατρῷος φόνος.

l. 404. Μὴ κρατήσωσιν] ἤγουν θάπτειν με ἐν Θήβῃ. ὁ δὲ μὴ, πλεονάζει. ἔστι γὰρ τὸ μὴ καὶ τὸ οὐ ἐκ παραλλήλου.

l. 405. Ἔσται ποτ' ἄρα] διὰ τὸ μὴ καταχεῖν σε.

l. 406. Ποίας φανείσης] ποίας αἰτίας γενομένης βλαβήσονται; ἀντὶ τοῦ, ὑπὸ θεῶν; ὑπὸ ἐριννύων; ἢ ὑπὸ τίνος;

l. 409. Ἀνδρῶν θεωρῶν] παρὰ τῶν θεωρῶν κλύουσα.

l. 410. Ἐφ' ἡμῖν] ἀντὶ τοῦ δι' ἐμέ.

l. 411. Ὡς φασιν] οἱ θεωροί.

l. 418. Ἐν σοὶ δ' ἐμοὶ τέλος] ἐν μηδενὶ ἑτέρῳ τὸ τέλος αὐτοῖς ἀποβαίη τῆς μάχης ἢ ἐν ἐμοί. ἤγουν, μηδεὶς ἄλλος κύριος γένοιτο ὥστε διαλῦσαι τὴν ἔριν αὐτῶν, ἢ ἐγώ.

l. 420. Κἀπαναιροῦνται δόρυ] κατ' ἀλλήλων ἐπαίρουσιν.

l. 421. Ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα] εἰ γὰρ ἐν τῇ ἐμῇ ἐξουσίᾳ γένοιτο, οὐδὲ εἷς αὐτῶν ζήσεται.

l. 426. Αὐτοῖν ἐπέμφθην] τὸ ἐφ' ἑαυτοῖς οὐκ ἐπήρκεσαν· ἐνῆν γὰρ αὐτοῖς τὸ ἐφ' αὐτοῖς τοῦτο πρᾶξαι, ὡς αὐτάρκως κεκολασμένου τοῦ πατρός.

l. 427. Θέλοντι τοῦτ' ἐμοὶ] τὸ ἐξορισθῆναι.

l. 432. Οὐδεὶς ἔρωτος τοῦδε] τούτου τοῦ ἔρωτος οὐδεὶς με ἐποίει ἀπολαῦσαι, τοῦ ἀποθανεῖν δὲ φησιν.

l. 433. Ὁ μόχθος ἦν πέπων] ὅτε θυμὸς ἦν πέπειρος.

l. 434. Κἀμάνθανον τὸν θυμὸν] ὅτε ἐκεῖνοι ἔγνωσαν πέψαντά με τὸν θυμόν.

l. 444. Τὼ δ' ἀντὶ τοῦ φύσαντος] ἐκεῖνοι οἱ ἄρρενες δηλονότι.

Pag. 333. l. 441. Λάχωσι τοῦδε] ἀντὶ τοῦ ἐμοῦ.

l. 443. Ἐγ' ᾦδα] ἐγὼ οἶδα.

l. 448. Ἐὰν γὰρ ὑμεῖς] εἰ ὑμεῖς συμβάλλεσθέ μοι ἑαυτοῖς συμβάλλεσθε· χρησμὸς γὰρ ἦν ὡς ἢν οἱ Ἀθηναῖοι τοῦ τάφου αὐτοῦ ἐγκρατεῖς γένωνται, ἔσοιτο αὐτοῖς ποτὲ σωτὴρ πολιορκουμένοις ὑπὸ Θηβαίων εἴτε κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, εἴτε καθ' ἕτερον. ταῦτα δὲ εἰκὸς ποιητικώτερος ὑπὸ τοῦ Σοφοκλέους πεπλάσθαι, ἐπὶ θεραπείᾳ τῶν Ἀθηναίων. πολλαχοῦ γὰρ οἱ ποιηταὶ χαρίζονται τῇ πατρίδι ἔνια.

l. 453. Ἐπεὶ δὲ τῆσδε γῆς] ὅτι δὲ σώζειν ἰσχύει τὴν πόλιν, ὑποθέσθαι σοὶ βούλομαι τὰ χρήσιμα. ἀπεικῶς δὲ πάνυ τῇ συντάξει. καὶ πιθανὴ λοιπὸν ἡ χάρις τῶν ἐγχωρίων ἀνδρῶν. παραινοῦσι γὰρ αὐτὸν καθαρσίων τυχεῖν, ἵνα μή πως ἐναγὴς φαίνοιτο.

l. 461. Προξένει] λέγε μοι καὶ πάρεχε τὰ χρήσιμα. οὐ γὰρ ὀκνήσαιμι τελεῖν, ἢ, πρόξενος ἐμοὶ καὶ φίλος γενοῦ, ὑπισχνούμενος πᾶν ὃ λέγω ποιήσειν.

l. 463. Κατέστειψας] κατεπάτησας ἀπὸ τοῦ στείβω. γράφεται καὶ κατάστεψον ἤγουν, μετὰ ἱκετηρίαν ἀφοσιοῦ. Ἄλλως. Κατάστεψον. καθικέτευσον, μετὰ ἱκετηρίων ἀφίκου. ἐὰν δὲ γράφεται κατέστειψας, ἤγουν κατεπάτησας. ὃ καὶ πιθανώτερον. δι' αὐτὸ γὰρ τοῦτο κελεύουσιν αὐτῷ καθαίρεσθαι ὅτι εἰς ἄβατον ἐπέβη τόπον τοῦ ἱεροῦ τῶν σεμνῶν.

l. 465. Πρῶτον μὲν ἱερὰς ἐξ ἀειρρύτου] ἐξ ἀενάου πηγῆς ὕδωρ ἄρυσαι, καὶ οὕτω χοὰς ταῖς θεαῖς ποίησον ἀπὸ τῶν κρατήρων, πλήσας αὐτοὺς ἀπὸ τοῦ ἀντληθέντος ὕδατος.

l. 467. Ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω] ἀντὶ τοῦ, καὶ ὅταν ἀρύσωμαι, τί πράξω;

l. 468. Ἀνδρὸς εὔχειρος] ἀπὸ παλάμης, κατὰ τὴν μετάληψιν. ἐπὶ τὸν Δαίδαλον ἡ ἀναφορά. περὶ οὗ Φερεκύδης φησὶν οὕτω, Μητίονι δὲ τῷ Ἐρεχθέως καὶ Ἰφινόης γίγνεται Δαίδαλος, ἀφ' οὗ ὁ δῆμος καλεῖται Δαιδαλίδαι Ἀθήνησι.

l. 469. Καὶ λαβὰς ἀμφιστόμους] τὰ ὦτα διὰ τὴν περιλομένην, ὧν ἐστι λαβέσθαι. ἀμφιστόμους δὲ, τὰς ἑκατέρωθεν ἐστομωμένας, ἢ διὰ τὸ ἑκατέρωθεν τοῦ στόματος ταύτας εἶναι. ἢ, τὰς πρόσωπά τινα θηρίων ἑκατέρωθεν ἐχούσας. ἔρεψον δὲ τῶν κρατήρων τὴν κεφαλήν.

l. 466.

l. 466. Οἰοπόκῳ μαλλῷ λαβών] ἤγουν, πολισμῷ καὶ κρουισμῷ λαβὼν στέφον, ἢ ἐρίῳ στέφον. ὅτι δὲ στέμματα ἔλεγον τὰ ἔρια, καὶ παρ' Εὐριπίδῃ, ὦ στέμματα ξὺν βασσ' ἐπίκλωσε θεά.

l. 468. Πρὸς πρώτην ἕω] πρὸς τὴν ἀνατολὴν, ἢ περὶ τὸν ὄρθρον. καὶ γὰρ δὴ καὶ τὰς ἐνδύσεις πρὸς ἥλιον ἐποιοῦντο, καθάπερ καὶ ἐν Ἠλέκτρᾳ φησὶ, Τοιαῦτά τε παρόντος, ἡνίχ' ἡλίῳ δείκνυε τοὔναρ, ἔκλυον ἐξηγουμένου. καὶ οἱ τοὺς καθαρμοὺς δὲ ἐπιτελοῦντες πρὸς τὴν ἕω ἵστανται. Κρατῖνος ἐν Χείρωνι, Ἄγε δὴ πρὸς ἕω πρῶτον ἁπάντων ἴσω, καὶ λάμβανε χερσὶ χέρνοι μεγάλην.

l. 469. Χέω τάδε] τὸ ὕδωρ ἐπὶ τῶν κρατήρων χέω.

l. 470. Τρισσὰς γε πηγὰς] ἀντὶ τοῦ, τὸ ὕδωρ ἀπὸ τριῶν πηγῶν.

Τὸν τελευταῖον] τὸν ὕστερον κρατῆρα.

l. 472. Ὕδατος, μελίσσης] ὕδατος καὶ μέλιτος. λείπει δὲ ὁ καί. ἀπὸ γὰρ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ ἐν ἐρασταῖς, Γλώσσης μελίσσης τῷ κατερρυηκότι. βούλεται δὲ λέγειν τὸ μελίκρατον. Ἄλλως. Ὕδατος μελίσσης ἤγουν μέλιτος. ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον, ὡς ἐν ἐρασταῖς, Γλώσσης, καὶ τὰ ἑξῆς.

Μηδὲ προσφέρειν μέθυ] ἄοινοι γὰρ αἱ θεαί.

l. 473. Ὅταν δὲ τούτων γῆ] ὅταν δὲ τὰς χοὰς χέωμεν ἐπὶ γῆς, τί χρή με ὕστερον δρᾶσαι;

l. 474. Τρὶς ἐννέ' αὐτῇ] τρὶς ἐννέα τιθεὶς κλῶνας ἐλαίας, ταύτας ποιοῦ τὰς εὐχάς.

l. 476. Τούτων ἀκοῦσαι] ἡδέως ἀκούσαιμι τῶν εὐχῶν. μέγιστον γὰρ ταύτας μαθεῖν.

l. 477. Ὥς σφας καλοῦμεν] ὡς καλοῦμεν αὐτὰς, Εὐμενίδας δηλονότι, οὕτως αὐτὰς καλῶν καὶ ἐξ εὐμενῶν, καὶ ἵλεως ποιούμενος, ἱκέτευε αὐτὰς δέχεσθαι σε τὸν ἱκέτην ἐπὶ σωτηρίᾳ, ἐξ εὐμενῶν στέρνων. ἤγουν, μὴ ἐξ ἐπιπολῆς, ἀλλ' ἐνδιαθέτως.

l. 479. Αἰτοῦ σύ γ' αὐτός] ἤγουν, ἢ σὺ ταῦτα ποίει, ἢ ἄλλος τις ὑπὲρ σοῦ ταῦτα ποιείτω.

l. 480. Ἄπυστα φωνῶν] ἀνήκουστα. ἀντὶ τοῦ ἠρέμα καὶ συντόμως. τοῦτο ἀπὸ τῆς δρωμένης θυσίας ταῖς Εὐμενίσι φησί. μετὰ γὰρ ἡσυχίας τὰ ἱερὰ δρῶσι. καὶ διὰ τοῦτο οἱ ἀπὸ Ἡσύχου καταγόμενοι θύουσιν αὐταῖς, καθάπερ Πολέμων ἐν τοῖς πρὸς Ἐρατοσθένην φησὶν, οὕτω, Τὸ δὲ τῶν Εὐπατριδῶν γένος οὐ μετέχει τῆς θυσίας ταύτης. εἶτα ἑξῆς, τῆς δὲ πομπῆς ταύτης Ἡσυχίδαι. ὃ δὴ γένος ἐστὶ περὶ τὰς σεμνὰς θεὰς, καὶ τὴν ἡγεμονίαν ἔχει. καὶ προθύονται πρὸ τῆς θυσίας ταύτης κριὸν Ἡσύχῳ ἱερὸν ἥρωϊ, τοῦτον οὕτω καλοῦντες διὰ τὴν εὐφημίαν. οὗ τὸ ἱερόν ἐστι παρὰ τὸ Κυδώνιον, ἐκτὸς τῶν ἐννέα πυλῶν. καὶ Ἀπολλόδωρος δὲ ἐν τῇ περὶ θεῶν ἑπτακαιδεκάτῃ περὶ τοῦ τῶν Ἡσυχιδῶν γένους καὶ τῆς ἱερᾶς φησι. καὶ Καλλίμαχος, Νηφάλιαι καὶ τῇσιν ἀεὶ μελιηδέας ὄμπας Λήτειραι καίειν ἔλλαχον Ἡσυχίδαι.

l. 482. Παραστείχοιμ' ἐγώ] ὡς καθαρθέντι.

l. 483. Δειμαίνοιμ' ἄν] μὴ καθαρθέντι.

Pag. 335. l. 486. Οὐχ ὁδωτά] οὐκ ἐν ὁδῷ, οὐδὲ ἀνυστά ἐστι, οὐ βαδιστέα μοι, οὐδὲ πρακτέον ταῦτα. λείπομαι γὰρ τῆς πράξεως ὑπὸ δύο κακῶν, τοῦ τε μὴ δύνασθαι καὶ τοῦ μὴ ὁρᾶν.

l. 488. Σφῷν δ' ἡτέρα] εἰρήκασιν γὰρ ὅτι ἄλλους ἐχρῆν ὑπὲρ αὐτοῦ τὸν καθαρμὸν ποιήσασθαι.

l. 490. Ψυχὴν τάδ' ἐκτείνουσαν] τεταμένως καὶ συντόνως δρῶσαν καὶ διακονοῦσαν.

l. 493. Οὐδ' ὑφηγητοῦ γ' ἄνευ] ἄνευ χειραγωγοῦ. ἀπὸ κοινοῦ δὲ τὸ ἕρπειν. οὐκ ἰσχύω βαδίζειν.

l. 495. Χρῆσται μ' ἐφευρεῖν] χρεία ἔσται. κατὰ συναλοιφὴν χρῆσται, ἀντὶ τοῦ χρεία ἔσται, δύναται δὲ ταὐτὸν τῷ δεήσει. καὶ ἐν Τριπτολέμῳ, Χρῆσται δέ σ' ἐνθένδε αὖ τις.

Τοῦτο βούλομαι μαθεῖν] ἔνθα τὸ ὕδωρ ἐστὶν, ἡδέως ἂν εἰδείην.

l. 496. Τοὐκεῖθεν ἄλσους] τὸ ἐκεῖθεν τοῦ ἄλσους τούτου. ἐὰν δέ τι τούτων ἀγνοῇς, παρά τινος τῶν ἐπιχωρίων τοῦτο μαθήσῃ.

Ην δέ του σπάνιν τιν' ἴσχῃς] ἀντὶ τοῦ, ἔτι τῆς εἰδήσεως ἀγνοῇς περὶ τὸν τόπον.

l. 499. Τοῖς τεκοῦσι γάρ] ὅταν τις ὑπὲρ γονέων πονῇ, μὴ ἡγείσθω πόνον εἶναι τὸν κάματον.

l. 501. Δεινὸν μὲν τὸ π.] τῆς Ἰσμήνης ἀποστάσης, ὁ χορὸς ἐρωτᾷ τὸν Οἰδίποδα, καί φησι, τὸ ἐπεγείρειν μὲν καὶ ἀνακινεῖν τὰ πάλαι συμβάντα δυσχερὲς, ὅμως δὲ μαθεῖν ἐπιθυμῶ τὴν αἰτίαν τῆς συμφορᾶς, καὶ ἔστι παθητικά. Καλλίμαχος,

Τί

Τί δάκρυον ὄσσων ἐγείρεις;

l. 503. Τί τοῦτο] ἤγουν, τί βούλει πυθέσθαι;

l. 504. Τᾶς δειλαίας ἀπόρου] περὶ τῆς ἐγκειμένης σοι ἀλγηδόνος ἡδέως ἂν πυθοίμην. ἔξωθεν δὲ ἡ Περί.

l. 506. Μὴ πρὸς ξενίας] μὴ πρὸς τῆς σῆς ξενίας ἀναπτύξῃς μου τὰ ἀναιδῆ ἔργα. ἢ, οὐ μὴ τὰς προξενίας σου ἐπὶ ἔργα ἀναιδῆ καταγάγῃς. ἤγουν, εἰ μὴ κατὰ τὴν προξενίαν τὴν σὴν ἔργων γένοιο φαύλων ἀκροατὴς, ἀναπτύξαι καὶ φανερῶσαι τὰ κατ' ἐμὲ βουληθείς.

l. 508. Τό τοι πολὺ] τὸ ἀδιάλειπτον κακὸν τὸ κατὰ τὴν πήρωσιν χρήζω ἀκοῦσαι.

l. 510. Στέρξον, ἱκετεύω] στέρξον ὃ λέγω, καὶ μὴ ἀποστραφῇς τὴν αἰτίαν εἰπεῖν. ὃ ἔστι, προσδέξαι ἃ λέγω.

l. 511. Πείθου. κἀγὼ γὰρ] πείσομαι δηλονότι εἰς ὅσον βούλει.

l. 515. Ἀλλ' ἐς τί;] συγχωρήσω σοι τὰ πράγματα;

l. 516. Οὐδὲν ἴδρις] ἤγουν, οὐδὲν εἰδυῖα, ἡ πόλις ἐνέδησέ με τῇ τοῦ γάμου ἄτῃ.

Pag. 337. l. 527. Ἐπιστροφαὶ κακῶν] συνεχεῖς προσόδοι. πλῆθος.

l. 530. Ἐδεξάμην δῶρον] τὸν γάμον τῆς μητρὸς (φησὶν) ἀντὶ τῆς λύσεως τοῦ αἰνίγματος δῶρον ἐδεξάμην. ὃ μήποτε ὤφελον λαβεῖν. ἀντὶ δὲ τοῦ εἰπεῖν, μήποτε ὤφελον ἐγὼ παρὰ τῆς πόλεως ἐξαίρετον λαβεῖν, οὕτως εἴρηκεν, ἐπωφέλησα πόλεως ἐξελέσθαι.

l. 539. Καὶ γὰρ ἄλλους ἐφόνευσα] τοὺς παρόντας σὺν τῷ Λαΐῳ. ἤγουν, ὡς ἄλλους φονεύσας. ἀθῷός εἰμι καὶ οὐ γέγονα ἔνοχος τῷ μύσει. οὕτω καὶ ἐπὶ τοῦ πατρός· οὐ γὰρ ᾔδειν.

l. 544. Πολλῶν ἀκούων] χρηστὸς ὁ Θησεὺς τὸ ἦθος εἰσάγεται, καὶ ἔχει καὶ ἐπὶ τούτῳ τῆς οἰκονομίας δεξιώτατα.

l. 551. Προστροπὴν] ὠφέλειαν.

l. 555. Ὡς ἐπαιδεύθην] τὸ ὡς ἀντὶ τοῦ ὅτι.

Pag. 339. l. 573. Προσφορὰ] προσθήκη. πρόσδοσις. τὸ δὲ Δηλώσεται, ἀντὶ τοῦ δηλωθήσεται.

l. 575. Τὰ λοίσθι' αἰτῇ τοῦ βίου] γράφεται, τὰ λοίσθι' ἄρ' αἰτῇ τοῦ βίου.

Τὰ δ' ἐν μέσῳ, ἢ λῆστιν ἴσχεις] τοῦ ζῆν. ἢ ἐπιλέλησαι, ἢ οὐ φροντίζεις.

l. 577. Ἐνταῦθα γάρ μοι κεῖνα] διὰ τοῦ τέλους (φησὶ) καὶ τὰ μέσα τοῦ βίου συντυχήσω. προσδοκῶν γὰρ σὺ ὠφεληθήσεσθαι ὑπ' ἐμοῦ ὅταν ἀποθάνω, ζῶντά με γηροβοσκήσεις.

l. 578. Ἀλλ' ἐν βραχεῖ δὴ] βραχὺ δῶρον με αἰτεῖς, τὸ ἐν Ἀθήναις θάψαι σε.

l. 594. Πῶς δῆτά σ' ἂν] πῶς δῆτα οὖν (φησὶ) μεταπέμψαιντο ἄν σε, εἰ μὴ ἔστι δυνατὸν κατελθεῖν, διὰ τὸ πατροκτόνον εἶναι; ὁ δέ φησι, τὸ θεῖον αὐτοὺς ἐξαναγκάσει τοῦτο πρᾶξαι.

l. 597. Τῇδε πληγῶσαι χθονὶ] ἀντὶ τοῦ, ὑπὸ ταύτης τῆς χθονὸς πληγῶσαι.

Pag. 341. l. 611. Ἐν αἷς τὰ νῦν ξύμφωνα] τὰ νῦν ξύμφωνα λέγει ἐπεὶ οὔπω ἦν. ἔχθρα Θηβαίοις καὶ Ἀθηναίοις.

l 615. Φοῖβος σαφὴς] ἀντὶ τοῦ ἀληθής. ὡς καὶ Ὅμηρος, Ἐπιστάμενος σάφα εἰπεῖν. ἀντὶ τοῦ ἀληθῶς.

l. 622. Ἐφαίνετο] ἀντὶ τοῦ ἀνεφαίνετο. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ, -- καὶ εἴρετο δεύτερον αὖτις.

l. 624. Τοιῶνδ' ὄντων] φίλων δηλονότι.

Η δορύξενος] φίλος. ἁπλοϊκώτερον δορυξένους καλοῦσι καὶ τοὺς ὅπως δήποτ' οὖν ἐπιξενωθέντας, ἢ ἐπιστατικοὺς καὶ πολεμίοις φίλους.

l. 628. Οὔ ποτ' ἐκβαλῶ χάριν] οὐ καταφρονῶ τῆς εἰς αὐτὸν χάριτος, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ὑποδέχομαι.

l. 630. Σέ νιν] σὲ τὸν χῶρον.

l. 631. Εἴτ' ἐμοῦ στείχειν μέτα] εἰς τὸ ἄστυ δηλονότι.

l. 633. Συνοίσομαι] συμπράξομαι ὡς σὺ βούλει.

l. 639. Μέγ' ἂν λέγοις δώρημα] εἰ ἐμμένοι σοι τὰ ἐπαγγελθέντα, ἤ, εἰ δύναιο κρατεῖν τῶν ἐχθρῶν ἐνθάδε μένων, μέγα ἂν δώρημα λέγοις τῆς ἐνταῦθα διατριβῆς.

l. 641. Τὸ τοῦδέ γ' ἀνδρὸς] ἐφ' ἑαυτοῦ πεποίηται τὴν δεῖξιν ὁ Θησεύς.

l. 642. Οὔ τοι σ' ὑφ' ὅρκου γ' ὡς κακὸν πιστώσομαι] οὐ πίστιν (φησὶ) διὰ ὅρκου ἐπιθεῖναί σε παρακελεύσομαι. πρὸς ὃ ἐπάγει, Οὔκουν πέραν γ' ἂν οὐδὲν ἢ λόγῳ φέροις. τουτέστιν, οὐκ ἂν πλέον λάβοις ὁρκίσας με, ἢ λόγῳ πιστεύσας μοι.

l. 645. Ὄκνος ἔχει] φόβος.

l. 647. Ἀλλὰ τοῖς δ' ἔσται μέλον] τοῖς τοῦ χοροῦ.

l. 650. Ὀκνοῦντ' ἀνάγκη] οὐ νομιστόν

μισητόν μοι (φησὶν) εἰ ὑπὸ δέους τὰ αὐτὰ συνεχῶς λέγω. τὸν φοβούμενον γὰρ ἀνάγκη ταῦτα λέγειν.

Τοὐμὸν οὐκ ὀκνεῖ κέαρ] οὐδὲν δέδοικε.

l. 653. Πολλαὶ δ' ἀπειλαὶ] ἀντὶ τοῦ, πολλοὶ ἄνθρωποι πολλὰ ἀπειλήσαντες ἐκ θυμοῦ, πέψαντες τὸν θυμὸν, καὶ τὸν καθεστηκότα νοῦν ἀναλαβόντες, ἐπαύσαντο τῶν ἀπειλῶν.

Pag. 343. l. 653. Κείνοισι δ' ἴσως] τοῖς Θηβαίοις.

l. 654. Τῆς σῆς ἀγωγῆς] λείπει ἡ περί. ἵν' ᾖ, περὶ τῆς σῆς ἀγωγῆς, ἤγουν ἐπανόδου.

l. 655. Οὐδὲ πλώσιμον] οὐδὲ εὔβατον. δεδοίκασι γὰρ ἡμᾶς.

l. 660. Εὐίππου ξένε τᾶσδε χώρας] ὦ ξένε, ὦ Οἰδίπου. μέχρι τοῦ ἀηδών, ἡ διατριβὴ τοῦ χοροῦ πρὸς τὸ ἐγκώμιον τῆς χώρας, αὐτοῦ τοῦ Σοφοκλέους ἐπὶ τὸ ἴδιον ἀπαντῶντος χαρακτηριστικὸν, τὸ γλαφυρὸν καὶ ᾠδικὸν μέλος.

l. 662. Τὸν ἀργῆτα] τὸν λευκόγεων.

l. 666. Ἀνέχουσα κισσὸν] ὑπὲρ ἑαυτὴν ἔχουσα τὸ φυτὸν, ἄνω ἔχουσα τὸν κισσόν. ὡς ἐν Λυκούργῳ Αἰσχύλος, Ακους δ' ἀν' οὖς ἔχων. ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων.

l. 668. Ἀνάλιον] παρὰ τὸ Ὁμηρικὸν, Τὴν μέν γ' οὔτ' ἀνέμων διάη μένος ὑγρὸν ἀέντων, Οὔτε μὲν ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν. ἀπὸ κοινοῦ δὲ τὸ ἀνέχουσα. ἀνήλιον δὲ, διὰ τὴν δασύτητα τῶν φυτῶν.

l. 673. Θάλλει δ' οὐρανίας] οἱ μὲν ὑπομνηματισάμενοι τῆς Δήμητρος καὶ Κόρης φασὶ στεφάνωμα τὸν νάρκισσον εἶναι. οὐ γὰρ μόνον στάχυσιν αὐτὰς στεφανοῦσι. μήποτε δὲ καταπλέον μεγάλαιν θεαῖν, τῶν ἐριννύων. καὶ γὰρ τὸ χωρίον ἐν ᾧ ἦν ὁ Οἰδίπους, αὐταῖς ἀνεῖτο. ὅτι δ' ἐριννύων ἐστὶ τὸ στεφάνωμα, δῆλον ἐν οἷς Εὐφορίων φησὶ, Περσῆος δέμνι' ἀπλῆτις ὀφειλομένην οἶμον, Εὐμενίδες ἀργῆτα θυγατέρι δέδειχαν Φόρκυνος, ναρκίσσοιο ἐπιστεφέες πλοκαμῖδες. ἴσως ὅτι παρὰ τοῖς μνήμασιν ὅτι πλεῖστον ἐκφύεται. ἢ ὅτι τοῦ φθείρειν καὶ ναρκᾶν εἰσὶν αἱ δαίμονες αἴτιαι, ὥστε διὰ τὸ ὄνομα συνῳκειῶσθαι τὸ φυτὸν αὐταῖς. μήποτε δὲ τὸν νάρκισσον μεγάλαιν θεαῖν ἀρχαῖον στεφάνωμα ἔφη ὁ Σοφοκλῆς, τῷ συλληπτικῷ χρησάμενος τρόπῳ, ἀντὶ τοῦ εἰπεῖν, θεᾶς ἀρχαῖον στεφάνωμα, τῆς Κόρης. τί δήποτε; ὅτι πρὶν ἢ τὸν Πλούτωνα αὐτὴν ἁρπάσαι, τούτῳ ἐτέρπετο. συλλέγουσαν οὖν φασιν αὐτὴν τὸν νάρκισσον ἁρπασθῆναι, ὥστε τὸ ἀρχαῖον τούτου ἕνεκα προσκεῖσθαι· ὅτι ὃ ἦν αὐτῇ θυμῆρες στεφάνωμα πρὶν ἢ συλληφθῆναι, αὖθις γοῦν φασι ταῖς θεαῖς ἀνθινοῖς μὴ κεχρῆσθαι, ἀλλὰ καὶ ταῖς θεσμοφοριαζούσαις τὴν τῶν ἀνθινῶν στεφάνων ἀπειρῆσθαι χρῆσιν. ὁ δ' Ἴστρος τῆς Δήμητρος εἶναι στέμμα τὴν μυρρίνην, καὶ τὴν σμίλακα, περὶ ἧς γίγνεσθαι τὴν διαδικασίαν· καὶ τὸν ἱεροφάντην καὶ τὰς ἱεροφάντιδας καὶ τὸν δᾳδοῦχον καὶ τὰς ἄλλας ἱερείας μυρρίνης ἔχειν στέφανον. δι' ἃ καὶ τῇ Δήμητρι προσθέσθαι ταύτην φησί.

l. 680. Μεγάλαιν θεαῖν] ταῖς ἐριννύσιν.

l. 682. Ὅ τε χρυσαυγὴς κρόκος] ἀπὸ κοινοῦ, τὸ θάλλει κατ' ἦμαρ. τοῖς τὸν νάρκισσον τῇ Δήμητρι ἀπονέμουσι τοῦτο συμμαρτυρεῖ, ὅτι κἀν τῇ Νιόβῃ ὁ Σοφοκλῆς τὸν κρόκον ἄντικρυς τῇ Δήμητρι ἀνατίθεται. ὥστε νῦν τὸν λόγον εἶναι περὶ τῶν Δήμητρος στεφανωμάτων. καὶ αὐτὸ δὲ τοῦτο ἴδιον ἂν εἴη Σοφοκλέους. τοῖς γὰρ ἀνθινοῖς οὐ πάνυ φασὶν ἥδεσθαι τὴν Δήμητρα.

l. 683. Μινύθουσι] λήγουσι τοῦ ῥεῖν.

l. 684. Κηφισοῦ νομάδες] κρῆναι νομάδες, αἱ ἐπινεμόμεναι, ὥσπερ καὶ καταρρέουσαι τὴν γῆν τοῦ Κηφισοῦ πηγαί. ἢ ἃς ὁ Κηφισὸς ἐπινέμεται. λέγοι δ' ἂν τὸν ἐν τῇ Καδμείᾳ.

l. 685. Ἀλλ' αἰὲν ἐπ' ἤματι] ἀλλ' ἀεὶ καθ' ἡμέραν, (φησὶν) ἐπινίσσεται ὁ Κηφισός.

l. 686. Ὠκυτόκος] ἤγουν, ὠκυτόκα ποιῶν τὰ πεδία καὶ εὔκαρπα.

l. 688. Στερνούχου χθονὸς] ἴσον τῷ γονίμου γῆς, ἢ ἐπιπέδου καὶ πεδιούχου χθονός. μεταφορικῶς γὰρ καὶ στέρνα καὶ νῶτα φασὶ τὰ πεδιώδη καὶ εὐρέα, καθάπερ αὖ πάλιν αὐχένας, τὰ στενά. τὸ δὲ ὅλον σπεῖρον ἐπὶ στερνούχου χθονὸς, ἀντὶ τοῦ ἐπὶ τῶν πεδιάδων τῆς γονίμου χθονός.

Χοροί νιν ἀπεστύγησαν] τὴν ἀττικήν.

Pag. 345. l. 689. Φύτευμ' ἀχείρ. αὐτόποιον] ὅτι ἀπέχοντο τῶν ἐλαιῶν τῆς θεοῦ τῶν μορίων ὀνομαζομένων οἱ Λακεδαιμόνιοι, καὶ ἄλλοι ἱστοροῦσι καὶ Φιλόχορος, ὥστε ταῖς ἀληθείαις ἐγχέων αὐταῖς φόβημα τοῖς πολεμίοις γενέσθαι. Λακεδαιμόνιοι γὰρ ἐμβαλόντες ἐν τῇ ἀττικῇ δέκα μυριάσι Πελοποννησίων καὶ Βοιωτῶν, ἡγουμένου Ἀρχιδάμου τοῦ Ζευξιδάμου

δάμε Λακεδαιμονίων βασιλέως, ἀπέσχοντο τῆς λεγομένης μορίων Ἀθηνᾶς, ὡς καὶ Ἀνδροτίων φησίν. ἀλλὰ καὶ Ἀριστοφάνης ἐν νεφέλαις γράφει. Ἀλλ' εἰς Ἀκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις. ὁ δὲ Ἴστρος καὶ τὸν ἀριθμὸν αὐτῶν δεδήλωκε, γράφων οὕτως, * ἐπεὶ δὲ κλάδον τῆς ἐν ἀκαδημίᾳ ἐλαίας, τὴν ἀπὸ τῆς ἐν ἀκροπόλει φυτευθῆναι φασίν. ἐπάρατον δὲ ἐποιήσαντο εἴτις τῶν ἐμβαλόντων αὐταῖς ἐκκόψε, φίλος ἢ πολέμιος. διὸ Λακεδαιμόνιοι τὴν λοιπὴν γῆν δῃοῦντες, τῆς μὲν τετραπόλεως ἀπέσχοντο διὰ τοὺς Ἡρακλείδας, τῶν δὲ μορίαν, διὰ τὰς ἀράς. ὁ δὲ Ἀριστοτέλης καὶ τοῖς νικήσασι τὰ Παναθήναια ἐλαίου τοῦ ἐκ μορίων γιγνομένου δίδοσθαι φησί.

l. 693. Τὸ μέν τις] τὸ φυτὸν τῆς ἐλαίας.

l. 696. Μορίου Διὸς] μόριον Δία εἶπε τὸν ἐπόπτην τῶν μορίων ἐλαιῶν. καὶ ἔστιν ὁ λεγόμενος μόριος Ζεὺς περὶ Ἀκαδημίαν, ὡς φησιν Ἀπολλόδωρος, Περὶ Ἀκαδημίαν ἐστιν ὅ,τε τοῦ καταιβάτου Διὸς βωμὸς, ὃν καὶ μόριον καλοῦσι τῶν ἐκεῖ μορίων παρὰ τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἱδρυμένων.

l. 701. Εὔιππον, εὔπωλον] παρ' ὅσον ὁ κολωνὸς ἵππειος ἐλέγετο, καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ αὐτόθι ἵππειοι.

l. 702. Ω παῖ κρόνου] αὐτόθι φασὶ Ποσειδῶνα πρῶτον ἵππους ζεῦξαι καὶ χαλινῶσαι. καὶ ταῦτα δὲ ἐπὶ θεραπείᾳ φησὶ τῆς οἰκείας πόλεως ὁ Σοφοκλῆς. ὁ γὰρ κολωνὸς ἵππειος ὠνομάσθη παρ' ἃς ἐξεθέμην αἰτίας κατὰ Ἀνδροτίωνα. ἀλλ' ἔοικεν ἐπὶ τὸ σεμνότατον ἄγειν τὸ πρᾶγμα, τῇ ποιητικῇ καταχρώμενος ἀδείᾳ.

l. 705. Πρώταισι ταῖς δ' ἔκτισας] περὶ τὰ τρία ταῦτα κεφάλαια μάλιστα διατρίβουσι τοῦ ἐγκωμίου, ὅτι εὔφορος ἡ χώρα, καὶ ὅτι ἱππικοὶ Ἀθηναῖοι, καὶ ὅτι ναυτικοί.

l. 707. Πλάτα θρώσκει] κώπη

l. 709. Νηρήδων ἀκόλουθος] ἀκολούθως. ὅτι αἱ Νηρηΐδες πεντήκοντά εἰσιν.

l. 710 Ω πλεῖστ' ἐπαίνοις] ἡ Ἀντιγόνη ταῦτά φησιν ὁρῶσα προσιόντα τὸν Κρέοντα μετὰ χειρῶν.

l. 717. Εἰ γέρων ἐγὼ] κύριε δηλονότι.

Pag. 347. l. 720. Ἄνδρες χθονὸς] ἐπὶ τὴν Οἰδίποδος ἀφίκετο ὁ Κρέων, καὶ μὴ πείσας αὐτὸν ἐλθεῖν εἰς τὴν αὐτοῦ πατρίδα, παρασπᾶται αὐτοῦ τὴν Ἀντιγόνην, φθάσας κατὰ τὴν ὁδὸν καὶ τὴν Ἰσμήνην ἀφελέσθαι.

l. 723. Ον μήτ' ὀκνεῖτε] ὅντινα ἐμὲ δηλονότι μὴ φοβεῖσθε.

l. 730. Ουδ' ἐχ' ἥκει μοι γένει] ἀντὶ τοῦ ὅτι προσήκει μοι πενθεῖν τὰ τούτου ἀτυχήματα ὑπὲρ πάντας Θηβαίους.

l. 734. Ἐκ δὲ τῶνδε μάλιστ' ἐγὼ] ἐγὼ μάλιστά σε καλῶ, ὅσῳ περ πλεῖστον ἀλγῶ τοῖς σοῖς παθήμασι.

l. 738. Κἀπὶ περισσὸν μιᾶς] τῆς Ἀντιγόνης. εἴληπτο γὰρ ὑπ' αὐτοῦ ἡ Ἰσμήνη.

l. 747. Ἀλλ' οὐ γὰρ ἔξι τἀμφανῆ κρύπτειν] ὥστε συγγνώμης εἰμὶ ἄξιος λέγων· οὐ γὰρ δύναμαι κρύπτειν.

l. 753. Ω πάντα τολμῶν] ὦ ἐν εὐλογοφανέσι λόγοις πανοῦργα βουλευόμενε.

l. 755. Τί ταῦτα πειρᾷ;] βαρυτόνως ἀναγνωστέον πείρᾳ, οὐ περισπωμένως. οὕτω Δίδυμος.

l. 760. Ηνίκ' ἤδη μεστὸς ἦν] ὡς ἐπὶ κεραμείου τινὸς ἢ ἄλλου σκεύους εἴρηκε. τοῦτ' ἔστιν, ὅτε κορεσθεὶς τοῦ θυμοῦ, λοιπὸν τὰ συμφέροντα ἐβουλευόμην, καὶ οὐκ ἔτι ἤθελον φεύγειν.

l. 761. Καὶ τοὐν δόμοισιν] ἐν Θήβαις δηλονότι.

Pag. 349. l. 765. Γένος τὸ πᾶν] τὸ Ἀττικόν.

l. 768. Καίτοι τοσαύτη τέρψις] καὶ σὺ οὖν βούλει με εὐεργετεῖν μὴ θέλοντα.

l. 774. Προσφέρεις ἐμοὶ] ἀντὶ χάριτος δηλονότι.

l. 778. Ὡς μάταιον] ἀντὶ τοῦ ἐν ἀγροῖς.

Πόλις δέ σοι] καὶ ἵν' αἱ Θῆβαι ἀβλαβεῖς ἔσονται ἐκ ταύτης τῆς γῆς. ἄνατος δὲ, ἀντὶ τοῦ ἀβλαβὴς, ἢ ἀναίτιος.

l. 780. Οὐκ ἔστι σοι ταῦτα] οὐ προβήσεταί σοι ὁ σκοπός.

l. 784. Ἀρ' οὐκ ἄμεινον] ἆρα οὐ πλέον σου τὰ ἀποβησόμενα ἐν ταῖς Θήβαις οἶδα;

l. 785. Ἐκ σαφεστέρων κλύω] ἀντὶ τοῦ, καὶ σαφέστερον οἶδα.

l. 786. Φοίβου τε καὐτοῦ Ζηνὸς] δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμούς. ὡς καὶ ἐν Ἰφικλείᾳ φησί. καὶ Αἰσχύλος ἐν ἱερείαις, Στέλλειν ὅπως

τάχιστα

τάχιστα. ταῦτα γὰρ πατὴρ Ζεὺς ἐγκαθιεῖ λοξίᾳ. καὶ Ἀριστοφάνης ἥρωσιν.

l. 787. Ὑπόβλητον] οὐκ ἀληθὲς, ἀλλὰ πεπλασμένον. ἀπὸ τῶν ὑποβαλλομένων εἰς τὰ γένη παίδων ἀλλοτρίων.

l. 788. Στόμωσιν] δείνωσιν, καὶ παῤῥησίαν.

l. 793. Πότερα νομίζεις δυστυχεῖν] ἀντὶ τοῦ, ἐν τῷ μὴ πείθεσθαί σε μᾶλλον σὺ δυστυχεῖς ἢ ἐγώ.

l. 796. Πείθειν οἷός τ' εἶ] πείθειν με εἰς τὸ ἀκολουθῆσαί σοι.

Τοὺς πέλας] τοὺς ἀπὸ τοῦ χοροῦ.

l. 798. Λῦμα τοῦ γήρως] κάθαρμα. ὅ ἐστιν, ἀπαίδευτος μέχρι γήρως μένεις.

l. 800. Δίκαιον, ὅστις ἐξ ἅπαντος] ὅστις βούλεται ἐκ παντὸς δοκεῖν δίκαια λέγειν.

Πολλὰ καὶ τὰ καίρια] ἄλλο ἐστὶ τὸ μυαφεῖν, καὶ ἄλλο τὸ ἀναγκαῖα λέγειν.

l. 803. Οὐ δῆτα] τοῖς γοῦν σε οὐ δοκῶ καίρια λέγειν.

l. 804. Καὶ περὶ τῶνδε] καὶ περὶ τοῦ χοροῦ.

l. 806. Μαρτύρομαι] μάρτυρας καλῶ, ἐάν σε ἕλω, δικαίως τιμωρήσομαι, οἷα ἀνταμείβῃ με ῥήματα.

Pag. 351. l. 808. Τῶνδε συμμάχων] τῶν ἀπὸ τοῦ χοροῦ.

Ἕλοι βίᾳ] βιαζόμενος τοὺς ἐμοὺς συμμάχους καὶ φύλακας.

l. 809. Η μὴν σὺ κἄνευ] καὶ χωρὶς τοῦ λαβεῖν σε εἰς Θήβας.

l. 814. Τὴν δέ γ' οὐ μακροῦ] τὴν Ἀντιγόνην δηλονότι.

l. 815. Ω ξένοι] τῷ χορῷ φησίν.

l. 819. Ὑμῖν ἂν εἴη τήνδε] τὴν Ἀντιγόνην. τοῖς ἀκολούθοις δὲ ἑαυτοῦ φησὶν ὁ Κρέων.

l. 822. Τί δρᾷς ξένε] πρὸς τὸν Κρέοντα ἕλκοντα τὴν Ἀντιγόνην.

l. 823. Ἀλλὰ τῆς ἐμῆς] ἀδελφῆς μου γὰρ θυγάτηρ ἐστίν.

l. 828. Εἴργου] φυλάττου, χωρίζου.

l. 829. Σοῦ μὲν οὔ] οὐκ ἀπείρξομαι.

l. 830. Πόλει μάχῃ] ταῖς Ἀθήναις δηλονότι.

l. 833. Ὁδοιπορεῖν] ἀναχωρεῖν ἐντεῦθεν, ὦ Κρέον.

l. 835. Ἐναίρεται πόλις ἐμὰ σθένει] τουτέστι, βίᾳ πορθεῖται.

l. 838. Πρὸς βίαν πορεύομαι] ὑπὸ τῶν προστεταγμένων παρὰ τοῦ Κρέοντος ἀπάγομαι ἑλκομένη. ἐν μέρει δὲ παθητικῷ ἐστιν.

l. 841. Ἐκ τούτοιν γε μὴ σκήπτροιν) ἐκ τῶν θυγατέρων, αἷς ὡς σκήπτροις ἐχρῆτο καὶ βακτηρίᾳ.

Pag. 353. l. 851. Πόλει τάχα) ταῖς Ἀθήναις.

l. 858. Θεῖέν μ' ἄφωνον) μὴ ἄφωνος γενοίμην εἰς τὸ καταρᾶσθαί σε.

l. 859. Ψιλὸν ὄμμα) ὄμμα φησὶ τὴν Ἀντιγόνην.

l. 868. Καὶ χρόνῳ βραδὺς) γράφεται καὶ βαρύς.

l. 872. Τάνδ' ἄρ' οὐκέτι) ταύτην δ' ἄρα οὐκέτι νομίζω πόλιν, εἰ σὺ ἀπάξεις τοῦτον.

l. 874. Τά γ' οὐ τελεῖ) ταῦτα ἃ λέγει οὐ πληρώσει.

l. 875. Ζεὺς ταῦτ' ἂν) εἰ τελέσω, Ζεὺς εἰδείη.

l. 876. Ἀλλ' ἀνεκτέα) ἀνεκτέον. οὕτω γάρ φασι σκαπτέα, φυτευτέα, ἀντὶ τοῦ σκαπτέον, φυτευτέον.

l. 880. Τίς ποθ' ἡ βοή) σοφῶς τῇ οἰκονομίᾳ ἐχρήσατο, ὥστε μαθεῖν τὸν Θησέα τὰ γινόμενα, πρὸς ταῖς θυσίαις ὄντα τοῦ ἱππείου Ποσειδῶνος, ὑπὲρ τοῦ μὴ διατριβὴν ἐγγενέσθαι μηνύοντός τινος.

Pag. 355. l. 883. Ἦξα θᾶσσον ἢ) ταχύτερον ἢ ὡς ἔδει βαδίζειν.

l. 892. Θυμάτων ἄπο) ἀπὸ τῶν θυσιῶν. ἀντὶ τοῦ ὡς εἶχε σχήματος ἕκαστος.

l. 893. Σπεύδειν ἀπὸ ῥυτῆρος) ἀντὶ τῆς βλαύτης. τῶν δὲ ἐξηγησαμένων ἁπάντων Πραξιφάνης δοκεῖ ἄμεινον ἀποδιδόναι, ἀκούων τὸ ὑπόδημα, ὅ ἐστι τῶν ποδῶν τὸ κάλυμμα.

Ἔνθα δίστομοι) ὡς χρηστῆς οὔσης ὁδοῦ ἐκεῖσε.

l. 898. Εἰ μὲν δι' ὀργῆς ἧκον) εἰ μὲν δι' ὀργῆς ἐληλύθειν, ἐν ταύτῃ τῇ ὀργῇ ἧς οὗτος ἄξιος.

l. 901. Τούτοισιν οὐκ ἄλλοισιν) ὡς ἀπὸ ξένης γῆς ἀπέσπασεν, οὕτω καὶ αὐτὸς ἀπὸ ξένης γῆς ἀποσπασθήσεται.

l. 902. Οὐ γάρ ποτ' ἔξει) οὐκ ἀναχωρήσεις γὰρ ἐντεῦθεν πρὶν ἀναγάγῃς τὰς κόρας.

l. 909. Καὶ παρέστασαι βίᾳ) ἀντὶ τοῦ καταδουλοῖς αὐτὴν βίᾳ, καὶ μεθίστασαι. εἰώθεσαν δὲ οὕτω λέγειν καὶ ἀντὶ τοῦ ἐφυγάδευσαν. ἡμεῖς δ' ἂν εἴποιμεν, μετεστήσαντο, παρεστήσαντο λέγουσιν. Ἄλλως. Καὶ παρέστασαι βίᾳ, τὸ παρέστασαι, ἴσον ἐστὶ τῷ καταδουλοῖς, καὶ ὑποχείριον ποιεῖς. καὶ πάλιν παραστήσασθαι τούς δέ

τινάς φασι, παραφυλάττεσθαι. καὶ δεινοποιεῖ τὰ τοῦ Κρέοντος ὁ Θησεὺς τῇ καλουμένῃ αὐξητικῇ κεφαλαιώσει, καὶ συνάπτει πολλὰ κεφάλαια.

l. 922. Σὺ δ' ἀξίαν οὐκ οὖσαν] οὐκ οὖσαν ἀξίαν αἰσχύνεσθαι τὴν Θήβην δηλονότι, αἰσχύνεις. αἰσχύνει δὲ πατρίδα πολίτου ἁμαρτία.

Pag. 357. l. 927. Εἰ μὴ μέτοικος τῆσδε] ἀντὶ τοῦ ἔνοικος. οὐ γὰρ αὐτὸ τοῦτο τὸ μέτοικος, ὡς ἡμεῖς φαμὲν, εἴρηται· μετοίκους δὲ καλοῦσι τοὺς ἀπὸ ἑτέρας χώρας μεταβαίνοντας καὶ κατοικοῦντας ἐν ἑτέραις. κέχρηται δὲ καὶ Αἰσχύλος ἐπὶ τῶν οἰωνῶν ἐν Ἀγαμέμνονι λέγων οὕτως, Τῶνδε μετοίκων. μετοίκους γὰρ εἶπε τῶν ὑψηλῶν τόπων τοὺς οἰωνοὺς ἐκεῖ, ἀντὶ τοῦ ἐνοίκους.

l. 932. Ἐγὼ οὔτ' ἄνανδρον] τὴν ῥητορείαν παραφύλαξον, ὅτι τῶν μὲν κατηγορηθέντων αὐτοῦ οὐχ ἅπτεται, καινὰ δέ τινα ἐνθυμήματα καὶ πάνυ εὔλογα ἐξευρίσκων ἀντιρεῖ.

l. 935. Οὐδείς ποτ' αὐτοὺς] τοὺς Ἀθηναίους.

l. 938. Οὐδ' ὅτῳ γάμοι] παρ' ὅσον αὐτὸς τέκνον ἐστὶ μητέρα γεγαμηκώς.

l. 940. Τοιοῦτον αὐτοῖς Ἄρειον] ᾔδειν δὲ εὔβουλον ὄντα τὸν Ἄρειον πάγον. τοῦτον δὲ χθόνιον εἶπεν, ἐπεὶ ἐγγενῆ καὶ αὐτόχθονα καὶ ἐγχώριον οὐχ ὡς οἱ ἐξηγησάμενοι οἴονται, παρὰ τὸ τοὺς δικαζομένους ἐν αὐτῷ ὑπὸ τὴν χθόνα εἶναι. χθόνιον τοίνυν, τὸν αὐτόχθονα. λέγοι δ' ἂν τὴν Ἀρεοπαγιτῶν βουλήν. τὸν γὰρ πάγον ὄχθον τινὰ νοητέον. εἴρηται δὲ περὶ τῆς προσηγορίας αὐτοῦ πολλαχοῦ.

l. 947. Θυμοῦ γὰρ οὐδὲν γῆρας] ἐπεὶ, οὐκ ἔστι θυμοῦ κρατῆσαι ἄνθρωπον ὄντα. οὐ καταγηράσκει καὶ ἀποσβέννυται τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθῃ τοῦ βίου ὁ ἄνθρωπος. ἀδύνατον γάρ ἐστι ζῶντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι. τοῦτο δὲ καὶ παροιμιακῶς λέγει, ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει. λέγει δὲ διὰ τοὺς πρεσβυτέρους, ὅσῳ γὰρ γηράσκουσι, τὸν θυμὸν ἐρρωμενέστερον ἔχουσι. καὶ Ἀλκαῖος, ὡς λέγομεν, οὕτω κατὰ κοινοῦ αὐτοῦ μιμνήσκεται.

l. 953. Ὦ λῆμ' ἀναιδὲς] εἰκότως τὴν ἀνθυποφορὰν πρὸς τὸν Κρέοντα οὐκ ἀπὸ τοῦ Θησέως πεποίηκεν, ἀλλ' ἀπὸ τοῦ Οἰδίποδος. ἡ δὲ αἰτία πρόδηλος. καὶ ἅμα παραφύλαττε, εἰ καὶ τὰς πιθανὰς ποιεῖται τὰς ἐπιχειρήσεις. τῷ γὰρ ὄντι ὁ Οἰδίπους, (εἴ τις ἀκριβῶς ἐξετάζοι) ἄδικος μὲν οὐκ ἔστιν, ἀτυχὴς δὲ καὶ περιπαθής.

l. 954. Πότερον ἐμοῦ ἢ σαυτοῦ τόδε] ἐπεὶ τὴν ἀδελφήν σου λοιδορεῖς.

l. 958. Μηνίουσιν] ὀργιζομένοις.

Pag. 359. l. 970. Ἄκον πρᾶγμ' ἂν] τὸ ἀκούσιον.

l. 971. Μηδ' ὅς δὲ, τλῆμον] τὸ ἑξῆς, μηδ' ὅς δὲ γάμους τλῆμον, οὕς ὁμαίμου σῆς, ἀναγκάζων με λέγειν οὐκ ἐπαισχύνῃ;

l. 993. Λέγειν νομίζων ῥητὸν ἄρρητόν τ' ἔπος] τουτέστιν, ἀθυρόστομος ὤν.

l. 1003. Ὅθ' οὕνεκ' εἴ τις γῆ] ὅτι οὕνεκα, ἐκ παραλλήλου τὸ αὐτὸ, ὡς τὸ, εἴθ' ὤφελεν. ἀντὶ τοῦ, ἀγνοεῖς τοῦτο Κρέων, ὅτι εἴ τις χώρα θεοὺς ἐπίσταται γινώσκειν, ἡττᾶται περὶ τὸ φιλόθεον τῆς Ἀττικῆς.

l. 1014. Οἱ μὲν ἐξηρπασμένοι] οἱ θεράποντες Κρέοντος.

Pag. 361. l. 1016. Ἄλλοι γὰρ οἱ σπεύδοντες] ἄλλοι γὰρ Ἀθηναῖοι ἐπιδιώκουσιν αὐτάς.

l. 1017. Ἐπεύχωνται θεοῖς] οἷς οἱ θεράποντες.

l. 1024. Ἀλλ' ἴσθ' ὅτῳ σὺ πιστὸς] ἀντὶ τοῦ πιστεύων. καταστρέφει δὲ ἐπὶ τὸ πεποιθώς.

l. 1037. Εἴην ὅθι δαΐων] ὁ μὲν Κρέων καὶ ὁ Θησεὺς ἀπῆλθον· ὁ δὲ χορὸς ὑπονοεῖ τὸν Κρέοντα οὐ μόνον ἥκειν, ἀλλὰ μετά τινος χειρὸς, ἣν πλησίον που ἐστρατοπεδευκέναι. κατὰ τοῦτο οὖν καὶ οἱ τοῦ χοροῦ προβεβηκότες τὴν ἡλικίαν εὐχὴν ποιοῦνται ταύτην, εἴθε εἴην ὅπου αἱ συμβολαὶ καὶ αἱ μάχαι μέλλουσιν ἔσεσθαι. ὑπονοοῦσι γὰρ τὰ ὅμοια τῷ Θησεῖ περὶ τοῦ Κρέοντος. διὸ καὶ φασίν, εἴθε ἐπόπτης ἐγενόμην αὐτῶν.

l. 1038. Ἐπιστροφαί] ἀναστροφαί.

l. 1039. Τὸν χαλκοβόαν] στερρόβοαν, μεγαλόφωνον.

l. 1040. Ἢ πρὸς πυθίαις] ἀπὸ κοινοῦ τὸ ἀκταῖς ληπτέον. λέγοι δ' ἂν πυθίας ἀκτὰς τὸν τοῦ Πυθίου Ἀπόλλωνος βωμὸν τὸν ἐν τῷ Μαραθῶνι, ὅθεν καὶ τὴν θεωρίαν ἔπεμπον. ἱστορεῖ περὶ τούτων Φιλόχορος ἐν τῇ τετραπόλει, γράφων οὕτως, Ὅταν δὲ σημεῖα γένηται παραδεδομένα ἐν τοῖς ἱεροῖς, τότε ἀποστέλλουσι τὴν θεωρίαν οἱ ἐκ τοῦ γένους, Πύθιαι δὲ καὶ Δηλιάδες ὁπότερα ἂν καθήκῃ αὐτοῖς. θύει δὲ ὁ μάντις, ὅταν

μὲν

μὲν τὰ εἰς Δελφοὺς πόμπιμα γένηται, καὶ θεωρία πέμπηται, ἐν Οἰνόῃ, καθ' ἑκάστην ἡμέραν ἐν τῷ πυθίῳ· εἰ δὲ εἰς Δῆλον ἀποστέλλοιτο ἡ θεωρία, κατὰ τὰ προειρημένα θύει ὁ μάντις εἰς τὸ ἐν Μαραθῶνι Δήλιον. καὶ ἔστιν ἱεροσκοπία τῶν μὲν εἰς Δελφοὺς θεωρίας, ἐν τῷ κατὰ [illegible] Οἰνόην πυθίῳ· τῆς δὲ εἰς Δῆλον, ἐν [illegible]ὰ τὴν Μαραθῶνα Δηλίῳ. Ἄλ[illegible] Η πρὸς πυθίαις· ὡς ἐπὶ Μαραθῶ[illegible] τὸ πύθιόν ἐστιν.

l. 1041. Η λαμπάσιν ἀκταῖς] τὰ ἐν Ἐλευσῖνι τέλη φησί. καὶ εἴη λαμπάσιν ἀκταῖς λέγων, ταῖς λαμπαδευομέναις καὶ δαδουχουμέναις καὶ καταλαμπομέναις ὑπὸ τῆς μυστικῆς φλογὸς, καὶ τῶν ἱερῶν δᾳδῶν. περὶ ὧν Αἰσχύλος φησὶ, Λαμπρῶσιν ἀστραπαῖσι λαμπάδων σθένει. Ἄλλως. Ἀκταῖς περὶ Ἐλευσῖνα, ἀπὸ τῶν αὐτόθι ἐν τοῖς μυστηρίοις λαμπάδων.

l. 1042. Οὗ πότνιαι] αἱ θεσμοφόροι.

Τιθηνοῦνται] ἐπιμελοῦνται, καὶ ἀξιοῦνται θεραπείας.

l. 1043. Τέλη] τὰς τελετάς. καὶ Αἰσχύλος, Εφελξ', ἔρως δὲ τοῦδε μυστικοῦ τέλους.

l. 1044. Ὧν καὶ χρυσέα κλῂς] ἐπεὶ ἄρρητα τὰ μυστήρια, καὶ καθάπερ κλεισὶν ἡ γλῶσσα κατείληπται ὑπὲρ τοῦ μὴ ἐξενεγκεῖν.

l. 1046. Προσπόλων Εὐμολπιδᾶν] τῶν τετελεσμένων. ζητεῖται δὲ τί δήποτε οἱ Εὐμολπίδαι τῶν τελετῶν ἐξάρχουσι ξένοι ὄντες. εἴποι δ' ἄν τις ὅτι ἀξιοῦσιν ἔνιοι πρῶτον Εὔμολπον ποιῆσαι τὸν Δηϊόπης τοῦ Τριπτολέμου τὰ ἐν Ἐλευσῖνι μυστήρια, καὶ οὐ τὸν Θρᾷκα. καὶ τοῦτο ἱστορεῖν Ἴστρον ἐν τῷ περὶ τῶν ἀτάκτων. Ἀκεστόδωρος δὲ πέμπτον ἀπὸ τοῦ πρώτου Εὐμόλπου εἶναι τὸν τὰς τελετὰς καταδείξαντα, γράφων οὕτως, Κατοικῆσαι δὲ τὴν Ἐλευσῖνα ἱστοροῦσι πρῶτον μὲν τοὺς αὐτόχθονας, εἶτα Θρᾷκας τοὺς μετ' Εὐμόλπου παραγενομένους πρὸς βοήθειαν εἰς τὸν κατ' Ἐρεχθέως πόλεμον. τινὲς δέ φασι καὶ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν τὴν συντελουμένην καθ' ἐνιαυτὸν ἐν Ἐλευσῖνι Δήμητρι καὶ Κόρῃ. Ἀνδροτίων μὲν οὖν γράφει οὐ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν, ἀλλ' ἀπὸ τούτου Εὔμολπον πέμπτον γεγονότα. Εὐμόλπου γὰρ γενέσθαι Κήρυκα· τοῦ δὲ, Εὔμολπον· τοῦ δὲ, Ἀντίφημον· τοῦ δὲ, Μουσαῖον τὸν ποιητήν· τοῦ δὲ, Εὔμολπον τὸν καταδείξαντα τὴν μύησιν, καὶ ἱεροφάντην γεγονότα.

l. 1047. Τὸν ἐγρεμάχαν] γράφεται ὀρειβάταν· οἱονεὶ, τὸν διὰ τῶν ὀρέων βαίνοντα τὴν προειρημένην χώραν.

Pag. 363. l. 1052. Η που τὸν ἐφέσπερον] τὸν Αἰγαλεών φησι. καὶ γὰρ τοῦτο ἐπ' ἐσχάτων ἐστὶ τοῦ δήμου τούτου. καταλέγουσι δὲ χωρία παρ' ἃ μάλιστα εἰκάζουσι τὴν συμβολὴν γενέσθαι τοῖς περὶ τὸν Κρέοντα καὶ Θησέα. πέτρας δὲ νιφάδος εἴη ἂν λέγων τὴν οὕτω λεγομένην λείαν πέτραν, ἢ τὸν Αἰγάλεων λόφον· ἃ δὴ ἐπιχώρια φασὶν εἶναι, καθάπερ Ἴστρος ἐν τῇ πρώτῃ τῶν ἀτάκτων ἱστορεῖ, οὕτως, ἀπὸ δὲ τῆς χαράδρας ἐπὶ μὲν λείαν πέτραν. καὶ μετ' ὀλίγα, ἀπὸ τούτου δὲ ἕως Κολωνοῦ παρὰ τὸν χαλκὸν προσαγορευόμενον. ὅθεν πρὸς τὸν Κηφισὸν ἕως τῆς μυστικῆς εἰσόδου εἰς Ἐλευσῖνα. ἀπὸ ταύτης δὲ βαδιζόντων εἰς Ἐλευσῖνα, τὰ ἐπ' ἀριστερὰ μέχρι τοῦ λόφου τοῦ πρὸς ἀνατολὰς τοῦ Αἰγάλεω. ἤτοι οὖν τὴν καλουμένην λείαν πέτραν ἢ τὸν Αἰγάλεων λέγει. ὁ δὲ νοῦς, ἆρα ἐπὶ τὸν ἑσπέρον χῶρον τῆς λείας πέτρας προσπελάσουσι;

l. 1053. Πελῶσι] γράφεται πελάζουσιν.

l. 1054. Οἰάτιδος ἐκ νομοῦ] Οἴα δῆμος τῆς ἀττικῆς· ὅθεν καὶ τὸ οἴηθεν. ἐκ νομοῦ δὲ πάλιν, χωρίου Ἀττικοῦ οὕτω καλουμένου. ἐν ᾧ νέμουσιν, ὡς νεμήσεως παρακειμένης.

l. 1056. Ο προσχώρων ἄρης] ὁ τῶν ἐπιχωρίων.

l. 1058. Δεινὰ δὲ Θησειδᾶν] τῶν Ἀθηναίων. ἀπλούστερον δὲ Θησειδᾶν φησὶ τῶν ἀττικῶν τῶν ὑπὸ Θησέα τεταγμένων.

l. 1060. Πᾶσα δ' ὁρμᾶται] τὸ ἑξῆς, πᾶσα δ' ὁρμᾶται ἄμβασις.

l. 1068. Τάχ' ἂν δώσειν] τάχα ἐνδώσει, φησὶν, ὁ Κρέων.

l. 1069. Τὰν δεινὰ τλᾶσαν] τὴν πολλὰ δεινὰ ἀνατλᾶσαν. τὴν παρθένον ἀπὸ τῆς ἑτέρας δηλῶν. ὡς καὶ κατωτέρω τῷ ὁμοίῳ σχήματι χρῆται. δύναται δὲ καὶ ἑτέρα προσῳδία εἶναι. Τὰν δεινὰ τλᾶσαν, δεινὰ δ' εὑροῦσαν, τὰ σὰ δεινὰ δηλονότι.

Pag. 365. l. 1089. Στέργω διπλᾶς ἀρωγᾶς] τουτέστι, τῇ διπλῇ ἀρωγῇ. τῇ πόλει λέγει καὶ τοῖς πολίταις. νῦν δὲ διὰ τοῦ στέργω σημαίνει μὲν ὅτι προστίμησι

μέγα, τελευτᾷ δὲ εἰς ἴσον τῷ προσκαλοῦμαι.

l. 1219. Ω ξεῖνε μὴ θαύμαζε πρὸς τὸ λιπαρὲς] τὸ ἄριστον. ἰδίως ἐσχημάτισε τὸν λόγον, μὴ προσθαύμαζέ μου τὸ λιπαρὲς, τὸ λίαν προσοικειωτικὸς τῆς ψυχῆς τοῖς τέκνοις. τὸ δὲ ἑξῆς μέρον οὐ καταλλήλως εἶπεν. οὐ γάρ φησιν, ἀέλπτως φανέντων ἐμοὶ τῶν τέκνων μηκύνω τὸν λόγον, ἀλλὰ τέκνα φανέντα, εἶτα, μηκύνω τὸν λόγον.

l. 1220. Η, εἰ φανέντ' ἄελπτα μηκύνω λόγον] ἀντὶ τοῦ, πρὸς τὸ κηδεύσιμον εἰ μακρηγορήσω.

Pag. 367. l. 1133. Μέλου] ἐπιμελοῦ.

l. 1135. Θαυμάσας ἔχω] ἀντὶ τοῦ ἐθαύμασα, ἀττικῶς.

l. 1148. Πρᾶγος δ' ἀτίζειν] ἄνθρωπον δὲ (φησὶν) ὄντα, οὐ δεῖ πράγματα κακίζειν ἀεί.

l. 1151. Φασίν τιν' ἡμῖν ἄνδρα] καθ' ὑπόθεσιν ἱκετικὴν ὁ Πολυνείκης πρὸς αὐτοὺς παραγενέσθαι καὶ τοῦ Οἰδίποδος, κατά τι λόγιον ἐμπεσόν, ὅτι πρὸς οὓς ἂν χωρεῖ ὁ Οἰδίπους, κρατήσουσι τῆς βασιλείας. τοῦτο οὖν ἀγγέλλει ὁ Θησεύς.

Σοὶ μὲν ἔμπολιν] ἐν τῇ αὐτῇ πόλει οἰκοῦντα.

l. 1154. Θύων ἔκυρεν] ἀντὶ τοῦ ἐκύρησεν. ταὐτὸν δὲ τῷ ἐτύγχανον.

l. 1159. Σοί φασιν αὐτὸν] τὸ ἑξῆς, σοί φασιν αὐτὸν μολόντα αἰτεῖν εἰς λόγους ἐλθεῖν.

l. 1166. Ο προστάτης] ὁ ἱκέτης ὁ προσεστηκὼς τῷ βωμῷ.

l. 1168. Παῖς ὁ 'μὸς, ὦ 'ναξ] πρὸς τὸν Θησέα φησί.

Pag. 369. l. 1172. Τοῦθ' ἥκει πάρει] παραλόγως ἀντὶ τοῦ ἥκειν.

l. 1176. Πάτερ, πιθοῦ μοι] οὐχ ὡς οὐκ ἂν πεισθησομένου τῷ Θησεῖ τοῦ Οἰδίπου, οὕτως ἐδέησεν αὐτῷ καὶ τῆς ἐκ τῆς θυγατρὸς παρακλήσεως· ἀλλ' αὐξήσεως χάριν καὶ τοῦτο παρείληφε τὸ πρόσωπον ὁ Σοφοκλῆς. ὁμέλει γοῦν πρὸς τὸν Θησέα ἀποκρίνεται, ὡς ἐκείνῳ πεπεισμένος.

l. 1180. Οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρ.] τὸ ἑξῆς, θάρσει. οὐ γὰρ ἃ μή σοι συμφέροντα λέξει, πρὸς βίαν σε παρασπάσει γνώμης. τὸ δὲ λέξεται, ἀντὶ τοῦ λέξει, ὁ Πολυνείκης δηλονότι. Ἄλλως. ὀφείλων εἰπεῖν, ἃ λέξει ὁ Πολυνείκης, λέξεται εἶπε πρὸς τὸ ἅ,

ἤγουν ἃ λεχθήσεται.

l. 1189. Ἐξεπᾴδονται] καταπραΰνονται.

l. 1191. Πατρῷα καὶ μητρῷα] τὰ περὶ τὴν πήρωσιν λέγοι ἄν. οὐ γὰρ τὰ ἐξ ἀρχῆς πραχθέντα ὀνειδίζει αὐτῷ, ἀλλ' ὑπὸ τῆς ἄγαν ὀργῆς ἀπέβη. τοῦτο γὰρ αὐτὸν ἀποτρέπειν βούλεται.

l. 1198. Τίνειν] ἀμείβεσθαι.

l. 1205. Σῶς ἴσθ'] ἀντὶ τοῦ σῶον.

l. 1206. Οστις τοῦ πλέονος μέρους] καταδηλός ἐστιν ὁ χορὸς ἐν ταύτῃ ἀναφωνῶν καὶ ἀλληγορῶν περὶ τῆς τῶν ἀνθρώπων ἀπληστίας· καὶ ἔοικε τῷ Ἡσιόδῳ, Νήπιοι οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός. τείνει δὲ ταῦτα εἰς τὴν δυσποτμίαν Οἰδίπου.

Pag. 371. l. 1213. Ο πότ' ἄν τις] ὅτε ἄν τις εἰς πλέον πέσῃ τοῦ θέλοντος, τοῦ μετρίου, τοῦ ἱκανοῦ, τοῦ προσήκοντος, ἀφανῆ τὰ τέρποντα γίγνεται, καὶ πάντη ἄδηλα. Ἄλλως.

l. 1214. Ἐς πλέον πέσῃ.] οὐ παύονται τοῦ κόρου πρὶν εἰς θάνατον ἔλθωσιν.

l. 1215. Οὐδ' ἔτι κόρος] γέγονε κόρος. ταῦτα δὲ καθ' ἑαυτὸν φησὶν ὁ χορὸς, ὅτι ὁ πλεονεκτεῖν ἐθέλων παρὰ τὸ καίριον καὶ τὸ μέτριον, ἄχορός ἐστι ᾅδου.

l. 1216. Ἰσοτέλεστος] ὁμοίως γὰρ ἀποθνήσκουσιν οἱ τοιοῦτοι. τὸ ἑξῆς δὲ, ἰσοτέλεστος θάνατος. τὰ δὲ ἄλλα, διὰ μέσου. καὶ βῆναι κεῖθεν ὅθεν περ ἥκει, πολὺ δεύτερον, ὡς τάχιστα. τὸ δ' ὅλον, οὐδὲ ἔπεστιν αὐτοῖς κόρος ἰσοτέλεστος τοῦ ᾅδου. τότε γὰρ ὁ τοιοῦτος κόρος λαμβάνει τέλος ὅτ' ἂν ὁ ᾅδης ἐπέλθῃ.

l. 1218. Ἄλυρος, ἄχορος] ἐπεὶ ἐν θανάτῳ οὐχ ὑμνοῦσιν, ἢ μετὰ θάνατον οἱ τοιοῦτοι οὐχ ὑμνοῦνται.

l. 1220. Μὴ φῦναι, τὸν ἅπαντα] πάνυ ἄριστον ἀνθρώποις τὸ μὴ φῦναι· παρὰ τὸ λεγόμενον, Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον.

l. 1221. Τὸ δ' ἐπεὶ φανῇ] τοῦτο δὲ τὸ ἑξῆς, ἐπεὶ δὲ φανῇ, τὸ βῆναι ἐκεῖθεν ὅθεν περ ἥκει, ὡς τάχιστα, παρὰ πολὺ τῶν ἄλλων δεύτερόν ἐστιν ἐκείνου τοῦ μὴ φῦναι καθόλου.

l. 1224. Ὡς εὖτ' ἂν τὸ νέον παρῇ] ὡς ἡνίκ' ἂν νηπιότης παρῇ (ταύτας γάρ φησι κούφας ἀφροσύνας) οὐδὲν ἐπιλογίζεται τῶν δεόντων. ἰδίως δὲ αὐτὸ ἐξένωσεν, ὡς εἰ ἔλεγε, τῷ γὰρ νέῳ ἀφροσύνη πάρεστι.

l. 1226.

l. 1226. Τίς πλάγχθη πολύμοχθος ἔξω] τοῦτο ἰδίως ἐξελώβηκε. βούλεται δέ τι τὸ τοιοῦτον σημαίνειν, τίς ἂν πλαγχθείη τῶν πολλῶν μόχθων; ἤγουν, τίς ἔξω τοῦ πολύμοχθος εἶναι ἐπλανήθη;

l. 1227. Τίς οὐ καμάτων ἔνι] ταῦτα ἐρωτηματικῶς εἴρηται κατὰ τοιαύτην ἀπόκρισιν καθ' ἣν ἐμφαίνεται. πρότερον μὲν, ὅταν εἴπῃ, τίς πλάγχθη τῶν μόχθων τῶν πολλῶν, ὑπακουομένου τοῦ οὐδείς· πάλιν δὲ ὅταν ἑξῆς ἐπιζεύξῃ, τίς οὐ καμάτων ἔνι, τὸ πᾶς. βούλεται γὰρ καὶ νῦν κατὰ τὸ ὅμοιον λέγειν, οὐδείς ἐστι καμάτων ὃς οὐκ ἔνεστιν.

l. 1243. Αἱ δὲ νυχιᾶν ἀπὸ ῥιπᾶν] τὰ ἀπὸ τῶν ὀρῶν φησὶ τῶν προσαγορευομένων ῥιπῶν· ἅτινες καλοῦσι ῥιπαῖα ὄρη. λέγει δὲ αὐτὰ ἔννυχα διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι. μέμνηται δὲ καὶ Ἀλκμὰν, λέγων οὕτως, Ῥιπὰς ὄρος ἔνθεον, ὕλας νυκτὸς μελαίνας στέρνον. καὶ ἐν Ἰλιάσιν Αἰσχύλος, Ῥιπαὶ μὲν δὴ πατρός.

Pag. 373. l. 1249. Οἴμοι τί δράσω] παραφυλάττου πάλιν τὴν τέχνην τῆς ῥητορείας αὐτοῦ, ὅτι οὐκ εὐθέως ἐπὶ τὴν ὑπόθεσιν αὐτοῦ ἀπαντᾷ, ἀλλὰ προκατασκευάζει τὰ ὅλα εἰς εὔνοιαν.

l. 1257. Ἀδελφαὶ δ' ὡς ἔοικε] κοινὰ δὲ τούτοις, ὡς ἔοικε, γίγνεται.

l. 1265. Προσφορεῖ δ' οὐκ ἔστ' ἔτι] ἐπανάληψις, ἀντὶ τοῦ ἀνακαλέσασθαι αὐτὰ καὶ ἀναλῦσαι οὐκ ἔστι.

l. 1272. Τὸ δυσπρόσοιστον] τὸ δυσπροσπέλαστον.

l. 1286. Ἃ δ' ἦλθον, ἤδη] λείπει ἡ διὰ, ἵν' ᾖ, δι' ἃ ἦλθον.

Pag. 375. l. 1307. Σὺν ἑπτὰ τοῖς λόγχαις] ἕκαστον σύστημα ἑνικῶς ὀνομάζει λόγχην, ὡς εἴ τις ἐπὶ πολλῶν ἵππων εἴποι τὴν ἵππον.

l. 1316. Ἕκτος δὲ Παρθενοπαῖος] ἔνιοι οὐ τῆς Ἀταλάντης Παρθενοπαῖόν φασι στρατεῦσαι, ἀλλὰ τὸν Ταλαοῦ, ὃν ἔνιοι διὰ τοῦ Κ Καλαὸν προσαγορεύουσι, καθὰ καὶ Ἀρίσταρχος ὁ Τεγεάτης καὶ Φιλοκλῆς ἱστοροῦσιν· συγγραφέων δὲ, Ἑκαταῖος ὁ Μιλήσιος.

l. 1317. Ἐπώνυμος τῆς πρόσθεν] παρὰ τὸ παρθένος οὕτω κληθείς.

l. 1325. Τῷδ' ἀνδρί] δεικτικῶς. καὶ ἔστι πυκνὸς ἐν τῷ τοιούτῳ Σοφοκλῆς.

l. 1329. Πρὸς νῦν σε κρηνῶν] παθητικὸν ἐστι τὸ πρὸς πατρῴων κρηνῶν ὁρκοῦν· ὡς εἰ ἔφη, πρὸς τῶν ἐκθρεψάντων σε ὑδάτων.

Pag. 377. l. 1341. Τὸν ἄνδρα, τοῦ πέμψαντος] ἤρξατο πάλιν ὁ χορὸς χρηστόν τι συμβουλεύειν.

l. 1345. Θησεὺς δικαιῶν] δίκαιον κρίναν.

l. 1349. Ὅς γ' ὦ κάκιστε] δαιμονίας τῇ ἀποστροφῇ χρῆται ἀπὸ τοῦ χοροῦ ἐπὶ τὸν Πολυνείκην ὁ Οἰδίπους. παραφύλαξον δὲ πῶς οἱ αὐτοὶ τῶν λόγων γίγνονται τῶν μὲν ἐπαινετῶν ἐγκώμιον, τούτου δὲ κατηγόρημα.

l. 1370. Τοιάσδ' ἀρὰς] τοῦτο ἅπαξ ἅπαντες οἱ πρὸ ἡμῶν παραλελοίπασιν. ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως· οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον, ἐκλαθόμενοι ποτὲ εἴτε κατὰ ῥᾳστώνην, εἴτε ἐξ ὁτουοῦν, ἰσχίον αὐτῷ ἔπεμψαν. ὁ δὲ μικροψύχως καὶ τελέως ἀγεννῶς ἀρὰς ἔθετο κατ' αὐτῶν, δόξας καταλιγωρεῖσθαι. ταῦτα ὁ τὴν κυκλικὴν Θηβαΐδα ποιήσας ἱστορεῖ οὕτως, Ἰσχίον ὡς ἐνόησε, χαμαὶ βάλεν, εἶπέ τε μῦθον, Ὤ μοι ἐγὼ, παῖδές με ὀνειδείοντες ἔπεμψαν. Εὖκτο Διῒ βασιλῆϊ καὶ ἄλλοις ἀθανάτοισι, Χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι Ἄϊδος εἴσω. τὰ δὲ παραπλήσια τῷ ἐποποιῷ καὶ Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις. καὶ ἔοικε τὸ τῆς ἱστορίας ἥκειν ἐπὶ πολλούς· ὡς καὶ παρά τινι ἐκτεθεῖσθαι αὐτὰ πρὸς τὸ γελοιότερον διὰ τούτων, Ἀεὶ δ' ὁρῶντί γ' ὀξὺ, εἰ καὶ τυφλὸς ἦν. Θυσίας γὰρ ἀπαρχὰς γέρας ἐπιπεμπομένου πατρὶ, Περισσὸν ὦμον, ἔκκριτον γέρας· τὸ δὲ Αὐτοί γε συκοφάντες οὐ μεμνημένοι, Λήθῃ δοκοῦντες, ἀντὶ τοῦ κεκομμένου Ἐπέμψαμεν βόειον. ὁ δὲ λαβὼν χερὶ, Ἔγνω γ' ἐπαφήσας. εἶπέ τ' ἐκ θυμοῦ τάδε, Τίς μοι τόδ' ἀνθόμοιον μισητὸν κρέας Πέμπει; γέλων δὴ ταμὰ ποιοῦνται κόροι, Θύοντες ὕβρει τυφλὸς οὔποι γνώσεται, Οὕτω λέγοντες. ὦ θεοὶ μαρτύρομαι Ἐγὼ τάδ' ὑμᾶς, καὶ καθεύχομαι κακὰ Αὐτοῖσιν, αὐτοὺς τῶνδε δὶς τόσα χέειν. Χειρὶ δὲ μαρμαίροντες ἀλλήλων χρόα Σφάζοιεν ἀμφὶ κτήμασιν τοῖς βασιλικοῖς. καὶ Μένανδρος ἐν ναυκλήροις, Ὅτε Πολυνείκης πῶς ἀπώλετ' οὐχ ὁρᾷς;

Pag. 379. l. 1394. Οἴμοι κελεύθου] καὶ αὕτη δευτέρα ἐστὶν ὥσπερ δέησις, καὶ παθητικωτάτη, ἐν τῷ ἀπολοφύρεσθαι αὐτὸν, τεχνάζομένη πάνυ πιθανῶς.

l. 1421. Χρῄζει γὰρ] ἐν ἴσῳ τῷ χρησμῳδεῖ. τοῦτο ἐφ' ἑαυτοῦ φησὶ καὶ τοῦ ἀδήφου. ἡμῖν δὲ οὐ συμβατέα οὐδὲ συγχωρητέα.

l. 1422. Οἴμοι τάλαινα. τίς δὲ] τὸ ἑξῆς, τίς δὲ τολμήσει ἕπεσθαι, κλύων τὰ τοῦδε τἀνδρός;

Pag 381. l. 1424. Οὐδ' ἀγγελοῦμεν] καὶ ἐν ταῖς τέχναις ἐστὶ τοῦτο, ὅτι οὐ πάντα δεῖ ἀληθεύεσθαι ἐὰν μὴ χρήσιμα ᾖ, ἀλλὰ δεῖ καί τινα ψεύδεσθαι.

l. 1432. Μέθεσθέ γ' ἤδη] καὶ ἐκ τούτου δῆλον ὅτι ἐν τῇ παρακλήσει ἅμα τῶν λόγους λέγουσα τούτους εἴχετο αὐτοῦ ἡ ἀδελφή.

l. 1439. Καὶ τῇδε φωνῶ] καὶ τοιᾷδε τύχῃ καὶ ἐναντίᾳ.

l. 1442. Νέα τάδε νεόθεν ἦλθέ μοι] καινά. εἰ καὶ ὅτι μάλιστα ξενικά ἐστι τὰ προειρημένα, καὶ τὰ κατέχοντα τούτους κακά, ὅμως συναλγεῖ καὶ εὐλαβεῖται ὁ χορὸς μὴ ἐκ τῆς ὁμιλίας τῆς σὺν αὐτοῖς, ἀπολαύσωσί τινος κακοῦ καὶ αὐτοί. ἐν τοιούτῳ οὖν ἤδη καὶ ὁ λόγος αὐτοῖς διάκειται, τοιαῦτα πάρεστιν ἡμῖν (φησὶν) ἄτοπα παρὰ τοῦ ξένου ἀπολαῦσαι, ἐκτὸς εἰ μὴ μοῖρά τις καταλαμβάνει ἡμᾶς, καὶ κατὰ μοῖραν ἀπολαύομεν ὧν ἀπολαύομεν.

l. 1445. Εἴ τι μοίρα] εἰ μὴ κατὰ μοῖραν ταῦτα πάσχω, εἴποιμι ἂν ἐκ τῆς Πολυνείκους νέα μοι κακὰ ἐληλυθέναι.

l. 1446. Μάτην γὰρ οὐδὲν ἀξίωμα] ἤγουν, οὐδέν ἐστι μάταιον ὑπὸ Θησέως ἀξιωθὲν πραχθῆναι, ἀλλ' ὃ ἂν γένηται ὑπὸ Θησέως, τοῦτο καλῶς γίγνεται. τὸ δὲ ἑξῆς, μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι. ἐπειδὴ ὁρᾷ ταῦθ' ὁ ἀεὶ χρόνος, ἕτερα μὲν αὔξων ἄνω, τὰ δὲ παρ' ἦμαρ αὖθις. ὅ ἐστιν, εἰς τὸ ἔμπαλιν τρέπων τὰ ἤδη αὐξηθέντα. ἤγουν, πάντα ἔχει ὑφ' ἑαυτῷ ὁ χρόνος· τὰ μὲν ὁρᾷ, τὰ δὲ καὶ αὐτὸς ὁρᾶται ποιῶν. τὰ γὰρ πραττόμενα, τῷ χρόνῳ φαίνεται. τουτέστιν, ἐν τῷ χρόνῳ πολλαὶ μεταβολαὶ γίγνονται, καὶ ὁρᾶται ὁ χρόνος πολλὰ μὲν αὔξων παρ' ἦμαρ, πολλὰ δὲ εἰς τὸ ἔμπαλιν τρέπων.

l. 1451. Εκτυπεν αἰθὴρ] τὸ συνεκτικώτατον τοῦ δράματος ἐν τούτῳ. καθάπερ προεῖπεν ὁ Οἰδίπους, Σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα, Ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας. μεταξὺ οὖν τῶν χορικῶν λόγων γίγνεται τοῦτο. ἐφ' ᾧ ὁ χορὸς ἀναβοᾷ. ὅπερ ἦν σύμβολον τοῦ τὸν Οἰδίποδα τεθνήξεσθαι. ὅπερ γνωρίσας ὁ Οἰδίπους, ἀξιοῖ τὸν Θησέα ἐν τάχει παραγενέσθαι.

l. 1454. Τἀξίωμα] τὸ βούλημα.

Pag. 383. l. 1459. Ες δ' ἄκραν] ἄκραν φόβαν κρατὸς, οὕτως ἀποδώσεις.

l. 1461. Οὐρανία γὰρ ἀστραπὴ] ἀντὶ τοῦ ταχεῖα.

l. 1464. Οὐ γὰρ ἅλιον] οὐ μάταιον. τοῦτο (φησὶν) οὐ μάτην γίγνεται τὸ κατὰ τὴν διοσημείαν, ἀλλ' ἐπί τινι μεγάλῃ συμφορᾷ. νῦν δὲ συμφορὰν φησὶ τὸ μέσον ὄνομα τῆς συντυχίας. ἤγουν, ἐπί τινι γίγνεται ἡ διοσημεία.

l. 1465. Ἀφορμᾷ] ἀπὸ κοινοῦ τὸ ἀφορμᾷ.

l. 1468. Τῷ δ' ἐπ' ἀνδρὶ] ἐπ' ἐμοὶ δηλονότι.

Θέσφατος βίου τελευτὴ] ἡ θεσπισθεῖσα τελευτή.

l. 1469. Ἀποστροφὴ] ἀποφυγή.

l. 1470. Τῷ δὲ συμβαλὼν] τίνι τεκμηρίῳ νοήσας. στοχασάμενος.

l. 1474. Ἀμφίσταται] περιΐσταται ἡμῖν μέγας ψόφος.

l. 1476. Ἵλαος ὦ δαῖμον] λείπει τὸ ἔσο. εὐσεβέστατα δὲ ὁ χορὸς εὔχεται πρὸς τὸν θεὸν, εἰ ἐπί τινι χαλεπῷ ταῦτα πράττει, ἵλεων αὐτὸν γενέσθαι. ὅρα οὖν ὅτι ἡ συμφορὰ ἐπὶ τῆς μέσης ἐννοίας κεῖται.

l. 1477. Ματέρι] τῇ Ἀττικῇ.

Ἀφθεγγὲς] χαλεπόν.

l. 1478. Ἐναισίου δὲ συντύχοιμι] μηδὲ πονηρῷ τινι συντύχω.

l. 1480. Ἀκερδῆ χάριν] ἧς φαῦλον τὸ κέρδος.

Μετάσχοιμί πως] ἀντὶ τοῦ σχοίην.

l. 1482. Αρ' ἐγγὺς ἀνὴρ] ὁ Θησεύς.

l. 1484. Τί δ' ἂν θέλοις τὸ πιστὸν] τί πιστὸν (φησὶ) θέλεις ἐμβαλεῖν τῇ φρενὶ ἐκείνου; τῇ τοῦ Θησέως δηλονότι. ἀντὶ τοῦ, τί βούλει πιθανὸν ἀνακοινώσασθαι τῷ Θησεῖ;

l. 1486. Δοῦναί σφιν] ἀντὶ τοῦ αὐτῷ (κατὰ τιμὴν δὲ πληθυντικῶς) ἃ πάρος ὑπεσχόμην. Ἄλλως. Ἡ σφὶν ἀντὶ τῆς οἱ ἀντωνυμίας κεῖται. ἔδει γὰρ εἰπεῖν, τελεσφόρον δοῦναί οἱ χάριν.

Pag. 385. l 1488. Ἰὼ παῖ] θαυμαστῶς ὁ χορὸς βοᾷ. ἐπάγει γὰρ τὰ πράγματα.

l. 1489. Ἐπὶ γύαλον] ἢ ἐπὶ πρὸς τὰ ἄκραν· ἵν' ᾖ, ἐπ' ἄκραν πέτραν.

l. 1490. Ποσειδαωνίῳ] Ποσειδῶνι. διὰ κεῖται τὸ Χ. Ἄλλως. Ποσειδαωνίῳ, ἀντὶ

ἀντὶ τοῦ Ποσειδῶνος, ὅ ἐστιν ἐναλίου θεοῦ. ὁ δὲ ἑτέρως ἐσχημάτισε, κτητικώτερον πως. διὸ κεῖται τὸ Χ.

l. 1491. Αγιάζων] ἀντὶ τοῦ ἁγίζων.

l. 1495. Παρ' ὑμῶν] ὁμοῦ τε καὶ Οἰδίποδος.

l. 1498. Ἐπιῤῥάξασα] ἀντὶ τοῦ ἐπιῤῥάξεν.

l. 1500. Θεῶν τύχην] ἐπιτυχίαν.

l. 1502. Νέορτον αὖ] ἀντὶ τοῦ νέον.

l. 1503. Καί σ' ἄπερ] τὸ ἑξῆς, καὶ σὲ μὴ ψεύσας.

l. 1507. Σημάτων προκειμένων] ὅτι, διὰ τῶν σημείων.

l. 1514. Γήρως ἄλυπα] ἕως γήρως.

Τῆσδε κείσεται] γράφεται, σῇ τε κείσεται.

l. 1518. Μήθ' οὗ κέκευθε] μήτε ὅπου κρύπτεται ὁ χῶρος.

l. 1520. Γειτόνων] εἰ μὴ βαρυτόνως γειτόνων, τῶν Θηβαίων νοητέον· εἰ δὲ περισπωμένως γειτονῶν, ἀντὶ τοῦ γειτνιῶν ὁ τόπος.

Pag. 387. l. 1521. Α δ' ἐξάγιστα] καθαρά. σημαίνει γὰρ τὸ ἄγος τοῦτο, καὶ τὸ ἁγνὸν καὶ μὴ οἷόν τε ῥηθῆναι. καὶ ἐπὶ τούτου γὰρ τούτῳ χρῶνται πολλαχοῦ.

l. 1526. Τῷ προφερτάτῳ μόνῳ] χρησίμως καὶ τοῦτο, ὥστε παρὰ τὸν καιρὸν τῆς τελευτῆς παραδιδόναι τὸ ἀπόῤῥητον τῷ πρεσβυτέρῳ υἱῷ, ὑπὲρ τοῦ μέχρι τοῦ παντὸς διαμεῖναι τὴν ὠφέλειαν τοῖς Ἀθηναίοις, δι' ἧς τῶν Θηβαίων κρατήσουσι.

l. 1528. Αδῄωτον] ἀδῄωτον.

l. 1530. Κἂν εὖ τις οἰκῇ] κἂν δικαίως τὶς πολιτεύηται, πολλαὶ πόλεις ἀδίκως ἐπέρχονται.

l. 1536. Μηδέ γ' ἐντρεπώμεθα] ἀντὶ τοῦ ἐπιστρεφώμεθα (Ὅμηρος, ἐντροπαλιζόμενος) ἐγὼ γὰρ ἡγεμὼν ὑμῖν πέφηνα, ὥσπερ ὑμεῖς τῷ πατρί.

l. 1542. Τῇδ' ὧδε γάρ μ' ἄγει] οὐ πλάιει ὁ ὑποκριτὴς, ἀλλ' εὐθὺ ἄπεισιν, ὥσπερ ἀγόμενος ὑπὸ τοῦ θεοῦ. πάνυ δὲ σεμνῶς καὶ τὸ τοῦ Ἑρμοῦ προσέθηκεν.

l. 1544. Ω φῶς ἀφεγγές] ὃ τῷ νῷ ὁρᾷ, οὐ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς.

l. 1548. Περίπολοι τὸ σοί] οἱ Ἀθηναῖοι.

l. 1551. Τὰν ἀφανῆ θεὸν] τὴν Περσεφόνην φησίν.

l. 1553. Ἐννυχίων ἄναξ] τῶν ἐν νυκτὶ ἀεὶ καὶ σκότῳ διατελούντων. τεθνηκότων.

l. 1555. Δίδομαι μήτ' ἐπιπόνῳ] τὸ ἑξῆς μὲν, δῆλα ἐκ τῆς λέξεως. τὸ δὲ δίδου μοι, τούτῳ ἀσυνάρτητόν πως φαίνεται ἡμῖν. ἐπιστῆσαι οὖν ἄξιον λαβόντας καλὸν ἀντίγραφον, δίδου μοι τὸν ξένον καταπνύσαι τὰς παγκευθεῖ κάτω νεκύων πλάκας, καὶ στύγιον δόμον, μήτ' ἐπιπόνῳ μήτ' ἐπὶ βαρυηχεῖ μόρῳ. εὔχεται δὲ αὐτῷ μὴ δυσθανατῆσαι.

Pag. 389. l. 1561. Καὶ μάταν πημάτων] ἀποστρέφει τὸν λόγον πρὸς τὸν Οἰδίποδα. τὸ δὲ μάτην ἐκνευμένον, ἔν τινι τρόπῳ εἴρηκε, παρ' ὅσον σχεδὸν πάντα τὰ ἁμαρτήματα τοῦ Οἰδίποδος ἀκουσίως ἐγένετο. καὶ νῦν οὖν κατὰ τοῦτο μάτην ἂν λέγοι τιμωρίαν ὑπέχειν αὐτόν.

l. 1563. Ω χθόνιαι θεαί] αἱ ἐριννύες.

l. 1564. Θηρὸς] τοῦ Κερβέρου.

l. 1566. Εὐνᾶσθαι] κοιμᾶσθαι. λείπει τὸ φασίν. ὁ γὰρ οὗτος τοιοῦτος, ὅν φασι κοιμᾶσθαι, κνύζεσθαί τε φασί. τοῦτο δὲ καὶ ἑξῆς αὐτὸς ἀποδίδωκεν, εἰπὼν, λόγος αἰὲν ἀνέχει. ἤρκει δὲ εἰ καὶ ἔλλειψιν ἐξενήνεκτο ὁ λόγος.

l. 1568. Λόγος αἰὲν ἀνέχει] ἀντὶ τοῦ φασίν.

l. 1570. Ον, ὦ γᾶς παῖ] τὸν Κέρβερον (φησὶν) ἐξευμενίζομαι, τῷ ξένῳ ὁρμωμένῳ καὶ περῶντι νερτέρας νεκρῶν πλάκας, ἀβλαβῶς ὑπαντῆσαι.

l. 1571. Κατεύχομαι ἐν καθαρῷ] ἐπανέλαβε. τῷ δὲ ἑνικῷ κέχρηται ἀντὶ τοῦ πληθυντικοῦ. λέγει γὰρ τὰς Εὐμενίδας. ταύτας δὲ οὕτω καὶ ἐν ἀρχῇ γενεαλογεῖ.

l. 1574. Τὸν αἰένυπνον] ὑφ' ἓν ἀναγνωστέον αἰένυπνον, τὸν ἀεὶ ὕπνον, τὸν διὰ παντὸς κοιμώμενον. φησὶ δὲ τὸν Θάνατον, ὥσπερ δαίμονά τινα ὄντα. πρὸς πάντας γὰρ σχεδὸν τοὺς ὑποχθονίους τὴν παράκλησιν ἐποιήσατο, τὸν Πλούτωνα, τὴν Περσεφόνην, τὸν Κέρβερον. καὶ νῦν πρὸς τὸν Θάνατον αὐτόν.

l. 1575. Ανδρες πολῖται, ξυντομωτάτως] ἀντὶ τοῦ συντόμως. ἔστι δὲ ὁ ἄγγελος, εἷς τῶν ἀκολουθησάντων Θησεῖ θεραπόντων, καὶ ἀφῖκται ἔνια ἀπαγγέλλων τῶν πραχθέντων ἐπὶ τῆς ἐρημίας. οὐ γὰρ πάντα δυνατὸν ἦν θεάσασθαι.

l. 1580. Κεῖνον τὸν ἀεὶ βίοτον] τὸ μακρὸν γῆρας, ἢ τὴν μακρὰν ζωήν. εἰώθασι γὰρ τὸ ἀεὶ καὶ ἐπ' ὀλίγου χρόνου τάσσειν. Ὅμηρος,—ἔχων κότον ἐμμενὲς αἰεί.

l. 1583.

l. 1583. Ὡς μὲν γὰρ ἐνθένδ'] ὑπερβατόν. ὡς μὲν γὰρ ἐνθένδ' εἷρπεν, ὑφ' ἡγητῆρος οὐδενὸς φίλων, ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος, καὶ σὺ παρὼν οἶδας. Ἄλλως. Ὑφηγητῆρος, κατὰ συναλοιφήν. λέγει δὲ ὅτι ὑπ' οὐδενὸς ἡγητῆρος.

l. 1585. Ἐξηγούμενος] προηγούμενος.

l. 1586. Ἐπεὶ δ' ἀφῖκτο τὸν καταρράκτην ὀδόν] ἀντὶ τοῦ οὐδόν. ὃν ἐν ἀρχῇ εἶπε χαλκόπουν οὐδόν, τοῦτον νῦν ὑποτίθεται ἐκτὸς τῆς σκηνῆς, καὶ οὐκέτι ἐν ὄψει τοῦ θεάτρου. καὶ νῦν καταρράκτην προσηγόρευσε, διὰ τὸ νομίζειν ἐκεῖνον τὸν τόπον κατάβασιν ἔχειν εἰς ᾅδου. καί εἰσιν οἳ δι' αὐτῆς τὴν ἁρπαγὴν φασὶ τῆς Κόρης γενέσθαι.

l. 1588. Κελεύθων ἐν πολυσχίστῳ] ὡς πλειόνων οὐσῶν τῶν ὁδῶν.

l. 1589 Κοίλου πέλας κρατῆρος] τοῦ μυχοῦ. τὰ γὰρ κοῖλα οὕτως ἐκάλουν ἐκ μεταφορᾶς. ὅθεν καὶ τὰ ἐν τῇ Αἴτνῃ κοιλώματα, κρατῆρες καλοῦνται. λέγει δὲ δι' οὗ καταβῆναι φασὶ τὴν Κόρην ἁρπαγεῖσαν. Πειρίθου δέ φησι κεῖσθαι συνθήματα, ἤτοι ὑπομνήματα τῆς πίστεως ἧς ἔθεντο πρὸς ἀλλήλους περὶ τῆς εἰς ᾅδου καταβάσεως. ἀμάρτυρον δὲ εἰ διὰ τούτου τοῦ τόπου κατῆλθον. πιθανῶς δὲ ὁ Σοφοκλῆς πρὸς χάριν τῆς Ἀττικῆς φησὶν ἐνταῦθα τὴν εἰς ᾅδου κατάβασιν Οἰδίποδος γενέσθαι.

l. 1591. Ἐφ' οὗ μέσου στὰς] ἀντὶ τοῦ, μεταξὺ τοῦ κρατῆρος, ὅ ἐστι τοῦ μυχοῦ, στὰς καὶ μηκέτι ὁδεύσας.

Τοῦ τε Θορικίου πέτρου] ταῦτα γνώριμα τοῖς ἐγχωρίοις. Θόρικος δὲ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

l. 1592. Κοίλης τ' ἀχέρδου] ἀπὸ κοινοῦ τὸ στάς. κοίλης δὲ ἀχέρδου, τῆς τὸν πυθμένα ἐχούσης ὑποκείμενον, σαπέντα.

l. 1594. Ηνώγει ῥυτῶν ὑδάτων ἐνεγκεῖν] ἐπὶ τοῦ ἀφαγνισθῆναι αὐτὸν πρὸ τελευτῆς.

l. 1596. Τὰς δ' εὐχλόου Δήμητρος] εὐχλόου Δήμητρος ἱερόν ἐστι πρὸς τῇ ἀκροπόλει. καὶ Εὔπολις Μαρικᾷ, Ἀλλ' εὐθὺ πόλεως εἶμι, θῦσαι γάρ με δεῖ Κριὸν χλόῃ Δήμητρι. ἔνθεν δῆλον ὅτι καὶ κριὸς θήλεια τῇ θεῷ ταύτῃ θύεται. οὕτω δὲ τιμᾶται ἐκ τῆς τῶν κήπων χλόης. θύουσι γὰρ αὐτῇ Θαργηλιῶνος ἕκτῃ, ἤτοι Σεπτεμβρίου.

l. 1597. Ἐπιστολαῖς] ἐντολαῖς, προστάξεις.

Pag. 391. l. 1598. Ἡ νομίζεται] ὡς νομίζεται ἐπὶ τοῖς νεκροῖς.

l. 1601. Κτύπησε μὲν Ζεὺς χθόνιος] ἤγουν, μύκημα ἐγένετο, καὶ ἐσείσθη ἡ γῆ, προδηλοῦντος τοῦ θεοῦ τὸν καιρὸν ἐν ᾧ ἔδει ἀποθανεῖν τὸν Οἰδίποδα. πάνυ δὲ σημαντικῶς τὸ χθόνιος εἴρηκε.

l. 1603. Οὐδ' ἀνεῖσαν] οὐκ ἀνέπεμπον.

l. 1606. Πτύξας] περιπλήξας.

l. 1609. Δυσπόνητον τροφήν] γηροκομίαν.

l. 1612. Τὸ γὰρ φιλεῖν, οὐκ ἔστιν ἐξ ὅτου] ἀντὶ τοῦ, οὐδεὶς πλέον ἐμοῦ ὑμᾶς ἐφίλησε.

l. 1616. Λύγδην] λύζοντες.

Ἔκλαιον πάντες] ἀντὶ τοῦ ὁμοῦ πάντες. κατ' ἐπικράτειαν δὲ πάντες φησίν, ἑνὸς μὲν ὄντος ἄρρενος, τοῦ Οἰδίποδος, δύο δὲ τῶν θηλειῶν. ὅμοιον τῷ, Μοῦσαι καλαί, Κἀπόλλων, οἷς ἐγὼ σπένδω.

l. 1619. Θώϋξεν] ἐκάλεσεν. ἐβόησεν.

l. 1625. Αὐδᾷ μολεῖν οἱ γῆς] ἀντὶ τοῦ πρὸς αὐτόν.

l. 1627. Πίστιν ἀρχαίαν] διὰ τοῦ ἀρχαίαν βούλεται λέγειν ἀρχὴν πίστεως.

l. 1637. Δικαιοῦν] δίκαιον κρίνειν.

l. 1641. Ἀστακτί] πολυστακτί. πολυδακρύτως.

Pag. 393. l. 1643. Στραφέντες ἐξαπείδομεν] ἴδιον αὐτοῦ τὸ πολλαῖς κεχρῆσθαι ταῖς προθέσεσι. παραφυλακτέον δὲ πῶς καὶ τὰ ἄρρητα ὑπ' ὄψιν ἤγαγεν ὁ ἄγγελος, ἐκ τῶν σχημάτων μηνύων.

l. 1645. Ἄνακτα δ' αὐτὸν] τὸν Θησέα εἴδομεν κατὰ τοῦ κρατὸς ἔχοντα χεῖρα ἐπίσκιον ὀμμάτων, ὅ ἐστι, τῇ χειρὶ σκέποντα τοὺς ὀφθαλμούς, πρὸς τὸ μὴ θεωρῆσαι τὸ δεινὸν τοῦ πάθους· ἢ τὸ σχῆμα τῶν θαυμαζόντων ἐνδεικνύμενον.

l. 1648. Ἔπειτα μέντοι βαιὸν] ἀντὶ τοῦ, μετ' ὀλίγον. οὐ μετὰ πολύ.

l. 1654. Κεραυνὸς ἐξέπραξεν] ἀνεῖλεν.

l. 1656. Ἢ τὸ νερτέρων] ἢ τὸ νερτέρων γῆς πέδον εὔνουν διαστάν. ὅ ἐστι, χάσμα αὐτῷ εὔνουν ἐγένετο.

l. 1657. Ἀλύπητον] γράφεται ἀλάμπετον.

l. 1659. Ἀλλ' εἴ τις βροτῶν] ὡς οὐδεὶς ἄλλος.

l. 1660. Εἰ δὲ μὴ δοκῶ φρονεῖν] εἰ δέ τις οἴεταί με μὴ φρονοῦντα λέγειν, οὐκ ἂν αὐτοῖς συγχωρήσαιμι οὐδὲ συγκαταθείμην,

θείμην, ὅτι ταῦτα ὡς ἄφρων λέγω.

l. 1661. Οὐκ ἂν παρείμην] παραχωρήσαιμι.

l. 1662. Χοὶ προσπέμψαντές] ἀντὶ τοῦ ὁ Θησεύς.

l. 1665. Αἶ, αἶ. φεῦ] αἱ θυγατέρες ἐν μέρει αὐτὸν ἀπολοφύρονται, ἐφ' οἷς τε νῦν σφῶν τῷ πατρὶ ἔπαθον, καὶ ἅπερ ἐκδέξεται αὐτάς. καὶ ἔστι τὰ ἐφεξῆς τοῦ δράματος οὐκ ἀκαταφρόνητα. τὸ ἑξῆς, ἐπὶ νῶϊν στενάζειν οὐ τὸ ἔμφυτον μὲν πατρὸς αἷμα, ἄλλο δὲ μή. ἀλλὰ πολλὰ δηλονότι.

l. 1669. Ἄλλοτε μὲν πόνον] πρότερον μὲν τινὰ ἐπάσχομεν ἐπὶ τῷ πατρί. τὸ δὲ πύματον τοῦτο καὶ ἔσχατον τὸ χρὴ τὴν ἀφάνισιν αὐτοῦ, οὕτω παράδοξόν ἐστιν ὡς μηδὲ λόγον εὑρεθῆ ἐπ' αὐτῷ δυνατὸν εἶναι.

l. 1670. Ἀλόγιστα] ἀδιήγητα κακὰ βαστάζομεν.

l. 1671. Ἰδόντε καὶ παθοῦσα] ἀντὶ τοῦ ἰδοῦσαι καὶ παθοῦσαι. πολλαχοῦ δὲ τῷ σχήματι χρῆται, ἀντὶ τῶν θηλυκῶν τὰ ἀρρενικὰ τιθείς. καὶ ἐν Ἠλέκτρᾳ, Ὦ πόσιν ἐχθροῖς εὖ βεβηκόσι ποτὲ, Ψυχῆς ἀφειδήσαντε προὐστήτην φόνου. καὶ πάλιν, Ὁρᾷ, κακῶς πράσσοντε, μὴ μείζω κακὰ κτησώμεθα. καὶ Ὅμηρος, Τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι. καὶ Ἡσίοδος, Καὶ τότε δὴ πρὸς ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν, Ἀθανάτων μετὰ φῦλον ἴτον, προλιπόντ' ἀνθρώπους, Αἰδὼς καὶ Νέμεσις.

l. 1672. Οὐκ ἔστι μὲν εἰκάσαι] οὐδὲ εἰκόνα ἴσω λαβεῖν τοῦ πάθους.

l. 1673. Ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις] ὡς ἂν ἐπιποθήσαις τὸν τρόπον τῆς τελευτῆς μαθεῖν. ἢ, ὡς μάλιστα ἄν τις ποθήσαι μαθεῖν ὅπως βέβηκεν, οὕτω παραδόξως. καὶ ἐπιφέρει τὴν αἰτίαν τοῦ παραδόξου δοκοῦντος εἶναι.

l. 1674. Τί γὰρ ὅτῳ μήτ' ἄρης] πρὸς τὸ ἄνω. τί γάρ ἐστιν εἰκάσαι ἐκείνῳ ᾧτινι μήτε πόλεμος μήτε νόσος ἐπῆλθεν, ἀλλ' ἀφανῶς διὰ χάσματος ἀπολομένῳ;

l. 1679. Νῶϊν δὲ] ἡμῖν. ἐμοὶ καὶ Ἰσμήνῃ. τὸ δὲ τάλαινα, διὰ μέσου ἀναπεφώνηται.

Pag. 395. l. 1681. Πῶς γὰρ ἢ τίν' ἀπίαν γᾶν] ποῦ γῆς πλανηθεῖσαι, τροφῆς τύχοιμεν; ἀπίαν γᾶν, τὴν μακρὰν καὶ ἄποθεν οὖσαν.

l. 1683. Δύσοιστον] τὴν δυσοίσιστον. ἵν' ᾖ τοῦ πάθους ἐπίτασις, ὅτι εἰ καὶ τροφῆς ἀπορήσομεν, ἀηδῶς προσοισόμεθα, τοῦ πατρὸς ἐστερημέναι.

l. 1689. Ὦ δίδυμα τέκνων] ταῦτα ὁ χορὸς, παραινῶν ἐμμένειν τοῖς ἐγνωσμένοις παρὰ θεῶν. φέρειν γὰρ (φησὶ) χρὴ τὸ ἐκ θεῶν εἱμαρμένον καλῶς.

l. 1691. Μηδ' ἄγαν οὕτω φλέγεσθον] ἀντὶ τοῦ μὴ ἄκρας φλέγεσθε, τὸ ἐκ θεοῦ πεμφθὲν δυσανασχέτως φέρουσαι.

l. 1692. Ο[illegible] κατάμεμπτα] οὐκ ἐν τοιούτοις ἐστὲ [illegible]ταμέμφεσθαι. ἢ τοι ὡς ἂν ἐπικεφ[illegible]ς αὐταῖς τὴν συμφορὰν τοῦ βασιλέως. ἢ, οὐ δὴ ἐν χείρονι νῦν ὑμῖν ἐστὶ τὰ πράγματα.

l. 1694. Πόθος καὶ κακῶν ἄρ' ἦν τις] οἱ μὲν περὶ τὸν χορὸν παραμυθεῖσθαι πειρῶνται αὐτάς· αἱ δὲ οὐδὲν ἧττον ἐπὶ τὰ ἑαυτῶν χωροῦσι, καὶ ὀλοφύρονται· καὶ φασιν, ἦν ἄρα τις καὶ κακῶν πόθος· ὡς ἡμεῖς ἐν κακοῖς ὄντος τοῦ πατρὸς καὶ μὴ ὁρῶντος, ἐστέργομεν αὐτὸν, καὶ νῦν μὴ παρόντα ποθοῦμεν, ὡς ὅτε ἐν χερσὶν κατεῖχον τὸν Οἰδίποδα, περιέστελλον καὶ ἐθεράπευον. Ἢ οὕτως, καὶ γὰρ δυστυχοῦντα τὸν πατέρα ἐποθοῦμεν θεραπεύειν, καὶ νῦν μὴ παρόντα ποθοῦμεν.

l. 1698. Γέρων ἀφίλητος] λείπει τὸ ἦς.

l. 1699. Καὶ τάδε μὴ κυρήσεις] καὶ τανῦν μὴ γένοιό μοι ἄφιλος.

l. 1201. Ἃς ἔχρῃζε γᾶς] ἐφ' ἧς ἤθελε ξένης γῆς ἀπέθανε.

l. 1208. Τοσονδ' ἄχος] τουτέστι, τὸ παρὰ σοὶ ἄχος, τηλικοῦτόν ἐστιν.

Ἰὼ, μὴ] τὸ ἑξῆς, μὴ ἔχρῃζες. ἀντὶ τοῦ μὴ ὤφειλες.

l. 1210. Ἔρημος] μεμονωμένος τῶν συγγενῶν.

Pag. 397. l. 1718. Ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσεν] ἐπεὶ ὁ Οἰδίπους εὐδαιμόνως ἀπέθανε μὴ λίαν θρηνεῖτε.

l. 1722. Δυσάλωτος οὐδεὶς] οὐδεὶς δύσληπτος, ἀλλ' εὐάλωτος.

l. 1724. Ὡς τί ῥέξομεν] κατὰ κοινὸν ἀλλήλαις διαλέγονται πάνυ παθητικῶς· καὶ μή τινι ἀπίθανον δόξῃ καὶ ἀνοικονόμητον, καὶ τὸ ἐπιθυμεῖν τὴν Ἀντιγόνην ὀπίσω ἰέναι ἐπὶ τὸν τοῦ πατρὸς τάφον, μὴ ἐπισταμένην τὸ κατ' αὐτὸν ὅπως ἀπέθανεν· ἀλλὰ τὸ ἦθος ἐννοείτω τὸ παθητικὸν, καὶ ὃ μάλιστα προσπίπτουσιν αἱ γυναῖκες ἐν τοῖς τοιούτοις συμπτώ-

μασιν ἀεὶ, ἐπιφοιτῶν θέλουσα τοῖς τῶν θανόντων τάφοις.

l. 1729. Μῶν δῆτ' οὐχ ὁρᾷς] οὐχ ὁρᾷς καὶ τόδε, ὡς ἄταφος ἔπιτνε δίχα τε παντός; τὰ δὲ ἄλλα διὰ μέσου κατ' ἀκόλουθον τῆς Ἀντιγόνης.

l. 1740. Σφῷιν τὸ μὴ πιτνεῖν] κακῶς ἡ ἀντωνυμία. διὸ τὸ χ.

Pag. 399. l. 1754. Παύετε θρήνων παῖδες] τῇ μὲν ἑρμηνείᾳ ἐπιστῆσαι ἄξιον. τὸ δὲ τῆς διανοίας, ἀσαφές. φησὶ γὰρ ὁ χορὸς, μὴ θρηνεῖτε ὦ παῖδες. νέμεσις γάρ ἐστι τοῦτον [illegible]ηνεῖν ὦ τὰ τῆς τελευτῆς κατὰ χάριν [illegible]. οὐ χρὴ οὖν τέως πενθεῖν οἷς κε[illegible]σμένον ἐστὶ τὸ ἀποθανεῖν.

l. 1763. Ω παῖδες ἀπεῖπεν ὁμοὶ] παραφύλαξον τὴν τέχνην, πῶς αἱ μὲν εἰσὶ νέαι καὶ ἄπειροι τῶν κατὰ τὴν ὑπόθεσιν· ὁ δὲ Θησεὺς ἔνια λέγει τῶν εἰρημένων αὐτῷ ὑπὸ τοῦ Οἰδίποδος. τὰ δὲ τελευταῖα, καὶ δυστραπελώτερα· καὶ οὐ ῥᾳδίως ἐστὶν αὐτὴν κατακρατῆσαι ἐν τῇ ἐξηγήσει. πεποίηται γὰρ ταῦτα εἰς τὸ ἀσαφέστερον.

l. 1771. Ἀλλ' εἰ τάδ' ἔχει καλὰ κείνῳ] εἰ ἀρέσκει τούτῳ τὸ μὴ λεχθῆναι ἡμῖν ταῦτα, καὶ ἡμῖν ἀρκεῖ τὸ μὴ ἀκοῦσαι.

l. 1775. Τοῖσιν ὁμαίμοις] Ἐτεοκλεῖ καὶ Πολυνείκη.

l. 1777. Πρόσφορα] ἀντὶ τοῦ χρήσιμα.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ
ΤΩΝ ΠΑΝΥ
ΔΟΚΙΜΩΝ
ΕΙΣ ΤΡΑΧΙΝΙΑΣ.

Pag. 405. l. 1. Λόγος μέν ἔστ᾽ ἀρχαῖος ἀνθρώπων φανείς.] Ὁ τρόπος ἀναχρονισμός. μεταγενέστερος γὰρ Σόλων, ὁ μηδένα μακαρίζειν δεῖν πρὸ τελευτῆς πρὸς Κροῖσον ἀποφηνάμενος.

l. 4. Ἐγὼ δὲ τὸν ἐμὸν] ἐγὼ (φησὶ) τὸν ἐμὸν αἰῶνα καὶ πρὸ θανάτου διέγνωκα βαρὺν ὄντα καὶ ἀπεχθῆ καὶ δυστυχῆ.

l. 7. Ναίουσ᾽ ἐν Πλευρῶνι] πόλει τῆς Αἰτωλίας.

Νυμφείων ὄκνον] νυμφείων, ἀντὶ τοῦ νυμφευμάτων. ὄκνον δὲ, τὸν φόβον. Ὅμηρος, Ὀκνείω δ᾽ ἵππων ἐπιβήμεναι. εἰ δὲ γράφεται ὄτλον, τὴν ταλαιπωρίαν. ἢ (ὡς Ὅμηρος) τὸ μεμορημένον καὶ πεπρωμένον. Καλλίμαχος, Κενεὸν πόνον ὀτλήσαντες. ἡδεῖα δὲ ἡ φράσις καὶ ἡ ἱστορία.

l. 12. Δράκων ἑλικτὸς] διὰ τὸ σκολιὸν τῶν ῥευμάτων.

l. 13. Βούκρανος] οἱ ποταμοὶ ταυρόκρανοι διετυποῦντο, ἢ ὅτι μυκηθμοῖς εἰσὶ παραπλήσιοι περὶ τὰς ἐκβολάς (Ὅμηρος, Τοὺς δ᾽ ἔκβαλλε θύραζε, μεμυκὼς ἠύτε ταῦρος) ἢ ὅτι σχίζουσι τὴν γῆν ὡς οἱ βόες. ἢ διὰ τὸ τὰς νομὰς παρὰ τοὺς ποταμοὺς εἶναι.

Ἐκ δὲ δασκίου γενειάδος] ὁ νοῦς, ἐκ δὲ τῆς δασυτέρας γενειάδος αὐτοῦ κατέρρει πλῆθος ὑδάτων, ὡς ἀπὸ κρήνης. παροιμία ἐκ πολλοῦ ἔτους εἰρημένη.

l. 19. Ὁ κλεινὸς ἦλθε Ζηνὸς] τοῦτο γὰρ ἦν παρὰ Οἰνέως ὡρισμένον, τῷ νικήσαντι Ἀχελῷον αὐτὴν δώσειν.

l. 21. Ἐκλύεταί με] ἀντὶ τοῦ ἀπαλλάττει με καὶ ἐλευθεροῖ τοῦ φόβου, τοῦ Ἀχελώου περιγενόμενος.

Καὶ τρόπον μὲν ἂν] τὸν τρόπον τῆς πρὸς ἀλλήλους αὐτῶν μάχης.

l. 22. Οὐκ ἂν διείποιμι] ἐδεδοίκει γάρ. ἐκεῖνος δ᾽ ἂν εἴποι ἂν ὃς ἄφοβος αὐτὴν τὴν μάχην θεωρῶν ἐκάθητο. Ὅμηρος, Ἔνθα κεν οὐκ ἔτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθὼν, Ὅστις γ᾽ ἄβλητος.

l. 24. Ἐγὼ γὰρ ἥμην] διασείεις ἵνα συνειδῇ τῷ, ἀλλ᾽ ὅς τις ἦν θακῶν ἀταρβὴς τῆς θέας. οἱ δὲ ψιλῶς, ἀντὶ τοῦ ὑπῆρχον.

l. 25. Μή μοι τὸ κάλλος] μὴ διὰ τὸ κάλλος ἀλγηδόνι περιπέσω, τῷ Ἀχελῴῳ γαμηθεῖσα.

l. 26. Τέλος δ᾽ ἔθηκε Ζεὺς ἀγώνιος] ὁ πρύτανις τοῦ ἀγῶνος. τὸ δὲ ὅλον οὕτως ἔχει, ὁ ἀγώνιος Ζεὺς εὐτυχὲς τῷ ἀγῶνι τέλος ἐπέθηκεν, ἐμοὶ δὲ οὐκ εὐτυχές. εὐτυχῶς μὲν, ὅτι ἀπήλλαξέ με τοῦ Ἀχελώου· οὐκ εὐτυχῶς δὲ, ὅτι καὶ νῦν ἔχω ἧττον ἀγωνιῶ διὰ τὴν τοῦ Ἡρακλέους ἀπουσίαν.

l. 27. Λέχος γὰρ Ἡρακλεῖ κριτὸν] ἀντὶ τοῦ ἔκκριτον· διὰ τὸ καὶ περὶ Ἡρακλέους ἀγωνιᾷν.

l. 28. Ξυστᾶσ᾽] ἀντὶ τοῦ συνηθεῖσα.

Τρέφω] ἀντὶ τοῦ ἔχω καὶ αὔξω.

l. 29. Προκηραίνουσα] ἀγωνιῶσα, μεριμνῶσα κατὰ τὸ κέαρ. ὅ ἐστιν, ἐν βάθει βουλευομένη. καὶ Εὐριπίδης, Τί ποτ᾽ ὦ τέκνα τάδε κηραίνετε;

Νὺξ γὰρ εἰσάγει] ἀντὶ τοῦ, νυκτὸς ἔρχεται, καὶ νυκτὸς ἐξορμᾶται, ὥστε διαδοχήν μοι τῶν πόνων γίνεσθαι.

l. 37. Γήτης] γεωργὸς, ὁ τὴν γῆν ἐργαζόμενος.

Ἔκτοπον] ἔξω καὶ πόῤῥω οὖσαν.

l. 40. Λατρεύοντά τῳ] ὑπηρετοῦντα τῷ Εὐρυσθεῖ.

l. 41. Ὑπερτελής] ἀντὶ τοῦ, ὑπὲρ τὸ τέλος γέγονεν ἐστί. τοῦ τέλους τῶν ἄθλων κρείσσων ὤφθη κατορθώσας αὐτοὺς ἢ ὑπέρτερος αὐτῶν ἐστιν, ἐγκρατὴς καὶ ὑπεράνω.

Pag. 407. l. 38. Ἐν Τραχῖνι] πόλις [illegible]αλίας ἡ Τραχὶν, ἐν ᾗ Ἡρακλῆς κατῴκησε διὰ τὸν τοῦ Ἰφίτου φόνον, κατὰ τὸν νόμον.

l. 39. Ξένῳ παρ' ἀνδρὶ] τῷ Κήϋκι. ὃς ἦν παῖς Ἀμφιτρύωνος ἀδελφοῦ. καὶ Ἡσίοδος, --τρηχῖνα δέ τοι παρελαύνων Ἐς Κήϋκα ἄνακτα.

l. 42. Σχεδὸν δ' ἐπίσταμαι] ὑποπτεύω, ὑπονοῶ, οἴομαι.

l. 44. Ἀκήρυκτος μένει] ἄσημος. οὐ μηνυόμενος ὅπου ποτ' ἐστίν. ὃν οὐδεὶς ἐλθὼν κηρύττει καὶ ἀπαγγέλλει ποῦ ποτ' ἐστίν.

l. 46. Δέλτον λιπὼν ἔστειχεν] ὡς τοῦ Ἡρακλέους τύπον διαθήκης γράψαντος εἰς δέλτον, καὶ καταλελοιπότος ὡς εἰ μὴ ἔλθοι διὰ τοσούτου χρόνου, γνῶναι αὐτὸν τελευτήσαντα, μετὰ δὲ πεντεκαίδεκα μῆνας ἀναγνοῦσαν ποιῆσαι αὐτὴν τὰ ἐντεταλμένα.

l. 47. Θεοῖς ἀρῶμαι] εὔχομαι τοῖς θεοῖς, μηδὲν λυπηρὸν ἐγγεγραμμένον ἔχουσαν λαβεῖν. τοῦτο γάρ ἐστι τὸ πημονῆς ἄτερ.

l. 49. Πανδάκρυτ' ὀδύρματα] διὰ πανδακρύτων ὀδυρμάτων. ὡς τὸ, --διὰ τ' ἔντεα καὶ μέλαν αἷμα.

l. 51. Φρενῶσαι] νουθετεῖν, εἰς φρόνησιν ἄγειν.

l. 52. Τὸ σὸν] τὸ σοὶ συμφέρον. ἢ τόσον, ἀντὶ τοῦ ὀλίγου.

l. 53. Πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις] ἦσαν γὰρ αὐτῇ παῖδες ἐξ Ἡρακλέους. Ὕλλος, Κτήσιππος, Γληνεύς, Ὀνίτης. ἦν δὲ Ἡρακλεῖ καὶ ἕτερος Ὕλλος ἐκ Μελίτης.

l. 55. Εἰ παιδὸς νέμοι τιν' ὥραν] ἤγουν φροντίδα. ὡς καὶ Ἡσίοδος, Ὥρη ἐπ' ὀλίγη πέλεται. ὁ δὲ νοῦς, ἵνα μάθης εἰ φροντίζει τοῦ παιδὸς, ὑπὲρ τοῦ δοκεῖν καλῶς πράττειν ἐκεῖνον.

l. 57. Ἀρτίπους] ὅ ἐστιν, ἀρτίως καὶ ἡρμοσμένως τῷ καιρῷ πορεύεται.

l. 60. Κἀξ ἀγεννήτων] δυσγενῶν.

l. 62. Ἐλεύθερον λόγον] εὐκαίρον, ἐλευθέρῳ πρέποντα.

l. 63. Εἰ διδακτά μοι] εἰ προσήκει μαθεῖν.

l. 64. Ἐξεναμένου] ἐν ξένῃ διατρίβοντος.

l. 68. Ἄροτον] τὸν ἐνιαυτόν. ἅπαξ γὰρ τοῦ ἔτους ἀροτριᾶται ἡ γῆ.

l. 70. Πᾶν τοίνυν] ἀκούεται τοίνυν τις ὅτι Ἡρακλῆς πᾶν αἰσχρὸν ὑπέμεινεν, ἀληθῶς ὑπέστη δουλεύειν τῇ Ὀμφάλῃ.

l. 71. Ἀλλ' ἐξαφεῖται] ἀφείθη, ἀπηλλάγη τοῦ δουλεύειν.

l. 73. Εὐβοΐδα χώραν] ἔνιοί φασι καὶ Θεσσαλίας εἶναι Οἰχαλίαν, οὐδὲν δὲ ἄτοπον συνωνυμεῖν.

l. 76. Χώρας πέρι] τῆς Εὐβοίας.

l. 78. Ὡς οἱ τελευτὴν] ἔλεγε (φησὶν) ὅτι ἐν Οἰχαλίᾳ τεθνήξομαι, ἢ σωθεὶς εὐδαιμονήσω τὸν ἐπίλοιπον χρόνον. ποῦ οὖν ἀγγέλλεται ἢ ζῶν εἶναι ἢ θανών;

Pag. 409. l. 81. Ἐν οὖν ῥοπῇ] ἐν κινδύνοις (φησὶ) τοιούτοις. καὶ ἐπὶ ξυροῦ ἀκμῆς ἱσταμένῳ, οὐ πορεύσῃ συλληψόμενος αὐτῷ καὶ συναγωνιούμενος;

l. 82. Ἡνίκ' ἢ σεσώσμεθα] τῷ πατρί.

l. 85. Εἰ δὲ θεσφάτων ἐγὼ] εἰ δὲ καὶ ἠπιστάμην, ἢ προηκηκόειν (φησὶν) ὅτι ταῦτα προεῖπε, πάλαι ἂν ἐγὼ συμπαρῆν αὐτῷ.

l. 91. Χώρει νυν ὦ παῖ] καὶ νῦν (φησὶν) ὦ παῖ ἄπιθι, εἰ καὶ μὴ πρότερον. καὶ γὰρ τὸ βραδέως τὰ δέοντα ποιεῖν ἐπειδὰν ἀκούσῃ τις, κέρδος ἀποφέρεται. τουτέστιν, εἰ καὶ βραδέως ἤκουσας, ὠφελήσεις αὐτὸν παραγενόμενος, καὶ κέρδος σοι ἔσται.

l. 93. Ὃν αἰόλα νὺξ] μέλαινα. ὡς οἱ νεώτεροι. ἢ ποικίλη, διὰ τὰ ἄστρα. ἢ ταχεῖα, διὰ τὸ νυκτὶ θοῇ παρ' Ὁμήρῳ.

l. 94. Τίκτει] ἀντὶ τοῦ ἀνατέλλειν ποιεῖ.

Φλογιζόμενον] λάμποντα.

l. 95. Ἅλιον αἰτῶ] παρακαλῶ.

l. 97. Τὸν Ἀλκμήνας] παῖδα.

Πόθι μοι] λείπει οἰκεῖ, διατρίβει.

l. 100. Ἢ ποντίους αὐλῶνας] τοὺς παραθαλαττίους τόπους στενοὺς, αὐλῶνας καλεῖ. ἐκ δὲ τούτου τὰ πελάγη φησίν. ἄρα οὖν ἐν θαλάττῃ ἐστίν; ἢ ἀντὶ τοῦ νήσους. αὐλῶν γὰρ τὸ στενόμακρον πέλαγος. ἀπὸ δὲ τοῦ πελάγους τὸ περιεχόμενον ὑπ' αὐτοῦ δηλοῖ, ὅ ἐστι τὰς νήσους.

l. 101.

l. 101. Ἡ διοσαῖσιν ἀπείροισι κλιθεὶς] ἀντὶ τοῦ, καὶ πρὸς τὰ ἑῷα καὶ δυτικὰ μέρη νεύων, ἤγουν ἀνατέλλων, ἢ δύων. καὶ Ὅμηρος, Ἠέλιος ὃς πάντ' ἐφορᾷ.

l. 102. Ὦ κρατιστεύων] ὦ νικῶν πάντας τοὺς θεοὺς κατὰ τὸ ὀπτικόν.

l. 104. Τὰν ἀμφινεικῆ Δηϊάνειραν] λείπει ἡ διὰ τὴν περιμάχητον ἐπιρρηματικῶς. πυνθάνομαι (φησὶ) τὴν ἀμφινεικῆ Δηϊάνειραν μηδέποτε τοὺς ὀφθαλμοὺς ἀδακρύτους ἔχειν, ἀλλ' ἀεὶ τῷ πόθῳ τῶν δακρύων νικωμένην ὀδύρεσθαι.

l. 105. Οἷά τιν' ἄθλιον ὄρνιν] τὴν ἀηδόνα γράφεται καὶ ἅλιον ὄρνιν, ἤγουν τὴν ἀλκυόνα, ἣ τίκτει ἐν ταῖς ὑφάλοις πέτραις, εἶτα τῶν ᾠῶν ἀφανιζομένων, δακρύει.

l. 106. Οὔποτ' εὐνάζειν] τὸν πόθον τῶν δακρύων κοιμίζειν, ἀλλ' ἠπλᾶσθαι καὶ ἀεὶ δακρύειν.

Ἀδακρύτων] πολυδακρύτων.

l. 108. Ἀλλ' εὔμναστον ἀνδρὸς] ἀλλὰ τὸ δεῖμα τὸ ὑπὲρ τοῦ ἀνδρὸς ἀεὶ μνημονεύουσαν ἐν ταῖς ἀνάνδροις κοίταις, τρύχεσθαι κατὰ ψυχήν.

l. 110. Ἐνθυμίοις εὐναῖς] ταῖς μεριμνητικαῖς, ταῖς πολυφροντίστοις.

Ἀνανδρώτοισι] ταῖς ἐρήμαις τοῦ ἀνδρός.

l. 113. Πολλὰ γὰρ] τὸ πολλὰ πρὸς τὸ κύματα.

Ὥστ' ἀκάμαντος ἢ νότου] ὥσπερ γὰρ (φησὶν) ἄν τις θεωρείη κυματουμένην τὴν θάλατταν, ἢ νότου πνέοντος, ἢ βορέου, τῶν δὲ κυμάτων τὰ μὲν ἀπιόντα, τὰ δέ εἰσιν ἐπερχόμενα· οὕτω καὶ τὸν Ἡρακλέα καθάπερ τι πέλαγος κακῶν τὸ μέν τι παρὸν λυπεῖ, τὸ δ' αὐξόμενον ἀπόκειται.

Pag. 411. l. 116. Καδμογενῆ] τὸν Θηβαγενῆ Ἡρακλέα. Ἡσίοδος, - ὄφρ' Ἡρακλῆος Θηβαιγενέος κλέος εἴη.

l. 117. Τρέφει, τὸ δ' αὔξει βιότου πολύπονον] τρέφει ἀντὶ τοῦ ἔχει· αὔξει ἀντὶ τοῦ αὔξεται. ἀντὶ τροφῆς καθημερινῆς καὶ αὐξήσεως εἰσὶν αὐτῷ οἱ πόνοι· οὕτω (φησὶ) τὸ μὲν τῶν κακῶν ἔχει αὐτὸν, τὸ δὲ αὔξεται κατ' αὐτοῦ. Ἄλλως. Τρέφει, ἀντὶ τοῦ τρίβει, κατ' ἀντίφρασιν. ἔχει γὰρ οὕτως· τὸ μὲν αὐτὸν καταπονεῖ παρὸν, τὸ δ' αὔξει καὶ κορυφοῦται. ἢ ὅτι οἰκεῖον τοῦ ἥρωος τὸ τρέφειν καὶ αὔξειν, ὥστε τρέφεσθαι καὶ αὔξεσθαι αὐτοῦ τὴν ἀρετὴν διὰ τῶν πόνων. καὶ Ἰσοκράτης, Οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπιβαλεῖ. βίου δὲ πέλαγος, τὸν χειμαζόμενον βίον λέγει.

l. 120. Κρήσιον] ὡς πάνυ χειμαζομένης τῆς περὶ Κρήτην θαλάσσης.

Ἀλλά τις θεῶν] θάρρει (φησὶν) ὦ Δηϊάνειρα. θεῶν γάρ τις αὐτὸν ἀναμάρτητον καὶ δίκαιον ὄντα κωλύει ἀπὸ τοῦ ᾅδου. ἢ ἀμπλάκητον, ἀποτυχῆ, παρὰ τὸ μὴ ἀναπλακεῖν. ὅ ἐστι, κωλύει αὐτὸν μὴ ἐπιτυχεῖν τοῦ ᾅδου. ἀμπλάκιον, ἄπλαιστον.

l. 123. Ὧν ἐπιμεμφομένα σοι] περὶ δὲ ὧν μεμφομένη σοι ὅτι οὐ πρεπόντως ὀδύρῃ. θεοὶ γὰρ αὐτὸν σώζουσιν.

Ἀδεῖα μὲν, ἀντία δ' οἴσω] ἐναντία οἷς περὶ τοῦ Ἡρακλέους φρονεῖς. παραιτουμένη δὲ τὴν ἄδειαν, ὡς ἐναντία λέγουσα τῇ ἀνάσσῃ, ἐπάγει μὴ χρῆναι αὐτὴν ἀποβάλλειν τὴν ἀγαθὴν ἐλπίδα [illegible] ἀνδρός. φησὶ γὰρ αὐτὸν ζῆν. ἀντ[illegible] ὅτι τὸ ἐναντίον νομίζει ἡ Δηϊά[illegible] ἀποθανεῖν αὐτόν.

l. 125. Οὐκ ἀποτρύειν] οὐκ ἀπογνῶναι. οὐκ ἀποκάμνειν. οὐκ ἀποβάλλειν. οὐκ ἀποδοκιμάζειν.

l. 127. Ἀνάλγητα γὰρ] οὐδὲ γὰρ ἄλυπα τοῖς ἀνθρώποις ὁ Ζεὺς τὰ πράγματα πεποίηκε. Δοιοὶ γάρ τε πίθοι, ὅ ἐστι, συμμιγνύουσιν οἱ θεοὶ τὰ πράγματα τοῖς ἀνθρώποις πήματι καὶ χαρᾷ, καὶ στρέφουσιν ὀξέως τὰ πράγματα, ὥσπερ τὰς τῆς ἄρκτου στροφάς.

l. 130. Ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ] ἐπὶ χαρᾷ δὲ καὶ πήματι, πᾶσι κυκλοῦσιν οἱ θεοί. πῆμα δὲ, ἀντὶ τοῦ πήματι κατὰ ἀποκοπήν.

l. 131. Πᾶσι κυκλοῦσιν] ἀντὶ τοῦ κυκλοῦνται τὰ τῶν ἀνθρώπων πράγματα. ἢ τὸ κυκλοῦσιν ἐπὶ τῶν θεῶν.

Οἷον ἄρκτου στροφάδες] τὰς ἄρκτου στροφὰς παρέλαβεν, ἐπεὶ διαφανεῖς τέ εἰσι καὶ ἡσυχαιτέραν ποιοῦνται τὴν κίνησιν. καθόλου γὰρ ὀξύτερον τὰ νότια κινοῦνται, διὰ τὸ μείζονα κύκλον διοδεύειν. Ἄρατος, Αὐτοδ' καὶ κεροῖο θοώταταί εἰσι κέλευθοι.

l. 137. Στέρεσθαι] ἀντὶ τοῦ λυπεῖσθαι καὶ στέρεσθαι χαρᾶς. τίνος δὲ στέρεσθαι; δηλονότι τοῦ χαίρειν.

l. 138. Ἃ καί σε τὰν ἄνασσαν] ἅπερ καί σε λέγω χρῆναι φρονεῖν, καὶ χρησταῖς ἐλπίσι βόσκεσθαι. ἢ οὕτως, ἃ καὶ σὲ

βούλομαι

βούλομαι φροντίζειν, ὅτι τρέπονται καὶ ἐκ κακῶν, ἐπὶ τὰ ἀγαθὰ τὰ ἀνθρώπινα.

l. 142. Ζῆν' ἄβουλον] δύσβουλον καὶ κακόβουλον, μὴ βουλόμενον τοῖς ἰδίοις παισὶ τὸ συμφέρον. διὸ μηδὲν φαῦλον περὶ Ηρακλέους ἔλπιζε. οὐ γὰρ παρορᾷ τὸν ἑαυτοῦ παῖδα ὁ Ζεύς.

l. 143. Πεπυσμένη] ἐξ ἀκοῆς ἐλήλυθας, τῶν ἐμῶν αἰσθομένη κακῶν.

l. 146. Τὸ γὰρ νεάζον] ἡ γὰρ νέα ἡλικία ἐν τοῖς τόποις τῆς ἀμεριμνίας βόσκεται.

l. 147. Χώροισιν αὑτοῦ] τὸ αὑτοῦ τινὲς ψιλοῦσι, καὶ νοοῦσι τὸ αὐτόθι· ἔνιοι δὲ δασύνουσιν, ἀντὶ τοῦ ἑαυτοῦ. ἤγουν τοῖς ἰδίοις ἑαυτοῦ τόποις ἀμερίμνως βόσκεται τὸ νεάζον· καὶ οὔτε καύματι φθείρεται, οὔτε ὑετῷ, οὔτε ἀνέμων σφοδρότητι.

Οὐ θάλπος θεοῦ] ἀντὶ τοῦ, οὐδεμία [illegible]βολή.

[illegible]49. Ἀλλ' ἡδοναῖς] ἀλλὰ ταῖς ἡδοναῖς ὕψος ἐπιθυμίας ἔρχεται καὶ αἴρεται. ἕως τὶς γαμηθῇ, οὐδὲν (φησὶ) ταράττει τὴν νέαν ἡλικίαν, ἀλλ' ὡς τεῖχος ἄρραγες οὐ φθείρεται ὑπό τινος, οὕτως οὐδὲ ἡ νεότης, ἐστηριγμένη ὑπὸ ἀμεριμνίας τῶν ἐν τῷ βίῳ κακῶν. Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

l. 150. Ἐς τοῦθ' ἕως τὶς ἀντὶ παρθένου κληθῇ γυνή] τηνικαῦτα γὰρ ἐπειδὰν γαμηθείη τις, εἰς τὰ καθ' ἑαυτὴν ἀποβλέπει καὶ συνορᾷ, καὶ ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν τέκνων φροντίζει.

Pag. 413. l. 154. Τὴν αὐτοῦ] τὸ αὐτοῦ ὡς πρὸς τὸ νέον ἀποδέδωκε.

l. 156. Πάθη μὲν οὖν δὴ] τὰ μὲν ἄλλα πάθη τοῦ ἡρακλέους πολλάκις ἀπωδυράμην, ἓν δὲ εἰπεῖν νῦν βούλομαι, ὅπερ οὐκ εἴρηκά πω.

l. 158. Ὁδὸν γὰρ ἦμος] ὅτι πρὸ πολλοῦ χρόνου χρησμὸς ἦν αὐτῷ δεδομένος.

l. 164. Νῦν δ' ὡς ἔτ' οὐκ ὤν] δεῖ μὲν ἐξῄει ὡς ἐπὶ ὁμολογουμένῳ κατορθώματι· νῦν δὲ, ὡς τεθνηξόμενος ἐνετείλατό μοι ἵνα πρόνοιαν ἄλλου ἀνδρὸς ἐμαυτῇ ποιήσωμαι. εἶπε δὲ καὶ περὶ τῆς ἑκάστου τῶν τέκνων μερίδος.

l. 165. Χρεῖ' ἣ μ' ἑλέσθαι κτῆσιν] ἔλεγε προσήκειν ἐμὲ λαβεῖν τὴν προῖκα καὶ τὰ δῶρα ἃ ὑπὲρ τοῦ λέχους ἐκτησάμην. Ἄλλως. Χρεῖ' ἣ μ' ἑλέσθαι κλῆσιν, ἤγουν, προνοεῖσθαι ἑτέρου ἀνδρὸς, ἢ σώζειν τὸ λέχος.

l. 171. Τπεκδραμόντα] διαφυγόντα τὸν θάνατον.

l. 173. Τοιαῦτ' ἔφραζε] ἡ δέλτος τοιαῦτα ἔλεγε παρὰ θεῶν εἱμάρθαι, ὥστε τούτων θάτερον αὐτῷ τέλος ἔσεσθαι τῶν πόνων.

l. 174. Τὸν Ἡρακλείων] τῶν ἑαυτοῦ πόνων τὸ τέλος. πολὺ δὲ τὸ τοιοῦτον εἶδος παρὰ ποιηταῖς.

l. 176. Δωδῶνι] τὴν ἐν Δωδώνῃ τῆς Θεσπρωτίας φηγὸν, ἐφ' ἧς δύο περιστεραὶ καθήμεναι ἐμαντεύοντο. ὡς ἀπ' εὐθείας τῆς ἡ Δωδών. Ὅμηρος δὲ Δωδώνην εἶπεν. Εἰς τὸ αὐτό. Δωδῶνι δισσῶν ἐκ πελειάδων. ὑποφαίνει τοῦ ἐν Δωδώνῃ μαντείου δύο ἦσαν πέλειαι, δι' ὧν ἐμαντεύετο ὁ Ζεὺς, ὡς Ἀπόλλων ἀπὸ τρίποδος. καὶ οἱ μὲν οὕτω λέγουσι θεσπίζειν· οἱ δὲ οὕτω· τὰς ἱερείας γραίας οὔσας καὶ πεπολιωμένας μαντεύεσθαι· τοὺς δὲ γέροντας οἱ Μολοσσοὶ πολιοὺς ὀνομάζουσιν· Ἡρόδοτος δὲ ἐν δευτέρᾳ φησὶ, Πελειάδες δέ μοι δοκέουσι κεκλῆσθαι πρὸς Δωδωναίων αἱ γυναῖκες, διότι βάρβαροι οὖσαι ἐδόκεον ὁμοίως ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον, δοκοῦσιν ἀνθρωπίνῃ φωνῇ φθέγξασθαι, ἐπείπερ ἐκ Θηβῶν Αἰγυπτίων ἦσαν. Εὐριπίδης δὲ τρεῖς γεγονέναι φησὶν αὐτάς· οἱ δὲ δύο. καὶ τὴν μὲν ἐς Λιβύην ἀφικέσθαι Θήβηθεν εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον· τὴν δὲ εἰς τὸ περὶ τὴν Δωδώνην. ὡς καὶ Πίνδαρος Παιᾶσιν.

l. 177. Καὶ τῶνδε] καὶ τῶν εἰρημένων ὑπὸ Ἡρακλέους ἀλήθεια νῦν ἀποβαίνει ἐν τῷ παρόντι χρόνῳ, ὥστε ὁπότερον περαχθῆναι.

l. 180. Εἴ με χρὴ μένειν] ἀντὶ τοῦ ζῆν.

l. 183. Πρὸς χαρὰν λόγων] πρὸς ἡδονὴν, πρὸς χάριν ἀπαγγελοῦντα λόγον ἡδονὴν διδόντα. ἐκ τοῦ στεφάνου δὲ στοχάζεται ὅτι μέλλει χρηστὰ ἀπαγγέλλειν.

l. 188. Τάχ' ἐς δόμους] ἀντὶ τοῦ ταχέως, εὐθέως.

l. 191. Ἐν βουθερεῖ λειμῶνι] μέγα θέρος ἔχοντι· ὅ ἐστι λήϊον. τὸ γὰρ βου, ἐπιτατικόν. ἢ τῷ σφόδρα βαλλομένῳ, καὶ καταθερομένῳ, ἤγουν θερμαινομένῳ ὑπὸ τοῦ ἡλίου. Ἄλλως. Βουθερεῖ, ἢ ὄνομα τοῦ λειμῶνος, ἢ πολυθερεῖ. τὸ γὰρ βου, ἐπιτατικόν ἐστιν. ὅ ἐστι πολλάκις θεριζομένῳ.

ριζομένῳ. ἵν' εἴπῃ πολυφόρῳ. ἢ ὑπὸ βοῶν θεριζομένῳ τοῖς ὀδοῦσι, τουτέστι βοῦς τρέφοντι.

l. 195. Αὐτὸς δὲ πῶς ἄπεστιν] εἰ εὐτυχεῖ ὁ Ἡρακλῆς πῶς ἄπεστιν ὁ Λίχας καὶ οὐκ ἦλθε ταχέως ἀπαγγέλλων; πρὸς ὃ ἀποδίδωσιν, Οὐκ εὐμάρεια, ἤγουν οὐ ῥᾳστώνη, οὐ καταφρονήσας σοῦ ἄπεστιν, ἀλλὰ κρινόμενος ὑπὸ τῶν πολιτῶν. τὸ δὲ οὐ πολλή, ἀντὶ τοῦ οὐδὲ ὀλίγη. οἱ δὲ οὕτως, Οὐκ εὐμαρεία, οὐκ εὐχερεία, ἀντὶ τοῦ οὐκ ἔστιν αὐτῷ εὐχερὲς παραγενέσθαι.

Pag. 415. l. 196. Μηλιεὺς ἅπας λεὼς] Μηλιεῖς, ἔθνος Θετταλικὸν πλησίον Τραχῖνος. Μηλία δὲ ἡ πόλις καλεῖται.

l. 198. Τὸ γὰρ ποθοῦν] τὸ ποθούμενον.

l. 200. Οὐχ ἑκών, ἑκοῦσι δὲ] τοῖς Μηλιεῦσιν αὐτὸς ὁ Λίχας σύνεστιν οὐχ ἑκών. βούλεται γὰρ αὐτῶν ἀποστάς, ἐλθεῖν πρός σε.

l. 202. Ω Ζεῦ, τὸν Οἴτης ἄτομον] τὸν ἀπόρθητον, ὃν οἱ δυσμενεῖς συμβαλόντες οὐ δύνανται. ἄμεινον δὲ, τὸν ἀφιερωμένον θεοῖς καὶ ἀγεώργητον, ὃν οὐδὲ βοτὰ καταβόσκεται καὶ τέμνει. τὰ δὲ τοιαῦτα χωρία ὀργάδας ἐκάλουν.

l. 204. Φωνήσατ' ὦ γυναῖκες] ἀντὶ τοῦ, ὀλολύξατε καὶ βοήσατε, χάριν ὁμολογοῦσαι τοῖς θεοῖς.

l. 205. Ομμ' ἐμοὶ φήμης] ὄμμα φήμης φησὶν αὐτὸν τὸ φανερῶς ἀπαγγείλαντα, ἢ τὸ ἀπὸ τῆς φήμης φῶς.

l. 206. Ανασχὸν] ἀναφανέν, ἀνατεῖλαν· ἐκ μεταφορᾶς τοῦ ἡλίου.

l. 208. Εφεστίοις ἀλαλαγαῖς] ταῖς ἐπὶ τῶν θυσιῶν εὐχαῖς. ἀντὶ τοῦ, ὁ πᾶς οἶκος τοῦ Ἡρακλέους θυσίας καὶ εὐχὰς ποιείτω.

l. 209. Ο μελλόνυμφος] εἴ τις μελλόνυμφός ἐστιν, εἴτε γεγαμηκώς, ἡκέτω. κοινὴ γὰρ πάντων ἐστὶν εὐχή. ἡκέτω δὲ πᾶσα κλαγγὴ ἀρσένων τε καὶ θηλειῶν, καὶ κοινὴν εὐχὴν ποιησάτω.

Εν δὲ κοινὸς] τὸ κοινὸς δὲ Ἀττικόν, ὡς ..κλυτὸς Ἱπποδάμεια.

l. 214. Ανάγετ' ὦ παρθένοι] ἀνυμνεῖτε πάντες καὶ πᾶσαι τὸν σωτῆρα καὶ Παιᾶνα Ἀπόλλωνα.

l. 225. Βοᾶτε τὰν ὁμόσπορον] ἀνυμνεῖτε καὶ τιμᾶτε τὴν ἅμα τῷ Ἀπόλλωνι σπαρεῖσαν Ἄρτεμιν τὴν ἐν Ὀρτυγίᾳ τιμωμένην.

l. 227. Αμφίπυρον] παρ' ὅσον ἀμφοτέραις ταῖς χερσὶ δᾳδουχεῖ, ἢ αὐτὴ οὖσα τῇ Ἑκάτῃ. νύμφας δέ φησι τὰς Ὀρεστιάδας, παρ' ὅσον ἐν τοῖς ὄρεσι διατρίβει ἡ Ἄρτεμις.

l. 229. Αείρομ' οὐδ' ἀπώσομαι] φησὶ μετεωρίζομαι ἐν τῷ χορεύειν εἰς τὸν ἀέρα, καὶ ἄνω αἴρομαι. τὸ γὰρ μηνύδριον οὐκ ἔστι στάσιμον, ἀλλ' ὑπὸ τῆς ἡδονῆς ὀρχοῦνται.

l. 230. Τὸν αὐλὸν ὦ τύραννε] ὦ αὐλέ. ὦ Ἡράκλεις. ἢ ὦ Διόνυσε. Ἄλλως. ὦ αὐλὲ τῆς ἐμῆς φρενὸς τύραννε. ἐρεθίζει γὰρ ὁ αὐλὸς τὰς παρθένους πρὸς τὴν χορείαν. ἀντὶ τοῦ ὦ κρατῶν τῆς ἐμῆς φρενός. ἐν δὲ τῷ ταῦτα λέγειν ὀρχοῦνται ὑπὸ χαρᾶς.

l. 231. Αναταράσσει εὐοῖ μ' ὁ κισσὸς] εἰς βακχικὴν ἅμιλλαν (τουτέστι χορείαν) παρορμᾷ με ὁ κισσός. τὸ δὲ ὑποστρέφων, ἀντὶ τοῦ ἀπὸ λύπης εἰς ἡδονὴν μετάγων, ἢ ὑποβάλλων.

l. 236. Αντίπρῳρα] ἐναντία, ἀντικείμενα τοῖς προτέροις κακοῖς ἀγαθά. ἢ ἀντιπρόσωπα, ὑπ' ὄψιν ὁρώμενα. ὑποδεικνύουσι δὲ τὸν Λίχαν ἐρχόμενον.

Pag. 417. l. 232. Χαρτὸν] ἄξιον χαρᾶς.

l. 234. Κατ' ἔργου κλῆσιν] κατὰ τὴν ἀπαγγελίαν, κατὰ τὴν τοῦ ἔργου πρᾶξιν. τουτέστιν, ἀξίως τῆς τοῦ Ἡρακλέους ἀρετῆς προσφωνέμεθα. ἀντὶ τοῦ, οὓς ἔδει τυχεῖν προσφωνημάτων διὰ τὸ τοιαῦτα κατειργασμένους, ἐτύχομεν.

l. 240. Γῆς πατρίδας] ἀντὶ τοῦ τῆς Ἑλλάδος. Ἀργεῖος γὰρ ὁ Ἡρακλῆς.

l. 241. Ενθ' ὁρίζεται] ἵστησι, κατασκευάζει.

l. 242. Τέλη τ' ἔγκαρπα] τέλη ἤτοι θυσίας. ἔγκαρπα δὲ, τὰ θυμιάματα τὰ ἀπὸ ἀνθῶν ἢ καρπῶν.

Κηναίῳ Διῒ] Κήναιον Εὐβοίας ἀκρωτήριον, ἀπὸ Κηναίου τοῦ Εὐφορίωνος, ἢ τοῦ Ἐλεφόρου.

l. 243. Εὐκταῖα φαίνων ἢ 'πὸ μαντείας τινὸς] πότερον (φησὶν) αὐτὰς εὐξάμενος καὶ ὑποσχόμενος ἐπὶ τῇ νίκῃ τοῦτο ποιεῖν, ἢ ἀπὸ μαντείας θεοῦ τινος κελεύσαντος.

l. 244. Εὐκταῖ', ὅθ' ᾕρει] κατ' εὐχὴν φησὶν αὐτὸν τελεῖσθαι τὰς θυσίας. ὅτε γὰρ ἐκράτησεν Οἰχαλίας, εὐχαριστηρίους τὰς θυσίας προσήγαγε.

l. 246. Τοῦ ποτ' εἰσὶν] ἀντὶ τοῦ, τίνος δεσπότου;

l. 247.

l. 247. Οἰκτραὶ γὰρ] εὐγενεῖς γὰρ δοκοῦσιν εἶναι, εἰ μὴ ἄρα με σφάλλουσιν αἱ κατ' αὐτὰς συμφοραὶ τουτέστιν, εἰ μὴ ἄρα διὰ τὴν τύχην ὑπεδύσαντο τὸν οἶκτον.

l. 248. Ταύτας ἐκεῖνος] ἵνα τὰς μὲν αὐτὸς ἔχῃ, τὰς δὲ ἀνιερώσῃ τοῖς θεοῖς.

l. 250. Ἡ κἀπὶ ταύτῃ] ἆρ' οὖν τὸν πολὺν τοῦτον καὶ ἀνάριθμον χρόνον τῶν ἡμερῶν ἐν τῇ Οἰχαλίᾳ διέτριψεν;

Ἄσκοπον] πολλήν, ὃν οὐκ ἄν τις ἐπιλογίσαιτο καὶ καταμάθοι διὰ τὸν χρόνον.

l. 251. Ἀνήριθμον] ἀντὶ τοῦ ἀναρίθμητον.

l. 254. Τοῦ λόγου δ' οὐ χρὴ φθόνον] μέμψιν. οὐ χρὴ (φησὶ) μέμφεσθαι οἷς ἂν πράξῃ ὁ Ζεύς. ἰδίῳ γὰρ λογισμῷ πάντα πράττει ὡς θέλει. ἢ οὕτως· οὐ χρὴ ἀηδῶς ἀκούειν τὸν λόγον, ὅ ἐστιν εὐτελίζειν καὶ ψέγειν. ἢ οὕτως, οὐ χρὴ παραιτεῖσθαι καὶ ψέγειν τὰ παρὰ τοῦ Διὸς γινόμενα, κἂν ᾖ χαλεπά.

l. 257. Ἐνιαυτὸν] ὁ Ἡρόδοτος τρία ἔτη λέγει τὸν ἐνιαυτόν.

l. 259. Τὸν αὐτόχειρα τοῦδε] τὸν αἴτιον καὶ πλησίον αὐτὸν ποιήσαντα τοῦ πάθους. λέγει δὲ τὸν Εὔρυτον.

l. 260. Δουλώσειν ἔτι] πλεονάζει τὸ ἔτι.

l. 261. Κοὐχ ἠλίωσε] οὐκ ἐματαίωσεν, οὐ μάταιον εἶπε τὸ ἔπος.

Ἀλλ' ὅθ' ἁγνὸς ἦν] ὅτε ἡγνίσθη ἀπὸ τοῦ φόνου, ὅ ἐστιν, ὅτε ἐπλήρωσε τὴν ὑπὲρ τοῦ φόνου δουλείαν.

l. 262. Στρατὸν λαβὼν ἐπακτὸν] ἤγουν, συμμαχικόν, οὐκ ἴδιον.

l. 265. Ἐφέστιον ξένον] φίλον.

l. 267. Ἐπερρόθησε] σφοδρῶς ὕβρισεν, ἢ εἰς τὴν παιδοκτονίαν τῶν ἀπὸ Μεγάρας τέκνων, ἢ ὅτι πολλαῖς παρ' αὐτὴν ὡμίλησε γυναιξὶν, ὥς φησιν Ἀπολλόδωρος.

Ἀτηρᾷ φρενὶ] ἀπηνεῖ καὶ σκληρᾷ γνώμῃ.

l. 268. Λέγων, χεροῖν μὲν] λέγων αὐτὸν ἡττᾶσθαι τῶν αὐτοῦ τέκνων, εἰ καὶ ἄφυκτα βέλη ἔχει.

Pag. 419. l. 269. Τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν] τοῦτο ἰδίως. οὐ γὰρ ἠλαζονεύσατο μόνον περὶ τῶν ἑαυτοῦ παίδων, ἀλλὰ καὶ δῶρον τοξείας προθεὶς τὴν Ἰόλην νικήσαντι τῷ Ἡρακλεῖ, οὐκ ἠγγύησε. διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ τέσσαράς φησιν ἐξ Εὐρύτου καὶ Ἀντιόχης παῖδας, οὕτως. Ἡ δ' ὑποκυσαμένη καλλίζωνος στρατονίκη Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν. Τοῦ δ' υἱεῖς ἐγένοντο Δηΐων τε Κλύτιός τε, Τοξεύς τ' ἀντίθεος ἠδ' Ἴφιτος ὄζος Ἄρηος. Τοὺς δὲ μέθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν, Ἀντιόχη κρείουσα παλαιὸν γένος Αὐβολίδαο. Κρεόφυλος δὲ δύο. Ἀριστοκράτης δὲ τρεῖς, Τοξέα, Κλύτιον, Δηΐονα.

l. 270. Ὡς ἐλευθέρου] λείπει ἡ ὑπό, ὡς ὑπὸ ἐλευθέρου ἀνδρὸς ὑβρίζοιτο. λέγει δὲ τοῦ Εὐρυσθέως.

l. 272. Ἔρριψεν ἐκτὸς αὐτὸν] τῆς οἰκίας αὐτὸν ἀπεώσατο.

Ὧν ἔχων χόλον] ὑπὲρ δὴ τούτων (φησὶν) ὀργιζόμενος ὁ Ἡρακλῆς ἐφόνευσε τὸν Ἴφιτον εἰς τὰ τῆς Τιρυνθίας ὄρη παραγενόμενον διὰ τὴν τῶν ἵππων ἀναζήτησιν.

l. 275. Τότ' ἄλλοσ' αὐτὸν ὄμμα] ἀλλαχόσε τὸν νοῦν ἔχοντα, καὶ οὐ δεινὸν πείσεσθαι προσδοκῶντα, ἀπὸ τοῦ ὄρους ἐδίσκευσεν.

l. 277. Ἔργου δ' ἕκατι] τοῦ φόνου.

l. 279. Οὐδ' ἠνέσχετο] οὐχ ὑπήνεγκεν αὐτοῦ τὴν μιαιφονίαν, ὅτι τὰς ἄλλας αὐτοῦ σεμνὰς πράξεις διὰ ταύτης κατῄσχυνεν.

l. 283. Ὕβριν γὰρ οὐ στέργουσιν] τὴν ἀδικίαν. ὅτι, οὐδ' αὐτὸ τὸ θεῖον ὑβριζόμενον καρτερεῖ, ὃ λίαν ἐστὶν ἀνεχόμενον.

l. 284. Κεῖνοι δ' ὑπερχλιδῶντες] οἱ παῖδες τοῦ Εὐρύτου ὑπερηφάνως λοιδορησάμενοι τῷ Ἡρακλεῖ ἀνῃρέθησαν, ὑπερεντρυφήσαντες τῇ καθ' Ἡρακλέους λοιδορίᾳ.

l. 287. Ἄζηλον] κακοδαίμονα, ὃν οὐκ ἄν τις ζηλώσειεν. Ὅμηρος Ἀμέγαρτε συβῶτα.

l. 289. Ἐφεῖτ'] ἐνετείλατο.

l. 290. Αὐτὸν δ' ἐκεῖνον] τὸ ἑξῆς, αὐτὸν φρόνει ἥξοντα. τουτέστι, προσδόκα αὐτὸν ἥξοντα ὅταν διὰ τῆς θυσίας καθάρῃ ἑαυτὸν ἀπὸ τοῦ φόνου.

l. 294. Νῦν σοι τέρψις] ἀντὶ τοῦ, ἐν τούτῳ τῷ χρόνῳ καθ' ὃν ἀπαγγέλλει τὰ χρηστά ἢ, κατὰ τοῦτον τὸν τρόπον.

l. 299. Ὅμως δ' ἔνεστι] γνωμολογεῖ ὁρῶσα τὰς αἰχμαλώτους, καί φησι, τοῦτ' ἔστιν ἀνδρὸς ἔμφρονος, ὅταν καλῶς πράσσῃ τις, ἐλπίζειν καὶ κακά.

l. 306. Ὦ Ζεῦ τροπαῖε] ἀποτρεπτικός,

πικὲ, ἀλεξίκακε. ἱκετεύει δὲ Δία μὴ παθεῖν παραπλήσια ταῖς αἰχμαλώτοισι τὰ τέκνα αὐτῆς.

l. 308. Τῆσδέ γε ζώσης] δεικτικῶς, ἀντὶ τοῦ ἐμοῦ. ὁ δὲ νοῦς, εἰ καὶ μέλλεις τι δρᾶν κατὰ τῶν ἐμῶν παίδων, τοῦτο ἐμοῦ ζώσης ἀνάβαλου.

l. 311. Ἄνανδρος, ἢ τεκοῦσα] τέκνα ἔχουσα. ὅπερ Καλλίμαχός φησι παιδοῦσα.

Πρὸς μὲν γὰρ φύσιν] ὅσον μὲν ἐκ τῆς ἡλικίας καὶ φύσεως τῶν σωμάτων στοχάζεσθαι, ἄπειρος εἶ τῶν ἐκ τοῦ γάμου προσγιγνομένων, ἔοικας δὲ ὅμως τις εἶναι εὐγενής.

l. 318. Γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις] οὐκ ἐν ταῖς ἀπερριμμέναις καὶ ὑστέροις τεταγμένη, ἀλλὰ δῆλον ὅτι προὔχουσα τῶν ἐν εὐγενείᾳ.

l. 320. Οὐκ οἶδα] καλῶς ὁ Λίχας διὰ τὸ ὕποπτον, οὐδὲ τὸ γένος αὐτῆς ὁμολογήσειν εἰδέναι.

Οὐδ' ἀνιστόρουν μακράν] ἐπολυπραγμόνουν, περιειργαζόμην. μακρὰν δὲ, ἐπὶ πολύ.

l. 321. Τῶν ξυνεμπόρων] τῶν συναιχμαλωτίδων. τὸ δὲ ἔγνως ἀντὶ τοῦ ἔγνως.

l. 322. Ηὔδα] ἀττικῶς ἀντὶ τοῦ ηὔδων.

l. 323. Ἐκ σαυτῆς] ἀπὸ σαυτῆς (φησὶν) εἰπὲ καὶ μὴ ὡς ἀφ' ἡμῶν ἀναγκαζομένη. συμφορὰ γάρ ἐστι τὸ μὴ γιγνώσκεσθαί σε ἥτις τυγχάνεις. τοῦτο δέ φησιν ὡς μέλλουσα αὐτῇ δεξιῶς χρήσασθαι εἰ γνοίη τὰ κατ' αὐτήν.

l. 325. Οὔτ' ἄρα τὴν γε πρόσθεν] ἐὰν αἰδουμένη σε φθέγξηται, ἤγουν οὐδὲν ἄρα ἐξ ἴσου τοῦ πρόσθεν χρόνου προηκόμισεν αὐτῆς τὴν γλῶτταν. τὸν γὰρ πρὸ τούτου χρόνον ἐσιώπα, καὶ οὐδὲν πρὸς ἡμᾶς τὴν καθ' ἑαυτὴν ἐδημοσίευσεν, οὔτε μικρὸν οὔτε μέγα παντελῶς. Ἄλλως.

Οὔτ' ἄρα τῷ γε] ὡς οὐκ ἐλάλησε πρόσθεν, οὐδὲ νῦν λαλήσει.

l. 328. Ἀλλ' αἰὲν ὠδίνουσα] καταπονουμένη.

l. 330. Διειδέμεν] ἔρημον. ὑψηλήν. ἣν Ὅμηρος ἠνεμόεσσαν φησίν.

Ἡ δὲ τοι τύχη] αὕτη δὲ ἡ τύχη (φησὶ) καθ' ἣν σιωπᾷ, ἐπιβλαβὴς μὲν αὐτῇ ἐστι, καθ' ὃ οὐ τυγχάνει τῆς παρὰ σοῦ ἀξιότητος, ὅμως δὲ συγγνώμην ἔχει.

l. 332. Ἡ δ' οὖν ἐάσθω] μὴ ἀναγκαζέσθω λέγειν (φησὶν) ἀλλὰ πορευέσθω ὡς προσφιλὲς αὐτῇ φίλον, ἵνα μὴ δόξωμεν αὐτὴν λυπεῖν.

l. 338. Αὐτοῦ γε πρόσθεν βαιὸν] ὁ πρεσβύτης γελοιούμενος κατέχει αὐτὴν, ἵνα εἴπῃ περὶ ὧν ἤκουσε παρὰ τοῦ Λίχα ἐν τῷ προαστείῳ λέγοντος.

l. 339. Οὕστινας ἄγεις] ἄγεις ἀντὶ τοῦ ἔπεμψας. ἦσαν δὲ καὶ ἄρσενες μετὰ τῶν αἰχμαλώτων.

l. 340. Ὧν τ' οὐδὲν εἰσήκουσας] περὶ τούτων καὶ πάντων προσήκει σε μαθεῖν. τούτων γὰρ ἔχω τὴν γνῶσιν.

l. 342. Τοῦ μ' ἐς τίνος δ' ἐφίστασαι βάσιν] τίνος ἕνεκεν τὴν πορείαν καὶ τὴν εἴσοδον ἱστᾷς καὶ κωλύεις;

l. 347. Σοὶ ταῖσδέ τ' οὐδὲν] οὐδὲν (φησὶ) τούτων οὔτε πρὸς σε οὔτε πρὸς ταύτας ἀπόρρητον. τούτους δὲ, ἤγουν τοὺς αἰχμαλώτους καὶ τοὺς ἀμαθυνότας ἄρσενας, ἢ τοὺς περὶ τὸν Λίχαν.

l. 350 Φώνει δίκης ἐς ὀρθὸν] ἀντὶ τοῦ, ἐρώνει δικαίως καὶ μετ' ἀληθείας.

Ἀλλ' ἢ νῦν κακὸς] ἀντὶ τοῦ, ἢ τὰ πρότερον ἢ τὰ νῦν ψεύδεται.

l. 353. Ἀγνοία μ' ἔχει] ἤγουν, ἀγνοῶ καὶ οὐ συνίημι.

l. 355. Ὥστ' κόρης] τῆς Ἰόλης.

l. 356 Εὔρυτόν θ' ἕλοι] ἑλόντ' εἴη. εἰ δὲ ὑφ' ἓν, θέλοι ἄν.

Pag. 423. l. 358. Τήν θ' ὑψίπυργον Οἰχαλίαν] Φερεκύδης φησὶν οὕτω, μετὰ δὲ τὸν ἀγῶνα Ἡρακλῆς ἀφικνεῖται πρὸς Εὔρυτον τὸν Μέλανος τοῦ Ἀρκεσιλάου εἰς τὴν Οἰχαλίαν. ᾤκεῖτο δὲ αὕτη ἐν Θεσσαλῇ τῆς Ἀρκαδίας, καὶ ᾔτει τὴν θυγατέρα Ὕλλῳ γυναῖκα. τοῦ δὲ μὴ διδόντος, Ἡρακλῆς εἷλε τὴν Οἰχαλίαν, καὶ τοὺς υἱοὺς ἀπέκτεινεν. Ἴφιτος δὲ ἔφυγεν εἰς Εὔβοιαν. Μενεκράτης δὲ οὕτω λέγει. Ἡρακλέα εἰς ἐπιθυμίαν Ἰόλης ἀφικέσθαι τῆς Εὐρύτου· τὸν δὲ μὴ θέλειν διδόναι. ἤρα τε γὰρ αὐτῆς καὶ μίγνυσθαι ἔμελλε τῇ θυγατρί. εἰ μὴ Ἀργεῖοι ἐξῆλθον εἰς τὴν Εὔβοιαν.

l. 359. Θέλξειεν] πεπεικὼς εἴη.

Αἰχμάσαι τάδε] καταπράξασθαι τῇ αἰχμῇ. ὅ ἐστι, διὰ πολέμου κατορθῶσαι.

l. 362. Ὃν νῦν παρόντας] τὸν ἔρωτα αὐτῆς ἀποσιωπώμενος καὶ παραπεμψάμενος, τἀναντία εἶπεν ὁ Λίχας.

l. 364. Κρύφιον ὡς ἔχοι λέχος] ἤγουν λαθραῖον, μὴ εἰδυίας σου, ἀλλ' ἵνα

ὡς παλλακίδα αὐτὴν ἔχοι.

l. 366. Ἐν ᾗ] τῇ Οἰχαλίᾳ τῇ πατρίδι τῆς Ἰόλης.

l. 369. Καὶ νῦν ὡς ὁρᾷς] ἀντὶ τοῦ ὡς ἀκούεις. ἥκει δὲ ἀντὶ τοῦ ἐλεύσεται ὅσον οὔπω. διὰ δὲ τούτων τὴν ταχεῖαν αὐτοῦ ἄφιξιν ἐπαγγέλλεται.

l. 370. Οὐκ ἀφροντίστως] ἀντὶ τοῦ οὐχ ὡς ἔτυχεν, ἀλλὰ διὰ πολλῆς φροντίδος ἔχων αὐτὴν καὶ ἀγαπῶν.

l. 371. Μηδὲ προσδόκα τόδε] τὸ ἐν δούλης μέρει ἔχειν αὐτήν.

l. 372. Ἐντεθέρμανται] ἐκκέκαυται.

l. 376. Ἀγορᾷ] ἀθροίσματι.

l. 378. Οὐχ ἥδομαι] λυποῦμαι μὲν (φησὶν) οὐκ εἰπών σοι τὰ κεχαρισμένα, ἀλλ᾽ ὅμως ἀληθῆ εἰσιν ἅπερ εἴρηκα.

l. 381. Ἆρ᾽ ἀνώνυμος πέφυκεν] ἆρα ἄσημος οὕτως ἐστὶ καὶ δυσγενής, ὡς μηδὲ τὸ ὄνομα αὐτῆς γιγνώσκεσθαι;

l. 383. Ἦ καὶ τὰ λαμπρά] ταῦτα τὸ τοῦ ἀγγέλου πρόσωπον φησί. τὸ δὲ κατ᾽ ὄμμα καὶ φύσιν, ἀντὶ τοῦ εὐπρεπὴς τὴν ὄψιν καὶ τὸ πᾶν σῶμα. ἢ ἀντὶ τοῦ, ἄρα τῇ θέᾳ καὶ τὸ γένος ἐφάμιλλον.

l. 386. Βλάστας] τοὺς γονεῖς ἀφ᾽ ὧν ἐβλάστησεν.

Δῆθεν] προσποιούμενος μηδένα ἠρωτηκέναι μηδὲ ἐγνωκέναι.

l. 387. Ὄλοιντο μή τι πάντες] ὄλοιντο μὴ πάντες οἱ ἄνθρωποι, ἀλλ᾽ οἱ κακοὶ καὶ ὅσοι μηχανῶνται λάθρα, καὶ κακούργους λόγους ἑαυτοῖς συντιθέασιν.

l. 393. Οὐκ ἀπὸ γνώμης] ἀλλ᾽ ἀρεστά. οὐκ ἄνευ συνέσεως. ἤγουν, κἀμοὶ ἀρέσκει.

l. 394. Ἡμεῖς] κατ᾽ ἐρώτησιν.

l. 395. Αὐτόκλητος] αὐτόματος.

l. 397. Ὡς ἕρποντος εἰσορᾷς ἐμοῦ] ὁρᾷς γάρ με ἕρποντα καὶ σπεύδοντα πρὸς τὸν Ἡρακλέα. ἔστι δὲ ὅμοιον τῷ κατεάγη τῆς κεφαλῆς.

l. 399. Αἴσσεις] ἀντὶ τοῦ ἀΐσσεις.

Καὶ νεώσασθαι] ἀνακαινίσασθαι καὶ αὖθις ὁμιλῆσαι ἀκριβῶς ἐκ νέου. Ἢ οὕτως, πρὶν ἡμῖν καινοτέρους ἀνακοινώσασθαι λόγους.

Pag. 425. l. 402. Ἴστω μέγας Ζεὺς] ὅτι περὶ ὧν οἶδα ἀκριβῶς σοι διηγήσομαι.

l. 404. Ὧν δ᾽ ἔβλαστεν] ἀντὶ τοῦ ὑπὸ τίνος ἐτέχθη.

l. 405. Οὗτος βλέφ᾽ ὧδε] ὡς εἰκός, κάτω νένευκεν ὁ Λίχας. κατασχοῦσα οὖν αὐτὸν τῆς χειρὸς, φησὶν, Ἀπόβλεψον εἰς ἐμέ. ὁ δὲ, ἀνανεύσας ἔφη, Πρὸς τίνα γὰρ νομίζεις λέγειν; Ἄλλως.

Πρὸς τίν᾽ ἐννέπειν δοκεῖς;] ὅτι πρὸς βασιλίδα. τὸ δὲ χ, ὅτι τὸ ὧδε τοπικόν ἐστι.

l. 407. Τόλμησον εἰπεῖν] καλῶς τὸ τόλμησον, ὡς ἀποδειλιῶντος εἰπεῖν διὰ τὴν δεσπότην.

l. 410. Δέσποτιν τε τὴν ἐμήν] τοῦτο πρὸς τὸ, πρὸς τίν᾽ ἐννέπειν δοκεῖς;

l. 412. Δίκαια γάρ] ἀντὶ τοῦ ἀληθῆ.

l. 414. Ἐς τήνδε μὴ δίκαιος ὤν] δεικτικῶς, εἰς τήνδε μὴ ἀληθεύων.

l. 415. Τί ποτε ποικίλας᾽ ἔχεις] τί πεπανούργηκας κατ᾽ ἐμοῦ; τί ἐμηχανήσω, ἢ ἐδολιεύσω;

l. 417. Κλύων σέθεν] εἰκῆ ὁμιλούσης δηλονότι.

l. 419. Καὶ γὰρ οὐ σιγηλὸς εἶ] ἀντὶ τοῦ σιγηλή. οὐ σιωπᾷς (φησὶ) πρὶν ἂν πολλὰ φλυαρήσῃς εἰς ἡμᾶς. ἢ πρὶν ἂν μάθῃς ὅ, τι βούλει.

l. 422. Οὐκοῦν σὺ ταύτην] οὐ σὺ (φησὶ) ταύτην, ἣν προσποιῇ ἀγνοεῖν, ἔλεγες εἶναι Ἰόλην.

l. 429. Ταυτὸ δ᾽ οὐχὶ γίνεται] οὐ ταυτόν ἐστι δόκησις καὶ ἀληθὴς λόγος. θέλει δὲ εἰπεῖν ὅτι κἀγὼ ἤκουσα.

l. 438. Ἀποστήτω] περισσὴ ἡ Ἀπο. ἢ γράφεται παρστήτω, ἤγουν ὁ ἄνθρωπος στήτω παρελθὼν εἰς μέσον ὁ διελέγχων με.

l. 439. Νοσοῦντι] ἀντὶ τοῦ νοσούσῃ ὑπὸ ζηλοτυπίας. ἀρσενικῶς δὲ εἶπεν ἢ καθόλου ὁ λόγος ὡς μὴ δόξῃ αὐτὴν διελέγχειν. οὕτω τὸ γὰρ μαινομένῳ συμφλυαρεῖν, ἀνδρός ἐστιν οὐ σώφρονος. προστήτω οὖν (φησὶν) ὁ ἄνθρωπος. οὐ γὰρ φιλονεικήσω πρὸς αὐτόν.

Ληρεῖν] ἀντὶ τοῦ φλυαρεῖν καὶ ἀδολεσχεῖν.

Pag. 427. l. 445. Ἔρωτι μὲν νυν] εὐήθης γὰρ, ὅστις προσδοκᾷ ἀντιπυκτεῦσαι τῷ ἔρωτι.

l. 447. Οὗτος γὰρ ἄρχει] ἀπὸ κοινοῦ τὸ ἄρχει.

l. 450. Μεμπτός εἰμι] μεμπτή εἰμι, τουτέστιν, εἰ μέμφομαι. ἢ ἀντὶ τοῦ ἐπίμεμπτος, ἐπιπληκτική.

l. 453. Ἀλλ᾽ εἰ μὲν ἐκ κείνου μαθὼν] εἰ μὲν παρ᾽ Ἡρακλέους ἐκελεύσθης ψεύσασθαι,

σεσθαι, κακὴν μάθησιν ἐκμανθάνεις· εἰ δὲ σὺ σαυτὸν εἰς τοῦτο ψευδολογίας ἄγεις, ἴσθι ὅτι κἂν θελήσῃς ποτὲ εἰπεῖν ἀληθὲς, οὐ δυνήσῃ, ὑπὸ τῆς συνηθείας νικώμενος· ἢ ὅτι κἂν θέλῃς ἀληθεύσαι, οὐ πιστευθήσῃ.

l. 458. Κὴρ πρόσεστι] μερὶς, κλῆρος, μοῖρα, τύχη.

l. 459. Ὅπως δὲ λήσῃς] ἀντὶ τοῦ μὴ λήσῃς· ἀττικὴ δὲ ἡ φράσις. λυπήσομεν εἰ μὴ εἴπῃς, καὶ παρ' ἐμοῦ προσδόκα βλαβήσεσθαι.

l. 464. Πλείστας] δηλονότι ἀνάνδρους παρθένους, ὡς Μήδαν τὴν Φίλαντος, Αὔγην τὴν Ἀλέου, Μεγάραν τὴν Κρέοντος, τὰς Θεστίου θυγατέρας, Ἀστυδάμειαν τὴν Ἀμύντορος.

l. 466. Οὐδ' ὄνειδος ἤδ' οὖν τ', οὐδ' ἂν εἰ κάρτ' ἐντακείη τῷ φιλεῖν] οὐδὲ ἡ Ἰόλη ὀνειδισθήσεται ὑπ' ἐμοῦ, οὐδ' εἰ μεγάλως αὐτῆς ἐρᾷ ὁ Ἡρακλῆς, καὶ ἐντακείη ἐν τῷ αὐτῆς ἔρωτι.

l. 467. Τῷ φιλεῖν] τῷ φιλεῖν αὐτὴν τὸν Ἡρακλέα.

l. 471. Ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' οὖρον] ὁ περὶ τούτων λόγος ἐρρίφθω (φησὶν) εἰς τὸν ἀέρα.

l. 474. Πείθου λεγούσῃ χρηστὰ] πείσθητί φησιν. ὁρᾷς γὰρ ὅτι φιλανθρώπως ὁμιλεῖ.

l. 479. Ὡς περ οὗτος ἐννέπει] ὁ ἐν τῷ λειμῶνι ἀκηκοὼς, καὶ ἀπαγγείλας τῇ Δηϊανείρᾳ.

l. 484. Οὔτ' εἶπε κρύπτειν] τὸ ἑξῆς, καὶ ταῦτα οὔτ' εἶπε κρύπτειν. τὰ περὶ τοῦ ἔρωτος φησὶ τῆς Ἰόλης, οὔτε κρύπτειν μοι ὁ Ἡρακλῆς εἶπεν, οὔτε μὴν ὁμολογεῖν.

l. 487. Εἴ τι τήνδ' ἁμάρτ'] καλῶς διὰ τῆς λέξεως, τοῦ ἥμαρτον, φημὶ, συγγνώμην ἑαυτῷ προξενεῖ.

l. 488. Ἐπεί γε μὲν δὴ πάντ' ἐπίσ'] ἐπεὶ τοίνυν πᾶν τὸ λοιπὸν ἐπίστασαι, λέγω τι καὶ ἕτερον, ὅπερ ὁμοίως κεχαρισμένον σοί τε καὶ τῷ Ἡρακλεῖ γενήσεται.

Pag. 429. l. 494. Ἀλλ' ὧδε καὶ φρονοῦμεν] ἤγουν, ὥσπερ προείρηκα ταῦτα, καὶ ποιήσω.

l. 495. Κοὔ τι νόσον ἐπακτὸν] τὴν θεομαχίαν λέγει. ἐπακτὸν δὲ ἐνταῦθα, ἀντὶ τοῦ, αὐθαίρετον τὴν θεομαχίαν. τὸ γὰρ πρὸς τὸν ἔρωτα φιλονεικεῖν, θεομαχεῖν ἐστιν ἄντικρυς.

l. 498. Ἄλλ' τ' ἀντὶ δώρων] ὅπως ἂν αὐτῷ παρ' ἡμῶν κομίσῃς ἀντίποινα καὶ σύμφωνα οἷς ἤγαγες. λέγει δὲ ἀντὶ τῶν αἰχμαλώτων.

l. 500. Σὺν πολλῷ στόλῳ] ἤγουν, σὺν ταῖς ἀπεσταλμέναις αἰχμαλώτοισι.

l. 501. Μέγα τι σθένος] γράφεται καὶ μέγα τι σθένουσα Κύπρις. νικηφορεῖ ἐν παντὶ πράγματι ἡ οὕτως, ἀποφέρεται τὰς νίκας κατὰ πάντων, καὶ πάσης κρατεῖ φύσεως· σθένος δὲ νίκης, περιφραστικῶς τὴν νίκην. εἰκότως δὲ ὁ χορὸς τοιαύτην ἀρχὴν πεποίηται. πέπαυται γὰρ ὁ λόγος περὶ τοῦ Ἔρωτος.

l. 504. Παρέβαν. καὶ ὅπως] ἀντὶ τοῦ παραβήσομεν. καὶ ὅσα μὲν εἰς θεοὺς (φησὶν) ἐνεδείξατο, ὑπερθήσομεν·

l. 506. Τὸν ἔννυχον Ἀΐδαν] τὸν ἐν σκότῳ διατρίβοντα.

l. 508. Ἀλλ' ἐπὶ τάνδ' ἄκοιτιν] τὴν Δηϊάνειραν. ὁ δὲ νοῦς οὗτος, τὰ μὲν εἰς θεοὺς γεγονότα παρίημι· ἐκεῖνα δὲ λέγω, τίνες ἠγωνίσαντο περὶ τῶν γάμων Δηϊανείρας, καὶ κατέβησαν εἰς τὸν ἀγῶνα.

l. 509. Ἀμφίγυοι κατέβαν] ἀντίπαλοι, ἢ ἰσχυροὶ ἐν τοῖς γυίοις, μαχεσάμενοι χερσὶ καὶ ποσίν. ἢ ἀμφότεροι τεθωρακισμένοι, ἢ ἄμφω παρωξυμμένοι.

l. 510. Πάμπληκτα] ἀγωνίσματα πληγῶν μεστά.

Ἐξῆλθον ἄεθλ' ἀγώνων] ἀντὶ τοῦ διελύσαν, ἐπεξῆλθον, ἠγωνίσαντο. λέγει δὲ ὅτι πᾶν εἶδος ἀγωνίσματος κατ' ἀλλήλων ἐνεδείξαντο, ἠγωνίσαντο.

l. 513. Τετραόρου] τετρασκελοῦς.

l. 514. Φάσμα] φάντασμα, σχῆμα.

l. 515. Ἀπ' Οἰνιαδᾶν] ἀπὸ Αἰτωλίας. ἢ οὕτως, Οἰνίαι πόλις Ἀκαρνανίας, δι' ἧς ῥεῖ ὁ Ἀχελῷος. πληθυντικῶς δὲ λέγεται.

l. 516. Βακχείας ἄπο] τὸ τὸν Βάκχον ἐχούσης. καλῶς δὲ τὸ Βακχείας, πρὸς ἀντιδιαστολήν.

l. 518. Τόξα καὶ λόγχας] ἀφ' ἱστορίας φησὶ λόγχην ἔχειν τὸν Ἡρακλέα.

l. 519. Ἀολλεῖς ἴσαν] καταχρηστικῶς εἶπεν ἐπὶ δύο τὸ ἀολλεῖς· ἐπὶ πλήθους γὰρ λέγεται. ἢ ἀολλεῖς ἀντὶ τοῦ λίαν ἀθρόοι ἰέντες. Ὅμηρος, Οἴμησεν δὲ ἀλεὶς.

l. 520. Ἱέμενοι] ἐπιθυμοῦντες.

Μόνα δ' εὔλεκτρος] μόνη δὲ ἡ εὔλεκτρος Κύπρις παροῦσα, ἐβράβευε καὶ διέταττε.

Pag. 431. l. 522. Τότ' ἦν χερὸς] τότε οὖν ὁ Ἡρακλῆς καὶ χερσὶ καὶ τόξοις

 ἐμάχ-

ἐμάχετο. ὁ δὲ Ἀχελῷος τοῖς κέρασιν.

l. 524. Ἀνάμιγδα] ἀναμεμιγμένως.

l. 525. Ἦν δὲ ἀμφίπλεκτοι κλίμακες] ἦσαν, ἀντὶ τοῦ ὑπῆρχον. Ἡσίοδος, Τῆς δ' ἦσαν βοὸς κεφαλαί. κλίμακες δὲ, αἱ ἐπαναβάσεις. παρὰ τὸ ἄνω τε καὶ κάτω αὐτὰς στρέφεσθαι ἐν τῇ μάχῃ. ἔστι δὲ εἶδος παλαίσματος ἡ κλίμαξ. τοῦτο δὲ τὸ σχῆμα ἐπὶ Ἡρακλέους ἀκουστέον.

l. 526. Ἦν δὲ μετώπων] τοῦτο ἐπὶ Ἀχελῴου. οἱ γὰρ ταῦροι τοῖς κέρασι καὶ μετώποις μάχονται.

l. 528. Ἁ δ' εὐῶπις] ἡ Δηϊάνειρα.

l. 531. Ἐγὼ δὲ μάτηρ μὲν] ἐγὼ (φησὶν) ἐνδιαθέτως ὥσπερ μήτηρ λέγω. ἐγὼ παρεῖσα τὰ πολλὰ, τὰ τέλη λέγω τῶν πραγμάτων.

l. 532. Ἀμφιμάχητον ὄμμα νύμφας] ἀντὶ τοῦ ἡ περιμάχητος νύμφη, περιφραστικῶς ἀπὸ δὲ τοῦ καλλιστεύοντος αὐτῆς εἶπε μέρους. Ἄλλως. Ὄμμα νύμφας. ἔτι δὲ καὶ νύμφη ἐλεεινὴ οὖσα, ὑπέμεινεν ἡ περικαλλὴς Δηϊάνειρα.

l. 533. Ἀμμένει] ἀντὶ τοῦ ἀνέμενε.

l. 534. Κἀπὸ ματρὸς ἄφαρ] παραχρῆμα γαμηθεῖσα τῶν τῆς μητρὸς ἀφωρίσθη πραγμάτων. ἀπὸ δὲ τοῦ ἅπτω ἅψω, τὸ ἄφαρ γίνεται.

l. 536. Ἦμος φίλαι] ἡ Δηϊάνειρα πρὸς τὸν χορὸν ἐξελθοῦσα διαλέγεται. καὶ φησὶν, ἐν ὅσῳ ὁ Λίχας ταῖς κατὰ τὸν οἶκον συντάττεται αἰχμαλώτοις, ἐξῆλθον ἵνα ἅπερ ἐμηχανησάμην δηλώσω ὑμῖν.

l. 537. Ὡς ἐπ' ἐξόδῳ] ὡς μέλλων αὖθις ἐξιέναι πρὸς τὸν Ἡρακλέα.

l. 540. Συγκατοικτιουμένη] σὺν ἡμῖν θρηνοῦσα.

l. 541. Ἀλλ' ἐζευγμένην] γεγαμημένην τῷ Ἡρακλεῖ προσδεξάμενη, φορτίον λωβητὸν τῆς ἐμῆς φρενός. ἤτοι βλαβερὸν φορτίον καὶ ἐφύβριστον τῆς ἐμῆς φρενός.

l. 544. Μιᾶς ὑπὸ χλαίνης] ὑπὸ μιᾶς κοίτης.

l. 547. Οἰκούρι' ἀντέπεμψε] τοιαῦτα τῆς οἰκουρίας δῶρα ἔπεμψέ μοι ὁ Ἡρακλῆς ὑπὲρ τοῦ χρόνου παντὸς οὗ συνῴκησα αὐτῷ· ὅ ἐστιν εὐχαριστήρια τῆς πολυχρονίας ἡμῶν οἰκουρίας.

l. 552. Τὴν μὲν ἕρπουσαν πρόσω] τὴν ἤδη φερπλήθουσαν καὶ αὐξανομένην τὴν ἥβην.

l. 553. Τὴν δὲ φθίνουσαν] ἐμαυτὴν λέγει, δεικτικῶς. φθίνουσαν δὲ ἀντὶ τοῦ βεβηκυῖαν.

l. 554. Ὀφθαλμὸς ἄνθος] τὸ ἄνθος τῶν νέων γυναικῶν φιλεῖ ἁρπάζειν ὁ ὀφθαλμὸς τῶν ἀνδρῶν.

Τῶν δ' ὑπεκτρέπειν] τῶν δὲ, ὑπαναχωρεῖν, δηλονότι τῶν πρεσβυτέρων. ἤγουν τῶν δύο ἡλικιῶν τὴν μὲν νεάζουσαν ἁρπάζειν εἴωθεν ὁ τῶν ἀνδρῶν ὀφθαλμὸς, τῆς δὲ ὑπεκτρέπειν τὸν πόδα, ἤτοι τῆς πρεσβυτέρας.

l. 555. Μὴ πόσις μὲν Ἡρακλῆς] διαφορὰν ταύτην ἔχει ὁ πόσις πρὸς τὸν ἄνδρα. πόσις μὲν γὰρ λέγεται καὶ ὁ περὶ πολλοῦ ποιούμενος τῆς γυναικός· ἀνὴρ δὲ, ὁ συνών. καὶ ὁ περὶ ὀλίγου χωρισθείς. ὥστε, Ἀνὲρ ἀπ' αἰῶνος νέος ὤλεο. δέδοικα οὖν (φησὶ) μὴ ἐμὲ καταλιπὼν, πόσις ἐμὸς κληθῇ, ὡς συνοικήσας μοί ποτε ταύτης δὲ ἀνὴρ, ὡς αὐτῇ συνοικῶν. Ἄλλως. Πόσις μὲν πρόσπις τις ὢν, παρὰ τὸ προσιέναι.

l. 557. Ἀλλ' οὐ γὰρ, ὥσπερ εἶπον] οὐ χρὴ τὴν συνετὴν γυναῖκα θυμοῦσθαι τῷ ἀνδρί.

l. 558. Ἣ δ' ἔχω] ᾧ δὲ τρόπῳ τῆς λύπης ἴαμα ἔχω, ὑμῖν ἐρῶ.

l. 559. Λυτήριον λύπ.] ἀντὶ τοῦ τῆς λύπης ἴαμα.

Pag. 433. l. 562. Λέβητι χαλκέῳ] δύο ὀνόματα, ὡς κρατερὴν αἰχμητήν. ὡς ἔκτοτε ἀποθεμένην λέβητι ἐπὶ τὸ κατὰ καιρὸν χρήσασθαι αὐτῷ.

l. 563. Ὁ παῖς ἔτ' οὖσα] νεωτέρα. οὐ γὰρ παρθένος.

l. 564. Ἐκ φόνων ἀνειλόμην] ἀντὶ τοῦ ἐκ τοῦ αἵματος τῶν σφαγῶν. Ὅμηρος. Ἄκρον ἐρευγόμενοι φόνον αἵματος. ἢ ἐκ τοῦ τόπου ὅθεν ἐφονεύθη ὁ Νέσσος. Ὅμηρος, — ἐν ἀργαλέῃσι φονῇσιν.

l. 566. Μισθοῦ πόρευε] διεπέρα, διεπόρθμευεν.

l. 568. Ἡνίκα στόλον ξὺν Ἡρακλεῖ] στόλον φησὶ τὸ πλῆθος τῶν ἐν τῇ οἰκίᾳ αὐτῆς δούλων τε καὶ ἀκολούθων. ἡνίκα οὖν καταλιποῦσα τὸν οἶκον τοῦ πατρὸς, ἔρημος ἐπηκολούθησα τῷ Ἡρακλεῖ, καὶ τὰ ἑξῆς.

l. 571. Ψαύει ματαίαις χερσὶν] ὅτι οὐδὲν ἴσχυσεν. ἔφθασε γὰρ ὁ Ἡρακλῆς τοξεύσας καὶ ἀνελὼν αὐτόν.

l. 572. Ἐπιστρέψας χεροῖν] ἀνατρέψας, ἢ στρέψας καὶ κάμψας τὴν χεῖρα. ἢ, εἰς αὐτὸν στραφεὶς καὶ βλέψας.

l. 573.

l. 573. Ἤκεν κομήτην ἰὸν] ἢ διὰ τὸν ὄγκους, ἢ διὰ τὴν πλήρωσιν. τὸ δὲ πλεύμονας, ἀντὶ ἑνικοῦ.

l. 574. Διαῤῥοίζησεν] μετὰ ἤχου ὥρμησε.

l. 576. Τοσόνδ' ὀνήσῃ] ὠφεληθήσῃ καὶ ὄνησιν λήψῃ ἐκ τῶν ἐμῶν πορθμῶν.

Ἐὰν πύθῃ] γράφεται ἐὰν πίθῃ.

l. 578. Ἀμφίθρεπτον] τὸ πεπηγὸς. θρέψαι γὰρ τὸ πῆξαι.

l. 579. Ἡ μελαγχόλους] ὅπου, ἢ ἐν ᾧ.

l. 580. Θρέμμα Λερναίας] περιφραστικῶς, ἡ ὕδρα.

l. 581. Ἔσται φρενός σοι τοῦτο κηλητήριον] ἐπιτήδειον πρὸς τὸ παῦσαι καὶ κηλῆσαι αὐτὸν, ἤγουν καταπαυστήριον τῆς φρενὸς τοῦ Ἡρακλέους τοῦ πρὸς ἄλλην ἔρωτος, ἢ κατακηλοῦντος τὴν ψυχὴν τοῦ Ἡρακλέους τῷ πρὸς τὴν Δηϊάνειραν ἔρωτι.

l. 585. Ἐγκεκλεισμένον] τηρούμενον.

l. 586. Χιτῶνα τόνδε] τοῦτό φησιν ὡς κατὰ ἐντολὴν Νέσσου καὶ ἄλλα τινὰ συμμίξασα.

l. 587. Καὶ πεπείρανται τάδε] κατείργασται, τετελείωται, καὶ ἤνυσται.

l. 588. Κακὰς δὲ τόλμας] τὰς φαρμακείας. μὴ εἰδείην (φησὶ) κακοῖς πράγμασιν ἐπιχειρεῖν, ἢ δολοφονῆσαι αὐτὸν, ἤτοι τοιοῦτον ἐργάσασθαι· ἀλλ' ἄχρι τοῦ μεταθεῖναι αὐτοῦ τὴν γνώμην διὰ τοῦ κατασκευάσματος τούτου. εἰ μὴ μάταιόν ἐστι τοῦτο τὸ κατασκεύασμα, προσδοκῶ ταύτην ὑπερβαλέσθαι τῇ παρὰ τοῦ Ἡρακλέους εὐνοίᾳ· εἰ δὲ μὴ ἐπιτυγχάνω, παύσομαι τῆς ἐπιχειρήσεως.

l. 592. Μεμηχάνηται τοὔργον] τοῦτο (φησὶ) τὸ ἔργον μεμηχάνηται οὐκ ἐπ' ὀλέθρῳ, ἀλλ' ἵνα ταύτην φίλτροις ὑπερβαλώμεθα.

l. 593. Εἰ δὲ μὴ, πεπαύσομαι] εἰ δὲ μὴ ἐνεργήσῃ, πεπαύσομαι τῆς ἐπιχειρήσεως.

l. 594. Ἀλλ' εἴ τις ἐστὶ πίστις] ἀλλ' εἰ πεπίστευκας ὅτι δράσει τοῦτο, ἄριστα μοι δοκεῖς βεβουλεῦσθαι.

l. 596. Οὕτως ἔχει γ' ἡ πίστις] πιστεύομεν ἀληθὲς εἶναι, οὐ μὴν πεπείραμαι.

l. 598. Ἀλλ' εἰδέναι χρὴ δρῶσαν] δεῖ σε (φησὶν) ἐπιχειροῦσαν γνῶναι. ἢ, δεῖ σε δρῶσαν, ἔχειν τὴν πίστιν καὶ μὴ μόνον δοκεῖν ἐπίστασθαι. οὔπω γὰρ ἔχεις τὴν γνῶσιν πρὶν πειραθῆναι.

l. 599. Ἔχοις ἂν γνῶμα] γράφεται ἄγνωμα.

l. 600. Εἰσόμεσθα] γνωσόμεθα (φησὶ) τὴν δύναμιν τοῦ κατασκευάσματος. βλέπω γὰρ τὸν Λίχαν πλησίον πορευόμενον, ὃς ἀποκομίσει τὸν πέπλον τῷ Ἡρακλεῖ· καὶ ἔσται ἡμῖν διὰ τούτου πεῖρα.

l. 602. Εὖ στεγοίμεθα] κρυπτοίμεθα. ὅ ἐστι, σιωπῇ γένοιτο.

Pag. 435. l. 605. Τῷ μακρῷ χρόνῳ] ἀντὶ τοῦ διὰ τὸ ἐνταῦθα χρόνῳ ἐνδιατρίψαι.

l. 608. Εὐυφῆ πέπλον] ἰχνουργῆ. ἐκ δὲ τὸν ἀνδρεῖον χιτῶνα, πέπλον φησὶν ἀντὶ τοῦ λεπτουφῆ.

l. 613. Μή τ' ἐφέστιον σέλ.] ἀντὶ τοῦ τὸ κατ' οἶκον πῦρ. ἕρκος δὲ ἱερὸν, ὁ βωμὸς, ἢ τὸ ἱερόν.

l. 614. Πρὶν κεῖνος] πρὶν αὐτὸς ἐνδυσάμενος ἐπὶ τῆς οἰκίας φανερὸς καὶ ὑπ' ὄψεσι πάντων προέλθῃ, καὶ δείξῃ ἑαυτὸν φανερὸν τοῖς θεοῖς ἐμφανῶς σταθεὶς, καθ' ἣν ἡμέραν μέλλει ταύρους θύσειν τοῖς θεοῖς εὐχαριστήρια.

l. 617. Πανδίκως] ἀνενδοιάστως.

l. 618. Στελεῖν χιτῶνι τῷνδε] σκεπάσειν, ἐνδύσειν, περιβαλεῖν αὐτὸν τούτῳ τῷ χιτῶνι, ὡς φανῆναι αὐτὸν σφαγέα τῶν θυμάτων.

l. 619. Καινὸν] καινοπρεπῆ.

l. 620. Σῆμ', ὃ κεῖνος εὐμαθὲς] σημεῖον κομίσεις τῶνδε εὔγνωστον, ὅπερ ἐκεῖνος ἐπιγνώσεται ἐπιθεὶς τὸ ὄμμα τῇ σφραγῖδι, καὶ γνοὺς ὅτι παρ' ἐμοῦ εἴη ἡ σφραγίς.

l. 621. Σφραγῖδος ἕρκει] περιφραστικῶς τῇ σφραγῖδι.

l. 622. Ἀλλ' ἕρπε καὶ φύλασσε] οὗτός ἐστιν ὁ προσήκων νόμος τοῖς διακονοῦσιν, ὥστε μηδὲν περαιτέρω δρᾶν τῶν προστεταγμένων αὐτοῖς. ἐμφαίνει δὲ αὐτῷ μὴ ἀποσφραγίσαντα περιεργάζεσθαι τί ἔγκειται ἐντός.

l. 624. Ἔπειθ' ὅπως ἂν ἡ χάρις] γνησίως διακονούμενος διπλάζεις τὴν χάριν, καὶ ἴσως φιληθήσῃ παρ' ἑκατέρου.

l. 626. Ἀλλ' εἴπερ Ἑρμοῦ] κῆρυξ γὰρ ὁ θεός.

l. 629. Λόγων τε πίστιν ὧν ἔ.] ἐντεῖλαι δέ μοι (φησὶ) περὶ πραγμάτων ἄλλων μυστικῶν, καὶ λόγους ἀνακοίνωσαί μοι, καὶ φυλάξω.

Ἐφάρ-

Ἐφάρμοσαι] ἐπίθες (φησὶν) ἣν θέλεις σφραγῖδα.

l. 634. Προσδέγματα] τὰς ὑποδοχὰς λέγει. φησὶ δὲ ὅτι οἶδα πῶς φιλοφρόνως αὐτὴν ἐδεξάμην. καὶ τοῦτο δὲ ἐπαγωγὸν πρὸς Ἡρακλέα εἶναι τὴν ὑπονοουμένην, φιλοφρόνως προσεδέξατο. πρὸς ὃ ἐπάγει, τοσοῦτον οἶδα ὥστε θαυμάσαι με καὶ ἐκπλαγῆναι, ὅτι ἀσμένως αὐτὴν ὑπεδέξω, καὶ ἐπὶ τούτῳ χαρῆναι.

l. 637. Δέδοικα γὰρ] δέδοικα γάρ φησι μὴ παρὰ καιροῦ εἴποις τὸν ἐξ ἐμοῦ πόθον, πρὶν μάθω μὲν εἰ καὶ αὐτὸς ἡμᾶς ποθεῖ. διὰ δὲ τούτων ἐρεθίζει αὐτὸν πλέον εἰπεῖν.

l. 638. Ὦ ναύλοχα καὶ πετραῖα] δοκεῖ τοῦτο παρ' ἱστορίαν εἶναι. φασὶ γὰρ πρότερον ἐν Τραχῖνι τῷ Ἡρακλεῖ ἀναδιδόσθαι. ἐνταῦθα δὲ ὡς προϋπαρχόντων αὐτῶν, φησὶν ὦ ναύλοχα. ὁ χορὸς τῶν περὶ τὴν Οἴτην οἰκούντων προσκαλεῖται ἐπὶ τὸ πανηγυρίσαι διὰ τὴν προσδοκωμένην ἐπιδημίαν τοῦ Ἡρακλέους. ὁ δὲ νοῦς, ὦ ἄνδρες οἱ περὶ τὰ παραθαλάσσια θερμὰ λουτρὰ ἐνοικοῦντες, καὶ οἱ παρὰ τῶν τραχεῖς καὶ ὀρεινοὺς τόπους τῆς Οἴτης καὶ τὸν Μηλιακὸν κόλπον, ἔτι τε καὶ τὴν ἀκτὴν τῆς χρυσοτόξου Ἀρτέμιδος (ἔνθα φασὶν εἶναι τὰ Ἑλλήνων τὰ συνέδρια) ἄρτι ὁ καλλιφωνότατος πάλιν ἥξει αὐλὸς, καὶ καταλήψεται ὑμῶν τὰς ἀκοὰς, οὐδέ τι καὶ μυστικὸν προσπνέων οὐκ ἐχθρὰν οὐδ' ἀπευκτὴν φωνὴν, ἀλλὰ θείας μούσης ἀντίλυρον, ὅ ἐστι φωνὴν γλυκεῖαν.

Ὦ ναύλοχα] παραθαλάττια λουτρά φησι δὲ τὰ Ἡράκλεια, ἅπερ λέγεται αὐτῷ ἡ Ἀθηνᾶ ἀνεῖναι.

Πετραῖα δὲ] διὰ τὸ ἐν ὄρει τῇ Οἴτῃ κεῖσθαι. ἔνιοι δὲ, ἐν Σικελίᾳ φασὶν ἀναδοθῆναι τῷ Ἡρακλεῖ τὰ θερμὰ λουτρά.

l. 639. Καὶ πάγους] πάγοι εἰσὶν οἱ ὑψηλοὶ τόποι ἢ αἱ ὀξεῖαι πέτραι, καὶ οἱ παρὰ τῶν τραχεῖς καὶ ὀρεινοὺς τόπους τῆς Οἴτης οἰκοῦντες.

l. 643. Μηλίδα παρὰ λίμναν] λίμναν φησὶ τὴν θάλασσαν. Ὅμηρος, Αἰθὴρ δ' ἐκ χεῖρα πολὺ ἀπεδύσατο λίμνης. ὁ δὲ Μηλιακὸς κόλπος παρὰ Τραχῖνί ἐστιν. Εἰς τὸ αὐτό.

Μηλίδα παρὰ λίμναν] τὴν Μαγνησίαν, ἔνθα τὸ τῆς Ἀρτέμιδος παραθαλάσσιον ἱερὸν, πλησίον Τραχῖνος· ὅπου καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία συνέβη τοῖς Ἕλλησιν ἐν Θερμοπύλαις.

l. 644. Χρυσαλακάτου] ἐν Εὐβοίᾳ τιμᾶται χρυσότοξος Ἄρτεμις.

l. 645. Ἔνθ' Ἑλλάνων ἀγοραὶ] ὅπου συνάγονται οἱ Ἀμφικτύονες εἰς τὴν λεγομένην Πυλαίαν· περὶ ἧς Ἀγάθων φησὶ, Πυλάδην τὸν Στροφίου πρῶτον κριθῆναι ἐν τῇ Φωκίδι, καθαιρόμενον τὸ ἐπὶ Κλυταιμνήστρᾳ μύσος· καὶ ἀπ' αὐτοῦ τὴν σύνοδον Πυλαίαν φησὶ προσαγορευθῆναι. ἢ ὅτι ὁ τόπος πύλαι τῆς Ἑλλάδος.

Pag. 437. l. 647. Οὐκ ἀναρσίαν ἰάχων] οὐκ ἐχθρὰν, οὐδὲ θρήνων βοήν.

l. 650. Ἀντίλυρον μούσας] ἀντίμιμον, ἰσόλυρον, ἀντῳδόν. ἀντὶ τοῦ, οὐ μυστικὴν φωνὴν, ἀλλὰ τὴν ἐκ τοῦ ἐναντίου μέρους τῆς λύρας φωνήν. ἀφ' οὗ δηλοῦται ὅτι ὁμοῦ αὐλὸς καὶ λύρα ἀντιφωνήσουσιν.

l. 652. Σεῦται] ὁρμᾶται, ἥξει.

l. 654. Ὃν ἀπόπτολιν εἴχομεν] ὃν ἐκτὸς εἴχομεν τῆς πόλεως, εἰς δυοδεκάμηνον ἀναμείνασαι. τὸ δὲ ἑξῆς, ὃν ἀπόπτολιν πελάγιον, ἀντὶ τοῦ ἄπωθεν τῆς πόλεως ἐν τῷ πελάγει.

l. 657. Πελάγιον δὲ, ὅτι πολλάκις καὶ διὰ θαλάττης ἔπλειν, εἴποτε εἰς νήσους ἀπίοι.

l. 658. Α δὲ οἱ] ἡ Δηϊάνειρα.

l. 661. Νῦν δ' ἄρης οἰστρηθεὶς] μανεὶς ὁ περὶ τὴν Οἰχαλίαν πόλεμος ἐξέλυσεν ἡμᾶς τῆς ἀνίας ἣν ἐφ' ἑκάστης ἡμέρας εἴχομεν. Εἰς τὸ αὐτό. Νῦν δ' ἄρης ὁ πρὸς τὸν Εὔρυτον. ἐξ αὐτοῦ γὰρ εὐθὺς ἐπανῆλθε.

l. 664. Μὴ σταίη πολύκωπον] μηδαμοῦ ἡ ναῦς ἀλλαχοῦ ὁρμίσαι, ἕως ἐνταῦθα ἀφίκοιτο, τὴν Εὔβοιαν νῆσον ὑπερβὰς καὶ καταλιπών· κατεστρεψάμενος γὰρ τὴν Οἰχαλίαν ἐκεῖ ἔμελλε θῦσαι τῷ πατρί.

l. 669. Πανάμερος] ἀντὶ τοῦ, τὴν σήμερον ἡμέραν ἔλθοι τῷ πέπλῳ τῆς πειθοῦς θελχθεὶς ἐκ παραινέσεως τοῦ Νέσσου κατεσκευασμένῳ. πειθοῦς δὲ πέπλον εἶπεν, ὅτι γέγονεν ἐπὶ τῷ μαλαχθῆναι καὶ μαλαθεῖναι τὴν Ἡρακλέους γνώμην ἐπὶ τὴν Δηϊάνειραν. Ἡ πανάμερος, αὐθημερὸν ἐν τῇ αὐτῇ ἡμέρᾳ ἔλθοι εἰς ἔρωτα τῆς γυναικὸς διὰ τὸ τοῦ Νέσσου φάρμακον.

l. 670. Παγχρίστῳ] λείπει τῷ πέπλῳ. ἤγουν τῷ χρισθέντι πέπλῳ συγκεκραμένος. καὶ ἁρμοσθεὶς τῇ πειθοῖ τοῦ θηρός.

l. 672. Μὴ περαιτέρω] ὑπὲρ τὴν συμφέρουσαν χρείαν, καὶ πλεῖον τοῦ συμφέροντος.

Pag. 439. l. 679. Μάλιστά γ' ὥστε] μὴ ἕνεκα ὧν ἀπέσταλκας δωρημάτων τῷ Ἡρακλεῖ, ἀθυμεῖς; ναὶ (φησὶ) περὶ τούτου φοβοῦμαι οὕτως ὥστε μηδέποτε παραινέσαι τινὶ ἀδήλου πράγματος προθυμίαν λαβεῖν. ὅ ἐστιν, ἀδήλῳ πράγματι ἐπιχειρεῖν.

l. 684.

l. 683. Θαῦμ' ἀνέλπιστον] θαυμαστὸν καὶ ὃ οὐκ ἄν τις ἐλπίζοι μαθεῖν καὶ παθεῖν.

l. 688. Κατ' ἄκρας σπιλάδος] σπιλὰς ἡ πέτρα. ὡς οὖν ἐπὶ λίθου θερμὴν αὐτό, τοῦτο (φησὶ) καταττήκεται καὶ ῥεῖ καὶ διαλύεται ἀπὸ τοῦ λίθου διαρρέον.

l. 689. Ὡς δ' εἰδῇς ἅπαν] ὅπως γνῷς ἀκριβῶς ὅλον τὸ πρᾶγμα, εἰς μῆκος ἁπλώσω τὸν λόγον.

l. 691. Εγὼ γὰρ ὧν ὁ θὴρ με] ὧν εἶπέ μοι ὁ Νέσσος ὅτε τὴν πλευρὰν ἤλγει τῷ βέλει τρωθείς. γλωχῖνι δὲ, ἀπὸ μέρους τοῦ βέλους. γλωχὶν γὰρ ἡ ἀκίς. ὃ λέγει ὁ Ὅμηρος ὄγκον.

l. 693. Παρῆκα θεσμῶν οὐδὲν] λείπει ἄπρακτον.

Αλλ' ἐσωζόμην] ἀντὶ τοῦ ἔσωσα καὶ ἐφύλαξα. διεφύλαξα οὖν ὅσα μοι παρήγγειλεν ὡσανεὶ ἐν δέλτῳ χαλκῇ ταῦτα ἔχουσα ἐγκεχαραγμένα. δύσνιπτον, δὲ, ἀντὶ τοῦ δυσαπάλειπτον.

l. 695. Πρόρρητα] πρὸς ἐμὲ ὑπὸ Νέσσου προειρημένα, ἢ προμεμηνυμένα μοι. ἢ ἀπόρρητα.

l. 697. Θέρμης ἄθικτον] ἀντὶ τοῦ ἀπροσπέλαστον πυρὸς, καὶ ἡλιακῆς ἀκτῖνος.

l. 698. Αρτίχριστον] παραυτὰ χριόμενον.

l. 699. Νῦν δ' ὅτ' ἦν ἐργαστέον] νῦν δ' ὅτε ἐνέστη ὁ καιρὸς τοῦ χρῖσαι, ἔχρισα μᾶλλον ἐρίου.

l. 701. Κτησίου βοτοῦ λαβοῦσα] ἀπὸ κτητοῦ προβάτου τὸν μαλλὸν ἀποσπάσασα, ἤγουν ἐν οἴκῳ τρεφομένου. κτῆσιν δὲ τὰ πρόβατα λέγονται καὶ βοτά.

l. 702. Αλαμπὲς ἡλίου] μὴ καταυγασθέν.

l. 703. Κοίλῳ ζυγάστρῳ] ἀντὶ τοῦ, εἰς ξύλινον σορὸν, τουτέστι κιβωτόν.

l. 705. Αφραστον] ἀφανὲς, ἀνεκδιήγητον. ἀξύμβλητον δὲ, ἀσυνείκαστον πρὸς τὸ μαθεῖν ἀνθρώπῳ. ἢ ἀντὶ τοῦ ἀπαραβλητον. οὐ γὰρ ἔχον ἄλλῳ παραβληθῆναι, ὥστε πιστῶσαι καὶ μαθεῖν τὸν ἀκούοντα.

l. 706. Τὸ γὰρ κάταγμα] τὸ γὰρ ἔριον τοῦ προβάτου, μεθ' οὗ ἔχρισα τὸν πέπλον, ἔρριψα εἰς τόπον βαλλόμενον καὶ πυρούμενον ὑπὸ τοῦ ἡλίου. τὴν γὰρ αὐγὴν, ἀκτῖνα ἡλιῶτιν εἶπεν.

Τὸ κάταγμα] τὸ αἴγλον μήρυμα.

l. 708. Ὡς δ' ἐθάλπετο] ὡς δὲ ἐθερμαίνετο, ὑπέρρευσεν, ἀφανῶς λέλυται.

l. 710. Πρίονος ἐκβρώματα] ἐοικὸς πρίσματι ξύλου. θαυμαστῶς δὲ βρώματα πρίονος εἶπε τὰ πρίσματα. τρόπον γάρ τινα ἐσθίων τὸ ξύλον ὁ πρίων, ἐκεῖνο τὸ λεπτὸν ἀποβάλλει.

l. 712. Προπετὲς] ἐρριμμένον καὶ προπεσὸν χαμαί.

l. 713. Αναζέουσιν] ἀνακαχλάζουσι.

Θρομβώδεις ἀφροί] ἐπηρμένοι θρόμβος γὰρ ὁ ὄγκος, ἡ περιφερῆ φυσήματα.

l. 714. Γλαυκῆς ὀπώρας] τοῦ γλεύκους τοῦ ἀρτίως ἐκπιεσθέντος καὶ νέου. μάλιστα δὲ ὁ νέος οἶνος, θερμὸς ὤν, εἰ πέσοι χαμαὶ, ἀφρίζει. γλαυκὴν δὲ ὀπώραν τὸν νέον οἶνον εἶπε, διὰ τὴν λαμπρότητα.

l. 718. Ης ἔθνησχ' ὕπο] ὑφ' ἧς, ὑφ' ἧς, δι' ἥν.

l. 719. Τὸν βαλόντα] τὸν τοξεύσαντα.

l. 720. Ων ἐγὼ μεθύστερον] ὧν τῶν εἰρημένων μοι ὑπ' ἐκείνου νῦν τὴν γνῶσιν μανθάνω, ὅτι οὐκ ἔτι με ὠφελεῖ.

l. 721. Οὐκ ἔτ' ἀρκεῖ] ὠφελεῖ. Ὅμηρος, Αρκιον ἐσσεῖται.

Pag. 441. l. 722. Εἰ τι μὴ ψευσθήσομαι γνώμης] εἰ μὴ διαμάρτοιμι τῆς γνώμης, ἣν ἔχουσα ἀεὶ αὐτοῦ τυγχάνω.

l. 726. Χὥσαπερ ἂν θίγῃ] καὶ ὅσα ἂν θίγῃ τοῦ Ηρακλέους βέλους, εἴτε ἄνθρωπος, εἴτε θηρία, ἀπόλλυται.

l. 727. Εκ δὲ τοῦδε] τοῦ Νέσσου. ἀντὶ τοῦ διὰ τοῦ Νέσσου.

l. 729. Καίτοι δέδοκται] κἀγὼ (φησὶν) ἀποθανεῖν βουλήσομαι, ἵνα μὴ δόξω πονηρίᾳ ἀνῃρηκέναι τὸν Ηρακλέα, ἀλλ' ἀκουσίῳ γνώμῃ.

l. 730. Ταὐτῇ σὺν ὁρμῇ] τούτῳ τῷ τρόπῳ. τουτέστι διὰ τοῦ πέπλου.

l. 731. Ζῆν γὰρ κακῶς] γυναῖκα γὰρ κακοδοξοῦσαν οὐ δεῖ ζῆν, ἥτις μὴ θέλῃ δοκεῖν ἐκ φύσεως εἶναι κακή.

l. 733. Ταρβεῖν μὲν ἔργα] ἀνάγκη μὲν δυλαβεῖσθαι τὰ δεινὰ ἔργα. οὐ χρὴ δὲ πρὸ τῆς ἐκβάσεως καὶ τῶν συμβησομένων ἀφαιρεῖσθαι τὰ δεινά.

l. 736. Οὐκ ἔστιν ἐν τοῖς] ἐν τοῖς πονηροῖς βουλεύμασιν οὐδ' ὑπολείπεται χρηστὴ ἐλπίς, ἥτις παρέχει πεποίθησιν καὶ θάρσος. ἀντὶ τοῦ δύσελπίς εἰμι. πρὸς ὃ ἐπάγει.

l. 738. Αλλ' ἀμφὶ τοῖς σφαλεῖσι] τοῖς ἀκουσίως σφαλεῖσιν ἡ ἐπαγομένη ὀργὴ, πεπεμμένη ἐστὶ καὶ πραεῖα καὶ συγγνωστή·

σθ' ἧς σε δίκαιον τυγχάνειν παρὰ τοῦ Ηρακλέους. ἀκούσαι γὰρ ἥμαρτες.

l. 739. Οὐχ ὁ τοῦ κακοῦ κοινωνὸς] ὁ μὴ δυστυχῶν τοιαῦτα ἂν εἴποι.

l. 741. Σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω χρόνον] γράφεται λόγον. πρέποι σοι λοιπὸν σιωπᾶν, καὶ μηκέτι περὶ τούτου πλείω λέγειν, εἰ μὴ ἄρα τι τῷ σῷ παιδὶ μέλλεις ἐρεῖν παραγιγνομένῳ ἤδη.

l. 746. Ἄλλου μητέρα] αἰσχύνομαι γὰρ ἐπὶ σοί.

l. 748. Στυγούμενον] λυπηρὸν καὶ μίσους ἄξιον.

l. 752. Τὸ γὰρ φανθὲν] τὸ ἅπαξ πραχθὲν, καὶ ἐπὶ πέρας ἐλθὸν, πῶς ἄν τις μὴ γενέσθαι ποιήσοι; καὶ Πίνδαρος. Τῶν δὲ πεπραγμένων ἀποίητον οὐδ' ἂν χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος.

l. 755. Αζηλον] φαῦλον, ὃ οὐδεὶς ζηλώσειεν.

l. 756. Αὐτὸς βαρεῖαν ξυμφορὰν] τὰ μὲν ἑώρακα πάσχοντος, τὰ δὲ ἀνοιμώζοντος ἤκουσα κατὰ τὴν γλῶσσαν. ὅ ἐστι κατὰ στόμα αὐτοῦ ἱστάμενος καὶ οὐ πόῤῥω, τουτέστιν ἔμπροσθεν αὐτοῦ. ὅμοιον τῷ, κατὰ στόμα αὐτῷ ἀπήντησε.

l. 758. Ποῦ δ' ἐμπελάζεις] προσπελάζεις.

Παρίστασαι] πλησίον γέγονας.

l. 760. Οθ' εἷρπε] καινοπρεπὴς ἡ φράσις. ἦλθεν εἰς τὴν Εὔβοιαν, ἧς ἀκρωτήριόν ἐστι τὸ Κήναιον.

l. 764. Τεμένιαν τὴν φυλλάδα] τὸν ἀπὸ τῶν τεμενῶν στέφανον. ἢ τέμενος πολύφυλλον.

Pag. 443. l. 769. Ως σὺ προὐξεφίεσο] ὡς σὺ ἐπετείλω.

l. 773. Δείλαιος ἵλεῳ φρενὶ] ὁ Ηρακλῆς ἱλαρᾷ τῇ φρενὶ κατηύξατό σοι χαίρων ἐπὶ τῷ πέπλῳ.

l. 775. Οπως δὲ σεμνῶν ὀργίων] ὅτε δὲ ἀπὸ τῶν θυμάτων καὶ τῶν ξύλων ἡ φλὸξ ἀνεκαίετο, τότε ἱδρὼς ἀνῄει περὶ τὸ σῶμα αὐτοῦ.

l. 776. Φλὸξ αἱματηρὰ] αἱματηρὰ, ὅτι ἐκ τοῦ αἵματος τῶν ἱερείων συνίσταται.

Κἀπὸ πιείρας δρυὸς] ἀπὸ λιπαροῦ ξύλου. δρῦν γὰρ λέγουσι πᾶν δένδρον.

l. 778. Πλευραῖσιν ἀρτίκολλος] ὡς ὑπὸ τέκτονος καλῶς συγκεκολλημένος. τὸ δ' ἑξῆς, καὶ προσκολλητὸς ὁ χιτὼν κατὰ πᾶν μέρος, ὡς ἂν ξύλῳ γεγραμμένα κόλλα ὑπὸ τέκτονος προσείη χειρωθεῖσα.

l. 780. Οδαγμὸς ἀντίσπαστος] κνησμός. ὀδήξασθαι γὰρ τὸ κνήσασθαι. ἀντίσπαστος δὲ, ἴσος σπασμοῦ, ἢ μετὰ σπασμοῦ. γίνεται δὲ ὁ ψόφος ἀπὸ σπασμοῦ.

l. 781. Εχθρᾶς ἐχίδνης] Τυφῶνος μὲν γὰρ καὶ ἐχίδνης ἡ ὕδρα.

Ιὸς ὡς ἐδαίνυτο] ὡς κατήσθιεν αὐτὸν ὁ ἰός.

l. 785. Τὸ σὸν μόνης δώρημ' ἔλεξεν] εἶπεν ὅτι σὺ αὐτῷ προσήγαγες τὸν πέπλον, ὡς ἦν ἀπεσταλμένος ὑπὸ σοῦ καὶ οὐκ αὐτὸς ἦν ἀφ' ἑαυτοῦ πανουργήσας.

l. 789. Μάρψας ποδός νιν] δραξάμενος τοῦ ποδὸς τοῦ Λίχα κατ' ἐκεῖνο τὸ μέρος ἔνθα δεσμεῖται τὸ ἄρθρον. λέγει δὲ τὸ περὶ τὸν ἀστράγαλον μέρος, ᾧ εἰώθαμεν δεσμεῖν τὸ ὑπόδημα, ἤ τι τοιοῦτον.

Η λυγίζεται] ἁρμόζεται, κάμπτεται, συστρέφεται. ὅπου ἐστὶν ὁ δεσμὸς τῶν νεύρων, ἔνθα ὑποδεσμούμεθα. εἴρηται δὲ ἀπὸ τῶν λύγων· εὐέλικτον γὰρ τὸ φυτὸν νέον ὄν. Ὅμηρος, — δίδη μόσχοισι λύγοισιν.

l. 790. Αμφίκλυστον] τὴν ἐκ τοῦ πόντου ἀμφοτέρωθεν κλυζομένην.

l. 791. Κόμης δὲ λευκὸν μυελὸν] διὰ δὲ τῆς κόμης τὸν ἐγκέφαλον ἐκραίνει κατὰ μέρος τῆς κεφαλῆς διαῤῥαγείσης. ὅτι διαιρεθείσης τῆς κεφαλῆς, διὰ τῆς κόμης ἀνεπέμπετο ὁ ἐγκέφαλος σὺν τῷ αἵματι.

l. 793. Ανευφώνησεν] κατὰ τὸ ἐναντίον, ἀντὶ τοῦ ἐστέναξε.

l. 794. Τοῦ μὲν νοσοῦντος] τοῦ Ηρακλέους νοσοῦντος, τοῦ δὲ Λίχου ἤδη ἀνυσθέντος, ὅ ἐστι πεφονευμένου.

l. 796. Εσπᾶτο γὰρ] σπασμῷ γὰρ εἴληπτο κείμενος ἐπὶ τῆς γῆς.

l. 798. Λοκρῶν ὄρειοι πρῶνες] Ὅμηρος, Λοκρῶν δ' ἡγεμόνευεν Ὀϊλῆος ταχὺς Αἴας, Λοκρῶν οἳ ναίουσι πέραν ἱερῆς Εὐβοίης.

l. 799. Επεὶ δ' ἀπεῖπεν] ἀπέκαμεν, ἀπηγόρευσεν ἑαυτὸν, ὑποκέκμηκε, ἀπείρηκε, πρὸς ταῖς ὀδύναις ἐπὶ γῆς κυλιόμενος.

l. 801. Ενδατούμενος] σφοδρῶς λοιδορῶν, μεμφόμενος. κατὰ μέρος τῶν λεγομένων ἀνακαλῶν. ἐνδατεῖσθαι γὰρ τὸ μερίσασθαι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν δαινυμένων. ἐνδατεῖσθαι γὰρ τὸ σφοδρῶς ἐσθίειν. Ἄλλως. ἐνδατούμενος, νῦν

σφόδρα

σφόδρα κακῶς λέγων, δύσφημον, συνεχῶς μεμφόμενος, ἐπαρώμενος. ἔνιοι δὲ γράφουσιν ἐμματεύμενος, ἀντὶ τοῦ ματεύμενος.

l. 803. Κατακλίσαιτο] πλεονάζει ἡ κατά. ἀντὶ τοῦ ἔχε.

l. 804. Τότ' ἐκ προσέδρου] ὅτι ἀπεῖπε καὶ ἐπαύσατο καὶ ἀπέκαμε κυλιόμενος, τότε ἀνατείνας τὸν ὀφθαλμὸν διὰ τῆς κεχυμένης τοῦ σώματος λιγνύος, εἶδέ με δακρυρροοῦντα. Λιγνὺς δὲ, τῆς ὑποκειμένης καὶ περικεχυμένης αὐτῷ φλογώδους νόσου.

l. 809. Ἀλλ' ἄγε] προστακτικῶς.

Pag. 445. l. 811. Εἰσίδ' οἶκτον ἴσχεις] αἰσχύνεται γὰρ αὐτὴ θανεῖν, μὴ ἐγγελασθῇ ὑπὸ τῶν Οἰχαλίων.

l. 815. Βρυχώμενον] ἀνοιμώζοντα μεγάλως ἐκ τοῦ σπασμοῦ.

l. 818. Ποίνιμος δίκη] ἡ τιμωρὸς, ἡ ποινὴν ἀπαιτοῦσα.

l. 820. Θέμις δ' ἐπεί μοι τὴν θέμιν] θέμις δέ ἐστιν ἡμᾶς καταρᾶσθαί σοι, ἐπεὶ σὺ προτέρα τὴν θέμιν ἀπέρριψας καὶ παρεῖδες. ἐὰν δὲ προὔλαβες, ἀντὶ τοῦ, φθάσασα τὴν θέμιν καὶ ἐκ ἐξεδίξω, ἕως τί χρὴ τὸ δίκαιον πράξῃς. γράφεται καὶ προὔβαλες.

l. 823. Τί σῖγ' ἀφέρπεις] σῖγα ἐπιρρηματικῶς, ἀντὶ τοῦ σιωπηλῶς. τουτέστι, διὰ τί οὐδὲν ἀποκρίνῃ πρὸς τὸν Ὕλλον;

l. 824. Ξυνηγορεῖς] συναδεῖς.

l. 825. Οὖρος ὀφθαλμῶν ἐμῶν] εἴθε οὖρος καλὸς ἐπιπνεύσοι αὐτῇ ἀπιούσῃ, ἵνα μηκέτι αὐτὴν ἴδοιμι. τροπικῶς δὲ τὸ οὖρος ὡς ἐπὶ νεὼς, ἀντὶ τοῦ οὐριοδρομείτω.

l. 827. Ὄγκον γὰρ ἄλλως ὀνόματος] τί γὰρ μάτην ἐπαιρόμεθα τῷ τῆς μητρὸς ὀνόματι, οὐδὲν ἄξιον αὐτῆς διαπραξαμένης ὧν ἡ φύσις καὶ ὁ θεσμὸς ἀπῄτει;

Τρέφειν] ἀντὶ τοῦ ἔχειν.

l. 831. Ἴδ' οἷον ὦ παῖδες] ὁ χορὸς πρὸς ἀλλήλας διαλέγεται περὶ τοῦ δεδομένου μαντείου τῷ Ἡρακλεῖ ἐν τῇ Δωδώνῃ, ὅτι νῦν ἀπέβη. τὸ δὲ οἷον ἀντὶ τοῦ οἵως. οἷον, ὁρᾶτε ὦ φίλαι οἵας ἡμῖν ἀθρόως συνέπεσε, καὶ εἰς οἷον κακὸν ἀπέβη τὸ ἔπος τὸ ἐκ τοῦ μαντείου πάλαι χρησθέν. προσέμιξε δὲ, ἀντὶ τοῦ προσερράγη ὀξέως.

l. 833. Τᾶς παλαιφάτου προνοίας] γράφεται παλαιφόνου, ἵν' ᾖ, τῆς πάλαι μαντευσαμένης. φοιβᾶσθαι γὰρ τὸ μαντεύεσθαι.

l. 834. Ὅτ' ἔλακεν] ὅπερ ἐφθέγξατο, ἐπειδὰν ἐνιαυτὸς παρέλθοι, τότε διαδοχὴν γενέσθαι τῶν πόνων τῷ Ἡρακλεῖ τῷ Διὸς παιδί. ἀναδοχὰν δὲ, ἀνάπαυσιν, ἀνακωχὴν, διαδοχήν.

Τελεόμηνος ἐκφέροι] ὁ ἐνιαυτὸς ὁ τέλειον ἔχων τὸ δωδεκάμηνον. ὁμοίως δὲ καὶ ἄροτος ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ ἅπαξ καθ' ἐνιαυτὸν ἀροῦν.

l. 836. Αὐτόπαιδι] γνησίῳ παιδί.

Καὶ τάδ' ὀρθῶς] ταῦτα δὲ τὰ χρησθέντα ἀσφαλῶς νῦν ἡμῖν ἀποβαίνει. τροπικῶς δὲ κατουρίζει, ἀντὶ τοῦ, ὥσπερ οὐρίῳ πνεύματι προσορμίζει ἡμῖν κατ' ὀρθὸν ἀνυόμενα.

l. 837. Κατουρίζει] προσπνεῖ.

l. 838. Πῶς γὰρ ἂν ὁ μὴ λεύσσων] πῶς γὰρ ὁ μηκέτι ὁρῶν τὸ φῶς, παρὰ Εὐρυσθέως κελεύοιτο;

l. 841. Εἰ γάρ σφε κενταύρου] εἰ γὰρ αὐτὸν τὸν Ἡρακλέα τὸ αἷμα τὸ θανάσιμον τοῦ κενταύρου περιέχει, τῇ πλευρᾷ προστακέντος ἰοῦ, πῶς ἂν ἕτερον ἥλιον ἢ τανῦν ἴδοι;

l. 842. Χρίει δολοποιὸς] χρίει δὲ τὸ ἱμάτιον τῷ αἵματι ἡ ἀνάγκη, ὡς τῆς Δηϊανείρας μετὰ δόλου τεχνησαμένης τοῦτο. ἠνάγκασται γὰρ ὑπὸ ζήλου δι' οὗ ἤρα τὸν δόλον τεχνάσασθαι.

l. 844. Ὃν τέκετο θάνατος] τοῦτον τὸν ἰὸν ἐγέννησεν ὁ αἰόλος δράκων, μᾶλλον δὲ ὁ θάνατος.

l. 846. Προστετακὼς φάσματι] προσκεκολλημένος τῷ ἰῷ τῆς ὕδρας. τοῦτο δὲ καθ' ἑαυτό. αἰτιατικὴν γὰρ ἐπιφέρει. ἄλλως Προσκεκολλημένος τῷ ἰῷ, ἢ τῷ ὀλεθρίῳ, παρὰ τὸ πεφονεῦσθαι τῷ φάσματι. τουτέστι, τῷ ἱματίῳ τῷ κεχρισμένῳ τῷ φαρμάκῳ τῆς ὕδρας, τουτέστι τῇ χολῇ.

l. 847. Μελαγχαῖτα τ' ἄμμιγα] τοῦ δασυτρίχου. καὶ ἅμα τῷ φάσματι τῆς ὕδρας, καὶ τὰ κέντρα τοῦ Νέσσου αἰκίζει αὐτόν. δῆλον δ' ὅτι φόνια τὰ κέντρα τοῦ Νέσσου εἰσί. λέγει δὲ τὸ αἷμα αὐτοῦ τὸ συμμεμιγμένον τῇ χολῇ τῆς ὕδρας.

Pag. 447. l. 849. Φοίνια δολόμυθα] δολόμυθα κέντρα φησὶν ὅτι τοῖς δολίοις τοῦ Νέσσου λόγοις ἀπατηθεῖσα ταῦτα τετόλμηκεν. Ἄλλως. Φοίνια δολόμυθα. τὰ δόλια φάρμακα. καὶ γὰρ ἐτέρα τινὰ ἐκέλευσεν αὐτῇ συμ-

μίξαι τῷ αἵματι, ὡς ὁ ποιητὴς εἶπεν.

l. 850. Επιζέσαντα] ἐπιχυθέντα, ἀναμοχλάσαντα ἀπὸ τῆς θέρμης τοῦ πυρός.

l. 851. Ω ἅδ᾽ ἁ τλ.] ὡς τὴν βλάβην μεγάλην ὁρῶσα ἡ Δηϊάνειρα καὶ ταχεῖαν τοῖς οἴκοις συμβᾶσαν, αὐτὴν μὲν ἐξ ἀρχῆς αὕτη οὐ συνεῖδεν, ἐκ κατασκευῆς δὲ τῆς Νίσσου καὶ τῆς πεπυσφαμένης (?) γινομένην, ὡς ᾤηθεν ἐπὶ τῷ διαλάπτειν αὐτῇ τὸν Ηρακλέα κλίαν, ὀδύρεται καὶ στένει. Ἄλλως. Ων ἅδ᾽ ἁ τλάμων. τὴν νυσὶ ὁρμωμένην, καὶ εἰς τὴν ἀμέλλητον βλάβην συμβάντων τοῖς οἴκοις, ἡ Δηϊάνειρα τὰ κακὰ μὲν ἐξ ἀρχῆς αὕτη οὐ συνεῖδεν, ἐπὶ τῷ διαλάπτειν τὸν Ηρακλέα. Δοκεῖον δὲ, τὴν οἰκίαν καὶ ἀμέλλητον, ἢ πολύοκνον. ὅ ἐστι πολυφόβον. κατ᾽ ἐπίτασιν δὲ τὸ Α.

l. 853. Νέον αἰσσόντων] νεωστὶ προσβαλλόντων.

l. 854. Οὔπω προσέβαλεν] οὐ συνῆκεν ἀπὸ τοῦ Νίσσου.

Τάδ᾽ ἐπ᾽ ἀλλοθρόου] ἀλλοφώνου, ὅτι ἀπὸ τῆς Νίσσου φωνῆς γέγονεν ἡ καθ᾽ Ηρακλέους συμφορὰ ἡ τῆς ἄλλα εἰπούσης, καὶ μὴ τὰ ἀληθῆ. ἢ ἀλλοφώνου, ὡς ἠλλαγμένην τοῦ Νίσσου φωνὴν ἔχοντος.

l. 855. Ολεθρίαις ξυναλλαγαῖς] ἢ ὀλεθρίαις καὶ ἐπιβλαβέσι φιλίαις, ἢ ἐπεὶ ἀντὶ τοῦ ἰδίου θανάτου ὁ Νίσσος ἀντήλλαξεν αὐτῇ τὸ αἷμα. ἢ ὅτι ὁ μὲν Νίσσος εἶπεν αὐτῇ πόθου καὶ διαθέσεως ἐργαστήριον εἶναι τὸ φάρμακον, γέγονε δὲ ὄλεθρος Ηρακλέους.

l. 856. Ηπου ὀλοὰ στένει] ὀλοὰ ἡ δυστυχής, ἢ ἡ τοῦ ὀλέσθαι ἀξία. ὄντως δὲ ἡ ἀθλία καταστάζει καὶ διαβρέχει πολλῶν δακρύων ἀφρόν. ἐμφατικὸν δὲ τὸ ἄχνα διὰ τὸ πλῆθος. χλωρὰν οἱονεὶ ἄχναν, τὸν νεαρὸν ἀφρόν.

l. 857. Ηπου ἀδινῶν] ἀθρόαν, ἢ πολυθρηνήτων.

l. 858. Δακρύων ἄχναν] περιφραστικῶς τὰ δάκρυα.

l. 859. Α δ᾽ ἐρχομένα μοῖρα] ἡ προσδοκωμένη κακομοιρία τοῦ Ηρακλέους ἐμφαίνει μεγάλην ἑτέραν ἄτην καὶ βλάβην. προσδοκῶσι δὲ ὅτι ἀπολλυμένου Ηρακλέους αὐτόχειρ ἑαυτῆς γενήσεται.

Α δ᾽ ἐρχομένα μοῖρα προφαίνει δολίαν] δόλῳ γὰρ αὐτὴν καὶ λάθρα ἀναιρήσει.

l. 862. Ερρωγεν παγὰ δακρύων] ἀντὶ τοῦ, πάρεστιν ἡμῖν δακρύειν ὡς ἀπὸ πηγῆς κρουνηδόν. ἐκπέπταται γὰρ τὸ κακὸν, καὶ πανταχοῦ διαβέβηκεν ἡ κατὰ Ηρακλέα συμφορά.

l. 863. Ω πόποι] φεῦ φεῦ, κακὴ φήμη γέγονε τῷ Ηρακλεῖ, ἣν οὐδέποτε πολεμίοις ἀνοίκτιστον συμπηδήσεται. τὸ γὰρ οὔπω ἀντὶ τοῦ οὐχί. ἢ οὕτως· ἣν κακὴν φήμην οὐδέποτε ὑπὸ τῶν ἐχθρῶν, συνέβη τῷ Ηρακλεῖ, τοῦτο ἀπὸ τῶν ἰδίων αὐτοῦ γεγένηται.

l. 865. Απέμολε πάθος] ἀντὶ τοῦ ἀπόμολος. ἣν οὐδέποτε ἀπὸ τῶν πολεμίων γένοιτο.

l. 866. Ιὼ κελαινὰ λόγχα] κελαινὴν εἶπε τὴν λόγχην διὰ τὸν ἐξ αὐτῆς ἀποτελούμενον θάνατον. μέλας δὲ ὁ θάνατος δυσφορεῖ δὲ ἐπὶ τῷ αἰχμάλωτον εἰλῆφθαι τὴν Ἰόλην. διὰ γὰρ ταύτην ἡ συμφορά. λόγχα δὲ θοὰ, περιφραστικῶς ἡ λόγχη. πρόμαχος δὲ, τοῦ προβεβλημένου. τὸ δὲ λόγχα πρὸς τὸ αἷμα. ὁ δὲ λόγος, ὦ θανατοποιὲ λόγχη, ἥτις τότε ἀνεῖλες τὸν Εὔρυτον, ἐνταῦθα τὴν Ἰόλην ἀπέπεμψας καὶ ἤγαγες ἐκ τῆς ὑψηλῆς Οἰχαλίας· ὡς εἴθε μή ποτε. τουτέστι, φεῦ τῆς λόγχης ἐκείνης ἐν ᾗ ἐπόρθησε τὴν Οἰχαλίαν ὁ Ηρακλῆς, ἵνα ἐνέγκῃ τὴν Ἰόλην. διὰ γὰρ ταύτην ἡ συμφορὰ ἐγένετο. τὸ δὲ ἄρθρον τῇ λόγχῃ συναπτέον, ἥ τις λόγχη.

Προμάχου δορὸς] τὸ προμάχου ἐπὶ τοῦ Ηρακλέους ληπτέον ὡς τοῦ πρὸ πάντων μαχομένου. τὸ νύμφαν δὲ συναπτέον τῷ τάνδε.

l. 867. Α τότε θοὰν νύμφαν] ἀντὶ τοῦ θοῶς. τινὲς δὲ τὴν ταχέως νυμφευθεῖσαν.

l. 868. Απ᾽ αἰπεινᾶς] ἀπὸ τῆς ἐν ὕψει κειμένης.

l. 869. Αἰχμᾷ] νόμῳ πολέμου.

l. 870. Α δ᾽ ἀμφίπολος Κύπρις] ἡ περὶ ταῦτα στρεφομένη Κύπρις, ἤγουν ἡ ταῦτα οἰκονομοῦσα καὶ ὑπηρετησαμένη τῷ Ηρακλεῖ πρὸς τὸν ἔρωτα. ὁ νοῦς, ἡ δὲ Κύπρις ἄρα ἡ ἄναυδος σιωπωμένη, φανερῶς ἦν πάντων τούτων ἐργάτις, εἰς ἔρωτα Ἰόλης βαλοῦσα τὸν Ηρακλέα.

l. 872. Πράκτωρ] πρακτική.

l. 873. Πότερον ἐγὼ μάταιος] ὁ χορὸς τῆς τροφοῦ ἀκούων θρηνούσης ἐπὶ τῷ θανάτῳ ἤτοι τῇ ἀναιρέσει τῆς Δηϊανείρας, φησὶ τοῦτο. ἆρα ἀναίσθητός εἰμι, ἢ κατακούω θρήνου τινός.

l. 876.

l. 876. Οὐκ ἀσημον, ἀλλὰ δυςυχῆ] οὐ μικρὸν, ἀλλὰ μέγαν καὶ ἐξαίσιον. τοῦτο δὲ ὡς ἤδη μέλλει μείζον τῆς βοῆς.

l. 877. Καὶ τί καινίζει στέγη] ἔοικέ τι νεώτερον ἔχειν ὁ οἶκος.

l. 878. Ξυμὸς δὲ] ἀλλήλαις παρακαλοῦνται αἱ ἀπὸ τοῦ χοροῦ. ἄλλως. ξυνίεσο δὲ, ἀντὶ τοῦ προσέχε ἄκουσον. παρὰ τὸ ἴδιος γὰρ κατασυγκαλεῖ πρόσωπον.

Pag. 449. l. 882. Τὰ πόματιμον] τὸ πεμφθέν. λέγει δὲ τὸν χιτῶνα.

l. 884. Βέβηκε Δηϊάνειρα] εἰς ἅδου. ἐν τοῖς ποσὶ βεβηκυῖα. τὸ γὰρ στόμα ἐκ ἄπεισιν εἰς ἅδου.

l. 886. Οὐ δήπου θ' ὡς θανοῦσα] καίτοι ἰδόντες. οὐχὶ ὡς θανοῦσα; βέβηκε δὲ, ἐπεὶ καὶ ζῶντα δεῖ τι παραδοθῆναι πύλαις.

l. 891. Σχετλιώτατον] σχετλιώτατα ἤλθε πρὸς τὴν ἀναίρεσιν. τουτέστιν, ὡς ἄν τις ἰδὼν ἢ ἀκούσας σχετλιάσειε τὴν πρᾶξιν.

l. 892. Εἰπὲ τῷ μόρῳ] τίνι θανάτῳ συνέπεσεν, ἀντὶ τοῦ, τίνι τρόπῳ ἐτελεύτησεν.

l. 893. Αὐτὴν διηΐστωσεν] αὐτὴ ἑαυτὴν ἠφάνισεν. ἀντὶ τοῦ, ἀφανῆ ἀπὸ τοῦ βίου ἐποίησεν.

l. 894. Τίς θυμὸς, ἢ τίνες νόσοι] τίνι θυμῷ χρησαμένη ἑαυτὴν ἀνεῖλεν; ἢ τίς θυμὸς (φησὶν) ἀνεῖλε τὴν Δηϊάνειραν.

l. 895. Ταῖνδ' αἰχμὰ βέλεος κακοῦ] περίφρασις. τὸ βέλος, βέλος δὲ εἶπε τὴν Δηϊάνειραν, ὅτι τρόπον βέλους ἀνεῖλεν ἑαυτήν. ἢ, ἥτις ὡς βέλος ἰοβόλον, μέγα κακὸν προσετρίψατο τῷ Ἡρακλεῖ, μόνη τὸν θάνατον ἀνύσασα.

l. 897. Πρὸς θανάτῳ θάνατον] τὸν ἑαυτῆς πρὸς τῷ τοῦ Ἡρακλέους.

l. 900. Ἐπεὶ δὲς ὦ ματαία] τεθέασαι τὴν ἐκείνης τόλμαν. ἐκαρτέρησας ἰδεῖν τὴν ὠμότητα. οὕτως γὰρ εἶπε τὴν ὕβριν. καὶ νῦν δὲ τὸ ματαία κατὰ ἀντίφρασιν ἀντὶ τοῦ ὦ μέλεα. καὶ Ὅμηρος γὰρ τὰ μάταιον μέλεον καλεῖ. Οὐ μήτοι μέλεος εἰρήσεται αἶνος.

l. 901. Πῶς; φέρ' εἰπὲ] ἀντὶ τοῦ, τίνα θυμὸν εἶχε τότε;

l. 903. Χειροποιεῖται τάδε] ταῦτα τῇ χειρὶ ἑαυτῆς διεπράξατο.

l. 904. Τί φωνεῖς] ἀντὶ τοῦ, ἄπιστα λέγεις.

l. 906. Ἀνέορτος ἄδε] ἡ νοσοῦσι ἐνταῦθα ὁρμήσασα Ἰόλη. ἀνέορτος δὲ ἀντὶ τοῦ ἡ αἰσχρὰ καὶ ἄσεμνος.

l. 909. Τὴν χεὶρ γυναικεία κτίσαι] κατασκευάσαι καὶ ποιῆσαι. καλῶς δὲ ὡς ἐπὶ μεγάλῳ τολμήματι εἶπε τὴν λέξιν. οὕτως ἀκριβῶς διηγήσομαί σοι τὸ πρᾶγμα ὡς πεισθῆναί σε ὅτι ἀληθῆ λέγω.

l. 912. Εἰ δὲ κοῖλα δέμνια] γράφεται κοινά. ἢ τὰ τοῦ θανάτου, ἢ τὰ αὐτῆς καὶ τοῦ Ἡρακλέους.

l. 913. Στορνύουσ' ὅπως] τὸν Ὕλλον στρωννύουσα.

l. 916. Κλαῖε δ' ὀργάνων ὅτε] ἢ τῶν ἱερουργικῶν, ἢ τῶν ἐργαλείων οἷς τὸν πέπλον ἔχρισεν. Ἄλλως. ἥπτετο τινὸς ἐργαλείου ὧν εἰώθει μεταχειρίζεσθαι, συνοῦσα αὐτῇ τοῦ Ἡρακλέους, (τῇδε, ἱστοῦ, ἢ τινος, τοιούτου) καὶ ὠδύρετο ὡς λοιπὸν καταλιμπάνουσα αὐτά. ἱστοῦ δὲ ἴσως ἐφήπτετο, διὰ τὸν κατασκευασθέντα πέπλον ἐπὶ συμφοραῖς.

l. 918. Ἄλλη δὲ κἄλλη] ἀντὶ τοῦ τῇδε κἀκεῖσε.

Pag. 451. l. 921. Καὶ τὰς ἄπαιδας] ἄπαιδας λέγει ἐπεὶ μηκέτι ἔμελλε παῖδας τίκτειν ἤτοι ἐρήμους. συνουσίας δὲ, ὅτι τῆς λοιπῆς οὐ τεύξονται συνουσίας πρὸς τὸν Ἡρακλέα εἰς παιδοποιΐαν.

Ὀυσίας] κοίτας, συνουσίας.

l. 924. Ἐπισαισμένη] περικεκαλυμμένη.

l. 925. Φρουρὸν] ἐφύλαττον.

l. 926. Στρωτὰ βάλλουσαν φάρη] ἔνθα συνεκάθευδε τῷ Ἡρακλεῖ. ἄλλο γὰρ ἦν ὅπερ ἐστόρεσεν ὁ Ὕλλος.

l. 927. Ἐπενθορούσ' ἄνω] ἐναλομένη ἄνω εἰς τὴν κλίνην.

l. 932. Εὐνήστειραν] συναζομένην, κοιμωμένην.

l. 935. Προὔκειτο μαστῶν] πρὸς τῷ στήθει γὰρ ἐπερείδοντο αἱ γυναῖκες.

Ἐκ δ' ἐλώπισεν] ἐγύμνωσεν, ἐξέδυσεν. λώπος γὰρ τὸ ἱμάτιον.

l. 938. Τῷ παιδὶ φράζω] τῷ Ὕλλῳ τῷ παιδὶ τῆς τοιαύτης τολμήσεως.

l. 939. Κἀν ᾧ] καὶ ἐν τούτῳ. ἐν ὅσῳ (φησὶ) διετρίχομεν πρὸς τὸν Ὕλλον, εἶτα πάλιν πρὸς τὴν Δηϊάνειραν, ἔφθασεν ἑαυτὴν ἀνελοῦσα.

l. 941. Πλευρὰν ὑφ' ἧπαρ] περὶ τὸ ἧπαρ φρένες τετάχαται. Ὅμηρος, --ὅθι τε φρένες ἧπαρ ἔχουσιν.

l. 942. Ἔγνω γὰρ τάλας] ἔγνω γὰρ κατὰ ποῖον τρόπον τοῦτο ἐποίησεν ἡ μήτηρ αὐτοῦ, συνεῖδεν γὰρ ὡς ὀργισθεῖσα ἐπὶ τῷ

 ἤπα-

ἠπατῆσθαι παρὰ τοῦ Νέσσου, τὸ ἔργον τοῦτο διεπράξατο.

l. 947. Ἀμφί νιν] περὶ αὐτήν.

l. 948. Πλευρόθεν πλευρὰν παρεὶς] ἐκλείνας ἑαυτὸν ἐπὶ πλευράν, ἢ προσκολλήσασα ἐκείνῃ, ὠδύρετο ὅτι αὐτὴν ματαίως ἠπείσατο, ὡς κακοήθως ἀποστείλασαν αὐτῷ τὸν χιτῶνα.

l. 953. Ὥστ' εἴ τις δύο καὶ πλείους] τοιούτων ὄντων τῶν ἀνθρωπίνων, ἤγουν ἄδηλον, ἀνόητοί εἰσιν οἱ λογιζόμενοι δύο καὶ πλείους ἡμέρας. καὶ οὐ προσαδοκῶντες καθ' ἑκάστην ὥραν τὸν θάνατον. πολλάκις γὰρ λύπῃ τινὶ ἢ δυστυχίᾳ περιπεσόντες, ἑαυτῶν ἀπεξάλειψαν τοῦ βίου παραχρῆμα. καὶ οὐκ ἀναμένουσι τὴν ἐπιοῦσαν ἡμέραν, ὡς καὶ ἡ Δηϊάνειρα.

l. 957. Πότερ' ἂν πότερα] ποῖα (φησὶ) στένω; τὰ κατὰ τὸν Ἡρακλέα, ἢ τὰ κατὰ τὴν Δηϊάνειραν; ποῖα χαλεπώτερα καὶ φανερωτέρα δεινότητος; ἢ ποῖα τελείως περαιτέρω τοῦ δέοντος δυσκατάληπτά ἐστιν, ἰσομεγέθη ὄντα;

Pag. 453. l. 960. Τάδε μὲν ἔχομεν] τὰ μὲν κατὰ τὴν Δηϊάνειραν αὐτοῖς ὀφθαλμοῖς ἔξεστι θεωρεῖν ἐν τῷ οἴκῳ. τὰ δὲ κατὰ τὸν Ἡρακλέα ἐκδεχόμεθα.

l. 962. Κοινὰ δ' ἔχειν τι καὶ μέλλειν] κοινὰ δέ ἐστι τὰ ἀμφοτέρων κακά. καὶ τὰ μὲν ἔχομεν, τὰ δὲ μέλλομεν ἕξειν. ἴσον δέ ἐστι τὸ ἔχειν κακὰ καὶ τὸ προσδοκᾶν.

l. 963. Εἴθ' ἀνεμόεσσά τις] ἀνεμώδεστέρα αὔρα, περιφανὴς ἄνεμος. ἔπουρος, οὔριος.

l. 964. Ἑστιῶτις] κατοικίδιος. ὁ δὲ νοῦς, εἴθε ὡς ἔστηκα πνεύσειεν ἄνεμος οὔριος ἐπὶ τῆς οἰκίας, ἵνα με λαβὼν ταύτης ἀπαλλάξῃ τῆς ἑστίας καὶ ἀποχωρίσῃ, ὅπως μὴ παραχρῆμα ἀποθάνω θεασαμένη τὸν Ἡρακλέα κακῶς διακείμενον. τοῦτο δὲ λέγει ὡς μὴ καρτεροῦσα ἰδεῖν ταῖς συμφοραῖς.

l. 965. Ἥ τις μ' ἀποικίσειεν] ἀποχωρίσειεν ἀπὸ τούτων τῶν τόπων.

l. 970. Δυσαπαλλάκτοις] δυσιάτοις.

l. 971. Χωρεῖν πρὸ δόμων λέγουσι] λέγουσι παμμεγέθες τι κακὸν πλησίον που τῆς οἰκίας χωρεῖν, δυσιάτως ὀδυνώσας ἡμῖν ἐφελκόμενον.

l. 979. Πρὸς κλαίων ὀξύφωνος] ἀντὶ τοῦ προσκλαίουσιν. ὁ χορὸς αἰσθάνεται τοῦ Ἡρακλέους πλησίον φερομένου καὶ πλήθους θρηνούντων καὶ ἐπακολουθούντων αὐτῷ.

l. 980. Σῖγα τέκνον] ὁ πρεσβύτης λέγει τῷ Ὕλλῳ ὡς ὁ Ἡρακλῆς καθεύδει.

l. 980. Ζῶν γὰρ ἐξόμενος] ἐκ τοῦ βαδίσαντος συνιῆκεν τὸ φαινόμενον ἄθεώρημα ξένων ἀνδρῶν εἶναι. δῆλον, βαδίσαντος ξένων ἀνδρῶν ἐστι, καὶ ἄλλου πλήθους συνήκει.

l. 981. Πᾶδ' αὖ φορεῖ νιν] πῶς φορεῖ καὶ φέρει αὐτὸν ὁ ὅμιλος; ὡς γὰρ πρὸ φίλου κηδομένου ἄψοφος φέρει τὴν βάσιν.

l. 983. Ἄναυδος] μηδὲ φωνὴν προϊέναι δυνάμενος.

l. 984. Τί χρὴ θανόντα νιν] τί (φησὶ) δεῖ κρίναι περὶ αὐτοῦ, καὶ τί ἄν τις δοξάσειε πότερον τέθνηκεν, ἢ ὕπνῳ βεβάπτισται;

l. 986. Ὦ μοι ἐγὼ σοῦ πάτερ] ὁ Ὕλλος ὑπαντήσας τῷ πατρὶ θρηνεῖ.

l. 988. Μήσομαι] τεχνάσομαι, μηχανήσομαι ὅπως σωθείης.

l. 989. Σῖγα τέκνον] γέρων τις ἀπελθὼν τῷ Ἡρακλεῖ ἀπὸ Εὐβοίας, πρὸς τὸν Ὕλλον φησί, μὴ ἀνεγείρῃς αὐτόν. τοῦτο γὰρ αἴτιον ὀδύνης τοῖς κάμνουσιν.

l. 990. Ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος] ἐκ τῶν ὀδυνῶν ἠγριωμένου.

l. 991. Ζῇ γὰρ προπετὴς] προπετής, εἰς τὸν θάνατον προνενευκὼς ἢ παρειμένος καὶ εἰς τὴν γῆν πεσών, ἢ ἐπὶ πρόσωπον κοιμώμενος, ἢ καὶ μόνον κείμενος.

l. 994. Τὸν ὕπνῳ κάτοχον] τὸν μανιάδη.

l. 997. Ἀλλ' ἐπί μοι μελέῳ] ἀλλ' ἐνθυμηθεὶς μοι τῷ μελέῳ ἡ φρὴν διὰ τὸ ἄπλετον βάρος. ἐν ἐπιθυμίᾳ (φησὶν) ἔχω τὸ βάρος, καὶ σιωπᾶν οὐ δύναμαι.

Pag. 455. l. 993. Ὦ Ζεῦ ποῖ γᾶς ἥκω] Ἡρακλῆς ταῦτά φησιν ὡς ἐξαναστὰς καὶ ἀγνοῶν ποῦ μετενήνεκται.

l. 996. Βρύκει] ἐσθίει με ἡ νόσος, καὶ ἀναλίσκει.

l. 997. Ἆρ' ἐξῄδεις ὅσον] πρὸς Ὕλλον λέγει. ἆρα, φησίν; ὅσον ἦν κέρδος τὸ σιωπᾶν, ἔγνως, καὶ μὴ διασκεδάσαι ἀπ' αὐτοῦ τὸν ὕπνον;

l. 1000. Οὐ γὰρ ἔχω πῶς ἂν] ἀδυνάτως ἔχω καρτερεῖν ἐπὶ τηλικούτῳ κακῷ.

l. 1002. Ὦ Κηναία κρηπὶς] τὸ ἔδαφος. περιφραστικῶς δέ, ἀντὶ τοῦ ὦ Κηναῖον. μέμφεται δὲ τῷ τόπῳ ὅτι ἐκ ἐπὶ αὐτοῖς αὐτῷ γέγονε τὰ ἐκεῖ θύματα οἵαν οὖν (φησὶ) χάριν ἀπὸ τῶν θυμάτων διεπράξω;

l. 1003. Οἵαν νῦν ἀνθ' οἵων θυμάτων] οἵαν μοι (φησὶ) προσετρίψω βλάβην

βάλλειν ὁ Ζεύς, τὴν ἐν μανίαις ἀκμάζουσαν. λέγει δὲ ταῦτα ἀφορῶν εἰς τὸ ἑαυτοῦ σῶμα.

l. 1008. Ὤρελον ὅσσοις τόδ' ἀκήλητον] ἀνίατον, ἀκαταπράϋντον, ἀπὸ κοινοῦ δὲ τὸ ὄφελον.

l. 1009. Καταδερχθῆναι] θεωρῆσαι, ἰδεῖν τὴν ἀκμὴν τῆς μανίας.

l. 1010. Τίς γὰρ ἀοιδὸς] τίς (φησὶν) ἐπῳδὸς ἢ ἰατρὸς διὰ χειρῶν τὴν τέχνην τὴν ἰατρικὴν ἐνδεικνύμενος θεραπεύσει τὸ πάθος μου, εἰ μὴ ὁ Ζεὺς βούλοιτο;

l. 1013. Θαῦμ' ἂν πόρρωθεν] ἠδίστα ἄν, καὶ εἰ μακρόθεν μεταπέμψαιτό τις τὸν θεραπεύσοντα, θαυμαίμην μεταπεμψαμένων ὑμῶν.

l. 1014. Δύσμορον] γράφεται ὕστατον.

Εὐνάσαι] ἢ τὸ καθευδῆσαι, ἢ τὸ ἀποθανεῖν.

l. 1016. Πᾷ μου ψαύεις;] ὡς ἐφαπτομένου αὐτοῦ τοῦ παιδὸς, ἐπὶ τῷ γνῶναι πῶς ἔχει τῷ σώματι. ἢ πᾷ ψαύεις, ἀντὶ τοῦ παῦε ψηλαφῶν καὶ μεταφέρων τῇδε κἀκεῖσε τὸ σῶμά μου.

Ποῖ κλίνεις] ποῦ προσάγεις τὰς χεῖρας;

l. 1018. Ἀντέτρεψας] ὅπαν ἡσυχάτη τοῦ κακοῦ τούτου, πάλιν κινήσας ἀνέτρεψας. δηλονότι, ὅτι ἂν τῶν ἀλγηδόνων παύσῃ, τοῦτο διήγειρας.

Τοῦτό τοι] τὸ κινηθῆναι ὑπὸ σοῦ, κατήψατό μου.

l. 1019. Ἧκται αὖ ἕρπει] ἡ νόσος (φησὶ) πάλιν ἐπίκειται.

Πόθεν ἐστ' ὦ πάντων Ἑλλάνων] οὐ πρὸς τοὺς φέροντας αὐτὸν φησὶν, ἀλλὰ καθόλου πρὸς πάντας τοὺς εὐεργετηθέντας πρότερον ὑπ' αὐτοῦ. ποῦ (φησὶν) ἄρα ἐστὲ ὦ πάντων Ἑλλήνων ἀδικώτατοι (τουτέστιν ἀχαριστότατοι) οὓς ἐγὼ πῆ μὲν κατὰ θάλατταν, πῆ δὲ κατὰ γῆν ἔσωζον καὶ πάντα τόπον καθαίρων ὑπὲρ σωτηρίας ὑμῶν, ἐγγὺς θανάτου ἐγενόμην. τὴν δὲ ἐν τόπου σχέσιν εἶπεν ἀντὶ τῆς ἐν τόπῳ. ὡς τὸ σχεδόθεν δὲ οἱ ἦλθεν Ἀθήνη, ἀντὶ τοῦ σχεδόν.

l. 1022. Ὠλεκόμαν ὁ τάλας] ἐκάμνον, καὶ ἐγγὺς θανάτου ἐγενόμην.

Καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι] δεικτικῶς, ἀντὶ τοῦ ἐμοί. καὶ νῦν (φησὶν) οὐδεὶς ἐκείνων ἐπ' ἐμοὶ νοσοῦντι.

l. 1023. Οὐ πῦρ, οὐκ ἔγχος] λείπει προσαγαγών, δηλονότι, οὐ πῦρ, οὐ ξίφος προσαγαγὼν ἀπαλλάξει με τοῦ ζῆν.

l. 1024. Οὐδ' ἀπαράξαι] οὐδεὶς ἐκείνων (φησὶν) βούλεται ἐλθεῖν τὴν κεφαλήν μου ἀποτεμεῖν, καὶ ἐλευθερῶσαι τοῦ μοχθηροῦ βίου.

l. 1027. Τοὔργον τόδε] τὸ βοηθῆσαι ἢ βαστάξαι τὸν Ἡρακλέα μεῖζόν ἐστιν ἢ κατ' ἐμὲ ἀνήκει δὲ, ἀντὶ τοῦ ὁρμᾷ. ἅπτεται μεῖζον (φησὶν) ἢ κατὰ τὴν ἐμὴν δύναμιν. τοὔργον δὲ τὴν νόσον φησίν.

l. 1027. Ὦ παῖ τοῦδ' ἀνδρὸς] εἰς τὸν πρεσβύτην, ἀκολουθῶν ἐξ Εὐβοίας τῷ Ἡρακλεῖ, πρὸς τὸν Ὕλλον τοῦτό φησιν.

l. 1028. Σὺ δὲ σύλλαβε] σὺ γὰρ νέος εἶ, καὶ ὀξύτερόν σοι τὸ ὄμμα πρὸς τὸ σώζειν τὸν πατέρα μᾶλλον ἢ δι' ἐμοῦ.

l. 1029. Ψαύω μὲν ἔγωγε] εἰ τὸ κατασχεῖν αὐτὸν ἰᾶται, ἰδοὺ ἐφάπτομαι αὐτοῦ. ἴσθι δὲ (φησὶν) ὅτι τὴν λαθίπονον ἴασιν τῶν ὀδυνῶν τοῦ βίου οὔτε διὰ στόματος, οὔτε ἔξωθεν προστάττειν δύναμαι. οὐκ οἶδα γὰρ τοιαῦτα γὰρ ἀλγήματα δίδωσιν ὁ Ζεύς.

l. 1030. Οὔτ' ἔνδοθεν, οὔτε θύραζε] οὔτε ἀπ' αὐτοῦ, οὔτε ἀπό τινος τῶν ξένων δύναμαι ἐξανύσαι.

Pag. 457. l. 1033. Ὦ παῖ παῖ] αἰσθάνεται τῆς τοῦ παιδὸς φωνῆς ὁ Ἡρακλῆς.

l. 1037. Θρώσκει] ἀναζωπυρεῖται.

l. 1038. Δειλαία] δειλοποιός.

l. 1039. Ἀποτίβατος] ἀπροσπέλαστος.

l. 1040. Ἰὼ Παλλὰς] ἐπικαλεῖται τὴν Ἀθηνᾶν εἰς βοήθειαν.

l. 1041. Ἰὼ παῖ] κἂν σύ ὦ παῖ τὸν φύσαντα οἰκτείρας, ἐπίσπασαί μοι ξίφος ἀνεμέσητον, ἐφ' ᾧ οὐδείς σε μέμψεται ὡς πατροκτόνον.

l. 1044. Ὤμ' ἐχόλασε] γράφεται ἐχόλωσεν. δηλονότι, χολοῦν ἔχει σε τὸν χεῖρα.

l. 1046. Ἂν ὧδ' ἐπίδοιμι] ἣν ἴδοιμι τῷ αὐτῷ νοσήματι περιπεσοῦσαν.

l. 1048. Ὦ Διὸς αὐθαίμων] ὦ τοῦ Διὸς ἀδελφὲ Ἀΐδωνεῦ.

l. 1060. Οὐθ' ὁ συγνὸς] συγνοποιὸς διὰ τοὺς τῶν ἄθλων προστάξεις.

l. 1063. Ἀμφίβληστρον] τὸν χιτῶνα ὡς ἀμφίβληστρον.

l. 1064. Προσμαχθὲν] προσκολληθέν.

l. 1065. Ἀρτηρίας] τὰς φλέβας.

l. 1066. Ῥοφεῖ] ἐκπίνει.

Ἐκ

Ἐκ ἢ χλωρὸν] νέον, ἢ νεκρόν.

l. 1068. Αφράστῳ τῇδε] ἀπροσδοκήτῳ, ἀνενοήτῳ, ἢ ἀλέκτῳ. ἢ, παρὰ ἧς ἐκ ἔχῃ τὶς φράσασθαι τις εἴη τὴν φύσιν.

l. 1069. Λόγχη πεδιὰς] ἡ ἐν πεζομαχίᾳ. δῆλον γὰρ εἰπεῖν ὅτι ἐ τε παρὰ τὸ ὅμηρον ἢ πρὸς Λαρμέδοντα ἐ τε πρὸς Αὐγείαν ἢ Κενταύρες. Ἄλλως. Λόγχη πεδιὰς] ἡ ἐν τῷ πεδίῳ βαλλομένη ἢ ἐπεὶ ἐν τῷ Θεσσαλικῷ πεδίῳ ἐμαχέσατο πρὸς κενταύρες.

l. 1070. Θηρεῖος βία] λέοντες, ὕδρας, κερβέρε καὶ λοιπῶν.

l. 1071. Ουτ' ἄγλωσσος] κακόγλωσσος, βάρβαρος. ἢ ἀλλόγλωσσος.

Pag. 459. l. 1070. Ουκ ἀνδρὸς φύσιν] λείπει ἔχουσα.

l. 1072. Ω παῖ] ὦ Ὕλλε. δεῖξον τοῖς ἔργοις ὅτι ἀληθῶς ἐξ Ἡρακλέους ἔχεις τὸ γένος. καὶ μή με προκρίνῃς τὴν Δηϊάνειραν, ἀλλὰ ταῖς σαῖς χερσὶ τῆς οἰκίας αὐτὴν ἔξαγε καὶ παράδος μοι· ταῦτα δὲ, ἀγνοῶν ὅτι τέθνηκε, λέγει.

l. 1075. Ως εἰδῶ σάφα] ἵνα μάθω πότερον ὑπὲρ ἐμῦ νοσοῦντος λυπῇ, ὅταν ἴδῃς τὸ σῶμα τῆς Δηϊανείρας παρ' ἐμῦ βλαπτόμενον καὶ δικαίως καταπονέμενον.

l. 1079. Ο στις, ὥστε παρθένος] Ὁμηρος, — ἠΰτε κέρη Νηπίη, ἥ θ' ἅμα μητρὶ θέεσ' ἀνελέσθαι ἀνώγει.

l. 1082. Αλλ' ἀστένακτος αἰεὶ ἑσπόμην κακοῖς] ἦγεν, ὑπέφερον πᾶν κακόν.

l. 1083. Νῦν δ' ἐκ τοιέτου] ἐξ ἰσχυρᾶ γέγονα ἀσθενής. ἢ ἀπὸ τοιέτε κακε.

l. 1087. Ιδε, θεᾶσθε] ὁ λόγος ἐπὶ πρὸς τὸν παρεστῶτας.

l. 1089. Αἶ, αἶ] ὀδυνώμενος ἀναβοᾷ.

l. 1090. Εθαλψεν ἄτης] πάλιν ἐξέπυρωσέ με ὁ τῆς νόσυ σπασμός.

l. 1091. Ουδ' ἀγύμναστόν μ'] ἐκ ὀδυνῆς ἀπείρατον, ἐκ ἄνευ ὀδυνῶν. ἀντὶ τῦ ἐκ ἐνδίδωσί μοι.

l. 1094. Εγκατάσκηψον βέλος] τὸ ξῦσον κατ' ἐμῦ τὸν κεραυνόν.

l. 1095. Δαίνυται] ἐσθίει με, ἡ νόσος δηλονότι. τὸ δὲ, ὦ πάτερ κεραυνῦ, ἀντὶ τῦ, ὦ κεραυνὲ, εἶθε με κάβοιο.

l. 1096. Ω χέρες χέρες] ἀφορῶν εἰς ἓν ἕκαστον τῶν αὐτῦ μελῶν, δυσφορεῖ, ὅτι ἀφ' οἵε δὴ γέγονεν αὐτῷ τὸ σῶμα, ἀσθενὲς δὴ τὸ ἄθλους ἐς Εὐρυσθέως τετέλεκεν.

l. 1098. Υμεῖς ἐκεῖνοι δὴ] ὑμεῖς ἐστὲ οἱ τὸν Νεμεαῖον χειρωσάμενοι λέοντα, τὸν τὴν Νεμέαν λυμαινόμενον.

l. 1100. Λέοντ', ἄπλατον θρέμμα] ἀπρόσιτον, ἀπροσπέλαστον καὶ ἀναγόρευτον, ἀδιήγητον, ἢ φαῦλον, καὶ μεμισημένον, ὃ ἐκ ἄν τις προσφθέγξαιτο.

l. 1102. Δίφυῆ τ' ἄμικτον] τὸν τῶν κενταύρων, ἀπροσπέλαστον, ᾧ ἐκ ἦν συμμίξαι καὶ συμβαλεῖν.

l. 1103. Υπείροχον βίαν] ὑπερέχοντα κατὰ τὴν δύναμιν, ὑβριστὴν δὲ, μάχιμον, ἀμιγῆ, ἢ σαφῆ, διὰ τὸν Νέσσον, καὶ τὸν Πειρίθε γάμον.

l. 1105. Αΐδε τρίκρανον σκύλακ'] τὸν κέρβερον, ὃν Ἡσίοδος πεντηκοντακέφαλόν φησιν. οὗτοι δὲ τρίκρανον.

l. 1106. Τόν τε χρυσέων δράκοντα] φασὶ τὸν Ἄτλαντα τῷ Ἡρακλεῖ κεκομικέναι τὰ μῆλα, ὅτε καὶ αὐτὸς διαδεξάμενος τὸν ἐρανὸν ἐβάστασεν.

l. 1107. Επ' ἐσχάτοις τόποις] τοῖς τῆς Λιβύης.

l. 1108. Εγκυσάμην] ἐπειράθην, πεῖραν ἔσχον.

l. 1110. Αναρθρος] ἐκ ἔχων τὰ ἄρθρα τῶν μελῶν, διὰ τὸ σεσῆφθαι αὐτά, κατερρακωμένος δὲ, τὰς σάρκας σαπείς, καὶ ἔχων αὐτὰς κρεμαμένας ὡς ῥάκη.

l. 1111. Τυφλῆς ὑπ' ἄτης] ὑπὸ νόσου ἀφανῦς καὶ ἀκαταλήπτυ, ἣν ἐκ ἔστιν ἰδεῖν.

Pag. 461. l. 1115. Κἂν τὸ μηδὲν ὦ, κἂν μηδὲν ἕρπω] ἀντὶ τῦ, ὦ παρόντες, κἂν μηδὲν ἕρπων, καὶ ὅτως ἔχων, καὶ ὅτω διακείμενος,

l. 1120. Ει σφαλήσεται] εἰ ἀπολεῦξεται τέτε.

l. 1122. Σιγὴν παρασχὼν] ἀντὶ τῦ σιωπήσας καὶ ἡσυχάσας.

l. 1125. Ου γὰρ ἂν γνοίης] τετέστιν, ἐὰν μὴ τῦ θυμῦ παύσῃ πρότερον, ἐ δυνήσῃ γνῶναι ὑπὸ τῆς ὀργῆς σκοτώμενος ὅτι ἀδίκως αὐτὴν ἀνελεῖν βέλει, ὅπερ σοι ἐπὶ μεγίστη χαρᾷ· ἐδὲ ὅτι μάτην ἀλγεῖς τὴν ψυχήν, νεμεσῶν τὴν ἐδὲν ἀδικήσασαν. ἢ μάτην ἀλγεῖς ἀνελεῖν αὐτὴν βελόμενος.

l. 1128. Ων σὺ ποικίλλεις] σοφίζεις, καὶ καλλωπίζεις τῷ λόγῳ,

l. 1131. Ω παῖ κάκιστε] αὐτὴ τῦ μίσυς

σὺς διδάξαντε, ὅτι καὶ μνήμην τῆς μητρὸς ἐποιήσατο· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ Ἡρακλέους ἀκούοντος.

l. 1133. Ἔχει γὰρ οὕτως] τὸ γὰρ κατ' αὐτὴν (φησὶ) πρᾶγμα, ἐκτός ἐστιν ἀδικίας, ὡς μηδὲ εἶναι τοῦτο σιωπῇ παραδοῦναι.

l. 1135. Λέγ', εὐλαβοῦ δὲ] εὐλαβοῦ μὴ δι' ὧν ὑπὲρ τῆς μητρὸς λέγεις, περὶ ἐμὲ φαῦλος ἐξελεγχθῇς.

l. 1137. Πρὸς τοῦ; τέρας τοι] πρὸς τίνος; ἄπιστον γὰρ διὰ δυσφημιῶν ὥσπερ ἐμαντεύσω. τουτέστιν, ἄπιστον λέγεις ὅτι ἑαυτὴν ἀνεῖλεν, εἰ μὴ ἄρα μαντικῆς μετέχων τοῦτο ἔγνως ὡς μάντευμα ἄπιστον. τοῦτο δὲ εἶπεν ἐπειδὴ πολλάκις τὰ μὴ προσδοκώμενα μαντεύονται.

l. 1138. Οὐδενὸς πρὸς ἐκτόπου] ἀντὶ τοῦ ὑπὸ ἄλλου ξένου.

l. 1140. Στραφείη θυμὸς] λήξειεν ἡ ὀργή.

l. 1142. Ἅπαν τὸ χρῆμ' ἥμαρτε] ζητοῦσα (φησὶ) χρηστόν τι διαπράξασθαι, τοῦ ὅλου πράγματος ἥμαρτεν.

l. 1149. Ἰοὺ ἰοὺ] ἀναμιμνησκόμενος τῆς ἀπὸ Δωδώνης μαντείας, ταῦτα λέγει, ἀριθμήσας τὸν χρόνον. ἀρτίως γὰρ (φησὶν) ἔγνων ὅτι εἰς ἔσχατον ἦλθον συμφορᾶς.

l. 1153. Τὸ πᾶν σπέρμα σῶν ὁμαιμόνων] ἀντὶ τοῦ πάντας τοὺς σοὺς ἀδελφούς.

l. 1155. Μάτην ἄκοιτιν] τὴν Ἀλκμήνην. τοῦτο δέ φησιν ὡς ἀνάξια πάσχων.

Ὡς τελευταίαν ἐμοῦ] ἵνα τὴν περὶ τῆς τελευτῆς μου φήμην μάθητε.

Pag. 463. l. 1158. Ἀλλ' ἐπακτία] παραθαλαττία.

l. 1159. Ἕδραν] διατριβήν.

l. 1164. Ἐξήκεις] εἰς ἡλικίαν ἥκεις.

Ἵνα φ. ὁπ.] ἵνα φανῇς, ἄξια πράττων, παῖς ἐμὸς εἶναι.

l. 1166. Ἐμοὶ γὰρ ἦν τι] προμεμαντευμένον, προειρημένον ὑπὸ τοῦ Διός. οὕτω δὲ διὰ τοῦ Σ, ἐν τῇ τραγικῇ λέξει.

l. 1167 Πρὸς τῶν πνεόντων] τῶν ζώντων· πνεῦμα γὰρ ἡ ψυχή. Ὅμηρος, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε. καὶ, Ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

l. 1171 Φανῶ δ' ἐγὼ] ἐρῶ σοι ἄλλην μαντείαν νεωτέραν, συμφωνοῦσαν τῇ προτέρᾳ.

l. 1174. Σελλῶν ἐσελθὼν] ἀκούσας ἔγραψα. ἔθος γὰρ τοὺς χρησμοὺς δεχομένους, παραχρῆμα γράφειν, ἵνα μὴ ἐπιλάθωνται. ἔνιοι δὲ χωρὶς τοῦ Σ γράφουσιν. Ἐλλοὺς ἀποδεχόμενοι· καὶ Ἑλλοπίαν τὴν Δωδώνην νομίζουσιν εἶναι· τὴν γὰρ χώραν οὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις λέγων οὕτως, Ἔστι τις Ἑλλοπίη πολυλήϊος ἠδ' εὐλείμων, Ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν· Ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται, Πολλοὶ ἀπειρέσιοι φῦλα θνητῶν ἀνθρώπων. Ἔνθα τε Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται. Τὴν δὲ Ζεὺς ἐφίλησε, καὶ ὃν χρηστήριον εἶναι, Τίμιον ἀνθρώποις· ναῖον δ' ἐν πυθμένι φηγοῦ. Ἔνθεν ἐπιχθόνιοι μαντήϊα πάντα φέρονται. Ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ, Δῶρα φέρων ἔλθῃσι σὺν οἰωνοῖς ἀγαθοῖσιν. ἐντεῦθεν δὲ λέγουσιν εἶναι Ἑλλοπιεῖς, καὶ τοὺς ἐν Εὐβοίᾳ οἰκήσαντας.

l. 1175. Καὶ πολυγλώσσου δρυός] ἤτοι πολλὰ μαντευομένης, καὶ διὰ τοῦτο πολλὰ φθεγγομένης. ἢ τῆς διαφόροις διαλέκτοις χρησμῳδούσης, καὶ κατὰ τὴν ἑκάστου τὴν μαντευομένην γλῶσσαν.

l. 1176. Χρόνῳ τῷ ζῶντι] ἤτοι τῷ ὑφεστῶτι καὶ παρόντι νῦν. ὁ γὰρ παρελθὼν, οἱονεὶ διέφθαρται καὶ τέθνηκεν· ὁ δὲ μέλλων, πάλιν ἄδηλος.

l. 1181. Ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ] φανερὰ, σαφῆ, πρόδηλα. ἐπεὶ οὖν (φησὶν) ὁ χρησμὸς ἀπέβη, δεῖ σε γενέσθαι σύμμαχον ἐμοί.

l. 1183. Καὶ μὴ 'πιμεῖναι] καὶ μὴ ἀπειθήσας μοι, παροξυνῇς με εἰς λοιδορίαν κατὰ σοῦ.

l. 1 84 Ἀλλ' αὐτὸν εἰκάθοντα] ἀπὸ κοινοῦ τὸ, δεῖ δέ σε εἴκοντα τῇ ἐμῇ προστάξει, πράττειν ὃ βούλομαι. τὸ γὰρ τοῖς γονεῦσι πείθεσθαι, νόμος ἐστὶ κάλλιστος καὶ εὐκλεὴς παρὰ πᾶσι.

l. 1185. Ταρβῶ μὲν εἰς λόγον στάσιν] περιφραστικῶς εἰς λόγους. εὐλαβοῦμαι μὲν εἰς τοιαύτην ὁμιλίαν ἐλθεῖν, μὴ οὐχ αἱρετά μοι προτείνῃς· πράξω δὲ ὅμως, κἂν δεινὰ ᾖ.

l. 1190. Μὴ δ' ἀπιστήσῃς ἐμοί] γράφεται, προστήσῃς ἐμοί, ἐναντιωθήσῃ. ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ βρώσει ψωμῶν προσισταμένων.

l. 1195. Ἐπώμοτον] ὅρκιον.

l. 1196. Εἰ δ' ἐκτὸς ἔλθοις] εἰ παραβαίνῃς τοὺς ὅρκους.

l. 1197. Οὐ μὴ λάβω] οὐ χρὴ λαβεῖν με, τιμωρίας δηλονότι. ποιήσω γὰρ ἃ προ-

ἃ προστάξειας μοι. ὃ ποιήσω δὲ, εἰ βούλει σύ.

l. 1198. Οἴτης Ζηνὸς ὕψιστον πάγον] ὑψηλὸν ὄρος τῆς Οἴτης. πᾶν δὲ ὄρος, ὄρος τοῦ Διὸς ὀνομάζεται. ἐπεὶ (φασὶν) ὑψίστῳ ὄντι τῷ θεῷ, ἐν ὕψει δεῖ τὰς θυσίας ποιεῖσθαι τὰς πρὸς αὐτόν.

l. 1201. Αὐτόχειρα καὶ] ταῖς σαυτοῦ χερσὶ, καὶ μεθ' ὧν θέλεις φίλων. οὐ γὰρ μόνος ἐδύνατο φέρειν αὐτόν.

Pag. 465. l. 1208. Εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ] εἰ δὲ μὴ ταῦτα ποιήσῃς, διατελέσω ταῖς κατάραις καὶ καθ' ᾅδου βαρῶν σε.

l. 1209. Ὢν ἀραῖος] ἐπάρατος, τιμωρὸς δαίμων.

l. 1210. Οἷά μ' εἰργάσαι] οἷα θέλεις ἐργάσασθαι κατ' ἐμοῦ, πατροφόντην γενέσθαι παρακελευόμενος.

l. 1211. Ὁποῖα δρᾶσαί ἐστιν] τοιαῦτά σοι παρακελεύομαι οἷα δρᾶσαι ὀφείλεις· εὐεργετήσεις γάρ με.

Εἰ δὲ μὴ, πατρὸς ἄλλου] ξένος, ἀλλ' οὐκ ἐμὸς ὢν υἱός.

l. 1218. Ἀλλ' εἰ φοβῇ] ἀλλ' εἰ παραιτῇ τὸ ἀνελεῖν με, τὰ ἄλλα ποίησον. τουτέστι, τὴν ὕλην συνάγαγε.

l. 1220. Ἢ καὶ πυρᾶς πλήρωμα] ὄντως οὖν πληρώσῃς τὴν πυρὰν τῆς ὕλης;

l. 1221. Ὅσον γ' ἂν αὐτὸς] πάντα (φησὶ) ποιήσω, πλὴν τοῦ σώματος σοῦ ἅψασθαι.

l. 1223. Ἀλλ' ἀρκέσει καὶ ταῦτα] καὶ ταῦτα μέν ἀρκέσει· βραχὺ δὲ τούτοις πρόσθες, ὅ ἐστι, ταῖς ἄλλαις εὐεργεσίαις καὶ ἑτέραν βραχεῖαν χάριν πρόσθες, γήμας τὴν Ἰόλην.

l. 1228. Ἐπισκήπτω] ἐντέλλομαί σοι, παρεγγυῶ.

l. 1231. Πρόσθου δάμαρτα] γυναῖκα ποίησον.

l. 1232. Μηδ' ἄλλος ἀνδρῶν] ἄτοπον γὰρ (φησὶν) ἅπαξ συνανακλιθεῖσάν σοι, ἑτέρῳ ἀνδρὶ ξένῳ παρακαθεύδειν.

l. 1234. Κήδευσον λέχος] οἰκείωσαι.

l. 1237. Οἴμοι τὸ μὲν νοσοῦντι] τὸ θυμοῦσθαι, εἰ μὴ πεισθείην αὐτῷ, καὶ τὸ πείθεσθαι ὧδε φρενοῦντι, δυσχερές.

l. 1239. Ὡς ἐργασείων οὐδὲν] οὕτω λαλεῖς ὡς μηδὲν πράξων ὧν λέγω.

l. 1240. Τίς γάρ ποθ' ἥ μοι] τὸ τίς ἐφ' ἑαυτοῦ ἔθηκεν. ἀντὶ τοῦ, πῶς ἂν ἐγὼ ἑλοίμην γῆμαι αὐτὴν, τὴν τῶν κακῶν αἰτίαν οὖσαν σοί τε καὶ τῇ ἐμῇ μητρί;

l. 1242. Τίς ταῦτ' ἂν ὅστις] τίς ἂν ταῦτα προστάττειν ἕλοιτο ἐκτὸς ὢν μανίας καὶ φρενοβλαβείας; ἀντὶ τοῦ, οὐκ ἂν ἑλοίμην εἰ μὴ μαινοίμην.

l. 1245. Οὐ νέμει γ' ἐμοὶ φθίνοντι μοῖραν] ἀντὶ τοῦ, μέρος εὐποιΐας οὐ νέμεις μοι φθειρομένῳ.

Pag. 467. l. 1248. Οἴμοι τάχ', ὡς ἔοικας, ὡς νοσεῖς] ὡς φανερὸς εἶ νοσῶν χαλεπῶς, οὕτω καὶ χαλεπῶς διαλεγόμενος.

l. 1249. Σὺ γάρ μ' ἀπ' εὐνασθέντος] σύ με (φησὶν) ἀναταράττεις ἀπὸ τοῦ καταπραϋνθέντος κακοῦ, μὴ πειθόμενος.

l. 1250. Ὡς εἰς πολλά τ' ἐπαπορεῖν ἔχω] ἄτοπον γὰρ καὶ ἐναντιοῦσθαι καὶ πείθεσθαι· διὸ ἀπορῶ.

l. 1251. Δικαιοῖς] δίκαιον νομίζεις.

l. 1252. Ἀλλ' ἐκδιδαχθῶ δῆτα] τοῦτο κατ' ἐρώτησιν. δίκαιόν σοι τοῦτο φαίνεται, τὸ συναφθῆναί με τῇ Ἰόλῃ;

l. 1256 Τοιγὰρ οὐ.] ὅτι οὐκ ἄδικον τοῦτο ἡγοῦμαι, ἀλλ' εὐσεβὲς, τὸ πειθαρχεῖν τῷ πατρί. διαμαρτυράμενος οὖν τοὺς θεοὺς, γαμήσω τὴν Ἰόλην.

l. 1259. Καλῶς τελευτᾷς] ἀντὶ τοῦ, καλῶς τὸν λόγον ἐπεραίωσας.

l. 1260. Ὡς πρὶν ἐμπεσεῖν] ἵνα εἰς πυρὰν μεθῇς πρὶν ταραχθῆναι ὑπὸ τῆς νόσου.

l. 1262. Ἄγ', ἐγκονεῖτ'] ἐνεργεῖτε, καὶ ἀνακουφίσατε.

Παῦλά τοι κακῶν] μόνη αὕτη ἀνάπαυσίς ἐστι τῶν κακῶν (φησὶ) τὸ παραδοθῆναί με τῷ πυρὶ, καὶ τοιαύτῃ τελευτῇ χρήσασθαι.

l. 1266. Ἄγε νῦν πρὶν τήνδε] ἑαυτὸν παραθαρρύνει, ὥστε μὴ βοᾶν κομιζόμενον εἰς τὴν πυράν. ἄγε οὖν (φησὶν) ὦ σκληρὰ ψυχὴ ὡς ἀπὸ χαλυβικοῦ σιδήρου πεποιημένη, πρὶν τήνδε ἀνακινῆσαι νόσον, ἐνδοῦσα τὸ σεαυτῆς στόμα ἐμφράξασα, (ὥσπερεὶ στόμα φρέατος λίθῳ κεκολλημένον, πρὸς τὸ μηκέτι ὕδωρ ἀνιμᾶσθαι) ἀνάπαυε τὴν βοήν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ, ὡς ἀπὸ χάλυβος γενομένη. ἢ λιθοκόλλητον στόμιον, ἀντὶ τοῦ λίθινον καὶ σκληρὸν χαλινὸν σαυτῇ ἐπιβαλοῦσα.

l. 1269. Ἀνάπαυε βοήν] ἀνάπαυσον τὴν βοὴν ὡς εἰς ἐπίχαρτον ἅμα καὶ ἀκούσιον πρᾶγμα χωροῦσα, τὴν πυράν. πῶς δὲ ἐπίχαρτον ἅμα καὶ ἀκούσιον; ἐπί-

χαρτον

χαρτον μέρος, ὅτι ἀπαλλάττεται τῆς νόσου, ἀκούσιον δέ, ὅτι λυπεῖ πάντοτε ἡ ἀποστέρησις τοῦ βίου. παρὰ τό, Ἑκὼν ἀέκοντί γε θυμῷ.

l. 1271. Αἴρετ' ὀπαδοί] ὀπαδοὺς οὐκ οἰκέτας ἀλλὰ τοὺς ἀκολουθοῦντας αὐτῷ ἐξ Εὐβοίας φησί.

l. 1272. Συγγνωμοσύνην] ἀντὶ τοῦ συγγνώμην, ὅτι κατὰ γνώμην πατρῴαν ταῦτα ποιῶ.

l. 1275. Οἱ φύσαντες] εἰς τὸν Δία ἡ ἀπότασις τοῦ λόγου. ἐκείνους (φησὶν) ἀγνώμονας ἡγεῖσθε, οἵτινες γεννήσαντες αὐτόν, περιορῶσι τοιαῦτα πάσχοντα.

l. 1277. Ἐφορᾷ] περιττὴ ἡ πρόσθεσις.

l. 1282. Λείπου μηδὲ σύ] αἱ τοῦ χοροῦ πρὸς ἑαυτὰς τοῦτο φασί. ἢ ὁ Ὕλλος· ἔοικε γὰρ ὁ Ὕλλος ἀποστραφεὶς ταῖς ἀπὸ τοῦ χοροῦ λέγειν μὴ ἀπολιμπάνεσθαι τῶν οἴκων, ἕως ἂν ἐπέλθωσιν ἀπὸ τῆς πυρᾶς.

Ἀπ' οἴκων] γράφεται ἐπ' οἴκων. τουτέστι, μηδὲ ὑμεῖς περιλείπεσθε ἐνταῦθα ἐπὶ τῶν οἴκων, ἀλλ' ἀκολουθήσατε.

l. 1285. Κοὐδὲν τούτων] λείπει, ἐποίησε. διὰ τὴν εἱμαρμένην, ἥτις κακῶν καὶ ἀγαθῶν ἐστιν αἰτία. Ἄλλως. κοὐδὲν τούτων ὅ, τι μὴ Ζεύς. οὐδὲν τούτων οὐδεὶς ἔπραξεν εἰ μὴ μόνος ὁ Ζεύς.

ΣΧΟΛΙΑ

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΤΩΝ ΠΑΝΥ ΔΟΚΙΜΩΝ

ΕΙΣ ΦΙΛΟΚΤΗΤΗΝ.

Pag. 472. l. 1. Ακτὴ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς]

ΚΑΙ παρὰ τούτῳ προλογίζει ὁ Οδυσσεὺς, καθάπερ καὶ παρ' Ευριπίδῃ. ἐκεῖνο μέντοι διαφέρει, παρ' ὅσον ὁ μὲν Ευριπίδης πάντα τῷ Οδυσσεῖ περιτίθησιν· οὗτος δὲ τὸν Νεοπτόλεμον παρεισάγων, διὰ τούτου πάντα οἰκονομεῖ, τὸ δὲ ἀκτὴ, διὰ τὸ εἶναι αὐτὴν νῆσον.

l. 2. Λήμνου, βροτοῖς ἄστιπτος] ἐν ἐρήμῳ γὰρ μέρει τῆς Λήμνου ἐξετέθη ὑπὸ τῶν Ελλήνων. ἢ ἄστιπτος, ἀπάτητος, ἀδιόδευτος. ἐν ἐρήμῳ γὰρ τόπῳ τῆς νήσου ἦν ἐκτεθείς.

l. 3. Ενθ' ὦ κρατίστου πατρὸς] Τραφεὶς ἐκ πατρὸς Ελλήνων κρατίστου. λείπει οὖν ἡ Εξ. τὸ δὲ ἑξῆς, ἔνθα ποτὲ ἐγὼ ἐξέθηκα τὸν Μηλιᾶ Ποίαντος υἱὸν, ὦ Νεοπτόλεμε παῖ Αχιλλέως.

l. 4. Τὸν Μηλιᾶ] τὸν Θεσσαλόν· ἀπὸ πόλεως. Αττικὸν δὲ τὸ Μηλιᾶ.

l. 7. Καταστάζοντα] ἀντὶ καταῤῥέοντα, τηκόμενον, λυόμενον.

Διαβόρῳ] τῇ τὸν πόδα ἐσθιούσῃ, σηπτικῇ, τῇ διαβιβρωσκούσῃ, τῇ καλουμένῃ φαγεδαίνῃ. πάθος δὲ τοῦτό ἐστιν οὕτω λεγόμενον παρὰ τοῖς ἰατροῖς.

l. 14. Κἀκχέω τὸ πᾶν] ταράξω. ἀπὸ μεταφορᾶς τῶν ἀμελγόντων.

l. 18. Ιν' ἐν ψύχει μὲν] ἐν χειμῶνι μὲν, ἐν κρύει, πάρεστι θερμαίνεσθαι, τῆς ἀκτῖνος τοῦ ἡλίου ἑκατέρωθεν προσβαλλούσης· οὐκ ἐν ταυτῷ, ἀλλ' ὅτε μὲν κατὰ τὸ ἀνατολικὸν μέρος ἐλαύνει ὁ ἥλιος, διὰ τοῦ ἀνατολικοῦ στόματος· ὅτε δὲ εἰς τὸ δυτικὸν, ὁμοίως. ἐν δὲ θέρει τῆς πνοῆς ἀπολαύειν.

Διπλῆ πάρεστιν ἐνθάκησις] διπλῆ καθέδρα πρὸς ἥλιον θερμαινομένη.

Pag. 473. l. 18. Δἰ ἀμφιτρῆτος] τοῦ ἀμφοτέρωθεν τετρημένου.

l. 24. Κοινὰ δ' ἐξ ἀμφοῖν εἴη] ποιοῖτο, διανύοιτο, προβαίνοι, ἢ εἴη. οἱ τραγικοὶ γὰρ τῇ Ει διφθόγγῳ χρῶνται ἀντὶ βραχείας κατὰ κοινὴν συλλαβήν.

l. 25. Τοὔργον οὐ μ.] οὐ μακροῦ πόνου δεόμενον. ἤδη γὰρ εἰσεῖδον τὸ ἄντρον ὃ λέγεις.

l. 27. Ανωθεν, ἢ κάτωθεν;] ταπεινὸν, ἢ ὑψηλόν;

l. 31. Οἰκοποιὸς] οἰκοποιὸς λέγεται ἡ ἐν οἴκῳ γινομένη τροφή.

l. 32. Στειπτή γε φυλλὰς] χαμαιστρωσία ἐκ φύλλων, ἡπλωμένη καὶ πατουμένη, ὡς κοιμωμένου ἐπ' αὐτῇ τινός.

l. 33. Υπόστεγον] ὑπὸ τῇ στέγῃ.

l. 34. Αὐτόξυλόν γ' ἔκπ.] ποτήριον μονόξυλον, τέχνημα ἀνδρὸς φαύλως ἐργαζομένου, ὅ ἐστιν ἰδιώτου καὶ οὐ τεχνίτου.

l. 35. Πυρεῖ' ὁμοῦ] πυρόβολα.

l. 37. Ιοὺ, ἰοὺ] ὁρᾷ τὰ ῥάκη τοῦ τραύματος τοῦ Φιλοκτήτου ξηραινόμενα ἐν ἡλίῳ, καὶ ἐκπλήττεται ὡς βαρέως αὐτοῦ νοσοῦντος.

l. 38. Βαρείας του νοσηλείας] νόσου βαρείας πεπληρωμένα, ἢ νοσοκομίας, ἢ τῆς ἐκ νόσου ἀκαθαρσίας.

l. 41. Κῶλον] πόδα.

Κηρὶ] νόσῳ.

l. 42. Νόστον] ὁδόν.

l. 43. Νώδυνον] βοτάνην τινὰ παυσώδυνον.

l. 44. Τὸν οὖν παρόντα] ὡς τινὸς παρεστηκότος αὐτῷ.

1,45.

l. 45. Προσπεσὼν] ἀπαντήσας, ἐπιπεσών.

l. 47. Ἀλλ' ἔρχεται] ἀπέρχεται, φησὶν, ὁ θεράπων εἰς κατασκοπήν.

Φυλάξεται] φυλαχθήσεται παρ' ἡμῶν ἡ ὁδὸς αὐτοῦ.

l. 54. Λόγοισιν ἐκκλέψῃς] ἤγουν ἀπατήσῃς.

l. 56. Τόδ' οὐχὶ κλοπαῖον] τοῦτο γὰρ οὐχὶ ψευσόμεθα.

l. 58 Ἔχθος ἐχθήρας] οἱ γὰρ ἐξ ἑνὸς ἠδικημένοι, φιλοῦσιν ἀλλήλους.

l. 59. Στείλαντες] καλέσαντες.

l. 60. Τὴν δ' ἅλωσιν] τὸ σὲ ἐλθεῖν εἰς Ἴλιον.

l. 61. Οὐκ ἐξίωσαν] οὐκ ἄξιον ἡγήσαντο.

Pa. 475. l. 64. Ἔσχατ' ἐσχάτων κακὰ] αἴσχιστα.

l. 67. Εἰ γὰρ τὰ τοῦδε τόξα] προτρεπτικῶς εἰς τὴν συμμαχίαν, οὐ τὸν ἄνδρα, ἀλλὰ ψιλῶς τὰ τόξα ὠνόμασεν· εἰς δὲ τὴν πόρθησιν, τὸν Νεοπτόλεμον.

l. 71. Οὔτ' ἔνορκος] ὤμοσαν γὰρ τῷ Τυνδάρεῳ πάντες οἱ Ἕλληνες συνελθεῖν ἐὰν ἁρπαχθῇ ἡ Ἑλένη.

l. 93. Βούλομαι δ' ἄναξ κ. δ.] ἀντὶ τοῦ ἀληθεύων.

l. 94. Ἢ νικᾶν κακῶς] ἀντὶ τοῦ μετὰ ψευδολογίας· ὃ ὅτι, θέλω εἰπὼν τὸ ἀληθὲς ἀποτυχεῖν μᾶλλον, ἢ ἐξαπατᾶν τὸν ἄνδρα καὶ ἐπιτυχεῖν. εἰσάγει δὲ αὐτὸν ὁ Σοφοκλῆς τὸν τοῦ πατρὸς λόγον λέγοντα, Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀΐδαο πύλῃσι.

l. 96. Γλῶσσαν μὲν ἀργὸν] κρείττονα τῶν ἔργων οὖσαν τὴν γλῶσσαν. διαβάλλει τοὺς καθ' ἑαυτὸν ῥήτορας ὁ ποιητὴς, ὡς διὰ γλώσσης πάντα κατορθοῦντας.

l. 98. Ἡγουμένην] προηγουμένην, εἰς ἅπαντα τὴν ἀπάτην ἀνύουσαν.

l. 99. Τί οὖν μ' ἄνωγας] ὃ θέλεις κέλευε, πλὴν τοῦ ψεύδεσθαι.

l. 104. Ἰοὺς ἀφύκτους] ἄφυκτα γὰρ τὰ Ἡράκλεια βέλη, καὶ τοῦ σκοποῦ μὴ ἀποτυγχάνοντα, ἢ ἐπανερχόμενα εἰς ἑαυτόν. πρὸς ὃ ἐπάγει,

l. 105. Οὐκ ἄρ' ἐκείνῳ] οὐκοῦν οὐδὲ προσελθεῖν ἑαυτῷ καὶ πλησιάσαι, ὥστε θαρσεῖς ὅτι καὶ ἀσφαλές.

Pag. 477. l. 108. Εἰ τὸ σωθ.] εἰ σωτηρία ἐξ αὐτοῦ προσγίγνεται.

l. 109. Πῶς οὖν βλέπων] ἤγουν νοῶν, λογισμὸν ἔχων. καί ἐστιν ἡ σύνταξις, πῶς οὖν ἀποβλέπων τις εἰς τὸ ψεῦδος, ἐρεῖ αὐτό.

l. 112. Αἱρεῖ] πορθεῖ.

l. 115. Θηρατέα] ληπτέα, ἄξια τοῦ ἐπιθυμεῖσθαι.

l. 116. Δύο φέροις δωρήματα] δύο τιμήματα ἀποφέρῃ.

l. 117. Ποίω; μαθὼν] ἀντὶ τοῦ ποῖα, δυϊκῶς.

l. 118. Σοφός τ' ἂν] σοφὸς μὲν διὰ τὸ κλέψαι· ἀγαθὸς δὲ, διὰ τὸ πορθῆσαι. ἢ σοφοῦ μὲν ὄντος καθόλου τοῦ δολῶσαι δυναμένου, νῦν δὲ καὶ τοῦ δόλου ἀγαθοῦ ὄντος.

Κεκλῇ' ἅμα] ἀντὶ τοῦ κεκλημένος εἴης.

l. 121. Συνῄνεσα] συνεθέμην.

l. 124. Καὶ τὸν σκοπὸν] τὸν σκοπὸν τοῦτον πρὸς τὴν ναῦν ἀποπέμψω, καὶ πάλιν ἐὰν καιρὸς ἥκῃ, ἐνταῦθα, ἐάν μοι δόξητε βραδύνειν.

l. 128. Μορφὴν δολώσας] ἵνα μὴ γνωσθῇ.

l. 129. Οὗ δῆτα τέκνον] ἢ τοῦ Φιλοκτήτου ἀπατωμένου, ἢ τοῦ ναυκλήρου δόλια σοι διαλεγομένου καὶ ἀσυμφανῆ.

l. 133. Πολιὰς] πολιοῦχος. οὕτως ἡ πολιοῦχος Ἀθηνᾶ νίκη καλεῖται ἐν τῇ Ἀττικῇ.

l. 135. Στέγειν] κρύπτειν.

Ἄνδρ' ὑπόπτην] ἀντὶ τοῦ ἐμὲ φανερὸν γενόμενον, καὶ ἐλθόντα εἰς ὄψιν. ἢ τὸν Φιλοκτήτην τὸν ὑφ' ἡμῶν κατασκοπούμενον. Ἄλλως. πρὸς τὸν ὑφορώμενον ἡμῖν ἄνδρα τί δεῖ λέγειν. ἢ σιωπᾶν.

l. 136. Τέχνα γὰρ τέχνας] τοῦτο ἐν τῷ καθόλου. ἡ γὰρ τέχνη (φησὶ) καὶ ἡ γνώμη τῶν βασιλέων προὔχει τῶν ἄλλων τεχνῶν. καὶ ἐν Οἰδίποδι, Ἃ γὰρ δρῶσιν οἱ κρατοῦντες οὐχ ὁρῶ. καὶ Ἡσίοδος, Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες.

l. 138. Παρ' ὅτῳ] ἐφ' ᾧ ὅτι τὸ θεῖον σκῆπτρον.

l. 140. Τόδ' ἐλήλυθε] τοῦτο τὸ ἀξίωμα ἐκ προγόνων ἦλθεν εἰς σέ. δίκαιον οὖν σοι πείθεσθαι.

l. 141. Πᾶν κράτος ὠγύγιον] τὸ ἐξ ἀρχῆς τιθέμενον κράτος.

l. 142. Ὑπουργεῖν] συνεργεῖν.

Pag. 479. l. 143. Νῦν μὲν ἴσως γὰρ] νῦν μὲν (φησὶν) εἰσελθὼν, ὅρα τὸν τόπον. ἐπὰν δὲ ἔλθῃ, τότε σὺ τῶν μελάθρων ἀποστὰς, ὑπηρέτει μοι πρὸς τὴν παροῦσαν χρείαν.

Τόπον ἐσχατιαῖς] τὸν ἐπὶ τῷ ἐσχάτῳ τόπῳ.

l. 147. Προχωρῶν πειρῶ τὸ παρὸν]

ὥσπερ ἐγὼ προσχωρῶ, οὕτως ἀπολαύων, μετρίω μοι θεραπεύειν δεῖ. κυρίως δὲ ἐστὶν ἀκούειν τὸ προσχωρῶ, οἷον, ὡς ἂν ἐγὼ προστάσσω, τοῦτον τὸν τρόπον ποιῶν.

l. 149. Μέλον πάλαι) ἀντὶ τοῦ πρόσταγμά μοι λέγεις, ἐκ πολλοῦ μοι μεμελημένος, τὸ φρουρεῖν τὸ σὸν ὄμμα, καὶ τὴν ἀπὸ σοῦ ὠφέλειαν.

l. 150. Τὸ σὸν φρουρεῖν ὄμμα) τὰ σὰ νεύματα φυλάττειν.

l. 154. Οὐκ ἀποκαίριον) οὐκ ἄτοπον· οὐκ ἄκαιρον γάρ ἐστι τὸ τοῦτο μαθεῖν.

l. 155. Προσπεσὼν) προσπελάσας.

l. 157. Ἔναυλον ἢ θυραῖον) ἐντός, ἢ ἐκτὸς ἐγγύς, ἢ μακράν.

l. 162. Στίβον ὀγμεύει) ὄγμος, ἡ ἐπὶ στίχον φυτεία, καὶ ἡ τάξις. νῦν δέ, ἀντὶ τοῦ ἐφεξῆς πορεύεται.

l. 165. Στυγερῶς) ἐπιμόνως.

l. 166. Οὐδέ τιν' αὐτῷ) ἀντὶ τοῦ ἑαυτῷ.

l. 167. Παιῶνα κακῶν) θεραπείαν.

Ἐπινωμᾶν) ἐξευρίσκειν.

l. 168. Οἰκτείρω νιν) ἐλεῶ (φησὶν) αὐτὸν πῶς δύναται διάγειν, μήτε συνοικῶν τινι, μήτε κηδεμόνα τινὰ ἔχων.

l. 169. Μή του κηδομένου) μή τινος αὐτοῦ τῶν ἀνθρώπων κηδομένου.

l. 170. Μὴ σύντροφον ὄμμα) μὴ δὲ ὁρῶν εἰς ἄνθρωπον σύνοικον.

l. 173. Ἀλύει δ' ἐπὶ παντί) ἐπὶ παντὶ τῷ ἐν χρείᾳ γιγνομένῳ ἀπορεῖ ἢ ὁπηνίκα χρείας καλέσῃ καιρός, ἀδημονεῖ, διὰ τὸ πάντων ἀπορεῖν.

Pag. 479. l. 176. Ὦ παλάμαι θνητῶν) αἱ τέχναι καὶ γνῶμαι. τοῦτο θαυμάζων τὸν Φιλοκτήτην, φησί, πῶς ἄρα μόνος ὢν ἐξευρίσκει τὰ πρὸς τὴν ζωὴν ἑαυτοῦ.

l. 178. Οἷς μὴ μέτριος αἰών) οἷς ὁ βίος οὐκ ἔχει τῶν κακῶν μέτρον. ἢ οὕτως, οἷς μὴ σύμμετρος ὁ βίος καὶ ἐπαρκῶν.

l. 180. Ὕστερος) ἀντὶ τοῦ ὑστερίζων.

l. 181. Ἄμμορος) ἀντὶ τοῦ ἔρημος νῦν κεῖται.

l. 183. Στικτῶν) ποικίλων καὶ δασυτρίχων.

l. 187. Ἀθυρόστομος) πολυλάλητος, μὴ εἰργομένη τοῦ φθέγγεσθαι. ἀθυρόστομον δὲ εἶπε τὴν Ἠχώ, ἐπεὶ πρὸς πάντας ἀντιφθέγγεται. ὁ δὲ νοῦς, ἀεὶ μὲν ὀδυρομένου αὐτοῦ, Ἠχὼ πρὸς τὸν ὀδυρμὸν ἀντιφθέγγεται.

l. 188. Τηλεφανής) μακρόθεν φαινομένη διὰ τῆς φωνῆς. ἀντὶ τοῦ, οἰμώζει, καὶ τὴν φωνὴν πόρρωθεν ἀνεγείρει.

l. 190. Οὐδὲν τούτων θαυμαστόν) οὐδὲν (φησὶ) τούτων θαυμαστὸν ἐμοὶ ὅτι τοιαῦτα πάσχει ὁ Φιλοκτήτης. ἐκ θεῶν γὰρ (ὡς οἶμαι) ταῦτα πέπονθε, καὶ τὸ πάθος ὑπέμεινε κατὰ βούλησιν τῶν θεῶν, ἵνα μὴ τὰ βέλη εὐθέως ἐπελθόντα, πορθήσῃ τὴν Τροίαν παρὰ τὸ εἱμαρμένον, ἀλλ' ἐκδέξηται τὸν καιρόν.

l. 193. Τῆς ὠμόφρονος Χρύσης) Χρύση, νῆσος περὶ τῆς Λήμνου. ἔνθα διέτριβε Χρύση τις νύμφη, ἣ ἐρασθεῖσα τοῦ Φιλοκτήτου, καὶ μὴ πείσασα, κατηράσατο αὐτῷ. διὸ καὶ ὠμόφρονα αὐτὴν ἐκάλεσεν. Εἰς τὸ αὐτό.

Τῆς ὠμόφρονος Χρύσης) Χρύσης Ἀθηνᾶς ἄγαλμα οὕτω καλεῖται. ἔστι δὲ καὶ πόλις Χρύση πλησίον Λήμνου, ἔνθα ὑπὸ τοῦ ὄφεως ἐδήχθη, τὸν βωμὸν ζητῶν ἐφ' ᾧ ἔθυσεν Ἡρακλῆς, ἡνίκα κατὰ Τροίας ἐστρατεύσεν.

l. 197. Ἀμάχητα) ἀνίκητα.

l. 198. Πρὶν ὅδ' ἐξήκοι χρόνος) πρὶν αὐτὴν τὴν Τροίαν εἰς τὸν εἱμαρμένον ἐλθεῖν χρόνον, ἐν ᾧ εἵμαρται, αὐτὴν πορθηθῆναι.

Ὧ λέγεται) ᾧ χρόνῳ.

l. 199. Ὑπὸ τῶνδε) τῶν βελῶν δηλονότι.

l. 200. Εὔστομ' ἔχε παῖ) εἰώθασιν οὕτω λέγειν, ἀντὶ τοῦ σιώπα. τὸ δὲ τοιοῦτο κεχίασται, ὅτι Ἑλλανικός ποτε ἀναγινώσκων τὰ Ἡροδότου, ἔλεγε, Περὶ δὲ τῶνδέ μοι εὔστομα κείσθω· οὐ διαιρῶν εἰς δύο λέξεις, ἀλλ' ὡς ἄν τις εἴποι, ταῦτα ἔσω εὔστομα. τοῦτο δέ φησιν ὁ χορὸς κτύπον ἀκούσας ἐπερχομένου τοῦ Φιλοκτήτου, καὶ στένοντος ἐν τῇ πορείᾳ διὰ τὸ ἄλγος.

l. 201. Φωτὸς σύντροφος) φωνῆς τῆς συντραφείσης αὐτῷ. δῆλον δὲ ὅτι κακῆς καὶ οἰμωκτικῆς, ὡς κατὰ τὸ σύνηθες αὐτοῦ τειρομένου.

l. 203. Ἤ που τῇδε) ἄρα ὧδε ἢ ἐνθάδε.

l. 204. Φθογγά του) φθογγή τινος.

l. 205. Στίβου κατ' ἀνάγκαν) ἔξωθεν προσληπτέον τὴν ἐπί.

l. 207. Τρυσάνωρ) ἐπίπονος, ἡ καταπονοῦσα τὸν ἄνδρα.

l. 208. Διάσημα) φανερά.

Pag. 483. l. 210. Φροντίδας νέας) τὸ ἑξῆς, ἔχε φροντίδας νέας. οἷον, καινότερόν τι βούλευσαι, ὃ πρὸς αὐτὸν ἐρεῖς.

Οὐκ ἔξεδρος) οὐ μακράν, ἀλλ' ἐγγύς, καὶ ἐπὶ τόπου.

l. 412. Οὐ μολπὰν σύριγγος ἔχων) οὐ βοᾷ

ἡ βοᾷ τεριπόμμῳ σύριγγι ὡς ποιμλυ.

l. 213. Ἀλλ' ἤ πϩ πταίων] ἀλλὰ τάχα προσπταίων, προσκόπτων ὑπὸ τῆς βαδίσεως βοᾷ. ἢ δύσορμον τ λιμένα ὁρῶν, προσβοᾷ ἡμῖν μὴ πελάζειν εἰς αὐτόν. Ὅμηρος, Λῆμνον ἀμιχθαλόεσσαν, ἤγουν τὴν ἀπρόσορμιστον.

l. 235. Ἀπηγγελμένον) δεῖ γδ αὐτὸν ἐξηγεσάμενον ὑπονοῆσαι φαυλίσαι αὐτοῖς τίωτε ὄψιν κ τὸ σχῆμα.

l. 243. Φεῦ, κ τὸ λαβεῖν) θαυμαστικὸν μετ' ἐκπλήξεως τὸ φεῦ ἐνταῦθα· λείπει ἢ τὸ στερηθῆναι.

l. 245. Προσέσχε) προσορμίσαι ἐποίησεν.

l. 247. Γέγωνέ μοι) εἰπέ μοι.

Ὅπως εἰδῶ) ἵνα μάθω.

l. 249. Αὐδῶμαι) λέγομαι.

l. 255. Πῶς εἶπας;) θαυμάζων φησίν. ἐπεὶ μὴ εἶδεν αὐτὸν ἐξ ἀρχῆς στρατευσάμενον.

Pag. 483. l. 254. Πικρὸς θεοῖς) ἐχθρός.

l. 256. Ἀλλ' οἱ μὲ) οἱ Ἀτρεῖδαι.

l. 263. Χὡ Κεφαλλήνων ἄναξ) ὁ Ὀδυσσεύς.

l. 266. Ἀγρίῳ χαράγματι) δήγματι. τὸ γδ δῆγμα τῦ ὄφεως μόνον χαράττει. λέγεται γδ ὡς ἐν Λήμνῳ βουλόμενος ἀναστῆσαι βωμὸν Ἡρακλεῖ παρὰ τὸν αἰγιαλὸν, ὑπὸ ὄφεως ἐπλήγη.

l. 268. Ἐκ τῆς ποντίας) τῆς παραθαλασσίας. ὅτε ἀπὸ Χρύσης ἦλθον εἰς Λῆμνον.

l. 270. Ἐκ πολλῦ σάλϩ) κινήματος, πόνϩ.

l. 274. Οἱ αὐτοῖς τύχοι) καταρᾶται.

l. 275. Ἀνάστασιν) ἀνάστασιν λέγει νῦν τὴν ἐξ ὕπνϩ ἔγερσιν.

l. 283. Τϩτϩ ἢ) τῦ ἀνιᾶσθαι ἄδειαν κ δυναμίαν δι' ἑαυτοῦ πολλήν.

l. 285. Κάδει) κ ἔδει με ἐμαυτῷ ὑπηρετεῖσθαι.

l. 286. Σύμφορα) ἀναγκαῖα.

l. 289. Νευρεσπαδὴς) ὁ ἐπισπώμενος τὴν νευράν. διὰ γδ τῶν γλυφίδων ἕλκεται.

l. 290. Εἰλυόμενον) ἐπορευόμενον. εἴλυσις γδ ἡ πορεία.

Pag. 487. l. 296. Ἄφαντον φῶς) ἀπροσδόκητον. καλῶς εἶπεν ἄφαντον. ὐ φαίνεται γδ, ἀλλὰ δυνάμει αὐτὸ ἔχει.

l. 297. Οἰκουμένη γδ οὐδ στέγη) ἀντὶ τῦ, ἡ οἰκία ἡ μετὰ πυρὸς ὖσα, καλῶς διοικεῖται.

l. 302. Ἐξομπολήσει) πωλήσει, πραγματεύσεται, ἐμπορεύσεται.

Ἢ ξενώσεται) καταχθήσεται ὡς ξένος.

l. 310. Σῶσαί μ' ἐς οἴκϩς) ἀποφέρειν εἰς τὴν πατρίδα.

l. 315. Ἀντίποινα) ἀμοιβαῖα.

l. 316. Ἔοικα κἀγὼ) ὦ ξένε, κἀγὼ ἐξίσϩ ἐλεῶ σε τοῖς ἀφιγμένοις ἐνταῦθα. ὥσπερ οἱ ἄλλοι ξένοι (φησὶ) περὶ ὧν λέγεις, ὕτω κἀγὼ σε οἰκτείρω.

l. 318. Ἐγὼ ἢ κ' αὐτὸς) κἀγὼ νῦν μάρτυς εἰμὶ τοῖς ὑπὸ σῦ λεγομένοις.

l. 319. Ὡς εἴσ' ἀληθεῖς) οἱ σοὶ λόγοι δηλονότι.

l. 320. Ἀνδρῶν Ἀτρειδῶν) κ τῦ Ὀδυσσέως.

l. 323. Θυμῷ γένοιτο) εἴθε γένοιτό μοι ὠργισμένῳ κατ' αὐτῶν, κ τὴν δύναμιν ἐνδείξασθαι κ τιμωρήσασθαι αὐτϩς.

l. 328. Μόλις δ' ἥρω) ὑπὸ τῆς ὀργῆς.

Pag. 489. l. 335. Ἀλλ' εὐγενὴς) ἀντὶ τῦ ἀνδρεῖος. εἴγε κ γενναῖος ὁ εὐγενής.

l. 337. Ἐλέγχω) κρίνω, ἐρωτῶ.

l. 338. Οἶμαι μὲ) οἶμαι μέν σε ἱκανὸν ἔχειν κακὸν τὴν νόσον.

l. 341. Αὖθις πάλιν μοι] τὸ Χ, ὅτι δὶς τὸ αὐτὸ εἶπεν, αὖθις κ πάλιν.

l. 350. Ἀθαπτον) ζῶντα.

l. 354. Πικρὸν Σίγειον) ἤτοι διὰ τ θάνατον τῦ Ἀχιλλέως, ἢ διὰ τὸ δυσχείμερον τῦ τόπϩ.

Οὐρίῳ πλάτη) τῷ οὐρίῳ πλῷ.

l. 362. Οἱ δ' εἶπον, οἴμοι) διὰ μέσϩ, τὸ οἴμοι, ἀποδυρόμενος φησίν.

l. 368. Ὦ σχέτλι') πρὸς τὸν Ἀγαμέμνονα.

l. 369. Πρὶν μαθεῖν ἐμῦ) ἀντὶ τῦ, πρὶν ἐμῦ πυθέσθαι κ σχεῖν τὸ ἐνδόσιμον.

l. 373. Ἡρπασον) ἔβαλλον, κατηρώμην, ὕβριζον.

l. 374. Οὐδὲν ἐνδεὲς) ὐδὲν ὕβρεως παραλιμπάνων.

l. 378. Οὐκ ἦσθ' ἵν' ἡμεῖς) τότε (φησὶν) ἡνίκα τῦ Ἀχιλλέως περιεκινδυνεύομεν, ὐ παρῆς ἔνθα ἔδει σε παρεῖναι, ἀλλ' ἀπῆς ὅπϩ ὐκ ὤφειλες.

Pag. 491. l. 380. Ἐκπλεύσῃς ἔχων) λείπει ὅπλα.

l. 384. Κὐκ αἰτιῶμαι κεῖνον) κ ὐ μέμφομαι

μέμφομαι τοσοῦτον τῷ Ὀδυσσεῖ ὅσον τοῖς περὶ Ἀγαμέμνονα. αὐτοὶ γὰρ πάντων κρατοῦσι, καὶ ἐν αὐτοῖς ἦν τὸ ἐμὲ τὰ ὅπλα λαβεῖν.

l. 386. Ἀκοσμοῦντες] ἄτακτα ἐργαζόμενοι. οἱ δὲ κακῶς φρονοῦντες, ὥσπερ ὁ Ὀδυσσεὺς κακῶς φρονεῖ, κἀκεῖνον ἐδίδαξαν εἶναι κακόν. ἐπὰν γὰρ οἱ βασιλεῖς κακῶς φρονῶσι, κακῶς δηλονότι καὶ οἱ ὑπήκοοι.

l. 390. Ὀρεστέρα] ὀρεία. ἡ αὐτὴ δέ ἐστιν ἡ Ῥέα καὶ γῆ. ὀρεία δὲ ὅτι ἐν τοῖς ὄρεσι τὰ μυστήρια αὐτῆς ἐπετελεῖτο.

Παμβῶτι γᾶ] πολύτροφε, πάντας τρέφουσα. παρὰ τὸ Ὁμηρικὸν -ζείδωρος ἄρουρα. διὰ δὲ τὸ ταύτην τὴν θεὸν τιμᾶσθαι παρὰ Φρυξὶ, πρὸς αὐτὴν τὸν λόγον ποιεῖται.

l. 391. Μᾶτερ αὐτοῦ Διὸς] ὅτι αὕτη ἐστὶ Ῥέα καὶ γῆ.

l. 392. Ἃ τὸν μέγαν Πακτωλὸν] Πακτωλὸς, ποταμὸς Λυδίας. ἔνθα ἡ Ῥέα τιμᾶται. χρυσοῦ δὲ ψήγματα ἀπὸ τοῦ Τμώλου τοῦ ὄρους διὰ τοῦ Πακτωλοῦ καταφέρεται. λέγει δὲ πρὸς τὴν Ῥέαν.

l. 393. Σὲ κἀκεῖ μᾶτερ] ἤγουν, καὶ τότε σε ἐπεκαλούμην ἢ ἐπεκαλεσάμην τιμωρήσασθαι τῶν περὶ Ἀγαμέμνονα, ὅτε παρεδίδοσαν τὰ ὅπλα τοῦ Ἀχιλλέως· καὶ νῦν δὲ καλῶ ἵνα τούτους τιμωρήσῃς.

l. 397. Ὅτε τὰ πάτρια] τὸ ἑξῆς, ὅτε τὰ πατρικὰ ὅπλα παρεδίδοσαν, τῷ Λαρτίου υἱῷ δηλονότι.

l. 399. Μάκαιρα ταυροκτόνων Λ.] ἐπὶ ἅρματος γὰρ λεόντων ὀχεῖται ἡ Ῥέα.

l. 401. Σέβας ὑπέρτατον] ὦ Ῥέα, ἤγουν ἡ ὑπερτάτην τιμὴν ἔχουσα. ἢ νοητέον τοῦτο ἐπὶ τῶν ὅπλων.

l. 404. Προσᾴδετε] συμφωνεῖτε.

l. 415. Ὁ Τυδέως γόνος] σὺν Ὀδυσσεῖ γὰρ αὐτὸν ἐξέβαλε Διομήδης.

Pag. 493. l. 417. Σισύφου Λαρτίου] ἐκ Σισύφου γὰρ κύουσα ἡ Ἀντίκλεια ἡ τοῦ Ὀδυσσέως μήτηρ ἐγαμήθη Λαέρτῃ· καὶ διὰ τοῦτο φησὶν αὐτὸν ὥσπερ πεπρᾶσθαι, ἐπειδὴ Λαέρτης πολλὰ δοὺς χρήματα, ἠγάγετο τὴν Ἀντίκλειαν. τὸ Χ δὲ, ὅτι πάλιν Λαρτίου κτητικὸν ἀντὶ πρωτοτύπου Λαέρτου.

l. 423. Κεῖνον κἀκ ἐξήρυκε] γράφεται, κἀξεκήρυξεν.

l. 425. Ὃς ὑπὸ ἦν μόνος] οἱ μὲν γράφοντες μόνος, παρ' ἱστορίαν φασίν· εἶχε γὰρ καὶ ἄλλους. οἱ δὲ γόνος, τῷ ποιητῇ ἀκολουθοῦντες λέγουσιν.

l. 426. Δύ' αὔτως δεῖν' ἔλεξας] γράφεται δύ' αὐτῷ δ' ἐξέδειξας, δυϊκῶς.

l. 429. Τεθνᾶσ', Ὀδυσσεὺς δ' ἔστιν αὖ κἀνταῦθ'] ἐν τοῖς ζῶσι.

l. 431. Σοφὸς παλαιστὴς] σοφὸς μέν ἐστιν, ἀλλ' οὐ διόλου ἔσται. αἱ γὰρ τοιαῦται γνῶμαι καταβάλλονται πολλάκις.

l. 443. Ὃς οὐκ ἂν εἵλετο] ἀντὶ τοῦ, ὃ οὐκ ἤθελέ τις εἰς ἅπαξ ἀκοῦσαι, ταῦτα πολλάκις ἔλεγε.

l. 444. Μηδεὶς ἐῶν] γράφεται ἐῴη.

l. 445. Ἠχθόμην δ' ἔτ' ὄντα νιν] τοῦτο παρ' ἱστορίαν. λέγεται γὰρ ὑπὸ Ἀχιλλέως ἀνῃρῆσθαι, καθ' ὃν χρόνον καὶ τὴν Πενθεσίλειαν ἀνεῖλε· φονευθείσης γὰρ ὑπὸ Ἀχιλλέως τῆς Πενθεσιλείας, ὁ Θερσίτης δόρατι ἔπληξε τὸν ὀφθαλμὸν αὐτῆς· διὸ ὀργισθεὶς ὁ Ἀχιλλεὺς, κονδύλοις αὐτὸν ἀνεῖλε. λέγεται καὶ μετὰ θάνατον ἐρασθῆναι αὐτῆς.

l. 446. Ἐπεὶ οὐ] συνίζησις.

l. 448. Καὶ πάλιν τρίβειν] πεπλεγμένα τοῖς κακοῖς.

l. 449. Ἀναστρέφοντες ἐξ ᾅδου] σώζουσιν ἐξ ᾅδου τοὺς ἐπιτρίπτους καὶ δολερούς.

l. 451. Ταῦτα] τὰ γιγνόμενα.

l. 452. Τὰ θεῖα] ἔργα δηλονότι. νοσῶν δὲ δυσφημεῖ.

l. 453. Οἰταίου πάτρας] ὄρος τῆς Τραχῖνος ἡ Οἴτη· Τραχίνιος δὲ ὁ Φιλοκτήτης ἦν, καὶ Μηλιεύς.

l. 456. Ὅπου θ' ὁ χείρων] ὅπου ὁ κακὸς πλέον ἰσχύει.

l. 457. Χὼ δεινὸς κρατεῖ] καὶ ὁ κακὸς νικᾷ τὸν ἀγαθόν. Ἡσίοδος, βλάπτει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα. καὶ Ὅμηρος, Ἐπεὶ τὰ χερείονα νικᾷ.

Pag. 495. l. 463. Μεταστείχειν] ἀπαλλάξειαν.

l. 465. Πλοῦς ἡ μὲν εἴκῃ] διδῷ, συγχωρήσῃ.

l. 467. Μᾶλλον ἢ 'γγύθεν] καιρὸς καλεῖ (φησὶν) μᾶλλον ἐκ τοῦ σύνεγγυς, μὴ ἐξ ἀπόπτου τὸν πλοῦν σκοπεῖν, ἤγουν μακρόθεν.

l. 472. Ὅσοισί τ' ἐξήκουσας] κακοῖς δηλονότι.

l. 473. Ἀλλ' ἐν παρέργῳ] ὅτι, οὐκ ἐν τετιμημένῳ μέρει τῆς νεὼς μεθοῦ, ἀλλ' ὅπη βούλει. δηλοῖ δὲ ταῦτα ἐν τοῖς ἑξῆς.

l. 475. Ὅμως δὲ τλῆθι] ὅμως δὲ σῶσόν με κἂν πολλὴ δυσχέρεια ἐστὶ τῷ πράγματι, γιγνώσκων

γιγνώσκων

γιγνώσκων ὅτι τοῖς εὐγενέσι τὸ αἰσχρὸν ἐχθρόν ἐστι, καὶ τὸ καλὸν ἔνδοξον.

l. 482. Εἰς ἀντλίαν εἰς πρῷραν.] τὸ ἐν παρέργῳ τοῦτο νῦν ἐνεφάνισεν, ὅπερ προείρηκεν, Ἀλλ' ἐν παρέργῳ θοῦ με.

l. 486. Ἀκράτωρ] ἀσθενής, κρατεῖν ἐμαυτοῦ μὴ δυνάμενος.

l. 489. Χαλκώδοντος] καὶ Ὅμηρος, Χαλκωδοντιάδης μεγαθύμων ἀρχὸς Ἀβάντων.

l. 493. Ὃν δὴ παλαί' ἂν] δι' ὃν δὴ περὶ πολλοῦ χρόνου ηὐλαβήθην μὴ τεθνηκὼς ᾖ.

l. 494. Τοῖς ἱκμένοις] ἀντὶ τοῦ διὰ τῶν ἱκμένων καὶ πεπορευμένων· ἐγὼ γὰρ ἀκίνητός εἰμι. ἢ τοῖς ἱκμένοις καὶ ἀφιγμένοις ἐνταῦθα.

l. 501. Σὺ σῶσον] σῶσόν με, γιγνώσκων τὰ ἀνθρώπινα πράγματα μεταβαλλόμενα.

Pag. 497. l. 511. Δυσοίστων] ἀφορήτων, δυσυπομονήτων.

l. 515. Ἐγὼ μὲν τὸ κείνων κακὸν] τὸ ἐκείνους λυποῦν, τοῦτο κέρδος καὶ ὠφέλειαν μεταποιῶν. ἢ τὸ κακὸν τὸ ἀπὸ τῶν Ἀτρειδῶν μετατιθέμενος τῷ Φιλοκτήτῃ, ὅ ἐστιν εἰς ἀγαθὸν μεταποιῶν, καὶ μεταβάλλων καὶ ἐπανορθῶν. λέγει γὰρ ὅτι, βοηθήσω αὐτῷ ἵνα ἐκείνους λυπήσω, ἐπανορθῶν αὐτῷ τὴν συμφορὰν τὴν ὑπὸ τῶν Ἀτρειδῶν γεγονυῖαν.

l. 528. Ἀλλ' αἰσχρὰ μέν τοι] ἀλλ' αἰσχρόν ἐστιν ἐνδεέστερόν σου εἶναί με ἐν τῷ βοηθεῖν τοῖς φίλοις. ἢ οὕτως· αἰσχρὸν ἐστιν εἰ ἐνδεέστερόν σου διατεθήσομαι περὶ τὴν εἰς τοὺς ξένους εὐεργεσίαν· οὐ παραιτήσομαι οὖν.

l. 535. Πῶς ἂν ὑμῖν] πῶς ἂν ἀποδοίην τὰς εὐεργεσίας ὑμῖν ὡς ἐφιλήσατέ με; ἤ, πῶς ἂν τῷ ἔργῳ εὖ πράξαιμι καὶ τῷ λόγῳ ὑμᾶς;

l. 537. Προσκύσαντες τὴν ἔσω] ἀσπασάμενοι τὴν ἑστίαν.

l. 538. Ἄοικον] δύσοικον, ὥσπερ ἀτυχής, ὁ δυστυχής

l. 539. Εὐκάρδιος] καρτερικός.

l. 540. Οἶμαι γὰρ] ἐγὼ γὰρ ὑπολαμβάνω μηδένα ἄλλον τὴν θέαν τῶν ἐνθάδε ἐνεγκεῖν· πόσῳ μᾶλλον τὴν οἴκησιν;

l. 542. Στέργειν τάδε] γράφεται, στέργειν κακά.

Pag. 499. l. 543. Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον] οὗτος ὁ ἔμπορος διαπέπλασται ὑπὸ Ὀδυσσέως, ναύκληρος, πραγματευτής, εἰωθὼς τοῖς Ἕλλησι τὰ ἐπιτήδεια ἐπάγειν. ἔοικε δὲ καὶ οὗτος αὐτὸν διαπλάττεσθαι πραγματευτήν.

l. 546. Δοξάζων μὲν οὔ, τύχῃ δ' ὅπως] ἀντὶ τοῦ, οὐκ ἐπίτηδες ἦλθεν ἐνταῦθα, ἀλλὰ πλέων ἐπὶ τὴν πατρίδα, ἰδὼν ὥρμησα. οὐκ οἰόμενος, (φησὶ) συντεύξεσθαι, κατὰ τύχην δέ.

l. 549. Εὐβότρυν Πεπάρηθον] Πεπάρηθος, δῆμος τῆς ἀττικῆς, καὶ μία τῶν Κυκλάδων νήσων.

l 553. Προσευχόντι τῆς ἴσης] ἀντὶ τοῦ, ἔρδοντι τοὺς σοὺς ναύτας τοὺς ἐμοὺς ἴσους, τὴν αὐτὴν μοι τέχνην μετερχομένους. ἢ τῆς ἴσης, ἀντὶ τοῦ ἐκ τῆς ἴσης. παραλείπεται γὰρ ἡ Ἐξ. βέλτιον γὰρ λέγειν, ἐκ τῆς ἴσης.

l. 557. Ἐξαγγέμενα] ἀναβολὴν ἔχοντα.

l. 558. Ἀλλ' ἡ χάρις μὲν] ἔσται σοὶ χάρις τῆς προμηθείας ὕστερον.

l. 562. Φροῦδοι] ἀφανεῖς.

l. 563. Οἱ τοῦ Θησέως κόροι] Ἀκάμας καὶ Δημοφῶν· ὧν οὐ μέμνηται Ὅμηρος ἐν τῷ καταλόγῳ.

l. 580. Διεμπολᾷ] λάθρα ἀπατᾷ.

l. 583. Μή με διαβάλῃς] μὴ διαβάλῃς με (φησὶ) τῷ τῶν Ἑλλήνων στρατῷ. εὐεργετήθην γὰρ ὑπ' αὐτῶν πολλά.

l. 584 Πόλλ' ἐγὼ κείνων ὕπο] ὑπ' ἐκείνων εὐεργετούμενος, ἀντευεργετῶ αὐτοὺς ὡς δύναται πένης εὐεργετεῖν, δηλονότι ὑπηρετῶν. λέγεται δὲ τὸ πάσχειν καὶ ἐπὶ ἀγαθοῦ.

Pag. 501. l. 590. Ὅρα τί ποιεῖς παῖ] ταῦτα πλαγίας νοητέον.

l. 591. Σὲ θήσομαι τῶνδ' αἴτιον] αἴτιόν σε ποιήσω τῶν πραττομένων.

Ποιοῦ λέγων] ποιοῦ με αἴτιον ὧν μέλλεις λέγειν;

l. 592. Ἄνδρε τώδε] οὗτοι οἱ ἄνδρες οἵτινες * ἀκούεις.

l. 594. Ἦ μὴν] ὄντως μήν.

l. 598. Τὸ θάρσος εἶχε θατέρου] τοῦ Διομήδους εὐτολμότερος γὰρ ἦν εἰς τὸ δρᾶσαι ταῦτα.

l. 599. Τίνος δ' Ἀτρεῖδαι] τίνος πράγματος χάριν οὕτω διὰ ποσούτου χρόνου ἐπεστράφησαν καὶ φροντίδα ἐποιήσαντο τοῦ Φιλοκτήτου οἱ Ἀτρεῖδαι, τοῦ πάλαι ἐξ αὐτῶν ἀποβληθέντος; τίς πόθος εἰς τοῦτο αὐτοὺς ἐκίνησεν, ἀπαγαγεῖν αὐτὸν δηλονότι εἰς Τροίαν;

l. 608.

l. 608. Ὁ πάντ' ἀκέων αἴσχρα] ὁ ὑπὸ πάντων ὑβριζόμενος.

l. 610. Θήραν καλλω] οὐχ ἁπλῶς εἰς τὴν θήραν καλλω, ἀλλὰ διὰ τὴν πόρθησιν τῆς Ἰλίου. αὐτὸς γὰρ ἑρμηνεύει τὸν τρόπον τῆς πορθήσεως.

l. 617. Δηλῶσαι] δεῖξαι.

l. 620. Τέμνειν ἐρεῖτο] ὑπέσχετο, ἐπηγγείλατο.

l. 624. Στελεῖν] πέμψειν.

l. 626. Ὡς ἄρ' οὐ 'κείνου πατὴρ] ὁ Σίσυφος. μέλλων γὰρ τελευτᾷν παρήγγειλε τῇ γυναικὶ αὐτοῦ, ἄταφον αὐτὸν καταλιπεῖν. καὶ κατελθὼν εἰς ᾅδου τῶν νενομισμένων μὴ τυχὼν, κατηγόρησε τῆς γυναικὸς παρὰ τῷ Ἀϊδωνεῖ. ἠξίου δὲ ἀνελθεῖν αὖθις, καὶ τὴν γυναῖκα τιμωρήσασθαι. ἀνελθὼν δὲ, οὐκ ἔτι ὑπέστρεψεν, ἕως μετ' ἀνάγκης κατῆλθεν. ἐκ πατρὸς οὖν πανοῦργος ὁ Ὀδυσσεύς.

l. 629. Οὔκουν τάδε] ἀποφατικῶς ἢ ἐρωτηματικῶς.

Pag. 503. l. 632. Οὐ θᾶσσον] τάχιον ἂν πεισθείην τῇ ἐχίδνῃ ἢ τῷ Ὀδυσσεῖ.

l. 637. Ὁρίζει] διίστησιν.

l. 638. Ἤτοι καιρὸς σπουδὴ] τὸ ἐν καιρῷ σπουδάζειν, ἀνάπαυλαν ἄγει ὕστερον.

l. 640. Τὴν πρόσθεν ἄγει] ἤγουν, ἐπὰν παύσηται ὁ ἄνεμος ἐναντιούμενος.

l. 641. Ἀντιστατεῖ] ἐναντίον πνεῖ.

l. 643. Οὐκ· ἀλλὰ κ.] μὴ δυσλαβηθῇς (φησὶ) κἀκείνοις γὰρ τὰ πνεύματα ταῦτα ἐναντία, ἀντὶ τοῦ, τὰ ἡμᾶς ὑπέχοντα κἀκείνους ἐπέχει. πρὸς ὃ ἐπάγει.

l. 644. Οὐκ ἔστι λῃσταῖς] τοῖς γὰρ κακούργοις οὐκ ἔστιν ἐναντίος ὁ ἄνεμος. ἐν τῇ συγχύσει γὰρ μᾶλλον ἰσχύουσι.

l. 649. Τί τοῦθ' ὃ] τί ἔχεις ὅπερ ἡ ἐμὴ ναῦς οὐκ ἔχει; ἀντὶ τοῦ οὐδὲν ἡμῖν λείπει.

l. 651. Κοιμῶ] κατακοιμίζω, πραΰνω.

l. 654. Παρεῤῥύηκε] παρεμπέπτωκεν.

l. 666. Ὃς τὴν ἐμὴν ἐχθρῶν] ὅς ἐποίησάς με τὴν ἐμὴν ἐχθρῶν ὑπερέχειν, ὄντα αὐτῶν ἐλάττονα.

l. 669. Καὶ δόντι δοῦναι] ἀντὶ τοῦ, ἀποδοῦναί μοι τῷ δόντι σοι.

l. 671. Εὐεργετῶν γὰρ] αὐτὸς γὰρ ὑφῆψε τὴν πυρὰν τῷ Ἡρακλεῖ.

Pag. 505. l. 677. Λόγῳ μὲν] ἀκούω (φησὶ) τὸ τοῦ Ἰξίονος πάθος ὅτι τροχάζεται, ὃν ἔδησεν ὁ Ζεύς· οὐ μέντοι ἑώρακα μείζονα τοῦ Φιλοκτήτου νόσον. πελάτην δὲ αὐτὸν λέγει τῶν λέκτρων τοῦ Διὸς, ὡς πειρᾷν ἐπιχειρήσαντα τὴν ὁμόλεκτρον τοῦ Διὸς Ἥραν.

l. 679. Κατ' ἄμπυκα] κατὰ τροχόν.

l. 680. Δρομάδα δέσμιον] τὸν περιφερόμενον ἐν τῷ δρόμῳ δεδεμένον.

l. 683. Μοῖρα τοῦδ'] τύχη, δυστυχία συγκρατέρα καὶ ἐχθίονι.

l. 685. Οὔτε νοσφίσας] ἀποστερήσας.

l. 686. Ἐν ἴσοις] ἐν δικαίοις.

l. 688. Τόδε θαῦμ' ἔχει με] θαυμάζω πῶς ὑπέμεινεν, ἀεὶ κλυζομένην κύμασιν ἔχων καταγωγὴν, καὶ ἔρημον παντάπασιν.

l. 689. Ἀμφιπλήκτων] ἑκατέρωθεν πληττόντων. τὰ γὰρ κύματα κλύζονται κατὰ ἀμφοτέραν ὄχθην τῆς θαλάσσης.

l. 692. Ἵν' αὐτὸς] ὅπου αὐτὸς μόνος ἦν ὑπὸ ἀνέμων βαλλόμενος, ἢ πρὸς ἄνεμον τετραμμένος.

Βάσιν] πόδα.

l. 693. Οὐδέ τιν' ἐγχώρων] λείπει, ἔχων.

l. 694. Κακογείτονα] οὐ μόνον ὅπου καλὸν οὐκ εἶχε τινὰ τὴν ἐγχώριον γείτονα, ἀλλὰ οὐδὲ κακὸν, παρ' οὗ ἀμοιβαῖον λόγον στενάζων ἀκούσεται. τὸ δὲ ἑξῆς οὕτω δεῖ λαβεῖν, οὐδέ τινα ἐγχώριον ἔχων παρ' ᾧ δὴ τὸν αἱματηρὸν αὐτοῦ στόνον ἀποκλαύσεται. τὸ κακογείτονα γὰρ, οὐ πρὸς τοὺς ἐνοικοῦντας, ἀλλ' εἴπερ τις ἐτύγχανεν αὐτῷ συνοικῶν, ὁ τούτου στόνος κακογείτων ἂν ἦν ἐκείνῳ.

Ἀντίτυπον] ἀμοιβαῖον.

l. 697. Οὐδ' ὃς τὰν θερμοτάταν] κατὰ συνεκδοχὴν τὸ ἔχων. οὐδὲ ἔχων τινὰ (φησὶν) ὃς τὴν θερμοτάτην καὶ ἀγρίαν αἱμάδα, ἤτοι τὴν τοῦ αἵματος ῥύσιν ἀναδιδομένην ἐκ τῶν ἑλκῶν τοῦ θηροδήκτου ποδὸς, ἠπίως φύλλοις κατευνάσειεν, εἴ τις ἐμπέσοι.

l. 698. Αἱμάδα κηκιομένων ἑλκέων] παρὰ τὸ μέλαν δι' ἀνεκήκιεν αἷμα.

l. 699. Φύλλοις κατευνάσειεν] ἀντὶ τοῦ, ὅλως οὐκ ἔχων οὐδὲ ὅς τις ἕλοι φύλλον αὐτῷ ἐκ τῆς γῆς, ἢ ὄρνιν τοξευθέντα ὑπὸ Φιλοκτήτου, καὶ πεσόντα εἰς τὴν γῆν.

l. 703. Εἰλυόμενος] κυλιόμενος, χερσὶν ἐπερειδόμενος, καὶ ἕλκων τὰ σκέλη ὡς νήπιος παῖς ἄνευ τιθήνης τετραποδηδὸν βαδίζων. ὡς αὐτὸς ἐν τοῖς ἀνωτέρω ἔφη, --πρὸς δὲ τοῦθ', ὅ μοι βάλος

Νῦν

Ναμφιαστεῖς ἄτρεκτος, αὐτὸς ἂν τάλας, Εἰλυόμενος δύσηνος ἐξέλκων πόδα. τὸ δὲ ἑξῆς, τότε γὰρ ἰωίκα ἐξανίησι δακέθυμος ἄτα, ἕρπει πόρον ἄλλοτ' ἄλλον εἰλυόμενος, ὥσπερ παῖς ἄνευ φίλης τιθήνης, ὅταν ἂν ὑπάρξῃ αὐτῷ εὐμάρεια πόρων, ἤγουν ὅπου εὐμαρὲς ἐστὶν αὐτῷ πορευθῆναι. οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον αἴρων. ἤγουν οὐ τροφὴν ἔχων ἐκ τῶν σπερμάτων τῆς γῆς· οὐκ ἄλλο ὃ νεμόμεθα ἄνδρες ἀλφησταί. τουτέστιν, οὐ Δημητριακὸν καρπὸν, οὐδέ τι τῆς συνήθους ἀνθρώπων διαίτης, ἀλλὰ διὰ τῶν πτηνῶν οἰστῶν, τὴν διὰ τῶν ὀρνέων τροφὴν προσφερόμενος.

l. 705. Οθεν εὐμάρεια] ὅπου εὐμαρὲς ἐστὶν αὐτῷ ἀπιέναι.

l. 706. Εξανίησιν] ἐνδίδωσι.

Δακέθυμος ἄτα] ἡ νόσος.

Τᾶς σπόρον] σῖτον.

Τῶν νεμόμεσθα] τουτέστιν ἀφ' ὧν τρεφόμεθα.

Pag. 507. l. 710. Πλὴν ἐξ ὠκυβόλων] πτερωτῶν τόξων. ἤτοι, πλὴν εἴ που τοῖς πτηνοῖς βέλεσιν ἐξ ὠκυβόλων τόξων ἀνύσῃ φορβάν.

l. 711. Πτηνῶν] τουτέστιν ὀρνέων. λείπει δὲ ἡ Απο, ἵν' ᾖ, ἀπὸ τῶν πτηνῶν.

l. 714. Οἰνοχύτου πώματος ἥσθη] τουτέστιν, οἴνου (περιφραστικῶς) ἐνεπλήσθη, ἢ οὐδὲ οἴνου μετείληφε. ἐπορεύετο δὲ ἀεὶ ἐπὶ στατὸν ὕδωρ. στατὸν δὲ ἢ τὸ ἐξ ὄμβρου συναγωγικὸς ὕδωρ, ἢ πηγαῖον, ἢ λιμναῖον· παρὰ τὸ ἠρεμεῖν, καὶ μὴ ὑπὸ ἀνέμων κινεῖσθαι.

l. 716. Προσενώμα] ἑαυτὸν ἐκίνει, ἤγουν ἐπορεύετο.

l. 719. Παιδὸς ὑπαντήσας] τυχὼν Νεοπτολέμου.

l. 720. Εὐδαίμων ἀνύσει] εὐδαιμονήσει. τὸ ἑξῆς, εὐδαίμων καὶ μέγας ἀνύσει.

l. 721. Εκείνων] λείπει, ἔσται, τῶν κακῶν δηλονότι.

l. 723. Πατρῴαν ἄγει πρὸς αὐλὰν] εἰς τὴν πατρίδα.

l. 724. Μηλιάδων νυμφᾶν] ἀντὶ τοῦ Τραχινίων. περὶ τὴν Τραχῖνα γὰρ οἱ Μηλιεῖς.

l. 725. Ιν' ὁ χάλκασπις] ὅπου ὁ ἐνθεωθεὶς ἀνὴρ πελάζει πᾶσι τοῖς θεοῖς. λέγει δὲ τὸν Ηρακλέα.

l. 726. Πλάθει πᾶσιν] ἐπιφαίνεται λαμπρὸς θείῳ πυρί.

l. 728. Ερπ' εἰ θέλεις. τί δή ποθ' ὧδ'] τοῦτο φησὶν ὁρῶν τῇ νόσῳ πληττόμενον, καὶ σιωπῶντα.

l. 729. Α ἆ ἆ ἆ] τὸ ἆ ἆ φησὶν ὁ Φιλοκτήτης. ἐνοχλεῖ γὰρ αὐτῷ ἡ συνήθης νόσος. θέλει δὲ κρατῆσαι ἑαυτοῦ. διὸ προσποιεῖται ὅταν λέγῃ, ἀλλ' ἄρτι κουφίζειν δοκῶ.

l. 733. Ιὼ θεοὶ] ὁ Φιλοκτήτης διὰ τὴν εἰς οἶκον ἀνακομιδὴν ἀπαγορεύει τὰς γιγνομένας ὀδύνας· καὶ λέγει, ἰὼ θεοὶ, ὡς χαίρων διὰ τὸν Νεοπτόλεμον. οὐ δύναται δὲ ἀληθῶς.

l. 736. Α ἆ ἆ] ἀνασκευάζει λοιπὸν τῆς νόσου πλεοναζούσης.

l. 738. Εν κακῷ δέ τῳ φαίνῃ κυρῶν] ἀντὶ τοῦ ἐοικὼς μοι ὀδυνᾶσθαι.

Pag. 509. l. 742. Βρύκομαι] ἐσθίομαι, καταναλίσκομαι.

l. 746. Απάμησον] θέρισον, κόψον.

l. 749. Ιυγὴν] ὀξεῖαν βοήν.

l. 750. Οἶδ' ὦ τέκνον] βούλεται μὲν εἰπεῖν τὴν ἐς οἶκον ἀνακομιδήν· ἐν νῷ λαμβάνων μήπως καταλείψῃ αὐτὸν ὁ Νεοπτόλεμος. οὐ λέγει δὲ διὰ τὸ πάθος.

l. 754. Τοὐπείσαγμα] ἡ ἐπείσοδος, ἡ προσθήκη.

l. 757. Ηκει γὰρ αὕτη διὰ χρόνου πλάνοις] ὁδοιπορίαις. ἥκει ἡ νόσος ἴσως ὅτε ἐκορέσθη πλανωμένη. ὡς ἐπὶ θηρὸς δὲ ποιεῖται τὸν λόγον.

l. 762. Η τοῦ μ' ἀρτίως] ἠξίωσας, ᾔτεις.

Εως ἀνῇ] ἐνδῷ.

l. 764. Σῶζ' αὐτὰ, καὶ φύλασσε] φύλασσε (φησὶν) αὐτὰ τὰ τόξα. ἅμα γὰρ τῷ πάθει τούτῳ ὕπνος μοι ἐπέρχεται, καὶ οὕτω παύομαι τῆς νόσου.

l. 766. Κοὐκ ἔστι λῆξαι.] οὐκ ἔστι τῆς ὀδύνης παύσασθαι πρότερον πρὶν κοιμηθῆναι.

l. 768. Μόλωσ' ἐκεῖνοι] οἱ περὶ Οδυσσέα.

l. 771. Πρόστροπον] ἱκέτην.

l. 774. Τὸν φθόνον δὲ πρόσκυσον] ἱλάσκου τὸν φθόνον, ὥστε αὐτὰ μὴ γενέσθαι σοι πολύπονα καὶ πολύστονα, ἤτοι πικρὰ καὶ πολλῶν αἴτια κακῶν.

l. 775. Μὴ δ' ὅπως] μηδ' ὁμοίως.

l. 776. Τῷ πρόσθεν ἐμοῦ κεκτημένῳ] τῷ Ηρακλεῖ δηλονότι.

l. 782. Κηκῖον αἷμα] ἀναρρέον, ἀναδιδόμενον. Ὅμηρος, --πολὺς δ' ἀνακήκιεν ἱδρώς.

Pag. 511. l. 787. Ω ξένε Κεφαλλὴν] ὦ Οδυσσεῦ.

l. 791. Τρέφοιτε] λάβοιτε ἀντὶ ἐμοῦ.

l. 796. Τῷ Λημνίῳ τῷδ' ἀνακαλουμένῳ πυρὶ] παρακαλοῦσι τι ἐν γὰρ Λήμνῳ ἐργαστήριον τοῦ Ηφαίστου, ἔνθα καὶ κρατῆρες πυρός.

l. 797. Κἀγώ τοι ποτὲ] ὅτι τὴν πυρὰν τοῦ Ηρακλέους ἀνῆψα.

l. 799. Τοῦτ' ἐπηξίωσα δρᾶν] τὸ κατακαῦσαι.

l. 801. Τί σιγᾷς] λαβὼν γὰρ τὰ τόξα ὁ Νεοπτόλεμος, ἐσιώπησεν, ἀπορῶν τί ἄρα ποιήσειεν.

l. 809. Σοῦ μολεῖν] πρὸς τὴν ὑπόθεσιν καὶ τοῦτό φησι, διὰ τὸ τὸν χρησμὸν εἶναι, μηδέτερον αὐτὴν μόνον πορθῆσαι τὸ Ιλιον.

l. 811. Εκεῖσε νῦν μ' ἐκεῖσε] διὰ τοῦτο νῦν ἔοικεν ὁ Φιλοκτήτης παραφρονεῖν ὑπὸ τῆς νόσου.

l. 813. Τί παραφρονεῖς] τί ἐκτὸς φρενῶν γέγονας;

l. 818. Τί δὴ πλέον φρονεῖς;] ἀντὶ τοῦ ὠφελιμώτερον ἐμοῦ.

l. 820. Τὸ γὰρ κακὸν τόδ'] εἰπὼν τάδε, ἐκοιμήθη.

l. 821. Τὸν ἄνδρ' ἔοικεν] ἔοικεν ὁ ὕπνος τὸν ἄνδρα ὡς εἰς μακρὰν καταλήψεσθαι.

l. 822. Υπτιάζεται] κλίνεται, ἢ ὀπίσω ῥίπτεται.

l. 824. Μελαινάτ' ἄκρου] νεῦρον ῥαγὲν ἀπὸ τοῦ ἄκρου ποδὸς, αἷμα ἀνίησιν.

Pag. 513. l. 822. Υπν' ὀδύνας ἀδαὴς, ὕπν' ἀλγέων] ἀπὸ κοινοῦ τὸ ἀδαής. ἤγουν ἄπειρε.

l. 823. Εὐαὴς ἡμῖν ἔλθοις] εὔπνους.

l. 824. Εὐαίων ὦ 'ναξ] εὐμενὴς, καλῶς ἄγων ἡμῖν τὸν αἰῶνα.

l. 825. Ομμασι δ' ἀντέχοις] ἐναντιωθεὶς τοῖς ὄμμασι τοῦ Φιλοκτήτου, καὶ μὴ ἐάσῃς αὐτὸν βλέψαι νῦν. ἢ κάτεχε τὸ ὁρατικὸν, ὅπερ νῦν ἥπλωται καὶ διαχεῖται τῇ τοῦ ὕπνου ἀχλύϊ. τὴν τοιαύτην δὲ αἴγλην, ἥ τις νῦν τέταται ἐν τοῖς ὄμμασιν, ἀντέχοις. λέγει δὲ τὸν ὕπνον, τὸν γινόμενον αὐτῷ παραχρῆμα· ὡς ὄντι αὐτῷ αἴγλη καὶ φῶς.

l. 828. Ορα γε ποῦ στάσῃ] τοῦ στήσῃ τῆς γνώμης. ποίας γνώμης κρατήσεις.

l. 830. Τἀντεῦθεν φροντίδος] τὰ μετὰ ταῦτα πῶς ὁρᾷς φροντίδος. ἀντὶ τοῦ ἐννοεῖς.

l. 832. Καιρός τοι πάντων] ἐπεὶ ἡ μετ' εὐκαιρίας σύνεσις, πολλῶν ἐπικράτειαν ἐν ἑτοίμῳ καρποῦται. ὁ δὲ νοῦς, ὁ καιρὸς ἐκεῖνος ὁ εὐκαίρως ἐπιτελούμενος, πολλοῖς εὐδοξίαν συνεχῶς παρέχει.

l. 833. Παρὰ πόδα] πλησίον.

Αρνυται] ἀποφέρεται.

l. 835. Τὴνδ' ἁλίως ἔχομεν] τὴν θήραν τὴν τόξων μάτην ἔχομεν, χωρὶς τοῦ Φιλοκτήτου πλέοντες.

l. 837. Κομπεῖν δ' ἔστ' ἀτελῆ] ἀτελῆ ἐννοεῖν δὲ καὶ ἐπαγγέλλεσθαι ἀτέλεστα ψευδόμενον, αἰσχρὸν ὄνειδος.

l. 841. Βαιάν μοι βαιὰν] μικρὰ καὶ ἥμερα μοι (φησὶ) διαλέγου, μήποτε ἀκούσῃ κοιμώμενος.

l. 843. Ως πάντων ἐν νόσῳ εὐδρακὴς] ἀντὶ τοῦ ἐλαφρὸς πρὸς τὸ ταχὺ ἀναβλέψαι καὶ ἐγερθῆναι. ἀντὶ τοῦ, ὁ ὕπνος ἐν τῇ νόσῳ ταχέως βλέπει. ἢ ὁ νοσῶν ταχέως ἐκ τοῦ ὕπνου ἀνίσταται. λείπει δὲ τὸ ὡς. βούλεται γὰρ λέγειν, ὥστε λύσαιεν ὁ ὕπνος. ὡς μὴ ἡγεῖσθαι τοῦτον ὕπνον ὑπάρχειν.

l. 845. Μάκιστον] μέγιστον, ἐπίσημον, σύμβολον, συμφοράν.

l. 847. Εξιδοῦ ὅ, τι πράξεις] θεώρησον, βλέψον. πλεονάζει γὰρ ἡ Εξ, καθάπερ καὶ ἐπὶ τούτων, ἀνεπίστασο, ἀντὶ τοῦ ἐπίστασο, καὶ ἐνδίδαξον, ἀντὶ τοῦ δίδαξον.

l. 848. Οἶδ' οἶδ' ὅν τιν' αὐδᾷ] γινώσκεις (φησὶν) ὃν αὐδῶμεν, ἀντὶ τοῦ αὐδῶ καὶ λέγω, ἤγουν τὸν Φιλοκτήτην διὰ μέσου τοῦτο εἴρηκε.

Εἰ ταυτὰν τούτῳ γνώμαν] εἰ τὴν αὐτὴν τῷ Οδυσσεῖ γνώμην ἔχεις, ὥστε αἱρεῖν, τὸν Φιλοκτήτην ἐντεῦθεν.

l. 850. Απορα πυκινοῖς] ἄπορόν ἐστι καὶ τοῖς συνετοῖς ἰδεῖν τὸ πρακτέον. λείπει οὖν ὁ Καὶ. γράφεται πυκνοῖσιν, ἵν' ᾖ, ἐν πράγμασι πυκνοῖς συνιδεῖν τὸ πρακτέον, ἄπορον.

l. 851. Οὖρός τοι] ἐπιτήδειος καιρός.

l. 852. Ανόμματος] ἐστέρηται τοῦ φωτός.

l. 853. Εκτέταται νύχιος] ἐπεὶ κατὰ νύκτα καθεύδουσι. παρὰ τοῦτο δὲ εἶπε τὴν ἡμέραν νύκτα ἄγων, ἀντὶ τοῦ κοιμώμενος. τὸ δὲ ἑξῆς, ἐκτέταται νύχιος, οὐ χερὸς, οὐ ποδὸς ἄρχων, ἀντὶ τοῦ, οὐδὲν τῶν μελῶν δυνάμενος κινεῖν, οὐδὲ βλέπειν.

l. 854. Ἀλεὴς ὕπνος ἐσθλὸς] ὁ ὕπνος ὁ ὑπὸ τὴν ἀλέαν καὶ τὴν θέρμην τοῦ ἡλίου, ἀγαθός. Ἢ, ἀλεὴς, θερμός. παρὰ τὴν ἀλέαν. καὶ Ὅμηρος. ἀλέην τε γένηται. τοῦτο δέ, καθ' ἑαυτόν φησιν, ὕπνος σύμφορος ἡμῖν ἐστι καὶ τοῖς πράγμασιν ἀγαθός.

Pag. 515. l. 859. Τὸ δ' ἁλώσιμον] τὸ δὲ ἀγρεύσιμον, ὅ ἐστι πέρας, ἀνάκειται τῇ ἐμῇ φροντίδι.

l. 860. Πόνος ὁ μὴ φοβῶν] ὁ πόνος ὁ μὴ φόβον ἔχων, κράτιστός ἐστιν, ὁ μὴ πρὸς κίνδυνον ὁρῶν. ἀντὶ τοῦ, μὴ φοβηθῶμεν. πάντα γὰρ ἀνύσομεν.

l. 864. Οἰκούρημα] φυλακὴ, παρουσία.

l. 865. Ἐξηύχησ' ἐγὼ] ἐνόμισα.

l. 871. Ἐν εὐχερεῖ] ἐν ἐλαχίστῳ.

l. 872. Καὶ δυσοσμίας γέμων] πεπληρωμένος σὺ τῆς ἐμῆς δυσοσμίας.

l. 873. Ἐπειδὴ τοῦδε τοῦ κακοῦ] ὅταν με ὁ κάματος ἀφῇ.

l. 876. Κόπος μ' ἀπαλλάξῃ] γράφεται κόπου ἀπαλλαχθῶμεν.

l. 887. Ὁ ὑπὸ νηῒ γὰρ] ἱκανὸς αὐτοῖς γενήσεται ὁ πόνος, ἐπὶ τῇ νηῒ συνεῖναί μοι, καὶ συναίειν ἐμοί.

l. 889. Ἀλλ' ἴσω τε καὐτὸς] ἵστασο καὶ ἀντιλαμβάνου.

l. 891. Παπαῖ. τί δῆτα] ὁ Νεοπτόλεμος ἀδημονεῖ, ἐννοῶν ὅτι μέλλει ἐξαπατᾶν τὸν Φιλοκτήτην, καὶ ἀπάγειν εἰς τὴν Ἴλιον, οὐκ ἐπὶ τὴν πατρίδα, καθάπερ ἐπηγγείλατο.

l. 895. Πλάθους κυρῶ] πάθους λέγει, τῆς ἀπορίας. ἀντὶ τοῦ ἀπορῶν τυγχάνω.

Pag. 517. l. 897. Μή μ' ἄγειν ναύτην ἔτι,] ἐρωτηματικῶς.

l. 898. Τὴν αὐτοῦ φύσιν] λείπειν ἢ εἰς, ἵν' ᾖ, εἰς τὴν ἑαυτοῦ φύσιν. ἐκείνην (φησὶ) λέγω δυσχέρειαν προσεῖναι τῷ ἀνδρὶ τῷ ξένον τι τῆς ἑαυτοῦ διανοίας διαπραττομένῳ.

l. 900. Τοῦ φυτεύσαντος] τοῦ Ἀχιλλέως.

l. 903. Ἐν οἷς γε δρᾷς] ἐν οἷς πράττεις, οὐκ ἔσῃ αἰσχρός· ἐν οἷς δὲ φωνεῖς, φοβοῦμαι.

l. 905. Κρύπτων θ' ἃ μὴ δεῖ] τὰ ἀληθῆ.

Καὶ λέγων αἴσχιστ' ἐπῶν] ἀπάτην.

l. 906. Εἰ μὴ κἀγὼ κακὸς] εἰ μὴ κακῶς καὶ ἀνοήτως βουλεύομαι, προδώσει με οὗτος ὁ ἀνήρ.

l. 908. Λιπὼν μὲν οὐκ ἔγωγε] οὐχ ὅτι καταλείψω σε ἄχθομαι, ἀλλ' ὅτι λυπηρῶς καὶ οὐ κατὰ τὴν σὴν γνώμην μέλλω σε ἄγειν. ἐπὶ Τροίαν δέ φησι.

l. 919. Πολλὴ κρατεῖ] πολλὴ γάρ ἐστιν ἀνάγκη ταῦτα διαπράξασθαι.

l. 923. Τῶν γὰρ ἐν τέλει] τῶν κρατούντων γὰρ φροντίζω μᾶλλον ἢ σοῦ. διὸ οὐ δίδωμι σοι ταῦτα.

l. 925. Ὦ πῦρ σὺ] παρὰ τὸ ὄνομα τοῦτο λέγει· Πύρρος γὰρ ἐκαλεῖτο ὁ πρότερον Νεοπτόλεμος.

l. 933. Ἀλλ' ὡς μεθήσων] οὕτω μοι πάλιν προσείχει ἀναιδῶς, ὡς μὴ ἐάσων καὶ δώσων τὰ βέλη.

l. 936. Ὑμῖν τάδ'· οὐ γὰρ ἄλλον] ὑμῖν ταῦτα λέγω. οὐ γὰρ οἶδα πρὸς ὅν τινα μᾶλλον ἀποδύρωμαι.

Pag. 519. l. 942. Ἐναίρων νεκρὸν] σφάττων νεκρὸν, κατὰ τὴν παροιμίαν.

l. 949. Πρός σε ψιλὸς] εἴσειμι (φησὶν) εἰς σὲ, τόξων γυμνὸς, τὴν διὰ τῶν τόξων μοι γιγνομένην οὐκ ἔχων τροφήν. ἄνευ τροφῆς οὖν ἀντὶ τοῦ ἄνευ τόξων.

l. 950. Ἀλλ' αὖ θανοῦμαι] γράφεται, ἀλλ' αὐανοῦμαι. ὅ ἐστι, ξηρανθήσομαι.

l. 952. Τόξοις ἐναίρων] ἐγὼ ὁ εἰωθὼς ἐσθίειν τὰ θηρία, βρωθήσομαι νῦν ὑπ' αὐτῶν.

l. 955. Φόνου δὲ ῥύσιον] ἐνέχυρον, ἀμοιβὴν ἐκτίσω. Ὅμηρος, ῥύσι' ἐλαυνόμενος.

l. 958. Μετοίσεις] μετανοήσεις.

l. 960. Προσχωρεῖν] πεισθῆναι.

l. 968. Νῦν δ' ἄλλοισι δοὺς] νῦν δὲ ἄλλοις δοὺς τὰ κακὰ οἷς εἰκὸς, ἔκπλει τὰ ἐμὰ ὅπλα ἐμοὶ δούς.

l. 974. Πέπραγμαι] πεπραγματεύμαι.

Pag. 521. l. 982. Τὸ παγκρατὲς σέλας Ἡφαιστότευκτον] τὸ Ἡφαίστειον πῦρ. ἐν γὰρ τῇ Λήμνῳ τὰ τοῦ Ἡφαίστου ἐργαστήρια, ἔνθα καὶ κρατῆρές εἰσι πυρός.

l. 984. Ἐκ τῶν σῶν] λείπει κόλπων.

l. 993. Οὐκ. ἀλλ' ὁμοίως] ἀντὶ τοῦ, οὐ δοῦλόν σε ἔφυσεν, ἀλλ' ἄριστον· καὶ μετὰ ἀρίστων τὴν Τροίαν δεῖ σε πορθῆσαι. τοῦτο δὲ προτρεπτικόν.

l. 999. Πέτρα πέτρας] πρὸς τῇ πέτρᾳ ἐναιμάξω τὴν κεφαλήν μου, ἄνωθεν πεσὼν ἀπὸ πέτρας.

l. 1000. Μὴ 'πὶ τῷδ' ἔσω] μὴ ἔστω ἐπὶ τῷ Φιλοκτήτῃ ἡ ἐξουσία τοῦ κατακρημνίζεσθαι.

l. 1001. Ὠ χεῖρες] δεδεμένος ταῦτά φησι.

l. 1002. Συνθηρώμεναι] ἁλοῦσαι καὶ συλλαμβανόμεναι.

l. 1003. Ω μηδὲν ὑγιὲς] ὦ δόλιε Ὀδυσσεῦ.

l. 1011. Αφυῆ τ' ὄντα] ἄκακον ἀπὸ φύσεως.

l. 1015. Εν ζῶσι νεκρὸν] ἤτοι ὅτι κοιμώμενον αὐτὸν εἴασεν, ἢ διὰ τὸ πάθος, νεκρὸν λέγει.

l. 1022. Κλοπῇ τε κἀνάγκῃ] ἀπάτῃ. καὶ Ὅμηρος, Κλέπτε νόῳ.

Ζυγεὶς] ὑποταγείς. ὁ δὲ νοῦς. καίτοι σὺ μὲν ἀναγκασθεὶς στρατεύῃ. προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι, Παλαμήδης ἤλεγξεν.

Pag. 523. l. 1025. Ως σὺ φὴς] οἱ Ἀτρεῖδαί με ἐξέβαλον, ὡς σὺ λέγεις.

Κεῖνοι δὲ, σέ.] οἱ δὲ σὲ φασιν. σὺ μὲν (φησὶν) ἐκείνους αἰτιᾷ, ὑπὲρ τοῦ ῥιφθῆναι ἐμέ; ἐκεῖνοι δέ σε λέγουσιν αἴτιον.

l. 1030. Πλεύσαντος, αἴθειν ἱερὰ] τοῦτο γὰρ προφασισαμένου Ὀδυσσέως, ὅτι οὐκ ἔστι θῦσαι τούτου ἐπιστενάζοντος, ἐξέθηκαν αὐτόν.

l. 1033. Ει δίκης μέλει] εἰ φροντίς ἐστι τῆς δίκης τοῖς θεοῖς.

l. 1037. Θεοί τ' ἐπόψιοι] οἱ ἐφορῶντές με δυστυχοῦντα.

l. 1043. Ουχ ὑπείκουσαν] οὐκ ἀναδυομένην ἐν τοῖς κακοῖς.

l. 1045. Ει μοι παρείκοι] εἰ καιρὸς ἐπιτρέψειέ μοι νῦν δὴ σιωπῶ. οἶδα γὰρ τοῦτο ποιεῖν ὅπου δεῖ. νῦν γὰρ σιωπᾶν δεῖ.

l. 1047. Κρίσις] δοκιμασία, ἐξέτασις.

l. 1049. Χρήζων ἔφυν] γράφεται κρείσσων.

l. 1055. Εγὼ θ', ὃς οἶμαι] οὐ μόνον ὁ Τεῦκρός ἐστι τοξότης, ἀλλὰ κἀγὼ ὑπολαμβάνω ἐμαυτὸν τούτων ἔμπειρον εἶναι οὐχ ἧττον σοῦ. καὶ Ὅμηρος, Εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι.

l. 1056. Τούτων κρατύνειν] τῶν τόξων.

l. 1057. Τί δῆτα σοῦ δεῖ] ἀντὶ τοῦ τίς σοῦ χρεία.

Χαῖρε τὴν Λῆμνον πατῶν] ἤγουν, τῇ διατριβῇ τῆς Λήμνου.

l. 1063. Προσφθεγκτὸς] προσφωνηθῆναι ἄξιος.

l. 1066. Η καὶ πρὸς ὑμῶν] ἄρα καὶ ὑμεῖς μιμήσεσθε τούτους, καὶ ἀνηλεεῖς γενήσεσθε εἰς ἐμέ.

Pag. 525. l. 1070. Ακούσομαι μὲν] ἀκούσομαι πρὸς τοῦδε, ὡς εἰμὶ οἴκτου μεστός. ἤγουν, καταγνωσθήσομαι ὡς ἥττων οἴκτου.

l. 1072. Τά τ' ἐκ νεὼς] τὰ ἐπὶ τῆς νεώς.

l. 1073. Στείλωσι] κοσμήσωσιν.

l. 1074. Εν τούτῳ] ἐν τοσούτῳ.

l. 1076. Ταχεῖς] γίγνεσθε δηλονότι.

l. 1078. Ω κοίλας πέτρας γύαλον] ὦ σπήλαιον θερμὸν διὰ τὸν ἥλιον· ἢ διὰ τὸ ψῦχος παγετῶδες. Η οὕτως, ἐν θέρει ψυχρὸν, ἐν δὲ χειμῶνι θερμόν. ἀντὶ τοῦ, ἐπιτήδειον εἰς χειμῶνα καὶ θέρος. γύαλον δὲ, ἀντὶ τοῦ κεῦθος. κυρίως δὲ γύαλα, τὰ κοῖλα λέγεται· ἀλλ' ἐὰν οὕτω μεταφράσῃς, ἀπίθανον ἔσται τὸ κοῖλον κοίλωμα. διὸ δὴ τὸ κεῦθος ἡμεῖς ἀντὶ τοῦ ἄλσος μεταφράζομεν.

l. 1081. Ἀλλά μοι καὶ θνήσκοντι συνοίσῃ] ἀντὶ τοῦ, καὶ ἀπολλυμένῳ μοι σύμφορον ἔσῃ καὶ ὠφέλιμον, καὶ δέξῃ με ἀποθανόντα· Η οὕτω, σὺν ἐμοὶ ἔσῃ καὶ ὄψει με ἀποθανόντα. ὑπερβολικῶς, ἤγουν, καὶ μετὰ θάνατον συνήθως ἔσῃ μοι, καὶ οὐ καταλείψεις με.

l. 1086. Τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ] τί ἄρα βόσιμόν μοι καθ' ἡμέραν ἔσται; οὐ γὰρ ἐπικρατῶ ἐμαυτόν. ἢ, οὐ γὰρ ἔτι ἔχω ἐλπίδα.

l. 1088. Σιτονόμου] ἀντὶ τοῦ σιτονέμοντος, ἤτοι τροφέως.

Πόθεν ἐλπίδος;] ἀπὸ ποίας ἐλπίδος;

l. 1089. Ειθ' αἰθέρος ἄνω πτωκάδες] τὸ ἑξῆς, εἴθε αἰθέρος ἄνω ἐλάσειμε ὀξύτονοι δρομάδες διὰ πνεύματος. Τινὲς δὲ οὕτω, μετὰ ὀξυτόνου πνεύματος ἐλάσει με. ὀξύτονον δὲ λέγει πνεῦμα, ἀπὸ τοῦ ὀξυτόνως βοᾶν. γράφεται δρομάδες, αἱ καταιγίδες. τινὲς δὲ γράφουσι πτωχάδες, ἵνα τὰς Ἅρπυίας σημαίνωσι, διὰ τὸ ἀεὶ πεινῆν.

l. 1090. Πτωκάδες] γράφεται πτωκάδες. προσταίδες. πτωχάδες. δρομάδες. αἱ Ἅρπυιαι ἐπιθετικῶς, διὰ τὸ ἐπεμπίπτειν, ἢ διὰ τὴν φωνήν. εἰ δὲ γράφεται πτωχάδες, αἱ ἀεὶ πεινῶσαι· τοῦτο γὰρ πάσχουσιν οἱ πτωχοί.

l. 1093. Σύ τοι σύ τοι κατηξίωσας] σὺ σαυτῷ περιεποίησας τὴν νόσον. σὺ σαυτῷ τούτων πρόξενος καὶ αἴτιος γέγονας ὦ δυστυχέστατε· σὺ σαυτῷ κατηξίωσας, καὶ οὐκ ἀπό τινος ταύτῃ τῇ τύχῃ ἐνέχῃ, ἢ συνέχῃ, ἀπὸ μείζονος σοῦ. διὸ μηδένα ἄλλον αἰτιῶ, ἀλλὰ σαυτόν.

ἐξῆν

ἐξῆν γάρ σοι ἀκολουθήσαντι τὰ κακὰ διαφυγεῖν.

l. 1097. Εὖτέ γε παρὸν φρονῆσαι] ὅτε γε παρόντος σοι φρονῆσαι τὸ λυσιτελὲς ἀπὸ λῴονος δαίμονος, τὸ κάκιον εἵλου, τὸ μὴ ἐλθεῖν. λῴονος δὲ δαίμονος λέγει, τοῦ λυσιτελεστέρου καὶ συμφόρου.

l. 1101. Λωβατὸς] ἐπίπονος.

Ος ἤδη μετ' οὐδενὸς] τὸ ἑξῆς, ὃς ἤδη ἐνθάδε ὀλοῦμαι μετ' οὐδενὸς ὕστερον ἀνδρὸς εἰσοπίσω τάλας ναίων. ὁ δὲ νοῦς, ἄρα ἐγὼ δύστηνος ἐνταῦθα ἀπολοῦμαι ἀνθρώπων κεχωρισμένος.

Pag. 527. l. 1104. Ου φορβὰν ἔτι προσφέρων] ἀντὶ τοῦ προσφερόμενος. ἐνίοτε δὲ ἔμπαλιν φησὶ διακονούμενος, ἀντὶ τοῦ διακονῶν· καὶ σιτοδοποιούμενος ἀντὶ τοῦ σιτοδοποιῶν.

l. 1107. Ἀλλά μοι ἄσκοπα] ἀπροσδόκητα, δόλια, ἃ οὐκ ἔστι προσκέψασθαι. γράφεται δὲ καὶ ἄψοφα, ἀπὸ τοῦ μὴ ψοφεῖν· ἀντὶ τοῦ λαθραῖα, ἀπὸ μεταφορᾶς τῶν κολυμβώντων. κρυπτὰ δὲ ἔπη φησὶ, τὰ τοῦ Ὀδυσσέως. Εἰς τὸ αὐτό. ἀλλά μοι τὰ ἀφανῆ καὶ κρυπτὰ δολίας φρενὸς ὑπέδυ με. τὸ δὲ ἑξῆς, ἀλλά μοι ὑπέδυ ἄσκοπα κρυπτά τε ἔπη δολερᾶς φρενός.

l. 1109. Ιδοίμαν δέ νιν] ὡς κατευχόμενος φησί. γένοιτο δή μοι ἰδεῖν τὸν παραίτιον τούτων ὧν πάσχω, τὸν ἴσον χρόνον δυστυχῆσαι, τῆς ἐμῆς λαχόντα ἀνίας καὶ λύπης. ἤτοι τῆς νόσου. δεῖ δὲ καὶ κατὰ πληθυντικὸν ἀκούεσθαι, ἐμὰς λαχόντ' ἀνίας. ἀλλὰ τῶν ποιητικωτέρας ἡ τοιαύτη φράσις.

l. 1112. Πότμος σε δαιμόνων] λείπει ἡ ἐξ. ἐκ θεῶν γὰρ τύχη τις τοῦτό σοι κεκλήρωκε, καὶ οὐχ ὑπ' ἐμοῦ δεδόλωσαι. κατὰ κοινοῦ δὲ τὸ ἔσχε. τὸ δὲ ἑξῆς, πότμος σε δαιμόνων τάδ' ἔσχεν, οὐδὲ σε δόλος ἔσχεν ὑπὸ χειρὸς ἐμῆς. ὁ δὲ νοῦς, παῦσαι τῶν καταρῶν τούτων ὦ Φιλοκτῆτα. μὴ διὰ τούτων κτήσῃ ἡμᾶς ἐχθρούς. θεὸς γὰρ τῆς δυστυχίας ταύτης παραίτιος, οὐχ ἡμεῖς γεγόναμεν, οὔτε δόλῳ ὑπεισελθόντες, οὔτε ἄλλό τι πραγματευσάμενοι.

l. 1116. Ἀρὰν ἀρὰν ἐπ' ἄλλοις] δεῖ ἀκούεσθαι ἐπὶ τῶν μάτην καταρωμένων. σαυτῷ γὰρ ἐγένου τούτων αἴτιος, ἰδικῶς οὖν καταρῶ τοῖς ἄλλοις καὶ μὴ κοινῶς καὶ ἡμῖν.

l. 1117. Καὶ γὰρ ἐμοὶ τοῦτο μέλει] μέλει μοι τὸ παραινέσαι σοι ἵνα μὴ ἀπώσῃ τὴν φιλίαν. οὐ δὲ, οὐ θέλω σε ἐχθρὸν ἡμῖν καταστῆσαι. καὶ διὰ τοῦτο παραινῶ μὴ ἀπώσασθαι τὴν φιλίαν ἡμῶν.

l. 1127. Ἔχεις τὸν Ἡράκλειον ἆθλον] ἀντὶ τοῦ ἐμὲ τὸν τοῦ Ἡρακλέους διάδοχον, ἢ ἐμὲ τὸν ἐπὶ τῷ Ἡρακλεῖ ἆθλον ποιήσαντα τὴν πυρὰν, καὶ ὑφάψαντα αὐτήν.

Pag. 529. l. 1136. Ἀνδρός τοι τὸ μὲν εὖ] ἀγαθοῦ μὲν ἀνδρός ἐστι, τὸ ἀληθὲς ἐν καιρῷ λέγειν, (δίκαιον γὰρ νῦν φησὶ τὸ ἀληθές· εὖ δὲ, τὸ ἐν καιρῷ.) ὀφείλει δὲ καὶ ὁ ἀκούων μὴ ἐκφαυλίζειν τὰ λεγόμενα. τοῦτο δέ φησιν ὅτι ὁ μὲν Νεοπτόλεμος τὸ ἀληθὲς εἶπεν, ὁ δὲ Φιλοκτήτης ἐξηυτέλισεν. Εἰς τὸ αὐτό. ἀγαθοῦ μὲν ἀνδρός ἐστι τὸ δίκαιον εἰπεῖν· εἰπόντα δὲ, μὴ φθονεῖσθαι. φησὶ δὲ ὅτι οὐκ ἔδει σε τῷ Νεοπτολέμῳ φθονεῖν, εἰπόντι τὰ δίκαια. κατ' ἐκείνου δὲ τὸ δίκαιον, οὕτως, ἀγαθοῦ ἀνδρός ἐστι, τὸ λέγειν τὸ δίκαιον. δίκαιον δὲ καὶ σὲ ὁμολογεῖν, ὅ, τι εὖ πέπρακται. ἀκούοντα δὲ τοῦτο. μὴ φθονερόν τι καὶ ὀδυνηρὸν ἐπιφθέγξασθαι.

l. 1139. Εἷς ἀπὸ πολλῶν] εἷς ἀπὸ πολλῶν συμμάχων.

l. 1140. Τοῦ δ' ἐφημοσύνᾳ] τὸ ἑξῆς, τοῦ δ' ἐφημοσύνᾳ ἤνυσε κοινὰν ἐς φίλους ἀρωγάν.

l. 1143. Ω πταναὶ θῆραι] ἀντὶ τοῦ, ὦ πτηνῶν ἄγραι. ἀγρεύει γὰρ καὶ πτηνά.

l. 1146. Φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων] ἀντὶ τοῦ οὐκέτι φεύξεσθέ με. οὐκέτι μετὰ φυγῆς καὶ φόβου προσαπελάσετέ μου.

l. 1150. Ἀλλ' ἀνέδην ὅδε χῶρος] ἀνειμένος καὶ ἡπλωμένος. ἡ ἐπ' ἐξουσίας ὁ τόπος ὑμῖν ἐλευθέρως ἀνεῖται. ἀντὶ τοῦ, ἄδεια ὑπὸ τῶν θηρῶν ὁ τόπος καταχεθήσεται.

l. 1151. Φοβητὸς] φόβον ἐμποιῶν.

l. 1154. Σαρκὸς αἰόλας] ποικίλης, διὰ τὰ τραύματα.

l. 1157. Τίς ὧδ' ἐν αὔραις] τίς τρέφεται ἐξ ἀνέμων, ἢ τίς ἐν τοῖς ἀνέμοις ἀναστρέφεται καὶ διάγει, μηδενὸς τῶν ἐκ γῆς τροφίμων εὐπορῶν;

l. 1158. Κρατύνων] ἐγκρατὴς ὢν, εὐπορῶν.

l. 1160. Εἴ τι σέβῃ ξένον] ἑαυτὸν φησιν ὁ χορός· ὅτι ἐμοὶ τῷ ξένῳ μετ' εὐνοίας πρόσελθε. ἀντὶ τοῦ, φίλος ἡμῖν γενοῦ.

l. 1162. Ἀλλὰ γνῶθ', εὖ γνῶθι]

οὕτω

οὕτω τινὲς σίζουσιν, ἀλλὰ γνῶθ', ἀντὶ γνῶθι. ἔστι δὲ, τὰ ὄντα σοι μάνθανε τὰ περὶ τῆς νόσου. ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ δέ· γνῶθι δέ. ἵν' ᾖ οὕτω, πρὸς θεῶν, εἴ τι σέβῃ ξένον πελάταν. πέλασον πάσῃ εὐνοίᾳ, γνῶθι ὅτι κῆρα τήνδ' ἀποφυγεῖν σοι πάρεστιν, εἰ πεισθείης ἡμῖν. ὅ ἐστι τὴν νόσον. εἶπε δὲ, ταῦτα λεγόντων, ζωύσιν ὅτι παραινοῦσιν αὐτῷ εἰς Ἴλιον ἐλθεῖν. πρὸς ὃ ἀναγκάζει τὸ Πάλιν πάλιν. πάλιν τῶν τ' Ἰλίου με τόπων ἀνέμνησας, ἢ τῶν οἰκείων κακῶν. ὑγιῶς δὲ ἔχει, παρατιθεμένης τῆς ἐν προθέσεως.

Pag. 531. l. 1169. Ὦ λῷστε τῶν πρὶν ἐντόπων] ὦ βέλτιστε τῶν πλησιασάντων μοι πρὶν, ἢ τῶν περὶ Ὀδυσσέα.

l. 1172. Εἰ σὺ τὰν ἐμοὶ] λείπει ἡ εἰς· ἵν' ᾖ, εἰς τὴν μισουμένην μοι.

l. 1176. Φίλα μοι φίλα] ἐμοὶ βουλομένῳ ἡδέως ἀποπλεῦσαι φίλα ἐστὶν ἃ καλεύεις, καὶ ἡδέα.

l. 1178. Ἴωμεν ναὸς ἵν' ἡμῖν] ὅπου ἡμῖν ἀφῖκται ἡ ναῦς. ἐπὶ τῆς ναὸς, ἀντὶ τοῦ εἰς τὴν ναῦν.

l. 1169. Μὴ πρὸς ἀραίου] ἀρὰ ἡ εὐχή. ἀραῖος οὖν ᾧ πάντες προσευχόμεθα, ἢ ὃν ἐπικαλούμεθα ἀρώμενοι. ὥσπερ δὲ ἱκέσιος λέγεται τοῦ τοὺς ἱκέτας ἐποπτεύοντος, οὕτως ἀραίου τοῦ τοὺς ἀρωμένους ἐπισκοποῦντος.

Ἔλθῃς] ἀντὶ τοῦ ἀπέλθῃς.

l. 1186. Τὸ μετόπιν] μετὰ ταῦτα, μετόπισθεν.

l. 1187. Ἐπήλυδες] αὐτόματοι.

l. 1188. Τί ῥέξοντες] τί πράξοντες ἐναντίᾳ γνώμῃ ἑτέραν παρὰ τὸ πρότερον.

l. 1101. Χειμερίῳ λύπᾳ] ταραχώδει πάθει, μεταφορικῶς. οὐκ ἔστι (φησὶ) μεμπτέον τῷ δυστυχοῦντι πάντα παραφθέγγεσθαι.

l. 1193. Ἴσθι τόδ' ἔμπεδον] τοῦτο γίγνωσκε, ὅτι οὐκ ἔρχομαι, οὐδ' εἰ αὐτός ὁ Ζεὺς πυρφόρος μετέλθοι με ταῖς βρονταῖς. τουτέστιν, οὐδ' εἰ κεραυνοῖ με ὁ Ζεὺς ἂν μὴ ἔλθω. γράφεται καὶ αὐγαῖς, ταῖς βροντῶν αὐγαῖς ταῖς κεραυνίαις. ἔστι μὲν λαβεῖν καὶ βρονταῖς, ἀντὶ τοῦ βροντήσας. καθάπερ καὶ ἐν ὑδροφόροις τὸν Διόνυσον εἶπε βακχᾶν, ἀντὶ τοῦ βακχεύειν.

l. 1201. Ἢ γένυν, ἢ βέλεών τι] ἀντὶ τοῦ πέλεκυν, ἢ γένυσιν, ἢ ἀξίνην.

l. 1202. Παλάμαν] πρᾶξιν. ὅθεν καὶ παλαμᾶσθαι. ἢ τέχνην.

l. 1204. Φονᾷ] φονᾷ, θανατιᾷ, θανάτου ἐπιθυμεῖ.

Pag. 533. l. 1209. Ὅς γε σὰν λιπὼν] ὅς τις ποτὲ καταλιπών σε, ἐπὶ τῷ βοηθεῖν τοῖς Ἕλλησιν, οὐκ ἔτι οὐδέν εἰμι.

Ἱερὰν λιβάδα] τὴν τοῦ ἐπιχωρίου ποταμοῦ.

l. 1211. Ἐγὼ μὲν ἤδη] ἐντεῦθεν διπλοῦν ἐστι τὸ ἐπεισόδιον.

l. 1212. Στείχων ἂν ἦν σοι] ἐπορευόμην ἄν. τὸ δὲ σοὶ, παρέλκει.

l. 1215. Ἣν τιν' αὖ] ἀντὶ τοῦ εἰς ποῖον τόπον ἀπέρχῃ οὕτω σπουδαίως;

Παλίντροπος] ἐξ ὑποστροφῆς. τοῦτο δὲ ὁ Νεοπτόλεμος ἀποδοῦναι βουλόμενος τὰ τόξα τῷ Φιλοκτήτῃ, ἐπιπλήσσεται ὑπὸ τοῦ Ὀδυσσέως.

l. 1231. Ἀναπολεῖν μ' ἔπη] τὰ αὐτὰ λέγειν. ἀπὸ τῶν δεύτερον ἀναπολούντων τὴν ἠροτριασμένην γῆν.

Pag. 535. l. 1281. Δολούμεθα] ἀπατώμεθα.

l. 1286. Ἐγὼ δ' ἀπαυδῶ] μαρτύρομαι τοὺς θεοὺς ὅτι ὃ ποιῶ εἰς χάριν καὶ σωτηρίαν τῶν Ἀτρειδῶν ἐστι.

l. 1291. Ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ] οὐκ εἶπε τὸ θέλῃ, ἵνα μὴ δόξῃ συμψηφίσασθαι αὐτοῦ τῷ βουλήματι.

Pag. 537. l. 1298. Ἀλλ' οὐκ τοσοῦτος] ἀλλ' οὐ γενναῖον ἄνδρα φονεύσω. πάντες γὰρ οἱ κήρυκες τῶν Ἑλλήνων, ἀσθενεῖς εἰσι, καὶ ἡ ἀνδρεία αὐτῶν, ἄχρι τοῦ λέγειν ἐστίν.

l. 1310. Ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν] πᾶς ἄνθρωπος ἐκ θεοῦ πάσχων, ἀνέγκλητός ἐστιν. ὅσοι δὲ διὰ τὴν ἰδίαν προαίρεσιν νοσοῦσιν, ὥσπερ σὺ, οὐδὲ ἐλέους ἄξιοι τυγχάνουσι.

l. 1319. Σὺ γὰρ νοσεῖς] σὺ γὰρ Φιλοκτήτη, νοσεῖς ἐκ θείας προνοίας. πλησίον ἀπελθὼν τοῦ ὄφεως τοῦ φυλάττοντος τὸ ἱερὸν τῆς Ἀθηνᾶς· καὶ οὐκ ἔστι σοι ἴασις εἰ μὴ ὑπὸ τῶν Ἀσκληπιαδῶν. ἢ πλησίον ἐλθὼν τοῦ φύλακος τῆς νήσου τῆς Χρύσης, ὄφεως.

l. 1324. Ταύτῃ μὲν αἴρῃ] ταύτῃ μὲν ἀνατέλλῃ, ταύτῃ δὲ δύῃ· ὅ ἐστι διὰ παντός.

l. 1347. Πῶς ὦ τὰ πάντ' ἰδόντες] τὰ περὶ ἐμὲ πάθη εἰδότες ἐνιαυτοὶ τοῦ αἰῶνος, χρόνοι.

l. 1351. Οὐ γάρ μ' ἔτ' ἄλγος] οὐ λυπεῖ με (φησὶ) τὰ φθάσαντα, ἀλλὰ διὰ τὰ μέλλοντα δυσφορῶ. οἱ γὰρ ἔχοντες φαύλην τὴν γνώμην, ἀκόλουθα τῷ

λογισμῷ

λογισμοῦ διαφθείρονται.

l. 1355. Θαυμάσας ἔχω] θαυμάζω σου καὶ καταγιγνώσκω σου.

l. 1369. Θεοῖς τε πιστεύσαντα] διὰ τὴν Ελένου μαντείαν.

l. 1373. Εμπυον] δίυγρον· διὰ τὸ ἕλκος πύου πεπληρωμένην, ὃ ἐστι σήψεως. ὁ δὲ νοῦς, ἀλλ' οὐδὲ πρὸς ἐκείνους ἄπει, ἀλλὰ καὶ τῶν θεραπευσόντων σε.

Pag. 541. l. 1383. Ω τᾶν· διδάσκου] μάνθανε (φησὶ) μὴ ἐν τοῖς κακοῖς ἐπαίρεσθαι.

l. 1397. Αλις γάρ μοι τεθρήνηται λόγοις] γράφεται γόοις. πολλὰ διὰ Τροίαν πέπονθα (φησίν.)

l. 1398. Εἰ δοκεῖ, στείχωμεν] ἐπὶ τὴν πατρίδα. ἀπατᾷ δὲ αὐτὸν καὶ θέλει ἄξαι εἰς τὴν Τροίαν.

l. 1399. Αἰτίαν δὲ πῶς] πῶς (φησὶν) ἀναίτιος γένωμαι τοῖς Ελλησι;

l. 1400. Χώραν τὴν ἐμὴν] τὴν Σκῦρον.

l. 1407. Αθ'ὥστειν τ' ὄψιν] ὑπολάμβανε (φησὶν) ὁρᾶν τὸν Ηρακλέα, καὶ ἀκούειν τῆς φωνῆς αὐτοῦ.

Pag. 543. l. 1427. Τόξων ἐμῶν μνημεῖα] ἀντὶ τοῦ, ἐκ τῶν ἀριστείων κἀμὲ τίμησον.

Προς πυρὰν ἐμὴν] τὴν ἐπὶ τῇ Οἴτῃ.

l. 1436. Εὐσεβεῖν τὰ πρὸς θεοὺς] αἰνίττεται τοῦτο εἰς Νεοπτόλεμον. ἐν γὰρ τῇ τοῦ Ιλίου ἁλώσει ἀπέκτεινε τὸν Πρίαμον, προσφυγόντα τῷ βωμῷ τοῦ Ερκείου Διός.

l. 1443. Τίθεμαι] συγκατατίθεμαι.

l. 1447. Φέρε νῦν στείχων χώραν καλέσω] ἀσπάσομαι ἀναχωρῶν.

l. 1448. Ξύμφρουρον ἐμοὶ] τὸ φρουρῆσάν με καὶ φυλάξαν.

l. 1450. Κτύπος ἄρσην] ἰσχυρὸς, εὔτονος.

Pag. 545. l. 1454. Ερμαῖον ὄρος] δύναται πάντα τὰ ὄρη Ερμαῖα καλεῖσθαι, ὅτι νόμιος ὁ θεὸς, καὶ ὄρειος ὁ Ερμῆς. ἔστι δὲ καὶ Ερμαιον, οὕτως ἐν Λήμνῳ καλούμενον ὄρος. ἐμοὶ δὲ φησὶ, πολλὰ βοῶντι, καὶ τὸ Ερμαιον ὄρος ἀντεφθέγξατο.

l. 1455. Αντίτυπον] ἀμοιβαῖον, ἀντίμιμον.

l. 1456. Νῦν δ' ὦ κρῆναι, γλυκιόν τε ποτὸν] τινὲς Λύκιον ποτὸν γράφουσιν. ἔστι δὲ ἡ οὕτω καλουμένη κρήνη ἐν Λήμνῳ, Λυκίου Απόλλωνος. ἢ τὸ ἐν ἐρημίᾳ ὑπὸ λύκων πινόμενον.

l. 1460. Δόξης οὔ ποτε] τῆς οἰήσεως. ἀντὶ τοῦ, οὐδέποτε τοῦτο οἰηθέντες, οὐδὲ ἐλπίσαντες τελευτῆσαι, ὥστε ἀπελθεῖν εἰς Τροίαν.

l. 1462. Γνώμη τε φίλων] τοῦ Ηρακλέους, ἢ τοῦ Νεοπτολέμου.

l. 1463. Δαίμων, ὃς] Δαίμονα τινὲς τὸν ἡρακλέα νοοῦσιν· ἔνιοι τὴν τύχην.

ΣΧΟΛΙΑ

ΣΧΟΛΙΑ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ ΕΙΣ ζ ΣΟΦΟΚΛΕΟΥΣ ΤΡΑΓΩΔΙΑΣ.

Εἰς τὸν ΑΙΑΝΤΑ ΜΑΣΤΙΓΟΦΟΡΟΝ.

Pag. 1. l. 2. Πεῖράν τιν'] Πειραθῆναι τῶν ἐχθρῶν, καὶ ἃν κατὰ σοῦ μηχανῶνται, προλαβεῖν ζητοῦντα, τὸ πρὶν ἢ παθεῖν μαθεῖν, καὶ φυλάξασθαι. ἢ οὕτως, ἀρπάζεται, καὶ συντόμως λαβεῖν πεῖραν τῶν ἐχθρῶν, τί κατὰ σοῦ μηχανῶνται.

l. 4. Τάξιν ἐσχάτ.] ὅτι ἐν μὲν τῷ ἑνὶ μέρει Ἀχιλλεὺς ἦν τοῦ στρατοῦ· ἐν δὲ τῷ ἄλλῳ, Αἴας οὑτοσὶ, ἵνα ὡς κρείττους τῶν ἄλλων τὴν ἰσχὺν φύλακες ὦσιν. ἐν δὲ τῷ μεταξὺ Ἀγαμέμνων καὶ Μενέλαος καὶ οἱ λοιποὶ στρατηγοί.

¶ Σχηματολογία. l. 1. Ἀεὶ μὲν] τὸ προοίμιον προσφωνητικὸν, καὶ ἐνταῦθα πρότασις.

¶ l. 3. Καὶ νῦν] ἐνταῦθα ἡ κατασκευὴ τοῦ προοιμίου.

l. 10. Στάζων ἱδρ.] τοῦτο καθ' ὅλον καὶ μέρος. τὸ μὲν στάζων, ὅλον· τὸ δὲ κάρα καὶ τὸ χεῖρας, μέρος· καὶ οὐχ ὥς τινες φασὶ, στάζων καὶ σταζόμενος, καὶ ἔξωθεν τὸ ἔχων λαμβάνουσι, λέγοντες οὕτω, σταζόμενος τὸ κάρα, καὶ ἔχων τὰς χεῖρας ξιφοκτόνους.

l. 14. Φιλτάτης ἐμοὶ] εἰκότως τοῦτ' εἶπε. δεῖ γὰρ τῶν συνετωτάτους, οἷος οὗτος, τὴν Ἀθηνᾶν περὶ πλείστου ποιεῖσθαι, φρονήσεως ἔφορον οὖσαν.

l. 17. Ὡς Τυρσην.] τούτων γὰρ αἱ σάλπιγγες κρείττους τῶν παρ' ἑτέροις εὑρημένων· ἢ ὅτι πρῶτοι Τυρσηνοὶ τὴν σάλπιγγα εὗρον. βέλτιον δὲ τὸ πρῶτον. αἱ γὰρ τῶν Τυρσηνῶν σάλπιγγες ἐξαίρετόν τι τῶν παρ' ἑτέροις εὑρημένων ἀπετέλουν μέλος, ὡς μόνον ἀκούσαντά τινα γνῶναι Τυρσηνικὴν εἶναι τὴν ἠχοῦσαν σάλπιγγα. λέγει οὖν καὶ Ὀδυσσεὺς ἐνταῦθα πρὸς τὴν Ἀθηνᾶν, ὄντως ἀκούω τὸ σὸν φώνημα εὐμαθὲς καὶ εὐκατάληπτον, καὶ ὀξέως νοῶ ὅτι σόν ἐστιν, εἰ καὶ ἀθέατος ὑπάρχεις. ὡς γὰρ καταλαμβάνω τὸ φώνημα τῆς Τυρσηνικῆς σάλπιγγος, ἀκούων ἠχούσης αὐτῆς δηλονότι.

l. 19. Τῷ σακεσφόρῳ] οὐχ ὁπλοφόρῳ ἁπλῶς, ἀλλὰ κατ' ἐξοχήν. ἐξαίρετον γὰρ εἶχεν ὁ Αἴας τὸ σάκος.

l. 21. Ἄσκοπον] ἀνέλπιστον, ἀπροσδόκητον. οὐ γάρ ἐστι συνιέναι τίνος χάριν ἐποίησε.

l. 23. Τρανὲς] ἀληθὲς, σαφὲς, φανερόν.

Ἀλλ' ἀλώμ.] τῇ διανοίᾳ. οἰόμενοι τοῦτον ταῦτα ποιῆσαι, ἀπὸ τοῦ θεαθῆναι ὑπό τινος κατασκόπου ξιφηφόρον ἐν τῷ πεδίῳ νυκτός. ἔνεστι δὲ ἀπιστεῖν, διὰ τὸ μαινομένου τὸ ἔργον δοκεῖν. ἐκεῖνος γὰρ ἐν νοῖς σώφροσι.

¶ Σχημ. l. 7. Εἴτ'] τοῦτ' ἔστιν, ἡ βάσις.

¶ l. 9. Ἔνδον γὰρ] κατασκευὴ τῆς βάσεως.

¶ l. 15. Ὦ φθέγ.] προοίμιον δεύτερον προσφωνητικὸν καὶ αὐτό, καὶ ἐνταῦθα ἡ πρότασις.

¶ l. 18. Καὶ νῦν] κατασκευή.

¶ l. 20. Κεῖνον γὰρ] κατασκευὴ ἑτέρα.

l. 24. Τῷ δ' ὑπεζύγην] ὑπῆλθον. ἀπὸ τῶν ζώων τῶν ὑπὸ τῷ ζυγῷ δουλευόντων.

l. 32. Καὶ τὰ μὲν] κατά τινα μὲν, σημειοῦμαι ὡς αὐτός ἐστιν ὁ δεδρακὼς· κατά τινα δὲ, εἰς ἔκπληξιν πίπτω καὶ ἀπορίαν, οὐ δυνάμενος συνιέναι τὰ δεδρασμένα. σώφρων γὰρ ὁ Αἴας· τὸ δὲ ἔργον, μαινομένου καὶ παραπλῆγος. οἱ δὲ λέγοντες, τὰ μὲν τῶν ἰχνῶν, οὐ καλῶς λέγουσι.

Pag. 3. l. 39. Τἄργα ταῦτα] τὸ σοὶ, οὐ παντάπασιν ἀργὸν, ἀλλὰ καί τινα χρείαν παρέχει, εἴ τις ἀκριβῶς σκοποίη. ἐπειδὴ γὰρ ὁ Ὀδυσσεὺς, ὅς ἐστιν ὁ πράξας μαθεῖν ἐβούλετο, διὰ τοῦτο Ἀθηνᾶ πρὸς τὴν ἐρώτησιν τοῦτο φησὶν, ὡς ταῦτα τὰ ἔργα τοῦ Αἴαντος ἐστί σοι τῷ περὶ τούτων μαθεῖν ζητοῦντι. εὑρήσεις δὲ τοῦτο πολλάκις προσιόν.

l. 42. Ἐπεμπίπτει] οἱ λέγοντες τὸ ἐπεμπίπτει ἀντὶ τοῦ ἐπιβάλλει, ἵνα συντάξωσι τὴν αἰτιατικὴν, τἀληθὲς ἀγνοοῦσιν· ἀλλ' ὥσπερ φαμὲν, πολεμῶ σοι πόλεμον, καὶ ἦλθον ἐνταῦθα καλλίστην πορείαν. τὸ γὰρ ἐλθεῖν ἐνταῦθα καλλίστην πορείαν λέγω, οὕτω καὶ νῦν, ἐπεμπίπτει ταῖς ποίμναις τήνδε τὴν βάσιν, τοῦτ' ἔστι, τίνος ἕνεκα ἐπὶ ταύταις ὁρμᾷ ὁρμὴν τήνδε, τὸ διαφθεῖραι λέγω αὐτάς. Ἄλλως. ταῖς ποίμναις ἐπεμπίπτει. ἀντὶ τοῦ ἐπὶ ταῖς ποίμναις, τοῦτ' ἔστι κατὰ τῶν ποιμνίων. βάσιν δὲ ἐποιήσατο. ὤφειλεν εἰπεῖν. ὁ δὲ καὶ τὴν ὑπόθεσιν αὐτοῦ θέλων δηλῶσαι, ἐπεμπίπτει λέγει. τοιοῦτο τὸ ἐκφραφόνον, καὶ τὸ κινηθέντα βασιλέα.

¶ Σχημ. l. 28. Τήνδ' οὖν] βάσις.

¶ l. 31. Φράζει] κατασκευὴ τῆς βάσεως.

¶ l. 36. Ἔγνων] προκατάστασις καὶ διήγησις τῆς ὑποθέσεως.

l. 43. Δοκῶν ἐν ὑμῖν] τοῦτο καθ' ὅλον καὶ μέρος. τὸ μὲν δοκῶν, ὅλον· τὸ δὲ χεῖρα, μέρος.

l. 44. Η καὶ τὸ] τὸ πᾶν οὕτως, ἄρα αὕτη ἡ βουλὴ καὶ κατὰ τῶν Ἀργείων ἦν, οὕτω μεγάλη δηλονότι οὖσα;

l. 51. Ἐγὼ σφ'] τοῦτ' ἔστιν, οὐ μόνον ἐκώλυσα τὸν ... τοῦ φονεῦσαι ὑμᾶς, ἀλλὰ καὶ νῦν κωλύω μὴ θεωρεῖν σε.

Δυσφόρους] δύσφορον τὸ ἐλαφρόν. δύσφορον τὸ δύσκολον φερόμενον. ἀπὸ τούτου δυσφόρως, ἀντὶ τοῦ δυσχερῶς, παρ' Ἱπποκράτει. ἀπὸ τοῦ δύσκολον φέρειν, ὡς ἐναντίον τὸ δυσφόρως, ἤγουν δυσβαστάκτως. ἐνταῦθα δὲ δυσφόρους γνώμας λέγει τὰς κακῶς φρονούσας, καὶ μὴ εὐοδουμένας, ἢ παραφόρους.

Ἐπ' ὄμμασιν] ἐπειδή φησιν ἡ παροιμία, νοῦς ὁρᾷ, καὶ νοῦς ἀκούει· ὁ δὲ Αἴας ὑπ' Ἀθηνᾶς τὸν νοῦν κατεσοφίσθη, διὰ τοῦτο φησὶ τὸ δυσφόρους ἐπ' ὄμμασι γνώμας βαλοῦσα, τοῦτ' ἔστι τὸν νοῦν αὐτοῦ διαφθείρασα, ὥστε ὁρῶντα μηδὲν αἰσθάνεσθαι, πάσχοντος τοῦ αἰτίου τῆς ὁράσεως, ἀλλ' οὐ τῆς ὁράσεως.

l. 54. Λείας, ἄδαστα] οὐ δεῖ πρὸς τὸ λείας ἔξωθεν τὸ ἀπὸ λαμβάνειν, ἀλλ' οὕτω λέγειν· πρὸς τὰ σύμμικτα φρουρήματα τῶν βουκόλων, τὰ ἄδαστα τῆς λείας, ἤτοι τὴν ἀμέριστον λείαν.

l. 57. Αὐτόχειρ κτείνειν] αὐτοχείρως ἔδει εἰπεῖν, πρὸς δὲ τὸ ἔχων ἐπήνεγκε. καὶ τὸ, ὅτ' ἄλλοτ' ἄλλον, δὲ, ἀσυνδέτως εἴρηκε.

l. 58. Ἐμπίτνοντ'] οἱ γράφοντες ἐμπίπτοντ', οὐ καλῶς γράφουσι. βραχὺ γὰρ ὀφείλει εἶναι τὸ πι, ὡς ἐν τῇ τετάρτῃ οὖν χώρᾳ.

l. 59. Μανιάσιν νόσοις] παντὸς τὸ εἰς ἕρκη κακά ἢ οὕτω λέγει, ἐγὼ δὲ φοιτῶντα καὶ ἀλύοντα ὁρμῶντα καθ' ὑμῶν ἄνδρα, ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά. ἐν μανιάσι νόσοις, τοῦτ' ἔστιν, οὐκ ἄλλως ἐποίησα αὐτὸν δυστυχῆσαι (τοῦτο γάρ ἐστι τὸ εἰς ἕρκη κακά) ἀλλ' ἢ ἐν τῷ ποιῆσαι αὐτὸν μαινόμενον.

l. 73. Ἀπευθύνοντα] εὐθύνω τὸ κατ' εὐθεῖαν ἄγω, καὶ κυβερνῶ, καὶ τὸ κολάζω· καὶ ἀπευθύνω, ἐπὶ τῶν αὐτῶν.

l. 76. Οὐ σῖγ' ἀνέξῃ] τὸ σῖγα, τὸ μὲν προστακτικὸν ἀποδειγματικὸν ὄν, παροξύνεται, ὡς τὸ, Σῖγα νῦν ἔσω, καὶ μὴν ὡς κυρεῖς ἔχων. καὶ παρ' Εὐριπίδῃ, Σῖγα, στέγασα. νεωτέρων δ' ἔσω ὄχλον. τὸ δὲ ἐπίρρημα προχαϊκὸν ὄν, περισπᾶται, ὡς ἐνταῦθα, καὶ παρ' Αἰσχύλῳ, Οὐ σῖγα, μηδὲν τῶνδ' ἐρεῖς κατὰ πόλιν τὸ μὲν τοι ἀρεῖς, οὐκ Ἄρης ὀφείλει χρᾶσαι ἐπὶ δορίσιν.

ἀλλ' ἀρεῖς, ἐπὶ μέλλοντος. ὁ μὲν γὰρ ἀόριστος ὡς ἐπὶ τὸ πλεῖστον φύσει ἢ θέσει μακρᾷ παραλήγεται. ὡς ἐπὶ τὸ πλεῖστον δὲ εἴρηται, διὰ τὸ ἐπῄνεσα, καὶ ἐγέλασα, καὶ ἤρεσα, καὶ ἔφρασα, καὶ ὅσοι λοιποὶ ἀόριστοι ἀπὸ μελλόντων γίνονται, βραχείᾳ συλλαβῇ παραληγομένων. ὁ δὲ μέλλων τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων τὰ ἀμετάβολα τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένους τόνους. ὥστε ἐπειδὴ ἡ ἕκτη τοῦ ἰάμβου χώρα ἢ ἰάμβῳ ἢ πυρριχίῳ ἐκφέρεται, οὐ χρὴ ἄρῃς γράφειν, ὡς ἐν πολλοῖς τῶν βιβλίων εὕρηται (μακρὸν γὰρ ὂν τὸ Α, τὸν τοῦ μέτρου διαφθείρει κανόνα) ἀλλ' ἀρεῖς, διὰ τὸ ἴαμβον εἶναι τὸν τοιοῦτον μέλλοντα. εἰ δέ τις εἴποι, ὡς ἐπειδὴ ὁ ἦρα ἀόριστος, μεταβὰς εἰς ὑποτακτικὸν συνέστειλε τὴν παραλήγουσαν κατὰ τὸν κανόνα, ἴστω ὅτι πάντες οἱ ἀόριστοι κἄν τε δισύλλαβοι ὦσι, κἄν τε τρισύλλαβοι, τὴν μὲν κλιτικὴν ἔκτασιν κινηθέντες ἀποβάλλουσι, κἄν τε συλλαβικὴ ἐστι, κἄν τε χρονικὴ (οἷον, ἔτυψα, ἐὰν τύψω· ἤκουσα, ἐὰν ἀκούσω· εἶδον ἰδών· ἦλθον ἐλθών. πλὴν τοῦ εἶπον εἰπών, καὶ ἧκον ἥκων, ἤγουν ἐλθών) τὴν δὲ παραλήγουσαν μακρὰν ἔχουσι, πλὴν τῶν εἰρημένων. καὶ τὸ ἄρῃς οὖν εἰ καὶ συνέστειλε τὴν κλιτικὴν ἔκτασιν, ἀλλὰ τὴν φυσικὴν διεφύλαξε μακρότητα. οὐ μόνον δὲ τὸ ἄρῃς, ἀλλὰ καὶ τὸ ἆρον. διὸ καὶ περισπᾶται. ὅτι δὲ μακρὰ εἰσὶ φύσει καὶ ἀμφότερα, δῆλον ἐντεῦθεν, Μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον. Ἀλλ' ἆρον ἔξω, καὶ μάλιστα μετὰ μέθες.

l. 78. Πρόσθεν οὐκ] ἡ σύνταξις, οὐκ ἦν καὶ ἔστιν ὅδε καὶ οὗτος, ἤγουν ὁ Αἴας, ἀνὴρ ὁ πρόσθεν ἦν, οὐκ ἔστι τοιοῦτος οἷον ἠπίστασο πρότερον, φρενῶν καὶ λογισμοῦ μέτοχος, ἀλλὰ μαινόμενος, ὥστε οὐκ ἂν ἐπιγνοίη σε.

Pag. 5. l. 85. Βλέφαρα] βλέφαρα ἐνταῦθα τοὺς ὀφθαλμοὺς, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. βλέφαρα γὰρ κυρίως οἱ τοὺς ὀφθαλμοὺς περιέχοντες ὑμένες.

l. 88. Σῖγα νῦν] τὸ νῦν τοῦτο, εἰ καὶ ἀντὶ τοῦ δὴ ἐστὶν, ἀλλ' ἔχει καί τινα ἔμφασιν καιροῦ, ὥσπερ φαμὲν καὶ τὸ ὅτε, τὸ τὴν αἰτίαν δηλοῦν. τοῦτο γὰρ οὐ μόνον ἀντὶ τοῦ ἐπεὶ ἐστὶν, ἀλλὰ καὶ καιρὸν δηλοῖ.

l. 90. Τί βαιὸν] βαιὸν τὸ μικρόν. λέγεται δὲ ἐνταῦθα ἀντὶ τοῦ οὐδέν. ἔχει δὲ τὸ πᾶν οὕτως, τί οὐδ' ὅλως ἐντρέπῃ, ἤγουν ἐπιστρέφῃ οὕτως ἐμοῦ, δηλονότι τῆς συμμάχου.

l. 93. Ὡς εὖ παρ.] ἤγουν παραστάτις καὶ βοηθὸς ὑπῆρξας ἐμοὶ, ἵνα τοὺς ἐχθροὺς ἀνέλω.

l. 97. Κοὐκ ἀπαρνοῦμαι] αἱ δύο στερήσεις ἐνταῦθα ἀντὶ μιᾶς καταφάσεως. μία γὰρ στέρησις τὸ οὐ, καὶ ἑτέρα τὸ ἀπαρνοῦμαι.

l. 102. Τί γάρ] τὸ γὰρ οὐκ ἔστι κατασκευαστικὸν, ἀλλ' ἔστι κόσμος τοῦ λόγου, ἐν ἀρχῇ ἐννοίας τιθέμενον, ᾧ καὶ οἱ λογοποιοὶ χρῶνται πολλαχοῦ.

l. 104. Ἡ τοὐπ.] εἰ καὶ δοκεῖ τὸ ἐπίτριπτον κίναδος, εὐθεῖα, διὰ τὸ ῥᾳδίως οὕτω συντάσσεσθαι· ἀλλ' οὐκ ἔστιν οὕτως, ἀλλ' ἔστιν αἰτιατικὴ πρὸς εὐθεῖαν προσχωροῦσα, ὥσπερ καὶ παρὰ τῷ κωμικῷ, οἱ τὸν οὐρανὸν λέγοντες ἀναπείθουσιν ὡς ἔστι πνιγεύς. καὶ πάλιν, Ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας. εἰ καί τινες τῶν ἀμαθῶν τὴν διὰ πρόσθεσιν λαμβάνουσιν ἔξωθεν. ἔστι δὲ τὸ οὐρανὸν, αἰτιατικὴ πρὸς εὐθεῖαν τὸ πνιγεὺς προσχωροῦσα. οὕτω δὴ καὶ τοῦτο. περιϊὼν δὲ εὑρήσεις αὖθις τήνδε τὴν σύνταξιν. ἀλλὰ καὶ τὸ, Ὁρᾷς Ὀδυσσεῦ τὴν θεῶν ἰσχὺν ὅση; καὶ τὸ, Σὺ δ' ἀντακούσῃ τοῦτον ὡς τεθάψεται, οὐχ ἑτέρα ἐστί. μὴ μόνον δὲ παρὰ ποιηταῖς ἀλλὰ καὶ λογοποιοῖς πολλὰ τοιαῦτα εὑρήσεις.

l. 113. Χαίρειν Ἀθάνα] ἤγουν, ἀλλὰ λέγε, καὶ ὑπακούσομαί σοι. εἰκότως δὲ εἶπε τὸ χαίρειν· ὅταν γάρ τις εἰπών τι εἰσακουσθῇ, διὰ τὸ τὸ θέλημα αὐτοῦ πεπληρῶσθαι ἥδεται.

l. 115. Χρῶ χειρί] ἤγουν ἀπόλαυε τῆς χειρὸς πρὸς τὸ σὸν θέλημα, ὅσον ἔξεστι, τοῦτον κολάζων.

l. 119. Τίς ἄν σοι] τὸ ἀνδρεῖος πρὸς τὸ προνούστερος, καὶ πρὸς τὸ ἀμείνων ἔχει τὴν δύναμιν.

Pag. 7. l. 122. Δύστηνον ἔμπης] τὸ ἔμπης οὐ πρὸς τὸ ὄπισθεν νοητέον, ἀλλὰ πρὸς τὸ ἐποικτείρω. ἔστι δὲ ἐναντιωματικὸς σύνδεσμος. ἔστι δὲ καὶ ὁ λόγος τοιοῦτος, οἷον, εἰ καὶ ἐχθρός ἐστιν, ὅμως οὕτως ἔχοντα αὐτὸν ἐλεεῖν μᾶλλον ἄξιον ἢ μισεῖν.

l. 127. Τοιαῦτα] ὡς τοὺς μεγαλαύχους οὕτω θεοὶ κολάζουσι, καὶ πρὸς αὐτοὺς οὐδέν ἐστι τὸ ἀνθρώπινον ὅτι δὲ ὁ Αἴας τοιοῦτος, περιϊόντες εὑρήσομεν.

Ὑπέρκοπον] ὑπέρκομπον ἔδει γράφειν· διὰ δὲ τὸ μέτρον ἐξεβλήθη τὸ μ.

l. 131. Ὡς ἡμέρα] τὸ ὡς ἀντὶ τοῦ ὅτι ἐνταῦθα καὶ ἀντὶ τοῦ καθὰ νοητέον. καὶ τὸ μὲν ἀντὶ τοῦ καθὰ οὕτω νοητέον, ἅπαντα τὰ ἀνθρώπινα κλίνει καὶ πίπτει, καὶ ἀνάγει καὶ ἀναφέρεται, καθάπερ ἡμέρα ἀρχομένη τε καὶ πάλιν λήγουσα, τοῦ μὲν ἡλίου, ὁπότε πρὸς τὰ κάτω χωρείη, λήγουσαν ταύτην παρασκευάζοντος·

ὁπότε δὲ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω πάλιν ἄνεισιν, ἀρχομένην δεικνύντος καὶ φαίνουσαν. οὐδὲν γὰρ ἄλλο ἡμέρα ἢ παρουσία ἡλίου, ὥσπερ καὶ τοὐναντίον ἡ νὺξ, ἀπουσία. εἰ δὲ ἀντὶ τοῦ ὅτι, πρὸς τὸ ἄνω συνάψεις, ὅτι ἡμέρα καὶ καιρὸς εἰς ἅπαντα τὰ ἀνθρώπινα κλίνει καὶ μεταβάλλει καὶ ἀνάγει καὶ ἀνορθοῖ, ὥσπερ καὶ Φίλων φησί, τύχης γὰρ ἀσταθμητότερον οὐδὲν, ἄνω καὶ κάτω τὰ ἀνθρώπεια πεττευούσης.

¶ Σχόλ. l. 125. Ὁρῶ γὰρ] γνωμικόν.

¶ l. 131. Ὡς ἡμέρα] γνωμικὸν καὶ τοῦτο.

l. 136. Ἐπιχαίρω] ὡς ἐπὶ τὸ πολὺ ἐπὶ κακοῦ λαμβάνεται· νῦν δὲ ἐπὶ καλοῦ κεῖται, τῆς ἐπὶ πρὸς τὸ σὲ συντασσομένης. ὅπερ καὶ εἰς τὸ ἐπιβῆ ποιήσεις. βούλεται δὲ δεῖξαι, ὅτι καὶ τὴν εὐτυχίαν καὶ τὴν δυστυχίαν αὐτοῦ οἰκείαν λογίζεται.

l. 140 Πτηνῆς ὡς] τοῦτο γὰρ τὸ ζῶον πάνυ δειλόν. εἰκότως δὲ εἶπε τὸ ὄμμα. ὁπόταν γὰρ αἰσθομένη τινὸς ψόφου καμμύῃ τοὺς ὀφθαλμοὺς, παλλομένην ἔστιν αὐτῆς τὴν καρδίαν φράσαι.

l. 141. Ὡς καὶ τῆς] μὴ λάβῃς εἰς τὸ νυκτὸς ἔξωθεν ἐπὶ, ἀλλὰ πρὸς τὸ θορύβοις συντάσσε. ἐπειδὴ γὰρ ταῦτα νύκτωρ γέγονεν, ἄριστ' ἂν ἔχοι λέγειν τῆς νυκτὸς τελευτῇ τοὺς θορύβους. μὴ διστάσῃς δὲ εἰ πρὸς τὸ φθιμένης ὅπέρ ἐστι παρῳχημένου χρόνου, τὸ νῦν συντάσσεις. διὰ γὰρ τὸ πάνυ ἀρτίως καὶ μὴ ἐκ πολλοῦ γεγονέναι τὴν φθίσιν, τὸ νῦν τέθειται, τὸ συνεχὲς τῆς φθίσεως παριστῶν.

l. 143. Τὸν ἱππομανῆ] τοῦτο ἢ πρὸς τὸ λειμῶνα νόει (ἱππομανὴς γὰρ λειμὼν, ἐν ᾧ ἵπποι μαίνονται καὶ βακχεύουσιν) ἢ μὴ σύναπτε πρὸς τὸν λειμῶνα ἵν' ᾖ τὸ ἱππομανῆ πρὸς τὸ σὲ, οὕτως, ἐπὶ τὸν λειμῶνα βάντα σέ. ποταπόν; ἱππομανῆ, ἤτοι μεγάλως καὶ σφοδρῶς μαινόμενον καὶ θυμούμενον· ἵν' ᾖ παραπλήσιον τῷ βούπαις, ἀντὶ τοῦ μέγας παῖς, ἢ ἱππομανῆ, τὸν ἱππικόν.

l. 150. Περὶ γὰρ] εἰκότως εἶπε τὸ νῦν, παριστῶν τὴν ἐνεστῶσαν αὐτῷ ἔχθραν πρὸς τοὺς Ἕλληνας, καὶ μάλιστα τοὺς αὐτῶν προὔχοντας, ἠδικηκότας αὐτὸν τῇ περὶ τῶν ὅπλων κρίσει· ὥστε ἃ κατ' αὐτῶν ἀκούοιεν, εἰ καὶ ψευδῆ, ἀλλ' ὡς ἀληθῆ δεχόμενοι ἥδονται.

l. 154. Τῶν γὰρ] μὴ λάβῃς ἔξωθεν τὸ κατὰ εἰς τὸ μεγάλων, ὥς τινες τῶν ἀμαθῶν, ἀλλ' οὕτω λέγε, οὐ γάρ τις δηλονότι ἁμάρτοι τῶν μεγάλων ψυχῶν ἱεὶς καὶ πέμπων κατ' αὐτῶν λόγους δηλονότι ἐχθίστους. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοξευόντων. ὅταν γὰρ μείζων ὁ σκοπὸς ᾖ, ἥκιστα τούτου ἀποτυγχάνουσιν. οἱ δὲ προστιθέντες τῷ ἱεὶς τὸ λόγους, ἁμαρτάνουσι, μὴ εἰδότες τὰ μέτρα τῶν στίχων. νοεῖται δὲ τὸ λόγους κατὰ συνεκδοχὴν ἀπὸ τοῦ λέγων.

l. 157. Ὁ φθονῶν] εἰκότως τὸ ἕρπει ἐπὶ φθόνου εἴρηκε, δίκην ὄφεως. ἐπὶ τούτου γὰρ τὸ ἕρπειν λέγεται, τοὺς φθονουμένους βλάπτοντος.

Pag. 9. l. 163. Ἀλλ' οὐ] τοῦτο διπλῶς λέγε, ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους προδιδάσκειν γνώμας τούτων, ἤγουν τὴν περὶ τούτων διάνοιαν. τοῦτ' ἔστιν, οὐδεὶς ἂν δύναιτο διδάσκειν τοὺς ἀσυνέτους Ἕλληνας τούτους τοὺς λόγους, ὡς δεῖ περὶ πλείστου ποιεῖσθαι τοὺς μεγάλους· καὶ πάλιν, οὐ δυνατὸν προδιδάσκειν τοὺς κατὰ τὰς γνώμας ἀνοήτους τούτων. ἤγουν τοὺς μωροὺς τὴν διάνοιαν, καὶ μηδὲν τούτων ὧν ἔφην αἰσθανομένους.

l. 167. Ἀπαλέξασθαι] ἀλέξω ἀλεξήσω, αὔξω αὐξήσω, ἕψω ἑψήσω, ἐνεστῶτες καὶ μέλλοντες. οἱ γράφοντες ἀπαλλάξασθαι, ἀμαθεῖς τῶν μέτρων· χρὴ οὖν ἀπαλέξασθαι γράφειν, ἵν' ἔχῃ ὀρθῶς.

l. 168. Ἀλλ' ὅτε] τὸ πᾶν οὕτως, Ἀλλὰ γὰρ ὑποδείσαντες οἱ Ἀχαιοί σε, ἤγουν φοβηθέντες, ὅτε δὴ ἀπέδραν τὸ σὸν ὄμμα, παταγοῦσιν, ἤγουν θορυβοῦσι, καθὰ ἀγέλαι πτηνῶν, ἀποφυγοῦσαι μέγαν αἰγυπιόν. Ἄλλως. ἡ σύνταξις οὕτως ἀλλ' εἰ φανείης σὺ τούτοις ἐξαίφνης, τάχ' ἂν πτήξειαν καὶ φοβηθεῖεν ἄφωνοι ἐν σιγῇ, τοῦτ' ἔστιν, ὑπὸ τοῦ φόβου σιγὴν καὶ ἀφωνίαν ἕξουσιν, ὑποδείσαντες καὶ φοβηθέντες ἅτε καὶ καθὰ ἀγέλαι πτηνῶν μέγαν αἰγυπιὸν καὶ αἰετὸν, ὑποδείσασαι δηλονότι. παταγοῦσι γὰρ καὶ θορυβοῦσιν, ὅτε ἀπέδραν καὶ ἀπέφυγον τὸ σὸν ὄμμα. καὶ μὴ νομίσῃς λέγειν τὸν χορὸν τοῦτο, διότι ἐξέφυγον οἱ Ἕλληνες τὸ τοῦ Αἴαντος ξίφος, καὶ οὐκ ἀπώλοντο, μανέντος καὶ πρὸς τὰς πείρας χωρήσαντος. πῶς γὰρ ἔλεγεν ἂν ὅπερ οὐκ ἠπίστατο, ἀλλ' ὕστερον ὑπὸ Τεκμήσσης καὶ αὐτοῦ Αἴαντος ἔμαθεν ἐλθόντος εἰς αἴσθησιν; ἐνδεικνυμένου δὲ τὸ τοῦ Αἴαντος, φοβερὸν τοῦτο φησίν. οἱ δὲ τὸ γὰρ ἀργὸν λέγοντες, ἀγνοοῦσι τὴν σύνταξιν. καὶ γὰρ στίζουσι μετὰ πρὸς τὸ παταγοῦσι. τὸ δὲ, ἅτε πτηνῶν ἀγέλαι, ἀσυν-

ἀσυνδέτως ἐκφέρουσι. τὸ δὲ ὅτε, ἐνταῦθα ἀντὶ τοῦ ὁπότε ἐστίν. ἐπειδὴ καθολικῶς, ὡς ἔφαμεν, ὁ λόγος ἀπὸ τοῦ χοροῦ λέγεται. ἢ μὴ λάμβανε πρὸς τὸ πτήξωσιν ἀγέλαι τὸ ὑποδείσασαι, ὡς ἔφαμεν, ἀλλ' ἐκ τοῦ ἀπέδραν. ἀποδρᾶσαι κατὰ συνεκδοχὴν νόει, ἵν' ᾖ, ἀποδρᾶσαι μέγαν αἰγυπιόν.

l. 172. Ἦ ῥά σε] εἰκότως Ἄρτεμιν καὶ Ἄρην καὶ τὸν ὑπουργὸν αὐτοῦ Ἐνυάλιον αἰτίους τῶν παρόντων ἡγεῖται κακῶν, ἅτε πολεμικοὺς θεούς, καὶ βεβοηθηκότας ἴσως ἂν αὐτῷ πρὸς μάχην, καὶ μὴ παρ' αὐτοῦ τυχόντας ὧν ἔδει. ταῦτα δὲ ἦν θυσίαι καὶ ἀναθήματα. οἴεται δὲ καὶ ἐν ἐλαφηβολίαις καὶ κυνηγεσίαις συμμαχῆσαι αὐτῷ τὴν Ἄρτεμιν, (τούτων γὰρ ἔφορος ἡ θεός) καὶ διὰ τὸ μὴ ἀντιτυχεῖν χάριτος, ὀργισθῆναι αὐτῷ. μὴ λάβῃς δὲ ἔξωθεν εἰς τὸ χάριν, διά, ὥς τινες φασὶν ἀπατώμενοι, πρὸς τὴν αἰτιατικήν. οὐ γὰρ μόνον ἐψεύσθημεν τοῦδε, φαμέν, ἀλλὰ καὶ τόδε, ὥσπερ καί, μέτεστί μοι τοῦδε, καὶ μέτεστί μοι τόδε. οὐ μόνον δὲ οὕτω φαμὲν τὸ ψεύδεσθαι, ἀλλὰ καὶ πρὸς δοτικὴν πλαγιάζομεν, ὡς ἔχει κἀνταῦθα. πρῶτον γὰρ εἰς αἰτιατικὴν συνέταξε, ψευσθεῖσα χάριν ἀκάρπωτον λέγων, εἶτα πρὸς δοτικὴν ἐπλαγίασε, κλυτῶν ἐνάρων ψευσθεῖσα δώροις.

l. 173. Ὦ μεγάλα] οὔπω πιστευτικῶς ὁ χορὸς ὡς Αἴας τὸ διατεθρυλλημένον διεπράξατο ἔργον, ἀλλ' οἰόμενος ἔκ τινος μανιώδους τῶν θεῶν ταύτην τὴν φήμην γεγενῆσθαι, πρὸς ταύτην ἀποτείνει τὸν λόγον.

l. 176. Ἦ που] τὸ που οὐ μόνον δηλοῖ τόπον, ἀλλὰ καὶ ἀντὶ τοῦ ἴσως τίθεται, ὥσπερ ἄλλοι τε πολλοὶ μαρτυροῦσι, καὶ Φιλόστρατος, λέγων ἐν ταῖς εἰκόσιν οὕτως, Ὀκνοῦντές που οἱ Θηβαῖοι ἄρξαι μάχης.

l. 181. Μομφ.] ἤγουν μεμφόμενός σοι, διὰ τὸ ἴσως ἐν πολέμῳ συμμαχῆσαι, καὶ μὴ τυχεῖν θυσίας εἰς ἀμοιβήν. τὸ δὲ ἐννυχίοις εἶπε, διὰ τὸ ἐν νυκτὶ γενέσθαι τὴν μανίαν αὐτῷ.

l. 183. Ἐτίσατο] ἤγουν ἀντέδωκεν, ἢ ἔλαβεν, ἢ ἔδωκεν ἁπλῶς, ἢ ἐτιμωρήσατο, τοιαύτην λώβην, ἤγουν ὕβριν.

l. 189. Βασιλῆς] τοῦτο Ἀττικῆς ἐστι διαλέκτου, τὸ τρέπειν τὴν ει δίφθογγον εἰς η. οἱ βασιλῆς γὰρ λέγουσι καὶ οἱ ἱππῆς. καὶ τὸ ᾔδη παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἠπίστατο, τῆς αὐτῆς ὂν διαλέκτου, σαφέστερον τοῦτο δείκνυσιν.

l. 191. Ἢ τᾶς] τινὲς εἰς τὸ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς, τὸ ὁ ἄρθρον λαμβάνουσιν ἔξωθεν, λέγοντες, οἱ μεγάλοι βασιλεῖς, καὶ ὁ ὑπάρχων τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς Ὀδυσσεύς· ὡς οἱ ἀγνοοῦντας αὐτὸς ἐάσας, οὕτω λέγε. εἰ δὲ ὑποβαλλόμενοι μύθους οἱ μεγάλοι βασιλεῖς κλέπτουσι καὶ ἀπατῶσι τοὺς ἀκούοντας, καὶ ὑπάρχουσιν οἱ μῦθοι τῆς ἀσώτου γενεᾶς τῶν Σισυφιδῶν, ἤγουν τοῦ πανούργου Ὀδυσσέως τοῦ ἐκ Σισύφου τὸ γένος κατάγοντος. καὶ τὰ ἑξῆς, κυρίως δὲ ἄσωτος, ὁ τὸν πατρῷον κακῶς δαπανήσας κλῆρον. λέγεται δὲ Ἀντίκλειαν τὴν Ὀδυσσέως μητέρα ἀπὸ Ἀρκαδίας εἰς Ἰθάκην ἐρχομένην πρὸς γάμον Λαέρτῃ, ὑπὸ Σισύφου κατὰ τὴν ὁδὸν ἐντυχόντος ἐφθάρθαι.

l. 196. Ἀγωνίῳ σχολᾷ] ἤγουν ἐναγωνίῳ, ἐνταῦθα γὰρ διατρίβοντες τοῖς Τρωσὶ πολεμοῦμεν. ἢ ἀγωνίῳ, τῇ ἀγωνίαν καὶ φόβον ἐμποιούσῃ σχολῇ καὶ διατριβῇ· διὰ τὸ εἰς μῆκος τοσοῦτον τετάσθαι τὸν πόλεμον, καὶ ὑποψίαν πᾶσιν ἡμῖν εἶναι τοῖς Ἕλλησιν ἐκ τούτου, ὡς οὐ παλινοστήσομεν οἴκαδε.

Pag. 11. l. 202. Ἀπ' Ἐρεχθειδᾶν] Ἐρεχθεῖδαι οἱ Ἀθηναῖοι ἀπὸ τοῦ ἐκεῖ ἐκ γῆς γεννηθέντος κατὰ τὸν μῦθον Ἐρεχθέως· ὅθεν καὶ οἱ ναῦται αὐτοί. εἰκότως ἄρα Αἴας τούτους ἀπὸ τῆς Ἐρεχθειδῶν γενεᾶς κατάγεσθαι λέγει.

l. 204. Τοῦ Τελαμῶνος τηλόθεν] ἢ πρὸς μόνον τὸν χορὸν νοητέον, διὰ μέσου τὸ ἐχόμενον στοναχὰς λαμβάνοντας (ἐπίκουρος γὰρ πατρόθεν τῷ Αἴαντι ὑποχείριος ἦν, καὶ διὰ τοῦτο μάλιστα πάντων τούτου ἐκήδετο) ἢ συμπαραληπτέον καὶ τὴν Τέκμησσαν, ὡς αὐτὴν μετὰ τοῦ χοροῦ κηδομένην τοῦ Αἴαντος, ἅτε γαμετὴν οὖσαν αὐτῷ. οἱ δὲ λέγοντες τὸ τηλόθεν ἀντὶ τοῦ ἀπὸ Τροίας, φροντίζοντες Σαλαμῖνος, παντελῶς ἀγνοοῦσιν. οὐδεὶς γὰρ λόγος ἐνταῦθα τῆς Σαλαμῖνος. ἀπήρτηται δὲ ἀπὸ τοῦ λεχέων, τοῦ Τελαμῶνος οἴκου. τὸ δὲ ἐστι τοιοῦτον, οἱ φροντίζοντες τῶν Αἴαντος πραγμάτων τοῦ Τελαμῶνος τηλόθεν ἔκπαλαι.

l. 208. Τί δ' ἐνήλλ'] μὴ εἴπῃς τὸ ἐνήλλακται ἀντὶ τοῦ ἐνηλλαγμένος ἤνεγκεν, ὥς τινες οἴονται, συντάσσειν ἐθέλοντες πρὸς τὸ βάρος· ἀλλ' ἀντὶ τοῦ ἐνηλλάγη. ὥσπερ φαμέν, ἠλλοιώθην ἀλλοίωσιν καὶ μετεβλήθην μεταβολήν, οὕτω κἀνταῦθα δέον εἰπεῖν, τίνα ἐναλλαγὴν ἤδη

ἡ νὺξ

ἡ νὺξ ἐνήλλακται τῆς ἀμερίας καὶ τῆς ἡμερινῆς καταστάσεως· ὁ δὲ ἀντὶ τοῦ εἰπεῖν ἐναλλαγὴν, βαρὺς εἶπε, δεικνὺς τὸ τῆς ἐναλλαγῆς δυσχερές. ὥσπερ γὰρ βαρὺ φορτίον οὐ δυνάμεθα φέρειν, οὕτω καὶ τὴν ἀπροσδόκητον μεταβολήν. εἰ μὲν οὖν συνάψεις πρὸς τὸ ἀμερίας τὸ ἐνήλλακται, τὸ ἀμερίας ἀντὶ τοῦ περὶ αὐτῆς ἡμερινῆς καταστάσεως νοήσεις. εἰ δὲ τὸ βαρὺς πρὸς τὸ ἀμερίας ἐρεῖς, τὸ ἀμερίας ἀντὶ τοῦ τῆς νῦν ἡμερινῆς καταστάσεως νοήσεις. τοῦτο δὲ εἴποις ἂν διὰ τὸ ἅμα πρωῒ τὴν περὶ τοῦ Αἴαντος κακὴν φήμην τούτους ἀκοῦσαι, κἀντεῦθεν βαρέος λύπης δεδέχθαι. ὥστε ἡ κατὰ τὴν νύκτα συμβᾶσα ἐναλλαγὴ, τῆς μετ' ἐκείνην ἡμέρας ἦν.

l. 213. Ἄιδρεις] τὸ ὑπείποις ἀντὶ τοῦ προείποις εἰς ταύτην γὰρ τὴν σημασίαν τὸ ὑπείποις χρῶνται ἅπαντες. ἡ γὰρ ὑπὸ ἀντὶ τοῦ πρὸ, ὡς ἔχει καὶ τὸ ὑποτίμησις.

l. 216. Ἡμῖν ὁ κλεινὸς] τὸ ἡμῖν οὐ παντελῶς ἀργὸν, ἀλλ' ἔχει καί τινα χρείαν, εἴπερ συνάψεις εἰς τὸ ὁ Αἴας ἡμῖν. φίλτερον γὰρ ἐμφαίνει καὶ σχέσιν τὸ ἐμοὶ καὶ ἡμῖν, ἔνθα ἂν εὕρητε οὕτωσι κείμενον. ὃ δὴ καὶ εὑρήσεις ἔντε ποιηταῖς καὶ λογοποιοῖς πολλαχοῦ, ἀκριβῶς σκοπῶν. τὸ δὲ νύκτερος, ἢ πρὸς τὸ ἀπελωβήθη σύνταξον, ἢ πρὸς τὸ ἀλείς.

l. 223. Ἄτλατον] ἤγουν οὐ φορητὸν, ἀλλ' ἀνυπομόνητον τοῖς ἀκούουσι, καὶ μάλιστα τοῖς φίλοις, ἣν οὐ δύναταί τις φυγεῖν, καὶ μὴ καταπλαγῆναι τῷ ἀκούσματι.

l. 233. Βοτῆρας] τοὺς τὴν ποίμνην φυλάσσοντας λέγει κύνας, ὡς καὶ προϊὼν ἐρεῖ τὸ δὲ βοτῆρας καὶ ἱππονόμος, ἐκ παραλλήλου. καταχρηστικῶς δὲ τὸ ἱππονόμους εἶπεν. ἱππονόμος γὰρ, ὁ τῶν ἵππων νομεύς. ἡ ἱππονόμους, τοὺς μεγάλους νομεῖς καὶ φύλακας τῶν ποιμνίων. ἵππος γὰρ τὸ μέγα παρ' Ἀττικοῖς, ὥσπερ καὶ τὸ βοῦς· καὶ τοῦ μὲν ἑνὸς παράδειγμα τὸ βούπαις· τοῦ δὲ ἑτέρου. τὸ ἱππόβινος καὶ ἱπποβούκολος.

Pag. 13. l. 235. Ὧν τὰ μὲν] εἰ πρὸς τὸ ποίμνην ἑνικὸν ὂν, τὰ μὲν καὶ τὰ δὲ ἀποδίδωσι, δέον ποιμνῶν εἰπεῖν. ὥσπερ γὰρ φαμὲν, αἰτίαν ἐπάγει ὁ δεῖνα τῷ δεῖνι, τὴν μὲν ὡς προδότῃ, τὴν δὲ ὡς συκοφαντοῦντι, (καὶ ἕτερα μυρία ἔχεις εὑρεῖν τοιαῦτα πανταχοῦ, ζητῶν) οὕτω καὶ ἐνταῦθα. μαρτυρεῖ δὲ καί τις τῶν λογοποιῶν οὕτω λέγων, Καὶ ζημίας, τῆς μὲν ἀπὸ τοῦ τὴν χώραν ἀργεῖν, τῆς δὲ, ἀπὸ τῆς τοῦ ὀφθαλμοῦ κακοξίας. ἄλλως δὲ εἰ καὶ ποίμνην εἶπεν, ἀλλ' ἐν τῇ διαιρέσει τὸ τῶν προσέταξε, δεικνὺς τὸ ποίμνην πλῆθος δηλοῦν, καὶ ὥσπερ χορὸς οἱ τῶν ὕστερον φησὶ δέ που καὶ Λιβάνιος, Ἐς φίλῳ τῷ μὲν χαριούμενοι, τὸν δὲ προσλαψόμενοι. οἱ οὖν γράφοντες, ὧν τὴν μὲν, καὶ τὰς δὲ πληθυντικῶν, ἀγνοοῦσι τὰ μέτρα.

l. 244. Κακὰ δεννάζων] τὸ δεννάζω ἀπὸ τοῦ δεινὸν γέγονε, τροπῇ τοῦ ι εἰς ν. δεννὸς γὰρ ἡ λοιδορία.

l. 246. Κάρα] οἱ γράφοντες κρᾶτα, οὐ καλῶς γράφουσιν. ἔχει γὰρ τὸ μὲν κρᾶτα τὸ κρα μακρόν· τὸ δὲ κάρα, τὸ κα βραχὺ, τὸ δὲ ρα μακρόν.

l. 250. Ζυγὸν ἑζόμενον] μὴ λάβῃς εἰς τὸ ζυγὸν ἔξωθεν τὸ εἰς· ἀλλ' οὕτω λέγε, ἑζόμενον ζυγόν. καθῆσθαι γὰρ καθέδραν φαμέν.

l. 252. Ἐρέσσουσιν] ἤγουν κινοῦσιν. εἰκότως δὲ εἶπον τὴν λέξιν ὡς ναῦται.

l. 257. Ἄπλαστος ἔχει] ἀπέλαστος, καὶ κατὰ συγκοπὴν ἄπλαστος, ἡ ἀπλησίαστος, τοῦτ' ἔστιν ἡ κακὴ ἡ μὴ παρέχουσα πλησιάζειν αὐτῇ τινά. τοῖς γὰρ μαινομένοις οὐδεὶς πλησιάζει, ἵνα μή τι κακὸν ὑπ' αὐτῶν πάθῃ.

l. 258. Ἄτερ στεροπᾶς] φασὶν οἱ περὶ ταῦτα δεινοὶ ὡς εἰ μὴ τύχοι οὕτως ἀστραπὴ, ἡνίκα ὁ νότος ἄρξηται πνεῖν, ταχέως παύεται.

¶ Σχῆμ. l. 261. Τὸ γὰρ ἐσλεύσσειν] γνωμικόν.

Pag. 15. l. 271. Ἡμεῖς ἄρ' οὐ νοσοῦντες] τοῦτο ἡ Τέκμησσα λέγει διὰ τὸν Αἴαντα. δέον δὲ εἰπεῖν, ὁ Αἴας οὐ νοσῶν βλάπτεται, ἡμεῖς εἶπε, διὰ ταῦτα ὅτι εἰώθαμεν, ὁπηνίκα περί τινος τῶν γνωρίμων διηγώμεθα ἀπόντος, ἐκ τοῦ οἰκείου προσώπου τοὺς λόγους ποιεῖσθαι, καὶ εἰς ἑαυτοὺς τὸ ἐκείνου πρόσωπον ἀναδέχεσθαι. καὶ ὅτι αὐτὴ ἡ Τέκμησσα τοῦ Αἴαντος ἦν, καὶ τὸ ἐκείνου κακὸν, οἰκεῖον ἐνόμιζεν. ὅθεν σκοτεινῶς εἰρῆσθαι δοκοῦν, ἐξεπιτηδὲς ἀποκρύπτουσα τὸν χρόνον ὁ ποιητὴς δείκνυσιν, ἵνα δῆλον διὰ τῶν ἑξῆς γένηται.

l. 278. Λύπῃ πᾶς] τὸ πᾶς εἶπεν ἵνα δείξῃ ὡς ὅλος τῆς λύπης γέγονε. τὸ δὲ ἐξ ἁπλῶν, ἀντὶ τοῦ μονοειδῶν φησί. πρώην γὰρ ἐλυπούμεθα ἡμεῖς μόνοι, νῦν δὲ καὶ ὁ Αἴας μεθ' ἡμῶν.

l. 283.

l. 283. Μηδέν τι μᾶλλον] ἔδει γὰρ νῦν μᾶλλον εὐφραίνεσθαι παυσάμενον τῆς μανίας, ἢ ὅτε ταύτῃ συνείχετο, εἰ καὶ ἄλογος ἦν ἡ τότε χαρά. διόπερ ἀπορῶν ὁ χορὸς, εἰς θεοὺς ἀναφέρει τὸ πρᾶγμα, καὶ παρ' ἐκείνων ἐλθεῖν αὐτῷ φησὶ τὰ δεινά· ἵνα καὶ μετὰ τὴν νόσον χείρω διακέηται τῇ λύπῃ.

l. 285. Τίς γάρ ποτ'] τοῦτο τὸ γὰρ ὅμοιον, ὡς ἄνω ἔφημεν, τῷ, Τί γὰρ δὴ παῖς ὁ τοῦ Λαρτίου; ἢ τὸ γὰρ, ἀντὶ τοῦ δὲ νοητέον, δεινοπαθήσαν ἔξωθεν σχετλιάζοντος τοῦ χοροῦ, κἂν εἰ ὁ ποιητὴς εἴασε τοῦτο δηλῶσαι.

l. 288. Ἄκρας νυκτὸς] μὴ λάβῃς εἰς τὸ νυκτὸς ἔξωθεν τὸ ἐπὶ, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἡνίκα.

Ἑσπέριοι] οὓς εἰώθαμεν ἐν ἑσπέρᾳ ἅπτειν διὰ τὴν τοῦ σκότους παρουσίαν.

l. 292. Οὔτε του κλύων] εἰώθασιν οἱ Ἀττικοὶ τὰ θηλυκὰ ἄρθρα ἀρσενικῶς ἐκφέρειν, ἀντὶ τοῦ τῆς τοῦ λέγοντες· ἔστι δὲ τοῦτο ὅμοιον τῷ παρ' Εὐριπίδῃ, τῷ, Οὔτε του δόξης ἐρῶ. εὕρηται δὲ καὶ παρ' Ἰσοκράτει πολλὰ τοιαῦτα, καὶ κοινῶς, (ὡς ἔπος εἰπεῖν) παρὰ πᾶσι λογοποιοῖς, τῷ χείρου.

l. 295. Γυναῖ] οἱ τιθέντες ἐπὶ τῷ γυναῖ περισπωμένην, ἀμαθεῖς τῶν μέτρων. ἐντεῦθεν οὖν μανθανέτωσαν ὀξεῖαν τιθέναι. βραχὺ γάρ ἐστι τὸ γυ. εἰ γὰρ καὶ ἀπὸ τοῦ γύνον τὸ μέλλον γίνεται, ἀλλ' ἐκβληθέντος τοῦ ι, ἔμεινε βραχύ. αἱ γὰρ παραγωγαὶ τῶν πρωτοτύπων βραχύτεραι.

¶ Σχήμ. Pag. 15. l. 288 Κεῖνος γὰρ] προκατάστασις καὶ διήγησις τοῦ πραχθέντος ἔργου τῷ Αἴαντι.

¶ l. 295. Γυναιξί] γνωμικόν.

Pag. 17. l. 307. Ἔμφρων μόλις] τὰ τρία ταῦτα παριστῶσιν ὡς πάνυ βραδέως εἰς τὸ καθεστηκὸς ἧκεν.

l. 310. Ἀρνείου φόνου] τοῦτο πρὸς τὸ νεκρῶν συνάπτε. εἴρηται δὲ τοῦτο ἀπὸ μέρους τὸ πᾶν. οὐ γὰρ ἄρνες μόνον ἦσαν, ἀλλὰ καὶ κριοὶ καὶ βόες.

l. 320. Πρὸς γὰρ κακοῦ τε] ἀμφότερον ἀντὶ τοῦ δειλοῦ νοητέον. οἱ δὲ λέγοντες τὸ βαρυψύχου ἀντὶ τοῦ γυναικὸς, καὶ διὰ τοῦτο προστιθέντες τὸ Ου, τἀληθὲς ἠγνοήκασι. βαρύψυχος γὰρ ὁ βαρεῖαν καὶ λιθώδη καὶ ἀκίνητον ἔχων ψυχὴν, ἀλλὰ μὴ πρὸς πόλεμον ὁρμητικὴν καὶ πρόθυμον.

l. 321. Ἐξηγεῖτ' ἔχειν] οἱ λέγοντες τὸ ἔχειν ἀντὶ τοῦ ὑπάρχειν ἁμαρτάνουσιν. ὥσπερ γάρ φαμεν, τὰ δίκαια ποιεῖν, καλοῦ ἀνδρὸς ἔχει, οὕτω καὶ τοῦτο. ἔλεγε γὰρ ὁ Αἴας ὡς ἔχει τὸ τοιοῦτο δειλοῦ ἀνδρὸς, τὸ καθάπερ γυναῖκα κλαίειν, καὶ θρήνους εἰς ὕψος αἴρειν.

l. 323. Μυκώμενος] οἱ γράφοντες βρυχώμενος, καὶ μεγαθύνοντες τὸ χω, διὰ τὸ μέτρον, ἴσως ἀμαθεῖς εἰσι καὶ γραμματικῆς καὶ μέτρων. κάλλιον γὰρ τὸ μυκώμενος πρὸς τὸ ταῦρος.

l. 329. Οὕνεκ' ἐστάλην] καταχρηστικῶς τὸ ἐστάλην, ἀντὶ τοῦ ἐπορεύθην εἴρηται. κυρίως γὰρ τὸ ἐστάλην ἐπὶ θαλάσσης λέγεται, ὅθεν ἐστείλατό τις τόνδε τὸν πλοῦν.

l. 332. Τέκμησσα] λέγει ἐν τοῖς νῦν κακοῖς μαντεύσασθαι τὸν ἄνδρα ἡμῖν δεινά. τοῦτ' ἔστιν, ἐξ ὧν διηγεῖ, παριστᾷς προμεμηνυκέναι αὐτὸν ὡς ἑαυτὸν ἐργάσεται τι κακόν. ἃ γὰρ ἔπραξεν ἀναλογιζόμενος, κρεῖττον τὸ θανεῖν ἡγήσεται.

l. 342. Ποῦ ποτ' εἶ] τοῦτο ἢ πρὸς τὸν παῖδα, ἢ πρὸς τὸν Αἴαντα. οὕτως, ποῦ ποτε νῦν εἶ, καὶ τί ταῦτα βοᾷς;

¶ Σχήμ. l. 349. Ἰὼ μοι φίλοι] Αἴαντος θρῆνος.

Pag. 19. l. 351. Ὀρθῷ νόμῳ] ἤγουν ὀρθότητι νόμου, ὥσπερ εἴ τις εἴποι, εὐθείᾳ στάθμῃ, ἤγουν ἐν εὐθύτητι. ἔστι δὲ κυρίως νόμος, ἔγγραφος συνήθεια· συνήθεια δὲ, ἄγραφος νόμος.

l. 356. Δηλοῖ δὲ τοὔργον] τοῦτο λέγει, ὅτι τὰ πραχθέντα ὑπὸ μανίας γενέσθαι παρέστησιν. ἢ οὕτως, τὸ ἔργον, τοῦτ' ἔστι τὸ ἐν τούτοις εἶναι τὸν Αἴαντα, ὡς ἄδοξον, καὶ παῖδα ἀνακαλεῖσθαι, καὶ τὴν αὐτοῦ τύχην πρὸς ἡμᾶς ἀνακλαίεσθαι, δηλοῖ ὡς ἀφροντίστως καὶ ἀποστατικῶς ἔχει τῆς μανίας. ὅπερ εἰ λέγεις, πρὸς μόνην τὴν Τέκμησσαν τὸν λόγον ἐρεῖς. ἢ οὕτω, τὸ ἔργον δὲ, ἤγουν τὸ τοσοῦτον αὐτὸν λυπεῖσθαι καὶ δυσχεραίνειν ἐπὶ τοῖς πεπραγμένοις, ἀπαραμύθητον τοῦτο δεικνύει, ὡς ἀφροντίστως τῆς οἰκείας σωτηρίας ἔχει, καὶ δεινὰ καθ' αὑτοῦ μελετᾷ.

l. 357. Ἰὼ μοι γένος] τὸ ναΐας τέχνης. ἢ πρὸς τὸ γένος συναπτέον, οὕτω, ὦ γένος ναΐας τέχνης, ἤγουν ὦ ναῦται· ἢ πρὸς τὸ ἀρωγὸν, λαμβανομένου ἔξωθεν τοῦ ἕνεκα, οὕτως, ὦ γένος ἀρωγὸν ἐμοὶ ἕνεκα τῆς ναΐας τέχνης. τοῦτ' ἔστι συμπλέον ἐμοὶ, καὶ πρὸς πάντα κίνδυνον συν-

συνεπιλαμβανόμενον.

l. 361. Ποιμένων] μὴ λάβῃς εἰς τὸ ποιμένων ἔξωθεν τὸ ἀπό· ἀλλὰ οὕτω λέγε· σὲ μόνον δέδορκα καὶ βλέπω φροντιστῶν, ἐπαρκέσοντα. τοῦτ' ἔστι, σὺ μόνος ἐφάνης ἐμὸς φροντιστὴς εἰς τὸν παρόντα καιρόν. τὸ δὲ ποιμένων μεταφορικῶς εἴρηται, ἀντὶ τοῦ κηδεμόνων. καὶ γὰρ καὶ ὁ ποιμὴν κηδεμὼν τῶν προβάτων ἐστίν.

l. 374. Μεθῆκα τοὺς ἀλάστορας] ἀλάστορας ἐνταῦθα λέγει, ἢ τοὺς κακοὺς καταχρηστικῶς, ἢ τοὺς φονεῖς. καὶ γὰρ τρόπον τινὰ καὶ οἱ Ἕλληνες αὐτὸν ἀπεκτένασιν, ἀπεστερηκότες τὰ ὅπλα, καὶ τῶν παρόντων αὐτῷ γεγονότες αἴτιοι, δι' ἅπερ οὐκ ἀνέξεται ζῆν, ἀλλὰ ἐθελήσει τεθνήξεσθαι. ὃ δὴ καὶ γέγονε.

l. 387. Προγόνων πάτερ] οἱ γράφοντες προγόνων προπάτωρ, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. δεῖ οὖν πάτερ γράφειν, ὡς καὶ ἔν τινι τῶν βιβλίων εὕρηται.

l. 395. Ερεμβος] ἔρεμβος χρὴ γράφειν διὰ τὸ μέτρον, καὶ φαεινὸν, οὐ φαεινώτατον. ὅμοιον γὰρ χρὴ εἶναι τῷ τῆς ἀντιστροφῆς κώλῳ.

¶ Σχήμ. l. 398. Οὔτε γὰρ θεῶν] ἐν τῷ θεῶν συνίζησις.

l. 400. Βλέπειν τιν' εἰς ὄνησιν] τὸ τινα, ἢ πρὸς τὸ ἀμερίων συντακτέον· ἢ τὸ μὲν γένος κατὰ κοινοῦ λάμβανε πρὸς τοῦτο, συνάπτε δὲ τὸ τινα πρὸς τὸ ὄνησιν· ὥσπερ καὶ τὸ ἀνθρώπων, ἢ πρὸς τὸ ἀμερίων, ἵν' ᾖ τὸ αὐτό· ἢ πρὸς τὸ ὄνησιν, οὕτως, οὔτε γὰρ ἄξιός εἰμι βλέπειν τὸ γένος τῶν θεῶν, οὔτε τῶν ἀμερίων εἰς τινα ὄνησιν ἀνθρώπων. τοῦτ' ἔστιν, οὐ δεῖ με ἀπὸ τοῦδε ζῆν, εὐχόμενον τοῖς θεοῖς, καὶ μετὰ τῶν ἄλλων διάγοντα, ἵν' ἀνθρωπίνας εὐτυχῆσαί μοι γένοιτο. ὅπου γε καὶ τὸ ἀνθρώπων εἰς τὸ ἀμερίων συνάπτων, οὕτω τὸ ὄνησιν ἐρεῖς.

l. 403. Ολέθριον] ὀλεθρίως εἰπεῖν ἔδει ἀλλὰ πρὸς τὸ ἐμὲ ἐπήγαγε. καί ἐστιν ἀρσενικὸν, οὐχ (ὥσπερ τινὲς οἴονται) οὐδέτερον.

l. 406. Εἰ τὰ μὲν] τινὲς λέγουσι τὴν περὶ τῶν ὅπλων κρίσιν, καὶ τὸ φθίνει πρὸς τὴν Ἀθηνᾶν ἀποδιδόασι, καὶ ἕτερ' ἄττα· ἐγὼ δὲ αὐτὸς οὕτω, τὰ μὲν τῶν ἡμετέρων φθίνει καὶ φθείρεται· λέγω δὴ τὸ τιμᾶσθαι, καὶ παρὰ πάντων αἰδέσιμον εἶναι, καὶ μετὰ τοῦ λελογισμένου πράττειν ὅσα καὶ θέλοιμι. ἅπερ ἐμοὶ πρότερον ἀνθοῦντα, νῦν καταρρεῖ, καὶ εἰς οὐδὲν χωρεῖ, παραπλησίως τοῖς προκειμένοις θρέμμασιν. ἢ τὸ φθίνει ἀντὶ τοῦ φθείρουσιν· οὕτω, τὰ μὲν ἤτοι τὰ συμβάντα μοι κακὰ φθείρουσί με, εἰς μνήμην ἐρχόμενα.

l. 408. Δίπαλτος] ἤγουν διπλῇ χειρὶ καὶ πάσῃ δυνάμει. δηλοῖ δὲ διὰ τούτου τὴν κατ' αὐτοῦ σφοδρὰν ὀργὴν τοῦ στρατοῦ.

l. 412. Πόροι ἁλ.] ποταμοὶ οἱ πρὸς τὴν ἅλα ἐμβάλλοντες, καὶ ῥόθιον ποιοῦντες τῷ ῥεύματι. λέγει δὲ τοὺς ἐν Τροίᾳ.

Pag. 23. l. 414. Νέμος] ἤγουν παραθαλάσσιον ἄλσος. ὅπερ ἐστὶ πλησίον Σκαμάνδρου καὶ τοῦ Ξάνθου.

l. 422. Εὔφρονες] εὐφραντικοὶ, διὰ τὸ λούεσθαι καὶ πίνειν καὶ τἄλλα χρῆσθαι ὑμῖν.

¶ Σχήμ. l. 424. Ἐξερέω] συνίζησις.

¶ l. 431. Αἲ αἴ. τίς ἄν] Αἴαντος θρῆνος αὖθις, καὶ δεινοπάθεια ἐπὶ τοῖς συμβᾶσιν αὐτῷ δεινοῖς.

l. 435. Ὅτου] ἡ σύνταξις, ὅτου ὁ πατὴρ Τελαμὼν ἦλθεν ἀπὸ τῆς Τρωϊκῆς εἰς τὸν οἶκον φέρων πᾶσαν εὔκλειαν, τὰ πρῶτα καλλιστεῖα καὶ ἐξαίρετα γέρα τοῦ στρατοῦ, λέγω τὴν Ἡσιόνην, ἀριστεύσας καὶ ἄριστος φανείς. πρῶτος γὰρ τὸ Τροίας εἰσεπήδησε τεῖχος. στρατὸν δὲ λέγει ὃν κατὰ τῆς Τροίας Ἡρακλῆς ἠγάγετο, ἀμυνόμενος Λαομέδοντα, διὰ τὸ μὴ τοὺς ἵππους λαβεῖν οὓς ὑπέσχετο αὐτῷ δοῦναι εἰ τὸ κῆτος ἀνέλοι. ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. τὸ δὲ εὔκλεια καὶ τὰ πρῶτα καλλιστεῖα ταὐτόν ἐστιν, εἰ καί τινες τῶν ἀμαθῶν τὸ ἀριστεύσας ἀντὶ τοῦ ὡς ἄριστος λαβὼν, λέγουσι, βουλόμενοι συντεταχέναι τὰ πρῶτα καλλιστεῖα, ἃ οὐκ ἄλλο οὐδὲν ἦσαν ἀλλ' ἢ εὔκλεια. οὕτω δὲ εὑρήσεις καὶ προϊών· λέγω δὴ τὸ, Ὧν αὐτὸς ἔχει στέφανον εὐκλείας μέγαν.

l. 441. Ἀρκέσας ἐμῆς] τὸ ἀρκέσας. οὐκ ἀντὶ τοῦ πράξας, ὥς τινες οἴονται, ἀλλ' ὥσπερ φαμὲν τὸ ἀρκετός εἰμι τόδε, οὕτω καὶ τὸ ἀρκέσας ἔργα νοοῦμεν, εἰ καὶ λεπτὸν ὂν ἐκφεύγει τὸν νοῦν τοῖς μὴ τελείοις τὴν σύνταξιν.

l. 444. Κρίνειν ἔμελλεν] μὴ τοῖς ἄλλοις ἀκολουθῶν καὶ αὐτός. τὸ κρίνειν ἀντὶ τοῦ μετὰ κρίσεως διδόναι λέγει, ἵνα συντάξῃς τὸ τινί ἀλλ' εἰδὼς ὡς κρίνει πᾶσιν ὁ δεῖνα τὰ δίκαια, λεγόμενον, τὸν αὐτὸν λογισμὸν ἔχει κἀνταῦθα.

l. 447. Ἔπραξαν] εἴ τις τὸ ἔπραξαν

ἀντὶ

ἀντὶ τοῦ ἔδωκαν λέγει, ἁμαρτάνει· καὶ γὰρ ὃν τρόπον φαμὲν, ὅτι ὁ δεῖνα τοὺς νόθους καταβαλὼν ἄρχοντας, τὴν βασιλείαν τῷ δεινὸς παιδὶ πεποίηκε κατὰ νόμους εἰς ταύτην ἁρμόττοντι, οὕτως ἔχει καὶ τοῦτο. ἀπώσαντες γὰρ οἱ Ἀτρεῖδαι τὸν Αἴαντα, Ὀδυσσεῖ τὰ ὅπλα ἐποίησαν· τουτέστιν αὐτὸν κύριον εἶναι τούτων κατέστησαν.

l. 450. Γοργῶπις] καταπληκτική, ἢ τὴν τῆς Γοργοῦς κεφαλὴν, δίκην ὀφθαλμοῦ ἐν τῇ ἀσπίδι ἔχουσα.

Pag. 25. l. 462. Μόνους τ' Ἀτρείδας] τὸ μόνους μὴ οὕτω νόει ὡς ἀπελθόντος αὐτοῦ μόνοι οἱ Ἀτρεῖδαι καταληφθήσεσθαι ἔμελλον (ἀνόητον γὰρ, τοῦ ἄλλου παρόντος αὐτοῖς στρατοπέδου) ἀλλὰ τοῦτο λέγει, ὡς μόνους αὐτοὺς καταλείψει μὴ τοῦτον ἔχοντας.

l. 466. Ὢν αὐτὸς] μὴ λάβῃς εἰς τὸ ὢν ἔξωθεν τὸ ἀπὸ, ἀλλ' οὕτω λέγε, τὸν ἀριστείων στέφανον μέγαν ἔχεν αὐτὸς εὐκλείας καὶ δόξης. ἔστι δὲ τὸ εὐκλείας πρὸς τὸ στέφανον συναγόμενον. οὐ γὰρ ἕτερός ἐστιν ὁ τῶν ἀριστείων στέφανος ἀλλ' ἢ εὐκλείας στέφανος.

l. 468. Πρὸς ἔρυμα Τρώων] μέρος ἦν τι τοῦ τῆς Τροίας τείχους σαθρὸν, ὃ φοβούμενοι Τρῶες μὴ πορθηθεῖεν ἐκεῖθεν, ἄνδρας πρὸς τοῦτο συνεχεῖς κατέστησαν φυλακῆς ἕνεκα, οὓς νῦν καλεῖ ἔρυμα.

l. 471. Οὐκ ἔστι ταῦτα] ἤγουν οὔτε τὸ τὰς ἕδρας τὰς ναυλόχους λιπεῖν, καὶ ἀπιέναι πρὸς τὸν πατέρα· οὔτε μὴν τὸ εἰς μάχην συνελθεῖν, εἶτα τελευταῖον ἀποθανεῖν.

¶ Σχῆμ. l. 474. Αἰσχρὸν γὰρ] γνωμικόν.

¶ Σχῆμ. l. 481. Οὐδεὶς ἐρεῖ] παραμυθία τῶν φίλων Αἴαντος καὶ τῆς αὐτοῦ γυναικός.

l. 482. Ὑπόβλητον λόγον] ὑπόβλητα καλεῖται τὰ νόθα τῶν παίδων, διὰ τὸ ὑπ' αὐτὰς τιθέναι τὰς πλείστας τῶν γυναικῶν ἑτέρων τέκνα μητέρων, ὥς τε καταπεῖσαι τοὺς ἑαυτῶν ἄνδρας, γνήσια ἑαυτῶν εἶναι τὰ ὑπ' αὐτὰς κλαυθμυρίζοντα βρέφη.

l. 487. Ὦ δέσποτ' Αἴας] ταῦτα ἐκ τῶν Ὁμήρου μεμίμηται, ὅτε Ἀνδρομάχη πρὸς τὸν ἴδιον ἄνδρα Ἕκτορα εἰς πόλεμον ἐξερχόμενον δεινοπαθοῦσα ἐπεχείρει κάμπτειν εἰς ἔλεον, καὶ τῆς ὁρμῆς ἐπισχεῖν.

l. 493. Τὸ σὸν λέχος ξυνῆλθον] τὸ ξυνῆλθον ἀπορίαν τινὰ ἔχει, διὰ τὸ δοκεῖν πρὸς αἰτιατικὴν συντάσσεσθαι. τὸ δ' οὐκ ἔστι τοιοῦτον, ἀλλ' ὥσπερ φαμὲν, συνῆλθον τὴν σὴν οἰκίαν, ἀντὶ τοῦ σὺν σοὶ τὸν οἶκον ὑπέδυσα, ἔννοιαν γὰρ κοινωνίας ἡ σὺν παρίστησιν. εἰ καὶ μὴ τὸ τὴν κοινωνίαν ποιοῦν δείκνυσι πρόσωπον· οὕτω δὴ κἀνταῦθα, συνῆλθον τὸ σὸν λέχος, ἤγουν, μετὰ σοῦ τὴν σὴν κοίτην ἔβην, καὶ κοινωνόν με ταύτης πεποίησαι. ἢ τὸ κατὰ πρὸς τὸ λέχος ἔξωθεν λάμβανε, οὕτω, συνῆλθόν σοι κατὰ τὸ σὸν λέχος, ἤγουν, ἐν σοὶ κατέστην οὐ δούλη, ἀλλὰ γυνὴ εἶναί σοι. τὸ δὲ τοι παροιμ. ἀντὶ τοῦ ἀληθῶς, τό σοι ἁρμόττον σπουδάζω, καὶ μάλιστα τῶν σῶν φροντίζω.

Pag. 27. l. 500. Δουλίαν] τὸ δουλίαν διὰ τὸν τοῦ μέτρου κανόνα ἰωτογραφεῖται, καὶ ἔστιν Ἰωνικῆς διαλέκτου, ὡς καὶ τὸ προμηθίαν, καὶ ἀληθίαν, καὶ τὰ τοιαῦτα· οἱ δὲ διὰ διφθόγγου αὐτὸ γράφοντες, καὶ ἔτι οἱ δούλειον λέγοντες, οὐ καλῶς γράφουσιν.

l. 513. Ὀρφανιστῶν] ἤγουν κακῶν, οὓς οὐδεὶς ἂν φιλήσῃ, καὶ μάλιστα ὁ ἐπιτροπευόμενος, ὡς μὴ προσηκόντως ἐπιμελουμένους.

l. 525. Οὐκ ἂν] ἤγουν οὐκ ἂν εἰς τὸ ἑξῆς ταύτης γενναῖος νομισθείη. ἔστι γὰρ τοῦτο ἀγνώμων.

l. 527. Αἰνοίης γὰρ ἂν] ἤγουν ἐπαινοίης ἄν, εἰ συμπαθῶς καὶ μετὰ τοῦ πράου οἷς λέγει προσενεχθείης, τοῦ σκληροῦ καὶ ἀνενδότου χαλάσας.

l. 535. Τοῦτό γ' ἀρκέσαι] μὴ λάβῃς εἰς τὸ τοῦτο ἔξωθεν κατά.

l. 537. Ὠφελοῖμί σε] ὠφελοίην ἔδει εἰπεῖν, ποιητικῇ δὲ ἀδείᾳ οὕτω χρῆται τοῖς εὐκτικοῖς.

Pag. 29. l. 439. Ἐμφανῆ τ' ἰδεῖν] ἐμφανῶς δέον εἰπεῖν, πρὸς τὸ αὐτὸν ἤγαγεν.

l. 548. Τὰ πατρόθεν] ἤγουν τὰ ἐκ πατρὸς ἰδιώματα. λέγω δὴ ἀνδρείαν καὶ φρόνησιν, καὶ τὸ γενναῖον ἐν συμφοραῖς. ἤγουν, εἴπερ οὐ μόνον κατὰ τὴν σπορὰν ἐμός ἐστιν υἱὸς, ἀλλὰ καὶ κατὰ τὰ φυσικὰ πλεονεκτήματα ἐμοὶ ἔοικεν ἀληθῶς.

¶ Σχῆμ. l. 551. Ὦ παῖ, γένοιο] παραίνεσις Αἴαντος πρὸς τὸν ἑαυτοῦ παῖδα, καὶ λόγοι συντακτήριοι πρὸ τῆς αὐτοῦ τελευτῆς.

¶ l. 555. Ἐν τῷ φρονεῖν] γνωμικόν.

l. 556 Κάρτ' ἀνώδυνον] κακὸν μὲν, διὰ τὸ δίκην ἀλόγου ζώου τὰ νήπια ζῆν, καὶ τὸ οἰκεῖον κακὸν ὡς ἥδιστον πολλάκις αἱρεῖσθαι, ξίφος λέγω καὶ πῦρ, καὶ κρημνὸν, καὶ τὰ τοιαῦτα· ἀνώδυνον δὲ, διὰ τὸ μηδενὸς δυσχεροῦς ἐπαισθάνεσθαι, καὶ

σῇ

ὡς ἐντεῦθεν τήκεσθαι λύπῃ.

l. 567. Αλλ' ἄνδρες ἀσπιστῆρες] τὸ φροντίδα ποιεῖσθαι τοῦ οἰκείου παιδὸς τῆς χερῶν, καὶ ἀπελθόντα εἰς Σαλαμῖνα μετὰ τοῦ Τεύκρου παραδιδόναι Τελαμῶνι τὸν παῖδα, χάριν αὐτοῖς λογίζεται Αἴας. τὸ δὲ Ἐρίβοια λέγω, εἶπεν, ἵν' ἐπειδὴ τοῦτο ἀόριστον ἦν, μή τινες πλανῶνται, ἀγνοῦντες ὁποίαν λέγει, εἴτε Ἡσιόνην, εἴτε Ἐρίβοιαν. ἀμφότεραι γὰρ ἔζων τότε, ἡ μὲν οὖσα Τεύκρου μήτηρ, ἣν Τελαμὼν παρ' Ἡρακλέους γέρας εἰλήφει, ὁπότε εἰς Τροίαν ἐστράτευσεν· Ἐρίβοια δὲ, Αἴαντος.

l. 577. Ἄρρηκτον σάκος] στερρὸν καὶ μὴ ῥηγνύμενον. ὑπερβολικῶς δὲ τοῦτο λέγει.

Pag. 31. l. 584. Θρηνεῖν ἐπῳδὰς] ὃ λέγει, τοιοῦτόν ἐστιν, Οὐκ ἔστιν ἀγαθοῦ ἰατροῦ, ἐάν τις ἀνιάτως ἔχῃ χρεὸς, ἢ σκέλος, μὴ τομὴν ἐπισπεύδειν τούτου, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ λοιπὸν σῶμα συνυποστείη φθοράν· ἀλλὰ παραμυθεῖσθαι λόγοις πειρᾶσθαι, ὡς προσδοκᾶν χρὴ τὴν ἴασιν. ὥστε καὶ αὐτὴ μή με δακρύοις ἐπιχείρει μαλάσσειν, καὶ ὃν προὔθέμην σκοπὸν ἀποστερεῖν· λέγω δὴ, τὸ τεθνάναι. τοῦτο γὰρ ἐμοὶ νῦν οὕτως ἔχοντι κρεῖττον ἢ ζῆν.

l. 592. Ως οὐδὲν] ὃ λέγει, τοιοῦτόν ἐστιν, οὐκ εἰμὶ ὀφειλέτης ἀρκεῖν τοῖς θεοῖς, ἤγουν ἀρκετὸς καὶ ἀνελλιπὴς αὐτοῖς εἶναι, τοῦτ' ἔστι τιμᾶν καὶ θεραπεύειν, ὡς δεῖ καὶ μηδὲν ἐλλείπειν τῶν δεόντων εἰς αὐτοὺς γίνεσθαι, ὡς τῆς ζωῆς ἀνθρώποις αἰτίους καὶ πάντα τἄλλ' ἀγαθὰ παρέχοντας. ἢ τὸ θεοῖς πρὸς τὸ, εἰμὶ ὀφειλέτης, συνάπτε. τὸ δὲ ἀρκεῖν ἀντὶ τοῦ διαρκεῖν καὶ εἰς τὸ ἑξῆς ζῆν, λέγει, οὕτως, οὐκ ὀφείλω τοῖς θεοῖς ζῆν εἰς τὸ ἑξῆς. εἰ μὲν ἐφρόντιζον ἐμοῦ καὶ ἐπεμελοῦντο, ἀνάγκην ἂν εἶχον καὶ αὐτὸς ζῆν, ἐφ' ᾧ τούτους τῆς φροντίδος ἀμείβεσθαι τιμαῖς καὶ θυσίαις· ἐπεὶ δὲ ἠμελήκασι, καὶ οὕτως ἀτιμασθῆναι παρεῖσαν, οὐδέν με τὸ ἀναγκάζον ἐστὶ τοῦ ζῆν ἔτι ποιεῖσθαι λόγον. ἢ οὕτως ἐρεῖς, οὐ πέπεισαι καὶ οὐ γινώσκεις ὡς οὐδαμῶς εἰμὶ ὀφειλέτης τοῖς θεοῖς εἰς τὸ ἑξῆς ἀρκεῖν καὶ βοηθεῖν τινί. ἤγουν, ἐπεὶ οἱ θεοὶ οὕτω με εἴασαν ἀτιμασθῆναι, οὐ χρεωστῶ διὰ τοῦτο ἔτι βοηθεῖν ἢ σοὶ, ἢ ἑτέρῳ. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἡ Τέκμησσα Πρὸς θεῶν ὑπείκου μὴ προδοὺς ἡμᾶς γένῃ, αὐτῷ εἴρηκεν· ὅθεν καὶ βλασφημίαν ἡγησαμένη τὸν λόγον, Εὔφημα φώνει, λέγει.

l. 602. Σὺ μέν που ναίεις] τὸ που ἀποδίδοται πρὸς τὸ εὐδαίμων, καὶ πρὸς τὸ ἑξῆς, οὐ πρὸς τὸ ἁλίπλαγκτος. οὐ γὰρ ἐνδεῖ τὸ εἰκασμοῦ εἰ ἔστιν ἁλίπλαγκτος, ἀλλ' εἰ ἔστιν εὐδαίμων. τὸ δὲ ἁλίπλαγκτος πρὸς τὸ Σαλαμὶς συνάπτε. τό γε μὴν ναίεις ἀντὶ τοῦ οἰκῇ ἐνταῦθα λέγει, ἢ ἀπὸ τοῦ οἰκοῦντος τὸ οἰκούμενον, ὥσπερ ἐστὶ καὶ τὸ ὄργανον ἀντὶ τοῦ ἔργου, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον, ὡς τὸ Λαΐνεοισιν Ἀμφίονος ὀργάνοις, παρ' Εὐριπίδῃ. ἄλλως δὲ ὅτι καὶ ἡ τῶν ἐνοικούντων οἴκησις, αὕτη ἐστὶν οἴκησις.

l. 608. Μήλων πόᾳ] μήλων πόᾳ γράφε, καὶ μὴ ποίᾳ μήλων, διὰ τὸ μέτρον.

l. 609. Εὐνώμᾳ] οἱ γράφοντες εὐνόμα τὸ Νο μικρὸν, καὶ συνάπτοντες πρὸς τὸ ποίᾳ, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. χρὴ οὖν πρὸς τὸ χρόνῳ συνάπτειν, καὶ μεγεθύνειν τὸ νω, ἵν' εἴη, τῷ εὐνώμῳ καὶ εὐκινήτῳ χρόνῳ· νωμῶ γὰρ τὸ κινῶ. τό γε μὴν μήλων γλωσσικὸν ὄνομα παρ' Ὁμήρῳ ἐστίν. εἰπὼν γὰρ οὕτος μῆλα, ἐπάγει ὄϊές τε καὶ αἶγες.

l. 612. Ετι με πότ' ἀνύσειν,] τὸ ποτ' ἀνύσειν, οὐκ ἔστι πότε ἀνύσειν, εἰ διαλελυμένως εἴποις, ἀλλὰ ποτὲ ἀνύσειν· διὰ δὲ τὴν συναλοιφὴν μετετέθη ὁ τόνος. οὕτω δὲ ἐρεῖς, ἔχων ἐλπίδα κακὴν ἀνύσαι καὶ διελθεῖν καὶ περάσειν ποτὲ ἐμὲ ἔτι καὶ εἰς τὸ ἑξῆς, τὸν ἀπότροπον καὶ μισητὸν πᾶσιν ἀΐδην, τὸν ἀΐδηλον καὶ ἀφανῆ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι, πολὺν χρόνον μίμνω ἐν τῇ Τροίᾳ ἀνήριθμος καὶ ἄτιμος καὶ μὴ εἰς ἀριθμὸν ὢν, τρυχόμενος καὶ δαμαζόμενος τῷ τοσούτῳ χρόνῳ, ἐλπίδα ἔχων κακὴν ἀποθανεῖν ποτὲ καὶ διελθεῖν τὸν ᾅδην. οὐ γὰρ ἤλπιζον ὑποστρέφειν εἰς τὴν αὐτὴν χώραν. κακὴν δὲ τὴν ἐλπίδα εἶπε, διὰ τὸ τοῦ θανάτου ἐλπίδα εἶναι, καὶ οὐκ ἀγαθοῦ τινός.

l. 618. Ξυνώεσιν ἔφεδρος] ἔφεδρος κυρίως, ὁ παρεσκευασμένος, ὅταν δύο τινὲς παλαίωσιν, παλαίσειν τῷ νικήσαντι.

l. 619. Πρὶν δὴ] πρὶν δή ποτε γράφε, καὶ νικῶντ' ἐν ἄρει· καὶ φρενός γ' οἰοβώτας. οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὰ τῆς στροφῆς κῶλα. εἰ δ' ἄλλως γράφεις, οὐκ ὀρθῶς ἔχει.

l. 621. Οἰοβώτας] μεμονωμένος, πεπλανημένος. ἐκ μεταφορᾶς τῶν θρεμμάτων τῶν τῆς ἀγέλης κεχωρισμένων, καὶ καθ' ἑαυτὰ φερομένων.

Pag. 33. l. 632. Λευκᾷ δὲ γήρᾳ] ἐ-

πειδὴ τὸ γῆρας λευκαίνει τὰς τρίχας, διὰ τοῦτο εἶπε τῷ λευκῷ, ἀπὸ τοῦ ποιουμένου τὸ ποιοῦν.

l. 636. Τόον ὄρνιθος] τοῦτο εἶπε διὰ τὸ ἀεὶ θρηνεῖν τὴν ἀηδόνα τὸν υἱὸν Ἴτυν. παραβάλλει δὲ τὸ τῆς ἀηδόνος θρήνον καὶ τῆς Ἐριβοίας, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τοῦ τῆς ἀηδόνος.

l. 647. Ἠκῶν γλυκὰς ἄριστος] οὕτω γράφε, ἵν᾽ ᾖ ὅμοιον τῷ τῆς στροφῆς κώλῳ. οὕτω γὰρ εὑρέθη καὶ ἔν τινι τῶν παλαιῶν πάνυ.

l. 649. Πολυπόνων] πολυμόχθων τὰ ἐς πόλεμον. ἤγουν, ἐκ παιδὸς ἔχων τὸ πρὸς πολέμους καὶ μάχας ἀνδρείως ὁρμᾶν. τούτου μὲν τοῦ ἐκ φύσεως προσόντος αὐτῷ ἀπέστη, πρὸς δὲ τὰ παρὰ φύσιν ὥρμησεν ὑπὸ τῆς μανίας.

¶ Σχῆμ. l. 659. Ἀπαυθ᾽ ὁ μ.] Αἴαντος μεταμέλεια δῆθεν ἐφ᾽ οἷς προεῖπε τὸν θάνατον αἱρούμενος. ἔστι δὲ καὶ τοῦτο γνωμικόν.

l. 662. Χῷ δεινὸς ὅρκος] ὅτι καὶ ὀμόσαντες πολλάκις τινὲς, ἐν μεταβολῇ γίνονται τῷ χρόνῳ.

l. 663. Ὃς τὰ δεινὰ] τὰ δεινὰ, τὰ μεγάλα ὑπομένων, λέγω δὴ τὸ ἀκαμπτος εἶναι. ἤγουν ὃς ἦν ἀνένδοτος.

l. 664. Βαφῇ σίδηρος ὣς] ἢ πρὸς τὸ ὣς στικτέον· ἵν᾽ ᾖ οὕτως, ὃς ἐκαρτέρουν τὰ δεινὰ, ἤτοι σκληρὸς καὶ ἀνένδοτος ἦν, καθάπερ βεβαμμένος σίδηρος. ἢ πρὸς τὸ τότε, ἀντὶ τοῦ ἐθηλύνθην τὸ στόμα ὑπὸ τῆσδε τῆς γυναικὸς, ὥσπερ ἐν βαφῇ σίδηρος, ἤτοι βεβαμμένος ὑπὸ ἐλαίου, θηλύνεται. ἔστι δὲ κρεῖττον τὸ πρότερον. εἰκότως δὲ εἶπε τὸ στόμα, ἐπειδὴ καὶ τὰ σκληρὰ ἐκεῖνα διὰ τῆς γλώττης ἔφερεν.

Pag. 35. l. 665. Ὡς ἂν λύμαθ᾽ ἁγνίσας] ἔθος ἦν τοῖς παλαιοῖς ὅτε ἢ φόνον ἀνθρώπου, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπτειν τὰς χεῖρας εἰς κάθαρσιν τοῦ μιάσματος.

l. 669. Ἔχθιστον βελῶν] τῶν ἀμυντηρίων δηλαδή. βέλη γὰρ τὰ πεμπόμενα, κυρίως.

l. 670. Γαίας ὀρύξας] μὴ λάβῃς εἰς τὸ γαίας ἔξωθεν τὸ ἀπὸ, ἀλλ᾽ οὕτω λέγε, κρύψω δὲ τὸ ἐμὸν ἔγχος, ὀρύξας ἔνθα τῆς γαίας οὐδεὶς ὄψεται.

l. 671. Ἀλλ᾽ αὐτὸ νὺξ ἅδης τε] ταῦτα φησὶ κατ᾽ αὐτὸ τὸ φαινόμενον, ἀφάνεια καὶ φθορά· τὸ δὲ ἀληθὲς διὰ τὴν μέλλουσαν αὐτὸν καταλήψεσθαι νύκτα καὶ θάνατον, ὧν αἴτιον τὸ ξίφος.

l. 673. Δυσμενέστατου] τοῦτο λέγει, ἢ διὰ τὸ εἶναι αὐτὸν πολέμιον αὐτῷ τε καὶ πᾶσι τοῖς Ἕλλησιν, ἢ (ὅπερ καὶ αὐτὸς λέγει) διὰ τὸ μηδενὸς χρηστοῦ ἀπολαῦσαι, ἐξ ὅτου εἰλήφει παρ᾽ αὐτοῦ τὸ ξίφος.

l. 675. Ἀλλ᾽ ἔστ᾽ ἀληθὴς ἡ βροτῶν παροιμία] ἢ διὰ μέσου συναπτέον τὸ ἀλλὰ, πρὸς τὸ ἐχθρῶν ἄδωρα δῶρα, ἢ οὕτως, ἀλλ᾽ ἔστιν ἡ παροιμία ἀληθής. ἀντὶ τοῦ εἰπεῖν δὲ τὸ ἐχθρῶν ἄδωρα δῶρα, χωρὶς τούτου ἐπήνεγκε, καὶ ἔστι τῇ μὲν ἐννοίᾳ συνημμένον, καὶ τῇ τοῦ λόγου ὁρμῇ· κατὰ δὲ τὴν φράσιν, κομματικόν.

l. 677. Ἀτρείδας σέβειν] αἰτιῶνται κακῶς τινὲς ἐνταῦθα τὸν ποιητὴν, ὅτι δέον τὸ σέβειν πρὸς τοὺς θεοὺς εἰπεῖν, τὸ δὲ εἴκειν πρὸς τοὺς Ἀτρείδας, ὁ δὲ διηλλαξ εἴρηκεν ἀγνοοῦντες ὅτι ἀδιαφόρως εἴρηκεν, (ὥσπερ καὶ τινες τῶν λογοποιῶν) τῆς κυριολεξίας οὐδὲν φροντίσας· ἄλλως τε καὶ τὸ σέβειν οὐ μόνον πρὸς τοὺς θεοὺς, ἀλλὰ καὶ πρὸς τοὺς ἀνθρώπους φαμέν.

l. 681. Εὐκάρπῳ θέρει] διὰ τί οὐκ εἶπε τῷ ἔαρι, μετὰ τὸν χειμῶνα ὄντι, ἀλλὰ τῷ θέρει; καὶ φαμὲν ὅτι τὸ ἔαρ οὐκ ἔστιν ἄλλο ἢ χειμῶνος μέρος καὶ ἀπορροή. ἔστι γὰρ καὶ ἐν ἔαρι νιφετὸς πολὺς πολλάκις. διὰ τοῦτο ἀμφοτέρας τὰς ὑπερβολὰς εἴρηκεν, ὡς ἐναντίας. καὶ γὰρ τὸ μετόπωρον μέρος ἐστὶ θέρους ῥαίζοντος.

¶ Σχῆμ. l. 670. Ἐχθρῶν ἄδ.] γνωμικόν.

¶ l. 674. Καὶ γὰρ τὰ δεινὰ] γνωμικόν.

l. 684. Ἐκοίμισε] παυθὲν δηλονότι κατεστρέφοντι τουτέστι, καὶ ἄνεμος σφοδρὸς κυμαίνων τὴν θάλασσαν, οὐκ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ παυσάμενος, γαληνιᾷ.

l. 688. Ἐγὼ δ᾽ ἀπίσταμαι] σημειωτέον ἐνταῦθα τὸ σχῆμα τοῦ λόγου. τὸ γὰρ ἐγὼ δὲ, εἰς οὐδὲν ἀποδίδοται, ἀλλὰ τέμνει τὸν λόγον διὰ τοῦ ἀπίσταμαι γὰρ, πρὸς τοῦτο τὴν ἀπόδοσιν ἐποιήσατο. ἀγνοοῦντες δὲ τινες, οἱ μὲν φασὶ τὸ γὰρ ἀργὸν, οἱ δὲ τὸ ὅτι, διὰ μέσου τὸ ἀπίσταμαι γὰρ ἀρτίως, λαμβάνοντες. καὶ μὴν καὶ ἑτέρους ψυχροτέρους ἔστιν ἰδεῖν, τὸ ὅτι ἀντὶ τοῦ λίαν χρωμένους. οὓς ἐάσαντες ἡμεῖς, φροντίζομεν ὡς ἔφαμεν. εὕροις δὲ καὶ παρὰ λογογράφοις πολλ᾽ ἕτερα τοιαῦτα. καὶ μαρτυρεῖ Λιβάνιος ἐν τῷ ὑπὲρ ὀρχηστῶν, λέ-

γων

γων οὕτως, Τὸν μὲν οὖν ἐμὸν ἐς Ἀριστείδην ἔρωτα, καὶ αἱρέσεως μοι δοθείσης ἀναγαγεῖν. τόδε, τὸν μὲν οὖν ἐμὸν ἐς Ἀριστείδην ἔρωτα, ἀναπόδοτον εἴασας. οὕτως, τὸ μὲν ἐγὼ δὲ πρὸς τὸ ὅτι ἀπόδος, τὸ δὲ, ἐπίσταμαι γὰρ ἀρτίως ὅτι διὰ μέσου, ὥσπερ γάρ φησι Σιμωνίσιος, Ἀλλ', εὖ οἶδ' ὅτι, οὐκ ἀπαγορεύσεις, τὸ ἀλλὰ πρὸς τὸ οὐκ ἀπαγορεύσεις συνάπτων, τὸ δὲ εὖ οἶδ' ὅτι, διὰ μέσου, οὕτω καὶ τοῦτο. εὕροις δὲ καὶ ἐν ἄλλοις ἕτερα τοιαῦτα. γίνεται δὲ ἡ ἀπάτη ἐνταῦθα διὰ τὸ γάρ.

l. 690. Ὅτ' ἐχθρὸς] ἀπορoῦσιν ἐνταῦθά τινες πῶς ὅτι ἐχθρὸς ἧμιν, καλῶς εἰπὼν ἐπὶ παρῳχημένου, ἐπειδὴ τεθνήξεσθαι ἔμελλε, μὴ καὶ τὸ ὠφελεῖν ἐβουλόμην, εἶπεν, ἀλλὰ βουλήσομαι ἐπὶ μέλλοντος. οὐ γὰρ ἔμελλε ζῆν. καὶ φαμὲν ὅτι βουλόμενος ἀπατῆσαι αὐτοὺς, ὥστε μὴ ὑποπτεῦσαι αὐτὸν τεθνήξεσθαι τοῦτο ἐπὶ μέλλοντος εἶπεν· καὶ ἄνω ἀπατῶν αὐτοὺς, Εἰσόμεθα θεοῖς εἴκειν, καὶ Ἀτρείδας σέβειν, ἔφη. καὶ κάτω, Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ' ὅποι πορευτέον.

Pag. 37. l. 705. Πὰν ἁλίπλαγκτε] τὸ Πὰν οὕτω καλεῖ διὰ τὸ τὰ ποίμνια ἀντίφορος ἐστὶ, ἔαρος ὥρᾳ καὶ θέρους αἰγιαλοῖς πλησιάζειν.

¶ Σχήμ. l. 708. Θεῶν χορ.] ἐν τῷ θεῶν συνίζησις.

l. 709. Νύσια κνώσια] Νύσσος καὶ Κνωσσὸς πόλεις ἐν αἷς Διονύσου τιμωμένου ὀρχήσεις ἐγίνοντο. φασὶ δὲ ὡς καὶ ἐν τῇ Νύσσῳ ταύτῃ Ζεὺς διητᾶτο, ὁπότε τῆς Σεμέλης κεραυνοβληθείσης ἐρραμμένος αὐτὸς τὰς σφετέρας γονὰς ἐν τῷ μηρῷ, δέκα μῆνας ἐξ ἀρχῆς ἐφόρει.

l. 713. Ἰκαρίων] ἐν ᾧ ἡ Δῆλος κεῖται, Ἰκάριον καλεῖται πέλαγος, διὰ τὸ ἐκεῖ τὸν Ἴκαρον πεσεῖν, ἐρρυηκότων τῶν ἐκ κηροῦ πτερῶν ὑφ' ἡλίου.

Πελαγέων] διφθογγογραφούμενον ἔν τινι τῶν παλαιῶν εὕρηται, καὶ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς, πρὸς δὲ τὸν κανόνα τῆς κλίσεως οὐ καλῶς ἔχει. δοκεῖ μοι οὖν ὡς ἐλλιπὲς ἐστὶ τὸ κῶλον τοῦτο δέ ἐστιν γνωναι ἀπὸ τοῦ κώλου τῆς ἀντιστροφῆς, ἐν ἐκείνῳ γὰρ περιττόν τι ὂν, ἐξεβλήθη παρ' ἡμῶν.

l. 717. Ἀπ' ὀμμάτων ἄρης] ἤτοι ὁ θεός. ἔστι γὰρ αἴτιος τῆς μανίας. ἢ τὸ ἄρης ἀντὶ τοῦ ὁ πολεμικὸς Αἴας. τὸ δὲ ὀμμάτων, ἢ τῶν ἡμετέρων, ἢ τῶν ἑαυτοῦ.

¶ Σχήμ. l. 721. Γάνθ', ὁ μέ.] γνωμικόν.

l. 712. Λαθίπονος] ἤγουν, ἐπιλελησμένος ὑπῆρξε τῶν πόνων, καὶ τῆς λύπης ἣν ἀπὸ μανίας εἶχεν.

l. 724. Ἐξελύσεν] ἐξεπλήρωσεν. ἤγουν, ὅπερ οἱ θεοὶ ἀποδέχονται, σέβειν τε αὐτοὺς λέγω, καὶ τιμὰς νέμειν τοῖς ἄρχουσι, ταῦτ' Αἴας τελεῖν ὑπίσχετο νῦν, τἀναντία πρόσθεν ὑπὸ μανίας φρονῶν.

¶ l. 725. Νεικέων] συνίζησις.

¶ l. 726. Ἄνδρες φίλοι] προκατάστασις καὶ διήγησις τῶν συμπάντων Τεύκρῳ.

l. 727. Καὶ οὐδὲν ἀναύδητον] οἱ γράφοντες οὐδὲν ἀναύδητον φατίξαιμ' ἂν, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. διὸ περιττὸν ὂν ἐξεβλήθη παρ' ἡμῶν, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. ἀλλὰ καὶ οἱ γράφοντες θυμὲν, τὸ Μον μικρὸν, οὐ καλῶς γράφουσι μακρὰ γὰρ ὀφείλει εἶναι ἡ τοιαύτη συλλαβὴ, ὡς καὶ ἡ τοῦ κώλου τῆς στροφῆς.

l. 733. Περισμολὼν στρατήγιον] ἤδουν τὸ στρατόπεδον. κυρίως δὲ στρατήγιον ὁ τόπος ὃς τοῖς στρατηγοῖς ἀφιέρωται μετὰ τῶν ἄλλων τῶν ἀρχόντων βουλεύεσθαι.

¶ Σχήμ. l. 740. Τὸ μὴ οὐ] συνίζησις.

¶ l. 742. Κυλεῶν] συνίζησις.

l. 745. Ἀλλ' ἡμὶν] τὸ ἡμῖν οἱ τεχνικοὶ διτονίζουσι, ποτὲ μὲν περισπῶντες, ὅτε καὶ μακρὰν ἔχει τὴν λήγουσαν· ποτὲ δὲ ὀξύνοντες, ὅτε καὶ βραχεῖαν αὐτὴν ἔχει. καὶ δοκεῖ μὲν βραχὺ εἶναι, ὡς μὴ ὑπὸ συναιρέσεως γενόμενον· οὐ γάρ ἐστιν εἰπεῖν ἡμέϊν ἡμῖν. φύσει δὲ πᾶσα δοτικὴ, μὴ ἀπὸ συναιρέσεως ἔχουσα τὸ ι, βραχὺ αὐτὸ ἔχει. πρὸς ἀναλογίαν μέντοι τοῦ ἡμῶν καὶ ἡμᾶς μακρὰν ἐχόντων τὴν λήγουσαν μακρὸν καὶ αὐτὸ ἐνίοτε γίνεται, καὶ τὸν αὐτὸν αὐτοῖς τόνον δέχεται ὅπερ καὶ ἐπεκράτησε παρὰ τοῖς μεταγενεστέροις. ὅτι δὲ τὸ ἡμῖν δύναται καὶ βραχεῖαν ἔχειν τὴν λήγουσαν, τεκμήριον τὸ ἄμμιν καὶ ὔμμιν, βραχεῖαν αὐτὴν ἔχοντα, οὐ διὰ τὸ ἀναβιβάζειν τὸν τόνον, ἀλλ' ὅτι καὶ τὴν ἀρχὴν ταύτην βραχεῖαν εἶχεν· ὡς καὶ τὸ ἐστὶ καὶ ἔστι. τὰ γὰρ μακρὰν τὴν λήγουσαν ἔχοντα, καὶ ἀναβιβάζοντα τὸν τόνον, μακρὰν πάλιν αὐτὴν φυλάττει, οἷον τὸ χθοῦ, ἀπόχθου, θοῦ, ἀπόθου, καὶ ὅσα τοιαῦτα.

Pag. 39. l. 755. Πρὸς τὸ κέρδιστον] πρὸς τὴν ἀμείνονα βουλήν. τοῦτο γὰρ δη-

λοῖ τὸ κέρδιστον τῆς γνώμης. λέγει δὲ τὴν ἐπὶ καθάρσει ἕξοιεν.

l. 760. Καὶ παρὼν ἐτύγχανον] ἤγουν ἃ μέλλω εἰπεῖν, οὐ παρ' ἄλλου ἤκουσα, ἀλλ' αὐτὸς παρὼν ἠκροώμην.

l. 768. Τῇ δὲ θ' ἡμέρᾳ] λέγουσί τινες ὡς τὸ θ' ἀντὶ τοῦ τε λαμβάνεται, καὶ συνάπτεται πρὸς τὸ γὰρ, οὕτω· καὶ γὰρ ἐλᾷ τῇδέ τε ἡμέρᾳ τοῦτον· σὺ δὲ ἀντὶ τοῦ τοι νόει, κουφιζομένου τοῦ οι, ὥσπερ καὶ τῆς αι διφθόγγου, ὡς ἔχει τὸ βούλομ' ἐγώ.

l. 769. Ὡς ἔφη λέγων] τὸ ἔφη καὶ τὸ λέγων ἐκ παραλλήλου τινὲς οἴονται· τὸ δ' οὐ τοιοῦτον, ἀλλ' ὥσπερ φαμὲν, τοιαῦτα ἔφη δημηγορῶν, οὕτω καὶ τοῦτο, οὕτως ἔφη καὶ οἱ νεκ ἀπεφήνατο, λέγων τὸν περὶ τοῦ Αἴαντος λόγον.

l. 772. Βαρείαις] ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυσβαστάκτων.

l. 774. Ἔπειτα] τινὲς οἴονται εἰς ἀπόδοσιν μετοχῆς τιθέμενον, ἀργὸν εἶναι. τὸ δὲ οὐκ ἔστι τοιοῦτον, ἀλλὰ τὴν αὑτοῦ σώζει φύσιν ἠπατῆσθαι δὲ ἀπὸ τούτου, ὅτι εἰ ἀπῆν τοῦ ῥυθμοῦ, οὐδὲν ἂν τὸν λόγον ἔβλαπτε. πρὸς οὓς φήσομεν, ὅτι καὶ ἕτερα μυρία τοιαῦτά ἐστιν εὑρεῖν, ὥσπερ καὶ τὸ, πρὸς κακοῦ ἐστι τὸ φρονεῖν. τὸν γὰρ αὐτὸν λόγον ἔχει τὸ πρὸς, ἀργὸν δοκοῦν παρὰ τοῖς πολλοῖς.

¶ Σχήμ. l. 774. Κεῖνος δ' ἀπ' οἴκ.] τίνα πρὸς τὸν αὐτοῦ πατέρα Αἴας ἔφη, ὅτε πρὸς Τροίαν ἔμελλε πλεύσειν.

l. 778. Αὐτὸν ἐννέπει] οὐ μόνον πρὸς δοτικὴν τὸ ἐννέπω, ἀλλὰ καὶ πρὸς αἰτιατικὴν ἅπαξ, ὥσπερ καὶ τὸ λέγω.

l. 785. Τότ' ἀντιφωνεῖ] τὸ τότε ἐπανάληψις ἐστὶ τῶν προλαβόντων· ὥστε οὐκ ἐπὶ τῆς δίας Ἀθάνας δεῖ λέγειν, ἀλλὰ λεγούσης τῆς Ἀθηνᾶς τὰ καὶ τὰ τότε, καθ' ὃν δηλονότι καιρὸν ἐκείνῳ ταῦτα ἀντιτέλλετο.

Pag. 41. l. 798. Ξυρεῖ γὰρ ἐν χρῷ] παροιμία ἐπὶ τῶν εἰς βάθος ἀπτομένων λεγομένη, καὶ ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων. λέγεται δὲ καὶ οὕτως, Ἐν ξυρῷ ἵσταται τὸ πρᾶγμα.

l. 805. Ὅτι θυραῖος] τοῦτό φησι διότι παρ' αὐτῶν ἤκουσε. τὸ δὲ εἴπερ ἐστὶν ἀντὶ τοῦ εἴπερ ἀληθῶς ἐστὶν ἐκτός. οὐ γὰρ οἶδε σαφῶς. λέγει δὲ καὶ οὕτω, οὐ θαρσῶ δὲ περὶ τοῦ Αἴαντος, εἴπερ ἐστὶ, τουτέστιν ἐὰν ζῇ, ὅτι θυραῖός ἐστιν· ἢ (ὅπερ καὶ κρεῖττόν μοι δοκεῖ) οὕτω λέγει, οὐκ οἶδα καὶ οὐ γινώσκω τὴν σὴν πρᾶξιν, ἤγουν ἥνπερ λέγεις σὺ πρᾶξιν τοῦ Αἴαντος· οἶδα δὲ καὶ γινώσκω ὅτι οὐ θαρσῶ περὶ τοῦ Αἴαντος, εἴπερ ἐστὶ καὶ ὑπάρχει θυραῖος, καὶ ἐκτὸς τῆς σκηνῆς. ἐπεὶ δὲ ἀμφιβόλως τὸ εἴπερ εἴρηκε, βεβαιοῦσα ἡ Τέκμησσα ὅτι ἔξω ἐστὶ τῆς σκηνῆς, φησὶ, καὶ μὴν θυραῖός ἐστι.

l. 815. Πρόστητ' ἀναγκαίας τύχης] ἤγουν τοῦ παρόντος καιροῦ. οὐκ ἀναγκαῖόν ἐστι προστῆναι, διὰ τὸ ἐπὶ ξυροῦ ἡμῖν τὰ πράγματα ἵστασθαι.

l. 817. Οἱ δ' ἀντηλίους] τὸ ἀντηλίους ἀπὸ τοῦ ἀντολίους γέγονε, κατὰ τροπὴν τοῦ ο εἰς η, ὥσπερ καὶ τὸ φυτοκόμος φυτηκόμος. τοῦτο δὲ διὰ τὸ μέτρον οὕτω γέγονεν. οὐ χρὴ τοίνυν ἀντολίους γράφειν· μακρὰ γὰρ ὀφείλει εἶναι ἡ συλλαβὴ αὕτη. ἀλλ' οὐδὲ πάλιν ἀνθηλίους, ὡς ἔν τισι τῶν βιβλίων εὕρηται· οὐ γὰρ ἀπὸ τοῦ ἥλιος γίνεται, ἀλλ' (ὡς εἴρηται) κατὰ τροπὴν τοῦ ο εἰς η.

¶ Σχήμ. Pag. 41. l. 827. Ὁ μὲν σφαγ.] λόγοι τελευταῖοι Αἴαντος πρὸς τὴν σφαγὴν ἑαυτὸν ἑτοιμάζοντος.

Pag. 43. l. 834. Εὐνούστατον τῷδ' ἀνδρὶ] οἱ μὲν τὸ εὐνούστατον πρὸς τὸ σφαγεὺς φασίν· οἱ δὲ στίζουσιν εἰς τὸ ἐγὼ, καὶ τὸ ἑξῆς κομματικὸν ἐκφέρουσιν, οὐδέτερον τὸ εὐνούστατον νοοῦντες πρὸς τὸ θανεῖν.

l. 840. Περὶ νεορράντῳ ξίφει] ἤγουν τῷ νεωστὶ ὑφ' αἵματος ῥανθέντι. λέγει δὲ τοῦτο ὅσον πρὸς τὸν καιρὸν καθ' ὃν ἔμελλε Τεῦκρος αὐτὸν βαστάσειν. τότε γὰρ νεόρραντον ἦν.

l. 852. Ξυναρπάσασθαι] ἡ ἀκολουθία τοῦ λόγου συναρπάσαι ἀπῄτει πρὸς τὸ μαθεῖν· ἀλλ' ἐπειδὴ εὐχῆς ἐστιν ὁ λόγος, εἰς εὐκτικὸν ἔφερε. διὰ τοῦτο δὲ καὶ κομματικὸν καὶ ἀσύνδετον ἐποίησε τοῦτο, διὰ τὸ εἶναι εὐχήν. τὰς γὰρ εὐχὰς οὕτω ποιεῖσθαι εἰώθαμεν. ἀπορoῦσι δὲ πῶς αὐτοσφαγεὶς εἰπὼν εἶτα ἐπιφέρει, πρὸς τῶν ἐκγόνων. καὶ φαμὲν ὅτι οὐδέν ἐστιν ἐναντίωμα τῷ λόγῳ· εἴγε ἐκεῖνοι μὲν τοὺς παῖδας ἔσπειραν, οὗτοι δὲ αὐτοὺς ἀναιρήσουσιν.

l. 855. Ἴτ' ὦ ταχεῖαι] τὸ ὦ πρὸς Ἐριννύες συντακτέον. κρεῖττον γὰρ τοῦτο, εἰ καὶ δοκεῖ τινὰ ἔχειν λόγον καὶ πρὸς τὸ ταχεῖαι συντάσσεσθαι.

Pag. 45. l. 878. Πόνος πόνῳ] βουλόμενος ὁ χορὸς δεῖξαι τὴν ὑπερβολὴν τοῦ κόπου ὃν εἶχεν ἐπιζητήσει τοῦ Αἴαντος, φησὶν ὅτι πόνον ἐπὶ πόνῳ προστίθημι, καὶ οὐδα-

ὐδαμῶς ὃ σπεύδω γίνεται· λέγω δὴ, εὑρεῖν Αἴαντα.

l. 880. Συμμαθεῖν τόπος] τὸ συμμαθεῖν ἀντὶ τοῦ σὺν ἐκείνῳ γνῶναι. τουτέστιν οὐδεὶς τόπος ἔχει τὸν Αἴαντα, (τοῦτο γάρ ἐστι τὸ ἐπίσταται) ὥστε ἐν τούτῳ εὑρεῖν με αὐτὸν κείμενον. οἱ δὲ λέγοντες τὸ συμμαθεῖν ἀντὶ τοῦ διδάξαι, οὐκ ὀρθῶς λέγουσιν.

l. 887. Ἀλλ' οὐδ' ἐμοὶ δὴ] ἡ σύνταξις, ἀλλ' οὐ μοι δηλοῖ. καὶ φαίνεται ὁ ἀνὴρ, ἤγουν ὁ Αἴας, μολὼν καὶ ἐλθὼν τὴν ἀφ' ἡλίου κέλευθον καὶ ὁδὸν, φανεὶς, οὐδαμοῦ. τοῦτ' ἔστιν, ἐπειδὴ οὐκ ἐνταῦθα εὕρηται, δείκνυται ὡς οὐδ' ἐν τοῖς μέρεσι τούτοις ὥρμηται. ἢ καὶ οὕτως, ἀλλ' οὐδ' ἐμοὶ δὴ, μολὼν (ἤγουν ἐλθὼν) ὁ ἀνὴρ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου ἄγουσαν δηλονότι, φαίνεται οὐδαμοῦ, τουτέστιν, ἐν οὐδενὶ τόπῳ φαίνεται.

l. 891. Τίς ἂν δή μοι] ἡ σύνταξις, τίς ἁλιεὺς, ἢ θεὸς, ἢ διατριβὴν περὶ τοὺς ποταμοὺς ποιούμενος, καὶ ἔμπειρος ὢν αὐτῶν, βλέπων τὸν Αἴαντα εἴπου πλάζοιτ', ἀπύοι ἂν καὶ φωνήσοι, καὶ εἴποι ἐμοὶ εἰ ἄρα πλάζεται καὶ οὐκ ἀπόλωλεν.

l. 897. Εἴσοθι] εἴποθι πλάζοιτ' ἂν, ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τὸ τῆς ἀντιστροφῆς κώλῳ.

l. 901. Μακρῶν πόν.] Περιττὸν ἦν κἀνταῦθα εἰς τὸ μακρῶν πόνων τὸ ἀλάταν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. σύνταξις δὲ οὕτω, σχέτλιόν ἐστιν ἐμοὶ (ἤγουν χαλεπὸν) μὴ πελάσαι καὶ πλησιάσαι δρόμῳ οὐρίῳ, τοῦτ' ἔστι τέλει εὐοδουμένῳ τῶν μακρῶν πόνων τέλει δὲ ὀφείλων εἰπεῖν, δρόμῳ εἶπεν ἐπεὶ καὶ τὸ τέλος τοῦ δρόμου δρόμος ἐστί.

l. 906. Ἰώ μοι μοι] εἰκότως οὐκ ἄλλον τινὰ ἢ τὴν Τέκμησσαν πεποίηκεν εὑρεῖν τὸν Αἴαντα, δεικνὺς ἐντεῦθεν ὡς οὐδεὶς ἕτερος τοσοῦτον φροντίζει ὅσον ἡ γυνὴ τοῦ ἰδίου ἀνδρός.

Pag. 47. l. 923. Ἐν γάρ οἱ χθονὶ] ἡ σύνταξις, τὸ γὰρ ἔγχος τὸ περιπετὲς οἱ καὶ αὐτῷ, τὸ ἐν τῇ χθονὶ πηκτὸν καὶ πεπηγμένον, κατηγορεῖ αὐτοῦ δηλονότι τὴν πρᾶξιν. ἤγουν παρίστησιν ὡς αὐτὸς τὴν σφαγὴν εἰργάσατο, καὶ αὐτόχειρ αὐτοῦ γέγονεν. ἔστι γὰρ καὶ κατηγορῶ οὐ μόνον τὸ τινὸς καταφερομένη λόγοις, ἀλλὰ καὶ τὸ ἐπαινῶ τινὸς ἀγορεύω, ὥσπερ ἔχει καὶ ἡ παρὰ φιλοσόφοις κατηγορία. δηλοῖ δὲ καὶ Φιλόστρατος ἐν τῷ Ἰσοκράτους βίῳ, λέγων, Η δὲ στήλη ἡ ἐφεστηκυῖα τῷ Ἰσοκράτους σήματι ὑπομνηστὴν κατηγορεῖ τοῦ ἀνδρός.

l. 934. Οὐδεὶς ἂν ὅστις καὶ φίλος] ἤγουν, οὐ μόνον ἐχθρὸς βδελύξεται αὐτὸν ἰδεῖν, (οὐ γὰρ μέλλοι αὐτῷ τούτου) ἀλλὰ καὶ οὐδεὶς φίλος τλαίη ἂν καὶ ὑπομείνοι αὐτὸν ἀπὸ τῆς οἰκείας σφαγῆς φυσῶντα καὶ ἀναπέμποντα ἄνω πρὸς τὰς ῥῖνας τὸ μελανθὲν αἷμα, καὶ ἐκ τῆς φοινικῆς πληγῆς. ἀμφοτέρωθεν γὰρ τὸ αἷμα ἐξήρχετο, καὶ ἐκ τῆς πλευρᾶς πρὸς ἣν ἡ πληγὴ γέγονε, καὶ ἐκ τῶν ῥινῶν διὰ τοιαύτην αἰτίαν. περιπεσόντος γὰρ αὐτοῦ τῷ ξίφει ἐν γῇ στερρῶς πεπηγμένῳ, καὶ διὰ τοῦτο πρὸς τὸν τόπον ἔνθα ἡ λαβὴ τοῦ ξίφους ἐπέπηκτο, ἐκ βάρους πελάσαντος, οὐκ εἶχεν διέξοδον ῥᾳδίαν· καὶ διὰ τοῦτο εἰργόμενον, καὶ ζητοῦν διέξοδον, ἐκ τῶν ῥινῶν ἀνεδίδοτο, φοινίαν δὲ πληγὴν ἴσως λέγει, οὐ τὴν πρώτην ἐν τῇ πλευρᾷ τομὴν, ἀλλὰ τὴν ἑτέραν τοῦ ξίφους διέξοδον.

l. 954. Ἡμῶν ἀριστόχειρ] ἤγουν ἀγών ἀρίστων καὶ ἀνδρείων δεόμενος, δυναμένων βαστάσαι τὸν Ἀχιλλέα, ἵνα τὰ αὐτοῦ λάβῃ ὅπλα τούτου ἕνεκα.

l. 955. Ἀχιλλέως] ἴαμβος ὀφείλει εἶναι τέλειος ὁ παρὼν στίχος, ἵν' ᾖ ὅμοιος τῷ τῆς ἀντιστροφῆς. διὸ τὸ Ἀχιλλέως προσετέθη παρ' ἐμοῦ, ἁρμοδίως οἶμαι.

Pag. 49. l. 959. Τοιοῦδ' ἀποβλ.] στερηθεῖσαν. ὅταν γάρ τις τινὸς στερηθῇ, ἀπ' ἐκείνου οὗ ἐστέρηται βέβλαπται, αὐτῷ τῷ στερηθῆναι.

l. 981. Οἱ δ' οὖν γελώντων] ἀντὶ τοῦ γελάτωσαν. τοῦτο δ' ἔφαμεν, λαμβάνοντες ἔξωθεν εἰς τὴν τοιαύτην γνωμικὴν τὸ ἔστωσαν. ἐπὶ δὲ τῶν παθητικῶν, δεῖ τυπτέσθων καὶ τῶν τοιούτων, οὐχ οὕτω λέγομεν, ἀλλὰ τὸ δυϊκὸν ἀντὶ τοῦ πληθυντικοῦ φαμὲν λαμβάνεσθαι.

¶ Σχήμ. l. 994. Ἰώ μοι μοι. Σίγησον] ἄφιξις Τεύκρου ἔνθα ἦν Αἴας.

¶ l. 1013. Τοῖς θανοῦσι] γνωμικόν.

¶ l. 1017. Ω τῶν ἀπαντ'.] Τεύκρου θρῆνος καὶ δεινοπάθεια ἐπὶ τῷ συμβάντι δεινῷ.

¶ Pag. 53. l. 1022. Οἴ μοι] παρεπιγραφή.

l. 1024. Ω δυσθέατον ὄμμα] ἰστέον ὅτι τὸ ὦ οὐ μόνον πρὸς κλητικὴν ἀλλὰ καὶ πρὸς γενικὴν φέρεται. ἀμφότερον οὖν

ἐστιν

ὅθεν ἐνταῦθα. Ἄλλως, Ὦ δυσθέατον λέγω ὄμμα, καὶ ὦ ὄμμα τολμῆς πικρᾶς. τολμῆς γὰρ ἦν τὸ ὄμμα. πρὸς γενικὴν δὲ τὸ ὦ συντάττεται, λόγον οὐκ ἔχει. πρὸς εὐθεῖαν μέντοι σπανίως, ὡς τὸ, ὦ οὗτος, καὶ ὦ δυστυχής.

l. 1047. Παῦρα δή ἀφ.] παρὰ ποσὶ μὲν τῶν βιβλίων, παῦροι, παρά τισι δὲ παῦρα εὑρίσκεται. ἔστι δὲ τὸ παῦρα κρεῖττον τοῦ παῦροι, διὰ τὸ σώζειν τὸ μέτρον. τέταρτος γὰρ ποὺς ἐστὶν· ὀφείλει δὲ οὗτος ἴαμβος εἶναι. εἰ δέ τις εἴποι ὅτι καὶ τὸ παῦροι τὸ ροι βραχύ ἐστι, (διὰ τοῦτο γὰρ καὶ τὸ παῦ προπερισπώμενον) ἴστω ὅτι οἱ ποιηταὶ τῶν ὀνομάτων πληθυντικῶν τὰ τέλη, εἴτε διὰ τοῦ αι ἐκφέρονται, ὡς τὸ μοῦσαι· εἴτε διὰ τοῦ οι, ὡς τὸ πλόοι, ἀντὶ μακρῶν δέχονται, ἐὰν μὴ ἡ ἐπαγομένη λέξις ἀπὸ φωνήεντος ἄρχηται. τότε γὰρ αὐτὰ κοινὴν συλλαβὴν ἡγοῦνται. ἔστι δὲ τὸ παῦρα ἀντὶ τοῦ ὀλίγα καὶ οὐδαμῶς· ὥσπερ ἐστὶ καὶ τὸ, Τί βαιὸν οὕτως ἐντρέπῃ τῆς συμμαχίας; τὸ γὰρ βαιὸν ἀντὶ τοῦ ὀλίγον καὶ οὐδαμῶς ἐνταῦθα νοητέον. οὐ μόνον δὲ τὰ τέλη τῶν πληθυντικῶν ὀνομάτων, ἀλλὰ καὶ τὰ τῶν ὁριστικῶν ῥημάτων, καὶ ἀπαρεμφάτων καὶ προστακτικῶν, τὰ δίφθογγον ἔχοντα ἐν τῷ τέλει, ἀντὶ μακρῶν δέχονται, συμφώνου ἐπιφερομένου φωνήεντος δὲ, καὶ ταῦτα κοινὴν συλλαβὴν ἡγοῦνται.

l. 1054. Ἕκτωρ] ὁ Ἕκτωρ ἐν τῷ ζωστῆρι ᾧ ἐδωρήθη καὶ ἐφιλοφρονήθη παρὰ τοῦ δὲ τοῦ Αἴαντος, ἐκνάπτετο, καὶ συρόμενος κατεκόπτετο, ἐκ τῶν ἱππικῶν ἀντύγων καὶ τῆς τοῦ ἅρματος περιφορείας, ἕως καὶ ἕως οὗ ἀπέψυξε τὸν βίον. ἀπέψυξε δὲ εἶπεν ἀντὶ τοῦ ἀπεβάλετο τὸν βίον καὶ τὴν ζωὴν, ψυχθεὶς καὶ κατακοπείς· παρ' ὅσον οἱ ἐκπνέοντες ψυχραίνονται παντὶ τῷ σώματι, τοῦ τὴν θέρμην ἐμποιοῦντος αἵματος εἰς τὴν καρδίαν εἰσδραμόντος, φυλακῆς ἕνεκα, καὶ πάντα τὰ μέρη καταλελοιπότος ψυχρά.

l. 1065. Ἀλλ' ὅπως κρύψεις] τὸ ὅπως ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ καθὸ· ἐνταῦθα δὲ ἀντὶ τοῦ πῶς.

l. 1068. Ἐξίκοιτ' ἀνὴρ] οὐ μόνον διεξέρχομαι, ἀλλὰ καὶ ἐξέρχομαι χωρὶς τῆς διὰ φαμέν, ὡς ἐνταῦθα. καὶ Εὐριπίδης, Θνητοὶ γὰρ ἐξίασι πάντα δὴ κάλων.

¶ Σχήμ. l. 1053. Πρὸς θεῶν] συνίζησις.

l. 1071. Ἥν τιν' αἰτίαν προθείς;] τὸ ἥντινα ἀντὶ τοῦ τίνα νοητέον. ὥσπερ γὰρ φαμὲν ὅ, τι ἀντὶ τοῦ τί, καὶ πᾶς ὅστις οὖν ἀντὶ τοῦ πᾶς τις, οὕτω καὶ τοῦτο. ἰστέον δὲ ὅτι πάντα τὰ τοιαῦτα ποτὲ μὲν ἐν ἀρχῇ τὴν δύναμιν ἔχουσι, ποτὲ δὲ ἐν τῷ τέλει· οἷον τὸ, ὅντινα, ποτὲ μὲν τὸ ὃν τὴν δύναμιν ἔχει, ὡς τὸ, οὐκ οἶδα ὅντινα εἴποις· ποτὲ δὲ τὸ τινα, ὡς τὸ ἄνθρωπον ὅντινα εὗρον, περὶ τοῦ δεῖνος ἠρόμην, ἀντὶ τοῦ ἄνθρωπόν τινα. παραπλησίως δὲ ἔχει καὶ τὸ ὅ, τι, καὶ τὸ ἥντινα, καὶ τὸ ὅστις, καὶ ὅσα τοιαῦτα.

l. 1079. Προὐκείμεθ'] δέον εἰπεῖν πρὸς τὸ μόρον ὃν εἴληχεν, ἐπειδὴ ὁ τοιοῦτος μόρος δυστυχία τις ἦν. οὐ γὰρ φυσικῶς, ἀλλ' οἰκτρῶς διὰ ξίφους γέγονεν, ὅθεν καὶ ἔχθιστον καλεῖ· πρὸς τοῦτο καὶ τὴν σύνταξιν ἀπέτεινεν οὕτως, ἡμεῖς μὲν θανόντες ὑπ' αὐτοῦ προὐκείμεθα ἂν ἐν ἐχθίστῳ θανάτῳ, ἣν τύχην καὶ δυστυχίαν εἴληχε καὶ ἐκληρώσατο οὗτος, τὴν δὲ καὶ ταύτην ἣν ὁρωμένην, σφαγεὶς αὐτὸς ὑπ' αὐτοῦ.

l. 1082. Ὧν οὕνεκ' αὐτὸν] τὸ αὐτὸν καὶ τὸ σῶμα, καθ' ὅλον καὶ μέρος. τὸ γὰρ αὐτὸν, καὶ σῶμα καὶ ψυχὴν δηλοῖ. τὸ δὲ σῶμα, μέρος αὐτοῦ, ὃ καὶ μόνον ταφήσεσθαι ἔμελλεν.

¶ Σχήμ. l. 1067. Οὗτος, σὲ φωνῶ] ἄφιξις Μενελάου οὐκ ἐῶντος θάπτειν τὸν Αἴαντα.

l. 1072. Οθ' οὕνεκ'] κατηγορία κατὰ τοῦ Αἴαντος.

l. 1089. Χρῆν παρβαίνοντες] ἐκτρέποντες, ἀπὸ τῶν μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτῶν ὁδὸν, ἀλλὰ παρακλινόντων αὐτούς.

l. 1091. Καίτοι κακοῦ πρὸς ἀνδρὸς] ἐκ γενικῆς ἀρξάμενος, αἰτιατικὴν ἐπήνεγκε πρὸς τὸ ἀπαρέμφατον. οὕτως γὰρ ἔδει εἰπεῖν, ἀνδρὸς κακοῦ ἐστι μηδὲν ἀκούειν δικαιοῦν τῶν ἀρχόντων, ἐπεὶ οὖν οὗτος μὴ ἀκούων τῶν ἐφεστώτων, ὡς πρὸς ἐκείνους ἰδιώτης ἦν, διὰ τοῦτο εἶπε τὸ, ἄνδρα δημότην, πρὸς τὸ ἀπαρέμφατον ἀπὸ γενικῆς πρὸς αἰτιατικὴν τρέψας τὸν λόγον.

l. 1099. Δέος γὰρ ᾧ πρόσ.] καλῶς εἶπεν ἀμφότερον, τὸ δέος καὶ τὴν αἰσχύνην. δέδιε γάρ τις τύραννον, οὐ μὴν αἰδεῖται· ὡς ἦν κακοῦ τρόπου, ἑτοίμως ἂν τοῦτον κα-

θέλοι

δῆλοι. εἰ δέ τις σὺν τῷ φόβῳ καὶ αἰδῶ πρὸς τὸν οἰκεῖον ἄρχοντα φυλάττει, ὅς τε ἀεὶ πρὸς τὸ ἄρχεσθαι ἐστηρίξει, νεωτερίσας μηδέποτε, ὅ, τε ἄρχων τῆς αὐτοῦ σωτηρίας διὰ παντὸς φροντιεῖ.

l. 1103. Ἐξ οὐρίων δραμοῦσαν] πλεύματι δηλονότι ἀπὸ μεταφορᾶς τῆς νεὼς τῆς ἀπὸ τῆς πρύμνης ἐχούσης τὴν φοράν.

l. 1105. Καὶ μὴ] ὅτι ἀμφοτέρω τὸ ἄν, οὐ μόνοι σύνδεσμοί εἰσιν, ἀλλὰ δύο μέρη τοῦ λόγου, ἄρθρον, καὶ ἂν σύνδεσμος. ὅθεν καὶ κατὰ κρᾶσιν ἂν γέγονεν, ὡς τῷ σοφωτάτῳ ἐπενοήθη Πλανούδῃ. ὁ γὰρ ἂν σύνδεσμος βραχύς ἐστι παρὰ τοῖς μετρικοῖς· ἐνταῦθα δὲ μακρόν ἐστι τὸ ἄν· ὥστε δύο μέρη τοῦ λόγου ἐστὶ κραθέντα εἰς ἕν. σύνταξις δὲ οὕτω, καὶ μὴ δοκῶμεν καὶ νομίζωμεν δρῶντες ἐκεῖνα ἃ ἂν ἡδώμεθα, τοῦ α, οὐ πρὸς τὸ ἡδώμεθα ὄν, ἀλλὰ πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην αἰτιατικήν, τὸ ἐκεῖνα· οὐκ ἀντιτίσειν καὶ οὐκ ἀντιδοῦναι αὖθις καὶ πάλιν ἐκεῖνα ἃ ἂν λυπώμεθα· τοῦ αὐτοῦ κἀνταῦθα συμβαίνοντος πρὸς τὸ ἃ ὅπερ καὶ πρώην ἔφαμεν πρὸς τὸ ἕτερον.

¶ Σχήμ. l. 1091. Καίτοι κακοῦ] ἐντεῦθεν οἱ ιγ στίχοι γνωμικοὶ ὅλοι.

Pag. 57. l. 1111. Μὴ γνώμας ὕπος.] ἤγουν, μὴ διὰ κομψῶν καὶ πιθανῶν λόγων ἐπιχειρήσῃς δεῖξαι ὡς οὐκ ἔστι ταφῆς ἄξιος Αἴας· οὐ γάρ σοι πρέπει θανόντων ὑβριστὴν φανῆναι.

¶ Σχήμ. l. 1113. Οὐκ ἄν ποτ'] προκατάστασις.

¶ l. 1117. Ἀλλ' εἶπ'] ἀνασκευή.

¶ l. 1120. Ποῦ σὺ στρατ.] ἔνστασις.

l. 1127. Καὶ τὰ σέμν' ἔπη] ὥσπερ φασίν, ἔπληξά σε πληγήν, οὕτω καὶ κολάζω σε κόλασιν. ἐπεὶ δὲ ἐνταῦθα ἡ κόλασις διὰ λόγων ἦν, διὰ τοῦτο τὰ σεμνὰ ἔπη κολάζειν ἐκείνους φησίν.

l. 1141. Ὁ τοξότης] διεβέβλητο ἡ τοξεία παρὰ τοῖς παλαιοῖς, ὡς μικροπρεπὴς τέχνη καὶ φαύλη, καὶ ἀξιόλογον οὐδὲν ἐργάσασθαι δυναμένη.

¶ Σχήμ. l. 1125. Ὕπαρχος ἄλλων] ἀντιπαράστασις.

¶ l. 1131. Οὐ γὰρ] ἐνθύμημα.

¶ l. 1137. Οὐκ ἂν] τὸ σχῆμα δικανικόν.

¶ l. 1139. Τὰ σκληρὰ] γνωμικόν.

¶ l. 1145. Ξὺν τῷ δικ.] γνωμικόν.

l. 1153. Πρὸς σὴ ποτέ;] εἰκότως εἶπε τὸ προύστη, ἐπειδὴ οἱ πολέμιοι ἔμπροσθεν ἐκείνων οἷς πολεμοῦσιν ἵστανται βάλλοντες. κλεπτῶν γὰρ τὸ λάθρα καὶ ὄπισθεν ἐπιτίθεσθαι.

l. 1154. Μισοῦντ' ἐμίσει] ἴσως τισὶ τὸ μισοῦντα ἐμίσει, εὔηθες [illegible] δόξη· τὸ δ' οὐ τοιοῦτον, ἀλλ' εἰ μὲν [illegible] τις τῶν ἰδιωτῶν πρὸς ἴσον τοῦτ' ἔλεγεν, ἀνοίας γέμοντα λόγον ἐδόκει ἂν προφέρειν. ἃ γὰρ ἐποίει ἔπασχε. νῦν δὲ βασιλεὺς ὢν ὁ πρὸς ἐλάττονος τοῦτο πάσχων· διὸ καὶ βαρέως παρεῖχον.

l. 1161. Σὺ δ' ἀντακούσῃ] μὴ λάβῃς ἔξωθεν εἰς τὸ τοῦτο διά, ἀλλ' ἔστιν ὅμοιον τῷ, τὸ ἐπίτριπτον κίναδος ἐξήρεμ' ὅπου. ἐκεῖ γὰρ τούτου ἐμνημονεύσαμεν.

l. 1167. Καὶ τὸ σὸν λάβρον στόμα] τοῦτο καὶ τὴν πολλὴν βοὴν καθ' ὅλον καὶ μέρος λέγει. μέρος γὰρ τοῦ στόματος ἡ βοή. ἰστέον δὲ ὅτι ὅταν ἐκ ξηρᾶς ἀναθυμιάσεως νέφος συστῇ, ἄνεμον γεννᾷ.

l. 1176. Ἄνολβον] ἤγουν ἀνόητον. ὄλβος γὰρ καὶ εὐδαιμονία ἀνθρώπου, φρόνησις, ὥσπερ τοὐναντίον δυστυχία ἡ ἀφροσύνη.

¶ l. 1179. Σχήμ. Καὶ γὰρ] γνωμικόν.

l. 1185. Σπεῦσον] τὸ σπεῦσον καὶ τὸ ταχύνας οὐκ ἐκ παραλλήλου ῥητέον· ἀλλ' οὕτω λέγε, σπεῦσον τάφρον ἰδεῖν τινὰ τῷδε τῷ Αἴαντι, ταχύνας τοῦτο ὡς δυνάσαι. τοῦτ' ἔστι, τὴν περὶ τούτου σπουδὴν ὡς ἔνι σπουδάσας· ὥστε τὸ ταχύνας σπουδῆς ἐστι τοῦ σπεῦσον. τὸ δὲ τινά, μὴ πρὸς τὸ κάπετον νοήσῃς, ἀλλὰ πρὸς τὸ ἄνθρωπον.

Pag. 61. l. 1193. Θάκει δὲ προσκόπ.] ἤγουν πλησιάζων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ναυτῶν τῶν πρὸς τῇ πρώρᾳ καθημένων.

l. 1195. Ἱκτήριον θησαυρὸν] εἰκότως τοῦτό φησιν. ὥσπερ γὰρ τοῦτον ἔχει τις ἐπ' ὠφελείᾳ σφετέρᾳ, οὕτω καὶ διὰ ταύτης τῆς κόμης προξενίζειν αὐτοῖς εὐμένειαν παρ' Αἴαντος ἐλπίζων, θησαυρὸν καλεῖ.

l. 1209. Πολυπλάγκτων ἐτέων] ἤτοι τῶν πολλῶν χρόνων, οὓς ἐν Τροίᾳ πλανώμεθα, μηδὲν πράττοντες ὧν χάριν ἀφίγμεθα.

l. 1214. Ὄνειδος Ἑλλάνων] εἰς ὄνειδος γὰρ τοῦτο πίπτει τοῖς Ἕλλησι τοσοῦτον χρόνον μηδὲν κατορθοῦσι. μὴ λάβῃς δὲ εἰς τὸ ὄνειδος ἔξωθεν εἰς· ἀλλ' εἰπών, ὅτι ἐν τῇ Τροίᾳ πολὺν χρόνον πλανώμεθα, ἐπιφέρει, δύστανον ὄνειδος Ἑλλάνων, λέγων τοσοῦτον χρόνον καθῆσθαι

μάτην

μέτρω ἐνταῦθα, δίστιχον ὄνειδος Ἑλλήνων. ἐρεῖ δὲ καὶ περιϊὼν τὸ τοιοῦτον σχῆμα. λέγων γὰρ μετὰ τὴν στέρησιν ἃ πάσχει, εἶτ' ἐπάγει, μνήματα Τροίας.

l. [illegible] Ὀφέλε πρότερον] τὸ ὄφελε διὰ [illegible] μικροῦ ὀφείλει γράφεσθαι, ἵν' ᾖ ὅμοιον τῷ κώλῳ τῆς στροφῆς, οἱ γὰρ ποιηταὶ πολλὰ τοιαῦτα συνεσταλμένως γράφουσι, διὰ τὸν τοῦ μέτρου κανόνα. ἔστι δὲ τοῦτο Ἰωνικῆς διαλέκτου. οὗτοι γὰρ χωρὶς αὐξήσεως τῶν παρῳχημένους χρόνους ἐκφέρουσι.

Αἰθέρα δῦναι] εἰς ἀφανισμὸν καὶ οὐδὲν ἐλθεῖν. αἰθέρα δὲ, ἢ τὸ πῦρ νόει, διὰ τὸ ἀφανιστικὸν εἶναι. ἢ τὸν αἰθέρα, διὰ τὸ μὴ σύστασιν ἔχειν.

l. 1231. Αὐλῶν ὄτοβον] τὸ ὄτοβος ἐνταῦθα δι' ἑνὸς τ ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. φύσει γὰρ ὄτοβος διὰ δύο τ γράφεται, ὥσπερ πάταγος, τὸ αὐτὸ σημαινόμενον, δι' ἑνός.

Pag. 63. l. 1226. Κεῖμαι δ' ἀμέριμνος] τοῦτο ἢ ἀντὶ τοῦ ἀπόγνωσιν ἔχων, καὶ μεριμνῶν καὶ ἐλπίζων περὶ τῆς ἐνταῦθα ἀπαλλαγῆς, ἀδήλου τοῦ μέλλοντος ὄντος ὅπη τὰ τῆς νίκης χωρήσει· ἄλλως τε καὶ τοῦ τοσούτου χρόνου εἰς ἀπορίαν ἐμβάλλοντος· ἢ ἀμέριμνος καὶ μὴ ἔχων μέριμναν, καὶ μὴ ἔχων φροντίδα ὧν ἔφην, στεφάνων φημὶ, καὶ κυλίκων καὶ ἐρώτων.

l. 1227. Ἀεὶ πυκιναῖς δρόσοις] ἀντὶ τοῦ ὑετοῖς συνεχέσι βρεχόμενος. οὐ γὰρ ὁ πολὺς τοῦ στρατοπέδου λαὸς ἔχει σκηνὰς, φυλακὴν ὄμβρων καὶ τῶν ἄλλων ἐξ ἀέρος δυσχερῶν, ἀλλ' οἱ ἄρχοντες μόνοι. ἔστι δὲ καθ' ὅλον καὶ μέρος· τὸ μὲν τέγγομενος, ὅλον· τὸ δὲ κόμας, μέρος. δέον δὲ λυγρῶς εἰπεῖν, πρὸς τὸ κόμας ἀπήνεγκεν.

l. 1233. Πρὶν μὲν οὖν] οὕτω χρὴ γράφειν, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. τὸ γὰρ καὶ πρὶν μὲν, οὐκ ὀρθῶς ἔχει τῶν χρόνους.

l. 1247. Ἔσπευσα τὸν στρατηλάτην] ἐσπούδασα ἐλθεῖν ἐνταῦθα παρὰ τὸν Αἴαντα, καὶ ἀφῆκα τὴν τοῦ τάφου διορυγήν. πρὸς τοῦτο γάρ ἐστι τὸ καὶ μὴν, ἔμφασιν ἔχον ὥσπερ ἄν εἴ τις αὐτὸν ἤρετο, τί οὕτω πάρει ταχέως;

l. 1263. Πικροὺς ἔοιγμεν] εἴκω τὸ ὁμοιῶ, εἴξω, εἶχα, ὁ μέσος παρακείμενος οἶκα. καὶ προσθήκῃ τοῦ ε, ἔοικα, ἐοίκαμεν, καὶ κατὰ συγκοπὴν ἔοιγμεν, καὶ τροπῇ τοῦ κ εἰς τὸ μέσον γ, ἔοιγμεν.

¶ Σχῆμ. l. 1247. Καὶ μὴν] τινὰ Τεῦκρος πρὸς τὸν υἱὸν Αἴαντα ἔφη.

¶ l. 1250. Σὲ δὴ τὰ] προέκτασις. ἔστι δὲ καὶ ἐνταῦθα Ἀγαμέμνονος ἄφιξις δεινοπαθοῦντος κατὰ τοῦ Τεύκρου.

¶ l. 1253. Ἥπου τραφ.] κατασκευή.

¶ l. 1259. Ταῦτ' οὐκ] βάσις.

¶ l. 1260. Ποίου κέκραγ.] ἔνστασις.

¶ l. 1263. Πικροὺς ἔοιγμ.] ἐνθύμημα, καὶ ἐργασία ἀπὸ τοῦ πράγματος.

¶ Pag. 65. l. 1264. Εὖ τῷδε] γνωμικόν.

l. 1268. Ἀλλ' εἰρκτέον] σημείωσαι ὅτι τὸ εἴργω ἀμφιβολίαν ἔχει τοῦ πνεύματος. δύναται γὰρ καὶ ψιλοῦσθαι καὶ δασύνεσθαι.

¶ Σχῆμ. l. 1284. Φεῦ, τοῦ θαν.] γνωμικόν ἐστι δὲ ἐνταῦθα καὶ προκατάστασις μετὰ σχετλιασμοῦ.

¶ l. 1290. Ὦ πολλὰ λε.] ἀντιπαράστασις καὶ ἀναφορὰ ὧν αὐτοῖς πεποίηκεν Αἴας.

l. 1299. Οὐδαμοῦ φῇς] φασὶν ἐνταῦθα ὡς συκοφαντεῖ Τεῦκρος Ἀγαμέμνονα. οὐ γὰρ ἐν τοῖς πρόσθεν αὐτοῦ λόγοις πρὸς τοῦτον τοιοῦτόν τι εὕρηται· ἀλλ' ἔφη, ποῦ βάντος, ἢ ποῦ στάντος, οὗ περ οὐκ ἐγώ; φαμὲν οὖν ὅτι ὥσπερ κατὰ τὰς ἔριδας συμβαίνει προφέρειν ἐστὶν ὅτι τὸν ἀντίδικον ἀπολογούμενον τῷ προηγουμένῳ τῆς δίκης τοιαῦτα ἃ οὐδέποτ' αὐτὸς ἐφθέγξατο, οὕτω κἀνταῦθα.

l. 1303. Οὐ δραπέτην τὸν κλῆρον] ἤγουν οὐκ ἐντὸς τοῦ κράνους ἔνθεν κἀκεῖσε στρεφόμενον, καὶ μὴ ἰόντα πρὸς ἔξοδον· ἢ δραπέτην, ἀντὶ τοῦ ἐντὸς μένοντα καὶ τὴν ἔξοδον φεύγοντα. τὸ δὲ καθεὶς, ἀντὶ τοῦ καταβαλών.

Pag. 67. l. 1310. Πέλοπα βάρβαρον] Τάλαντος ὁ τοῦ Πέλοπος πατὴρ ἐκ Φρυγίας ὤν· πολέμου δ' ἐπιπεσόντος αὐτῷ, μετὰ χρημάτων πέμπει Πέλοπα πρὸς Ἑλλάδα, κινδυνεύων τῆς ἀρχῆς ἐκπεσεῖν.

l. 1312. Οἰκεῖαν τέκν.] μὴ λάβῃς εἰς τὸ τέκνων ἔξωθεν τὸ ἀπὸ, ὥς τινες τῶν ἀμαθῶν. ἀλλ' οὕτω λέγε, προθέντα τῷ ἀδελφῷ δεῖπνον τῶν οἰκείων τέκνων. τὸ γὰρ δεῖπνον, οὐκ ἄλλου τινὸς ἦν δεῖπνον, (ἰχθύος λέγω, ἢ ὄρνιθος) ἀλλὰ τῶν οἰκείων τέκνων. ὥσπερ γὰρ φαμὲν βρῶσιν ἰχθύος, καὶ πόσιν οἴνου, οὕτω καὶ δεῖπνον τέκνων, ἢ ἄλλων ὧν ἂν εἴποις.

l. 1314. Ὁ φυτύσας πατὴρ] φυτεύειν, τὸ τῇ γῇ φυτὸν ἐπιτιθέναι, υ ψιλὸν τὸ φυ, καὶ βραχύ· φιτύειν τὸ σπείρειν, ποιητ-

...τικῶς ὃ παρέρχεται ἀπὸ τοῦ φίτυος ὁ πατήρ, ἔστω καὶ μακρόν. ὃ καὶ ἐνταῦθα τῷ ποιητῇ τέτακται, τοῖς δὲ ὕστερον ἠμφισβήτη.

¶ Σχήμ. l. 1309. Οὐκ οἶσθα] ἐρώτημα μετ' ἐπιπλήξεως καὶ ἀπειλείας.

¶ l. 1317. Ὡς ἐν παρῇ.] αὔξησις, καὶ σεμνολογία τῶν καθ' αὐτόν.

¶ l. 1326. Εὖ νυν ἴσθι] ἐνθύμημα μετὰ ἀπειλῆς.

l. 1327. Βαλεῖτε χ' ἡμᾶς] τινὲς ὑποστίζοντες εἰς τὸ τρεῖς, τὸ ἡμᾶς ἀντὶ τοῦ ἐμὲ καὶ τὸν Τεῦκρον, καὶ τὴν Τέκμησσαν καὶ τὸν Εὐρυσάκην, φασίν. ὅπερ οὐκ ἔχει λόγον. τίς γὰρ χρεία ἐνταῦθα Τεκμήσσης καὶ Εὐρυσάκους; εἰ δ' αὐτὸς ἐκεῖσε, πρὸς οἷς ἡμᾶς ὑποστίζων, οὕτω λέγει, βαλεῖτε καὶ ἡμᾶς, ἀντὶ τοῦ ἐμὲ καὶ σεαυτόν, συνθάψαντες ὁμοῦ τῷ Αἴαντι τρεῖς. ἐκεῖνο μὲν οὐχ ὑφίσω· ἀλλ' εἰ καὶ αὐτὸς θανεῖν μέλλω, σὲ πρότερον ἀναιρεῖν βουλήσομαι. ὅτι δὲ ἔστι τοῦτο, μαρτυρεῖ καὶ αὐτὸς λέγων, ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ, καὶ τὰ ἑξῆς. ἰστέον δὲ ὅτι οὐ κακῶς ...τὸ τῆς σῆς ὑπὲρ γυναικός, ὡς οἴονταί τινες, ἀλλ' ὥσπερ φαμὲν πρός τινας ... τινός, ἄλλου πρός τινα τὸν λόγον ποιούμενοι, προσάπτοντες καὶ αὐτῷ τὰ ἐκείνου, οὕτω καὶ τοῦτο. ἄλλως τε οὐκ ... αὐτῷ μόνον εἰπεῖν τῆς σῆς ὑπὲρ γυναικός, ἀλλὰ καὶ ἡ τοῦ σοῦ δ' ὁμαίμονος λέγω.

¶ Σχήμ. l. 1336. Τί δ' ἐστὶν ἄνδρες.] ἄφιξις Ὀδυσσέως ἐπὶ διαλλαγῇ τῶν μαχομένων.

l. 1340. Ἐγὼ γὰρ συγγνώμην ἔχω] οὐ καλῶς λέγεις Ὀδυσσεῦ ἐνταῦθα. οὐ γὰρ ὀλίγων τὰς ὕβρεις καὶ ἀκούων ἐν ὁμοτίμοις· ἀλλ' ὁ μὲν βασιλεύς, ὁ δ' ἰδιώτης. εὕροις δὲ τὰ ἄλλα πάντα ἴδια τῆς Ὀδυσσέως μέσης. πλὴν εἰ μήπως εἴποι τις ὡς οὐκ ἀπὸ τοῦ λελογισμένου, οὐδὲ παντὶ τῷ θυμῷ, ἀλλὰ μηχανῇ τινὶ τοῦτ' ἔλεξε τῶν διαλλαγῶν ἕνεκα, καὶ ἅμα τῷ βασιλεῖ τὰ μέγιστα πεποιθώς.

l. 1342. Ἤκουσεν αἰσχρὰ] ἤγουν, ὅτε πρὸς Μενέλαον ἐποίει τοὺς λόγους· ὥστε αὐτὸς ἐστὶν ἄρχων τῆς ὕβρεως, ἐγὼ δὲ, ἀμυνόμενος. οὕτω τοῦτο νόει, καὶ μὴ πρὸς τὰς ὕστερον ὕβρεις. ἄλλως γὰρ οὐκ ἂν τοῦτο περιέβαλλετο εἰς δικαίωμα Ἀγαμέμνων.

l. 1345. Θάψειν ἐμοῦ] ἀπορία τινὰ ἔχει ἡ τοιαύτη γενικὴ τὸ ἐμοῦ. ἔχει δὲ οὕτω, πρὸς βίαν ἐμοῦ, ἀντὶ τοῦ εἰς δυναστείαν ἐμοῦ. ἐπεὶ γὰρ ἡ δυναστεία οὐκ ἄλλου τινός ἐστιν, ἀλλ' Ἀγαμέμνονος, (πρὸς γὰρ αὐτὸν ἐν Τεύκρου ἀγωνίσασθαι ἔμελλε) διὰ τοῦτο πρὸς βίαν ἐμοῦ λέγει.

l. 1347. Ἡ πίστις ξυνηρετμεῖν] εἴρηται καὶ ξυνηρετμεῖν, ὅπερ ἀντὶ τοῦ συμφωνεῖν εἶπεν. εἴρηται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τῶν κωπηλατούντων.

¶ Σχήμ. l. 1350. Ἀκούε νυν.] συμβουλή.

Pag. 69. l. 1353. Ὥστε τὴν δίκην πατεῖν] πατεῖται γὰρ ἡ δίκη διὰ τὸ τῆς σῆς ὀργῆς τὴν ἐκείνου ἀρετὴν προστιθέναι, ἀλλ' ἀκαμπτον εἶναι, ἵνα τὸ τῆς ἐξουσίας μέγεθος βεβαιώσῃ.

¶ Σχήμ. l. 1354. Κἀμοὶ γὰρ] παράδειγμα ἐξ ἑαυτοῦ.

¶ l. 1362. Ἄνδρα δ' οὐ δίκ.] γνωμικόν.

l. 1363. Ἄνδρα δ' οὐ δίκαιον] τοῦτο πρότερον ὡς καθόλου γνώμην ἐξήνεγκεν· εἶτα μερικῶς πρὸς τὸν Ἀγαμέμνονα, δέον γὰρ εἰπεῖν, οὐδὲ ἐὰν μισῶν κυρῇ, ὃ δὲ κυρῇς εἶπεν, εἰκότως τοῦτο ποιήσας, ἵνα μισουμένη τοῦτον ἔλεον καὶ συμπάθειαν ἐνταῦθα ποιήσῃ τῷ Αἴαντι.

l. 1364. Σὺ ταῦτ' Ὀδυσσεῦ] μὴ λάβῃς εἰς τὸ ταῦτα ἔξωθεν τὸ κτλ. ἀλλ' ὥσπερ μάχομαι σοι ταῦτα, φαμέν, οὕτω καὶ τοῦτο.

l. 1368. Τόν τοι τύραννον εὐσεβεῖν] ἤγουν ἀδύνατον εὐσεβεῖν καὶ ὅσια πράττειν. κωλύεται γὰρ ἀπὸ τῆς ἀρχῆς διὰ τὸ ταύτης συμφέρον. εἰ γὰρ καὶ Αἴας οὐδὲν ἔμελλε δρᾶσαι εἰς αὐτόν (τέθνηκε γὰρ) διὰ τοῦτό γε μὴν δεῖ τοῦτον τετιμωρῆσθαι, ἵνα μή τις ἰδὼν αὐτὸν ἀτιμώρητον μείναντα, ἐγχειρήσῃ τοῖς ἴσοις.

l. 1375. Τῆς ἔχθρας πολὺ] δέον πλέον εἰπεῖν, πολὺ εἶπεν. εὕρηται γὰρ πολλαχοῦ τὰ ἁπλᾶ ἀντὶ συγκριτικῶν τιθέμενα· ὥσπερ αὖ τοὐναντίον, τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν.

l. 1380. Ἡμᾶς σὺ δειλοὺς] ἐὰν γὰρ τεθάφθαι συγχωρήσωμεν Αἴαντα, πᾶς τις ὃς οὐκ οἶδεν ὅτι σὴν χάριν τοῦτο ποιοῦμεν, οἰηθείη ἂν διὰ τὴν Τεύκρου θρασύτητα ἡμᾶς βιασθέντας ἐνδοῦναι.

¶ Σχήμ. l. 1394. Καὶ νῦν γε] καταλλαγὴ Ὀδυσσέως καὶ Τεύκρου.

¶ Pag 71. l. 1399. Ἄριστ' Ὀδυσσεῦ] ἔπαινος Τεύκρου πρὸς Ὀδυσσέα.

l. 1408. Μνήμων τ' Ἐρινὺς] ἤγουν μνημονεύουσα τῶν ἑκάστοις πεπραγμένων κακῶν, καὶ μηδέποτ' εἰς λήθην ἰοῦσα, ἀλλὰ

ἀλλὰ τιμωρουμένην. διὰ τοῦτο δὲ τὴν δίκην τελεσφόρον καλεῖ, διὰ τὸ μὴ αὐτίκα τοῖς ἁμαρτάνουσιν ἀπαντᾶν, ὅπως ἂν μεταγνοῖεν· ἀλλ' ὕστερον κατ' αὐτῶν φέρεσθαι μετὰ μείζονος τοῦ κολάζειν παρασκευῆς.

¶ Σχόλ. l. 1421. Ἅλις ἤδη] ἐπίλογος.

l. 1424. Τρίποδ' ἀμφίπυρον] ἤγουν χυτρόποδα, τὸν κοινῶς πυροστάτην· ὁ καὶ λόβαιον λέγεται. ἀπὸ δὲ τῆς θέσεως τοῦ χυτρόποδος νοεῖται ὁ λέβης καὶ τὸ θερμαινόμενον ὕδωρ.

Λουτρῶν ὁσίων] μὴ λάβῃς εἰς τὸ λουτρῶν ἔξωθεν τὸ ἕνεκα· ἀλλ' ἐπειδὴ ὁ τρίπους διὰ λουτρὰ ἦν, καὶ οὐδὲ δι' ἄλλο τι, διὰ τοῦτο τρίποδα λουτρῶν λέγει.

l. 1416. Τὸν ὑπασπίδιον] ἤγουν τὸν ὑποκάτω τῆς ἀσπίδος. πάντων γὰρ ὅπλων ἡ ἀσπὶς ἐπίκειται. τοῦτο δὲ λέγει ἵνα αὐτὸν συνθάψῃ τῷ Αἴαντι, ὥσπερ πρόσθεν ἐνετείλατο.

l. 1419. Πλευρᾶς, σύν] εἰ μὲν τὸ πλευρᾶς περισπάσεις καθ' ὅλον καὶ μέρος ἐρεῖς (τὸ γὰρ Αἴαντος, ὅλον· τὸ δὲ πλευρᾶς μέρος) εἰ δὲ ὀξυνεῖς, πρὸς τὸ ἐπικούφιζε συντάξεις. σκόπει δὲ ὅταν περισπάσῃς μὴ οὕτω συντάσσειν, θιγὼν τῆσδε τῆς πλευρᾶς. ἀλλὰ θίγων τοῦ πατρὸς τοῦσδε τῆς πλευρᾶς· οὕτω γὰρ καὶ τὸ καθ' ὅλον καὶ μέρος σώζεται.

l. 1431. Μέλαν μένος] μέλαν αἷμα λέγει τὴν τοῦ αἵματος ἀνάδοσιν καὶ πρὸς τὸ ἄνω ὁρμήν, ἐπειδὴ καὶ τὸ μέλαν αἷμα.

l. 1432. Ἀλλ' ἄγε] ἡ σύνταξις, ἀλλ' ἄγε, πᾶς ἀνὴρ ὅστις φησὶ παρεῖναι καὶ ὑπάρχειν φίλος τοῦ Αἴαντος· ὅτι ἦν ὁ Αἴας τότε φίλον καὶ αὐτὸν τοῦτο παρεῖναι λέγω· σούσθω καὶ ὁρμάσθω, βάτω καὶ πορευέσθω, πονῶν καὶ συναγωνιζόμενος τῷδε τῷ ἀνδρὶ τῷ Αἴαντι τῷ κατὰ πάντα ἀγαθῷ, φρόνησιν λέγω καὶ ἀνδρείαν καὶ τἄλλα, καὶ ἐν οὐδενὶ πράγματι λῴονι καὶ κρείττονι τῶν θνητῶν, τουτέστι πᾶσι μὲν τοῖς καλοῖς ὅσων ἄνθρωπον ἡ φύσις ἠξίωσεν, ἐνδεδυμένῳ, θνητῷ δὲ ὄντι. οὕτω τὸ οὐδενὶ οὐδέτερον λέγει· τὸ δὲ λῴονι, ἀρσενικὸν πρὸς τὸ Αἴαντι· οὐχ ὥς τινές φασι. τὸ οὐδενὶ ἀντὶ τοῦ νεκρῷ, καὶ ἐπεὶ ἄπνα, σκαιότητος γέμοντα καὶ ἄλλως. ἀλλ' εἶα, πᾶς ὅστις φησὶν εἶναι φίλος τῷ ἀνδρὶ τῷδε τῷ κατὰ πάντα ἀγαθῷ, ὁρμάσθω πονῶν ὑπὲρ τοῦδε, καὶ ὑπὲρ οὐδενὸς ἄλλου ἀπὸ τῶν θνητῶν, κρείττονος τοῦδε τοῦ Αἴαντος· ὅτε ἦν καὶ ὑπῆρχεν, τότε φημί, τουτ' ἔστι λέγω.

l. 1437. Ὦ πολλὰ] ὄντως πολλά ἐστι τοῖς βροτοῖς γνῶναι ἰδοῦσι καὶ θεασαμένοις· οὐδεὶς δὲ πρὶν ἰδεῖν, ἐστὶ μάντις τῶν μελλόντων τί ποιήσει. ἤγουν, ὅπερ τις εἶδεν, ἐπίσταται· ὁ δὲ μὴ ἰδὼν, οὐκ ἂν ἔχοι περὶ τοῦ μέλλοντος ἰσχυρίσασθαι τί ποιήσει. τοῦτο δὲ λέγει ὁ χορὸς περὶ ἑαυτοῦ, ὡς πρότερον μὲν ἐλπίζοντος ἂν τεθάφθαι τὸν Αἴαντα, ὕστερον δὲ ἰδόντος τοῦτο γινόμενον.

ΣΧΟΛΙΑ
ΤΟΥ
ΤΡΙΚΛΙΝΙΟΥ
Εἰς τὴν
ΗΛΕΚΤΡΑΝ.

¶ Σχήμ. Pag. 75. l. 1. Ω τοῦ στρατηγήσαντος]

Προσφωνητικὸν προοίμιον. ἐνταῦθα δὲ καὶ πρότασις.

l. 3. Ὧν πρόθυμος.] Αὕτη ἡ γενικὴ οὐ, καθὰ οἴονταί τινες, ὅτι λέγοντες, ὧν εἰς θέαν ἐλθεῖν. (τοῦτο γὰρ λαμβάνουσιν ἔξωθεν) ἦσθα πρόθυμος ἀλλὰ πρὸς τὸ πρόθυμος, καθάπερ φαμὲν, οἰκεῖός εἰμι τοῦ δεῖνος, οὕτω καὶ πρόθυμος. ἰστέον δὲ ὅτι διὰ τοῦτο παλαιὸν τὸ Ἄργος λέγει, διὰ τὸ τὸν πρῶτον αὐτοῦ οἰκιστὴν Ἄργον γηγενῆ εἶναι. ἢ παλαιὸν λέγει, ὡς πρὸς τὸν Ὀρέστην, ἀντὶ τοῦ ὃ πάλαι οἶσθα· ὅπερ οὐ τοσοῦτον ἰσχύει λόγου.

¶ l. 4. Τὸ γὰρ παλ.] κατασκευή.

l. 5. Τῆς οἰστροπλῆγος] ἡ τῆς τῷ οἴστρῳ καὶ ἔρωτι τοῦ Διὸς πληγείσης· ἢ οἶστρον λέγει ὃν αὐτῇ ἡ Ἥρα ἐπέβαλεν, ὅτε ταύτην εἰς βοῦν Ζεὺς μετέβαλε, βουλόμενος ἐκείνην λαθεῖν.

l. 6. Λυκοκτόνου θεοῦ] λυκοκτόνος ὁ Ἀπόλλων καλεῖται, ὡς ποτε λύκον κτείνας. τὸ δὲ ἀληθὲς οὕτως ἔχει, Ἀπόλλων ἀλληγορεῖται εἰς ἥλιον. οὗ τῇ παρουσίᾳ τὸ λυκόφως ἀφανίζεται, λύκου χροιὰν ἔχον, διὸ καὶ τοὔνομα ἔχει. τόπος οὖν ἐν Ἄργει ἦν λυκοκτόνου Ἀπόλλωνος ἱερὸν ἔχων. καὶ προσαγορευόμενος ἐντεῦθεν λύκειος ἀγορά.

¶ Σχήμ. l. 15. Νῦν οὖν] βάσις.

l. 17. Ἡλίου σέλας] ἢ τὸ σέλας αἰτιατικὴν νοητέον, τὸ δὲ φθέγματα εὐθεῖαν, οὕτως, ὡς ἤδη τὰ πρωϊνὰ φθέγματα τῶν ὀρνίθων σαφῆ, κινεῖ καὶ φέρει ἡμῖν τὸ λαμπρὸν φέγγος τοῦ ἡλίου. τουτ' ἔστιν αἱ ὀρθριναὶ τῶν ἀλεκτόρων ᾠδαὶ ἠχοῦσαι ἡμῖν ἤδη μανθάνομεν). ἢ τὸ μὲν σέλας ἔστω εὐθεῖα, τὸ δὲ φθέγματα αἰτιατική, οὕτως, ὡς ἤδη τὸ λαμπρὸν σέλας τοῦ ἡλίου κινεῖ καὶ φέρει ἡμῖν σαφῆ τὰ ἑῷα καὶ πρωϊνὰ φθέγματα τῶν ὀρνίθων. τουτ' ἔστιν, ἤδη προϊοῦσα ἡ ἡμέρα τὰς ὀρθρινὰς ἡμῖν φωνὰς τῶν ὀρνίθων ἀνίστησι.

l. 19. Μέλαινά τ' ἄστρων] διὰ τὸ ἐν νυκτὶ τὰ ἄστρα φαίνεσθαι, διὰ τοῦτο ταύτην ἐκλελοιπέναι τούτων φησὶν ἧς ἀπιούσης οὐδὲ ἄστρα δείκνυται.

¶ Σχήμ. l. 23. Ω φίλτατ'] δεύτερον προοίμιον προσφωνητικὸν καὶ αὐτό.

l. 24. Εἰς ἡμᾶς γεγὼς] ἀντὶ τοῦ εἰπεῖν, γεγονέναι εἰς ἡμᾶς ἔνδηλος, πρὸς μετοχὴν ἔτρεψεν, ὃ καὶ κρεῖττον.

¶ l. 25. Ὥσπερ γὰρ] κατασκευὴ τῆς προτάσεως ἐκ παραδείγματος.

¶ l. 29. Τοιγὰρ, τὰ] βάσις καὶ προκατάστασις.

¶ l. 32. Ἐγὼ γὰρ] διήγησις.

¶ Pag. 77. l. 37. Ὅτ' οὖν τοι] συμβουλὴ πῶς δεῖ τοῦ προκειμένου σκοποῦ ἅψασθαι.

l. 42. Ἠνθισμένον] οὐ γὰρ ἀναγνωρίσουσιν, οὐδὲ ὑπονοήσουσί σε οὕτω κεχρηματισμένον, ἤτοι πεπολιωμένον ὑπὸ τοῦ γήρως, καὶ ὑπὸ τοῦ χρόνου τοῦ μακροῦ ἐνηλλαγμένον κατὰ τὴν τοῦ σώματος διάθεσιν. πρὸ τοῦ μὲν γὰρ νέος ἐξῆλθες, νῦν δὲ γηραιὸς ἐπανέρχῃ· ὥστε καὶ ἀπ' αὐτοῦ τοῦ εἴδους οὐχ ὑποπτεύσουσί σε ἀπατεῶνα εἶναι. σημειωτέον δὲ τὴν μεταχείρισιν. ἐπειδὴ γὰρ ὁ Ὀρέστης παρὰ τῷ Στροφίῳ ἐτρέφετο, ὁ μὲν Πυλάδης καὶ ὁ Ὀρέστης μέλλουσιν εἰπεῖν ὅτι τὸ ἄγγος πρὸς Κλυταιμνήστραν ἄξουσιν, ὡς παρὰ Στροφίου πεμφθέντες· τῷ δὲ παιδαγωγῷ ὑποτίθενται εἰπεῖν ὡς παρὰ Φανοτέως ἥκει,

ἥκει, περμαμηνυκότος ὡς φίλου τούτου Ὀρέστου θάνατον.

l.48. Πυθικοῖσι] τέσσαρες ἀγῶνες μεγάλοι ἐν Ἑλλάδι ἐγίνοντο· ὁ τῶν ὀλυμπίων, ὁ τῶν νεμέων, ἀμφότεροι εἰς τὸν Δία· ὁ τῶν ἰσθμίων, εἰς Ποσειδῶνα· ὁ τῶν πυθίων, εἰς τὸν Ἀπόλλωνα.

l.51. Καρατόμοις] ἤτοι ἐν κυρησίμοις τροφαῖς. ἔθος γὰρ ἦν αὐτοῖς τέμνειν τὰς κόμας, καὶ ἐπιτιθέναι τῷ τάφῳ, ἵνα διὰ τούτου πένθους ἵλεως αὐτοῖς ὁ νεκρὸς ᾖ. εἰκότως δὲ εἶπε τὸ χλιδαῖς. τρυφὴ γὰρ κεφαλῆς ἡ κόμη.

l.54. Ὁ καὶ σὺ θάμνοις] θαμνώδη φυτά εἰσι τὰ φρύγανα, καὶ μὴ εἰς ὕψος αἰρόμενα.

l.60. Ἤδη γὰρ εἶδον] Πυθαγόρας καθ'. καὶ τὰ ἑξῆς.

¶ Σχῆμ. Ἤδη γὰρ] παράδειγμα.

¶ l.66. Ἀλλ' ὦ πάτ'.] εὐχή.

Pag.79. l.83. Πατρὸς χέοντες λουτρά] διότι αἱ θυσίαι αἱ πρὸς ἐκεῖνον ἐπὶ καλῷ ἑαυτῶν γενήσεσθαι ἔμελλον, διὰ τοῦτο λουτρὰ ταύτας καλεῖ· ὡς καθάρσια τοῦ μιάσματος ὃ ἔμελλον κτήσασθαι οἱ Κλυταιμνήστραν καὶ Αἴγισθον ἀνελόντες. μὴ γὰρ ὅτι δίκαιοι ἦσαν οὗτοι τεθνάναι, ἀλλ' ὅτι πᾶς φόνος μίασμά ἐστιν.

¶ Σχῆμ. l.85. Ὦ φάος] θρῆνος Ἠλέκτρας.

l.95. Οὐκ ἐξείνισε] ἐφιλοφρονήσατο. φιλοφρόνησις δὲ τοῦ φονίου Ἄρεως οὐδὲν ἕτερον ἢ φόνος.

l.98. Κάρα] κάρα, τὸ πρότερον βραχὺ, καὶ τὸ δεύτερον μακρὸν κάρα, τὸ πρότερον μακρὸν. πρῶτον δὲ εἰπὼν ὅν, εἶτα κάρα ἐπήνεγκε, καθ' ὅλον καὶ μέρος.

l.106. Ὥς τις ἀηδὼν] ἡ τὸ ἴδιον τέκνον τὸν Ἴτυν, δι' ἄμυναν τὴν πρὸς τὸν ἄνδρα Τηρέα, μετὰ Φιλομήλας τῆς ἀδελφῆς ὑπ' ἐκείνου φθαρείσης, ἀποκτείνασα. τοῦτο δὲ λέγει, ὡς οὔτε ἐν ἡμέρα, οὔτε ἐν νυκτὶ παυσαμένη τῶν θρήνων.

l.109. Ὦ δῶμ' Ἅιδου] διὰ τοῦτο τὸν Πλούτωνα καὶ τὴν Περσεφόνην καλεῖ καὶ τὸν ὑποχθόνιον Ἑρμῆν εἰς ἐκδίκησιν τοῦ πατρός. διὰ τὸ ἐν ᾅδου κεῖσθαι αὐτόν. ἀρὰν δὲ λέγει τὴν καθ' ἑκάστην κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου πρὸς τοὺς θεοὺς ἐποίησεν, ἣν ὡς δικαίας πεμπομένην πότνιαν ὀνομάζει. τάς γε μὴν Ἐριννύας ἄρ' οὐκ ἂν εἴποις ὡς διὰ τοῦτο ἐπιβοᾶται ὡς τῶν φονέων καὶ κακούργων τιμωρουμένας.

l.112. Τοὺς ἀδίκως] οἱ γράφοντες αἳ τῶν ἀδίκως θνήσκοντας, ἀμαθεῖς τῶν μέτρων. διὸ ἀσφαλέστερον τὸ αἳ ἐξεβλήθη παρ' ἐμοῦ.

l.117. Μούνη γὰρ ἄγειν] Οὕτω τοῦτο λέγει, οὐκ ἔτι μόνη δυναμένη φέρειν τὸ ἄχθος τῆς λύπης. ποταπόν; ἀντίρροπον καὶ ἴσον. τοῦτ' ἔστιν, οὐκ ἐξισοῦται τῇ ἐμῇ δυνάμει ἡ λύπη, ἵνα καὶ φέρω αὐτήν. ἀλλὰ μείζων ἐστὶ, καὶ ὑπὲρ τὴν ἐμὴν δύναμιν.

Pag.81. l.25. Τίν' ἀεὶ τάκεις] δέον οὕτω λέγειν, τίν' ἀκόρεστον οἰμωγὴν ἔχεις, τάκεις εἶπεν. εἰκότως, τὸ γὰρ θρηνεῖν ἀεὶ καὶ λυπεῖσθαι, τῆξιν κατὰ μικρὸν καὶ δαπάνην τοῦ σώματος ἐργάζεται· ἐπεὶ καὶ τὸ τῆς λύπης ὄνομα οὐχ ἕτερόν ἐστιν ἀλλ' ἢ τοῦ πίου καὶ τοῦ λιπαροῦ λύσις. μὴ λάβῃς δὲ ἔξωθεν τὸ διὰ εἰς τὸν Ἀγαμέμνονα, ὥσπερ ἅπαντες, σχεδὸν εἰπεῖν, ὑπ' ἀγνοίας γράφουσιν· ἀλλ' οὕτω λέγε, τίνα ἀκόρεστον οἰμωγὴν τάκεις; εἶτα ἑρμηνεύων τὴν οἰμωγὴν ἥτις ἐστὶ, φησὶ τὸν Ἀγαμέμνονα τὸν πάλαι κρατηθέντα ἐν ἀπάταις, καὶ τῆς δολερᾶς καὶ ἀθεωτάτης σῆς μητρὸς προδότον, καὶ προδεδομένον κακῇ καὶ φονικῇ χειρί. ὅμοιον δὲ καὶ Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις λέγει, Γείτονες δὲ καρδίας μέριμναι ζωπυροῦσι τάρβος, τὸν ἀμφιτειχῆ λεών· καὶ γὰρ δὴ καὶ ἐνταῦθα διὰ εἰς τὸ τὸν ἀμφιτειχῆ τίθεασιν. εὑρήσεις δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσι τῶν ποιητῶν τοιαῦτα ἐξετάζων.

l.38. Ἀμειβόμεναι χάριν] καλῶς εἶπε τὸ ἀμειβόμεναι. φίλη γὰρ καὶ αὐτὴ ἦν τούτων. τῶν φίλων δὲ πρὸς ἀλλήλους ἐστὶν ἡ ἀμοιβή.

l.44. Οὐ λιταῖς] μὴ γράφε οὔτε λιτῶν, ἀλλὰ οὐ λιταῖς. οὕτω γὰρ ἔχει τὸ κῶλον ὀρθῶς πρὸς τὸ τῆς στροφῆς. οὐδὲν δὲ καινὸν εἰ καὶ τὸ τε λείπει. εὕρηται γὰρ πολλὰ τοιαῦτα.

l.45. Ἐπ' ἀμήχανον] ἤγουν ἀνίκητον καὶ ἀθεράπευτον, πρὸς ὃ οὐκ ἔστι τι μηχανήσασθαι.

l.47. Ἀνάλυσις] ἤγουν ἀναπόδοσις, καὶ εἰς τὸ ἀρχαῖον ἐπάνοδος. καλὰ γὰρ ἦν ἐξαρχῆς, εἶτα κακὰ γέγονεν. εἰ δὲ τὰ κακὰ ἀναλύουσι, πρὸς τὰ ἀρχαῖα, ἤτοι τὰ καλὰ, ἀναλύουσι.

l.53. Ἄφαρ] τὸ ἄφαρ καὶ ἡρμόσθη πρὸς δοτικὴν συντασσόμενον, ὡς ἔχει

χώραν

χρόνον ἐνταῦθα πρὸς τὸ ἐμέ· ἀλλὰ δεῖ λαμβάνειν ἔξωθεν εἰς πρόθεσιν. ὥσπερ γὰρ φαμὲν τὸ χρεὼν βουλῆς ἐμέ τε καὶ σέ. δέον γὰρ εἰπεῖν, ἐμοὶ καὶ σοί, εἰς ἔξωθεν λαμβάνομεν· οὕτω καὶ τοῦτο. ἔστι δὲ καθ᾽ ὅλον καὶ μέρος. μέρος γὰρ τὸ φρένας τοῦ ἐμέ. φασὶ δὲ καί τινες τὸ ἄραρεν ἀντὶ τοῦ ἀρέσκει, οὐκ οἶδ᾽ ὅπη ποθὲν εὑρόντες ταύτην τὴν σημασίαν ὡς ἐατέον.

l. 55. Διὸς ἄγγ.] ἤγουν ἡ ἀηδὼν διὰ τὸ τὸν ἐπ᾽ αὐτῇ γινόμενον ἔλεον τοῦ Διὸς τοῖς πᾶσιν ὑποδεικνύειν ἢ μαρτυρεῖν αὐτὸν φιλάνθρωπον. ἢ ὡς δι᾽ αὐτῆς ὁ Ζεὺς τὸ ἔαρ ἑρμηνεύει. ἢ διὰ τὸ ἐν ἔαρι κατάρχεσθαι τῆς ᾠδῆς, ὅτε τὰ Διάσια ἐγίνετο, ἥτις ἐστὶν ἑορτὴ τοῦ Διός.

l. 57. Νιόβα, σὲ δ᾽] Ἀγαθίου σχολαστικοῦ ἐπίγραμμα δι᾽ ἰάμβων εἰς Νιόβην,

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν,
Ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον,
Ἀλλ᾽ αὐτὸς αὐτῷ νεκρός ἐστι καὶ τάφος.

Pag. 85. l. 152. Αἲ αἶ] τοῦτο οὐκ ἔστι πρὸς τὴν Νιόβην, ἀλλὰ διὰ μέσου ἡ Ἠλέκτρα τέθηκεν. εἰ δὲ γράψῃς αἰεί, διὰ τὴν Νιόβην εἴποις.

l. 157. Οἵα Χρυσόθεμις] τὸ οἵα τινὲς ἀντὶ τοῦ καθὰ λέγουσι, λαμβάνοντες ἔξωθεν τό, διὰ τί οὐ ζώεις καὶ σύ, καθὰ ζῇ ἡ Χρυσόθεμις καὶ Ἰφιάνασσα. οὐ τί γένοιτ᾽ ἂν ἀμαθέστερον, εἰ ἔχει δὲ οὕτως. εἰπὼν γὰρ ὁ χορὸς ἄνω, πρὸς ὅπερ ἄχος εἶ καὶ ὑπάρχεις περισσὴ καὶ περισσοτέρως προσκειμένη τῶν ἔνδον, τοῦτ᾽ ἔστι πλέον τῶν ἐντὸς τοῦ οἴκου αὐτῇ ἀθυμεῖς, τοῦτο εἰπών. ἐπειδὴ ἀόριστον ἦν τῶν ἔνδον (πολλοὶ γὰρ ἐντὸς οἷς οὐκ ἔμελε λύπης) ἑρμηνεύων τοῦτο, διὰ τοῦ οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξυναίμος, ἤγουν οἷς ἀδελφὴ τυγχάνεις, ἐπάγει τὴν τῶν ἀδελφῶν ἀπαρίθμησιν. δέον δὲ εἰπεῖν ὧν ἀδελφή ἐστιν ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ Ὀρέστης. ὁ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἵα ζώει ἡ χρυσόθεμις ἡ Ἰφιάνασσα, καὶ Ὀρέστης ὁ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἵα ζώει ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ ὁ ἀχέων καὶ λυπούμενος ἐν κρυπτῇ ἥβῃ. ἤγουν ὁ λάθρα ἀναστρεφόμενος παρὰ τῷ Στροφίῳ· καὶ διὰ τὸν πατέρα λυπούμενος ὁ Ὀρέστης. ἰστέον δὲ ὅτι Εὐριπίδης καὶ οἱ ἄλλοι ποιηταὶ Ἰφιγένειαν καὶ Ἰφιάνασσαν τὴν αὐτήν φασι, καὶ Σοφοκλῆς [illegible]. ἀπορεῖται δὲ πῶς Ἰφιανάσσης τῆς Ἰφιγενείας ἐν Ὑπερβορέοις οὔσης νῦν μνημονεύει, καὶ φαμὲν ὅτι ὥσπερ τὸν Ὀρέστην ἀπόντα λέγει, οὕτω καὶ ταύτην. ἀπαρίθμησιν γὰρ μόνην ποιεῖται, εἰ καὶ τῶν ἔνδον παρακολουθουμένως εἴρηκεν. οὐδεὶς γὰρ ἔνδον ἀλλ᾽ ἢ ἡ Χρυσόθεμις καὶ ἡ Ἠλέκτρα. μαρτύριον δὲ τοῦ οἷα, ἄλλα τε μυρία, καὶ τὸ παρὰ Αἰσχύλῳ ἐν Πέρσαις. ἀπαριθμούμενος γὰρ ἐκεῖ τοὺς Ξέρξου στρατηγούς φησιν, Οἱ δ᾽ ἐπὶ ναῶν πεζοί τε βάδην Πολέμου στῖφος παρέχοντες. οἷος Ἄμιστρις, ἠδ᾽ Ἀρταφρένης, Καὶ Μεγαβάζης, καὶ τὰ ἑξῆς.

l. 170. Ἀγγελίας ἀπατ.] οὐχ ἡ ἀγγελία ἠπατᾶτο, ἀλλ᾽ ἀπὸ ταύτης Ἠλέκτρα. διὰ τί οὖν πρὸς τὴν ἀγγελίαν τὸ ἀπατώμενον λέγει. καὶ φαμέν, ὅτι ἀπὸ τοῦ πάσχοντος τὸ ποιοῦν. ἡ ἀγγελία μὲν γὰρ τὴν ἀπάτην ἐποίει, αὐτὴ δὲ ἔπασχεν. ἄλλως τε δέον ἀπατωμένη, ἐμοὶ εἰπεῖν πρὸς τὸ τί εἴρηκεν. ἡ γὰρ ψευδὴς καὶ ματαία ἀγγελία ἀπατωμένη ὥσπερ ἐστὶ πάσχουσα τὴν ἀπάτην ἀπὸ τοῦ ταῦτα μηνύοντος, ἐν αὐτῷ τῷ ψευδῶς μηνύεσθαι.

l. 179. Εὐμαρὴς θεὸς] διὰ τὸ ῥᾳδίως φέρειν τὸν χρόνον, νῦν μὲν ταῦτα, νῦν δ᾽ ἐκεῖνα, εὐμαρῆ θεὸν ἐκάλεσε. λέγει δὲ τοῦτο, ἵν᾽ αὐτὴν παραμυθήσηται, ὡς ἔλθῃ ποτὲ Ὀρέστης, καὶ παρὰ τῶν συνεχθρῶν λήψεται δίκην.

l. 183. Παρὰ τὸν Ἀχέροντα] καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τῆς παραπροθέσεως.

l. 186. Βίοτος ἀνέλπιστος] δέον ἀνέλπιστον εἰπεῖν πρὸς τὸ ἐμέ, πρὸς τὸ βίοτος ἐπήνεγκεν.

Pag. 85. l. 195. Ἐν κοίταις πατρῴαις] ἤγουν εἰς ἃς κατεκλίθη μετὰ τὸ λελοῦσθαι Ἀγαμέμνων, καὶ παρὰ Κλυταιμνήστρας ἀπώλωλεν, ἐνδυθεὶς χιτωνίσκον κεφαλῆς καὶ χειρῶν οὐκ ἔχοντα ἔξοδον, εἰ καὶ μὴ Σοφοκλῆς οὕτω λέγει.

l. 196. Ὅτε σοὶ] τὸ σοὶ ἐνταῦθα οὐκ ἔστιν ἀργόν· ἀλλ᾽ ἐπειδὴ ἡ τοῦ πατρὸς αὐτῆς πληγὴ πρότερον ἑτέρου ὑπ᾽ αὐτῆς ἐλογίσθη, διὰ τοῦτο τὸ σοὶ λέγει.

l. 198. Δόλος ἦν ὁ φράσας] συλλογιστικῶς ἐνταῦθα τὸν ἔρωτα φησὶ τὸν φόνον ἐργάσασθαι. ἔρως μὲν γὰρ δόλον ἀπέτεκεν· ὁ δὲ τὸν φόνον ἐμηχανήσατο. ἄρα οὖν οὐκ ἄλλος ἀντ᾽ ἔρωτός ἐστιν, ὁ τὸν φόνον ἐργασάμενος. προτέρου δὲ κειμένου τοῦ μέσου, ὕστερον τέθειται τὸ συμπέρασμα, μικρογρα-

φεῖν δὲ δεῖ τὸ ἱερὸς, διὰ τὸ εἶναι τὸν πόδα ἀνάπαιστον. ὅτι δὲ ἰωνικῶς οὕτω γράφεται, δῆλον ἐκ τῆς αἰτιατικῆς. τὸν ἱρὸν γάρ φησιν. ὡς καὶ Ὅμηρος, ἐξ ἱρὸν εἶναι. ἰστέον δὲ ὅτι ἐρωτᾷ τινὲς ἐνταῦθα τῆς Κλυταιμνήστρας πρὸς Αἴγισθον ἐξέλαβον· καὶ δῆλον δι' οὗ αὐτὴ ἐμηχανήσατο τὸν τοῦ Ἀγαμέμνονος θάνατον. πρὶν γὰρ τοῦτον ἐκ Τροίας ἐλθεῖν, τὸ τοῦ φόνου δρᾶμα συνεσκεύασθη.

l. 202. Κεῖνα πλέον] τὸ πλέον περιττόν. ἀρκεῖ γὰρ τὸ ἐχθίστη πρὸς γυναικείαν συντετάχθαι, ἢ τὸ μὲν ἐχθίστη πρὸς τὸ πασῶν ἔχέτω τὴν δύναμιν, τὸ δὲ πλέον πρὸς τὸ ἐχθίστη ἢ ἀμφότερα τὴν αὐτὴν ἐχέτω δύναμιν πρὸς τὸ πασῶν. δεῖγμα γὰρ τοῦ ἔχθους ὑπερβολῆς, ὥσπερ ὅτε δύο ἢ τρεῖς ἀρνήσεις τιθέμεναι εἰς ἄρνησιν μείζονα πολλάκις. ἢ καὶ λέξεις.

l. 205. Ἐκπαγλ' ἄχθη] τὸ ἄχθη καὶ τὸ θανάτους ταυτόν ἐστιν. εἰποῦσα γὰρ, ὦ ἔκπαγλ' ἄχθη, ἐπήγαγε τὸ, Ἐμὸς εἶδεν πατὴρ θανάτους ἀεικεῖς. εἰ καὶ τὸ ἄχθη κλητική ἐστι· τὸ δὲ θανάτους, αἰτιατική. τὸ μὲν πρὸς τὸ ὦ συντασσόμενον· τὸ δὲ θανάτους, πρὸς τὸ εἶδεν. ἔστι δὲ τοῦτο ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήνδ' ἣν ὅδ' εἴληχεν τύχην, Θανόντες ἂν προὐκείμεθ' ἐχθίστῳ μόρῳ. μὴ λάβῃς δὲ τὸ διδύμαιν ἀντὶ δοτικῆς, ἵνα καὶ ἐν ἔξωθεν λάβῃς, ἀλλ' ἀντὶ γενικῆς, οὕτω, θανάτους διδύμαιν ἐχθρῶν, ἤγουν οὓς αἱ διπλαῖ χεῖρες εἰργάσαντο Κλυταιμνήστρας ἢ Αἰγίσθου.

l. 212. Ἀπόναιατο] Ονάω, ὀνῶ, ὄνημι, ὄναμαι, εὐκτικὸν ὀναίμην ὄναιο ὄναιτο, τὸ τρίτον τῶν πληθυντικῶν ὄναιντο, καὶ ἰωνικῶς ὀναίατο.

l. 214. Μὴ πόρσω φωνεῖν] ἤγουν ἐκτὸς τοῦ δέοντος. δεῖ γὰρ σιγᾶν, καὶ μὴ κατὰ τῶν δυνατωτέρων θρασυστομεῖν.

l. 216. Οἰκείας εἰς ἄτας] ἤγουν, αὐτὴ ἑαυτὴν εἰς κινδύνους ἐμβάλλεις οὐ σωφρονοῦσα.

l. 220. Τὰ δὲ, τοῖς δυνατοῖς] ἤγουν ταῦτα ἃ καθ' ἑκάστην περιπλέκεις θρηνοῦσα καὶ κατατρυχομένη, ἐκ ἄρεστα καὶ ἄξια εἰς μάχην καὶ ἄμιλλαν τοῖς δυνατοῖς, ὥστε πλάθειν καὶ ἐγγὺς ἰέναι. καὶ τὸ παράπαν, βλάπτειν αὐτοὺς δύνασθαι. ἀλλ' οἱ μὲν τούτων ἄνω καθεστήκασι· σοὶ δὲ μᾶλλον ταῦτα πολλὴν ἄγει τὴν βλάβην, μισεῖσθαι λέγω παρ' ἐκείνων, καὶ ἐν κακῇ μοίρᾳ δοκεῖν.

l. 222. Ἐν δεινοῖς] οὐ χρὴ γράφειν, ἐν δεινοῖς ἠναγκάσθην ἐν δεινοῖς, περιττὸν γάρ ἐστι πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον, ἀλλ' ἐν δεινοῖς ἠναγκάσθην δή. δίμετρον γὰρ ὀφείλει εἶναι καὶ τοῦτο ὥσπερ ἐκεῖνο.

l. 224. Ἀλλ' ἐν γὰρ] ἰστέον ὅτι τὸ ἀλλὰ μετὰ τοῦ γὰρ συντιθέμενον ποτὲ μὲν ἀργὸν ἔχει τὸ γὰρ, ποτὲ δὲ ἀμφότερά εἰσιν ἐνεργά· ὡς καὶ ἐνταῦθα. τὸ μὲν ἀλλὰ πρὸς τὸ οὐ χρήσω συντασσόμενον, τὸ δὲ γὰρ διὰ μέσου τιθέμενον, λαμβανομένου ἔξωθεν τοῦ εἰμί. γίνεται δὲ τοῦτο, ὅταν μεταξὺ τοῦ ἀλλὰ καὶ τοῦ γὰρ συλλαβὴ ἢ λέξις εὑρεθῇ. εἰ δὲ οὕτω τῷ ἀλλὰ τὸ γὰρ πλησιάζει ὡς μὴ μεσολαβεῖν μηδὲ ποιοῦν, ἀργόν ἐστι παντελῶς τὸ γάρ.

Pag. 87. l. 230. Ἄνετέ μ'] τὸ ἄνετε οὐ φυσικῶς ἔχει τὸ α μακρὸν, ἀλλ' ἐξ ἀνάγκης καὶ ποιητικῇ ἀδείᾳ γίνεται. οὔτοι γὰρ τριῶν ἐφεξῆς κειμένων βραχειῶν, μακρὸν ἐξ ἀνάγκης τὸ α ποιοῦσι διὰ τὰ μέτρα. ὡς οὖν τὸ ἀθάνατος εὕρηται ἀεὶ τὸ α ἔχον μακρὸν, καὶ τὸ ἀκάματος καὶ ἀπάλαμος, οὕτω καὶ τὸ ἄνετε ἐνταῦθα. οὕτω γὰρ καὶ σύμφωνα πλεονάζουσιν, ἵνα μακρὸν τὸ προηγούμενον φωνῆεν ποιήσωσιν, ὡς καὶ εἰς τὸ γενέθλα γέγονε. καὶ εἴπου δύο σύμφωνα εἴη, τὸ ἓν ἀφαιροῦσιν, ἵνα βραχὺ γένηται τὸ φωνῆεν· καὶ εὑρήσεις τοῦτο πολλαχοῦ.

l. 243. Ἴσχουσα] εἰκότως τὰς πτέρυγας εἶπεν ἐπὶ τῶν γόων· δίκην γὰρ πτερῶν ἄνω πρὸς ὕψος φέρονται. ἡ δὲ σύνταξις, ἴσχουσα εὔκηλος καὶ ἥσυχος πτέρυγας γόων ὀξυτόνων, ἐκτίμους καὶ ἀτίμους τῶν γονέων δέον δὲ εὐκήλους εἰπεῖν, εὔκηλος εἶπε πρὸς τὰ ἴσχουσα

l. 246. Εἰ γὰρ] αὕτη ἡ κατασκευή ἐστι πρὸς τὸ γονέων ἐκτίμους ἴσχουσα θρήνων πτέρυγας, εἰ καὶ ἀσάφειάν πως ἔχει. ὁ γὰρ παρ' αὐτοῖς πρὸς τοὺς γονέας γινόμενος θρῆνος, τιμὴν μὲν ἐκείνοις παρέχει, κατάρα δέ ἐστι τῶν αὐτοὺς φονευσάντων.

l. 250. Ἔρροι τ' ἂν αἰδὼς] φθαρείη ἡ παρὰ τῶν ἀνθρώπων πρὸς θεοὺς εὐσέβεια καὶ αἰδώς. νομίζουσι γὰρ οὐκ εἶναι θεοὺς, μὴ τῆς κακίας κολαζομένης.

l. 252.

l. 252. Καὶ τὸ σὸν σπεύδουσ'] ἤγουν ἵνα μὴ κατὰ σοῦ τῶν ἐχθρῶν κινήσῃς τῷ συνεχεῖ θρήνῳ, καὶ ταῖς πρὸς αὐτῶν λοιδορίαις· καὶ τοὐμὸν, ἵνα μὴ ἄφιλος δόξω ἐν τοιούτῳ καιρῷ, μὴ πρὸς παραμυθίαν σοῦ χωρήσασα.

¶ Σχόλ. l. 254. Αἰσχύνομαι] ἀπολογία τινὸς ἕνεκα οὕτω θρηνεῖ ἀπαράκλητα.

l. 256. Ἀλλ' ἡ βία] τὸ ἀλλὰ πρὸς τὸ συγγνῶτε συνάπτε. τὸ δὲ ἡ βία γὰρ, διὰ μέσου ἐστί. κατασκευὴ γάρ ἐστι, τίνος χάριν αὐτῇ συγγνώσονται.

l. 257. Ἥτις εὐγενὴς γυνή] οὐ χρὴ γράφειν τὸ ἥτις. τοιοῦτον γάρ ἐστιν ὅτε τὸ ὅ, τι εὑρίσκομεν, ποτὲ μὲν τοῦ ὃ τὴν δύναμιν ἔχοντος, ποτὲ δὲ τοῦ τις· καὶ ὅτε τὸ, ὅν τινα, καὶ ἥν τινα, καὶ τὰ τοιαῦτα, περὶ ὧν καὶ προείρηται, εἰς τὸ, Οὐκοῦν ἂν εἴποις ἥν τιν' αἰτίαν προσθεὶς. κἀνταῦθα οὖν τὸ τις μόνον ἔχει τὴν δύναμιν.

Pag. 89. l. 266. Ποίας ἡμέρας] τοῦτο ἢ ἀντὶ γενικῆς λάμβανε, ἢ ἀντὶ αἰτιατικῆς· καὶ εἰ μὲν αἰτιατική ἐστιν, οὐδεμίαν ἀσάφειαν ἔχει· εἰ δὲ γενική, οὕτω λέγομεν, ποίας ἡμέρας νομίζεις με ἄγειν, ἀντὶ τοῦ ποίου χρόνου τοῦτο λογίζομαι.

l. 268 Εἰσίδω δ' ἐσθήματα φοροῦντ'] οὐ μόνον ἐσθὴς ἐσθῆτος εὕρηται τὸ ἔνδυμα, ἀλλὰ καὶ ἔσθημα ἐσθήματος. ὡς κἀνταῦθα, καὶ ἔσθησις ἐσθήσεως, τὰ ὕστερα ποιητῶν· τὸ δὲ ἐσθὴς, καὶ λογογράφων.

Pag. 91. l. 309. Οὔτ' εὐσεβεῖν πάρεστιν] ἤγουν τοῖς θεοῖς εὐχαριστεῖν, ἀλλὰ μᾶλλον πρὸς αὐτῶν δυσχεραίνειν ὅτι μὴ δίκας εἰς τάχος τῶν τῶν παρόντων αἰτίους ἀπῄτησεν.

l. 311. Φέρ' εἰπὲ] ἐδεδίει ὁ χορὸς Ἠλέκτρα, συνὼν μὴ παρ' Αἰγίσθου γνωσθεὶς κακόν τι πάθῃ.

l. 314. Θυραῖον οἰχνεῖν] νόει δὲ τοῦτο, εἰ μὲν βούλει ὄνομα ἀττικόν. οὐ γὰρ μόνον ἡ θυραία, ἀλλὰ καὶ ἡ θυραῖος, ὥσπερ ἡ θεὰ καὶ ἡ θεός. εἰ δὲ βούλει, καὶ ἐπίρρημα.

l. 318. Καὶ δὴ σ' ἐρωτῶ] μὴ λάβῃς εἰς τὸ κασιγνήτου ἔξωθεν τὸ ἕνεκα, ἀλλὰ χωρὶς τοῦτο σύνταξον· εἰ καί τινα ἀσάφειαν ἔχει. οὕτω γὰρ ὀφείλομεν εἰπεῖν, εἰδέναι θέλω, ὁ κασίγνητος ἀφίξεται ἢ μένει, τοῦ τί φὴς διὰ μέσου λαμβανομένου· ὁ δὲ ἐπλάγιασε πρὸς γενικήν. ἢ πρὸς τὸ μέλλοντος ῥητέον· πρὸς δὲ τὸ ἐρωτῶ τὴν σύνταξιν ποιητέον, ὥσπερ πρότερον ἐποίησε πρὸς τὸ εἰδέναι θέλω.

¶ Σχόλ. l. 329. Τίν' αὖ σὺ τήνδε] ἄφιξις Χρυσοθέμιδος, καὶ συμβουλὴ πρὸς τὴν ἀδελφήν.

l. 337. Πημαίνειν δὲ μή] ἤγουν βλάπτειν αὐτούς. καὶ γὰρ αὐτὴ δοκεῖς πᾶσιν ἀλόγως ἀγανακτοῦσα, μὴ δυναμένη βλάψαι αὐτῶν πρὸς οὓς ἀγανακτεῖς.

l. 338. Τοιαῦτα δ'] ἤγουν οὐ μόνον ἐγὼ τοιαῦτα ποιεῖν βούλομαι, ἀλλὰ καί σε βούλομαι ποιεῖν τοιαῦτα.

¶ Σχόλ. l. 340. Δεινόν γέ σ'] κατηγορία Ἠλέκτρας πρὸς αὐτήν.

l. 344. Κείνης διδακτά] μὴ λάβῃς εἰς τὸ ἐκείνης ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ὥσπερ φαμὲν, ἐρώμενός ἐστιν ὁ δεῖνα τοῦ δεῖνος, ὅτε Ἀλκιβιάδης Σωκράτους· οὕτω καὶ τοῦτο, διδακτὰ κείνης, ἀντὶ τοῦ ἐκείνης διδάγματα καὶ μαθήματα.

l. 345. Ἐπεί θ' ἑλοῦ γε] ἤγουν πρόκρινε θάτερον τῶν δύο, ἢ φρονεῖν κακῶς, λέγω δὴ Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ συνεῖναι, καὶ ἀμνημονεύειν τοῦ πατρὸς ἢ φρονοῦσαν καὶ φρόνιμον οὖσαν, καὶ τὰ πατρὸς θεραπεύουσαν, μὴ ἔχειν μνήμην τῶν φίλων, ἤγουν μὴ συνεῖναι Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ, οὓς περὶ πλείστου ποιεῖς. τοῦτο δὲ εἶπεν Ἠλέκτρα πρὸς αὐτήν, εἰποῦσαν ὡς ἀλγεῖ τε τοῖς παροῦσι, καὶ τὰ Αἰγίσθου καὶ Κλυταιμνήστρας θεραπεύει ὑπ' ἀνάγκης. τὸ δὲ ἔπειτα, οὐ πρὸς τὸ οὐδὲν ἐκ σαυτῆς λέγεις, ἔχει τὴν δύναμιν. ἀλλὰ πρὸς τὰ ἄνω ῥηθέντα, τὸ, δεινόν γε σ' οὖσαν, καὶ τὰ ἑξῆς. εἰ γὰρ ἦν πρὸς τὸ οὐδὲν ἐκ σαυτῆς, οὐκ ἂν ἦν ἔπειτα, ἀλλ' ἐπεί τοι· ὅθεν καὶ ἀπὸ τούτου ἀπατώμενοί τινες μετατιθέασι τὸν τόνον, ἐπεί θ' ἑλοῦ ποιοῦντες, ὅπερ οὐκ ἔχει λόγον· ἐπεὶ καὶ ἐν τοῖς παλαιοῖς τῶν βιβλίων ἔπειθ' ἑλοῦ εὕρηται.

Pag. 93. l. 350. Πάντα τιμωρουμένης] εὕρηται οὐ μόνον ἐνεργητικῶς τιμωρῶ τὸ κολάζω, ἀλλὰ καὶ τὸ βοηθῶ· καὶ οὐ μόνον τιμωροῦμαι παθητικῶς τὸ βοηθῶ, ἀλλὰ καὶ τὸ κολάζω, ὡς καὶ πᾶς τις ἐξετάσας ἂν εὑρήσει.

l. 360. Οὐδ' εἴ μοι τὰ σὰ] τὰ σὰ πρὸς τὸ ἐφ' οἷς συντακτέον· τὸ δὲ δῶρα, πρὸς τὸ οἴσει, οὕτω, ἐγὼ μὲν οὖν οὐκ ἄν ποτε ὑπεικάθοιμι καὶ ὑποταγείην τούτοις, τῷ Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ· οὐδ' εἰ τὰ σὰ, ἐφ' οἷσι νῦν χλιδᾷς,

μέλλει

μέλλοι τις οἴσειν καὶ κομίσειν ἐμοὶ δῶρα. ἢ τὰ σὰ πρὸς τὸ δῶρα συντακτέ, ἵν' ᾖ, τὰ σὰ δῶρα, ἤγουν ἅπερ σοι δωρῦνται.

l. 385. Νῦν γὰρ ἐν καλῷ φρονεῖν] ἤγουν πρὸ τῆς πείρας κάλλιστόν ἐστι νοῦν λαμβάνειν, ὅπως ταύτην ἐκφύγῃς. οἱ δὲ τὸ ἐν καλῷ ἀντὶ τοῦ λέγω φάσκοντες, οὐκ οἶδα εἰ τὸ παράπαν μετέχουσι νοῦ.

Pag. 95. l. 400. Πατρὸς τιμωρούμενοι] ἀποροῦσιν ἐνταῦθα πῶς γυνὴ οὖσα, τιμωρούμενοι εἶπεν, ὅπερ ἐστὶν ἀρσενικόν. καὶ φαμὲν ὅτι πρὸς τὸ ὑμεῖς τοῦτο ἔφερεν.

l. 406. Ποῖ δ' ἐμπορεύῃ] καλῶς εἶπε τὸ ἐμπορεύῃ. ὥσπερ γὰρ οἱ ἔμποροι κέρδους ἕνεκα σφῶν ταύτην τὴν τέχνην μετίασιν· οὕτω καὶ ἡ Χρυσόθεμις πρὸς Ἀγαμέμνονα τὴν θυσίαν ἔφερεν, κέρδος τῇ μητρὶ καὶ βοήθειαν ἐντεῦθεν πραγματευομένη. οἱ δὲ λέγοντες τὸ ἐμπορεύῃ ἀντὶ τοῦ πορεύῃ, ἐκλαμβάνοντες τὸ ἐν ἄργον, ἀμαθεῖς. καταχρηστικῶς δὲ εἶπε τὸ ἔμπυρα. ἔμπυρα γὰρ κυρίως τὰ διὰ πυρὸς γινόμενα.

¶ Σχῆμ. l. 418. Λόγος τις] διηγήσεις ὧν κατὰ τὴν νύκτα ἡ μήτηρ αὐτῆς εἶδεν.

l. 425. Ηνίχ' ἡλίῳ] ἔθος ἦν τοῖς παλαιοῖς, ὁπότε καθ' ὕπνους ὄναρ δεινὸν ἐθεάσαντο, ἅμα πρωῒ πρὸς τὸν ἥλιον λέγειν, ἵν' ἐπειδὴ ἐναντίος οὗτός ἐστι τῇ νυκτί, ἀποτροπὴν ἐργάσηται τούτου.

¶ Σχῆμ. l. 432. Αλλ' ὦ φίλη] συμβουλὴ Ἠλέκτρας πρὸς Χρυσόθεμιν, ἵνα ἀπορρίψῃ ἃ φέρει θύματα πρὸς τύμβον πατρός.

Pag. 97. l. 443. Προσφιλῶς] τὸ αὐτῇ, ἢ πρὸς τὸ σοὶ συντακτέον, ἵν' ᾖ ἐκ παραλλήλου αὐτῇ σοι, ἢ πρὸς τὸ γέρα, οὕτω, τὰ γέρα αὐτῇ, ἤγουν αὐτῆς. ἢ πρὸς τὸ προσφιλῶς, ἵν' ᾖ, προσφιλῶς αὐτῇ ἤγουν ἀποδεκτῶς αὐτῇ, καὶ ὡς αὐτὴ βούλεται.

l. 446. Εμασχαλίσθη] ἔθος ἦν τοῖς παλαιοῖς, ἡνίκα τινὰ διεχρήσαντο, ἀκρωτηριάζειν αὐτὸν, καὶ ὑπὸ τῆς μασχάλης ταῦτα τιθέναι. τοῦτο δὲ ἐποίουν ἵνα ἀνίσχυρον αὐτὸν ἐργάζωνται διὰ τῆς τῶν ἀκρωτηρίων τομῆς πρὸς τὴν αὐτῶν ἄμυναν, ἣν οἱ νεκροὶ τῶν ζώντας ἀμύνονται, Ἐριννῦς αὐτοῖς ἐπιπέμποντες. οὐ μόνον δὲ ταῦτα ἐποίουν, ἀλλὰ καὶ τὸ ξίφος δι' οὗ ἡ σφαγὴ ἐγένετο, ἀπεμάττον πρὸς τὴν τοῦ σφαγέντος κεφαλήν.

l. 465. Προς ευσεβ.] ἔστιν ὅτε τὴν πρὸς μετ' ὀνόματος κειμένην καὶ αἰτιατικῇ συντασσομένην, ἀντὶ ἐπιρρήματος λαμβάνουσιν, ὡς τὸ, μηδὲν πρὸς ὀργὴν, ἀντὶ τοῦ ὀργίλως· καὶ πρὸς ἀξίαν· καὶ ἐνταῦθα πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς.

l. 474. Ει μὴ ἐγὼ παρ.] κατανοήσας ὁ χορὸς ἀπὸ τοῦ ὀνείρου, ὡς ταχέως οἱ φονεῖς ὑπὸ τῆς δίκης τιμωρηθήσονται, προμαντευόμενος δῆθεν φησὶ πρὸς τὴν Ἠλέκτραν, ὦ τέκνον, ὕπεστί μοι θράσος, ἤγουν θαρρῶ, εἰ μὴ ἔφυν καὶ ὑπάρχω ἐγὼ μάντις παράφρων, καὶ λειπομένη καὶ ἐστερημένη γνώμης σοφῆς, ἤγουν διανοίας φρονίμου· ἤγουν εἰ μὴ ἀνοήτως μαντεύομαι καὶ ἐστέρημαι γνώσεως φρονίμου, εἶσι καὶ ἐλεύσεται ἡ δίκη ἡ πρόμαντις, καὶ ἡ διὰ σημείων τινῶν προμαντευομένη, καὶ δεικνύουσα τὸ μέλλον, φερομένη ἐν ταῖν χεροῖν κράτη δίκαια· ἤγουν κατὰ τῶν φονέων τοῦ σοῦ πατρὸς δικαίαν ἐξουσίαν καὶ δύναμιν φερομένη, τοῦτ' ἔστι δικαίως αὐτοὺς μετὰ δυνάμεως τιμωρήσουσα, μέτεισι καὶ μετελεύσεται καὶ τιμωρήσεται τινὰ κλύουσαν, καὶ ἀκούσασαν ἀρτίως καὶ περὶ ὀλίγου ὀνειράτων ἡδυπνόων καὶ εὐφραντῶν ἡμῖν, οὐκ ἐπὶ μακροῦ χρόνου, ἀλλὰ ταχέως. ἤγουν, ταχέως τιμωρήσεται Κλυταιμνήστραν, ἥτις εἶδε τὰ ὀνείρατα. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ παρ' Ἀριστοφάνει, Ορῶ τιν' ἐπὶ τοῦ βήματος καθεζόμενον καὶ τὰ, Ηκει τῷ κακῷ, δώσει τὴν δίκην.

Pag. 99. l. 478. Υπεστί μοι] οἱ γράφοντες, Υπεστί μοι θάρσος, ἀμαθεῖς τῶν μέτρων. διὰ τοῦτο θράσος χρὴ γράφειν, ὡς καὶ ἔν τινι τῶν παλαιῶν εὕρηται, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς ἀντιστροφῆς. εἰ δ' ἄλλο μὲν σημαίνει θράσος, ἄλλο δὲ τὸ θάρσος, μὴ θαυμάσῃς. πολλὰ γὰρ τοιαῦτα καινοτομοῦσιν οἱ ποιηταὶ, μετατιθέντες τὰ σύμφωνα, καὶ μεταπλάττοντες τὰς λέξεις, διὰ τὴν τοῦ μέτρου ἀνάγκην. καὶ δηλοῖ τὸ κάρτος καὶ τὸ κραδία, καὶ τὰ τοιαῦτα.

l. 493. Α δεινοῖς] ἤγουν δεινῶς ἐνεδρεύουσα τοῖς κακοῖς, καὶ μὴ φαινομένη, ἀλλ' ἐξ ἀφανοῦς αὐτοὺς βάλλουσα.

l. 496. Μιαιφόνων] ὁ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας γάμος, βαρὺς κατέστη τῷ Ἀγαμέμνονι. δι' αὐτὸν γὰρ πεφόνευται. δέον δὲ εἰπεῖν, ἐπέβησαν γὰρ τῷ Ἀγαμέμνονι μιαιφόνοι, κακῶς λέχεος

καὶ

καὶ ἄνυμφοι γάμοι, ὁ δὲ ἄλεκτρα καὶ ἄνυμφα ἁμιλλήματα μιαιφόνων γάμων εἶπε. προσείδηκε δὲ τὸ ἁμιλλήματα, ἐπειδὴ ἀγώνισμα περισπούδαστον ἐποιήσαντο, διὰ τὸν αὐτῶν ἄθεσμον γάμον Ἀγαμέμνονα κτεῖναι, ἵνα μὴ γνωσθέντες ὑπ' αὐτοῦ φονευθῶσιν.

l. 497. Ητοι μαντεῖαι] ἤγουν εἰ μὴ ταχέως δώσουσι δίκην, ὥσπερ ὁ ὄνειρος ὑποτίθεται, οὐ χρὴ τὸ ἀπὸ τοῦδε ὀνείρασι προσέχειν, καὶ ἐκ χρησμῶν τὸ μέλλον ἔσεσθαι προορᾶν.

l. 506. Πολύπονος ἱππεία] πολύπονος χρὴ γράφειν ἐνταῦθα καὶ ἐν τῷ ιβ' κώλῳ, ἵν' ᾖ παιωνικὰ τὰ κῶλα, ὡς καὶ τὰ λειπά.

l. 515. Εκ τοῦδ' οἴκου] ἐπεὶ καὶ οἴκου καὶ οἴκῳ ἀόριστα, πρὸς μὲν τὸ οἴκους ἔτι λέγε, ἐκ τοῦδε τοῦ καιροῦ οὔ τις πω οὐδεμία αἰκία πολύπονος ἔλειπε τῶν οἴκους· πρὸς δὲ τὸ οἴκου, οὕτως, οὔ τις καὶ οὐδεμία αἰκία πολύπονος ἔλειπεν ἐκ τοῦδε τοῦ οἴκου.

¶ Σχῆμ. Pag. 101. l. 517. Ανειμένη] ἄφιξις Κλυταιμνήστρας ἐπιπλήξεως της Ηλέκτρᾳ.

¶ l. 527. Ως ἐξ ἐμοῦ] ἀπολογία καὶ κατασκευὴ ὡς καλῶς τὸν φόνον εἰργάσατο.

l. 534. Ωσπερ ἡ τεκοῦσ'] ἐκκαίμον δηλονότι. αὐτὴ γὰρ ἐν τῷ τίκτειν ὠδῖνας πᾶσαν ὀδυνῆς ὑπερβολὴν ὑπέφερεν.

¶ Σχῆμ. l. 535. Εἶεν] ἔνστασις.

¶ l. 537. Αλλ' οὐ μετῆν] ἀντιπαράστασις.

¶ l. 540. Πότερον] ἐργασία.

¶ l. 543. Η τῶν ἐμῶν] ἐνθύμημα.

Τίν' ἵμερον] τοῦτ' οὐκ ἔστι τίνα ἵμερον, οὐ διαλελυμένως εἴποις, ἀλλὰ τινὰ ἵμερον· διὰ δὲ τὸ κύρισμα μετετέθη ὁ τόνος.

l. 549. Φαίνοιτ' ἂν ἡ θανοῦσα] ἤγουν ἡ Ἰφιγένεια, οὐχ ὑπὸ Ἀρτέμιδος ἁρπαγεῖσαν, ἀλλὰ θανοῦσαν ἡγεῖτο.

¶ Σχῆμ. l. 550. Εγὼ μὲν οὖν] συμπέρασμα.

¶ l. 553. Ερεῖς μὲν] προκατάστασις.

¶ Pag. 103. l. 559. Καὶ δὴ λέγω] ἀνασκευή.

¶ l. 567. Πατὴρ ποθ'] διήγησις.

¶ l. 574. Ωδ'] ὑπόθεσις.

¶ l. 578. Εἰ δ' οὖν] ἐνθύμημα.

¶ l. 586. Εἰ γὰρ θέλεις] ἔνστασις καὶ κατηγορία τῶν ἔργων ὧν ἀθέσμως πράττει.

¶ l. 596. Αλλ' οὐ γὰρ] ἀντιπαράστασις.

¶ Pag. 105. l. 606. Εδρων ἂν] ὑπόθεσις.

l. 636. Λυτηρίους] ἤγουν δυναμένους λυτροῦσθαι καὶ ἐξηλοῦσθαι τῶν δειμάτων.

¶ Σχῆμ. l. 638. Κλύοις ἂν] εὐχή.

Pag. 107. l. 646. Διασσῶν ὀνείρων] ἤγουν διπλῆν φύσιν ἐχόντων. ἀληθῆ γάρ ἐστιν ὅτε καὶ ψευδῆ ἀποβαίνουσιν. ἔστι δὲ ὅμοιον τῷ παρ' Ὁμήρῳ, Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων.

l. 654. Οσων ἐμοὶ] μᾶλλον εἰς τὸ ὅσων ἔξωθεν τὴν ἀπὸ, ἀλλὰ πρὸς τὸ διάνοια τὴν τοιαύτην σημαντικὴν νόει.

¶ Σχῆμ. l. 661. Ξέναι γυναῖκες] ἄφιξις τοῦ παιδαγωγοῦ πρὸς τὸν οἶκον Αἰγίσθου.

l. 663. Αὐτὰς εἴκασας] ἤγουν ἀπὸ σχήματος καὶ ἀπὸ οἰκείου στοχασμοῦ ἔγνως. πρὸς ὃ περ ἐκεῖνος, ἄρ' οὖν ἀπεικάζω καὶ τήνδε τὴν γυναῖκα ἐκείνου; ἤγουν ἀπὸ στοχασμοῦ καταλαμβάνω;

l. 669. Εἰδέναι δὲ] οὐ μόνον οὐ λάβοις εἰς τὸ σοῦ ἔξωθεν τὸ ἀπὸ, ὥς τινες, ἀλλὰ καὶ πρὸς τὸ χρῄζω συντάσσων, ὧν ἂν ποιήσῃς.

¶ Σχῆμ. l. 681. Κἀπεμπόμην] προκατάστασις καὶ διήγησις, ὅπως δῆθεν Ὀρέστης τέθνηκεν.

l. 683. Πρόσχημ' ἀγῶνος] εἶδος, καλλώπισμα. λέγει δὲ τῶν Δελφῶν. ὅτι δὲ τοῦτο δηλοῖ τὸ πρόσχημα, μαρτυρεῖ καὶ Ἀριστείδης λέγων, Τὸ τῆς Ἑλλάδος πρόσχημα καθαρῶς ἀνῄρηται.

Δελφικῶν ἄθλων] τῶν εἰς τὸν Δελφοὺς ἐν τῇ τῶν Πυθίων πανηγύρει τοῖς νενικηκόσι διδομένων βραβείων. τὰ δὲ πύθια ἦν ἑορτὴ τοῦ Ἀπόλλωνος.

l. 685. Οὗ πρώτη κρίσις] εἰσήγετο γὰρ ὁ δρόμος πρῶτος τῶν ἄλλων ἄθλων, πυγμῆς, πάλης, δίσκου, ἁλματος. τοῦτο δὲ ἐγίνετο διὰ τὸ πάντας τοὺς ἀγῶνας πορείας δεῖσθαι. ἔστι δὲ ὁ δρόμος οὐκ ἄλλό τι ἢ μόνον πορεία καὶ τάχος ποδῶν. ὡς οὖν τὸ φυσικὸν πρῶτον μόνος ἰδιοποιησάμενος προετάττετο.

l. 687. Δρόμου δ' ἰσώσας] δόλιχον γὰρ ἠγωνίσατο, ὅς ἐστιν εἶδος δρόμου εἴκοσι στάδια ἔχων, τὸ πᾶν τῆς πορείας. ἦν δὲ καὶ ὁ Ὀρέστης ἐτῶν εἴκοσι.

l. 693. Δρόμων διαύλων] ἰστέον ὅτι ἀντὶ τοῦ ἀγώνων, διαύλων εἶπε. δέονται γὰρ πάντες οἱ ἀγῶνες (ὡς ἄνωθεν ἔφημεν) πορείας πρὸς τὸ τελεσθῆναι. ἐσαφήνισε δὲ διὰ τοῦ εἰπεῖν, ἃ νομίζεται πένταθλα. δέον δὲ εἰπεῖν, οἳ νομίζονται, πρὸς τὸ πένταθλα ἐπήνεγκε· καὶ ἔστιν ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήνδ' ἣν ὅδ' εἴληχεν τύχην, Θανόντες ἂν προὐκείμεθ' ἐχθίστῳ μόρῳ. εἰσὶ δὲ αἱ τοιαῦται γυμνικαὶ τὸ ὅσον δρόμων, πρὸς τὸ τούτων ἐνδικῶν. εἰ καί τινες ἀγνοοῦντες τὴν σύνταξιν, τὸ ὅσον δρόμον μικρογραφοῦσι.

Pag. 109. l. 700. Κεῖνος γὰρ ἄλλης] μὴ λάβῃς εἰς τὸ ἡμέρας ἔξωθεν τὸ ἐπί, ἀλλ' οὕτω λέγε, ἐκεῖνος γὰρ ὅτε ἄλλης ἡμέρας, πρὸς τὸ ὅτε τὴν τοιαύτην γυμνικὴν συνετέλουν. ὥσπερ γὰρ φαμὲν, ὅτε τῆς ἡμέρας ἔκλειψις ἡλίου γέγονεν, οὕτω καὶ τοῦτο. τὸ δὲ ἱππικῶν, ἀντὶ τοῦ ἡνιόχων, οὐχ ὥς τινές φασιν, ἀντὶ τῶν ἵππων, τὸ κτητικὸν ἀντὶ τοῦ ἁπλοῦ, ληρῳδοῦντες. ἐπεὶ δὲ ἱππικῶν εἶπεν, ἤτοι ἡνιόχων, τοιούτων δὲ οὐχ ἕτερός ἐστιν ἀγὼν ἢ δι' ἵππων, διὰ τοῦτο ὠκύποδας εἰς τὸ ἀγὼν προσέθηκε. περὶ γὰρ τάχους ἵππων ἠγωνίζοντο.

l. 709. Τῶν θεοδμήτων ἄπο] τοῦτο σεμνύνων τοὺς Ἀθηναίους ὡς Ἀθηναῖος ὁ Σοφοκλῆς λέγει. τῷ ὄντι γὰρ θεόδμητος ἦν ἡ Τροία, ἐκ Ποσειδῶνος καὶ Ἀπόλλωνος κατὰ τὸν μῦθον κτισθεῖσα.

l. 712. Κλήροις ἔπηλαν] ἀντὶ τοῦ μετὰ κλήρων ἔστησαν. ἔστι δὲ τὸ κλήροις ὥσπερ ἀργόν. τὸ γὰρ ἔπηλαν καὶ χωρὶς τούτου σώζει τὴν φύσιν. τὸν αὐτὸν δὲ λόγον φαμὲν καὶ εἰς τὸ περιήει κύκλῳ. ὃ γὰρ συναμφότερον δηλοῦται, τοῦτο μόνον τὸ περιήει.

l. 719. Χνόας τις αὐτὴν] ἤγουν τὸ ἅρμα τοῦ ἑτέρου. ἀπὸ μέρους τὸ πᾶν. χνόαι γὰρ τὰ ἀκροξόνια. ἔστι δὲ τὸ χνόας καὶ τὸ φρυάγματα ἱππικὰ ταυτόν.

l. 723. Ἐχρίμπτ' ἀεὶ σύριγγα] ἐπλησίαζε τῷ καμπτῆρι, δηλονότι τὴν ὀπὴν τοῦ τροχοῦ.

l. 732. Κρισαῖον] ἤτοι Φωκικόν. ἔστι γὰρ πόλις Φωκίδος, ἐν ᾗ Φωκίδι καὶ τὸ ἐν Δελφοῖς μαντεῖόν ἐστιν. ἔστι δὲ τὸ ναυαγίων ἱππικῶν ὅμοιον τῷ, Νέκταρ ἐῳνοχόει.

Pag. 111. l. 746. Μέσας χνόας] ἀντὶ τοῦ κατὰ τὸ μέσον ἔθραυσε τὰς χνόας τοῦ ἄξονος· ἀντὶ τοῦ ἑνικοῦ, ἤγουν τὸ μέρος τοῦ ἄξονος τὸ ἐν τῇ ὀπῇ τοῦ τροχοῦ.

l. 759. Δειλαίας σποδοῦ] δέον οὕτως εἰπεῖν, δειλαίαν σποδὸν μεγίστου σώματος, ἀντιστρόφως εἴρηται, ὥσπερ καὶ ἄλλα μυρία τοιαῦτα εὑρίσκεται.

¶ Σχῆμ. l. 767. Ὦ Ζεῦ] δεινοπαθεῖ οὐ δῆθεν Κλυταιμνήστρας ἐπὶ τῷ ἀκούσματι τούτῳ.

l. 768. Ἐν τοῖς ἐμαυτῆς] τὸ πᾶν οὕτως, ἐὰν ἐν τοῖς κακοῖς τοῖς ἐμαυτοῦ σώζω τὴν ζωήν. καλὸν γὰρ αὐτῇ ἦν τὸ τεθνηκέναι τὸν Ὀρέστην, εἰ ἔσωζε τὸν βίον αὐτῆς.

l. 775. Πίστ' ἔχων τεκμήρια] ἤγουν σημεῖα. λέγω δὴ τὸ διηγήσασθαι τὴν ἐκείνου συμβᾶσαν τύχην, καὶ εἰπεῖν ὡς μετ' ὀλίγον οἱ τὴν σποδὸν αὐτοῦ φέροντες ἄνδρες ἀφίξονται.

Pag. 113. l. 787. Νῦν δ'] τοῦτο τὸ νῦν ἐπανάληψίς ἐστι τοῦ προτέρου νῦν.

l. 793. Ἄκουε Νέμεσις] Νέμεσις, θεὰ μεμφομένη τοῖς θανοῦσιν ἐφυβρίζοντας, καὶ τούτους τιμωρουμένη. σύνταξαι δὲ τὸ θανόντας πρὸς τὸ Νέμεσις, καὶ μὴ πρὸς τὸ ἄκουε, ὥσπερ τινὲς ποιοῦσιν· ἄλλοι δὲ καὶ λαμβάνουσιν ἔξωθεν τὸ οὕνεκα.

l. 796. Οὐκοῦν Ὀρέστης] εἰ μὲν γράψῃς οὐκοῦν, κατ' ἐρώτησιν μὲν ἢ καθ' ὁμαλισμὸν δὲ εἰρωνικῶς. εἰ δὲ καὶ παύσατον γράψῃς (εὕρηται γὰρ καὶ τοῦτο) προστακτικῶς ἐρεῖς οὕτως, οὐκοῦν παύσατε τάδε σύ τε καὶ Ὀρέστης, εἰ δύνασθε.

l. 797. Πεπαύμεθ' ἡμεῖς] οὕτως ἦν τὸ σαφὲς, οὐ μόνον οὐ παυσόμεθά σε, ἀλλὰ πεπαύμεθα ἡμεῖς· νῦν δὲ προσθεὶς τὸ πεπαύμεθα, εἶτ' ἐνεγκὼν τὸ οὐχ ὅπως σε παυσόμεθα, ἀσάφειάν τινα ἐποίησε. σὺ δὲ ὡς ἔφημεν λέγε συντάσσων.

l. 815. Καὶ πάρος ἤδη] τὸ ἤδη εἰ μὲν ἀντὶ τοῦ πάλαι νοήσῃς, πρὸς τὸ πάρος συνάψῃς· εἰ δὲ ἀντὶ τοῦ νῦν, πρὸς μὲν τὸ πάρος στίξεις, αὐτὸ δὲ πρὸς τὸ ἐπαγόμενον συνάψῃς.

Pag. 115. l. 827. Κρύπτουσιν] τουτέστιν ἡσύχως φέρουσιν, οὐ δεικνύουσιν ἀγανακτοῦσι.

l. 831. Μέγ' ἀΰσῃς] ἤγουν βοήσῃς, εἴπῃς. ἤγουν μὴ πρὸς θρήνους ὁρμήσῃς, ἵνα μὴ πρὸς ὀργὴν Κλυταιμνήστραν κινήσῃς.

l. 836. Ἐλπίδ' ὑποίσῃς] ὑποτείνῃς,

ὑπο-

ὑποβαλεῖς, ὡς ἐξ ἐκείνων βοήθειά τις μοι γενήσεται.

l. 838. Ἐπεμβάσῃ] ἤγουν ἐπιπέσεις νενικημένῃ, καὶ μείζονα ἐργάσῃ τὴν συμφοράν.

l. 840. Ἕρκεσιν] ἤγουν τοῖς περιδεῤῥαίοις, ἅπερ Ἄδραστος ἔδωκεν Ἐριφύλῃ τῇ σφετέρᾳ μετ' ἀδελφῇ, ἐκείνου δὲ τοῦ Ἀμφιάρεω γυναικὶ, ἵνα πείσῃ αὐτὸν ἀπελθεῖν εἰς τὰς Θήβας μετὰ Πολυνείκους. ἅτε γὰρ μάντις ὢν, ᾔδει ἀπολουμένην τὴν στρατιάν· καὶ διὰ τοῦτο οὐκ ἤθελε στρατεῦσαι, εἰκότως δὲ τὰ περιδέῤῥαια ἕρκη ἐκάλεσε, διὰ τὸ αἴτια αὐτῷ ἀπωλείας γενέσθαι. φασὶ δὲ ὅτι ἐν τῷ τόπῳ τῶν Θηβῶν, ἔνθα κατεχώσθη Ἀμφιάρεως, μαντεῖον ἦν αὐτοῦ τὸ λοιπόν. ἰστέον δὲ ὅτι οὐ χρὴ γράφειν, γυναικῶν ἀπάταις (οὐ γὰρ ἁρμόζει οὕτω τῷ μέτρῳ. περιττὸν γάρ ἐστι τὸ γυναικῶν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ) ἀλλὰ κρυφθέντα ἀπάταισι γράφε, τὸ δὲ γυναικὸς ἔξωθεν λάμβανε. οὕτω γὰρ κατὰ τὴν σύνταξιν καὶ τὸ μέτρον ἔχει καλῶς.

l. 844. Πάμψυχος ἀνάσσει] ἤγουν πασῶν τῶν ψυχῶν ἀνάσσει. ἢ ὅλος ζῶν ἀνάσσει, ἢ ζώων ἀνάσσει.

l. 846. Φεῦ δῆτ' ὀλοά] ἐπὶ θηλυκοῦ ληπτέον τὸ ὀλοά, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς· ἤγουν ὀλοὰ καὶ ὀλεθρία ὑπῆρχεν ἡ Ἐριφύλη. ἐδάμη γὰρ ὑπὸ τοῦ υἱοῦ αὐτῆς Ἀλκμαίωνος. εἰ δ' ἄλλως εἴποις, οὐκ ἔχει ὀρθῶς.

l. 855. Κἀγὼ τοῦδ' ἴστωρ] καὶ ἐγὼ ἴστωρ καὶ ἐπιστήμων καὶ ὑπερίστωρ εἰμὶ τοῦδ'· ὅτι δηλονότι δειλαία κυρίως καὶ ὑπάρχω, ἤγουν ἀθλία, τῶν Ἀχαιῶν τῶν ἀθλίων, ἕνεκα τῶν πολλῶν δεινῶν, τῶν πανσύρτων καὶ πάντα συρόντων, καὶ ἀπολλυόντων, καὶ στυγνῶν, ἤτοι τῶν στυγνάζειν ποιούντων, ἐν τῷ παμμηνίῳ καὶ διηνεκεῖ χρόνῳ. ἤγουν, ἐπίσταμαι ὅτι ἀθλιωτέρα εἰμὶ τῶν Ἀχαιῶν, τῶν διὰ τοῦτο ἀθλίων ὅτι πολλῶν δεινῶν πανσύρτων καὶ στυγνῶν πεῖραν ἔλαβον ἐν τῷ παμμηνίῳ καὶ διηνεκεῖ χρόνῳ, ὃν δηλονότι ἐν Τροίᾳ πεποιήκασιν. εἰ δὲ πανσύρτων καὶ ἀρχαίων γράψεις, (ἐν τισὶ γὰρ τῶν πάνυ παλαιῶν οὕτως εὕρηται βιβλίων) ὀρθότερον ἔχει πρὸς τὸ μέτρον. εἴγε μὴν πανσύρτῳ γράψεις, (ἐν πολλοῖς γὰρ καὶ οὕτως εὕρηται) πρὸς τὸ παμμηνίῳ συνάψεις· ἤγουν τῷ διηνεκεῖ χρόνῳ τῷ κατὰ πάντα συρομένῳ, ἤτοι τῷ πολυκινήτῳ· ἐπεὶ δ' ὑποσκάζει τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς, τὸ δεινῶν στυγνῶν τ' Ἀχαιῶν, (ἐκεῖνο γὰρ ἐκ σπονδείων δι' ὅλου σύγκειται) ἀρχαίων φημὶ δεῖν γράφειν. (ἀπὸ τούτου γὰρ καὶ τὸ Ἀχαιῶν ἐν πολλοῖς τῶν βιβλίων εὕρηται, τοῦ ρ κατὰ λήθην τοῦ γραφέως ἐκλελοιπότος) καὶ οὕτω συνάπτειν, καὶ ἐγὼ ἴστωρ καὶ ὑπερίστωρ εἰμὶ τοῦδε, ὅτι δειλαία εἰμὶ δηλονότι, ἐν τῷ πανσύρτῳ καὶ παμμηνίῳ καὶ διηνεκεῖ χρόνῳ, ἕνεκα τῶν δεινῶν τῶν ἀρχαίων τῶν πολλῶν καὶ στυγνῶν. ἀρχαῖα δέ φησι τὰ δεινὰ, ἐπεὶ καὶ πρότερον εἴρηκεν ὡς ἐκ τῆς πρόσθεν Πέλοπος ἱππείας, καὶ τοῦ φόνου Μυρτίλου, οὐκ ἔλιπε τὸν οἶκον αὐτῶν πολύπονος αἰκία.

Pag. 117. l. 860. Παραγάγῃς ἵν' οὐ] τὸ ἵν' οὐ, πρὸς τὸ πάρεισι συναπτέον· εἰ καὶ τὸ τί φῄς, διὰ μέσου τίθεται. συντάσσεται δὲ οὕτω, μή με νῦν μηκέτι παραγάγῃς ἵνα καὶ ὅπου οὐ πάρεισιν ἐλπίδες ἐλπίδων, τῶν εὐπατριδῶν κοινοτόκων, ἤγουν τοῦ εὐγενοῦς Ὀρέστου τοῦ ἐμοῦ ἀδελφοῦ ἀρωγοὶ ἐμοί. ἤγουν, μὴ εἰς ἐλπίδας ἐμβάλῃς Ὀρέστου, ὡς ἥξει ἐμοὶ βοηθός. ἰστέον δὲ ὅτι τὸ τί φῄς, πάρεισιν ἐλπίδων, ἓν κῶλόν ἐστι. τὰ γὰρ δύο πρότερα ἓν ἀποτελεῖ κῶλον, ὡς καὶ ἐν τῇ πρώτῃ ἀντιστροφῇ δείκνυται, διὸ τὸ αὐδᾷς δὲ ποῖον, περιττὸν ὂν ἐξεβλήθη παρ' ἐμοῦ· ταυτὸν γάρ ἐστι τῷ τί φῄς.

l. 865. Ἐν ἁμίλλαις] διὰ τοῦ εἰπεῖν ἁμίλλαις, ἐδήλωσε τὸ ἵπποις· τούτων γὰρ ἡ ἅμιλλα. τὸ δὲ χαλαργοῖς, ἢ τοῖς τὰς χηλὰς (καὶ τοὺς πόδας, ἀπὸ μέρους τὸ πᾶν) ἀργὰς ἔχουσι κατ' ἀντίφρασιν. ὥσπερ ἐστὶ καὶ τὸ σμάραγδος καὶ τὸ πύγαργος. ἢ χαλαργοῖς καὶ λευκόποσιν.

l. 876. Οἷς ἴσασιν] εἰ μὲν ἴσασιν γράψεις, πρὸς τὸ ἰδεῖν συντάξεις· εἰ δὲ ἴασις, πρὸς τὸ ἐστίν.

l. 878. Κλύουσ' ἐναργῶς] ἤγουν φανερῶς. τοῦτο δὲ ἢ πρὸς τὸ πάρεστι σύναπτε, ἢ πρὸς τὸ ἴσθι.

¶ Σχήμ. l. 874. Ὑφ' ἡδονῆς] ὑποστροφὴ Χρυσοθέμιδος μετά τινος εὐφροσύνης.

Pag. 119. l. 911. Μή τοι τόδ' ἀγλάϊσμα] μὴ λάβῃς ἔξωθεν εἰς τὸ τοι, ἀπὸ, ἀλλὰ πρὸς τὸ ἀγλάϊσμα νόει τὴν γενικήν. μηδὲ τὸ πλὴν ἀντὶ τοῦ χωρὶς εἴπῃς, ἀλλ' ἀντὶ τοῦ εἰ μή. ἔστι δὲ ἡ γενικὴ τὸ ἐκείνου πρὸς τὸ τοι.

l. 916. Οὔθ' ὁ νοῦς φιλεῖ] εἰ καὶ πολλάκις τὸ φιλεῖ ἀντὶ τοῦ εἴωθε λέγεται, ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν. τὸ γὰρ

φιλῶ ἐκ ἔχει τοῦτο τι σημαινόμενον· ἀλλ' ἀντὶ τοῦ ἀγαπῶ. ἐπεὶ δὲ ὁ φιλεῖ τις, ἐθάς ἐστιν ἐκείνῳ, διὰ τοῦτο ἡπατήκασιν οἱ πολλοὶ, καὶ ἀπὸ τοῦ φυσικοῦ σημαινομένου ἐξαγαγόντες, οὕτω φασίν.

¶ Σχῆμ. l. 885. Καὶ δὴ λέγω] διήγησις ὧν εἶπεν ἐν τάφῳ.

¶ l. 918. Τοῖς αὐτοῖσι] γνωμικόν.

l. 935. Μνημεῖ' Ὀρέςου] ἤγουν ἐνθυμήσεις. θανόντος γὰρ ἐκείνου, τμηθεὶς ὁ βόστρυχος τῆς κεφαλῆς ὑπό τινος τῶν αὐτοῦ φίλων, ἐπετέθη τῷ τάφῳ τοῦ Ἀγαμέμνονος, ἵνα τις ὁρῶν αὐτὸν κείμενον, εἰς μνήμην ἀφικνῆται Ὀρέςου.

¶ Σχῆμ. l. 923. Φεῦ τῆς ἀνοίας] μέμψις Ἠλέκτρας ἐφ' οἷς διηγήσατο Χρυσόθεμις.

¶ Pag. 121. l. 942 Οὕτως ἔχει] προκατάςασις.

l. 949. Συνοίσω.] διοίσω, συμποιήσω ὃ καὶ συνδιαφέρω λέγεται, καὶ δηλοῖ τὸ μετά τινος ὑπομένειν τι.

¶ l. 950. Ἀκουε δὲ νῦν] Ἠλέκτρας συμβουλή, ὅπως ἀνέλωσιν Αἴγισθον.

l. 955. Θάλλοντά τ' εἰσήκουον] μὴ εἴπῃς καὶ αὐτὸς τὸ τε ἀργόν, (ὥς τινές φασιν) ἀλλ' οὕτω σύνταξε, ἕως μὲν εἰσήκουον τὸν κασίγνητον ἐν τῷ βίῳ καὶ ζῶντα καὶ θάλλοντα, ἤγουν ζῶντα πάλιν. ἔςι δὲ τὸ βίῳ καὶ τὸ θάλλοντα ἐκ παραλλήλου. εἴρηται δὲ τὸ θάλλοντα ἐκ μεταφορᾶς τῶν φυτῶν. ζωὴ γὰρ φυτοῦ τὸ θάλλειν, ὥσπερ αὖ τοὐναντίον ἡ μάρανσις.

l. 960. Οὐδὲν γάρ σε δεῖ] οἱ ἀγνοοῦντες τὸ τοῦ Εὐριπίδου, τὸ, Κρύπτειν θ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών, καὶ ἐναλλαγὰς καὶ προσθέσεις ἔξωθεν καινοτομοῦντες, ἵνα συντάξωσιν, ἐντεῦθεν διδαχθήτωσαν μὴ τοιαῦτα ποιεῖν, ἀλλ' ὀρθῶς συντάσσειν, ὡς ἔχει τοῦτο.

l. 969. Πημονὴν αὐτῷ] τοῦτο κομματικὸν ὄν, πρὸς τὸ ὄπισθεν (συνάπτεται τὸ βλαςεῖν, τῇ ἐννοίᾳ. τὸ γὰρ ἀναβλαςῆσαι τὸ γένος αὐτῶν, οὐκ ἕτερόν ἐστιν ἡ πημονὴ τῷ Αἰγίσθῳ. μὴ λάβῃς δὲ εἰς τὸ πημονὴν ἔξωθεν τὸ λέγω, ἀλλ' οὕτω σύνταξε, ἔσται ἀναφῦναι τὸ ἐμόν τε καὶ σὸν γένος πημονὴν αὐτῷ σαφῆ, τῆς τοιαύτης αἰτιατικῆς πρὸς τὸ βλαςεῖν ἐχούσης τὴν φύσιν καὶ φερομένης. ἔςι δὲ ὅμοιον ὡς προέφθην εἰρημένῳ, τῷ, μνήματα Τροίας.

¶ Σχῆμ. l. 970. Ἀλλ' ἣν ἐπίσπῃ] συμφωνολογία, τίνων τεύξονται εἰ τοῦτο πράξειεν.

l. 972. Θανόντος οἴσῃ] ἤγουν λάβῃς. συνάπτε δὲ πρὸς τὸ κάτω. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, εὐσεβοῦς δόξεις τοῖς ἐν ἅδου θεοῖς, ἐκ πατρὸς θανόντος καὶ κασιγνήτου. τοῦτ' ἔςι δι' ὧν ὑπὲρ τεθνηκότος πατρὸς καὶ ἀδελφοῦ συνδιάσεις.

¶ l. 675. Φιλεῖ] γνωμικόν.

l. 980. Ἰδεσθε τώδε τὼ κασιγνήτω] εἰώθασιν οἱ Ἀττικοὶ τὰ τοῦ θηλυκοῦ γένους δυϊκὰ ἀρσενικῶς ἐκφέρειν ὅθεν καὶ παρὰ λογοποιοῖς τὼ χεῖρε μόνον ἐπικράτησεν. εὕρηται δὲ παρ' Ἰσοκράτει καὶ ἄλλοις τὼ πόλεε καὶ τοῖν πολίοιν. εὕρηται δὲ οὐ μόνον ἐν τοῖς δυϊκοῖς ἡ αὐτὴ καινοτομία, ἀλλὰ καὶ ἐν τῇ γενικῇ τῶν ἑνικῶν, ὥσπερ τὸ παρ' Εὐριπίδῃ, Οὐδ' ἐλπίδος τοῦ τε δόξης ὁρῶ θάρσος. φησὶ δήπου καὶ αὐτὸς, Οὔτε τι κλύων σάλπιγγος. καὶ Συνέσιος, Ἡ πάντως ἀπὸ μιᾶς γε τῆς συμφορᾶς ἀναπεισθέντας.

Pag. 123. l. 987. Τοιαῦτά τοι νῷ] τὸ μὲν νῷ πρὸς τὸ ἐξρεῖ. ὥσπερ φαμὲν, καλῶς λέγω σε, οὕτω καὶ ἐξρῶ σε τοιαῦτα. τὸ δὲ ζῶσαιν, θανοῦσαιν, πρὸς τὸ ἐκλιπεῖν. τινὲς δὲ πλανῶνται ἐκ τοῦ ζῶσαι, θανοῦσαιν, καὶ γράφουσι νῷν, ἤγουν, νῶϊν καὶ ἡμῖν.

¶ Σχῆμ. l. 987. Τοιαῦτα] ἀπόθεσις.

¶ l. 991. Ζῆν αἰσχρὸν] γνωμικόν.

¶ l. 993. Ἐν τοῖς τοιούτοις] ἐπίκρισις τοῦ χοροῦ.

Ἐν τοῖς τοιούτοις] ἤγουν τοῖς παρακεκινδυνευμένοις τῶν ἔργων, ὁποῖα τὰ παρόντα. δεῖ γὰρ μεγίςης βουλῆς, ἵνα μὴ τῷ χρόνῳ τοῖς ἐχθροῖς αἰσθησις γένηται.

l. 995. Καὶ πρὶν γε φωνεῖν] ἐπειδὴ φορτικὸν ἦν τὴν Χρυσόθεμιν μέμφεσθαι τῇ Ἠλέκτρᾳ ὡς ἀφρόνως βουλευομένῃ, (ἔδει γὰρ αἰδῶ καὶ ὑποςολὴν πρὸς αὐτὴν ἔχειν ὡς πρεσβυτέραν οὖσαν) διὰ τοῦτό φησιν, ὦ γυναῖκες, καὶ πρὶν φωνεῖν καὶ λέγειν ἐμὲ αὐτῇ ὅτι κακῶς καὶ ἀσυνέτως βουλεύεται, εἰ ἐτύγχανεν αὕτη φρενῶν οὐ κακῶν, ἀλλὰ καλῶν, ἐσώζετο ἂν τὴν εὐλάβειαν, καὶ τὴν ὀφειλομένην ἐξ ἐμοῦ αὐτῇ αἰδῶ καὶ ὑποςολήν. καὶ ἣν ἂν αἰδέσιμος οὕτως ὑπερέχει σώζεται νῦν ταύτην, ἀφεῖσα τοιαῦτα βουλευομένη. τοῦτ' ἔςιν, ὡς, ἴδει ἐμὲ αὐτῇ νουθετεῖν τὰ προσήκοντα, ἀλλ' αὐτὴν οἴκοθεν εἰδέναι.

¶ Καὶ πρὶν γε] προκατάςασις.

l. 998.

¶ l. 998. Ποῖ γάρ ποτε] ἀνασκευὴ καὶ ἀποτροπή, ὡς οὐ καλῶς βουλευσαμένη.

l. 1008. Λύει γάρ] οὐδὲν ὧν λέγεις ἀπαλλάττει καὶ ἐλευθεροῖ ἡμᾶς τοῦ προτέρου πολλαῖς καὶ ποικίλαις περιπεσούσας κολάσεσι καὶ ἀδοξίᾳ μεγίστῃ, εἶτα θανεῖν.

l. 1010. Ἀλλ' ὅταν θανεῖν] λύσις τοῦ ἀντιπίπτοντος. εἴποι γὰρ ἂν Ἠλέκτρα, ὡς εἰ θανούμεθα, τί κακὸν πεισόμεθα.

¶ Σχήμ. Οὐ γὰρ θανεῖν] λύσις τοῦ ἀντιπίπτοντος. εἴποι γὰρ ἂν Ἠλέκτρα, ὡς εἰ καὶ θανούμεθα.

¶ l. 1012. Ἀλλ' ἀντιάζω) ἱκεσία.

¶ l. 1018. Πείθου. προνοίας] γνωμικόν.

l. 1022. Ἀλλ' αὐτοχειρί] ἤγουν αὐτοχείρως ποιήσω, καὶ μόνη, μὴ παραλαβοῦσα μηδένα σύμμαχον. ἀγνοοῦντες δέ τινες οὕτω φασὶν, ἀργὸν τό τε λέγουσιν.

Pag. 125. l. 1029. Εἰκὸς γάρ] κατὰ συνεκδοχὴν τὸ κακῶς πρὸς τὸ ἐγχειροῦντα ἀπὸ τοῦ πράσσειν νόει.

l. 1031. Χ' ὅταν σὺ λέξῃς] τὸ καὶ τοῦτο πρὸς ἕτερον καὶ τὸ, χ' ὁ λοιπὸς χρόνος, ἔχει τὴν δύναμιν. εἰ καὶ διὰ μέσου Ἠλέκτρα εἴρηκεν τὸ, Ἀλλ' οὔποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.

l. 1034. Ὠφέλησις] ἤγουν οὐκ ἐκ σοῦ τις ὠφεληθήσεται. οὐ γὰρ δύνασαι ὠφελεῖν τινά. οὐ γάρ ἐστί σοι ὠφέλειά τις, ἵνα ὠφελήσῃς ἄλλον. πρὸς ὅπερ ἡ Χρυσόθεμις, ἐμοὶ, φησὶν, ἔνεστιν ὠφέλεια, ἀντὶ τοῦ γνῶσις ὠφελείας. σοὶ δὲ μάθησις οὐκ ἔστιν.

l. 1039. Προμηθείας δέ σου] τὸ γὰρ ἀποτρέπειν σε ταύτης τῆς γνώμης, προνοουμένη σοῦ ποιῶ; ἵνα μὴ Κλυταιμνήστρας μαθούσης, κακόν τι πάθῃς.

l. 1042. Ἦ δεινὸν] κρεῖττον ἂν ἦν, εἰ ἦν, εὖ λέγοντα. ἐδόκει γὰρ ἂν καθολικὸν γνωμικόν. νῦν δ' ἐπειδὴ καὶ ἡ λέγουσα γυνή ἐστι, διὰ τοῦτο καὶ τοῦτο θηλυκῶς ἐξηνέχθη. καὶ ἔστιν ὅπως γνωμικὸν καὶ οὐ γνωμικόν. διότι μὲν γὰρ οὐκ ἔστι κατὰ παντὸς ἀνθρώπου, ἐκπίπτει τοῦ ὀνόματος· διότι δὲ κατὰ πασῶν ἐστι γυναικῶν, τοιοῦτο μὲν δέχεται.

l. 1047. Ἀλλ' εἰ ποιήσεις ταῦτα] τὸ ταῦτα διπλῶς νοητέον. ἢ ταῦτα ἃ ἐγὼ λέγω, οὕτω, ἵνα τὴν ἐμὴν συμβουλὴν δέξῃ, καὶ ἀποστῇς ταύτης τῆς γνώμης, ἔξω κινδύνου ἑστήξῃ, καὶ ἐμὲ τὴν ταῦτά σοι συμβουλεύουσαν ἐπαινέσεις τῆς προμηθείας. ἢ ταῦτα ἃ αὐτὴ βούλει, οὕτω, ἀλλ' εἰ τὸ σὸν θέλημα ποιήσεις, ἐπαινέσεις ἐμοῦ. τοῦτ' ἔστιν, ὅτε δυνήσῃ ἐργάσασθαί τι, καὶ περιπεσοῦσα κινδυνεύσῃς, καὶ τότε μετ' εὐφημίας ἐμοῦ μνημονεύσῃς, ὡς ὑποτιθεμένης σοὶ τὰ λυσιτελῆ. εἰ μὲν οὖν εἴπῃς τὸ δεύτερον, πρὸς τὸ ποιήσω στίξεις.

l. 1048. Οὐδὲν ἐκπλ.] οὐδαμῶς ἐκπλαγεῖσα καὶ αἰδεσθεῖσά σε, καὶ φροντίσασα. εἰ δὲ τὸ ἃ πρὸς τὸ οὐδὲν, καὶ μὴν οὐδαμῶς ποιήσω ἃ λέγεις, ἐκπλαγεῖσα καὶ αἰδεσθεῖσά σε.

l. 1049. Καὶ τοῦτ'] διπλῶς, ἢ ὅτε ποιήσεις ἃ ἐγὼ λέγω, ἢ ὅτι ποιήσεις ἃ αὐτὴ βούλει· ἀλλ' οὐδὲ εἰς συμβουλὴν μετὰ ταῦτα καλέσεις με πάλιν. ἢ οὐ μεταβουλεύσῃ πάλιν.

l. 1055. Οὔ σοι μὴ] τὸ οὐ καὶ μὴ ἐκ παραλλήλου. τὸ δὲ μεθέψομαι ἀντὶ τοῦ μεταδιώξω, καὶ πρὸς συμβουλὴν παραλήψομαι.

l. 1056. Ἱμείρουσα τυγχάνεις] ἱμείρομαι τὸ ἐπιθυμῶ, καὶ ἱμείρω ποιητικῶς τὸ αὐτό.

l. 1057. Θηρᾶσθαι κενὰ] μάταια καὶ ἀδύνατα ζητεῖσθαι· εἰ γάρ τις πρὸς συμβουλήν σε παραλήψεται, οὐδὲν ἀνύει.

l. 1059. Φρονεῖ τοιαῦθ'] φρονῶ, τὸ φρόνησιν ἔχω, ἀμεταβάτως· καὶ φρονῶ τόδε, ἀντὶ τοῦ νοῶ, μεταβατικῶς.

l. 2062. Οἰωνοὺς] ἤγουν τοὺς πελαργούς. οὗτοι γὰρ γηράσαντας τοὺς πατέρας τρέφουσιν, εἰς ἀμοιβὴν τῆς γεννήσεως καὶ ἀνατροφῆς. ὅθεν καὶ τὸ ἀντιπελάργωσις εἴρηται.

l. 1065. Τελοῦμεν] ποιοῦμεν καὶ αὐτοὶ εἰς τοὺς ἰδίους πατέρας. τοῦτο δὲ λέγει διὰ τὴν Χρυσόθεμιν, ὡς οὐ φροντίζουσαν τοῦ πατρός.

l. 1066. Ἀλλ' οὐ τὰν Δίος] οὐ χρὴ τὸ μὰ ἐκτὸς τοῦ κώλου γράφειν. (περισσὸν γάρ ἐστι) διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. νοεῖν δὲ χρὴ τοῦτο ἔξωθεν ἀττικῶς. οὗτοι γὰρ οὐ μόνον τὸ μὰ λαμβάνουσιν ἔξωθεν, ὡς τὸ οὐ τὰν, ἀλλὰ καὶ τὸ μὰ τιθέντες, τὸ τοῦ θεοῦ παραλείπουσιν ὄνομα.

Pag. 127. l. 1068. Οὐκ ἀπόνητοι] ἤγουν ἀτιμώρητοι ἔσονται Κλυταιμνήστρα καὶ Αἴγισθος. ἐσιώπησε δὲ τοῦτο, φοβουμένη διὰ τὸ παρόντας εἶναι.

l. 1069. Ὦ χθονία] ἤγουν εἰς τὰ

κάτω-

ὑποχθόνια ἄνωθεν κατιοῦσα, καὶ τὰ ἐν τῷ κόσμῳ γινόμενα τοῖς κάτω διδάσκουσα.

l. 1070. Κατὰ μὴ βάσσον] εἰκότως εἶπε τὸ καταβόησον, ἐπειδὴ ἐπὶ κατηγορίᾳ Αἰγίσθου καὶ Κλυταιμνήστρας ὁ παρὰ τῆς φήμης πρὸς Ἀγαμέμνονα λόγος γενήσεσθαι ἔμελλεν.

l. 1077. Τὰ δὲ πρὸς τέκνων] δέον οὕτως εἰπεῖν, τὰ παρὰ τῶν τέκνων οὐχ ὁμονοεῖ· ὁ δὲ πρὸς τὴν διάστασιν καὶ μάχην αὐτῶν τὸν λόγον ἔστρεψε, λέγων, τὰ δὲ παρὰ τῶν τέκνων Ἠλέκτρας καὶ Χρυσοθέμιδος, διπλῆ φύλοπις καὶ μάχη, οὐκ ἐξισοῦται φιλοτησίῳ καὶ φιλικῇ διαίτῃ καὶ διαγωγῇ. τοῦτ᾽ ἔστιν, ἀλλήλων διϊστάμεναι τὴν γνώμην οὐκ εἰς ὁμόνοιαν πίπτουσι. διπλῆν δὲ λέγει τὴν μάχην, διὰ τὸ καὶ τὰς ἐχούσας δύο εἶναι.

l. 1077. Μόνα σαλεύει] τὸ σαλεύειν κυρίως ἐπὶ νεὼς λέγεται, ὅτ᾽ ἐπ᾽ ἀγκύρας κινεῖται καὶ ἀστατεῖ.

l. 1078. Τὸν ἀεὶ πατρὸς] θρηνοῦν δηλαδὴ ἢ φόνον. τὸ δὲ ἀεὶ πρὸς τὸ στενάχουσα συναπτέον.

l. 1081. Τοῦ θανεῖν προμηθὴς] ἀντὶ τοῦ προμήθειαν καὶ φροντίδα ἔχουσα, ἤγουν οὐ φροντίζουσα εἰ τεθνήξεται. οἱ δὲ τοῦ μὴ θανεῖν γράφοντες, ἀμαθεῖς.

l. 1082. Τό, τε μὴ βλέπειν] μὴ λάβῃς εἰς τὸ τε, ἔξωθεν τὸ εἰς ἀλλ᾽ ὥσπερ φαμὲν δυνατός εἰμι τόδε. οὕτω καὶ ἑτοιμός εἰμι τόδε.

l. 1084. Τίς ἂν εὔπατρις] οἱ γράφοντες τίς ἂν οὖν οὐκ ἴσασι τὰ περὶ τὸ μέτρον· διὸ περιττὸν κείμενον ἐξεβλήθη παρ᾽ ἐμοῦ τὸ οὖν. ἔχει σέ καὶ πρὸς τὴν σύνταξιν μᾶλλον ὀρθῶς οὑτωσὶ κείμενον.

l. 1085. Ζῶν κακῶς] τοῦτο αἰτία ἐστὶ τοῦ αἰσχῦναι τὴν εὔκλειαν.

l. 1087. Ὥστε καὶ σὺ] ὥστε χρὴ γράφειν ἀντὶ τοῦ ὥσπερ, ἵν᾽ ἔχῃ τὰ κῶλα ὀρθῶς. ἀλλὰ καὶ πάγκλαυτον. οὕτω γὰρ οἱ Ἀττικοὶ τὰ τοιαῦτα γράφουσιν ἐκβάλλοντες τὸ σ, ὥσπερ καὶ τὸ, εὐκτίμενον παρ᾽ Ὁμήρῳ.

l. 1100. Τῶνδε φερομένην] ἤγουν, φερομένην δὲ ἐν τῇ εὐσεβείᾳ τοῦ Διὸς ἄριστα καὶ κρείττονα, λέγω δὴ τὸ κήδεσθαι τοῦ πατρὸς, ἄριστα τῶνδε καὶ τούτων, ἃ μέγιστα νόμιμα ἔβλαστε παρ᾽ ἀνθρώποις. πάντων γὰρ τῶν νομίμων καὶ δικαίων τοῦτο ἐστὶ κρεῖττον καὶ μέγιστον παρὰ πάντων ἀγαπᾶται (κηρύττεται), φροντίδα ποιεῖσθαι πατρὸς ὁ θεὸς ἀποδέχεται, καὶ εὐσεβὲς λογίζεται.

Pag. 129. l. 1105. Αἴγισθον ἔνθ᾽] τινὲς ἀμαθεῖς Αἴγισθος γράφουσι πρὸς τὸ ᾤκηκεν, οὐκ εἰδότες ὅτι τοιοῦτόν ἐστιν ὥσπερ τὸ, Σὺ δ᾽ ἀντακούσῃ τοῦτον ὡς πιθέσθαι, καὶ τὸ, Ψύλλαν ὁπόσους ἅλοιτο τοὺς αὐτῆς πόδας. καὶ, -- οἱ τὸν οὐρανὸν λέγοντες ἀναπείθουσιν ὡς ἐστι πνιγεύς. καὶ, Τοὐπίτριπτον κίναδος ἐξῄδει μ᾽ ὅπου.

l. 1108. Ποθεινὴν] ἐπόθει γὰρ Κλυταιμνήστρα καὶ τὸν Ὀρέστου νεκρὸν ἰδεῖν, μὴ μόνον ἀκοῦσαι.

l. 1112. Οὐ δή ποθ᾽ ἧς ἠκούσαμεν] ἐπειδὴ τὸ μὴ οὐ μόνον ἀντὶ τοῦ οὐ, ἀλλὰ καὶ ἐρωτηματικὸν ἀντὶ τοῦ ἆρα εὕρηται, διὰ τοῦτο καὶ τὸ οὐ οὐ μόνον ἀρνητικόν ἐστιν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἆρα. καὶ τοῦτο μὲν πάντες· σὺ δὲ τὸ οὐ ἀρνητικὸν λέγων, ἐπειδὴ καθ᾽ ἐρώτησιν προάγῃς, τὸ αὐτὸ ποιήσεις ὥσπερ ἂν εἰ ἆρα ἦν. τοῦτο γὰρ κἀντεῦθεν συνάγεται ὅπερ ἐκ τοῦ ἆρα.

l. 1113. Φήμης φέροντες] ὄσσα, ὀμφὴ, καὶ κληδὼν, ἄγγελοι θεοῦ ἐπὶ τοῦ αὐτοῦ λέγονται· φήμη δὲ ἐπὶ τῆς θείας κληδόνος καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως.

¶ Σχήμ. l. 1119. Οἱ ἐγὼ] συνίζησις, ἡ κοινὴ συλλαβή.

l. 1129. Ἀλλ᾽ ἢ φίλαν] ἤγουν ἢ ἀπὸ τῶν φίλων οὖσά τις αἰτεῖται ταῦτ᾽, ἢ κατὰ γενεὰν πρὸς γένους.

l. 1130. Ὦ φιλτάτου] ἤγουν, ὦ ὑπόλοιπον μνημεῖον τῆς ζωῆς τοῦ Ὀρέστου τοῦ φιλτάτου ἀνθρώπων παρ᾽ ἐμοί.

¶ Σχήμ. l. 1130. Ὦ φιλτάτου] θρῆνος Ἠλέκτρας ἐπὶ τῷ ἀδελφῷ.

l. 1131. Ὡς ἀπ᾽ ἐλπίδων] ὄντως ἀπ᾽ ἐλπίδων εἰσεδεξάμην σε, δηλονότι οὐκ ἐκείνων ὧν περ ἐξέπεμπον, ἀλλὰ κακῶν. ἐκεῖναι μὲν γὰρ καλαὶ ἦσαν καὶ σωτήριοι ἐμοὶ ἔχουσαι· αὗται δὲ, (λέγω γὰρ ἃς ὁ ἄγγελος ὑπέβαλεν, ὡς μετ᾽ ὀλίγον ἄν σε νεκρὸν δεξαίμην) καθάπαξ ἀπώλεσάν με. δέον δ᾽ εἰπεῖν ὥσπερ ἐξέπεμπον, πρὸς τὸ ἐλπίδων ἔτρεψεν.

l. 1132. Εἰσεδεξάμην] δέχομαι ἁπλῶς τὸν ἐρχόμενον εἰς ἐμέ. εἰσδέχομαι δ᾽ ἐπὶ οἰκίας, καὶ λιμένος, ἢ τοιούτου τινός. ὃ δὴ καὶ λαμβάνω λέγεται. λέγεται δὲ τὸ λαμβάνω, ποτὲ μὲν ὅταν ἀπὸ σοῦ ἄκοντος τι λάβω· ποτὲ δ᾽ ὅταν ἑκόντος σοῦ λάβω.

l. 1136. Πρὶν ἐς ξένην σὲ] πρὸ τοῦ ἐκπέμψαι σὲ εἰς ξένην γῆν, ἤγουν ἀλλοτρίαν, καὶ σῶσαι, ἤγουν φυλάξαι, καὶ ῥύξασθαί σε ἀπὸ τοῦ φόνου, ὤφελον θανεῖν. τινὲς δὲ ἀπὸ τοῦ ὅπως θανὼν ἔκεισο, ἀπαλλάξαντες, ὤφελες γράφουσι, καὶ κλέψασαν, τὸ ἐκλιπεῖν βίον πρὸς τὸν Ορέστην νοοῦντες. τὸ δ' οὐ τοιοῦτον, ἀλλὰ λέγει ἡ Ηλέκτρα, εἴθ' ὤφελον πρόσθεν θανεῖν, ἢ εἰς ἀλλοτρίαν ἐκπέμψαι σὲ γῆν. εἰ γὰρ ἐγὼ πρότερον ἐτεθνήκειν, οὐδεὶς ἂν σε τῆς Κλυταιμνήστρας ἐξεῖλε χειρῶν· ὥστε ἀπέλαυσας ἂν ἐξ ἐκείνου τότε ὥσπερ ὁ πατὴρ, καὶ συνετάφης αὐτῷ.

Pag. 131. l. 1145. Σμικρὸς προσήκεις] ἐνταῦθα ἀντὶ τοῦ προσέρχῃ, ἐπεὶ καὶ τὸ προσήκει ἀντὶ τοῦ πρέπει, τοῦτο λέγει ὡς πρὸς τῷ πράγματι τῷδ' ἥκει καὶ ἔρχεται. τοῦτ' ἔστι, συμβαίνει καὶ ὁμοῦ γίνεται, ὥστε τὸ συμβαῖνον τινι, πρέπει καὶ ἁρμόζει ἐκείνῳ, καὶ διὰ τοῦτο συμβαίνει.

l. 1147. Ανωφελήτου] ματαίας ἐπ' οὐδεμιᾷ γὰρ ὠφελείᾳ ταύτην ἐποίησα· ἤγουν, οὐδεμιᾶς ὠφελείας ἀπήλαυσα παρ' αὐτῆς.

l. 1157. Ης ἐμοὶ] τὸ ἧς πρὸς τὸ τιμωρὸς συναπτέον· καὶ μὴ τὸ περὶ λάβῃς ἔξωθεν, ὥς τινες τῶν ἀμαθῶν.

l. 1165. Ω δεινοτάτας] τινὲς οὐ δυνάμενοι συντάξαι τὴν γενικὴν, δεινοτάτας κελεύθους φασὶν, οὓς αὐτὸς ἐάσας, οὕτω νόει ὡς κεῖται, εἰ καὶ λεπτὸν ὂν ἐκφεύγει τὸν νοῦν, ὦ φίλτατε λίαν ἀπώλεσάς με, πεμφθεὶς δεινοτάτης κελεύθου, τοῦτ' ἔστι τὸ πεμφθῆναί σε κακῆς κελεύθου, καὶ λύπας καὶ ὀδυρμοὺς ἐμοὶ διὰ τὸν σὸν προξενήσασα θάνατον. νόει δὲ τὸ πεμφθεὶς διπλοῦν, ἢ ἀπὸ τῆς Φωκίδος πρὸς τὴν οἰκίαν πεμφθεὶς νεκρὸς, ἢ ἀπὸ τῆς οἰκίας πρὸς τὴν Φωκίδα ἀπ' Ηλέκτρας πεμφθείς.

¶ Σχῆμ. l. 1173. Τοὺς γὰρ θανόντας] γνωμικόν.

¶ l. 1177. Φεῦ, φεῦ] ἀναγνωρισμὸς Ορέστου καὶ Ηλέκτρας.

Pag. 133. l. 1188. Ως οὐκ ἄρ' ᾔδειν] τινὲς φασὶ τὸ ὡς ἀντὶ τοῦ ὅτι, ἵν' ᾖ πρὸς τὸν ἄνω τῆς Ηλέκτρας λόγον. ἄλλοι δὲ φασὶ κομματικὸν τὸ ὡς, ἀντὶ τοῦ ὄντως νοοῦντες· ὃ καὶ κρεῖττον.

l. 1193. Οθ' οὕνεκ' εἰμὶ] τοῦτ' ἔστιν ἔχθιον, ὅτι εἰμὶ τοῖς φονεῦσι σύντροφος, ἤγουν συνδιαιτωμένη.

l. 1213. Ω τάλαιν' ἐγὼ σέθεν] τὸ σέθεν πρὸς τὸ ὦ τάλαινα, ἔξωθεν λαμβανομένου τοῦ ἕνεκα. τὸ δὲ, τῆς σῆς εἰ στερήσομαι ταφῆς, ὡς πρὸς ἑρμηνεία ἐστὶ τοῦ τάλαιν' ἐγὼ σέθεν.

l. 1221. Πλὴν λόγῳ γ' ἠσκημένον] ὅτι τέθνηκεν ὁ Ορέστης οὐ μόνον ἔργῳ, ἀλλὰ καὶ λόγῳ· ἔργῳ μὲν, ὅτι τὸ ἄγγος τὴν αὐτοῦ φέρει κόνιν· λόγῳ δὲ, ὅτι ἐν Δελφοῖς ἀγωνιζόμενος τέθνηκε. συμβαίνει δ' οὕτως, ἀλλὰ οὐ τὸ Ορέστου σῶμ' ἐστὶ τόδ', ὡς σὺ φῄς. πλὴν εἰ μὴ καὶ ἠσκημένον ἐν λόγῳ, οὐ μόνον ἔργῳ, δηλονότι.

¶ Σχῆμ. l. 1223. Τοῦ γὰρ ζῶντος] γνωμικόν.

l. 1224. Πῶς εἶπας] τὰ δύο κῶλα ἀντὶ ἑνός.

Pag. 135. l. 1226. Σφραγῖδα πατρὸς] τὸν ἐξ ἐλέφαντος ὦμον, ὃν οἱ ἐκ Πέλοπος καταγόμενοι εἶχον. ἕτεροι δὲ φασὶ τὸ σφραγῖδα ἀντὶ τοῦ δακτύλιον.

l. 1236. Κἀπὶ συμφοραῖσί μοι] συμφορὰ οὐ μόνον ἐπὶ δυστυχίας, ἀλλὰ καὶ ἐπὶ συνελεύσεως ἁπλῶς λαμβάνεται, ὡς κἀνταῦθα. Ιστέον δ' ὅτι ὅτε τις τὸν αὐτοῦ πολὺν χρόνον ἀποδημοῦντα μόλις θεάσαιτο, δακρύοις καὶ χαρᾷ κάτοχος γίνεται· τοῖς μὲν, διὰ τὴν πρόσθεν ἀπουσίαν· χαρᾷ δὲ, διὰ τὴν παροῦσαν ἀπόλαυσιν.

l. 1246. Τόδε μὲν] τὸ τόδε πρὸς τὸ περισσὸν ὂν ἄχθος, συναπτέον· ἢ πρὸς τὸ τρέσαι ὑποστίξας, λέγει οὕτως, οὔποτ' ἀξιώσω τρέσαι τόδε, τὸ μήτις ἔνδον κλύῃ, περισσὸν ἄχθος γυναικῶν ὄντος ἔνδον. εἰώθαμεν γὰρ τοὺς ἀργοὺς καὶ μὴ ἐπί τι χρησίμους, ἄχθος καλεῖν γῆς.

l. 1252. Ανέφελον] ἤγουν διάδηλον καὶ μὴ ὑπὸ νεφέλης καλυπτόμενον. εἴρηται δ' ἐκ μεταφορᾶς τοῦ ἡλίου μὴ δυναμένου ὑπὸ νεφῶν κεκαλύφθαι.

Επέβαλες] ἐπιβάλλω τὸ ἐπιτυχῶς στοχάζομαι, ἐνταῦθα δ' ἐπέβαλες ἀντὶ τοῦ εἰς γνῶσιν ἤγαγες, τοῦτ' ἔστιν ἀνέμνησας.

Pag. 137. l. 1256. Τάδε δίκας χρόνος] οὐ γράφε δίκαια χρόνος, ἀλλὰ δίκας. οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. εὕρηται δ' ἐν τινὶ τῶν παλαιῶν βιβλίων οὕτω, οὐχ ὅταν ἡ παρουσία ἐπιτρέπῃ, τότε χρὴ τούτων μεμνῆσθαι, ὡς σὺ φῄς· ἀλλ' ὁ παρὼν χρόνος πᾶς ἁρμόζοι ἂν ἐμοὶ ἐννέπειν καὶ λέγειν τάδε ἐν δίκῃ· τοῦτ' ἔστι, δίκαιόν ἐστιν οὐ μόνον μεμνῆσθαι τῶνδε,

ὅτι

ὅταν ἐπιστῇ καιρὸς τούτων, ἀλλὰ καὶ λέγειν ταῦτα ἃ λέγω διὰ παντὸς τοῦ παρόντος χρόνου. μόλις γὰρ νῦν ἔσχον ἐλευθερίαν· ὥστε λέγειν ἃ βούλομαι, μή τινα φοβουμένη.

l. 1259. Ξύμφημι κἀγώ] τοῦτο πρὸς τὸ τόδε συνάψεις· τὸ δὲ τοιγαροῦν σιῶγα, διὰ μέσου. ἢ σίξεις μὲν πρὸς τὸ σύμφημι κἀγώ· τὸ λοιπὸν δ' οὕτως εἴποις, τοιγαροῦν σιῶγα τόδε τὸ ἐλεύθερον στόμα, καὶ μὴ ταῖς βοαῖς ἀπολίπῃς, εἴ τις ἔνδοθεν αἴσθοιτο.

l. 1262. Τίς δῆτ' οὖν] δέον οὕτως εἰπεῖν, τίς δῆτ' οὖν μεταβάλλοι τοὺς ἐμοὺς λόγους εἰς σιγὴν ἀξίως, ἐπειδὴ ἡ μεταβολὴ τῶν λόγων σιγὴ ἦν; σιγὴν εἶπεν· πρὸς ὃ καὶ τὸ ἀξίαν ἐπήνεγκε. χρὴ δὲ γράφειν ταῦτα τὰ κῶλα οὕτως, Τίς δῆτ' οὖν ἀξίαν, Καί σου φανέντος νῦν. οὕτω γὰρ οἰκείως ἔχει πρὸς τὰ τῆς στροφῆς. εἰσὶ δ' ἄλλως γράφοντες, οὐ καλῶς γράφουσι. τὸ δὲ δῆτ' οὖν, ἐκ παραλλήλου.

l. 1268. Ὀτοτοτοτοῖ] ἡ παροῦσ' ἀντιστροφὴ, ἐλλιπὴς ἦν πρὸς τὴν αὐτῆς στροφήν· διὸ τὸ παρὸν τοῦ ἐκείνης κῶλον προσετέθη παρ' ἐμοῦ κἀνταῦθα. εὕρηται γὰρ πολλὰ τοιαῦτα.

l. 1269. Ἐφρασας] ἤγουν εἶπας, ὅτι ἐπὶ τούτοις ἀμείνω χάριν καὶ ὑψηλοτέραν, ἀπὸ κοινοῦ, τῆς πρόσθεν χάριτος, ἤγουν τῆς ἐπιδημίας σοῦ.

l. 1271. Εἴ σε θεὸς] περιττὸν ἦν ἐνταῦθα τὸ ἐπώρσεν· διὰ τοῦτο ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. χρὴ δὲ λαμβάνειν ἄνωθεν τὸ ὤτρυνε μολεῖν, εἰς τὰ ἡμέτερα μέλαθρα δηλονότι.

l. 1273. Τὰ μὲν σ' ὀκνῶ] διότι μὲν μόλις τῶν πάλαι δακρύων ἀπήλλαξαι, καὶ εἰς χαρὰν ὥρμησας δι' ἐμέ, οὐ θέλω παῦσαί σε τούτου· διότι δὲ ὑπόνοιαν δέδοικα μὴ προσδῶσιν ἡμᾶς τοὺς ἔνδον, μὴ δυναμένη σὺ τὴν ὑπὸ τῆς τοσαύτης χαρᾶς κατέχειν, φοβοῦμαί σε.

Pag. 139. l. 1276. Ω δέ μοι φανῆναι] δέον ἐλθεῖν εἰπεῖν, φανῆναι εἶπε. τοῦτο γὰρ ἦν τὸ τὴν ἡδονὴν ποιῆσαι, τέλος ὂν τῆς πορείας.

l. 1280. Τῶν σῶν προσώπων] τοῦτο ἢ πρὸς τὸ ἀποστερήσῃς συναπτέον, ἢ πρὸς τὸ ἡδονὴν. οὕτω. μὴ ἀποστερήσῃς ἐμὲ μαθεῖν ἡδονὴν τῶν σῶν προσώπων. τοῦτ' ἔστι, μὴ ἀφαιρήσῃς ἐμὲ τὴν διὰ τῆς σῆς παρουσίας ἡδονήν.

l. 1281. Η κάρτα] ἤγουν, οὐ μόνον ἐγὼ τοῦτο οὐ ποιήσω, ἀλλὰ καὶ ἄλλῳ βουληθέντι ποιεῖν ὀργισθήσομαι.

l. 1287. Οὐδὲ σὺν βοᾷ] ἤγουν, σὺν ὀδυρμοῖς καὶ δάκρυσιν ἀκούσασα τὴν περὶ τοῦ θανάτου φήμην. τοῦτ' ἔστι, βουλομένη κλαίειν πρὸς τοὺς τοῦ ἀγγέλου λόγους, οὐκ ἠδυνάμην, ὑπὸ Κλυταιμνήστρας κατεχομένη.

l. 1301. Τῇ νῦν ὁδῷ] τοῦτο ἢ πρὸς τὸ γελῶντας συνάψεις, οὕτω, γελῶντας τῇ νῦν ὁδῷ, ἤγουν ἐπεγγελῶντας τῷ συμβάντι δῆθεν ἐπὶ θανάτῳ· ἢ πρὸς τὸ παυσόμεν, οὕτω, παυσόμεν ἐν τῇ νῦν ὁδῷ, ἤγουν ἐν τῷ παρόντι ἀγῶνι, ὃν ἡμεῖς κατ' αὐτῶν ποιούμεθα.

l. 1307. Καί σοι φίλον] τὸ σοὶ διπλῶς λέγεται, ἢ οὕτως, ὥσπερ ὑπάρχει σοὶ φίλον, καὶ τοὐμὸν τῇδε, ὧδε καὶ οὕτως ἔσται· καὶ πάλιν ὧδε καὶ οὕτως ἔσται, καὶ τὸ ἐμὸν τῇδε προσφιλές, ὥσπερ ὑπάρχει σοὶ φίλον. ἐμὸν οὖν τῇδε, ἀντὶ τοῦ ἐμοὶ αὐτῇ. ἀντὶ γὰρ τοῦ εἰπεῖν ἐμοὶ, ἐμὲ εἶπε πρὸς τὸ φίλον. ἕτεροι δὲ παρανοοῦντες, τῇδε ἀντὶ τοῦ οὕτως φασὶν, ὥσπερ καὶ τὸ ὧδε, ἄμφω ἐκ παραλλήλου λέγοντες.

Pag. 141. l. 1313. Οὔποτ' ἐκ] τοῦτο διπλῶς νοεῖται, ἢ οὔποτε παύσομαι τοῦ χαίρειν, κἂν εἰς δάκρυα ἔλθω· ἢ, (ὃ καὶ κρεῖττον) ἐπειδὴ σὺ κελεύεις φαίνειν με σημεῖα χαρᾶς τῇ μητρὶ, οὐ παύσομαι τοῦ χαίρειν δακρύουσα, ὡς διὰ σὲ δῆθεν ὀφθήσομαι αὐτῇ καθ' ἑαυτὴν χαίρουσα.

l. 1323. Σιγᾶν ἐπήνεσ'] καλῶς τὸ ἐπήνεσα καὶ οὐκ ἐπαινῶ. ἡνίκα γὰρ ἐξεβλήθη τοῦτο, τότ' ἐπῄνεσεν. εἶτ' ἐξεῖπεν. ἢ τὸ ἐπήνεσα διὰ τοῦτο εἶπε παρῳχημένως, ἐπειδὴ καὶ πρόσθεν αὐτῇ εἶπε, σιγᾶν ἄμεινον.

¶ Σχῆμ. l. 1328. Ω πλεῖστα μῶροι] ἐπιτίμησις τοῦ παιδαγωγοῦ ἐπὶ τῇ βραδυτῆτι Ὀρέστου.

l. 1346. Ως δὲ νῦν ἔχει] ὁ παρέχουσιν εἴτε χαίρουσιν εἴτε λυποῦνται, ἤγουν καθὰ νῦν διάκειται τὰ ἐκείνων πάντα. καλῶς ἔχει καὶ τὰ μὴ καλῶς. ἤγουν καὶ ἃ σκευωροῦνται κατ' αὐτῶν, ἔτι καλῶς ἔχει αὐτοῖς, μήπω πέρας εἰληφότα καὶ ἄλλως. καὶ κατὰ τἄλλα εὐτυχοῦσι, καὶ ὅτι μήπω δίκην δεδώκασιν. εἰ γὰρ καὶ μέλλουσι δοῦναι. τοῦτο γάρ ἐστι τὸ τὰ μὴ καλῶς. ἀλλ' ὅτι μὴ ταχέως τοῦτο γίνεται, εὐτυχοῦσι. τοῦτο δέ φησιν ὁ γέρων παρ-

ραξιών

εὐξώμεν αὐτῷ πρὸς τὸ ἔργον.

¶ Σχῆμ. Pag.143. l.1355. Ὦ φίλτατον φῶς] ἔπαινος Ἠλέκτρας πρὸς τὸν παιδαγωγόν.

l.1359. Ποδῶν ὑπηρέτημα] διὰ γὰρ τούτων τὰ πρὸς σωτηρίαν ἡμῖν ὑπηρέτησας, πάλαι μὲν ἐκ μέσου θανάτου λαβὼν Ὀρέστην, καὶ ἀγαγὼν ἑτέρωσε· νῦν δὲ μετ' αὐτοῦ ἀφιγμένος εἰς τιμωρίαν τῶν ἐχθρῶν.

l.1364. Ἤχθηρα] ἐπὶ τοῦ ἤχθηρα καὶ ἐφίλησα, λέγεται τὸ μάλιστ' ἀνθρώπων, ἤγουν μάλιστ' ἀνθρώπων ἤχθηρά σε, καὶ μάλιστ' ἀνθρώπων ἐφίλησά σ' ἐν μιᾷ ἡμέρᾳ.

l.1366. Πολλαὶ κυκλοῦνται] εἰκότως εἶπε τὸ κυκλοῦνται, ἐπεὶ καὶ αἱ ἡμέραι καὶ αἱ νύκτες τῇ εἰς τὸ αὐτὸ περιστροφῇ τοῦ ἡλίου καθίστανται.

l.1371. Ὡς τούτοις τε καὶ σοφωτέροις] ἀποροῦσι πῶς εἶπε τὸ τούτοις. οὐ γάρ τις ἀνδρῶν ἦν ἔνδον, (ὡς καὶ αὐτὸς λέγει) ἀλλὰ γυναῖκες. καὶ φαμὲν ὅτι ἁπλῶς τοῦτ' εἶπεν, ἢ ὅτι ἂν μὴ τὸ ἔργον ἐτάχυνον, ἐλθεῖν ἔμελλεν Αἴγισθος· καὶ οὐ μόνον τοῖς περὶ ἐκεῖνον ἐμαχέσαντο ἄν, ἀλλὰ καὶ βοῆς πρὸς τὸ πλῆθος γινομένης, οὐκ ὀλίγοι κἀκεῖθεν ἀπήντησαν.

¶ Σχῆμ. l. 1377. Ἄναξ Ἄπολλον] εὐχή.

l. 1379. Προὔστην χερὶ] εἰκότως εἶπε τὸ προὔστην. οἱ γὰρ θύοντες καὶ ἱκετεύοντες ἔμπροσθεν τῶν θεῶν, ἐφ' οἷς τοῦτο ποιοῦσιν ἵστανται· ἢ τὸ προὔστην, ἀντὶ τοῦ πρόμαχον καὶ προστάτιν ἐκάλουσα ἐν θυσίαις.

Pag. 145. l.1386. Ὁ Μαίας δὲ παῖς] διὰ τοῦτ' ἐνταῦθα τὸν Ἑρμῆν λέγει ἄγειν αὐτὸν εἰς τὸ ἔργον, ἢ διότι μετὰ δόλου εἰσήρχετο (λέγεται δὲ καὶ ὁ Ἑρμῆς δόλιος) ἢ διὰ τὰς ἀρὰς τοῦ Μυρτίλου, ἃς ἠράσατο εἰς τὸ τοῦ Πέλοπος γένος. ἦν δὲ ὁ Μυρτίλος παῖς Ἑρμοῦ. λέγεται δὲ οὕτως, ὁ υἱὸς τῆς Μαίας Ἑρμῆς ἄγει σφὲ καὶ αὐτὸν δόλον, τοῦτ' ἔστι δολίως πρὸς τὸ ἔργον κινεῖ, κρύψας αὐτὸν ἐν σκότῳ πρὸς τὸ τέρμα. ἤγουν, μέχρις ἂν ἐργάσηται ὃ σπεύδει, οὐδεὶς αὐτὸν ἐπιγνώσεται. τὸ δὲ κοὐκέτ' ἀμμένει, πρὸς τὸ ἄγει τὴν δύναμιν ἔχει, οὕτως, ἄγει καὶ οὐκ ἔτι ἀναμένει καὶ ἀναβάλλεται. οἱ δὲ γράφοντες ἐπάγει, διὰ τὸ μὴ δύνασθαι τοῦτο νοεῖν, γράφουσι.

l. 1406. Αἴγισθος αὐτὸς] οὕτως ὀφείλει ὁ παρὼν στίχος γράφεσθαι, ἵν' ᾖ ἴαμβος τρίμετρος ἀκατάληκτος. ἐλλιπὴς γὰρ ἦν. διὸ καὶ τὸ αὐτὸς προσετέθη παρ' ἐμοῦ· καὶ οἶμαι ὡς καλῶς προσετέθη, ὡς καὶ ἐν ἄλλοις πολλοῖς ἕτερα.

l. 1409. Ἤκουσ' ἀνήκουστα] ἤγουν ἃ οὐ δύναταί τις ἀκούειν. πᾶσι γὰρ αἱ τῶν φονευομένων βοαὶ, κἂν ἐχθροὶ ὦσι, δέος καὶ ὑποστολὴν ἀκουόμεναι φέρουσι.

Pag.147. l.1419. Τελοῦσ' ἀραὶ] ἤγουν Ἀγαμέμνων ἐκπνέων ἠράσατο, ὥστε τούτων ἐκβγουσῶν, δοκεῖ ζῆν ὁ ταύτας ποιήσας.

l. 1424. Στάζει θυηλῆς Ἄρεος] ἤγουν θυσίας, ἤτοι αἵματος, ὃ θυσίᾳ δέχεται Ἄρης. φιλαίματος γὰρ καλεῖται.

l. 1436. Τὰ πρὶν εὖ θέμενοι] εἰκότως πρὸς μὲν πρὶν, τὸ εὖ θέμενοι εἶπε, πρὸς δὲ τὸ τάδε ὡς πάλιν ἀποσιώπησιν. ἐκεῖ μὲν γὰρ ἤδη τὸ συμβὰν, ἐνταῦθα δὲ ἄδηλον ἦν τὸ μέλλον, εἴθ' Αἴγισθος, εἴθ' οὗτοι ὑπερισχύσουσι καὶ καταβαλοῦσιν ἐκεῖνον.

Pag. 149. l. 1442. Ἤπιον ἐννέπειν] ἤπιον χρὴ γράφειν ἐνταῦθα ἀντὶ τοῦ ἠπίως καὶ πρᾴως, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς.

¶ Σχῆμ. l.1445. Τίς οἶδεν] ἄφιξις Αἰγίσθου εἰς τὸν οἶκον αὐτοῦ.

l. 1448. Σέ τοι σὲ κρίνω] ἤγουν διακρίνω εἰδέναι, νομίζω τοῦτο ἀπὸ τοῦ ὅπισθεν τοῦ τίς οἶδεν.

l. 1454. Προξένου κατήνυσαν] ἤτοι ἐπέτυχον. ὁ γὰρ ἀνύων τι, ἐπιτυγχάνει τοῦτο αὐτῷ τὸ ἀνύσαι. ἔστιν οὖν ἡ τοιαύτη γινομένη πρὸς τὸ τοῦ ἀνύσαι σημαινόμενον. ἡ κατ' ἐκείνης ἤνυσαν ὃ ἐβούλοντο, ἵνα τῷ μὲν Αἰγίσθῳ νοῆται ὅτι ἐπάνω ἐκείνης, ἤγουν εἰς αὐτήν, τὴν τοῦ Ὀρέστου ἀγγελίαν ἐπλήρωσαν· τὸ δ' ἀληθὲς, ὅτι κατ' ἐκείνης τὸν φόνον εἰργάσαντο.

l. 1456. Οὐκ· ἀλλὰ κἀπέδειξαν] τὸ οὐκ πρὸς τὸ οὐ μόνον συναπτέον· τὸ δὲ ἀλλὰ κἀπέδειξαν, διὰ μέσου. ἔστι δὲ τὸ οὐκ καὶ τὸ οὐ ἐκ παραλλήλου.

l. 1459. Ἦ πολλὰ] τοῦτο πρὸς τὸ χαίρειν συναπτέον, καὶ οὐ πρὸς τὸ εἶπας, οὕτω, ὄντως εἶπας χαίρειν ἐμὲ πολλά. τοῦτ' ἔστιν, ἐξ ὧν εἶπας, πολλῆς ἐπεπλήσμην χαρᾶς. τὸ δὲ, οὐκ εἰωθότως, πρὸς τὸ εἶπας, ἀντὶ τοῦ, οὐκ ἦν σοι ἔθος λόγους ἐμοὶ προσφέρειν. ἢ τὸ πολλὰ πρὸς τὸ εἶπας, ἵν' ᾖ τὸ χαίρειν διὰ μέσου.

l. 1460. Χαρτὰ τυγχάνει] τὸ μὲν φαινόμενον, τὰ κατὰ τὸν Ὀρέστην· τὸ δὲ ἀληθὲς, τὰ κατὰ τὴν Κλυταιμνήστραν.

l. 1462. Μυκηναίοισιν, Αργείοις θ'] Μυκῆναι πόλις Ἄργους. λέγει οὖν οὐ μόνον τοὺς ἐν ταύταις συγκαλεῖν, ἀλλὰ καὶ τοὺς ἐκ παντὸς ἄργους.

¶ Σχήμ. Pag 151. l. 1479. Οἴμοι] καταπλήξεσις Αἰγίσθου καὶ φόνος.

l. 1483. Οὐ γὰρ κιάτάνῃ] αὕτη ἡ κατασκευή ἐστι πρὸς τὸν λόγον τὸν ὄπισθεν, Τίνα φοβῇ; τίν' ἀγνοεῖς, ὡς τινές φασιν· ἐγὼ δὲ πρὸς τὸν Αἰγίσθου λόγον αὐτὴν εἶναι λέγω, καὶ ἀληθῆ λέγω. τὸ δὲ πάλαι πρὸς τὸ ἀνταυδᾶς συνάπτέον.

l. 1487. Καὶ μάντις ὢν ἄριστος] τινές φασιν ὅτι διὰ τὸ εἶναι τὸν Αἴγισθον μάντιν, διὰ τοῦτο τὸν Ορέστην τοῦτο πρὸς αὐτὸν λέγει. ἕτεροι δὲ τοῦτο μὲν οὐ λέγουσιν, εἰπεῖν δὲ τοῦτο διὰ τὸ πάλαι τὸν Αἴγισθον τὸν καθ' αὐτοῦ ὑποπτεύειν θάνατον. ἐγὼ δὲ καὶ τοῖς προτέροις τίθεμαι, συμμαρτυροῦν ἔχων τὸ πάλαι, ὃ πρὸς τὸ ὢν συνάπτεται.

¶ Σχήμ. l. 1491. Πρὸς θεῶν] συνίζησις.

l. 1492. Τί γὰρ βροτῶν ἂν] ὁ μέλλων γὰρ τῶν βροτῶν θνήσκειν, ὥσπερ τοῦτος, τὸ κέρδος φέρει τοῦ χρόνου μεμιγμένον σὺν τοῖς κακοῖς. τοῦτ' ἔστιν, ὅστις μέλλει θνήξεσθαι, εἰ νῦν δέον θνήσκειν, ὁ δὲ παραπετάσοι τὸν χρόνον, καὶ μετ' ὀλίγον τοῦτο πείσεται, οὐδὲν παρὰ τοῦ χρόνου ἐκέρδανεν. ἀλλ' ὃ κέρδος δοκεῖ ἔχειν, ἐμέλλησ' αὐτὸν καταλήψεσθαι τύχῃ ἀμβλυωπεῖ καὶ ἀμαυροῖ, ἐλπίδα κακὴν ὑποτείνουσα. μὴ λάβῃς δὲ εἰς τὸ χρόνος, ἐξ ἀνθρώπου τὸ ἕνεκα, ἀλλὰ χωρὶς τούτου λέγε. τὸ γὰρ κέρδος τοῦ χρόνου ἦν, διὰ τὸ τοῦτον αἴτιον αὐτοῦ εἶναι.

¶ Σχήμ. l. 1493. Τί γὰρ βροτῶν] γνωμικόν.

l. 1498. Χωρεῖς ἂν εἴσω] εἰώθασιν οἱ Αττικοὶ ἔσθ' ὅτε τὰ προστακτικὰ εὐκτικῶς φέρειν.

l. 1505. Καὶ μέλλοντα Πελοπιδῶν κακά] τοῦτο λέγει ὥσπερ προμαντευόμενος, ἵν' ἀπολυθῇ, ἐκφοβῶν αὐτοὺς διὰ τούτου.

¶ Σχήμ. l. 1510. Χρῆν δ' εὐθὺς] γνωμικόν. ἐνταῦθα δὲ καὶ ἐπίλογος.

l. 1515. Τῇ νῦν ὁρμῇ] ἤγουν τὴν ὑπὸ παίδος ὁρμήσασαν νῦν κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου. τελειωθὲν δὲ ἀντὶ τοῦ ἀποκαταστὰν εἰς τὴν ἐκ προγόνων σοὶ προσήκουσαν εὐδαιμονίαν.

ΣΧΟΛΙΑ
ΤΟΥ
ΤΡΙΚΛΙΝΙΟΥ
Εἰς τὸν
ΟΙΔΙΠΟΔΑ ΤΥΡΑΝΝΟΝ.

¶ Σχῆμ. Pag. 155. l. 1. Ὦ τέκνα] Προσφωνητικὸν τὸ προοίμιον κατ᾽ ἐρώτησιν. ἐνταῦθα δὲ καὶ προέκτασις.

l. 3. Ἐξεστεμμένοι] ὅτι οὐ μόνον ἐστεφανωμένοι ἦσαν, ἀλλὰ καὶ ἐν χερσὶν ἔφερον, δῆλόν ἐστι καὶ ἐξ ὧν ἔμπροσθεν λέγει, Τοῖς δ᾽ ἄραντες ἱκτηρίοις κλάδοις. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς ἐστεφανωμένους πρὸς ἱκετείαν χωρεῖν, ἵν᾽ αἰδέσιμοι δοκοῖεν τοῖς ἱκετευομένοις.

¶ l. 4. Πόλις δ᾽ ὁμ.] κατασκευή.

¶ l. 6. Ἀγὼ] βάσις.

l. 11. Δείσαντες, ἢ στέρξαντες] φοβηθέντες τι, καὶ διὰ τοῦτο πρὸς βοήθειαν ἐκκαλούμενοί με· ἢ στέρξαντες, καὶ παθόντες καὶ ὑπομείναντές τι κακὸν, καὶ διὰ τοῦτο ζητοῦντες ἐκδίκησιν παρ᾽ ἐμοῦ.

l. 12. Προσαρκεῖν] τὸ πρὸς, πρὸς τὸ πᾶν ἔχει τὴν δύναμιν.

¶ Σχῆμ. Pag. 157. l. 13. Ἀλλ᾽ ὦ κρατύνων] προκατάστασις καὶ διήγησις τῶν συμβάντων αὐτοῖς ἐκ τοῦ λοιμοῦ.

l. 14. Ἥλικοι προσήμεθα] ὁποῖοι τήν τε ἡλικίαν καὶ τῷ ἐκ τοῦ λοιμοῦ πάθει, προσκαθήμεθα τοῖς ἐπὶ τῶν βασιλείων βωμοῖς. ἢ τὸ βωμοῖσι τοῖς σοῖς, ἀντὶ τοῦ ἐν τῇ πρός σε ἱκετείᾳ. εἴρηται δ᾽ ἐκ μεταφορᾶς τῶν ἐν τοῖς θεοῖς βωμῶν, εἰς οὓς, ὅτε συμφορὰ καταλάβοι, προσεδρεύοντες ἄνθρωποι, θυσίαις τὸ θεῖον ἐξιλεοῦνται.

l. 17. Ἐγὼ μὲν] ἀπατώμενοί τινες, ἐκ τοῦ, Ἐγὼ μὲν Ζηνὸς, φασὶ τὸ Οἱ δὲ τ᾽ ἠϊθέων, ἀντὶ τοῦ οὗτοι τῶν Διοσκούρων ἱερεῖς. τὸ δὲ οὐ τοιοῦτον· ἀλλ᾽ εἰπὼν ἄνω τὸ, ἥλικοι προσήμεθα. καὶ διῃρῶν τοῦτο εἰς τὸ Οἱ μὲν οὔπω πτέσθαι σθένοντες, καὶ εἰς τὸ Οἱ δὲ σὺν γήρᾳ βαρεῖς, ἱερεῖς, ἑρμηνεύει πάλιν αὐτά, τὸ μὲν, οἱ δὲ σὺν γήρᾳ βαρεῖς ἱερεῖς, ἀντὶ τοῦ ἐγὼ μὲν ὑπάρχων γέρων ἱερεὺς τοῦ Διός· τὸ δ᾽, οἱ δὲ οὔπω πτέσθαι σθένοντες, ἀντὶ τοῦ οἱ δὲ τῶν ἠϊθέων καὶ τῶν νέων ὄντες. ἀντὶ τοῦ, νέοι λεκτοὶ καὶ ἔκκριτοι. ἰστέον δ᾽ ὅτι οἱ τῶν τῆς πόλεως ἐκκρίτων νήπιοι παῖδες ἦσαν μετ᾽ αὐτοῦ μόνου τοῦ ἱερέως. διὰ τοῦτο γὰρ καὶ ἄνω λέγει τὸ, οἱ μὲν οὔπω πτέσθαι σθένοντες, καὶ ἐν ἀρχῇ τὸ, νέα τροφή. διὰ τοῦτο δὲ τούτους ἔλαβε, διὰ τὸ εἰσακουσθῆναι αὐτὸν ὑπὸ Οἰδίποδος, ἐλεήσαντος τὸ τῆς ἡλικίας αὐτῶν ἄωρον, καὶ τὴν εὐγένειαν αἰδεσθέντος.

¶ l. 17. Οἱ δὲ τ᾽ ἠϊθέων] συνίζησις.

l. 20. Μαντεία σποδῷ] εὕρηται καὶ μαντείαις, καὶ μαντείᾳ. καὶ τοῦτο πάλιν τὸ μαντεία διπλοῦν. εἴτε γὰρ προπαροξύνεις, τότε αἰτιατικὴ πληθυντικῶν ἐστι, τὰ μαντεῖα· εἴτ᾽ ὀξύνεις, δοτική ἐστι, τῇ μαντείᾳ. εἰ μὲν οὖν μαντείαις γράψεις, οὕτως ἐρεῖς, καὶ ἐν σποδῷ Ἰσμηνοῦ μαντείαις. τοῦτ᾽ ἔστιν, οἱ μὲν Ἀθηνᾶς ἐν τοῖς ναοῖς καθίδρυνται, οἱ δὲ θυσίαν ἐν τῷ Ἰσμηνῷ ποιοῦσι, καθ᾽ ἣν ἐκ τῆς ἀνάψεως τοῦ πυρὸς τὸ μέλλον μαντεύονται. εἰ δὲ μαντείᾳ, οὕτως, ἐπὶ σποδῷ μαντείᾳ καὶ μαντικῇ. τὸ δὲ ἕτερον μαντεῖα, οὕτως, ἐν σποδῷ τοῦ Ἰσμηνοῦ, ἐπὶ μαντεῖα καὶ μαντεύματα ὅπως δ᾽ ἐποίουν τὴν μαντείαν διὰ πυρὸς, ἐν Αἰσχύλῳ ἐρρέθη εἰς τοὺς ἑπτὰ ἐπὶ Θήβαις.

l. 23. Φοινίου σάλου] ἤγουν τοῦ θανάτου παρεκτικοῦ λοιμοῦ ἐστι δὲ τὸ βυθῶν, καὶ τὸ φοινίου σάλου, ὥσπερ ταυτό. οὕτως, καὶ οὐχ οἵα τέ ἐστιν ἀνακουφίσαι καὶ ἄνω τῶν βυ-

τῶν ἐνέγκαι τὸ κάρα τῦ φοινίυ, λέγω στόλυ. τῦτ' ἔστιν, ὁ δύναται τῶν κατασχόντων αὐτὴν ἀπαλλαγῆναι κακῶν. εἴρηται δ' ἐκ μεταφορᾶς τῶν ἐν ὕδασι κινδυνευόντων. γίγνωσκε δ' ὅτι ἐν ταῖς Θήβαις τότε καὶ πεῖνα καὶ λοιμικὴ νόσος ἦν. ὡς καὶ ἐφεξῆς περιϊὼν δείξει, πρῶτον τὴν τῆς γῆς πρὸς τὰ φυτὰ δυστυχίαν διεξιὼν, δι' ἧς τὰ θρέμματα ἐφθείρετο· ἔπειτα δὲ καὶ τὴν λοιμικὴν νόσον προσθείς.

l. 24. Ἐγκάρποις χθονὸς] εἰκότως εἶπε τὸ ἐγκάρποις πρὸς τὸ κάλυξι. κάλυξ γὰρ κυρίως τὸ τῦ ῥόδυ περικάλυμμα νῦν δὲ ἐκ τῦ ἐγκάρποις, πάντα τὰ ζωὴν ἀνθρώποις καὶ κτήνεσι φέροντα σπέρματ' ἐδήλωσεν.

l. 34. Ος γ' ἐξέλυσας] ἡ σύνταξις, ὃς μολὼν καὶ ἐλθὼν ἐκ Κορίνθυ, ἐξέλυσας καὶ ἠλευθέρωσας τὸ ἄστυ τῶν Καδμείων τῆς σκληρᾶς ἀοιδοῦ, δέον δ' εἰπεῖν τῦ δασμῦ καὶ τῦ φόρυ, ὃν ἑκάστοτ' αὐτῇ παρείχομεν, διὰ τὴν τῶν αἰνιγμάτων ἄγνοιαν· ὃ δὲ πρὸς τὸ ὂν ἐποίησε δασμόν.

¶ Σχήμ. l. 39. Νῦν τ', ὦ κράτ'] ἱκεσίε πρὸς τὸν Οἰδίποδα, ὥστε βοηθῆσαι αὐτοῖς.

l. 43. Ως τοῖσιν ἐμπείροισι] ὅτι καὶ τοῖς ἐμπείροις τῶν βυλευμάτων, ἤγυν τοῖς ἄριστα βυλευομένοις, ὁρῶ καὶ βλέπω ὐ μόνον τὰ κακὰ καὶ τὴν περὶ τύτων ζήτησιν, ἀλλὰ καὶ μάλιστα τὰς συμφορὰς ζώσας. τῦτ' ἔστιν, ἐν μὲν τοῖς ἄλλοις πᾶσιν ὥσπερ νεκρά ἐστι τὰ συμπάντα καλὰ ἢ κακὰ, διὰ τὸ μὴ δύνασθαι καταλαμβάνειν αὐτά. καὶ ὅθεν ἐπῆλθε φράζειν· τοῖς δὲ καλῶς βυλευομένοις, καὶ τὰ καλὰ ζῶσιν. ἤγυν ἄριστα καταλαμβάνεται δι' ἣν αἰτίαν ζῶσιν· καὶ μάλισθ' αἱ ὑπαρχόμεναι δυστυχίαι τῷ κόσμῳ. ὗτοι γὰρ δύνανται καὶ ὅθεν ἐπῆλθεν ἐξηγεῖσθαι, καὶ μηχανήν τινα φράζειν δι' ἧς τάχιστα παύσεται.

l. 45. Ιθ' ὦ βροτῶν] τῦτο βυλόμενος παρακινῆσαι αὐτὸν εἰς τὴν αὐτῶν βοήθειαν, λέγει, αἰδέσθητι καὶ βοήθησον ἡμῖν, ἐπεί σε σωτῆρα ἀνακαλεῖται ἡ πόλις, τῆς προτέρας ἐπιθέσεως τῆς Σφιγγὸς ἐλευθερωθεῖσα. ὥστε μηδαμῶς ἔχωμεν μνημονεύειν τῆς σῆς ἀρχῆς, πρότερον μὲν κειμένας ἀνορθωσάσης ἡμᾶς, ὕστερον δὲ, ἤγυν νῦν, ὑπὸ τῦ λοιμοῦ καταλειπύσης ἡμᾶς πεσεῖν. ἀλλ' ἀνόρθωσον τὴν πόλιν ἐν ἀσφαλείᾳ, ἤγυν ποίησον ἀσφαλῶς στῆναι, καὶ μὴ ὑπὸ τῦ λοιμῦ πεσεῖν καὶ κινδυνεῦσαι.

l. 51. Ὄρνιθι γὰρ] τῦτ' ἔστιν, ἐξ ὧν τὰ Σφιγγὸς εὗρες αἰνίγματα, ἃ μηδεὶς ἀνθρώπων, ὡς κατὰ ῥοιῦ ἔτι χωρήσομεν, ἐποίησας ἡμῖν εὔδηλον. τῦτο γάρ ἐστι τὸ ὄρνιθι αἰσίῳ.

¶ Σχήμ. l. 58. Ω παῖδες] συγκατάθεσις Οἰδίποδος.

Pag. 159. l. 66. Ἀλλ' ἴστε πολλὰ] πολλὰς ὁδὺς; ἤγυν πολλὰς φροντίδας πλανηθέντα, ζητῦντα, τὸ τῦ κακῦ αἴτιον. Ιστέον δ' ὅτι ὐ μόνον θηλυκῶς ἡ πλάνη ἀλλὰ καὶ ὁ πλάνος· ὥσπερ καὶ εὐθύνη καὶ εὔθυνος· ὡς ἔχει καὶ τὸ τῦ Ἰσοκράτυς, τὰς φυγαδικὰς πλάνας.

l. 70. Κρέοντ' ἐμαυτῦ γαμβρὸν] ἀπορῦσί τινες πῶς ὁ Κρέων, τῇ μὲν ἀληθείᾳ θεῖος ὢν Οἰδίποδος, τῷ δὲ φαινομένῳ γυναικάδελφος, γαμβρὸς νῦν παρὰ τύτυ καλεῖται. καὶ φαμὲν ὅτι ἀντὶ τῦ συγγενὴς ἐνταῦθα τὸ γαμβρὸς κεῖται· ἐπειδὴ κηδεστὴς ὐ μόνον ὁ πενθερὸς, ἀλλὰ καὶ ὁ γαμβρὸς καὶ ὁ γυναικάδελφος εὕρηται.

l. 73. Χρόνῳ] τῷ ὁρισθέντι παρ' ἐμῦ αὐτῷ εἰς ἀπάντησιν, ἐκεῖσέ τε καὶ πάλιν ἐκεῖθεν δεῦρο.

l. 74. Εἰκότος πέρα] τῦτο λέγει ὅτι εἰκὸς ἦν καὶ μετὰ τὸν τεταγμένον χρόνον αὐτῷ παρ' ἐμῦ, δύο ἢ τρεῖς ἡμέρας ἀργῆσαι· νῦν δὲ καὶ πέρα τῦ εἰκότος βραδύνει.

l. 78. Ἀλλ' εἰς καλὸν] καὶ μὴν καλῶς κατὰ τὸν προσήκοντα χρόνον ἐμνήσθης καὶ ἀνεζήτησας αὐτόν· καὶ ὗτοι μηνύουσί μοι.

l. 80. Ἐν τύχῃ γέ τῳ] τῦθ' ὅμοιον τῷ παρ' Αἰσχύλῳ, τῷ, Πέμπει ἡμῖν ἤδη τόνδε, ζῶν τύχη δέ τῳ. δέον γὰρ εἰπεῖν ἐν τύχῃ τῇ καὶ τινὶ, πρὸς ἀρσενικὸν ἁπλῶς ἔτρεψεν· ὥσπερ ἐστὶ καὶ, ἐπὶ τῦ σάλπιγγος κλύων. καὶ ἄλλα, ὡς ὕφαμεν εἰς τὸ αὐτό.

l. 83. Παγκάρπυ δάφνης] μὴ λάβῃς εἰς τῦτο ἔξωθεν τὸ ἀπὸ, ἀλλὰ πρὸς τὸ πολυστεφὴς, ἐστὶν ἡ γενική.

¶ Σχήμ. l 87 Ἐσθλήν. λέγω γὰρ] ἄφιξις Κρέοντος ἐκ τῦ μαντείυ, καὶ διήγησις ὧν ὁ θεὸς ἔχρησεν.

l. 89. Ουτε γὰρ θρασὺς] τὸ θρασὺς εἶπε διὰ τὸ ἐσθλὴν, καὶ τὸ, πάντ' ἂν εὐτυχεῖν. τὸ δὲ προδείσας, διὰ τὸ δύσφορα.

l. 94. Τὸ πένθος] τὸ τῶνδε, περὶ

τὸ

τὸ πένθος συναπλέον, οὐ πρὸς τὸ πλέον. τὸ γὰρ πλέον πρὸς τὸ ἣ ἔχει τὴν δύναμιν. οὕτω, φέρω γὰρ τῶνδε τὸ πένθος, ἤγουν ὑπὲρ τούτων πενθῶ πλέον ἢ περὶ τῆς ἐμῆς ψυχῆς. ἄξιος δὲ βασιλέως καὶ προστάτου ὁ λόγος οὗτος.

l. 95. Λέγοιμ' ἂν] ἰστέον ὅτι Κρέων παρ' Ἀπόλλωνος μαθὼν ἀκριβῶς ὅτι Οἰδίπους ἐστὶν ὁ τοῦ λοιμοῦ αἴτιος, φονεύσας τὸν πατέρα Λάϊον, καὶ ἀνόμως συνὼν τῇ μητρὶ, ἵνα μὴ δόξῃ αὐτῷ ἀπεχθὴς, κατὰ πρόσωπον ἐλέγχων, καὶ ἅμα δεδιὼς τὸ τῆς ἀρχῆς μέγεθος, ἵνα μή τι κακὸν ἐξ αὐτοῦ πάθῃ, ἐγκαταμεμιγμένως ταῦτά φησι. μαρτύριον δὲ ὅτι σύνοιδε, τὸ, λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι.

l. 98. Μηδ' ἀνήκεστον] ἤγουν ἀθεράπευτον. λέγει δὲ τοῦτο, οὐχ ὅτι μίασμα θεραπείας ἐδεῖτο, ἀλλ' ὅτι ἡ τοῦδ' ἀπέλασις θεραπείαν τοῖς ἄλλοις εἶχεν.

l. 100. Ἀνδρηλατοῦντας] πρὸς τὸ ἐλαύνειν ἔχει τὴν δύναμιν. πῶς δὲ ἄνω ἐλαύνειν εἶπε, νῦν ἄμφω λέγει ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν λύοντας. καὶ φαμὲν ὡς καὶ τὸ φονεῦσαι τὸν τοῦ Λαΐου φονέα, ἀπέλασις τοῦ μιάσματός ἐστι.

l. 101. Ὡς τόδ' αἷμα] ἤγουν δι' οὗ τὸ μίασμα γέγονε· λέγει δὲ τὸν φόνον τοῦ Λαΐου. τὸ δὲ χειμάζον, ἀντὶ τοῦ κλυδωνίζον καὶ διαφθεῖρον, ἁπλικῶς τέθειται, ἀντὶ τοῦ χειμάζοντος καὶ διαφθείροντος τοῦ αἵματος καὶ τοῦ φόνου τοῦ Λαΐου τὴν πόλιν.

Pa. 161. l. 106. Τιμωρεῖν τινὰς] τὸ τινὰς οὐ πρὸς τὸ τιμωρεῖν (ὥς φασί τινες) ἀλλὰ πρὸς τὸ αὐτοέντας ἔχει τὴν δύναμιν, οὕτως, ἐπιστέλλει ὁ Ἀπόλλων τιμωρεῖν καὶ κολάζειν τοὺς αὐτοέντας χειρὶ, ἤγουν τοὺς αὐτόχειράς τινας. εἰ δ' εἴποις πῶς, τὸ μὲν αὐτοέντας ὡρισμένον εἰπὼν, μετὰ τοῦτο τίθησι τὸ τινὰς ἀόριστον· φαμὲν ὅτι διὰ τοῦτο οὕτω λέγει, διότι τὸ μὲν ὑπό τινων ἀνῃρῆσθαι Λάϊον, φανερὸν ἦν, τίνες δὲ οἱ φονεῖς ἦσαν, τοῦτ' ἦν ἀφανές.

l. 108. Δυστέκμαρτον] ἤγουν δυσεύρετον, ἀφανὲς λέγει δὲ ἀπὸ μεταφορᾶς τῶν κυνῶν τῶν τὸ ἴχνος σκοπούντων.

l. 10. Ἀμελούμενον] ἤγουν καταλαμβανόμενον δι᾽ διδεράτηκ. καὶ ταῦτα δὲ ἀπὸ τῶν θηρίων λέγεται τῶν ἁλισκομένων ἢ ἐκφευγόντων.

l. 111. Πότερα δ' ἐν οἴκοις] τὸ πότερα οὐ πρὸς τὸ συμπίπτει ἔχει τὴν δύναμιν, ἀλλὰ πρὸς τὸ οἴκοις καὶ τὸ ἀγροῖς καὶ τὸ ἐπ' ἄλλης γῆς. τὸ γὰρ πότερα ἀντὶ τοῦ ποῖον.

l. 113. Θεωρὸς] θεωροὺς φασὶ τοὺς εἰς τὰ μαντεῖα ἀπιόντας τοῦ μαθεῖν ἕνεκα περὶ ὧν αὐτοῖς ἐστι ζήτησις. ἀπῆλθεν οὖν ὁ Λάϊος εἰς Ἀπόλλω, χρησόμενος περὶ τοῦ ἐκτεθέντος παιδὸς, εἰ ἄρα ζῇ. ὅστις οὐκ ἀφίκετο ὡς ἀπεστάλη, ἤγουν οὐχ ὑπέστρεψεν εἰς τὸν οἶκον ὥσπερ ἀπεδήμησεν.

l. 116. Ἐχρήσατ' ἂν] ἤγουν, οὐκ εἶδέ τις τῶν συνόντων τότ' ἐκείνῳ ἀφ' οὗ τις ἐκμαθὼν καὶ ἀκούσας, εἶχεν ἂν χρήσασθαι τῷ ἀκουσθέντι, ἤγουν κατενόησεν ἂν τὸν πράξαντα τὸν φόνον.

l. 121. Ἀρχὴν βραχεῖαν] ἤγουν εἰ λάβοιμεν μικρὰν ἀρχὴν ὡς ἐλπίζειν. εἰκότως δὲ εἶπε τὸ ἐλπίδος. ἡ γὰρ μικρὰ ἀφορμὴ, μειζόνων ἐλπίδα παρέστησεν.

l. 124. Εἴ τι μὴ ξὺν ἀργύρῳ] ἤγουν, εἰ μή τις τῶν πολιτῶν διέφθειρεν αὐτὸν, χρήμασι πείσας πρὸς τὸν κατ' ἐκείνου φόνον.

l. 135. Τῷ θεῷ θ' ἅμα] ἤγουν τῷ Ἀπόλλωνι. βοηθήσω γὰρ καὶ τούτῳ, εἰ τὴν μαντείαν αὐτοῦ βεβαιώσαιμι. ζητήσας καὶ ἐξευρὼν τὸ μίασμα.

l. 136. Ἀπωτέρω φίλων] ἤγουν τοῦ πόῤῥω ἀφ' ἡμῶν γεγονότος Λαΐου. φίλον δὲ τοῦτον εἶπε, διὰ τὸ τὴν αὐτὴν ἐκείνῳ γυναῖκα λαβεῖν, καὶ διὰ τὸ τὴν αὐτὴν ἔχειν ἀρχὴν ἣν ἐκεῖνος.

l. 141. Ὑμεῖς μὲν βάθρων] ἰστέον ὅτι ὁ τόπος ἔνθα ἡ ἐκκλησία ἐγένετο, βαθμίσιν ἦν κύκλῳ διειλημμένος ἄλλαις ἐπ' ἄλλαις, ἔνθα οἱ συνελθόντες πάντες καθήμενοι, ἀνεμποδίστως ἠκροῶντο τοῦ ἱσταμένου ἐν μέσῳ καὶ συμβουλεύοντος.

¶ Σχῆμ. l. 131. Ἀλλ' ἐξ ὑπαρχῆς] συγκατάθεσις Οἰδίποδος, ὥστε τὸν φόνον ἐκδικῆσαι Λαΐου.

l. 144. Ὡς πᾶν ἐμοῦ δράσοντος] ὅσον συμβάλλεται εἰς τὴν περὶ τοῦ μιάσματος ζήτησιν καὶ ἀπέλασιν, πᾶν μέλλω δρᾷν.

Pag. 163. l. 146. Η πεπτωκότες] κινδυνεύσαντες. τοῦτο δὲ λέγει, ὅτι εἰ μὲν εὑρήσομεν τὸ μίασμα καὶ ἀπελάσομεν, πεπαύσεται ὁ λοιμός· εἰ δὲ οὖν προχωρήσει ἀεὶ, καὶ ἡμᾶς ἐκτρίψει τελείας.

l. 152. Ὦ Διὸς ἁδυεπὴς] φασὶν Ἕλληνες τὴν φάτιν θυγατέρα Διός, ὅθεν καὶ τὴν ἐξ Ἀπόλλωνος ἐλθοῦσαν αὐτοῖς μαντείαν περὶ τοῦ λοιμοῦ, φάτιν Διὸς καλεῖ. ἁδυεπῆ δὲ ταύτην ὠνόμασεν, ὡς συντελοῦντα αὐτοῖς φέρουσαν. πολύχρυσον δὲ τὴν Πυθῶνα καλεῖ, διὰ τὸ ἐκ πλίνθων χρυσῶν δεδομῆσθαι τὸ Ἀπόλλωνος μαντεῖον, ἃς χιλίας αὐτῷ Κροῖσος πέπομφεν. ἢ διὰ τὴν τῶν ἀναθημάτων πολυτέλειαν. τὸ δὲ τίς ἀντὶ τοῦ ποδαπή, ταχέως ποιήσουσα ἀπαλλαγὴν τοῦ λοιμοῦ, ἢ μετὰ πολὺν χρόνον. τὸ δὲ ἐκτέταμαι ἀντὶ τοῦ ἐκπέπληγμαι, παρ' ὅσον οἱ ἐκπλαγέντες, ἔκτασιν σώματος καὶ ἀκινησίαν, ἐν ὅσῳ χρόνῳ ἐκπλήττονται, πάσχουσι. τὸ δ' ἀμφὶ σοί, πρὸς τὸ πάλλων ἔχει τὴν δύναμιν, οὐ πρὸς τὸ ἁζόμενος, οὕτως· ἐκτέταμαι καὶ ἐκπέπληγμαι, πάλλων καὶ κινῶν ἀμφὶ σοί, ὦ Δήλιε ἰήιε παιάν, τὴν φρέν' ἐν δείματι φοβερὰν; ἁζόμενος καὶ σεβόμενός σε. τουτέστιν, ἐκπλήττομαι τῇ σῇ μαντείᾳ, καὶ μετὰ φόβου πρὸς σε τείνω τὸν νοῦν μου, δεόμενος ἀπαλλάξαι με τοῦ λοιμοῦ. εἰπέ μοι ὦ ἄμβροτε καὶ θεία φάτις καὶ μαντεία, τέκνον τῆς χρυσέας καὶ λαμπρᾶς ἐλπίδος, τί χρέος καὶ χρείαν ἐξανύσεις καὶ τελέσεις ἐμοὶ (καὶ γὰρ χρεία πολλή ἐστι τῆς ἀπαλλαγῆς τοῦ λοιμοῦ) ἢ νέον, ἢ ἐν περιτελλομέναις καὶ ἐπελθούσαις ὥραις. τουτέστι, νῦν παύσεις τὸν λοιμόν, ἢ ὕστερον. δέον δὲ εἰπεῖν νῦν νέον εἶπε πρὸς τὸ χρέος. ἐλπίδος δὲ τέκνον τὴν μαντείαν καλεῖ, διότι πρῶτον ἐλπίζουσιν οἱ ἄνθρωποι εἰς Ἀπόλλωνα, ὡς φράσει τί δεῖ ποιεῖν, εἶτα τὰς μαντείας δέχονται. κεκλόμενος καὶ ἐπικαλούμενος πρῶτά σε ὦ θεὰ Ἀθηνᾶ θύγατερ τοῦ Διός. τὸ δὲ κεκλόμενος πρὸς τὸ πάλλων καὶ τὸ ἁζόμενός ἐστι, διὰ μέσου ῥηθέντος τοῦ τί μοι νέον, μέχρι τοῦ φάμα. οἱ πολλοὶ δὲ ἀγνοοῦντες, κεκλομένῳ πρὸς τὸ τί μοι, γράφουσι. καὶ τὴν σὴν ἀδελφὴν Ἄρτεμιν (ἐκ Διὸς γὰρ καὶ αὐτὴ ὡς σὺ) τὴν γαιάοχον καὶ τὴν συνέχουσαν τήνδε τὴν γῆν, ἥτις θάσσει καὶ κάθηται εὐκλεᾶ καὶ ἔνδοξον θρόνον κυκλόεντ' ἀγορᾶς. τουτ' ἔστιν, ἥτις ἐν ἀγορᾷ ναὸν ἔχει κυκλοτερῆ. καὶ ἑκηβόλον καὶ τοξικὸν Φοῖβον, κεκλόμενος ἀπὸ κοινοῦ. νοεῖται δὲ τὸ ἀδελφεὰν, καὶ πρὸς τὸ Ἀπόλλωνα, εἰ καὶ πρὸ τοῦ εἰπεῖν κεῖνον, αὐτὴν προέθηκεν.

l. 171. Τρισσοὶ ἀλεξ.] ἀντὶ τοῦ, ὦ Ἀθηνᾶ καὶ Ἄρτεμι καὶ Ἄπολλον προφάνητέ μοι τρισσοὶ ἀλεξίμοροι καὶ βοηθοί. εἰ καί ποτε φλόγα πήματος ἠνύσατε, ἐτελέσατε τῇ πόλει ἐκτοπίαν καὶ ποῤῥωτάτην, πήματος προτέρου, ἄτης καὶ βλάβης ὀρνυμένης καὶ κινουμένης ὑπὲρ, (ἤγουν ὑπεράνω) τῆς πόλεως, ἔλθετε καὶ νῦν ὦ πόποι καὶ θεοὶ εἰς βοήθειαν: ἢ πρὸς τὸ νῦν στικτέον, τὸ δὲ ὦ πόποι, ἀντὶ τοῦ φεῦ. νόει δὲ καὶ τὸ προτέρας ἄτας ὀρνυμένας αἰτιατικῶς, οὕτως, φλόγα πήματος, λέγω προτέρας ἄτας ὀρνυμένας. καλῶς δὲ εἶπε τὸ φλόγα. τὰ γὰρ πήματα δίκην φλογὸς εἰς οὓς ἐπέλθῃ καθίσταται. φέρω γὰρ πήματ' ἀνάριθμα καὶ πολλά. νοσεῖ δὲ ὁ πρόπας καὶ ὅλος στόλος ἐμοί. ἤγουν ὁ βίος καὶ ἡ ζωή μου μετὰ φορᾶς διέρχεται πάσης. στόλον γὰρ ἐνταῦθα καλεῖ τὴν ἐν τῷ βίῳ πορείαν καὶ δίαιταν. οὐδ' ἔνι καὶ ὑπάρχει ἔγχος καὶ δύναμις φροντίδος, ἐν ᾧ ἔγχει ἀλέξεταί καὶ βοηθήσει τις ἑαυτῷ. τουτ' ἔστιν, εἰς τοσοῦτον ἀπορίας τὰ παρόντ' ἡμῖν ἐλήλυθε πράγματα, ὥστε φροντὶς διὰ καὶ μηχανὴν ἥν τινα οὐκ ἔστι πορίσασθαι πρὸς ἀπαλλαγήν. οὔτε γὰρ αὔξεται καὶ ἀναφύεται. ἔκγονα κλυτᾶς χθονός, τουτ' ἔστιν. οὐδ' ἡ γῆ ἀναδίδωσι σπέρματα καὶ τὴν ἄλλην πόαν, ὅπερ ἐνδόξου γῆς ἐστιν· οὐδ' αἱ γυναῖκες ἀνέχουσι καὶ ἀναφέρουσι καὶ ἐλευθεροῦνται τῶν ἰηΐων καὶ θρηνητικῶν καμάτων καὶ πόνων ἐν τόκοις καὶ ἐν γενέσεσι. τουτ' ἔστιν, οὐδ' αἱ γυναῖκες δύνανται τίκτειν καὶ εἰς φῶς ἄγειν τὰ ἔμβρυα, φθειρόμενα ἐντὸς ὑπὸ τοῦ λοιμοῦ, καὶ πρὸ τοῦ καιροῦ ἐξιόντα· ἄλλον δὲ ἄνθρωπον σὺν ἄλλῳ ἀνθρώπῳ ἴδοις ἂν ὁρμώμενον, ἐλλιμενίζοντα καὶ φερόμενον πρὸς τὴν ἀκτὴν τοῦ ἑσπέρου καὶ σκοτεινοῦ θεοῦ, ἤγουν τοῦ ᾅδου, κρεῖσσον καὶ κάλλιον ἀμαιμακέτου πυρὸς, ἤγουν ταχύτερον τοῦ τῆς ἀστραπῆς πυρός, ἅπερ καὶ ἅτε καὶ καθὰ εὔπτερον ὄρνιν. ταῦτα δὲ λέγει ἵνα δηλώσῃ τὸ τάχος τῶν συμβαινόντων τότε θανάτων, ὧν ἀνάριθμος καὶ ἀσύντακτος ἡ πόλις ὄλλυται. διὰ τούτων γὰρ συνίσταται.

Pag 165. l. 182. Νηλέα δὲ γένεθλα] κεῖται δὲ πρὸς πέδῳ θανατηφόρῳ ἀνοίκτως νηλέα καὶ ἀνηλεῶς γένεθλα. τουτ' ἔστιν, ἐκπίπτουσι τῶν γαστέρων τῶν γυναικῶν τὰ ἔμβρυα, πρὶν ἢ τυχεῖν τοῦ προσήκοντος τῷ τοκετῷ καιροῦ, ὑπὸ τοῦ

λοιμοῦ

λοιμοῦ φθειρόμενα. ἐν δὲ τούτοις τοῖς ἀγόνοις γεννήμασιν, αἱ ἄλοχοι καὶ αἱ μητέρες αὐτῶν σὺν ταύταις. τοῦτο γάρ ἐστι τὸ, καὶ αἱ πολιαὶ ματέρες αὐτῶν ἐπιστενάχουσι καὶ θρηνοῦσιν, ἄλλοθεν ἄλλαι παρὰ τὴν βώμιον ἀκτὴν, ἤγουν παρὰ τοῖς ναοῖς ἐν θυσίαις, ἱκτῆρες καὶ παρακλήτορες τῶν λυγρῶν πόνων. τοῦτ' ἔστιν, αἱ μὲν ἄλοχοι διὰ τὰ ἄωρα γεννήματα ἱκετεύουσαι, δι' αὐτὰς δὲ αἱ μητέρες αὐτῶν. καλῶς δὲ εἶπε τὸ βώμιον ἀκτήν. ὥσπερ γὰρ τοῖς ἐν θαλάσσῃ κινδυνεύουσιν αἱ ἀκταὶ σωτήριον, οὕτω καὶ αὐταῖς οἱ βωμοί. ἐνταῦθα γὰρ θύουσαι, ἀπαλλαγῆναι εὔχονται. παιὰν δὲ, ὅς ἐστιν ὕμνος εἰς Ἀπόλλωνα ἐπ' ἀφέσει λοιμοῦ ᾀδόμενος, λάμπει, καὶ διὰ πυρσοῦ εἰς ὕψος αἴρεται ἐξ ὑμῶν. καὶ γῆρυς καὶ βοὴ συνόστονος καὶ θρηνητικὴ, ὅμαυλος καὶ συμμιγὴς καὶ ὁμόθρους, ὑπὲρ ὧν καὶ ὧν τινων, τοῦ παιᾶνος καὶ βοῆς, ὦ χρυσέα θύγατερ Διὸς Ἀθηνᾶ εὐῶπα καὶ εὐόφθαλμος, πέμψον ἡμῖν ἀλκὴν καὶ βοήθειαν, καὶ τὸν μαλερὸν καὶ καυστικὸν Ἄρεα, ἤγουν τὸν λοιμόν. εἰκότως δὲ τὸν λοιμὸν Ἄρει παρεικάζει, ὡς φθορᾶς αἴτιον, ὥσπερ ἐκεῖνος· ὃς νῦν φλέγει καὶ καίει με ἄχαλκος ἀσπίδων, ἤγουν δίχα ξιφῶν καὶ ἀσπίδων· τούτοις γὰρ ἐπέρχεται Ἄρης. φλέγει με ἀντιάζων καὶ ἐμπίπτων περιβόητος καὶ μέγας καὶ σφοδρός. περιβόητον δὲ τοῦτον καλεῖ, διὰ τὸ καὶ ἐν τούτῳ πολλὰς γίνεσθαι, ὥσπερ ἐν πολέμοις, βοάς. δὸς νωτίσαι καὶ παλινδρομῆσαι, καὶ ποιήσασθαι δρόμημα καὶ πορείαν παλίσσυτον καὶ ὀπισθόρμητον τῆς πατρίδος.

l.203. Πάτρας ἔπουρον] ἤγουν ἐπὶ τῶν ὅρων ἐλθόντα τῆς Ἀμφιτρίτης. ἢ ἔπουρον, ἤγουν ἐπουρήσαντα καὶ ὁρμήσαντα, εἴτ' εἰς τὸν μέγαν θάλαμον καὶ οἶκον τῆς Ἀμφιτρίτης, ἤγουν τὸν Ὠκεανὸν, εἴτ' εἰς τὸν Θρηΐκιον κλύδωνα, τὸν ἀπόξενον ὅρμον, ἴσεον δὲ ὅτι ἐν τῇ ἀρχῇ τοῦ Εὐξείνου ὁ Θρακικὸς ἐστι Βόσπορος. καλεῖται δὲ Εὔξεινος κατ' εὐφημισμόν. δηλοῖ δὲ καὶ τὸ ἑξῆς. ἀπόξενον ὅρμον εἰπών. πολλῶν γὰρ φθορῶν τοῖς ἐκπλέουσιν αἴτιος. φησὶ δὲ καὶ Αἰσχύλος, Ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν. ἐὰν τι γὰρ κακὸν ἀφῇ ἡ νὺξ ἐν τῷ τέλει, τοῦτ' ἐφ' ἡμέραν ἔρχεται. τὸν καὶ ὅντινα λοιμὸν φθίσον καὶ ἀφάνισον ὑπὸ τῷ σῷ κεραυνῷ, ὦ Ζεῦ ὁ νέμων καὶ ἄρχων καὶ διεξάγων ἐν κράτει καὶ ἐξουσίᾳ τῶν πυρφόρων καὶ καυστικῶν ἀστραπῶν.

l. 212. Λύκει' ἄναξ] θέλοιμ' ἂν ἐνδατεῖσθαι καὶ ὁρμᾶσθαι κατὰ τοῦ λοιμοῦ, ἀπὸ τῶν χρυσοστρόφων ἀγκυλῶν καὶ τόξων, καὶ τὰ σὰ ἀδάμαστα καὶ ἀΐδια βέλη, προσταθέντα ἀρωγά. τοῦτ' ἔστι πρὸς αὐτὸν πεμφθέντ' εἰς ἐμὴν βοήθειαν, καὶ τὰς πυρφόρους καὶ καυστικὰς αἴγλας τῆς Ἀρτέμιδος, ἤτοι τὰ βέλη, σὺν αἷς διαΐσσει καὶ διέρχεται τὰ ὄρη λύκεια, ἤγουν ἔνθα οἱ λύκοι διατρίβουσι. κυνηγετικὴ γὰρ ἡ θεός. καὶ κικλήσκω καὶ ἐπικαλοῦμαι τὸν Βάκχον καὶ Διόνυσον τὸν ἐπώνυμον τῆσδε τῆς γῆς, τὸν ἴδιον τὸν χρυσομίτραν, καὶ τὴν χρυσῆν περικεφαλαίαν ἔχοντα, τὸν οἰνωπα, καὶ τὸν κωμαστικὸν, τὸν μονόστολον, τὸν μόνον μετὰ τῶν μαινάδων πορευόμενον, πελασθῆναι καὶ πλησιάσαι, φλέγοντα καὶ καίοντα ἐν πεύκῃ καὶ ἐν λαμπάδι ἀγλαῶπι καὶ καυστικῇ, ἐπὶ τὸν θεὸν, ἤγουν τὸν λοιμὸν τὸν ἀπότιμον ἐν θεοῖς, ἤγουν ὃν μόνον ἐκ θεῶν οὐδεὶς τῶν θεῶν, οὐδεὶς τῶν ἀνθρώπων ἐτίμησε. καλῶς δὲ εἶπε τὸ ἐπώνυμον, ἤτοι Θηβαῖον· ἐκ Θηβῶν γὰρ ὁ Διόνυσος. εἰκότως δὲ καὶ τὰ τῆς Ἀρτέμιδος τόξα αἴγλας καλεῖ. ἀλληγορεῖται γὰρ αὕτη πρὸς τὴν σελήνην. πυρφόρους δὲ, ἢ διὰ τὸ δίκην πυρὸς τοῖς δεχομένοις τὰ βέλη τυγχάνειν, ἢ διότι χρυσᾶ ἦν.

Pag. 167. l. 224. Αἰτεῖς ἃ δ' αἰτεῖς] τὸ ἃ δὲ αἰτεῖς, πρὸς τὸ λάβοις συναπτέον, οὕτως, ἃ δὲ αἰτεῖς λάβοις ἂν, ἀλκὴν καὶ ἀνακούφισιν τῶν κακῶν, εἰ τάδε καὶ τάδε ποιήσῃς. τοῦτ' ἔστιν, ἡ σὴ ζήτησις, λέγω τὸ τὸν φονέα εὑρεθῆναι, τελεσθήσεται, εἰ ὅσα σοὶ λέγω ποιήσῃς.

l. 228. Τοῦ πραχθέντος] οὐδέτερόν ἐστιν, ἀντὶ τοῦ τῆς πράξεως. τὸ δὲ, οὐ γὰρ ἂν μακρὰν, κατασκευὴ ἐστι πρὸς τὸ, τὰ μὲν ἐὰν θέλῃς ἐπικλύειν δέχεσθαι, καὶ τὰ ἑξῆς. οὐκ ἀληθῶς δὲ τοῦτο λέγει, ἀλλ' ἵν' ἐντεῦθεν ἀπατήσῃ τὸν ποιήσαντα καὶ ἀκούσαντα ὁμολογῆσαι τὴν πρᾶξιν.

¶ Σχόλ. l. 229. Μὴ οὐκ ἔχων] συνίζησις.

l. 230. Εἰς ἀστοὺς τελῶ] εὕρηται καὶ τελῶ καὶ τελῶν. καὶ τὸ μὲν τελῶ διὰ μέσου εἴποις· εἰ δὲ τελῶν γράφεις, τὸ μὲν νῦν δὲ, οὐκ ἀποδώσεις, πρὸς δὲ τὸ τελῶν ἅπαντα τὸν ἑξῆς λόγον συνάψεις. καὶ γὰρ ὅμοιον, ὡς προείπομεν, τὸ, Ἐγὼ δὲ ἐπίσταμαι γὰρ ἀρτίως ὅτι ὅτ' ἐχθρὸς ἡμῖν.

l. 240. Κέρδος τελῶ] ἤγουν πρὸς τὸ, χάριν αὐτῷ ἕξει μοι, καὶ πλείονας

ἕξει

ἔξει δωρεὰς τοῦ μηνύματος.

l. 249. Ὡς μιάσματος] δέον εἰπεῖν ὡς ὄντος μίασμα, πρὸς τὸ τοῦδ' ἐποίησε μιάσματος.

l. 263. Οὐδ' εἰ γὰρ ἦν] τὸ γὰρ πρὸς τὸ οὐδὲ συναπτέον, εἰ καὶ τὸ εἰ διὰ μέσου ἡ βία τοῦ μέτρου τεθῆναι ἠνάγκασεν.

Pag. 169. l. 269. Εἰ κείνῳ γένος] τὸ ἐκείνῳ καὶ τὸ γένος πρὸς τὸ κοινῶν τε παίδων συναπτέον· τὸ δὲ κοίν' ἄν, πρὸς τὸ ἦν ἂν ἐκπεφυκότα· τὸ δὲ εἰ, πρὸς τὸ μὴ δυστύχησεν, οὕτως, ἔχων γένος παίδων κοινῶν ἐκείνῳ, κοινὰ ἂν ἦν τὰ τέκνα ἐκπεφυκότα ἐκείνου, εἰ μὴ ἐδυστύχησε καὶ ἀπέθανεν· ἀποροῦσι δ' ἐνταῦθα πῶς λέγει κοινά. εἰ γὰρ ἔζη ὁ Λάϊος, μόνος ἂν εἶχεν Ἰοκάστην, καὶ οὐδεὶς ἂν αὐτῷ ἐκοινώνει τῆς τῶν τέκνων σπορᾶς. καὶ φαμὲν, ὡς τὸ μὲν ἀληθὲς οὕτως ἀπαιτεῖ· λέγει δὲ νῦν Οἰδίπους τὰ κοινὰ, διὰ τὸ τὴν αὐτὴν ἐκείνῳ γυναῖκα ἔχειν. ἔστι δ' ὥσπερ παρακεκινδυνευμένον, καὶ οὐ κατὰ τὴν πρέπουσαν ἀκολουθίαν. δέον δ' εἰπεῖν, κοινὰ γὰρ ἂν ἦν, ἀσυνδέτως εἶπε, κοινὰ ἂν ἦν.

l. 285. Τῷ Λαβδακείῳ] Ἀγήνωρ, Κάδμος, Πολύδωρος, Λάβδακος, Λάϊος, Οἰδίπους, Πολυνείκης καὶ Ἐτεοκλῆς.

l. 287. Εὔχομαι] τινὲς μὴ δυνάμενοι τοὺς θεοὺς συντάξαι, θεοῖς γράφουσι πρὸς τὸ εὔχομαι. τὸ δέ ἐστι τοιοῦτον, καὶ τοῖς μὴ δρῶσι ταῦθ' ἃ εἴρηκα, λέγω τὸ μήτ' εἰς δέχεσθαι, καὶ τὰ ἑξῆς, εὔχομαι μήτ' ἀνιέναι καὶ ἀναπέμπειν τοὺς θεοὺς αὐτοῖς γῆν τιν' ἄροτον καὶ ἠροτριασμένην· τοῦτ' ἔστι μὴ ἐνδιδόναι τοὺς θεοὺς τὰ σπέρματα αὐτοῖς. δέον δ' οὕτως εἰπεῖν, μὴ ἀνιέναι τοὺς θεοὺς αὐτοῖς ἐκ γῆς ἠροτριασμένης σπέρματα, γῆν ἄροτον εἶπεν, ἐπειδήπερ ἡ ἠροτριασμένη γῆ δεχομένη τὰ σπέρματ' ἀνίησι. τὸ δὲ τινὰ διὰ τοῦτο εἶπεν ἵνα δείξῃ ὡς οὐ μόνον ταύτην τὴν γῆν λέγει, ἀλλὰ καὶ πᾶσαν ἣν ἂν οἰκοῖεν.

l. 296. Τόδε ζήτημα] τὸ τόδε, οὐ πρὸς τὸ ζήτημα συναπτέον, ἀλλὰ πρὸς τὸ ὅστις, οὕτως, τοῦ δὲ πέμψαντος Φοίβου τὸ ζήτημα τὸ περὶ τοῦ φόνου ἦν εἰπεῖν τόδε, ὅστις ἄρα εἴργασται τὸν φόνον.

l. 298. Ἀναγκάσαι θεοὺς] ὁ γὰρ Ἀπόλλων εἰ ἐβούλετο, αὐτίκ' ἂν ἐδήλου τὸν φονέα. καὶ οὐ ζητεῖν ἡμᾶς τοῦτον εἴα.

l. 305. Τὰ δεύτερ' ἐκ τῶν] πρῶτον καὶ ἐξαίρετον ἦν βασιλεῦ Ἀπόλλωνα περὶ τῶν παρόντων· ἐπεὶ δ' ὡς αὐτὸς φὴς, οὐχ οἷόν τε, τὰ δεύτερα ἐκ τῶνδ' ἅ μοι δοκεῖ, λέγοιμ' ἄν. τοῦτ' ἔστιν, ἅπερ εἰς βοήθειαν λόγων, τὰ δευτερεῖα Ἀπόλλωνος, ἔχειν μοι φαίνεται, φράσω.

¶ Σχήμ. l. 307. Μὴ οὐ φράσαι] συνίζησις.

l. 313. Καὶ μὴν τά γ'] ἤγουν, ὅτι μὲν ἀπέθανε Λάϊος, ὁμολογεῖται· τὰ δ' ᾀδόμενα περὶ τοῦ θανάτου αὐτοῦ, ὅπως γέγονε, μάταιά ἐστι καὶ ἀσύστατα. οἱ μὲν γὰρ φασὶν ὡς ὑπ' ὁδοιπόρων τέθνηκεν· οἱ δ' ὡς ὑπὸ λῃστῶν. ὥστε τούτων οὕτως ἐχόντων, δεῖ Τειρεσίου ἵνα τἀληθὲς εἴπῃ.

l. 317. Δείματός γ' ἔχει μέρος] ἤγουν, εἰ φοβεῖται καὶ ὑποπτεύει ὁ ἰδὼν μὴ ὕστερον γνωσθήσεται. τὸ δέ γε πρὸς τὸ εἴ τι συναπτέον, οὕτω, ἀλλὰ μὴν καὶ εἴ τι μέρος ἔχει δείματος, καὶ τὰ ἑξῆς.

l. 319. Ὁ μὴ 'στι] πῶς ἄνω εἰπὼν ὁ Οἰδίπους, τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ, νῦν φησιν, ᾧ μή 'στι δρῶντι τάρβος; καὶ φαμὲν, ὡς τὸν ἰδόντα οὐ θεατὴν μόνον, ἀλλὰ καὶ συμπεπραχότα νοεῖ.

l. 321. Τὸν θεῖον] θεῖον καλεῖ τὸν Τειρεσίαν, ὡς τὰ ἀφανῆ γιγνώσκοντα, ὅπερ ἐστὶ θεῶν.

l. 323. Διδακτά τε] τὸ μὲν διδακτὰ πρὸς τὸ χθονοστιβῆ ἔχει τὴν δύναμιν, τὰ γὰρ γήϊνα (τοῦτο γάρ ἐστι τὸ χθονοστιβῆ) γνώσει καὶ διδαχῇ ὑποπίπτει. τὸ δ' ἄρρητα πρὸς τὸ οὐράνια. οὐδεὶς γὰρ οἶδε τὰ ἐν οὐρανῷ, πλὴν τῶν ἐν αὐτῷ κατοικούντων θεῶν, καὶ ὅσοι τῶν ἀνθρώπων ἐκ τούτων ἐπιπνεόμενοι μαντεύονται. ἔστι δὲ τὸ σχῆμα χιαστόν.

¶ Σχήμ. Ὦ πάντα νωμῶν] ὑποδοχὴ Οἰδίποδος ὑποδεξαμένου ἀσμένως τὸν Τειρεσίαν.

¶ Pag. 171. l. 323. Ἄνδρα δ' ὠφελεῖν] γνωμικόν.

¶ l. 324. Φεῦ φεῦ] ἄφιξις Τειρεσίου πρὸς Οἰδίποδα.

Ἔνθα μὴ τέλη] ἤγουν ἔνθα τὸ φρονεῖν μὴ λυσιτελεῖ. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν φόρους ὑποκειμένων, οὓς εἴ τις τὴν φορείαν ἐξέλοι, λυσιτελεῖ. λέγει δὲ τοῦτο ὁ Τειρεσίας δι' ἑαυτὸν, σχετλιάζων ὡς ἀναγκαζόμενος ὑπὸ τοῦ Οἰδίποδος λέγειν τὸν αἴτιον τοῦ λοιμοῦ. δέδιε γὰρ μή τι κακὸν παρ' αὐτοῦ τοῦ Οἰδίποδος λάβῃ ἐλέγχων αὐτὸν ὡς αἴτιον.

l. 332. Ὁρῶ γὰρ οὐδέ σοι] οὕτως ἔδει εἰπεῖν, νῦν σιωπῶ, ἵνα μὴ δόξω καὶ αὐτὸς ἄκαιρος. ὁρῶ γὰρ καὶ τὸ σὸν φώνημα

οὐδὲ

οὐδέ σοι ἐρχόμενον πρὸς καιρόν. νῦν δὲ προὐπτέθηκε τὴν κατασκευήν, ἀφ᾽ ἧς νοεῖται ἔξωθεν τὸ ναὶ σιωπῶ, ὅπερ ἔχει τὴν δύναμιν πρὸς τὸ, ὡς οὖν μηδ᾽ ἐγὼ ταὐτὸν πάθω. τὸ δέ σοι, εἰς τὸ πρὸς καιρὸν συναπτέον.

l. 337. Μὴ τὰ σ᾽ ἐκφήνω κακὰ] ἤγουν φανερώσω. λάμβανε δὲ καὶ πρὸς τὰ ἐμὰ τὸ ἐκφήνω, κατὰ συνεκδοχήν. πλὴν ἐκεῖ μὲν χωρὶς τοῦ κακοῦ ἐρεῖς, οὕτως, ἐγὼ δ᾽ ὡς ἂν εἴπω, οὐ μήποτ᾽ ἐκφήνω τὰ ἐμὰ, ἤγουν, οὔποτε ὃ νῦν περὶ τῶν παρόντων εἴπω, μήπως ἐκφήνω τὰ σὰ κακὰ, ἤγουν τὴν σὴν ἀνομίαν.

l. 340. Εγώ τ᾽ ἐμαυτὸν] μὴ λάβῃς ἕτερον οὐ ἔξωθεν, εἰς τὸ ἐγώ τ᾽ ἐμαυτὸν, (ὥσπερ τινές φασιν) ἀλλ᾽ οὕτω λέγε, ἐγὼ γὰρ ἐμαυτὸν καὶ σὲ οὐκ ἀλγυνῶ. εἰ γὰρ ἐθελήσω τὸ τοῦ λοιμοῦ αἴτιον λέγειν, αὐτός τε δόξω θρασὺς βασιλέα ἐλέγχων. καὶ ἴσως ἂν καὶ κακόν τι λάβω· σύ τ᾽ αὖ λυπηθήσῃ, τῶν παρόντων ἀποφανθεὶς αἴτιος.

l. 342. Οὐκ, ὦ κακῶν κάκιστε] συνάπτε τὸ οὐκ πρὸς τὸ ἐξερεῖς. τὸ δ᾽ ὀργάνειας φύσιν πέτρου, ἀντὶ τοῦ κινήσειας, οὐ μόνον ἐμὲ, ἀλλὰ καὶ πέτραν εἰς ὀργήν. λέγει δὲ τοῦτο, ἐπειδὴ εἶπεν αὐτὸν κάκιστον. τὸ δὲ ἀτελεύτητος, ἀντὶ τοῦ μὴ τέλος τοῖς ζητουμένοις διδούς.

¶ Σχήμ. Οὐκ, ὦ κακῶν] ὀργὴ Οἰδίποδος καὶ Τειρεσίου.

l. 345. Οργὴν ἐμέμψω] ἢ ἣν ἔχω πρὸς τὰ παρόντα, μὴ βουλόμενος λέγειν ὅθεν παύσονται, ἢ εἰς ἣν ἐγὼ ἄλλους κινῶ. ὃ καὶ κρεῖττον. διὸ καὶ ἐπάγει, οὐκ οἶδας τὴν ναίουσάν σοι ὀργὴν, ἣ χρησάμενος εἶπας ἐμοὶ, κακῶν κάκιστε.

l. 348. Α νῦν σὺ] μὴ λάβῃς ἔξωθεν δία, ἀλλ᾽ ὥσπερ φαμὲν, ὑβρίζω σὲ ὕβριν, οὕτω καὶ ἀτιμάζω σὲ τόδε.

Pag. 173. l. 353. Ως ὀργῆς ἔχω] ἤγουν, ὡς δυνατὸς ὀργίζεσθαι οὐδὲν ἐκείνων παρήσω ἅπερ ξυμβάλλω ἱκανὰ εἶναι πρὸς κόλασίν σοι.

l. 358. Αληθές· ἐννέπω σὲ] ἤγουν, ἀληθές ἐστιν ὃ λέγεις, ὅτ᾽ ἔφης ἂν εἶναι τὸ ἔργον ἐμοῦ. εἶτα συνδεδεμένον τὸν ἑξῆς λόγον ὀφείλων ἐκφέρειν, ὃ δὲ ἀσυνδέτως ἐπήγαγε, λέγων, ἐννέπω καὶ λέγων, ἐμμένειν καὶ ὑπάρχειν σὲ τῷ κηρύγματι καὶ τῷ ὀνείδει τῷ τοῦ φόνου, ᾧπερ καὶ ᾧ τινι προεῖπας ἐμμένειν, δηλονότι ἐμὲ ἤγουν, λέγω ὅτι σὺ ὑπάρχεις ὁ φονεύς, οὐκ ἐγὼ, ὡς σὺ εἶπες, καὶ ἀπὸ τῆς νῦν ἡμέρας λέγω μήτε τούσδε τοὺς παρεστῶτας προσαυδᾶν, καὶ προσφωνεῖν καὶ ὁμιλεῖν σοι, ὡς ὄντι καὶ ὑπάρχοντι μιάστορι ἀνοσίῳ τῆσδε τῆς γῆς, ἤγουν ὡς μιάναντι ἀνοσίως τήνδε τὴν γῆν.

l. 363. Καὶ ποῦ] ἤγουν, ποῦ φυγὼν οὐχ ἕνεκα τούτου δώσεις ἐμοὶ δίκην;

l. 379. Οὐχ ὥστε γ᾽ εἰπεῖν] ἤγουν, οὐ προτρέπω σὲ ὥστ᾽ εἰπεῖν ὅπερ λέγεις, γνωστὸν καὶ νοούμενον, ἤγουν ἵνα τοῦτο σαφέστερον εἴπῃς, ὥστε νοηθῆναι· ἐπεὶ πάλαι τοῦτο νενόηκα, ἀλλ᾽ ὥστ᾽ αὖθις καὶ πάλιν φράσαι. οὕτω δ᾽ ὤφειλαν εἰπεῖν κατὰ ἀκολουθίαν τοῦ λόγου, ὁ δ᾽ ἑτέρως τὴν σύνταξιν ἔτρεψεν, ἀλλ᾽ αὖθις φράσον, εἰπών.

l. 380. Οὗ ζητεῖς] δέον εἰπεῖν ὃν ζητεῖς, πρὸς τὸ ἀνδρὸς ἐπήνεγκεν.

l. 382. Τί δῆτα] ἢ τὸ δῆτα ἐρωτηματικόν ἐστι διὰ μέσου τεθὲν, οὕτω, τί δῆτα εἴπω καὶ ἄλλο, ἵνα ὀργίζῃ πλέον; ἢ τὸ μὲν δῆτα ἀργὸν, τὸ δέ τι ἀόριστον, ἵνα καὶ ἐρωτηματικὸς ᾖ καὶ ἀποφαντικὸς ὁ λόγος, ὥσπερ κἀκεῖ.

l. 383. Οσον γε χρῄζεις] τὸ ὅσον πρὸς τὸ νοούμενον ἔξωθεν εἰπὲ, οὐ πρὸς τὸ χρῄζεις. εἰ γὰρ ἦν οὕτω, τὸ σὸν μέγα ἐγράφετ᾽ ἄν.

l. 388. Πλὴν σοὶ] δέον εἰπεῖν σοῦ πρὸς τὸ πλὴν, πρὸς τὴν ὅπισθεν ἔξωθεν νοουμένην εἰς τὸ ἐστὶ δοτικὴν, ἐπήνεγκε τό σοι.

l. 392. Μιᾶς τρέφῃ πρὸς νυκτὸς] τοῦτο λέγει, ὅτι ἡ τύφλωσις σώζει σὲ, καὶ οὐδεὶς βούλεται βλάψαι σὲ, κατοικτίζων τοῦ πάθους. καλεῖ δὲ τὴν τύφλωσιν νύκτα, διὰ τὸ σκοτεινόν. μιᾶς δὲ λέγει, διὰ τὴν συνέχειαν, καὶ τὸ ἀεὶ ὡσαύτως ἔχειν, καὶ μηδέποτε λήγειν. ἢ οὕτως, ἡ κατέχουσα τύφλωσις ἀρκεῖ σοι πρὸς τιμωρίαν, ὡς μηδ᾽ ἂν ἄλλης δεῖσθαι κολάσεως. κρεῖττον δὲ τὸ πρότερον.

l. 398. Καὶ τέχνη τέχνης] ἤγουν φρόνησις καὶ σοφία κρείττων οὖσα τῆς τῶν ἄλλων φρονήσεως. λέγει δὲ τὴν αὐτοῦ οὐδεὶς γάρ πω τῶν τόθ᾽ Ἑλλήνων οὕτω τεθαύμασται ὥσπερ αὐτὸς τὰ Σφιγγὸς εὑρὼν αἰνίγματα.

¶ Σχήμ. Ω πλοῦτε] Οἰδίποδος κατὰ Τειρεσίου κατηγορία, καὶ αὐτοῦ σεμνολογία.

l. 406. Δόλιον, ἀγύρτην] ἤγουν τὸν περὶ τὰς ἀγυιὰς βαίνοντα, ἤγουν χυδαῖον. ἵν᾽ οὕτως εἴπω, καὶ τῆς φαυλοτάτης τυγχάνοντα μοίρας, ὃν πᾶς τις ἄγει καὶ φέρει ῥᾷον διὰ τὸ τῆς τύχης ταπεινόν.

¶ Σχήμ. Pag.175. l.398. Ἐπεί, φέρ' εἰπέ] ἔνστασις.

l.403. Οἰωνῶν] ἤγουν, πρὶν ἐμὲ ἀφῖχθαι, ἐδείχθης οὐ γιγνώσκων τινὰ μαντείαν, οὔτ' ἀπὸ ὀρνέων, οὔτ' ἀπὸ θεῶν τινός. οὕτω τὸ ἔχων γνωτὸν, τινὰ μαντείαν νόει.

¶ Σχήμ. l.404. Οὔτ' ἐκ θεῶν] ἀντιπαράστασις.

l.405. Ὁ μηδὲν εἰδὼς] τοῦτο ἢ ταπεινοφρονῶν Οἰδίπους λέγει· ἢ ὁ μηδὲν εἰδὼς, ἀντὶ τοῦ ὁ μηδὲν πώποτε περὶ τῶν τῆς Σφιγγὸς αἰνιγμάτων ἀκούσας. ἢ ὁ μηδὲν εἰδὼς περὶ τῶν μελλόντων, καθὰ σύ γε κομπάζεις τῇ μαντικῇ.

l.410. Ἀγηλατήσειν] ἤγουν ὡς ἄγος ἐξελαθήσεσθαι τῆς πόλεως παρ' ἐμοῦ. ἢ ἀντὶ τοῦ ἄρξειν νόει. ἀγηλατῶ γὰρ τὸ ἄγω καὶ φέρω καὶ ἐξουσιάζω λαόν. ὃ περ εἰ εἴποις, κατ' εἰρωνείαν καὶ γέλωτα ἔσται ὁ λόγος, οὕτω, δοκεῖς μοι καὶ σὺ καὶ ὁ συνθείς. ταῦτα Κρέων κλαίων ἀγηλατήσειν καὶ δεσπόσειν τῆς χώρας, ἤγουν ἧς ἐπιθυμεῖτε ἀρχῆς, πολλῶν πληγῶν ἂν αἰτία ὑμῖν ἐξ ἐμοῦ γένοιτο. κρεῖττον δ' ἐστὶ τὸ ἀγηλατήσειν, ἀντὶ τοῦ ὡς ἄγος ἐλαθήσεσθαι, διὰ τὸ ἐπιφερόμενον.

¶ Σχήμ. l.416. Εἰ καὶ τύραν.] Τειρεσίου ἔλεγχος κατὰ Οἰδίποδος· καὶ προαγόρευσις ὧν μέλλει παθεῖν.

l.426. Ἐλᾷ ποτ' ἐκ γῆς] ἰστέον ὅτι τὸ ποτὶ εἶπε, διὰ τὴν ἐξ ἀρχῆς Οἰδίποδος ἀπέλασιν παρὰ Λαΐου καὶ Ἰοκάστης, ὅτε γεννηθέντα αὐτὸν εἰς Κιθαιρῶνα ἐξέθηκαν πρὸς ἀπώλειαν. τὸ δ' ἐλᾷ, ἐπειδὴ τὴν γονέων ἐκείνου καὶ νῦν ἡ ἀρὰ τοῦτον διώκει, ἣν ἠράσαντο αὐτὸν ἐφθάρθαι. λέγει οὖν τὴν ἀρὰν ἀμφιπλῆγα, ὡς ἐξ ἀμφοτέρων τοῦ τε πατρὸς καὶ τῆς μητρὸς γεγονυῖαν. δεινόπουν δὲ, διὰ τὸ κακῶς ἐπέρχεσθαι πρὸς οὓς ἂν πεμφθῇ. τὸ δὲ, ποῖος οὐκ ἔσται λιμήν, καὶ ποῖος Κιθαιρὼν, τοῦτο βούλεται, ὅτι εἰ τῆς παρανομίας τῆς σῆς αἴσθησιν λάβοις, οὐδεὶς τόπος ἔσται ἀνήκοος τοῦ κατά σε δράματος. σύμφωνος γὰρ καὶ ὁ Κιθαιρὼν καὶ συνᾴδων τῷ ἡμετέρῳ λόγῳ. ἃ γὰρ ἐγὼ νῦν περὶ σοῦ λέγω, ταῦτα ἐκεῖνος βεβαιώσει, ἐπειδὰν ἀποφανῇ ὡς κατ' ἀρχὰς ὑπὸ τῶν γονέων εἰς αὐτὸν ἐξετέθης.

l.431. Ἄνορμον] ἤγουν κακολιμένιστον, ὃν οὐδεὶς ὥρμισεν. οὐδεὶς γὰρ τῇ μητρὶ συνῆλθεν ἢ σύ.

l.433. Ἅ σ' ἐξισώσει] τοῦτο λέγει, ὅτι ἡ τῆς ἀνομίας τῆς σῆς αἴσθησίς σε ὁμοιώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις· σοὶ μὲν, ὅτι υἱὸς ὢν Ἰοκάστης τῇ ἀληθείᾳ, ἀνὴρ αὐτῆς ἀνίσως καὶ παρανόμως γέγονας. αὐτῆς οὖν ἡ ἀνισότης εἰς ἰσότητα τότε ἄξει καὶ ὥσπερ τῇ ἀληθείᾳ υἱὸς τυγχάνεις, οὕτω καὶ τότε τοῖς πᾶσιν ἐπιδειχθήσῃ. τοῖς δὲ τέκνοις, ὅτι τούτων ὢν νῦν δοκεῖς πατὴρ, ἀδελφὸς ὢν φανήσῃ, ἐξ ἧς αὐτὰ ἐγέννησας, ἐξ αὐτῆς καὶ αὐτὸς γεννηθείς.

¶ Σχήμ. l.437. Ἦ ταῦτα] ὀργὴ αὖθις Οἰδίποδος, καὶ Τειρεσίου.

Pag.177. l.446. Ἥδ' ἡμέρα] ἤγουν, ἐν τῇδε τῇ ἡμέρᾳ καὶ ἀποφανεῖς Ἰοκάστης καὶ ἀπολέσεις τοὺς ὀφθαλμοὺς, καὶ τἆλλα πείσῃ.

l.450. Αὕτη γε] ἤγουν αὕτη ἡ εὐδοκίμησις, ἤγουν τὸ τὰ αἰνίγματα σαφηνίζειν, διολέσει σε· εἰ γὰρ μὴ τὰ τῆς σφιγγὸς εὗρες αἰνίγματα σαφηνίζειν, οὐκ ἂν εἰς τόδε τύχης ἀφίκου.

l.451. Ἀλλ' εἰ πόλιν] τὸ ἐξέσωσα διπλῶς νοητέον, εἰ ἐξέσωσα τὴν πόλιν ἀπὸ τῆς σφιγγὸς, οὔ μοι μέλει τῆς ἐμῆς σωτηρίας. ἢ, εἰ ἐξέσωσα τὴν πόλιν ἀπὸ τοῦ νῦν ἐπικειμένου λοιμοῦ, οὔ μοι φροντὶς εἰ αὐτὸς ἀπολοίμην.

l.453. Ὡς παρὼν σύ γ' ἐμποδὼν] τοῦθ' οὕτω λέγει ὅτι ὀχλεῖς ἡμῖν τὰ ὑπάρχοντα ἐμποδὼν καὶ ἐμπόδιον. τοῦτ' ἔστι, παρὼν εἰς ὄχλον καὶ ταραχὴν εἰσάγεις ἡμᾶς, καὶ ἐμποδίζεις τὸ προκείμενον ζήτημα εὑρηθῆναι. ὁ δὲ καὶ, σύ γ' ἐμποδών.

¶ Σχήμ. l.455. Εἰπὼν ἄπειμ'] Τειρεσίου σαφέστερος ἔλεγχος.

l.468. Καὶ ταῦτ' ἰὼν] τοῦτο διπλῶς νοητέον, ἢ ἐλθὼν εἴσω τοῦ οἴκου, καὶ καθ' ἡσυχίαν γενόμενος ἢ ἰὼν εἴσω, ἀντὶ τοῦ εἰς αὑτὸν γεγονὼς, καὶ συνάξας τὸν νοῦν.

l.471. Τίς ὅντινα] ἐπειδήπερ ὁ Παρνασσὸς ἐν Δελφοῖς, ἐν δὲ τούτῳ τὸ τοῦ Ἀπόλλωνός ἐστι μαντεῖον, διὰ τοῦτο Δελφίς πέτρα λέγεται, ἀντὶ τοῦ ὁ Ἀπόλλων ἐν Παρνασσῷ οἰκῶν. ἰστέον δ' ὅτι ὡς ὁ χορὸς πρὸς τοὺς Τειρεσίου λόγους ἀηδῶς διάκειται, τῷ δ' Οἰδίποδι βοηθεῖ, διὰ τοῦτο καὶ ἀπορηματικῶς τὸν λόγον ἐκφέρει, τίς ἐστιν ὃν λέγει Ἀπόλλων τελέσαι τὸ ἔργον;

l.479. Ἀναπλάκητοι] οὕτω χρὴ γράφειν ἵν' εἴη τὸ μέτρον ἁρμόζον τῷ τῆς ἀντιστροφῆς κώλῳ. εὕρηται γὰρ ἔν τινι τῶν παλαιῶν οὕτω βιβλίων. δεινὰς δὲ κῆρας λέγει, τὰ δύο ἀνομήματα, ἃ Τειρεσίας ἔφη κατ' Οἰδίποδος, λέγω δὴ τὴν τῆς μητρὸς συν-

συνήλθοσιν, καὶ τὸν τοῦ πατρὸς φόνον. τὸ δὲ ἅμ' ἕπονται, ἀντὶ τοῦ σὺν τῷ Ἀπόλλωνι ἔρχονται; οὐχ ὅτι ὁ Ἀπόλλων οὕτως ἐθέασεν· (ἐκεῖνος γὰρ ἐξελεῖν τὸ μίασμα μόνον τῆς χώρας εἶπεν) ἀλλὰ διὰ τοῦτο ἅμα αὐτῷ ταύτας ἕπεσθαι λέγει, διὰ τὸ Τειρεσίαν ταύτας ἐκφῆναι ἐπὶ τῇ τοῦ Ἀπόλλωνος μαντείᾳ.

Pag. 179. l. 492. Ὀιωνοθέτας] ὁ τοῖς οἰωνοῖς πιθόμενος καὶ ἀρεσκόμενος εἰς τὰς μαντείας Τειρεσίας, ἢ ὁ τὰς πτήσεις τῶν οἰωνῶν διατιθεὶς καὶ διακρινῶν, τοῦτ' ἔστιν ὁ διδάσκαλος τῆς πτήσεως τῶν οἰωνῶν.

l. 493. Ὄυτε δοκοῦντα] οὔτ' ἀρέσκοντά μοι, οὔτ' ἀποφάσκοντα, καὶ ἀπόφασιν καὶ ἀπιστίαν δεχόμενα. ἤγουν, μὴ οἶδα τί ἀπιστεῖσθαι, διὰ τὸ μάντιν εἶναι τὸν εἰπόντα.

l. 497. Τί γὰρ ἢ] ἀπορήσειεν ἄν τις διὰ τί οἱ δύο διαζευκτικοὶ σύνδεσμοι, τὸ ἢ Λαβδακίδαις, καὶ τὸ ἢ τῷ Πολύβου, κεῖνται, δέον οὕτως εἰπεῖν, τί γὰρ Λαβδακίδαις καὶ τῷ Πολύβου νεῖκος ἔκειτο. καὶ φαμὲν ὅτι τοῦτο δύνανται οὗτοι οἱ σύνδεσμοι δηλοῦν, ὡς οὔτε τῷ Λαΐῳ διαφορά τις ἦν ἀπὸ τοῦ Ὀιδίποδος, οὔτε τῷ Ὀιδίποδι ἀπὸ τοῦ Λαΐου.

Λαβδακίδαις] ἰστέον ὅτι διότι μὲν τὸ ἐπίκουρος δοτικῇ συντάσσεται, τὸ μὲν Λαβδακίδαις πρὸς τὸ ἐπίκουρος εἶπεν· ἡ δὲ γενικὴ τὸ ἀδήλων θανάτων, πρὸς τὸ ὄνομ' ἐστὶ τὸ ἐπίκουρος. ἐπίκουρος γὰρ τῷ δεῖνι τῶν κακῶν φαμέν.

l. 515. Φανερὰ γὰρ] περιττὸν ἦν ἐνταῦθα τὸ ἐπ' αὐτῷ, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. οὐ γὰρ ἦν ἴσον τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς.

l. 524. Πρός γ' ἐμοῦ] εὕρηται, πρὸς τ' ἐμοῦ πεπονθέναι. ὅπερ οὐκ ἔστιν ἕτερον ἀλλ' ἢ πρὸς ἐμοῦ τι ὥσπερ γὰρ φαμὲν τῶν τις ἀνθρώπων. τὸ τὶς διὰ μέσου τιθέντες, οὕτω καὶ τοῦτο, ὅτι δ' ἐστὶ τὶ, καὶ οὐ σύνδεσμος τὲ, ὥς φασί τινες, μαρτυρεῖ τὸ φέρον.

l. 534. Ψευδεῖς λέγει] οὓς περὶ τῶν παρόντων λέγει ὡς γὰρ ὁ Ὀιδίπους ἔφη, οἱ τοῦ Τειρεσίου λόγοι, οὓς κατ' αὐτοῦ ἔφη, πρὸς ψεῦδος συντέθεινται, καὶ οὐκ ἐν ἀληθείᾳ λελεγμένοι εἰσίν.

l 536. Ἐξ ὀμμάτων] ἤγουν ἀπὸ ἀνθρώπου σώφρονος καὶ ὑγιεῖς φρένας ἔχοντος ἢ ἀπ' ἀκριβοῦς συνειδήσεως καὶ καθεστηκυίας γνώμης. εἰκότως δ' εἶπε τὸ ἐξ ὀρθῶν ὀμμάτων. οἱ γὰρ σώφρονες καθεστηκὸς ἔχουσι τὸ ὄμμα, οἱ δὲ μαινόμενοι παρατετραμμένον.

l. 539. Ἔξω περᾷ] ἴσως ἄν τις ἐνταῦθ' ἐλθὼν κακίσειε τὴν δευτέραν ἔννοιαν ἣν πρόσθεν ἔφαμεν, εἰς τὸ, καὶ ταῦτ' ἰὼν εἴσω λογίζου, ἐλέγομεν γὰρ τὸ εἴσω, ἐντὸς τῶν οἴκων ἐλθὼν, ἢ εἰς ἑαυτὸν καὶ καθ' ἡσυχίαν γενόμενος ἀμφοτέρας οὖν ταῦτ' ἔχεται λόγου, καὶ οὐδὲν κωλύει τὸ δεύτερον μὴ εἶναι ἄμεινον, εἰ καὶ νῦν ὁ χορὸς φησιν, αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ. ὁ γὰρ ἡσυχίας δεόμενος, ἐντὸς οἴκου ἢ εἰς ἐρημίαν χωρεῖ. ὥστε οἱ πειρασόμενοι ἡμᾶς αἰτιᾶσθαι, σφᾶς αὐτοὺς εἰς αἰτίαν ἐμβάλλουσιν, οὐκ εἰδότες ὡς δεῖ τὰ πράγματα λογίζεσθαι.

¶ Σχήμ. l. 540. Ὅυτος σὺ] ἐπιτίμησις Ὀιδίποδος κατὰ Κρέοντος καὶ κατηγορία.

¶ l. 544. Πρὸς θεῶν] συνίζησις.

¶ l. 548. Ἄρ' οὐχὶ] γνωμικόν.

l. 553. Ἐγὼ κακὸς] ἤγουν κακὸν ἥγημαι τὸ ἀπὸ σοῦ τι μανθάνειν. μὴ λάβῃς δὲ εἰς τὸ σοῦ ἔξωθεν τὸ ἀπό. εἰ καὶ ἡμεῖς ἐν τῇ συντάξει χάριν σαφηνείας εἰρήκαμεν. ὥσπερ γὰρ φαμὲν, κακοῦ ἀνδρὸς ἥγημαι τοῦτο, καὶ πάλιν, βαρβάρου τὴν ὕβριν γινώσκω οὕτω καὶ μανθάνω σοῦ τόδε.

¶ Σχήμ. Pag. 181. l. 551. Ὅιδ' ὡς] ἀπολογία Κρέοντος ἐφ' οἷς ἐγκαλεῖται.

¶ Σχήμ. Pag. 183. l. 563. Η οὐκ ἔπειθες] συνίζησις, ἢ κοινὴ συλλαβὴ τὸ ἤ.

¶ l. 564. Τὸν σεμνόμαντιν] εἰρωνικόν.

¶ l. 567. Δέδρακε ποῖον] τοῦτο διὰ μέσου εἶπε.

Pag. 183. l. 569. Μακροὶ] εἰκότως εἶπε τὸ παλαιοὶ πρὸς τὸ μακροὶ οἱ γὰρ μακροὶ χρόνοι, καὶ παλαιοί εἰσιν.

¶ l. 577. Ὀυκ οἶδ'] γνωμικόν.

l. 578. Τὸ σὸν] ἀλλὰ τοσοῦτον γοῦν οἶσθα, καὶ λέγοις ἂν αὐτὸ, εἰ καλῶς φρονεῖς. εἰ καὶ ἐκεῖνο μὴ οἶδας, ἀλλὰ τὸ σὸν γινώσκεις εἰ καλῶς φρονεῖς.

l. 580. Τὰς ἐμὰς] τὸ τὰς πρὸς τὸ διαφθορὰς τινὲς συνάπτουσιν, οὕτως, οὐκ ἄν ποτε εἶπε τὰς διαφθορὰς τοῦ Λαΐου ἐμάς. σὺ δ' ἐκείνους ἐάσας, τὸ τὰς πρὸς τὸ ἐμὰς, ὥσπερ συντέθειται, σύναπτε, οὕτως, οὐκ ἄν ποτ' εἶπε τὰς ἐμὰς ὡς

ὡς αὐτὸς οἴεται διαφθορεὺς τοῦ Λαΐου. πρὸς γὰρ τὴν ἐκείνου ὑπόληψιν τὰς ἐμὰς ὡρισμένας εἶπε, καὶ οὐ πρὸς τὴν οἰκείαν. εὑρήσεις δὲ ὅμοιον καὶ προϊὼν, ὅταν λέγῃ, τὸν ἐναγῆ φίλον ποτὲ ἐν αἰτίᾳ σὺν ἀφανεῖ λόγῳ, ἐκεῖ γὰρ τὸ ἐναγῆ πρὸς τὴν τοῦ Οἰδίποδος ὑπόληψιν κεῖται, τὸ δὲ πᾶν, εἰ μὴ μετὰ σοῦ ἐβουλεύσατο, οὐκ ἄν ποτέ με φονέα Λαΐου εἶπεν.

l. 582. Εἰ μὴ λέγει] ἤγουν εἰ μὴ φονέα σὲ τοῦ Λαΐου ἐκεῖνός φησιν, αὐτὸς οἶδε· ἐγὼ δὲ παρὰ σοῦ βουλοίμην ἂν μαθεῖν, ὥσπερ καὶ σὺ παρ' ἐμοῦ νῦν.

l. 685. Γήμας ἔχεις] γαμεῖ τις, ἀμεταβάτως, ἀντὶ τοῦ γάμον ἔχει, τουτ' ἔστι συνημμένος ἐστὶ γυναικὶ, ὡς ἐν τῷ, Οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερος. καὶ γαμεῖ τις τήνδε, μεταβατικῶς, ἀντὶ τοῦ εἰς γάμον λαμβάνει, ἢ λαβὼν ἔχει· καθ' ὃ λέγεται ἐνταῦθα.

l. 588. Πάντ' ἐμοῦ] μὴ λάβῃς εἰς τὸ ἐμοῦ ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ὅνπερ ἄνω ἔφαμεν λόγον, εἰς τὸ, Μανθάνειν δ' ἐγὼ καὶ ὡς σοῦ, ὁ αὐτός ἐστι κἀνταῦθα. πάντα γὰρ λαμβάνει ἐμοῦ, τουτ' ἔστιν ἡμέτερα ὄντα αὐτὴ δέχεται.

l. 591. Οὐκ εἰ διδοίης] οὐδαμῶς φαίνομαι κακὸς φίλος, εἰ διδοίης σαυτῷ λόγον. ἤγουν σκέψιν καὶ διαγνωστικὴν κρίσιν, ὡς ἐγὼ δηλονότι ἐμαυτῷ δίδωμι. ἤγουν σκέψαιο ὡς ἐγὼ σκέπτομαι.

l. 592. Σκέψαι δὲ] λόγισαι δὲ καὶ τοῦτο πρῶτον, εἰ νομίζεις τινὰ, εἰ τὰ αὐτὰ ἕξει κράτη, προκρῖναι ἂν μᾶλλον ἄρχειν σὺν φόβῳ, ἢ ἄρχειν δηλονότι ὑπνώττοντα ἀφόβως.

Εἴ τιν' ἂν δοκεῖς] τὸ ἂν πρὸς τὸ ἑλέσθαι συναπτέον, καὶ οὐ πρὸς τὸ δοκεῖς. ὥς τινές φασι, γράφοντες χωρὶς διὰ τοῦ η.

l. 594. Ἄτρεστον εὕδοντ'] εἰκότως εἶπε τὸ εὕδοντα, καὶ οὐ διὰ λέγοντα. ὁ γὰρ ἀμερίμνως ζῶν, πρὸς ὕπνον ἐγείρεται. τὸ δὲ Εἰ τά γ' αὔθ' ἕξει κράτη, πρὸς τὸ φόβοις συναπτέον. τὸ δὲ ἢ ἄτρεστον εὕδοντα, διὰ μέσου.

l. 599. Ἀκων ἔδραν] τοῦτο λέγει ἐπειδὴ ἡ ἀρχὴ καὶ παρὰ τὸ δίκαιον τοὺς αὐτὴν ἔχοντας ἀναγκάζει πολιτεύεσθαι.

l. 600. Πῶς δῆτ' ἐμοὶ] ἡ σύνταξις, πῶς οὖν ἡ τυραννὶς καὶ ἡ βασιλεία ἔσται καὶ ὑπάρχει ἔχειν ἐμοὶ ἡδίων καὶ ἡδυτέρα ἀρχῆς καὶ δυναστείας ἀλύπου, ἐφ' ἧς νῦν εἰμί.

¶ Σχήμ. Pag. 185. l. 602. Οὔπω τοσοῦτον] γνωμικόν.

l. 603. Ὥστ' ἄλλα χρῄζειν] ἡ γὰρ ἀρχὴ καλὸν μέν ἐστιν, ἀλλὰ παρακεκινδυνευμένον καὶ ὕποπτον· ἡ δ' ἐμὴ, καλὸν περισπούδαστον. ἰστέον δὲ ὅτι τὸ χρῄζω οὐ μόνον γενικῇ, ἀλλὰ καὶ αἰτιατικῇ συντάσσεται· καὶ ὅτε μὲν γενικῇ συντάσσεται, φυσικὴν ἔχει τὴν σύνταξιν· (χρῄζω γὰρ τὸ χρείαν τινὸς ἔχω) ὅτε δὲ αἰτιατικῇ πρὸς τὸ σημαινόμενον· οὐ γάρ τις ἔχει χρείαν, θέλων αὐτὸ ἔχει χρείαν.

l. 604. Νῦν πᾶσι χαίρω] ἀντὶ τοῦ, πᾶσιν ἀνθρώποις πληροφοροῦμαι καὶ θαρρῶ, καὶ εἰς οὐδένα ὑποψίαν ἔχω· ὁ τυραννίδος ἔξω καθέστηκεν. ἐκείνη γὰρ καὶ συγγενέσιν αὐτοῖς καὶ φίλοις ἀπιστεῖ. ἢ τὸ πᾶσι χαίρω, ἀντὶ τοῦ πᾶσι πράγμασιν ἥδομαι, καὶ οὐδεμία φροντὶς καὶ μέριμνα περὶ οὐδενός ἐστί μοι, ἀμβλεῖαν ποιοῦσα τὴν ἡδονήν.

l. 606. Τὸ γὰρ τυχεῖν] ἡ σύνταξις. ἔνι γὰρ καὶ ὑπάρχει αὐτοῖς ἅπανθ' ἃ βούλονται ἐνταῦθα, ἤγουν ἐν ἐμοὶ, τὸ τυχεῖν τούτων. τουτ' ἔστι, λογίζονται δι' ἐμοῦ, καὶ δέονται σου ἁπάντων ὧν χρῄζουσι τεύξεσθαι. δέον δὲ εἰπεῖν οὕτως, τὸ γὰρ τυχεῖν ἁπάντων ἐνταῦθ' αὐτοῖς ἔνι· ὁ δὲ ἅπαντα εἶπε πρὸς τὸ ἔνι. τὸ δὲ τυχεῖν, ἔξωθεν συντάσσει, τὸ τυχεῖν τούτων δηλονότι.

¶ Σχήμ. l. 608. Οὐκ ἂν γένοιτο.] γνωμικόν.

l. 611. Πυθώδ' ἰὼν] ἡ σύνταξις, καὶ τοῦτο μὲν ἰὼν καὶ ἐλθὼν πυθῶδε καὶ εἰς τὴν πυθίαν, πεύθου καὶ μάνθανε τὰ χρησθέντα καὶ τὰ μαντευθέντα σοὶ, ἔλεγχον καὶ δοκιμασίαν τῶνδε. εἰ σαφῶς καὶ ἀληθῶς ἤγγειλά σοι ταῦθ' ἃ ἔφην σοί. οὕτω καὶ τὸ ἔλεγχον λέγε. καὶ μὴ λάβῃς ἔξωθεν τὸ εἰς, ἀλλ' ὥσπερ φαμὲν, μανθάνω τὸν διδάσκαλον περὶ ἐμὲ εὔνουν, οὕτω καὶ τοῦτο, μανθάνω τὰ χρησθέντα ἔλεγχον τῶνδε.

l. 613. Τῷ τερασκόπῳ] ἤγουν, ἐὰν εὕρῃς με κοινῇ τι βουλευσάμενον περὶ τούτου Τειρεσίᾳ τῷ τερασκόπῳ καὶ τῷ τὰ τέρατα καὶ σημεῖα τῆς μαντείας σκοποῦντι καὶ σαφηνίζοντι, κόλασόν με.

l. 615. Τῇ τ' ἐμῇ καὶ σῇ] τοῦτο λέγει, καὶ τῇ ἐμοὶ προσηκούσῃ, (ἤγουν ἣν ἄξιός εἰμι παθεῖν, κακὸς φανεὶς) καὶ τῇ σοὶ προσηκούσῃ, ἤγουν ἣν ἄξιον βασιλέα ποιεῖσθαι κατὰ τῶν ἐπιβεβουλευκότων αὐτῷ. ἢ, ἣν καὶ ἐγὼ κατ' ἐμοῦ, καὶ αὐτὸς ψηφίσαιο κατ' ἐμοῦ.

¶ l. 617

¶ l. 617. Ὀυ γὰρ δίκ.] γνωμικόν.

¶ l. 619. Φίλον γὰρ] γνωμικόν.

¶ l. 622. Χρόνος δίκαιον ἄνδ.] γνωμικόν.

l. 624. Ἐυλαβουμένῳ πεσεῖν] ἤγουν, φοβουμένῳ σοὶ πεσεῖν τῆς ἀρχῆς καλῶς ἔλεξε Κρέων, ὡς οὐκ ἐκ τοῦ εὐθέος δίκαιον καταψηφίζεσθαι οὓς ἂν κατὰ τὸ ἐξ ὑπονοίας, ἀλλὰ πρῶτον ἐξετάζειν παντὶ τρόπῳ περὶ αὐτῶν, καὶ καταδίκους αὐτοὺς εὑρόντα, τότε κολάζειν. οἱ γὰρ ταχεῖς φρονεῖν (ἤγουν οἱ ταχέως καὶ μὴ μετὰ σκέψεως ποιοῦντές τι) οὐκ ἀσφαλεῖς, ἀλλ᾽ ἀβέβαιοι, καὶ πρὸς κίνδυνον ἔσθ᾽ ὅτε πίπτουσιν. ἰστέον δὲ ὅτι ἢ μερικὸν τὸ εὐλαβουμένῳ νοεῖ διὰ τὸν Ὀιδίποδα, ἢ καθόλου διὰ πάντα φοβούμενον.

¶ Σχήμ. l. 625. Φρονεῖν γὰρ οἱ] γνωμικόν.

l. 630. Ἡ με γῆς ἔξω βαλεῖν] τὸ ἤ, εἰ μὲν καθ᾽ ὑποστιγμὴν ἐρεῖς τὸ ἑξῆς, ἀντὶ τοῦ ὄντως ἄρα νοήσεις· εἰ δὲ κατὰ ἀποφαντικὴν ἐρώτησιν τὸ ἑξῆς εἴποις, ἀντὶ τοῦ διαζευκτικοῦ συνδέσμου νοήσεις, στίζων καὶ ἐν ἀμφοτέροις εἰς τὸ χρῄζεις. ἰστέον δὲ ὅτι ποτὲ μὲν καθ᾽ ὑποστιγμὴν τὴν ἐρώτησιν ποιοῦμεθα, ὡς τὸ, Ὀυ σῖγ᾽ ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς; καὶ τὸ, Μεμηνότ᾽ ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν; ποτὲ δὲ κατ᾽ ἀπόφασιν, ὡς τὸ, Πρὶν ἄν τι δράσῃς, ἔτι κερδανῇς πλέον.

¶ Σχήμ. l. 632. Οἷον ἐστι τὸ φθο.] γνωμικόν.

l. 637. Ἐι δὲ ξυνίης μηδὲν] ἤγουν, ἐγὼ μὲν οὐ κακός εἰμι· εἰ δὲ ξυνίης μηδὲν, ἤγουν ψευδῶς τοῦτο νοεῖς, τί λοιπόν; πρὸς ὃ ὁ Ὀιδίπους ἀποκρίνεται, ἀρκτέον γ᾽ ὅμως καὶ εἰ οὕτως ἔχεις. τοῦτ᾽ ἐστί, καὶ εἰ οὕτως ἔχεις, ὅμως ἀρκτέον καὶ κυριευτέον ἐμοὶ σοῦ. πρὸς ὃ πάλιν ὁ Κρέων, οὔτι κακῶς ἄρξεις, ἐμοῦ ἄρχοντος, ὥσπερ καὶ σύ. ὅπερ ἀπειθὲς δοκοῦν εἰς θυμὸν ἐξάγει Ὀιδίποδα.

l. 642. Κἀμοὶ πόλεως] τοῦτο διπλῶς νοητέον, ἢ καὶ ἐμοὶ μέτεστι τῆς πόλεως, ἤγουν τοῦ βοᾶν ὦ πόλις, πόλις ὥσπερ σοί. ἤ, κἀμοὶ μέτεστι τῆς πόλεως. ἀντὶ τοῦ, οὐ τῶν ἰδιωτῶν εἷς εἰμι, ἀλλὰ τῶν τὰ μεγάλα δυναμένων ὥστ᾽ οὐχ ἧττον ἐμοὶ ἢ σοὶ ὑπακούεται.

¶ Σχήμ. l. 648. Δυοῖν ἀποκρ.] συνίζησις.

Pag. 187. l. 649. Γῆς ἀπῶσαι] Ψεύδεται Κρέων ἐνταῦθα Ὀιδίπους γὰρ ἂν εἶπεν ἀποκτεῖναι αὐτὸν, καὶ οὐκ ἐξελάσαι τῆς χώρας.

l. 655. Τὸν δ᾽ ὅρκον] ἤγουν ὃν αὐτὸς ὤμοσε. λέγει δὲ τοῦτο, διότι πρόσθεν εἶπε τὸ, μὴ νῦν ὀναίμην, καὶ τὸ ἀραῖος ὀλοίμην.

l. 670. Ὀυ τὸν πάντων θεῶν] πάντων θεῶν πρόμαχον λέγει τὸν ἥλιον, ὥσπερ ἰόντα τὸν οὐρανὸν ἔνθ᾽ οὗτοί εἰσι καὶ ὥσπερ φύλακες τάξιν ἔχοντα. εἰ δὲ τὸ πρῶτον τὸ θεὸν μικρογραφήσεις, ὥσπερ τὸ δεύτερον, ἐκ παραλλήλου εἴποις· καὶ τὸ πάντων, ἀντὶ τοῦ ἀνθρώπων νοήσεις. ὀμνύει δὲ ὁ χορὸς τὸν ἥλιον, ὡς ἔφορον πάντων τῶν ἀνθρωπίνων καὶ τῶν κρυπτῶν γνώστην καὶ ἐκφάντορα.

l. 672. Ἄθεος, ἄφιλος] ἤγουν, πρότερον ὑπὸ τῶν θεῶν τιμωρηθεὶς, καὶ ὑπὸ τῶν φίλων μισηθεὶς λίαν. τοῦτο γάρ ἐστι τὸ ὅτι ὕστερον ἀπολοίμην. ἢ τὸ ἄθεος, ἄφιλος, ἀντὶ τοῦ ἀσεβὴς καὶ μὴ περὶ τοὺς φίλους εὐγνώμων.

Pag. 189. l. 677. Τὰ πρὸς] τὰ παρ᾽ ἡμῶν. ἤγουν, ἵνα μὴ κορυφωθείη ἡ τῆς πόλεως δυστυχία τὰ ὑμέτερα προσλαβοῦσα κακὰ, προνοούμενος ἐγὼ τὴν ἱκετείαν ταύτην, ἀνήνεγκά σοι. γράφειν δὲ χρὴ, κακὰ προσάψαιςδὲ, ἵν᾽ εἴη τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς.

l. 682. Στυγνὸς μὲν] ἤγουν σκυθρωπός τις τυγχάνεις, εἴκων καὶ ὑποταττόμενός τινι. ὅταν δεήσηταί σου ἣν ἔχεις ὀργὴν παῦσαι.

l. 683. Αἱ δὲ τοιαῦται φύσεις] ἤγουν, ὁ ἔχων ἄνθρωπος, αὐτὸς ἑαυτὸν μισεῖ, καὶ οὐ δύναται φέρειν, ὅτι τοιοῦτός ἐστι. τὸ δὲ δικαίως εἶπε, διότι δίκαιόν ἐστι τοὺς κακοὺς μὴ μόνον ὑπὸ τῶν ἄλλων ἀλλὰ καὶ ὑφ᾽ ἑαυτῶν μισεῖσθαι.

l. 686. Σοῦ μὲν τυχὼν ἀγνῶτος] ἤγουν ἀναισθήτου τῶν ἐμῶν, καὶ ἕτερον ἢ προσῆκεν ὑπολαμβάνοντος. ἰστέον δὲ ὅτι τὸ ἀγνὼς καὶ ἀντὶ τοῦ μὴ γιγνωσκομένου εὕρηται, καὶ ἀντὶ τοῦ μὴ γινώσκων.

l. 690. Μαθοῦσα] ἤγουν, ἐπειδὴ τὸ συμβεβηκὸς ἔγνων ὅπερ ἐστὶ, ποιήσω τοῦτο καὶ κομίσω δηλαδή. ἔγνων γὰρ τίς ἐστιν ἡ κατέχουσ᾽ αὐτοὺς τύχη. ἤγουν ἡ μάχη.

l. 691. Δόκησις ἀγνὼς λόγων ἦλθε] τοῦτο καὶ εἰς τὸν Ὀιδίποδα καὶ εἰς τὸν Κρέοντα νόει, εἰς μὲν τὸν Ὀιδίποδα, διὰ τὰς τοῦ Τειρεσίου ἐπ᾽ αὐτῷ μαντείας, ἃς οὐκ ἀληθεῖς ὁ χορὸς ἐνόμιζεν· εἰς δὲ τὸν Κρέοντα διὰ τὴν ἐξ Ὀιδίποδος πρὸς αὐτὸν τοῦτον ψευδῆ ὑπόληψιν, ὡς ὑποβάλλοντα κατ᾽ αὐτοῦ τὸν μάντιν τοιαῦτα λέγειν. τὸ δὲ, δάπτει δὲ τὸ μὴ ἔνδικον,

κον, τοῦτο λέγει ὅτι οὐ μόνον ματαία ὑπόληψις αὐτῶν λυπεῖ, ἀλλ' ὅτι καὶ ἄδικός ἐστιν.

l. 696. Αλις ἔμοιγ' ἄλις] ἄλις καὶ αὐταρκῶς φαίνεται ὁ λόγος ἐμοὶ μένειν αὐτοῦ καὶ ἐκεῖ ἔνθα καὶ ὅπου ἔληξε, προπονουμένης καὶ προταχούσης ὑπὸ τοῦ λοιμοῦ τῆς γῆς. τοῦτ' ἔστιν, ἐπειδήπερ ἡ γῆ δυστυχεῖ, πρὸς ἑαυτὴν ἕλκει τὸν νοῦν μου. καὶ οὐκ ἐᾷ ἀναζαίνειν τὰ τούτοις ξυμβάντα. ἀρκεῖ γὰρ ὅτι λεχθέντα πέπαυται, καὶ οὐ δεῖ αὖθις λέγειν.

l. 699. Ορᾶς ἵν' ἥκεις] τοῦτο Οἰδίπους λέγει πρὸς τὸν χορόν, ὅτι οὐκ ἐβούλετο διηγεῖσθαι Ἰοκάστῃ τὴν διαφοράν. δόξαν γὰρ ἐντεῦθεν παρέξῃ ὅτι καταγινώσκων Οἰδίποδος ὡς ἀδίκως ὀργισθέντος Κρέοντι, λέγειν οὐκ ἤθελεν.

Pag. 191. l. 708. Ουκ ποτὲ] μὴ λάβῃς εἰς τὸ ὅτι ἔξωθεν τὸ ἕνεκα, ἀλλὰ πρὸς τὸ μαθεῖν ἐστίν.

¶ Σχήμ. Πρὸς θεῶν] ἄφιξις Ἰοκάστης μελλούσης διαλλάξαι Οἰδίποδα καὶ Κρέοντα. Πρὸς θεῶν συνίζησις.

l. 715. Μάντιν μὲν οὖν] τὸ μὲν οὖν, ἀντὶ τοῦ δέ. νοεῖται δὲ ἀπὸ τούτου, ὅτι οὐ λέγει αὐτός, εἰσπέμψας δέ. εἰ μὲν οὖν σίξεις εἰς τὸ τόγ' εἰς ἑαυτόν, οὕτως ἐρεῖς, ἐπεὶ ἐλευθεροῖ πᾶν τὸ στόμα τούτου τοῦ λόγου τοῦ λέγειν, ὅτι ἐγὼ φονεύς εἰμι Λαΐου, τόγ' εἰς ἑαυτόν, ἤγουν ὅσον τὸ καθ' αὑτόν. αὐτὸς γὰρ περὶ τούτου καθάπαξ σιγᾷ. εἰ δ' ὁμοῦ τὸ πᾶν ἐρεῖς στόμα πρὸς τὸ τό γ' εἰς ἑαυτόν, ἔσται οὕτως, ἐπεὶ τό γ' εἰς ἑαυτόν, ἤγουν τὸ οἰκεῖον πᾶν στόμα ἐλευθεροῖ καὶ ἀφίστησι τούτου τοῦ λόγου.

l. 729. Ουτ' ἐκεῖνον ἤνυσε] ἀπορητέον πῶς ἄνω μὴ τὰς περὶ τούτων μαντείας Ἀπόλλωνα θεσπίσαι φάσκουσα Ἰοκάστη, ἀλλὰ τοὺς ὑπηρέτας αὐτοῦ, νῦν φησὶν ἐνταῦθα, Ουτ' Ἀπόλλων ἤνυσε. καὶ φαμὲν ὅτι τοῦτο λέγει, οὐκ ἐναντιουμένη τῷ λόγῳ αὐτῆς, ἀλλὰ κατὰ τὴν τῶν ἄλλων ὑπόληψιν.

¶ Σχήμ. l. 735. Οἷόν μ' ἀκούσ'] δυσφορεῖ Οἰδίπους ἀκούσας τὰ παρὰ τῆς Ἰοκάστης.

¶ Pag. 193. l. 743. Κλινίζεται] συνίζησις.

l. 752. Χνοάζων] ἀνθῶν, ὥσπερ ὑπὸ χνοὸς περικεχυμένην ἔχων τὴν κεφαλήν. αἱ γὰρ περὶ αὐτὰς δεξάμεναι χνοῦ τρίχες, οὔτε λευκαί εἰσιν, οὔτε μέλαιναι, ἀλλ' εἶδός ἕτερον μεταξὺ τούτων ἐκφαίνουσι.

l. 757. Μὴ βλέπων] ἤδειν, δέδοικα μή πως οὐ τυφλός, ἀλλὰ βλέπων καὶ ἀληθεύων ὁ μάντις ᾖ. παρ' ὅσον ὁ τὴν ἀλήθειαν λέγων, βλέπει· ὁ δὲ τὰ ψευδῆ, τυφλώττων ἐστί.

l. 776. Τοῦτ' ἐφίεσαι] ἐντέλλῃ, ἐπιθυμεῖς. καὶ γενικῇ γὰρ καὶ αἰτιατικῇ συντάττεται τὸ ἐφίεμαι, ὥσπερ καὶ τὸ ἐπιθυμῶ.

l. 781. Κοὐ μὴ] Η πρὸς τὸ στερηθῇς ὑπόστιξον, οὕτως, καὶ οὐ μὴ στερηθῇς ἂν ζητεῖς, βεβιωκότος ἐμοῦ εἰς τοσοῦτον ἐλπίδων, ἤγουν τοσαύτην ἐλπίδα ἔχοντος ὥστε τὸν ἀγρότην μόνον ἰδεῖν, καὶ παρ' ἐκείνου ἀκοῦσαί τι. κατὰ πάντα γὰρ τὰ ἄλλα ἀπήλπισα. ἢ πρὸς τὸ ἐλπίδων, οὕτως, ἐμοῦ βεβιωκότος, ἤγουν ζῶντος, οὐ μὴ στερηθῇς τῶν ἐλπίδων ἐς τοσοῦτον, ἤγουν, ἅπερ ἐλπίζεις μαθεῖν παρ' ἐμοῦ, οὐ μὴ ἀποτύχῃς τούτων ἐς τοσοῦτον ὥστε μὴ μαθεῖν αὐτά. κρεῖττον δ' ἐστὶ τὸ πρότερον. μαρτύριον δέ. πρότερον γὰρ λέγει, Καὶ μὴν τοσοῦτόν ἐστι μοι τῆς ἐλπίδος, Τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.

¶ Σχήμ. Pag. 195. l. 784. Εμοὶ πατὴρ] διήγησις Οἰδίποδος, περὶ τῆς ἀναστροφῆς αὐτοῦ καὶ τοῦ φόνου Λαΐου.

l. 805. Αστροις τὸ] παροιμία ἐπὶ τῶν μακρὰν ὁδὸν καὶ ἔρημον πορευομένων. οἱ γὰρ φεύγοντες ἀειφυγίαν, τοῖς ἄστροις ἐσημειοῦντο τὴν ἑαυτῶν πατρίδα.

¶ Αστροις τὸ λοιπὸν] παροιμία.

l. 819. Διπλοῖς κέντροισι μου] τοῦτο διπλῶς νοητέον, ἢ δύο πληγαῖς, ἢ μάστιγι δύο κέντρα ἐχούσῃ. τὸ δ' ἔπισεν, ἀντὶ τοῦ ἀπέδωκε, παρ' ὅσον οἱ κολαζόμενοι διά τινα προϋπάρξασαν ὑπ' αὐτῶν αἰτίαν, δίκας τῆς ἁμαρτίας ἀποδιδόασιν ὀφειλομένας.

l. 827. Ω μὴ ξένων] ἤγουν ᾧ τινι οὐκ ἔξεστιν ἐκδεδομένον δέχεσθαί τινα, ἐμὲ δηλονότι ἐν τοῖς δόμοις, οὔτε τῶν ἀστῶν, οὔτε τῶν ξένων. ἔστι δὲ ἡ τοιαύτη δοτικὴ τὸ ᾧ, ἢ πρὸς τὸ ἔξεστιν, ἢ πρὸς τὸ προσφωνεῖν. ὥσπερ γὰρ φαμὲν, μετεῖχον καὶ ἐχρώμην τῆς δόξης, οὐ πρὸς τὸ ἐχρώμην (ὅπερ ἐστὶ συνήθους οὔσης τῆς γενικῆς) ἀλλὰ πρὸς τὸ μετεῖχον, διὰ μέσου ὄντος τοῦ ἐχρώμην· οὕτω καὶ τοῦτο τὸ ᾧ πρὸς τὸ προσφωνεῖν ἔχει τὴν δύναμιν. τὸ δὲ τάδε καὶ τὰς δὲ ἀράς,

ἀρὰς, ταυτόν ἐστιν. αἱ γὰρ ἀραὶ ἃς ἠράσατο τῷ Λαΐου φονεῖ, οὐκ ἄλλό τι ἦσαν ἢ μὴ προσδέχεσθαι αὐτὸν τοὺς πολίτας, μηδὲ προσφωνεῖν. καὶ οὔτις ἄλλος ἦν ὁ προσθεὶς ἐπ' ἐμαυτῷ ταῦτα, ἢ ἐγὼ ὁ τάσδε τὰς ἀρὰς προσθείς. κατὰ συνεκδοχὴν λαμβανομένου τοῦ προσθείς.

Pag. 197. l. 839. Ἀνορθοίη λόγον] ἤγουν ἔξω αἰτίας θήσει. τὸ γὰρ ἀνορθοίη λόγον, οὐχ ἕτερόν ἐστιν ἀλλ' ἢ κειμένην καὶ μὴ οὖσαν τὴν ὑπὲρ ἐκείνου ἀπολογίαν ἀνορθώσει, καὶ δείξει δι' ὧν ἀπολογήσεται.

l. 843. Κηλῖδ' ἐμαυτῷ] κηλῖδα συμφορᾶς, ἀντιστρόφως, ἀντὶ τοῦ συμφορὰν (ἤγουν συντυχίαν) κηλῖδος, ἤγουν μολυσμοῦ.

¶ Σχήμ. l. 855. Οὐ γὰρ γένοιτ'] γνωμικόν.

l. 857. Εἰς ἡμᾶς ῥέπον] εἰς ἡμᾶς γράφε, μὴ εἰς ἐμέ. οὐ γὰρ ἁρμόζει οὕτως τῷ μέτρῳ. εἰ δὲ πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ τέθειται, οὐδὲν ἀπεικός. πολλὰ γὰρ εὑρίσκεται ὅμοια.

l. 861. Κἀκτρέποιτο] τὸ ἐκτρέπεσθαι κυρίως ἐπὶ ὁδοῦ λέγεται, ὅταν τὴν μὲν βαδίζει τις ὁδὸν καταλιπὼν, ἑτέραν βαδίσῃ. καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ τῶν ἀπό τινος εἴς τι μεταπιπτόντων.

l. 867. Ὥστ' οὐχὶ μαντείας] ὥστε ἕνεκα τῆς μαντείας τοῦ Ἀπόλλωνος. οὔτε βλέψαιμι ἂν τῇδε καὶ ἐνταῦθα ὅτι ὑπὸ τοῦ παιδὸς ἀπόλωλε. πρόσθεν γὰρ ὁ παῖς ἀπηνέχθη τοῦ ζῆν. οὔτε τῇδε καὶ ἐνταῦθα ὕστερον, ὅτι ὑπὸ σοῦ πεφόνευται. ὑπὸ τοῦ παιδὸς γὰρ ὁ Ἀπόλλων ἐθέσπισε. ταῦτα δὲ λέγει ἀποροῦσα περὶ τοῦ φόνου, πῶς ἄρα καὶ γέγονεν.

Pag. 199. l. 873. Εἴ μοι ξυνείη] καταγινώσκων ὁ χορὸς τῆς Ἰοκάστης, καὶ ὡς μὴ δεχομένης τὰς τοῦ Ἀπόλλωνος μαντείας, φησὶν, ἐμοὶ φέροντι τὴν εὔσεπτον ἁγνείαν, (ἤγουν τὸ πάνσεπτον σέβας τῶν λόγων καὶ τῶν ἔργων πάντων, τοῦτ' ἔστιν ἐμοὶ σεβομένῳ τὸν λόγον καὶ τὰ ἔργα) εἴθε ξυνείη καὶ συνυπάρχοι μοῖρα καὶ εὐτυχία. εἰπὼν δ' ἀορίστως τῶν λόγων καὶ τῶν ἔργων, νῦν ὁρίζεται, λέγων, ὧν πρόκεινται νόμοι μεγάλοι, τεκνωθέντες καὶ γεννηθέντες διὰ τὴν οὐρανίαν αἰθέρα, ἤγουν ἐξ οὐρανοῦ. δείκνυσι δ' ἐντεῦθεν ὅτι λόγων καὶ ἔργων λέγει τῶν θείων, ὧν ἡ τιμὴ ἐξ οὐρανοῦ νενομοθέτηται, ὧν τινῶν νόμων μόνος ὁ Ὄλυμπος πατήρ ἐστιν. ἔστι δὲ ὅμοιον τῷ οὐρανίαν δι' αἰθέρα τεκνωθέντες. οὐδ' ἔτικτε οὐδ' ἐξεῦρεν αὐτοὺς τοὺς νόμους ἡ θνητὴ φύσις τῶν ἀνθρώπων, οὐδὲ κατακοιμίσει καὶ καταβαλεῖ αὐτοὺς, καὶ ἀφανίσει λήθη. τοῦτ' ἔστιν, ἐπεὶ οἱ ἄνθρωποι οὐχ εὗρον τοὺς περὶ τῆς τιμῆς τῶν θεῶν νόμους, ἀλλ' οὐρανόθεν ἦλθον ἡμῖν, οὐδ' ὑπὸ λήθης ἀνθρώπων ἂν κατασβιασθεῖεν. μέγας ἐν τούτοις θεὸς ὑπάρχει ἡ ἀλήθεια, οὐδὲ γηράσκει· τοῦτ' ἔστιν, ὡς ἀληθεῖς ὄντες οἱ νόμοι ἀεὶ ἔσονται καὶ οὐκ ἀφανισθήσονται. ἰστέον δὲ ὅτι τινὲς ἀγνοοῦντες, οὐρανίας αἰθέρος λέγουσι διὰ τὸ διά. τὸ δ' ἐστιν ὅμοιον τῷ παρ' Αἰσχύλῳ, Ἱππικῶν τ' ἄυπνον πηδαλίων διὰ στόμα. ἔφαμεν δ' ἐκεῖ τὸν περὶ τούτου λόγον.

l. 883. Ὕβρις φυτεύει] ἤγουν ἡ ὑπεροψία ποιεῖ τύραννον. τοῦτ' ἔστιν ἡ ὑπεροψία κακοὺς καὶ ἀνόμους (τοιοῦτοι γὰρ οἱ τύραννοι) ἐργάζεται τοὺς αὐτὴν ἔχοντας, ὥστε καὶ Ἰοκάστη ἐξ ὑπεροψίας τοῦ Ἀπόλλωνος ἠτίμασε λόγον. ἐὰν ὑπερπλησθῇ ἡ ὕβρις μάτην πολλῶν, ἃ οὐκ ἔστιν ἐπίκαιρα καὶ πρέποντα μηδὲ συμφέροντα τῷ αὐτὴν ἔχοντι, εἰς ἀκροτάτην ἀπότομον καὶ τραχεῖαν εἰσαναβᾶσα, ἤγουν εἰς ἄκρον κακίας ἐλάσασα καὶ κορυφωθεῖσα, ἀνώρουσε καὶ ὥρμησε καὶ πέπτωκεν εἰς ἀνάγκην, ὅθι καὶ ὅπου οὐ χρῆται ποδὶ χρησίμῳ. τοῦτ' ἔστιν, ὑβρισταὶ καὶ ἄνομοι, ὁποία ἡ Ἰοκάστη, αὐξηθέντες εἰς ἄκρον, ἔπειτα εἰς τὴν τοιαύτην ἀνάγκην πίπτουσιν ὡς δυστυχῶς καὶ ἀθέως τὸν αἰῶνα διάγειν. εἴρηται δ' ἐκ μεταφορᾶς τῶν ἐκ κρημνοῦ πιπτόντων καὶ συντριβόντων τοὺς πόδας, ὡς μὴ δύνασθαι πορεύεσθαι.

l. 889. Τὸ καλῶς δ' ἔχον πόλει πάλαισμα] ἤτοι τὴν περὶ τῶν συμφερόντων τῇ πόλει ἔρευναν, αἰτοῦμαι θεὸν, ἤτοι τὸν Ἀπόλλω, μὴ λῦσαι, ἀλλ' ἀεὶ ποιεῖσθαι, καθάπερ καὶ νῦν ἐπὶ τῷ τοῦ Λαΐου φόνῳ. οὐ λήξω καὶ παύσομαί ποτε ἔχων τὸν θεὸν προστάτην καὶ ἀντιλήπτορα. ἰστέον δ' ὅτι εἰς τὸ ἃ μὴ ἐπίκαιρα, τὸ ἃ εἰ μὲν πρὸς τὸ ὕβριν νοήσεις, μακρόν ἐστιν· (οὕτω γὰρ καὶ τὸ τῆς ἀντιστροφῆς ἀπαιτεῖ κῶλον) εἰ δὲ πρὸς τὰ ἑξῆς, βραχύ. οὐ κωλύει δὲ καὶ βραχὺ εἶναι, ἐπεὶ τὸ κῶλον ἰαμβικόν ἐστιν. ἔτι ἰστέον ὅτι εἰ καὶ τὸ καλῶς ἐν πολλοῖς μακρὸν εὕρηται, ἐν γοῦν τῷ, τὸ καλῶς δ' ἔχον πόλει, βραχύ ἐστι· καὶ δῆλον ἐκ τοῦ κώλου τῆς στροφῆς.

στροφῆς. ἔοικεν οὖν ἀμφοτέρους τοὺς χρόνους καὶ τοῦτο δέχεσθαι. ὃ καὶ κυρίως ἐγὼ φημὶ δίχρονον, ὡς ἀμφοτέρους τοὺς χρόνους δεχόμενον. τοιοῦτον γὰρ καὶ τὸ ὑμεῖς καὶ τὸ ἀὴρ καὶ ὕδωρ καὶ ἱερὸς, καὶ τὰ τοιαῦτα. τὸ δὲ κακὸν ἀεὶ βραχὺ εὕρηται, καὶ οὐδέποτ' ἄλλως, εἰ καὶ ἐν τῷ, Κακά νιν ἕλοιτο μοῖρα, ἀντὶ μακροῦ ἔοικεν εἶναι, οὐ μήν ἐστιν.

l. 893. Εἰ δέ τις ὑπέροπτα χερσὶν] εἰ δέ τις πορεύεται καὶ διάγει ὑπέροπτα καὶ σοβαρὸς καὶ ἐν χερσὶ καὶ ἐν λόγῳ, (τοῦτ' ἔστι καὶ οἷς πράττει καὶ οἷς λέγει) ἀφόβητος τῆς θείας δίκης, οὐδὲ σέβων καὶ τιμῶν τὰ ἕδη καὶ εἴδωλα τῶν δαιμόνων, ἤτοι τοὺς θεοὺς, ἕλοιτο καὶ λάβοι νιν καὶ αὐτὸν κακὴ μοῖρα καὶ τύχη, χάριν καὶ ἕνεκα τῆς τρυφῆς, καὶ τῆς ὑπεροψίας ἣν πρὸς τοὺς θεοὺς ἔχει, τῆς δυσπότμου καὶ δυστυχοῦς. μέγιστον γὰρ ἀτύχημα ἡ ἀσέβεια. εἰ μὴ κερδανεῖ δικαίως τὸ κέρδος ἤγουν, ἐὰν μὴ τὰ τῆς ὑπεροψίας ἆθλα δικαίως λάβῃ τιμωρηθείς. καὶ ἔρξεσθαι καὶ κωλυθῇ τῶν ἀσέπτων καὶ ἀσεβῶν ἐγχειρημάτων ἢ ἔρξεσθαι καὶ κωλυθῇ πάλιν τῶν ἀθίκτων καὶ ἀπροσψαύστων, καὶ ὧν οὐδεὶς ἅπτεται ἀσεβῶν ἐγχειρημάτων, ματάζων καὶ ματαιοποιῶν. τίς ἄρα ἀνὴρ ἔτι καὶ εἰς τὸ ἑξῆς, ἐν τοῖσδε, ἤγουν ἐν τῷ μὴ τιμωρεῖσθαι τοὺς κακοὺς, ἔρξεται καὶ κωλυθήσεται τῆς κακίας, δηλονότι τῷ θυμῷ, ἤγουν οἴκοθεν, ὥστε ἀμύνειν καὶ ἀποσοβεῖν διὰ εὐχῶν καὶ θυσιῶν τὰ βέλη τῆς ψυχῆς, ἤγουν τὰ ἁμαρτήματα; ἤγουν, οὐδεὶς τοὺς κακοὺς ὁρῶν ἀπαθεῖς, ἐπιστροφὴν ποιήσεται τῶν οἰκείων πλημμελημάτων, καὶ περὶ τοὺς θεοὺς καταφλέξεται

l. 907 Εἰ γὰρ αἱ τοιαίδε πράξεις] ἤγουν, εἰ αἱ κακαὶ πράξεις τίμιαι καὶ καλαὶ, τί δεῖ με χορεύειν καὶ πανηγύρεις ἱστάναι τοῖς θεοῖς, αἰτούμενον τὰ λυσιτελῆ, ἐὰν μὴ ἁρμόττῃ πᾶσι τοῖς βροτοῖς τάδε χειρόδεικτα καὶ φανερά. τοῦτ' ἔστιν, εἰ μὴ ἑνὶ ἑκάστῳ ἁρμοδίως παρίσταται ἐκ τῶν θεῶν τὰ τῆς προαιρέσεως ἔπαθλα, τῷ μὲν κακῷ κακά, τῷ δὲ ἀγαθῷ ἀγαθά· ἀλλὰ πάντες ἐπίσης μετέχοιεν τῶν θεῶν, οὐκέτι εἶμι καὶ πορεύσομαι ἐπὶ τὸν ἄθικτον καὶ σεβάσμιον ὀμφαλὸν τῆς γῆς, ἤγουν εἰς τὸν Ἀπόλλωνα, σέβων καὶ τιμῶν αὐτόν. οὐδὲ εἰς τὸν Ἀπόλλωνος ναὸν τὸν ἐν Ἄβαισι καὶ ἐν Λυκίᾳ (Ἄβαι γὰρ τόπος Λυκίας) οὐδ' εἰς τὴν Ὀλυμπίαν, ἤτοι τὸν Δία. ἀλλ' ὦ Ζεῦ ὁ κρατῶν καὶ ἐξουσιάζων πάντα καὶ ἀνάσσων, εἴπερ ὀρθῶς Ζεῦ ἀκούεις καὶ ὀνομάζῃ, ὥσπερ οὖν εἶ, μήτε σε, μήτε τὴν σὴν ἀθάνατον αἰὲν ἀρχὴν λάθῃ τοῦτο, τὸ τοὺς κακοὺς τετιμωρῆσθαι ἀλλὰ μέχρις ἂν ἡ σὴ ἀρχὴ ἐπέχοι, κολάζοιντο οἱ κακοί. ἐξαίρουσι γὰρ καὶ ἐκβάλλουσι καὶ ἀτιμάζουσιν ἤδη καὶ νῦν, φθίνοντα καὶ ἀτιμαζόμενα τὰ παλαιὰ θέσφατα καὶ μαντεύματα τοῦ Λαΐου. τοῦτ' ἔστι, τὸν πάλαι δοθέντα παρ' Ἀπόλλωνος τῷ Λαΐῳ χρησμὸν, ὡς ὑπὸ παιδὸς τεθνήξεται, Ἰοκάστη νῦν ἀτιμάζει καὶ ψευδῆ οἴεται, καὶ οὐδαμῶς ὁ Ἀπόλλων ἐμφανὴς ὑπάρχει ἐν ταῖς τιμαῖς, ἀλλ' εἰς οὐδὲν τὰ ἐκείνου λογίζεται καὶ ἀτιμάζεται. ἔρρει δὲ καὶ ἐφθάρη· καὶ καταπεφρόνηνται τὰ θεῖα. ἰστέον δ' ὅτι τὸ τῆς ἀντιστροφῆς δέκατον κῶλον, τὸ φθίνοντα δή, ὡς ἐμοὶ δοκεῖ, ἐλλιπὲς ἦν πρὸς τὸ τῆς στροφῆς· διὸ καὶ προσετέθη παρ' ἐμοῦ, τὸ, ὡς ἐμοὶ δοκεῖ, ὅπως ὁλόκληρον καὶ τοῦτο γένηται. καὶ οἶμαι ὡς καλῶς προσετέθη· εἰ δέ τις βέλτιόν τι νοήσει, τοῦτο τεθήτω.

¶ Σχήμ. Pag. 201. l. 921. Χώρας ἄνακτες] ἐξελθούσης Ἰοκάστης θυσίαν ποιησομένης ἐπὶ τοῖς συμβᾶσιν Οἰδίποδος.

l. 926. Τὰ καινὰ τοῖς πάλαι] ἤγουν, τοὺς νῦν χρησμοὺς διὰ τῶν παλαιῶν συμβάλλει. τῶν εἰρηκότων ὅτι Λάϊος ὑπὸ παιδὸς τεθνήξεται

l. 930. Σὺν κατεύγμασιν] ἤγουν, τοῖς κινοῦσι κατάνευσιν τῶν εὐχῶν. ἤγουν τοῖς θυμιάμασι καὶ ἀναθήμασιν.

l. 931. Εὐαγῆ πόρῃς] ἤγουν, ἵνα λύσιν εὐαγῆ τῆς παρούσης ἀνάγκης τοῦ Οἰδίποδος παράσχῃς, ἤγουν ἁγνὴν καὶ ἱεράν. ἐναντίον δὲ τῷ εὐαγεῖ τὸ ἐναγές.

¶ Σχήμ. l. 934. Ἆρ' ἂν παρ'] ἄφιξις ἀγγέλου τινὸς ἐκ Κορίνθου, ἀπαγγέλλοντος τὸν θάνατον Πολύβου, καὶ μετακαλουμένου Οἰδίποδα ὥστε ἄρχειν τῆς χώρας.

l. 940. Παντελὴς δάμαρ] τελεία, νόμιμος· οὕτως, εἰ πρὸς τὸ δάμαρ συνάψεις· εἰ δὲ πρὸς τὸ ὀλβία, τελεία μόνον.

Pag. 203. l. 947. Ἡδοίο μὲν] εὐφρανθείης μὲν διότι ὁ σὸς πόσις καὶ τῆς ἑτέρας βασιλείας ἐγκρατὴς μέλλει γενήσεσθαι· λυπηθείης δὲ εἰ τὸν τοῦ σοῦ κηδεστοῦ θάνατον ἀκούσαις.

l. 950. Τῆς Ἰσθμίας] τῆς Κορινθίας, τῆς ἐν τῷ Ἰσθμῷ τῆς Πελοποννήσου κειμένης.

¶ Σχήμ.

¶ Σχῆμ. l. 971. Σμικρὰ παλαιὰ] γνωμικόν.

¶ l. 974. Φεῦ φεῦ.] ἀθυμία Οἰδίποδος ἀκούσαντος φυσικῷ θανάτῳ τεθνηκέναι τὸν Πόλυβον. καὶ ἀναζήτησις τοῦ οἰκείου γένους.

l. 981. Τὰ δ' οὖν παρόντα] ἤγουν, ἀλλὰ τοὺς ἐνταῦθα διδομένους χρησμοὺς μεθ' ἑαυτοῦ λαβὼν ὁ Πόλυβος ἄξιος οὐδενὸς, κεῖται παρὰ τῷ ᾅδῃ, ἤγουν ἐν τῷ ᾅδῃ.

¶ Σχῆμ. l. 987. Τί δ' ἂν φοβ.] γνωμικόν.

Pag. 205. l 989. Εἰκῆ κράτιστον ζῆν] ἤγουν ἁπλῶς καὶ ἀφροντίστως, καὶ μὴ πρὸς μαντείας ὁρᾷν.

¶ Σχῆμ. l 991. Πολλοὶ γὰρ] γνωμικόν.

¶ l. 1003. Ἢ οὐ θεμ.] συνίζησις.

¶ l. 1009. Τὰ τῶν τ.] γνωμικόν.

Pag. 207. l 1039. Κἀπὶ Κιθαιρῶνος πλάκες] εἰκότως εἶπε τὸ πλάνης. οἱ γὰρ ποιμένες νῦν μὲν ἐνταῦθα, νῦν δ' ἐκεῖσε τὸ ποιμνίον ἀνάγουσι, πρὸς τὸ λυσιτελοῦν.

l. 1047. Πρὸς μητρὸς] πρὸς πατρὸς ἢ πρὸς μητρὸς ἔπαθον τοῦτο δηλονότι, ἤγουν τὸ διατρυπηθῆναι τοὺς ἀστραγάλους. ἀσύνετον γὰρ καὶ ἀνακόλουθον πρὸς τὰ ἐπαγόμενα, τὸ νομίζειν ἐρωτᾷν τὸν Οἰδίποδα εἰ ὑπὸ τοῦ πατρὸς ἢ τῆς μητρὸς ὠνομάσθη.

l. 1069. Τρίδουλος] δοῦλον γὰρ τὸ μὴ ἐμφανὲς ἔχειν τὸ γένος, ἀλλὰ λαθραῖον. εἰκότως δὲ τὸ τρίδουλος εἶπε πρὸς τὸ τρίτης μητρός.

¶ Σχῆμ. l. 1071. Μὴ οὐ τάδ'] συνίζησις.

Pag. 209. l. 1080. Πλουσίως] εὐδαίμονι. τοῦτο δὲ λέγει διὰ τὸ μὴ θέλειν ταύτην ἐξ ἀσήμων ὄντα φανήσεσθαι.

¶ Σχῆμ. l 1084. Αἴξασα] συνίζησις.

l. 1091. Τῆς εὖ διδούσης] τοῦτο λέγει διότι πάντα τὰ τῆς τύχης δῶρα, εἰ καὶ δυσχερῆ ἐστιν ἡμῖν, ἀλλὰ καλά ἐστι, καὶ πρὸς τὸ συμφέρον ἡμῖν, εἰ καὶ μὴ δυνάμεθα αὐτοὶ τοῦτο καταμαθεῖν.

l. 1093. Μῆνές με μικρὸν] ἤγουν, ὁ χρόνος δυστυχῆ με καὶ εὐτυχῆ πεποίηκεν. ἢ τὸ μικρὸν καὶ μέγαν διὰ τὴν ἡλικίαν λέγει.

l. 1096. Εἴπερ] εἴπερ ἐγὼ κατὰ γνώμην μάντις εἰμὶ καὶ ἴδρις, καὶ ἐπιστήμων καὶ ἄριστος στοχαστὴς, μὰ τὸν πανσέληνον Ὄλυμπον, οὐκ ἔσῃ καὶ ὑπάρξεις ὦ Κιθαιρὼν, ἀπείρων καὶ ἀμέτοχος κατὰ τὴν αὔριον ἡμέραν, μὴ οὐκ αὔξειν καὶ φαίνεσθαί σε πατριώτην τοῦ Οἰδίποδος, τροφὸν καὶ μητέρα, καὶ χορεύεσθαι παρ' ἡμῶν. (τοῦτ' ἔστιν, ὅσον οὔπω φανήσεται ὁ Οἰδίπους, εὑρεθεὶς ἐν Κιθαιρῶνι τὴν ἀρχήν. διὸ καὶ πατέρα καὶ μητέρα αὐτοῦ τοῦτον καλεῖ) ὡς ἐπίηρα καὶ ἐπιθυμητὰ φέροντα τοῖς ἐμοῖς τυράννοις, ἤγουν τῷ Οἰδίποδι. ἐπιθυμεῖ γὰρ εὐγενὴς ὅστις ἐστὶ φανῆναι. σοὶ δ' ὦ ἰήϊε καὶ τοξικὲ Φοῖβε, ἀρεστὰ καὶ ἀποδεκτὰ εἴη καὶ ὑπάρχοι ταῦτα· ἢ τοῦ Οἰδίποδος λέγω ἔκφανσις. σὺ γὰρ ἐθέσπισας τὴν ἀρχὴν τούτου ἔρευναν.

l. 1108. Τίς σε τέκνον] τίς σε ὦ τέκνον τῶν μακραιώνων καὶ ἀϊδίων θεῶν ἔτικτεν; ἆρα τοῦ ὀρεσιβάτου καὶ τοῦ ὀρεινοῦ Πανὸς θυγάτηρ, προσπελασθεῖσα ἐνταῦθα; ἢ ἔτικτέ σε ἡ τοῦ Λοξίου θυγάτηρ; τῷ γὰρ καὶ τούτῳ τῷ Πανὶ, ἢ τῷ Ἀπόλλωνι (νόμιος γὰρ καὶ οὗτος καλεῖται) πᾶσαι αἱ ἀγρονόμοι καὶ ὀρειναὶ πλάκες καὶ πέτραι φίλαι εἰσίν. εἴτε ὁ Κυλλάνας ἀνάσσων Ἑρμῆς ἐδέξατο εὕρημα καὶ δῶρον τῶν νυμφῶν· εἴθ' ὁ βακχεῖος θεὸς, ἤγουν ὁ Διόνυσος, ὁ ναίων καὶ κατοικῶν ἐπ' ἄκρων τῶν ὀρέων, ἐδέξατο τὸ εὕρημα τῶν νυμφῶν τῶν Ἑλικωνιάδων, ἤγουν τῶν ἐν Ἑλικῶνι τῆς Βοιωτίας οὐσῶν σὺν αἷς πλεῖστα παίζει. λέγει δὲ τὸν Διόνυσον ναίειν ἐπ' ἄκρων ὀρέων, ἢ διότι αἱ βάκχαι αὐτοῦ, ὡς μαινόμεναι, τὰ ὄρη περιήρχοντο, ἢ ὅτι ἐν τῷ Κιθαιρῶνι τὸ ἱερὸν ἦν αὐτοῦ.

¶ Σχῆμ. Pag. 211. l. 1120. Εἰ χρή τι κἀμ] ἀναζητήσας Οἰδίπους τὸ οἰκεῖον γένος, καὶ μαθὼν, ἐξετύφλωσεν ἑαυτόν.

l. 1124. Ὥσπερ οἰκέτας] εἰκότως εἶπε τὸ ὥσπερ. οὐ γὰρ ἀκριβῶς οἶδεν, ἀλλ' εἰκάζων ἦν.

l. 1145. Κάτοιδεν] τοῦτο ἢ πρὸς τὸν Κιθαιρῶνος τόπον συνάπτει· (ὡς καὶ τὸ ἦμος διὰ μέσου ἐτέθη· ὃ δὴ καὶ ποιεῖ τὴν δυσχέρειαν) ἢ πρὸς τὸν Κιθαιρῶνος τόπον εἰς ἔξωθεν λάμβανε, λαμβανομένου κατὰ συνεκδοχὴν τοῦ ἐπλησίαζεν.

¶ Σχῆμ. l. 1151. Ἢ οὐ λέγω] συνίζησις.

Pag. 215. l. 1157. Ἀ, μὴ κόλαζε] τὸ ἃ ἐστὶν ἐνταῦθα ἐπίρρημα σχετλιαστικὸν, στοιχεῖον παρακελευόμενον.

¶ Σχημ. l. 1163. Πρὸς θεῶν] συνίζησις.

l. 1165. Δύστηνος] ἢ πρὸς τὸ δύστηνος στικτέον, οὕτως, δύστηνός εἰμι· ἀντὶ τοῦ λέγεις τοῦτο, τί προσχρῄζων μαθεῖν;

θεῖν; ἢ τὸ δύστηνος καὶ τὸ ἀντὶ τοῦ συνάπτει οὕτως, ἀντὶ τοῦ προσαχθήσομαι ὁ δύστηνος; τί προσχρήζων μαθεῖν λέγεις τοῦτο;

l. 1171. Ὡς ᾔδειν πάλαι] τὸ πάλαι πρὸς τὸ εἶπον συναπτέον, καὶ οὐ πρὸς τὸ ᾔδειν.

l. 1197. Δοκῶν ἀποίσειν] ἰστέον ὅτι τὰ ἀπαρέμφατα, εἰ μὴ προηγεῖται εὐθεῖα, οὐδέποτ' εἰς εὐθεῖαν συντάσσεται· ὥστε καὶ τὸ αὐτὸς ἐνταῦθα οὐ πρὸς τὸ ἀποίσειν ἐστὶν, ἀλλὰ πρὸς τὸ ἔνθεν ἦν, οὕτως, δοκῶν καὶ νομίζων εἰς ἄλλην χθόνα ἀποίσειν καὶ κομίσειν ἔνθεν ἦν αὐτός.

Pag. 215. l. 1196. Ὦ γενεαὶ βροτῶν] ἀπιδὼν ὁ χορὸς πρὸς τὴν πάλαι τοῦ Οἰδίποδος εὐδαιμονίαν, καὶ τὴν ἄρτι συμβᾶσαν αὐτῷ τύχην, ἀποκλαίεται τὸ ἀνθρώπινον λέγων, ὦ γενεαὶ ἀνθρώπων, ὄντως ἐναριθμῶ καὶ συντάττω ζώσας ὑμᾶς τὰς γενεὰς, καὶ τὸ μηδὲν. ἴσα καὶ ὁμοίως· τουτ' ἔστιν, ἅπαντας τοὺς ζῶντας ἀνθρώπους οὐκ ἄλλό τι ἥγημαι ἢ οὐδέν. τίς γὰρ ἀνὴρ φέρει τὰς εὐδαιμονίας καὶ τὰς εὐτυχίας πλέον ἢ τοσοῦτον ὅσον δοκεῖν καὶ φαίνεσθαι ὅτι ἐστί τις, καὶ δόξαντα ἀποκλῖναι καὶ ἀποπεσεῖν τῆς εὐδαιμονίας; τουτ' ἔστιν, οἱ εὐτυχοῦντες οὐδὲν πλέον ἀποφέρονται τῆς τύχης ἢ ὅσον δόξαν παρέχειν τοῖς ἀνθρώποις ὅτι εἰσί τινες, εἶτα ἀθρόον εἰς τὸ μηδὲν χωροῦσι. νόει δὲ καὶ τὸ εὐδαιμονίας γενικὴν, οὕτω. τίς ἀνὴρ φέρει τῆς εὐδαιμονίας πλέον, ἢ τοσοῦτον ὅσον, καὶ τὰ ἑξῆς.

l. 1207. Τὰν γαμψώνυχα] ἤγουν τὴν Σφίγγα. ἰστέον δ' ὅτι ἡ Σφὶγξ εἶχε πρόσωπον καὶ κεφαλὴν κόρης, σῶμα κυνὸς, πτερὰ ὄρνιθος, φωνὴν ἀνθρώπου, ὄνυχας λέοντος.

l. 1217. Ὦ μέγας λιμὴν] ᾧ τινι Οἰδίποδι μέγας λιμὴν αὐτὸς καὶ εἷς, ἤγουν Ἰοκάστη, ἤρκεσε καὶ ἀρκετὸς ἐφάνη παιδὶ καὶ θαλαμηπόλῳ καὶ νυμφίῳ πατρὶ, ὥστε πεσεῖν τοῦτον τὸν Οἰδίποδα ἐν αὐτῷ τῷ λιμένι. τουτ' ἔστιν, Ἰοκάστη καὶ παῖδα τὸν Οἰδίποδα ἔσχε καὶ πατέρα τῶν αὐτῶν παίδων.

l. 1223. Δικάζει τὸν ἄγαμον] δικάζει καὶ κρίνει καὶ ἐκφαίνει ὁ χρόνος τὸν πάλαι κακόγαμον γάμον, τεκνοῦντα καὶ γεννῶντα, καὶ τεκνούμενον καὶ γεννώμενον. τουτ' ἔστι, τὸν ἀνόμως ὑπάρξαντα γάμον τοῦ Λαΐου δείκνυσιν ὁ χορὸς, καὶ τεκνοῦντα καὶ τεκνοποιοῦντα, διὰ τὴν Οἰδίποδος πρὸς Ἰοκάστην μίξιν· καὶ τεκνούμενον καὶ γεννώμενον, διὰ τὸ ἐξ αὐτῆς τοῦτον γεννηθῆναι, ἢ τὸ ἄγαμον γάμον διὰ τὸν Οἰδίποδα νοητέον, οὕτω, δικάζει ὁ χρόνος τὸν ἄγαμον καὶ κακόγαμον γάμον τοῦ Οἰδίποδος πρὸς Ἰοκάστην, τεκνοῦντα καὶ τεκνοποιοῦντα ἐξ αὐτῆς, καὶ τεκνούμενον καὶ γεννώμενον αὐτὸν ἐξ αὐτῆς.

¶ Σχῆμ. 1233. Ὦ γῆς μέγιστα] ἄφιξις ἀγγέλου τὸν θάνατον Ἰοκάστης ἀγγέλλοντος.

l. 1238. Ὅσα κεύθει] τοῦτο οὕτω λέγε, νίψαι καὶ καθᾶραι ἐν καθαρμῷ τήνδε τὴν στέγην ἐκείνων ὅσα κεύθει καὶ κρύπτει. ὅμοιον δὲ τῷ, Οἷοι νῦν βροτοί εἰσιν. ὀφείλων γὰρ εἰπεῖν, νίψαι τὴν στέγην τῶν κακῶν ὅσα κρύπτει, ἃ αὐτίκα εἰς τὸ φῶς δείξει· ὃ δὲ λέγει, νίψαι τὴν στέγην ὅσα κακὰ κρύπτει, ἀποδιδοὺς τὸν λόγον πρὸς τὸ ἀνταποδοτικόν. τὸ δὲ, τὰ δ' αὐτίκα, τὰ τοῦ Οἰδίποδος λέγει. ἔμελλε γὰρ αὐτὸς μετ' ὀλίγον ἐξιέναι τυφλός.

l. 1239. Ἑκόντα] ἑκὼν Οἰδίπους τετύφλωται, διὰ τὸ αὐτὸς ἑαυτὸν τυφλῶσαι· ἄκων δὲ, ὡς ὑπὸ τῶν κακῶν εἰς τοῦτο συνωθηθεὶς, καὶ οὐ προαιρέσει οἰκείᾳ.

¶ Σχῆμ. l. 1242. Τὸ μὴ οὐ] συνίζησις.

l. 1244. Θεῖον Ἰοκάστης κάρα] ἰστέον ὅτι ὁ μὲν Εὐριπίδης φησὶ τὴν Ἰοκάστην τεθνάναι πλησίον τῶν παίδων, ὅτε μονομαχήσαντες ὑπ' ἀλλήλων ἀπώλοντο· Σοφοκλῆς δὲ νῦν ταύτην φησὶν ἀγχόνῃ χρήσασθαι.

l. 1252. Ἀμφιδεξίοις ἀκμαῖς] ἀμφιδέξιον τὸ ἐξ ἀμφοτέρων τῶν χειρῶν δεχόμενον καὶ λαμβανόμενον. ἔστι δὲ καὶ ἀμφιδέξιον, εἶδος ὑποδήματος, ὃ καλοῦσι κόθορνον. ἀμφιδέξιον δὲ νῦν τὸ περιεκτικόν.

l. 1255. Ἔχουσ' ὑφ' ὧν] εὕρηται καὶ ὑφ' ἧς, πρὸς τὸ μνήμην, οὕτως· ἔχουσα κατὰ νοῦν καὶ λέγουσα τὴν μνήμην καὶ τὴν φροντίδα τῶν παλαιῶν σπερμάτων, ἣν εἶχεν ὁ Λάϊος τεκνοποιῆσαι, ὑφ' ἧς φροντίδος θάνοι μὲν αὐτὸς, λίποι δὲ παιδουργίαν δύστεκνον καὶ ἄνομον τὴν τίκτουσαν. τίσι δὲ λίποι; τοῖς οἶσιν καὶ τοῖς ἰδίοις αὐτῶν γεννήμασιν. ἤτοι τῷ Οἰδίποδι.

l. 1264. Φοιτᾷ γὰρ ἡμᾶς] τὸ φοιτᾷ πρὸς τὸ ὅπου κίχοι, κατὰ κοινοῦ λάμβανε, οὕτω, φοιτᾷ δὲ ὅπου κίχοι καὶ καταλαμβάνοι τὴν γυναῖκα Ἰοκάστην τὴν οὐ

γυναῖκα,

γεγέννηκα, (μήτηρ γὰρ αὐτοῦ ἦν) τὴν μητρῴαν διπλῆν ἄρουραν, οὗ τε, ἤγουν αὐτοῦ. καὶ τῶν αὐτοῦ τέκνων.

Pag. 219. l. 1282. Ἀλλ' ἐν σκότῳ] οἱ γὰρ τυφλοὶ, περιφερόμενοι οὐ δύνανται ὑπὸ τῆς τυφλώσεως καταμαθεῖν οὓς ἂν θέλωσιν, ἀλλ' ἄλλοις ἀντὶ ἄλλων προσέρχονται.

l. 1288. Ὄμβρος χαλάζης] ἐπειδὴ τὸ μὲν αἷμα, μέλαν, λευκὸν δὲ τὸ δάκρυον, μίγμα δὲ ἦν ἀμφοτέρων τούτων τὸ ἐξ ὀφθαλμῶν τοῦ Οἰδίποδος στάζον, πρὸς μὲν τὸ αἵματος, μέλας ὄμβρος εἶπε· πρὸς δὲ τὸ δάκρυον, ὄμβρος χαλάζης.

¶ Σχήμ. Pag. 219. l. 1306. Ὦ δεινὸν] δεινοπαθεῖ ὁ χορὸς ἐπὶ τοῖς συμβᾶσι.

l. 1309. Τίς ὁ πηδήσας] ὁ ἐπιδραμών. τὸ δὲ πᾶν οὕτως, τίς ἀπὸ τῶν δαιμόνων κατώρθωσε μείζονα τῶν μηκίστων, ἐπὶ τῇ σῇ δυστυχεῖ μοίρᾳ;

Pag. 221. l. 1323. Πᾷ μοι φθογγὰ] ἤγουν ἐν ποίῳ μέρει τῆς γῆς ἡ ἐμὴ φωνὴ διαπέχυται; οὐκ οἶδα γὰρ ὅπου τυγχάνω βοῶν.

l. 1332. Κέντρων τε τῶνδε] ἤγουν τῶν ἀλγηδόνων τῆς πηρώσεως, τὸ δὲ πᾶν οὕτως οἷα περιωδυνία τῶν ἀλγηδόνων τῶνδε εἰσέδυ με ἅμα, καὶ οἷα δηλονότι μνήμη κακῶν τῶν προτέρων.

¶ Σχήμ. Pag. 221. l. 1345. Ἐμὰ πάθεα] συνίζησις.

Pag. 223. l. 1344. Τί δή ποτ'] κατ' αἰτιατικὴν λέγεται τὸ τί. προσυπακούεται δὲ ἐν τούτοις τὸ ἐκεῖνον, κατ' ἀναλογίαν τοῦ προῤῥηθέντος. ὅτι, τί δῆτ' ἐμοὶ προσήγορον ἤγουν προσαγορευτικὸν, ἀπὸ τοῦ νῦν ἐστιν ἐμοὶ ἀκούειν σὺν ἡδονῇ· ἢ τί βλεπτὸν, ἢ ὁρατόν ἐστιν ἐμοὶ ὁρᾷν σὺν ἡδονῇ; ἢ τί στερκτὸν, ἤγουν ἀγαπητὸν, ἐστὶν ἐμοὶ ἀγαπᾷν σὺν ἡδονῇ;

l. 1361. Βροτοῖς ἐκλήθην] εἰ μὲν τὸ βροτοῖς πρὸς τὸ ἐκλήθην συνάψεις, ἀντὶ τοῦ πᾶσι τοῖς βροτοῖς νοήσεις· εἰ δὲ πρὸς τὸ νυμφίος, ἀντὶ τοῦ τῇ μητρί. τὸ δὲ ἀνοσίων παῖς, ἀντὶ τοῦ ἀνάγνων καὶ ἀκαθάρτων, καὶ μὴ κατὰ γνώμην θεῶν συνειρχθέντων.

¶ Σχήμ. l. 1368. Ὦ μὲν τάδ'] ἐπίκρισις Οἰδίποδος, ὡς καλῶς ταῦτα ἔπραξε καὶ ἀξίως τῆς αὐτοῦ ἁμαρτίας.

Pag. 225. l. 1371. Εἰς ᾅδου μολὼν] φαίνεται ἐντεῦθεν ὅτι οἱ Ἕλληνες τοιαύτην εἶχον δόξαν, ὡς εἴτε τυφλός τις, εἴτε βλέπων ἐτελεύτα, τοιοῦτος καὶ ἐν ᾅδου ἦν.

l. 1374. Ἀλλ' ἡ τέκνων] ἤγουν ἡ τῶν τέκνων θεωρία εἰς φῶς φανεῖσα, ὡς ἔφυν, ἦν ἐμοὶ ἀξία ἐπιθυμεῖσθαι, εἰς τὸ βλέπειν αὐτὴν ἐμέ. οὐδ' ἄστυ, οὐδὲ πύργος, οὐδὲ τὰ ἱερὰ ἀγάλματα τῶν θεῶν ἦσαν ἐμοὶ δηλονότι, ἄξια ἐπιθυμεῖσθαι εἰς τὸ βλέπειν αὐτὰ ἐμέ.

l. 1378. Ὁ παντλήμων ἐγὼ] τὸ ὁ οὐ πρὸς τὸ παντλήμων, ἀλλὰ πρὸς τὸ τραφεὶς συντακτέον. τὸ δὲ κάλλιστα πρὸς τὸ ἀπεστέρησα.

¶ l. 1388. Τὸ γὰρ τὴν φρ.] γνωμικόν.

l. 1389. Τὴν φροντίδ' ἔξω] ἤγουν, τὸ μὴ τῶν κακῶν φροντίδα καὶ μνήμην ποιεῖσθαι, ὃ γένοιτο ἂν ὀφθαλμῶν καὶ ὤτων οὐκ ὄντων. ὁρῶν γάρ τις καὶ ἀκούων ἀναπεμπάζει ἃ εἶδε καὶ ἤκουσε.

l. 1396. Νῦν γὰρ κακός τ' ὢν] μὴ λάβῃς τὸ τε ἀργὸν, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε, νῦν γὰρ εὑρισκόμεθα καὶ ὢν κακὸς καὶ ἐκ κακῶν.

l. 1397. Καὶ κεκρυμμένη νάπη] τὸ κεκρυμμένη διπλῶς νοητέον· ἢ διότι πᾶσαι αἱ λόχμαι οὐκ ἐμπροσθέν εἰσι τῆς ὁδοῦ, ἀλλ' ἰδίᾳ ἐν φάραγξιν, ἢ ὄρεσιν· ἢ ὅτι ἐν αὐταῖς κρυπτόμενοί τινες λῃστείαν ἐργάζονται· ἢ τὸ κεκρυμμένη, ἀντὶ τοῦ ἀκατανόητε. οὐ γὰρ ἐγίνωσκέ τις τί ἔμελλεν ἐν αὐτῇ γενήσεσθαι.

Pag. 227. l. 1404. Ἀνεῖτε ταυτὸν σπέρμα] ἀνεδώκατε, ἤγουν, ὦ μήτηρ ἡ γεννήσασά με, καὶ πάλιν ἑαυτὴν εἰς σπορὰν ἐμοὶ δοῦσα. τὸ δὲ, πατέρας, ἀδελφοὺς, διότι ἐκ μητρὸς ἐπαιδοποίησα, καὶ διότι οὓς ἔσπειρα, ἐκ τῆς αὐτῆς μητρὸς ἐγεννήθησαν.

l. 1411. Μή ποτ' εἰσόψεσθ' ἔτι] ἀντὶ τοῦ, μηκέτι ποτὲ, ἤγουν μηδαμῶς εἰς τὸ ἑξῆς ποτ' ὄψεσθε.

l. 1419. Τὸ πράσσειν] μὴ λάβῃς τὸ τὸ ἀργὸν, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε, ἀλλὰ πάρεστιν ὅδε ὁ Κρέων εἰς δέον ἐκείνων ὧν ἐπαιτεῖς· εἶτα μεθερμηνευτικὸν τοῦ εἰς δέον ἐπάγει τὸ πράσσειν καὶ τὸ βουλεύειν. καὶ ἐπειδὴ τὸ δέον ἐστὶν αἰτιατικὴ διὰ τὴν εἰς πρόθεσιν, διὰ τοῦτο καὶ τὸ αἰτιατικὸν ἄρθρον τὸ τὸ τέθειται.

¶ Σχήμ, l. 1421. Οὐχ ὡς γ.] ἄφιξις Κρέοντος καταλεοῦντος Οἰδίποδα.

¶ l. 1429. Τοῖς ἐν γένει] γνωμικόν.

l. 1431. Πρὸς θεῶν] ἐπειδὴ κακὸν Οἰδίπους τὸν Κρέοντα προλαβὼν ἐνόμισε, διὸ καὶ ἐξορίαν αὐτοῦ κατεψηφίσατο, ἤλπιζεν αὐτὸς μᾶλλον ἀποδειχθεὶς κακὸς καὶ παράνομος, ὡς οὐκ ἂν ἐθελήσῃ, εἴ τινος αὐτοῦ δεηθείη, τοῦτο πληρῶσαι· διὰ τοῦτο ἄνδρα κάκιστον ἑαυτὸν λέγει, καὶ ἀποσπάσαι αὐτὸν τῆς ἐλπίδος ἣν εἰς αὐτὸν εἶχεν.

¶ Πρὸς θεῶν] συνίζησις.

l. 1433. Πρὸς σοῦ γὰρ] μὴ λάβῃς τὸ πρὸς ἀντὶ τοῦ ὑπὲρ, ὥς τινές φασιν, ἀλλὰ λαμβάνων τὸ πρὸς ἀργὸν, οὕτω λέγε, ὃ γὰρ μέλλω εἰπεῖν, φράσω καὶ εἴπω τοῦτο σοῦ, ἤγουν εἰς σὲ συντελοῦν.

l. 1443. Οὕτως ἄρ' ἀνδρὸς ἀθλίου] τὸ οὕτως πρὸς τὸ ἀθλίου, καὶ οὐ πρὸς τὸ πεύσεσθε συναπτέον.

l. 1444. Πίστιν φέροις] βεβαίωσιν. ἤγουν ἤκουσα τί ποτε περὶ σοῦ ὁ θεὸς ἐθέσπισεν. ἐκ τούτου ἐμμένοις ἂν τῷ θεσπίσματι.

¶ l. 1445. Καὶ σοί γ' ἐπ.] αἴτησις Οἰδίποδος πρὸς τὸν Κρέοντα περὶ αὐτοῦ τῶν παίδων.

¶ Pag. 229. l. 1450. Ἀλλ' ἔα με] συνίζησις.

l. 1453. Ἵν' ἐξ ἐκείνων] ἤγουν, ἵνα πληρωθῇ τὸ βούλημ' αὐτῶν. ὅσον γὰρ τὸ κατ' ἐκείνους, ἐπ' ἀπωλείᾳ με ἔρριψαν ἐκεῖ. ἐπεὶ δ' ἀπωλλύτην εἶπεν, ἐπάγει, ἐπεὶ καὶ ἐπ' ἀπωλείᾳ ἐκεῖσε ἐρρίφθην. ἀλλ' ἐπειδὴ εἱμαρμένον ἐκ τῶν θεῶν ἦν τὰ καὶ τὰ ποιῆσαι με, οὔτε νόσος ἔμελλεν ἀφανίσαι με, οὔτε θηρίον, οὔτε λῃστής. ἔστι δὲ τὸ οὐ γὰρ καὶ τὸ μὴ, ἐκ παραλλήλου.

l. 1463. Τράπεζ' ἂν] τὸ ἄνευ καὶ τὸ χωρὶς ἐκ παραλλήλου, οὕτως, ὧν χωρὶς οὔποθ' ἡ ἐμὴ τοῦδε τοῦ ἀνδρὸς βορᾶς τράπεζα ἐστάθη. δέον δ' εἰπεῖν, ἡ τράπεζα ἐμοῦ τοῦδε τοῦ ἀνδρὸς, ἡ ἐμὴ πρὸς τὸ τράπεζα εἶπε· καὶ ἔστιν ὅμοιον τῷ, Κρήναια λειμώνων τέκνα. συντάττεται δὲ καὶ τὸ, μάλιστα μὲν χεροῖν ψαῦσαί μ' ἔασον, πρὸς τὸ, ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε τὸ δ' αἶν μοι μέλεσθαι, διὰ μέσου λέγε. ἔχει δὲ τὸ μὲν τὴν ἀπόδοσιν, πρὸς τὸ, χεροὶ δ' ἂν θιγὼν εἰ καὶ τὸ, ἴθ' ὦ ἄναξ, διὰ μέσου εἴρηται.

l. 1471. Πῶς πρὸς θεῶν] τοῦτο διὰ μέσου λάμβανε, καὶ ἔστι τοῦτο ὥσπερ δεῖγμα τῆς τούτου πρὸς αὐτὰς προθυμίας.

l. 1477. Τῆσδε τῆς ὁδοῦ] τῆς τῆς ἀρχῆς ἐπικρατήσεως, μέχρις οὗ οἱ ἐμοὶ παῖδες ἄξιοι γένωνται. ἢ οὕτω, καὶ σὲ ὁ δαίμων φρουρήσειεν ἐν τῷ βίῳ κρεῖττον ἢ ἐμέ, ἕνεκα τῆσδε ὁδοῦ, ἤγουν τῆς τῶν θυγατέρων πρὸς ἐμὲ πέμψεως.

Pag. 231. l. 1493. Τοιαῦτ' ὀνείδη] ἀκούσεται γὰρ ὅτι ὁ Λάϊος ὁ προσπταισθεὶς αὐτοῦ, οὗ γυνὴ Ἰοκάστη ἐμίγη τῷ ἰδίῳ παιδὶ, ἃ νῦν ἀπαριθμήσεται.

¶ Σχήμ. l. 1500. Ὦ τέκνα] Οἰδίποδος αὖθις ἐλεεινολογία περί τε ἑαυτοῦ καὶ τῶν θυγατέρων.

l. 1501. Χέρσους φθαρῆναι] εἰκότως φθαρῆναι εἶπε, καὶ οὐ τεθνάναι. φθορὰ γάρ ἐστιν ἀληθῶς τὸ μὴ γάμων καὶ τέκνων τυχεῖν, ἀλλ' εἰκῇ καὶ μάτην τὸν αἰῶνα διηνῦσαι (?)θεῖν.

¶ Σχήμ. l. 1502. Μενοικέως] συνίζησις.

¶ l. 1510. Σαφῶς ἐν δ' ὦ] συνίζησις.

l. 1514. Ἐξήκεις δακρύων] μετοχή ἐστιν ἐνταῦθα τὸ δακρύων. τὸ ὄνομα γὰρ ἀεὶ βραχὺ ἔχει τὸ υ· ἡ μετοχὴ δὲ δύναται καὶ μακρὸν αὐτὸ ἔχειν καὶ βραχύ· ἐνταῦθα δὲ τὸ μέτρον μακρὸν αὐτὸ ζητεῖ ἔχειν.

¶ Ἅλις ἵν'] ἐπίλογος.

¶ l. 1516. Πάντα γὰρ] γνωμικόν.

¶ l. 1521. Ἀλλὰ θεοῖς] συνίζησις.

l. 1524. Ἃ μὴ φρονῶ γὰρ] ἤγουν ἃ μὴ κατὰ νοῦν ἔχω, οὐδὲ διὰ γλώττης προφέρω. τὴν οὖν σὴν ἔξοδον ἐπεὶ ζητεῖς, καὶ αὐτὸς ἐθέλω, ἐκ τούτου τεύξῃ ταύτης.

Pag. 233. l. 1529. Καὶ γὰρ ἃ κρατήσας] λέγω δὴ τὸ τὸν Λάϊον καταβαλεῖν, ὅτε συνῆψας αὐτῷ μάχην· καὶ τὸ τὰ Σφιγγὸς εὑρεῖν αἰνίγματα.

l. 1534. Ὥστε θνητὸν ὄντα] ὥστε μηδένα ὄντα θνητὸν ὀλβίζειν καὶ εὐδαιμονίζειν τινὰ, ἐπισκοποῦντα ἰδεῖν τὴν τελευταίαν τῆς ζωῆς αὐτοῦ ἡμέραν, πρὶν ἂν περάσῃ καὶ διέλθῃ τέρμα καὶ τέλος τοῦ βίου μηδὲν ἀλγεινὸν καὶ λυπηρὸν παθών ἀλλ' ἀκέραιον τὴν εὐδαιμονίαν διασεσωσμένος. ἔστι δὲ τὸ τελευταίαν ἡμέραν, καὶ τὸ τέρμα τοῦ βίου, ταυτόν. παραφράζει δὲ τὴν τοῦ Σόλωνος ῥῆσιν. ἣν ἔφη πρὸς Κροῖσον, ὅτε αὐτῷ τοὺς θησαυροὺς ἐδείκνυ ἡ δὲ ἦν, ὡς οὐ χρὴ πρὸ τελευτῆς ἄνδρα μακαρίζειν. Ἄλλως. ὥστε χρὴ πάντα ἄνθρωπον ἐπισκοποῦντα τὴν τελευταίαν ἐκείνην ἰδεῖν ἡμέραν τοῦ θανάτου, καὶ μηδένα μακαρίζειν θνητὸν ὄντα, πρὶν ἂν ὁ τοιοῦτος τὸ τέρμα τοῦ βίου διέλθῃ μηδὲν δεινὸν πεπονθώς.

ΣΧΟΛΙΑ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ Εἰς τὴν ΑΝΤΙΓΟΝΗΝ.

¶ Σχήμ. Pag. 237. l. 1. Ω κοινὸν]

Προσφωνητικὸν τὸ προοίμιον καὶ ἐρώτησιν. ἐνταῦθα δὲ καὶ πρότασις.

¶ l. 3. Νῶϊν] συνίζησις.

¶ l. 4. Οὐδὲν γὰρ] κατασκευή.

¶ l. 7. Καὶ νῦν τι] βάσις.

l. 11. Ἀντιγόνη φίλων] μὴ λάβῃς εἰς τὸ φίλων ἔξωθεν ὑπὲρ, ἀλλὰ πρὸς τὸ μῦθος. ἐστὶν ἡ τοιαύτη γενική.

¶ Ἐμοὶ μὲν οὐδ'] δεύτερον προοίμιον κατὰ ἀπόκρισιν.

l. 15. Ἐπεὶ δὲ φροῦδος] μὴ εἴπῃς τὸ ἐπεὶ ἀντὶ τοῦ ἀφ' οὗ, ἀλλ' ὃν τρόπον λέγομεν, ἐπεὶ συνέβη ἐκεῖνο, γέγονε τοῦτο. οὕτω καὶ τοῦτο, ἐπεὶ δὴ ἐν νυκτὶ τῇ νῦν ὁ στρατὸς τῶν Ἀργείων ἐστὶ φροῦδος, ἤτοι ἐντεῦθεν ἀπῆρεν ἐπ' οἴκου. οὐδὲν οἶδα ὑπέρτερον καὶ ἐπέκεινα τούτου. εἶθ' ὥσπερ ἑρμηνεύουσα τὸ ὑπέρτερον, φησὶν, οὔτ' εὐτυχοῦσα μᾶλλον, οὔτ' ἀτωμένη. τοῦτ' ἔστιν, οὔτ' εἰ εὐτυχῶ μᾶλλον, οὔτ' εἰ ἀτυχῶ ἐπίσταμαι.

¶ Σχήμ. Ἐπεὶ δὲ φροῦδος] κατασκευή.

¶ l. 18. Ἤδειν καλῶς] προκατάστασις.

l. 20. Καλχαίνουσ' ἔπος] τὸ καλχαίνω ἐκ μεταφορᾶς τοῦ κόχλου τοῦ τὴν πορφύραν ἐντὸς κρύπτοντος εἴρηται· κάλχη γὰρ ὁ κόχλος. εἰκότως δ' ἐτέθη ἡ λέξις· ὥσπερ γὰρ ἡ πορφύρα ἐντὸς οὖσα τοῦ κόχλου ἐν ἀφανεῖ ἐστιν, ἢ καὶ ὅτι πρὸς τὸ σκοτεινὸν καὶ μελάντερον χρωματίζεται, οὕτω καὶ ὃν αὐτὸς ἔμελλεν εἰπεῖν λόγον, μήπως ἐκφανθεὶς ἄγνωστος καὶ σκοτεινὸς ἦν.

l. 21. Οὐ γὰρ τάφου] τὸ τάφου οὐ πρὸς τὸ προτίσας, ἀλλὰ πρὸς τὸ ἀτιμάσας ἐστὶν, οὕτως· ὁ γὰρ Κρέων τοῖν κασιγνήτοιν καὶ τοῖν ἀδελφοῖν ἡμῶν, τὸν μὲν, ἤτοι τὸν Ἐτεοκλέα, προτίσας καὶ προτιμήσας τοῦ Πολυνείκους ἔχει, ἤτοι θάψας· τὸν δὲ, ἤγουν τὸν Πολυνείκην, ἀτιμάσας τάφου, τοῦτ' ἔστιν ἀνάξιον καὶ ἄτιμον ταφῆς κρίνας.

¶ Σχήμ. Νῶϊν τοῖν] συνίζησις.

l. 23. Σὺν δίκῃ χρησθεὶς] οἱ λέγοντες χρησθεὶς ἀντὶ τοῦ χρησάμενος, καὶ διὰ τοῦτο τὸ σὺν ἀργὸν λαμβάνοντες, ἀμαθεῖς. τὸ δ' ἐστὶ τοιοῦτο· Ἐτεοκλῆς ὅτε πρὸς πόλεμον ἐξῄει, παρήγγειλε Κρέοντι αὐτὸν μὲν θάπτειν, Πολυνείκην δ' οὔ, εἰ τελευτὴ σφᾶς καταλήψοι. ἔστιν οὖν τὸ χρησθεὶς ἀντὶ τοῦ παραγγελθείς. καὶ μὴ εἴπῃς ὅτι τὸ χρησθεὶς, ἀντὶ τοῦ χρησμὸν δεξάμενος, λέγεται· ὥσπερ γάρ ἐστι τὸ θεσπίσαι, οὐ μόνον ἐπὶ θεοῦ, ἀλλὰ καὶ ἐπὶ βασιλέως, οὕτω καὶ τοῦτο. βασιλεὺς γὰρ ἦν ὁ παραγγείλας. σύνταξις δ' οὕτω, τὸν Ἐτεοκλέα μὲν ἔθαψε κατὰ τῆς χθονὸς σὺν δίκῃ δικαίᾳ, ὡς λέγουσιν οἱ τὰ ἐκείνου φρονοῦντες δηλονότι· χρησθεὶς καὶ παραγγελθεὶς παρ' αὐτοῦ. σὺν δίκῃ δὲ δικαίᾳ, ἐπειδὴ τὸν ὑπὲρ τῆς πατρίδος τετελευτηκότα καὶ ταφῆς ἠξιῶσθαι δίκαιον.

l. 30. Πρὸς χάριν βορᾶς] ἤγουν, ἐάν τις αὐτοῖς βορὰν χαρίσηται. ἢ τὸ πρὸς χάριν, ἀντὶ τοῦ πρὸς ἡδονήν.

l. 32. Κηρύξαντ' ἔχειν] εἰκότως εἶπε τὸ ἔχειν καὶ οὐκ εἶναι, ἐπειδὴ ἅπαξ κηρύξας, εἶχε τοῦτο κεκηρυγμένον.

l. 36. Φόνον προκεῖσθαι] οὕτω λέγει, ἢ προκεῖσθαι αὐτὸν φόνον δημόλευστον, ἢ προκεῖσθαι αὐτῷ φόνον δημόλευστον.

Pa. 239. l. 38. Εἰ τάδ' ἐν τούτοις] ἤγουν, ἐὰν

ἐὰν δ' ἐν τούτοις ᾖς ἤγουν ἐὰν οὕτως ὁρισθῇ παρὰ τοῦ Κρέοντος, τί προσθείμην ἐγὼ πλέον, λύουσα ἂν τὸν ὁρισμόν, ἢ θάπτουσα τὸν Πολυνείκην. ἔστι δὲ τὸ λύουσα, καὶ τὸ θάπτουσα, διαστροφὴ τοῦ τί προσθείμην πλέον. καὶ γὰρ τὸ μὴ τοῖς κεκελευσμένοις ὑπείκειν, ἀλλὰ παρὰ ταῦτά τι διαπράττεσθαι, ὥσπερ τις προσθήκη ἐστίν. ἰστέον δ' ὅτι τὸ ἢ σύνδεσμος, ποτὲ μὲν διαζευκτικός ἐστι, ποτὲ δὲ σημασίαν τοῦ καὶ ἔχει, ὥσπερ καὶ ἐνταῦθα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οὐκ ἂν δυναίμην ὑπὲρ τὰ διατεταγμένα ποιεῖν. τοῦτο δ' ἂν ἦν εἰ ταῦτα λύσασα ἔθαψα τὸν Πολυνείκην ὅπερ ἐμοὶ καθάπαξ ἀδύνατον.

¶ Σχῆμ. l. 49. Ὡς νῷιν] συνίζησις.

l. 50. Πρὸς αὐτοφώρων] ἐμφανεστάτων, καὶ ἃ ἐφώρασεν αὐτὸς, καὶ εἰς ἃ ἐφωράθη.

l. 52. Διπλοῦν πάθος] τοῦτο λέγει, ἢ διότι συνῆλθον ἀμφότερα, τὴν αὐτὴν μητέρα αὐτοῦ καὶ γυναῖκα γενέσθαι· ἢ ἐπειδὴ προείπεν ὅτι ὁ πατὴρ αὐτοῦ δυσκλεὴς ἀπώλετο. ὅπερ ἦν ἓν πάθος· διπλοῦν δὲ τὸ καὶ τὴν μητέρα πεπνῖχθαι. διπλασία γὰρ ἐντεῦθεν ἡ δυστυχία αὐτῷ ἐγένετο.

l. 55. Αὐτοκτονοῦντε] αὐτοὶ ἑαυτῶν φονεύειν ἀπολύοντες. ἡ γὰρ κατ' ἀλλήλων ὁρμὴ καθ' ἑαυτοῦ ἦν. τῆς γὰρ αὐτῆς φύσεως ἦσαν ἀδελφοὶ τυγχάνοντες.

l. 58. Ἐννόμου βίᾳ] ἢ τοῦ περὶ τῆς ταφῆς νόμου, ἢ τοῦ ὀφειλομένου παρὰ τῶν οἰκείων πρὸς τοὺς συγγενεῖς γενέσθαι.

l. 65. Ὡς βιαζόμεναι τάδε] μὴ εἴπῃς τὸ βιαζόμεναι ἀντὶ τοῦ βιαζόμεθα· ἀλλ' ὥσπερ φαμὲν, ὀνειδιζόμεναι τόδε, οὕτω καὶ τοῦτο.

l. 66. Τοῖς ἐν τέλει] ἤγουν τοῖς βασιλεῦσι. τέλος γὰρ τιμῶν ἡ βασιλεία, μεθ' ἣν οὐκ ἔστι περαιτέρω χωρῆσαι. ἰστέον δ' ὅτι πάντες οἱ λογοποιοὶ τοὺς ἐν τέλει βαίνοντας λέγουσι τοὺς περὶ τὸν βασιλέα.

¶ Σχῆμ. Τὸ γὰρ περισσὰ] γνωμικόν.

l. 69. Ἡδέως δρῴης μέτα] τοῦτο λέγει, ὅτι οὐκ ἀπὸ τοῦ νῦν ἀναγκάσω σε συνθάπτειν τὸν ἀδελφὸν, οὔτ' ἂν εἰ θέλοις προστρέψαι, δρῴης ἂν μετ' ἐμοῦ ἡδέως, ἀλλ' ἀηδῶς καὶ οὐ μετὰ προθυμίας. ἢ τὸ ἡδέως πρὸς τὴν Ἀντιγόνην νοητέον, οὕτω, δρῴης ἂν μετ' ἐμοῦ οὐχ ἡδέως καὶ ἀποδεκτῶς ἐμοί, ἀλλὰ κατ' ἀνάγκην, ὅτι οὐ κατ' ἀρχὰς συμβουλευθείσῃ ἐπείσθης μοι.

l. 72. Φίλη μετ' αὐτοῦ] τοῦτο οὕτως εἴποις, κείσομαι μετ' αὐτοῦ, φίλη μετὰ φίλου.

l. 73. Ὅσια πανουργήσασ'] εἰκότως εἶπε τοῦτο. λάθρα γὰρ καὶ μετὰ πανουργίας ἔμελλε τὴν ταφὴν ποιῆσαι.

Ἐπεὶ πλείων χρόνος] ἰστέον ὅτι οὕτως ἔδει εἰπεῖν, ἐπεὶ ὁ χρόνος ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω, πλείων ἐστὶν ἢ ὃν δεῖ μ' ἀρέσκειν τοῖς ἐνθάδε. νῦν δ' οὐ συνέκρινε τὸν χρόνον πρὸς τὸν χρόνον, ἀλλ' ἀνομοιογενῶς σύγκρισιν ἐποίησε χρόνου καὶ προσώπου, λέγων, πλείων χρόνος τῶν ἐνθάδε ἀνθρώπων.

Pag. 241. l. 83. Ἀλλ' οὖν προμηνύσῃς] ἰστέον ὅτι οὐ μόνον τὰ εὐκτικὰ ἐστὶν ὅτε προστακτικῶν δύναμιν ἔχοντα εὕρηται, ἀλλὰ καὶ ὁριστικὰ ῥήματα ἐπὶ μέλλοντος, ὡς ἐστὶ κἀνταῦθα, εὕροις δὲ καὶ ἀλλαχοῦ, εἰ ζητοίης.

l. 86. Σιγῶσ' ἐὰν μὴ πᾶσι] τὸ σιγῶσα οὕτω λέγει, πολλὸν καὶ κατὰ πολὺ ἔσῃ καὶ ὑπάρξεις ἐχθίων ἐμοί, ἐὰν μὴ κηρύξῃς τάδε πᾶσι σιγῶσα. ἤγουν, πλέον ἀχθεσθήσομαι σοι εἰ σιγήσῃς, καὶ οὐ πᾶσι κηρύξεις.

¶ Σχῆμ. l. 94. Ἀλλ' ἔα] συνίζησις.

l. 100. Φανὲν θῦσα] δέον οὕτως εἰπεῖν, ἡ φανεῖσα κάλλιστον φῶς, πρὸς τὸ φῶς ἔτρεψε τὴν σύνταξιν, τὸ φανὲν κάλλιστον φῶς εἰπών. καὶ ἔστιν ὅμοιον τῷ παρὰ τῇ βατραχομυομαχίᾳ, -- ξύλινον μέγαν ἐξευρόντες, Ἣν παγίδα καλέουσιν. ἰστέον δ' ὅτι τὸ ἀκτὶς, εἰ καὶ μακρὸν τῷ κανόνι εἴρηται, ἀλλ' ἐνταῦθα βραχύ ἐστιν, ὡς ἐκ τοῦ κώλου τῆς ἀντιστροφῆς ἐστὶ μαθεῖν. καὶ, οἶμαι, διὰ τὸ ἐπὶ κλητικῆς ἐνταῦθα λαμβάνεσθαι, συστέλλεται, ἡ γὰρ κλητικὴ ποτὲ μὲν τὸν ἴσον χρόνον ἔχει τῆς εὐθείας αὐτῆς, ποτὲ δ' ἐλάττονα.

l. 104. Διρκαίων ὕπερ] διὰ τὸ ἐν Δίρκῃ παρακεῖσθαι τοὺς πολεμίους, διὰ τοῦτο ὑπὲρ Διρκαίων ῥεέθρων καλλίστην φανῆναι τὴν ἡμέραν φησὶν ἀπαλλαγέντων τῶν παρακειμένων. νόει δὲ πρὸς τὸ ἐφάνθη, τὸ κάλλιστον, ἀπὸ κοινοῦ· τὸ δὲ μολοῦσα, πρὸς τὸ σημαινόμενον.

l. 110. Ὃν ἐφ' ἡμετέρᾳ γᾷ] δέον οὕτως εἰπεῖν, ὃν ἐφ' ἡμετέρᾳ γᾷ ἤγαγε Πολυνείκης, ὁ δ' αἴτιος αὐτὸν παρεικό-

σας

σας, πρὸς τοῦτο καὶ τὴν σύνταξιν ἔτρεψεν. αἰετοῦ γάρ ἐστι τὸ ὑπερίπτασθαι. τὸ δ᾽ ὂν ἐφ᾽ ἡμετέρα γᾶ, ἀσύντακτον εἴασε. διὰ τοῦτο καὶ τὸ ἐς γᾶν πάλιν τέθεικεν. εἰκότως δὲ τὰς ἀσπίδας παρείκασε πτέρυξι. σχῆμα γὰρ πτερύγων ἐπέχουσι τῷ φέροντι. ἐτήρησε δὲ τὴν τροπήν· αἰετοῦ γὰρ αἱ πτέρυγες. παράδειγμα δὲ τοῦ ὂν ἐφ᾽ ἡμετέρα γᾶ, τόδε παρὰ Θουκυδίδῃ, Τῶν δ᾽ Ἀθηναίων· ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα, καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα εἰς τοὺς Λακεδαιμονίους εἶναι. ἔστιν οὖν τὸ τῶν Ἀθηναίων ἀναπόδοτον.

Pag.243. l.124. Αἱμάτων γένυσι] ἰστέον ὅτι πρὸς τὸ αἰετὸς εἶπε τὸ γένυσι. καὶ τὸ στόμα δ᾽ αὐτοῦ ἑπτάπυλον εἶπεν, ἀπὸ τοῦ ἄστεος ἑπταπύλου ὄντος· ἢ διό τι ἑπτὰ στρατηγοῖς περιέλαβεν αὐτό. τινὲς δὲ τὸ ἑπτάπυλον στόμα πρὸς τὸ ἄστυ νοοῦσι, τὸ ἑπτὰ πύλας καὶ στόματα ἔχον.

l. 131. Ζεὺς γὰρ μεγάλης] αὕτη ἡ κατασκευή ἐστι πρὸς τὸ ἔβα. τὸ δὲ, τοῖος ἀμφὶ νῶτ᾽ ἐτάθη, ἕως τοῦ δράκοντι, διὰ μέσου.

l. 134. Χρυσοῦ καναχῆς] τοῦτο ἢ πρὸς τὸ πολλῷ ῥεύματι συνάπτεον, οὕτως, ἐν πολλῷ ῥεύματι καναχῆς καὶ κτύπου χρυσοῦ προσερχομένους, ἤγουν μετὰ μεγάλης καὶ πλουσίας παρασκευῆς· ἢ πρὸς τὸ ὑπεροπτίας, οὕτως, ὑπέρφρονας χρυσοῦ καναχῆς. ἤτοι χρυσοῦ περιφραστικῶς· τοῦτ᾽ ἔστιν ὑπὲρ χρυσὸν σοβοῦνται. οὐχ ὅτι ἐστὶν ὁ χρυσὸς αὐτὸς καθ᾽ ἑαυτὸν σοβαρός (πῶς γὰρ, ἄψυχος ὕλη οὖσα;) ἀλλ᾽ ὅτι τοὺς ἔχοντας ποιεῖ τοιούτους. ἰστέον δ᾽ ὅτι διὰ πάντας τοὺς Ἀργείους πρότερον εἰπὼν, πρὸς τὸν Καπανέα τὸν λόγον ἔτρεψεν· οὗτος γὰρ κεκεραύνωται. καὶ ἔστιν ὅμοιον τῷ παρὰ Θουκυδίδῃ. ἐκεῖνος γὰρ περὶ τῶν Ἀθήνηθεν νεῶν τὸν λόγον ποιούμενος, ἔτρεψε τὸν λόγον πρὸς τοὺς αὐτῶν στρατηγούς. Ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παραγενόμεναι τοῖς Κερκυραίοις, εἴ που πιέζοιντο, φόβον μὲν παρεῖχον, μάχης δ᾽ οὐκ ἦρχον δεδιότες οἱ στρατηγοὶ τὴν πρόρρησιν τῶν Ἀθηναίων. βαλβὶς δὲ καὶ ἀφετηρία, ἡ ἀρχὴ τοῦ δρόμου· ἐνταῦθα δὲ βαλβίδων λέγει τῶν τειχῶν, ἐφ᾽ ὧν παρὰ μικρὸν ἂν ἐπιβὰς Καπανεὺς, εἰ μὴ κεραυνῷ ἐπεσχέθη, ἔμελλε δραμεῖσθαι πρὸς πᾶσαν τὴν πόλιν νικητὴς αὐτῆς.

l. 147. Εἶχε δ᾽ ἄλλᾳ τάδε] ἤγουν, τὰ πράγματα δὲ τάδε ἦν ἀλλοιοτρόπως ἔχοντα, ἃ τότε συνέβαινεν. ἡμᾶς γὰρ περιβαλεῖν κακοῖς βουλόμενοι, αὐτοὶ τούτοις ἐνέπεσον. ἄλλα γὰρ κακὰ ἐπ᾽ ἄλλοις κακοῖς δηλονότι ἐπινώμα καὶ ἐπιφορεῖ ταράσσων τὰ πράγματα ὁ Ἄρης. οὕτως οὖν χρὴ γράφειν, ἄλλῃ καὶ ἐπ᾽ ἄλλοις, (ὡς καὶ ἐν τινὶ τῶν παλαιῶν βιβλίων εὕρηται) καὶ οὕτω συντάσσειν ὡς εἴρηται.

l. 149. Ἄρης δεξ.] τοῦτο εἴρηται ἀπὸ μεταφορᾶς τοῦ δεξιοῦ πρὸς τῷ ἅρματι ἵππου.

l. 151. Ζηνὶ τροπαίῳ] ἤγουν τῷ τροπὴν αὐτῶν ποιήσαντι Διΐ. ἡμεῖς γὰρ σκυλεύσαντες αὐτοὺς, ἀνεθήκαμεν τὰ ὅπλα αὐτῶν αὐτῷ. εἰκότως δὲ τὰ αὐτῶν ὅπλα τέλη ἐκάλεσεν. ὥσπερ γὰρ ἀναγκαίως καὶ ὀφειλομένως τὰ τέλη δίδονται, οὕτω καὶ αὐτοὶ διὰ τὸ ἄξιοι εἶναι δίκην διδόναι τῆς μεγαλαυχίας, ὥσπερ ἐχρεώστουν τὰ αὐτῶν ὅπλα τοῖς θεοῖς ἀναθεῖναι.

l. 152. Πλὴν τοῖν στυγεροῖν] οὗτοι γὰρ εἰ καὶ ἀπέθανον, ἀλλὰ διότι οὐ διεκρίθη αὐτῶν ἡ νίκη, διὰ τοῦτο οὐκ ἀνετέθη τὰ ὅπλα αὐτῶν τοῖς θεοῖς.

Pag. 245. l. 159. Τῶν νῦν θέσθε] ἤγουν ἐκθέσθε καὶ ποιήσατε λησμοσύνην τῶν πολέμων τῶν νῦν. συνάπτει δὲ τὸ ἐκ πρὸς τὸ θέσθε.

¶ Σχήμ. l. 160. Θεῶν δὲ ναοὺς] συνίζησις.

l. 162. Ἐλελίχθων] ἤγουν ὁ κινῶν διὰ τῶν χορῶν τὰς Θήβας. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ πολισσοῦχοι χθονός.

l. 167. Προὔθετο λέσχην] λέσχη κυρίως ἡ πολυλογία. ἐπεὶ δὲ τῇ βουλῇ πολλῶν λόγων δεῖ, διὰ τοῦτο λέσχην τὴν βουλὴν νῦν καλεῖ.

l. 172. Τοῦτ᾽ αὖθις] δέον εἰπεῖν, τοῦτο δ᾽ αὖθις, ἀσυνδέτως εἶπε, καὶ ἔστιν ὅμοιον τῷ, --κἀδόκει μὲν ἔσθ᾽ ὅτε Δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων, Οἷ᾽ ἄλλοτ᾽ ἄλλον ἐμπίπτων στρατηλατῶν.

¶ Σχήμ. l. 169. Ἄνδρες, τὰ μὲν] δημηγορία Κρέοντος πρὸς τὸν χορὸν τὴν προστασίαν λαβόντος τῆς πόλεως.

l. 179. Γένους κατ᾽ ἀγχιστεῖα] τὸ ἀγχιστεῖα οὐδέτερόν ἐστιν ἀντὶ τοῦ ἀγχιστείαν καὶ συγγένειαν. καὶ ἔστιν ὅμοιον τῷ γνῶμα, ἤγουν γνωμάτευμα καὶ νοῦν. ὥς ἐν τούτῳ τε εὕρηται ἔχον, Ἔχοις ἂν γνῶμα μὴ πειρωμένη· καὶ ἐν Εὐριπίδῃ, Ὡς ἐν δὲ πᾶσι γνῶμα ταυτὸν ἐμπρέπει.

¶ Σχήμ.

¶ Σχῆμ. l. 180. Ἀμήχανον δὲ] γνωμικόν.

l. 182. Ἐντελὴς φανῇ] φησὶ γὰρ Βίας ὁ Πριηνεὺς, Ἀρχὴ ἄνδρα δείξει.

Pag. 247. l. 211. Αἰκισθέντ' ἰδεῖν] τοῦτο καθ' ὅλον καὶ μέρος· τὸ μὲν αἰκισθέντα, ὅλον, τὸ δὲ δέμας, μέρος.

¶ Σχῆμ. l. 216. Σοὶ ταῦτ' ἀρ.] συγκατάθεσις τοῦ χοροῦ ἐπὶ τοῖς ῥηθεῖσιν.

l. 223. Ἐπεντέλλοις ἔτι] τοῦτο οὕτως εἴποις, τί δῆτα ἐντέλλοις ἂν καὶ προστάξειας ἡμῖν ἔτι καὶ εἰς τὸ ἑξῆς τοῦτο ὃ μέλλεις εἰπεῖν ἐπ' ἄλλῳ; ἤγουν ἐπὶ τῷ προρρηθέντι. ἄλλο δὴ ἐπ' ἄλλῳ ὀφείλων εἰπεῖν, τοῦτο εἶπεν.

¶ Σχῆμ. Pag. 249. l. 228. Ἄναξ, ἐρῶ μὲν] ἄφιξις τοῦ φύλακος ἀγγέλλοντος ὡς ἐπέβαλέ τις ἐπὶ τῷ Πολυνείκει κόνιν.

l. 230. Πολλὰς γὰρ ἔσχον] ἤγουν πολλαὶ φροντίδες ἐπέστησαν καὶ ἐπῆλθον ἐμοὶ ἀναχωρήσεως. τὸ δὲ, κυκλῶν ἐμαυτὸν ὁδοῖς, ἢ ἀντιστρέφων ἐμαυτὸν εἰς ἀναχώρησιν ἐν ταῖς ὁδοῖς, δι' ὧν ἐπορευόμην· ἢ ἐν ὁδοῖς καὶ ἀναπολήσεσι κυκλῶν ἐμαυτὸν, τοῦτ' ἔστι κατὰ νοῦν στρέφων τὴν ἀναχώρησιν.

¶ Σχῆμ. l. 249. Τὰ δεινὰ] γνωμικόν.

¶ l. 255. Οὐκ οἶδ'] διήγησις.

l. 262. Λεπτὴ δ' ἄγος] ἰστέον ὅτι οἱ ἐκβεβλημένοι νεκροὶ καὶ μὴ τάφου τετυχηκότες, δοκοῦσι τοῖς ὁρῶσιν ὡς ἐναγεῖς μὴ ταφῆς ἠξιῶσθαι· καλυφθεὶς οὖν Πολυνείκης τῇ κόνει, τὸ δοκεῖν ἐναγὴς εἶναι ἐξέφυγεν.

l. 263. Σημεῖα δ' οὔτε θηρὸς] πολλάκις γὰρ καὶ κύνες καὶ λέοντες καὶ ἄρκτοι σπαράξαντές τι ζῶον καὶ καταβρώξαντες ὅσον ἠβούλοντο, τὸ λοιπὸν κατέχωσαν εἰς δευτέραν τράπεζαν αὐτοῖς γενησόμενον.

l. 266. Φύλαξ ἐλέγχων φύλακα] ἐπειδὴ γὰρ οἱ λόγοι τῶν φυλάκων ἦσαν, διὰ τοῦτο πρῶτον εἶπε λόγοι, εἶτα φύλαξ ἐλέγχων φύλακα εἶπε. καὶ ἔστιν ὅμοιον τῷ παρὰ Θουκυδίδῃ. ἐκεῖνος γὰρ περὶ τῶν Ἀθηναίων νηῶν τὸν λόγον ποιούμενος, πρὸς τὸν αὐτῶν στρατηγὸν μετέβη, οὕτως εἰπὼν, Ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παραγενόμεναι τοῖς Κερκυραίοις, εἴ πη πιέζοιντο, φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δ' οὐκ ἦρχον. δεδιότες οἱ στρατηγοὶ τὴν πρόρρησιν τῶν Ἀθηναίων.

Pag. 251. l. 280. Πάλαι καθαιρεῖ] εἰκότως εἶπε τὸ καθαιρεῖ κίνδυνον γὰρ παρὰ τοῦ Κρέοντος ἐδόκει αὐτῷ ἡ ἀγγελία ἐνεγκεῖν. ἢ ἐπειδὴ πρότερον μὲν ἀκαμπὴς ἦν, καὶ οὐκ ἐβούλετο τοιαῦτα ὑπηρετεῖν, ὕστερον δὲ ὑπὸ τοῦ πάλου ταύτην τὴν γνώμην κατέβαλε, καὶ ἄκων εἰς τοῦτ' ἐχώρησεν.

¶ Σχῆμ. l. 282. Στέργει γὰρ οὐδ'.] γνωμικόν.

¶ l. 285. Παῦσαι πρὶν ὀργῆς] δημηγορία Κρέοντος μετ' ὀργῆς.

l. 287. Λέγεις γὰρ οὐκ] ἢ τὸ, δαίμονας λέγων πρόνοιαν ἴσχειν, διὰ μέσου· τὸ δὲ, λέγεις οὐκ ἀνεκτὰ, πρὸς τὸ, τοῦ δε τοῦ νεκροῦ πέρι· ἢ πρὸς τὸ, λέγεις οὐκ ἀνεκτὰ ὑποστικτέον.

l. 294. Οὐκ ἔστιν· ἀλλὰ ταῦτα] τὸ ταῦτα ἢ ἀντὶ τοῦ τὴν Πολυνείκους ταφὴν νοητέον, ἵν' ᾖ τὸ μόλις φέροντες, ἀντὶ τοῦ οὐ προφανῶς ἀλλὰ συνεσταλμένας προτείνοντες· ἢ ἀντὶ τοῦ, ἃ περὶ Πολυνείκους ἐθέασασθε, ἵν' ᾖ τὸ μόλις φέροντες, ἀντὶ τοῦ δυσχερῶς καὶ βαρέως ταῦτα δεχόμενοι.

¶ Σχῆμ. Πάλαι πόλεως] συνίζησις.

¶ l. 300. Οὐδὲν γὰρ ἀνθρ.] γνωμικόν.

l. 301. Κακὸν νόμισμ' ἔβλαστε] εἰκότως εἶπε τὸ νόμισμα. ἐκ νόμου γὰρ πάντα ἐτάχθησαν ἐνεργεῖσθαι.

l. 304. Ἱστασθαι βροτῶν] τὸ βροτῶν πρὸς τὸ φρένας συναπτέον, ἢ πρὸς τὸ πράγματα, οὕτω, πρὸς αἰσχρὰ πράγματ' ἐλθεῖν βροτῶν, ἤγουν πρὸς δυστυχίας καὶ ἀφανισμούς.

¶ Σχῆμ. Pag. 253. l. 323. Ἐκ τῶν γὰρ] γνωμικόν.

l. 333. Ἦ δεινὸν] ἢ καὶ ὄντως, ἐὰν δοκῇ καὶ ὑπολαμβάνῃ τις κατὰ τινός τι, δεινὸν καὶ χαλεπὸν ὑπάρχει καὶ τὸ δοκεῖν καὶ τὸ ὑπολαμβάνειν ψευδῆ. δέον δ' εἰπεῖν, καὶ ἐὰν δοκῇς, ψευδῆ δοκεῖν εἶπε· καὶ εὕροις πολλὰ τοιαῦτα ἑτέρως σχηματιζόμενα, καὶ οὐ πρὸς τὴν ἔμπροσθεν σύνταξιν. λέγει δὲ τὸ ψευδῆ δοκεῖν, διὰ τοῦτο ὅτι καὶ ἡ ψευδὴς δόξα οὐ τοσοῦτον λυπεῖ, ἀλλ' ὅλως τὸ δοξάζειν κακόν ἐστιν.

¶ Σχῆμ. l. 336. Τὰ δεινὰ κέρδη] γνωμικόν.

l. 337. Ἀλλ' εὑρεθείη] τοῦτο ἀρχόμενος ἀπιέναι ἔλεγε μὴ ἀκούοντος Κρέοντος. εἰ γὰρ ἂν, κατὰ νώτου πολλὰς ἐδέξατο.

l. 342. Πολλὰ τὰ δεινὰ] ἤγουν σοφὰ καὶ πανοῦργα. λέγει δὲ τοῦτο ὁ χορὸς διὰ τὸν λάθρα θάψαντα Πολυνείκην, καὶ μὴ γνωσθέντα ὅστις ἦν. l. 349.

l. 349. Αφθιτον ἀκαμάτων] σωύαπτε τὸ ἀκαμάτων πρὸς τὸ θεῶν, ἤγουν τῶν ἀκαμάτων καὶ ἀπαύστων καὶ ἀϊδίων θεῶν. τὸ εἱλομένων δὲ ἀντὶ τοῦ τῶν ἀπ᾽ ἔτους εἰς ἔτος κινουμένων ἀροτρειῶν ἀρότρων. εἱλομένων δ᾽ εἶπεν, ἐπειδὴ ὥσπερ κύκλου τινὸς τοῦ χρόνου διερχομένου, κατὰ τὸν αὐτὸν ἀεὶ καιρὸν κινοῦσι πρὸς τὸ ἀροῦν ἄροτρα, ὥσπερ δὴ καὶ πρὸς τὸ θερίζειν δρέπανα, τὰ μὲν ἐν χειμῶνι, τὰ δ᾽ ἐν θέρει. ἱππείῳ δὲ γένει φησὶν, ἐπειδὴ οὐ μόνον βουσὶν, ἀλλὰ καὶ ἵπποις καὶ ἐν ἑτέροις τόποις ἀροῦσιν ὥσπερ καὶ ἀκοῦσιν.

Pag. 255. l. 362. Αγετ᾽ ἀμφίλοφον ζυγὸν] ἤγουν κατ᾽ ἄμφω τὰ μέρη ἐπαυχενίσματ᾽ ἔχοντα. ἢ τὸ περικείμενον τοῖς λόφοις καὶ τραχήλοις τῶν ζώων.

l. 366. Οργὰς ἐδιδάξατο] εἰκότως εἶπεν ὀργάς. οἱ γὰρ μὴ πειθόμενοι τοῖς νόμοις χαλεπῶν αὐτῶν πειρῶνται. τὸ δ᾽ ἐδιδάξατο, οἱ ῥήτορες μὲν ἀντὶ τοῦ εἰς διδασκάλους ἔπεμψε, χρῶνται· (φησὶν γὰρ Ἀριστείδης, Οὐκ ἐδιδάξατο τοὺς παῖδας, ἀλλ᾽ ἐδίδαξεν αὐτός. καὶ Ἀριστοφάνης, Εδιδαξάμην μέντοι σε νὴ Δί᾽. ὃ μέλει Τοῖσι δικαίοις ἀντιλέγειν) νῦν δὲ, ἀντὶ τοῦ ἐφεῦρε τὸ ἐδιδάξατο κεῖται.

l. 376. Τέχνας ὑπὲρ ἐλπίδ᾽ ἔχων] τὸ τέχνας οὐκ ἔστι γενικὴ, ὡς οἴονταί τινες, ἀλλ᾽ αἰτιατικὴ· οὕτως, ἔχων τὸ μηχανόεν, καὶ ἐφευρίσκειν τέχνας. τοῦτ᾽ ἔστι, τὸ μηχανᾶσθαι καὶ περινοεῖν τέχνας σοφὸν ὑπὲρ ἐλπίδα.

l. 377. Καὶ γὰρ ποτὲ] οὕτω χρὴ γράφειν τὰ παρόντα κῶλα, καὶ γὰρ ποτὲ μὲν κακὸν, ἄλλοτ᾽ αὖθις δ᾽ ἐπ᾽ ἐσθλὸν ἕρπει, ἵν᾽ εἶεν ὅμοια τοῖς τῆς στροφῆς κώλοις. ἐνταῦθα δὲ καὶ κῶλον ἦν περιττὸν τὸ στ, διὸ καὶ ἐξεβλήθη παρ᾽ ἐμοῦ. οὐ γὰρ χρὴ πλείονα κῶλα τὴν ἀντιστροφὴν ἔχειν τῆς στροφῆς.

l. 381. Οτῳ τὸ μὴ καλὸν] ἤγουν, ὅστις διὰ οἰκείαν κακίαν ἀμέτοχός ἐστι τῶν καλλίστων, καὶ οὐ κατὰ νόμους καὶ θείαν βούλησιν φέρεται. τοῦτο δὲ λέγει διὰ τὸν θάψαντα Πολυνείκην. εἰς τοῦτο γὰρ φέρει καὶ τὸ τόλμης χάριν. ἐκ δὲ τούτου πίστιν καὶ ἀσφάλειαν ἑαυτῷ περιποιεῖται ὁ χορὸς πρὸς τὸν Κρέοντα, τὰ συμφέροντ᾽ αὐτῷ φθεγγόμενος. ὕστερον δὲ ἀπορῶν, εἰς θεοὺς ἀναφέρει τὸ πρᾶγμα, καὶ δαιμόνιον τέρας φησὶ τὴν ταφήν.

¶ Σχήμ. Pag. 257. l. 395. Η δ᾽ ἐξ᾽ ἐκείνη] ἄφιξις αὖθις τοῦ ἀγγέλου μετὰ τῆς Ἀντιγόνης.

l. 404. Ἀλλ᾽ ἡ γὰρ ἐκτὸς] σωύαπτε τὸ ἀλλὰ πρὸς τὸ ἥκω· τὰ λοιπὰ δὲ διὰ μέσου λέγει. τὸ δ᾽ ἐκτὸς καὶ παρ᾽ ἐλπίδας, ἐκ παραλλήλου.

¶ Σχήμ. Η γὰρ ἐκτὸς] γνωμικόν.

¶ l. 418. Τοιοῦτον ἦν] διήγησις ὅπως εὗρον τὴν Ἀντιγόνην κλαίουσαν τὸν νεκρόν.

l. 428. Καὶ τότ᾽ ἐξαίφνης] ἡ σωύταξις, καὶ τότ᾽ ἐξαίφνης ὁ τυφὼς (ἔστι γὰρ στρόβιλον καὶ καταιγίδος ἔφορος ἐστὶν) ἀείρας καὶ ἐπάρας σκηπτὸν καὶ στροβιλώδη ἄνεμον, ἄχος καὶ λύπην οὐράνιον καὶ ἀερώδη (λυπηρὸς γὰρ ἡμῖν ἐστὶν ὁ ἄνεμος, ὅταν πνεύσῃ) πίμπλησι καὶ γεμίζει τὸ ἐκεῖ πεδίον ὕλης πεδιάδος, ἤγουν τοῦ ἐν γῇ συρφετοῦ· αἰκίζων καὶ μαστίζων πᾶσαν φόβην καὶ τρίχωσιν χθονὸς, βοτάνας λέγω καὶ δένδρα. ἐμεστώθη δὲ πᾶς ὁ ἀὴρ σὺν τῷ πεδίῳ, καὶ ἔστι τοῦ ἐκ γῆς συρφετοῦ πεπλήρωται.

¶ Σχήμ. Pag. 259. l. 434. Ορνιθος] παράδειγμα.

l. 435. Εὐνῆς νεοσσῶν] ἐπειδὴ τὸ λέχος καὶ τὸ εὐνῆς ταυτόν ἐστι, (λέχος γὰρ εὐνῆς, ἡ εὐνή ἐστι, καὶ τὸ κενῆς, καὶ τὸ ὀρφανὸν, ταυτόν ἐστι) πρὸς μὲν τὸ εὐνῆς, τὸ κενῆς λέγει· πρὸς δὲ τὸ λέχος, τὸ ὀρφανόν. μὴ στίξας δὲ εἰς τὸ φθόγγον, ἀσυνδέτως τὴν παραβολὴν ἔκφρε, πλανηθεὶς ἐκ τοῦ οὕτω δέ. ἀλλ᾽ ἡ μὲν παραβολὴ πρὸς τὸ ὄρνιθος ἔχει τὴν δύναμιν, μηδὲν ἐμποδιζομένη, τοῦ οὕτω δὲ λειπόντος· τὸ δὲ οὕτω δὲ, διὰ τοῦτο ἐπέφερεν ἵνα σωύδεσμον τῆς ἐφεξῆς ἐννοίας ποιήσῃ. καὶ ἔστιν ζῆλος ὁμηρικός.

¶ Σχήμ. l. 447. Τὸ μὲν γὰρ] γνωμικόν.

¶ l. 451. Σὲ δὴ] ἐρώτησις Κρέοντος πρὸς Ἀντιγόνην.

¶ l. 460. Οὐ γάρ τι] ἀπόκρισις Ἀντιγόνης.

l. 461. Τῶν κάτω θεῶν] ἤγουν τὸ δίκαιον ὅπερ ἡ Περσεφόνη καὶ ὁ Πλούτων παρὰ τῶν ζώντων κομίζουσι· λέγω δὴ τὸ θάπτεσθαι αὐτοὺς θανόντας.

l. 464. Ως᾽ ἄγραπτα] ἤγουν τὰ τετυπωμένα καὶ νενομοθετημένα, παρ᾽ ὅσον οἱ περὶ τῆς ταφῆς τῶν νεκρῶν νόμοι ἄγραφοί εἰσι. τὸ δὲ θνητὸν ὄντα, ἢ πρὸς τὸν Κρέοντα νόει, οὕτως, ὥστε ὑπερδραμεῖν καὶ ὑπερβῆναί σε τὰ νόμιμα τῶν θεῶν ὄντα

 θνητὸν,

θνητὸν, τοῦτ' ἔστι, κρείττονα τῶν θεῶν φανῆναι, διὰ τὸ μὴ δύνασθαί τινα ὑπὸ τοῦ φόβου ἃ προστάττουσιν ἐκεῖνοι ποιεῖν. ἢ τὸ θνητὸν ὄντα, ἀντὶ τοῦ τινὰ ἄνθρωπον· οὕτως, ὥστε ὑπερδραμεῖν καὶ ὑπερβῆναι τινὰ θνητὸν ὄντα τὰ νόμιμα τῶν θεῶν διὰ τὸν σὸν φόβον. κρεῖττον δὲ τὸ πρότερον.

¶ Σχῆμ. l. 473. Ὅστις γὰρ ἐν] γνωμικόν.

¶ Pag. 261. l. 483. Ἀλλ' ἴσθι τοι] δημηγορία αὖθις Κρέοντος μετ' ὀργῆς, καὶ κατηγορία Ἀντιγόνης καὶ Ἰσμήνης.

¶ Ἀλλ' ἴσθι] γνωμικόν.

l. 485. Περισκελῆ] τοῦτο ἢ πρὸς τὸ ἐγκρατέστατον συνάπτεον, ἢ πρὸς τὸ ὀπτὸν ἐκ πυρὸς, οὕτως, εἰσίδοις ἂν καὶ θεάσαιο τὸν ἐγκρατέστατον σίδηρον θραυσθέντα καὶ ῥαγέντα πλεῖστα καὶ κατὰ πολὺ, ὀπτὸν ἐκ πυρὸς, περισκελῆ, ἤτοι ἄγαν βαφέντα καὶ ἔντονον γενόμενον.

l. 488. Οὐ γὰρ ἐκπέλει] τὸ ἐκ, ἢ πρὸς τὸ πέλει, ἤγουν ἐκπέλει καὶ ἔξεστιν. ἢ πρὸς τὸ τῶν πέλας συνάπτε, ἤγουν ἐκ τῶν πέλας καὶ τῶν συγγενῶν.

l. 495. Εἰ ταῦτ' ἀνατεὶ] τὸ ταῦτα κράτη ἢ πρὸς τὴν Ἀντιγόνην νοητέον, ταῦτα κράτη, ἤγουν ἡ τοιαύτη ταύτης ὑπεροψία· ἢ πρὸς τὸν Κρέοντα, ἵν' ᾖ ταῦτα τὰ κράτη, ἤγουν ἡ ἐμὴ βασιλεία. τὸ δὲ ἀνατεὶ, ἀντὶ τοῦ χωρὶς βλάβης.

¶ Σχῆμ. l. 503. Φιλεῖ] γνωμικόν.

¶ l. 505. Μισῶ γε μήν.] γνωμικόν.

¶ l. 509. Τί δῆτ.] ἀπολογία Ἀντιγόνης μετ' ἐνστάσεως.

¶ l. 516. Ἀλλ' ἡ τυραννί.] γνωμικόν.

Pag. 263. l. 524. Ἐκείνῳ δυσσεβεῖ] τὸ δυσσεβεῖ πρὸς τὸ ἐκείνῳ συνάπτεον, τὸ δὲ ἐκείνῳ, ἀντὶ τοῦ διὰ τὸν Πολυνείκην θάπτεις.

l. 530. Ἀλλ' οὐχ ὁ χρηστὸς] ἢ πρὸς τὸ ἀλλὰ ἔξωθεν λάμβανε τὸ οὐχ ὑπάρχει νόμος, οὕτως, ἀλλ' οὐχ ὑπάρχει ὁ ἄνθρωπος νόμος, ἤγουν οὐδὲν νενομισμένον ἐστὶ λαβεῖν ἴσον καὶ ὅμοιον τῷ κακῷ· ἢ οὕτω, ἀλλ' οὐκ ἴσον καὶ ὅμοιον ὑπάρχει ὁ χρηστὸς ἄνθρωπος τῷ κακῷ, ὥστε λαβεῖν τὴν αὐτὴν τιμὴν δηλονότι.

l. 540. Τέγγουσ' εὐῶπα παρειὰν] τοῦτο πρὸς τὸ εἰβομένη συνάπτε. τὸ δὲ νεφέλη μέχρι τοῦ αἰχμῶτ, διὰ μέσου.

¶ Σχῆμ. l. 541. Σὺ δ' ἢ κατ'] ἐρώτησις Κρέοντος πρὸς Ἰσμήνην.

¶ l. 546. Δέδρακα τοὔργ.] ἀπόκρισις Ἰσμήνης.

Pag. 247. l. 559. Κηδεμὼν] φροντιστής. τὰ γὰρ αὐτοῦ θεσπίσματα περὶ πλείονος τῆς πρὸς τὸν ἀδελφὸν ἐπεποιήκεις τιμῆς.

l. 568. Ἡ 'ξαμαρτία] ἤγουν ἡ ἀποτυχία τῆς ταφῆς. ὥσπερ γὰρ ἐγὼ ταύτην οὐκ ἔπραξα, οὕτω καὶ σὺ ποιήσασα ταύτην καὶ γνωσθεῖσα, οὐδὲν πλέον ἐποίησας.

l. 570. Θανοῦσιν ὠφελεῖν] οὐ μόνον τὸ ὠφελεῖν αἰτιατικῇ, ἀλλὰ καὶ δοτικῇ, ὡς καὶ ἐνταῦθα εὕρηται. φησὶ δὲ καὶ Αἰσχύλος, Ὡς τοῖς θανοῦσι χρήματ' οὐδὲν ὠφελεῖ.

l. 579. Εἶσιν γυναῖ] διὰ τὸ μέτρον ἐν τῷ γυναῖ ἐξεβλήθη τὸ ι· εἰ δὲ μετὰ τοῦ ι βούλει γράφειν, ἔστω σοὶ ἀντὶ κοινῆς συλλαβῆς.

l. 592. Εὐδαίμονες, οἷσι κακῶν] ταῦθ' ὁ χορὸς λέγει διὰ τὸ τοῦ Λαΐου γένος, ὅτι εὐδαίμονές εἰσιν οἷς ὑπῆρξεν ὁ βίος καὶ ὁ τῆς ζωῆς χρόνος ἄγευστος καὶ ἀμέτοχος κακῶν. οἷς γὰρ ἂν ἀνθρώποις σεισθῇ καὶ ἀνατραπῇ καὶ δυστυχήσῃ ὁ δόμος θεόθεν καὶ ἀπὸ θεοῦ, οὐδὲν ἄτης καὶ δυστυχίας ἐλλείπει ἕρπον καὶ φερόμενον ἐπὶ τὸ πλῆθος τῆς αὐτῶν γενεᾶς· ὅμοιον ὥστε καὶ ὥσπερ οἶδμα καὶ κῦμα ποντίας ἁλὸς, κυλίνδει καὶ ἀνακυκᾷ ἐν σάλῳ καὶ ταραχῇ, βυσσόθεν καὶ ἀπὸ τοῦ βυθοῦ, θῖνα κελαινὴν, ἤγουν τὴν ἐν τῷ βυθῷ κεκρυμμένην κόνιν τὴν δυσάνεμον καὶ τὴν δυσκόλως ὑπὸ τῶν ἀνέμων ἀνατρεπομένην, ὅταν ἐν πνοαῖς θρῄσσαις καὶ θρᾳκικαῖς δυσπνόοις καὶ κακῶς καὶ ἀγρίως πνεούσαις, ἐπὶ τὸ ἔρεβος καὶ τὸ βάθος τῆς ἁλὸς, δράμῃ καὶ ἐπέλθῃ τὸ κῦμα δηλονότι.

Pag. 267. l. 610. Νῦν γὰρ ἐσχάτας] ἐσχάτην τὴν ῥίζαν νόει Ἀντιγόνην καὶ Ἰσμήνην. λέγει δὲ φάος ἐν τοῖς δόμοις τοῦ Οἰδίποδος ἀνατεῖλαι, διὰ τὸ ἀπαλλαγὴν γεγονέναι τοῦ πολέμου, καὶ τῶν πραγμάτων εἰς κατάστασίν τινα ἐλθόντων. τὸ δὲ, φοινία θεῶν τῶν νερτέρων ἀμᾷ κόνις, ἀντὶ τοῦ τὴν ἐσχάτην ῥίζαν θερίζει ὁ ᾅδης. εἰκότως δὲ τὸ κόνις τέθειται. διότι γὰρ ἐκάλυψεν Ἀντιγόνη τὸν ἀδελφὸν Πολυνείκην κόνει, διὰ τοῦτο τεθνήξεσθαι ἔμελλε. δέον δ' εἰπεῖν, ἀμᾷ δὲ καὶ θερίζει νὶν καὶ αὐτὴν, ὁ δὲ ἀσυνδέτως ἐπήγαγε, συνάπτων καὶ τὸ κατὰ πρὸς τὸ ἀμᾷ· ἤγουν καταμᾷ καὶ θερίζει καὶ καταβάλλει νὶν καὶ αὐτὴν ἡ κόνις τῶν νερτέρων θεῶν ποταπή; φοινία, ἤγουν φόνον αὐτῇ προξενοῦσα.

1.618.

l. 618. Ο παντογήρως] ἤγουν ὁ πάντας καταβάλλων. τὸ γὰρ γῆρας ὥσπερ καταβολή ἐστιν. ἢ παντογήρως, ὁ αἴδιος· χρὴ δὲ γράφειν, ἀκάματοί τε θεῶν, ἵν' ᾖ ὅμοιον τῷ τῆς ἀντιστροφῆς κώλῳ.

l. 620. Αγηρως δὲ] τοῦτο πρὸς τὸ δυνάστας συνάπτε, ἤγουν δεσπότης οὐχ ὑπὸ χρόνων γηράσκων.

l. 623. Τό, τ' ἔπειτα, καὶ τὸ μέλλον] λαμβάνει τὴν ἐπὶ ὑπὸ τοῦ ἐπαρκέσει ἐνταῦθα, ἤγουν ἐπὶ τε τὸ ἔπειτα καὶ ἐπὶ τὸ μέλλον. ἰστέον δ' ὅτι πρὸς τὸ μέλλον τέθειται μόνον τὸ ἀρκέσει. τὸ γὰρ ἔπειτα ἔμφασιν ἐνεστῶτος ἔχει. τὸ δὲ νῦν πρὸς τὸ πρόσω ἔπειτά ἐστιν. ἢ ἐπειδὴ νῦν λέγει τὸν λόγον, οὐκ ἐδέησεν αὐτῷ ἐνεστῶτα χρόνον θεῖναι· ὅπερ εἰ εἴποις, τὸ ἔπειτα ἀντὶ τοῦ μέλλον νοήσεις, ἵν' ᾖ τὸ μέλλον πρὸς τὸ ἔπειτα, μέλλοντος μέλλον καὶ χρόνου παράτασις. εἰ δὲ μή, τὸ πρὶν διπλοῦν νόει, καὶ ἀντὶ τοῦ νῦν καὶ ἀντὶ τοῦ πάλαι. τὸ γὰρ νῦν καὶ πάλαι τοῦ ἔπειτα πρότερόν ἐστι. τὸ δὲ τοῦ ἔπειτα τε, ἀντὶ τοῦ καὶ ὄν, πρὸς τὸ ἐπαρκέσει συνάπτε.

l. 625. Νόμος ὅδ' οὐδὲν ἕρπει] τοῦθ' οὕτω νόει· ὅδε ὁ νόμος, ὃν ἐπὶ τῆς ἀρχῆς τοῦ Διὸς ἔφαμεν, οὐδὲν καὶ οὐδαμῶς ἕρπει καὶ φέρεται πάμπολις καὶ παγκόσμιος τῷ βίῳ τῶν θνητῶν, ἄτερ καὶ χωρὶς ἄτης. τοῦτ' ἔστιν, ὁ περὶ τῶν θεῶν ἔφαμεν, οὐκ ἔστι περὶ ἀνθρώπων εἰπεῖν, ἀλλ' οἱ μὲν, ἀπαθεῖς καὶ ἄφθαρτοι, οἱ δ' ἄνθρωποι θνητοί καὶ παθητικοί.

l. 628. Α γὰρ δὴ πολύπλαγκτος] Αὕτη ἡ κατασκευὴ πρὸς τό, νόμος ὅδ' οὐδὲν ἕρπει, ἐστίν, εἰ καὶ ἀσαφὴς ἐκ τοῦ φανεροῦ δοκεῖ. οὕτω γὰρ νοεῖται, ὁ νόμος ὃς εἰς τῶν θεῶν οὐκ ἔστιν ἐν ἀνθρώποις, ἀλλὰ δυστυχίαις ὑποπίπτουσιν. ἐλπίσι γὰρ ἀπατώμενοι. ὡς εἰ τόδε ποιήσαιεν, καλῶς αὐτοῖς ἕξει, ποιοῦντες εἰς δυστυχίας ἐμπίπτουσιν· ὃ δὴ καὶ Ἀντιγόνη πέπονθε.

Pag. 269. l. 639. Θεὸς ἄγει πρὸς ἄταν] ἤγουν, οἱ θεοὶ ὃν βούλονται δυστυχεῖν, ἄγουσι πρὸς βλάβην, τοῦτο δὲ λέγει διὰ τὴν Ἀντιγόνην δοκοῦσαν τὸ θανεῖν ἥδιστον.

l. 645. Τάλιδος ἥκει] τάλις καὶ Αἰολεῖς ἡ ἐγγυηθεῖσα πρὸς γάμον τινί, ὥσπερ καὶ Καλλίμαχος λέγει, Αὐτίκα τὴν τάλιν παιδὶ σὺν ἀμφιθαλεῖ.

¶ Σχήμ. l. 647. Τάχ' εἰσόμ.] ἐρώτησις Κρέοντος πρὸς ἑαυτοῦ υἱόν.

¶ l. 651. Πάτερ, σός εἰ] ἀπόκρισις Αἵμονος.

Πάτερ, σός εἰμι] ἤγουν τῷ σῷ θελήματι ὑπείκω, καὶ σύ μοι τὰ βέλτιστα καὶ λυσιτελοῦντα διανοῇ.

¶ l. 654. Οὕτω γὰρ, ὦ] δημηγορία Κρέοντος καὶ παραίνεσις πρὸς τὸν υἱόν.

¶ l. 656 Πάντ' ὄπισθεν ἑστάναι] ἤγουν κατὰ πάντα τῇ τοῦ πατρὸς ἀκολουθεῖν γνώμῃ. ἐπεὶ δ' ὁ ἀκολουθῶν ὄπισθεν ἵσταται, ὄπισθεν ἑστάναι τῆς πατρῴας γνώμης εἶπεν.

¶ l. 661. Ὅστις δ' ἂν] γνωμικόν.

¶ l. 664. Μὴ νῦν ποτ'] γνωμικόν.

¶ l. 667. Τί γὰρ γένοιτ'] γνωμικόν.

¶ Σχήμ. l. 676. Ἐν τοῖς γὰρ] γνωμικόν.

Pag. 271. l. 698. Πάτερ, θεοὶ φύουσιν] τοῦτο λέγει διότι προϊὼν μέλλει εἰπεῖν ὡς ἄνομον ἡγεῖται ἡ πόλις τὸ σὸν κατὰ τῆς παιδὸς θέσπισμα, ὡσανεὶ λέγων ὡς ἐπειδὴ τὸ φρονεῖν θεόθεν ἀνθρώποις, λόγον ἂν ἔχοι καὶ τὴν πόλιν καλῶς λέγειν.

¶ Σχήμ. Πάτερ, θεοὶ φ.] προκατάστασις καὶ διήγησις ὧν κατὰ τοῦ πατρὸς ἤκουσεν Αἵμων.

¶ Θεοὶ φύουσι] γνωμικόν.

¶ Σχήμ. Pag. 273. l. 716. Ἐμοὶ δὲ, σοῦ] γνωμικόν.

¶ l. 718. Τί γὰρ πατρ.] γνωμικόν

l. 719. Η τί πρὸς παίδων πατρὶ] ἤγουν, οὐδ' ὁ πατὴρ μείζονα ἄλλην χάριν παρὰ τῶν παίδων δέχεται, ἢ εὐτυχοῦντας τούτους ὁρᾶν. συνάπτε δὲ πρὸς τὸ εὐκλείας τι ἄγαλμα· ἵν' ᾖ εὐκλείας ἄγαλμα, ἤτοι εὔκλεια.

¶ Σχήμ. l. 722. Ὅστις γὰρ) γνωμικόν.

¶ l. 727. Ὁρᾷς παραρρείθρ.] παραβολή.

l. 731. Υπείκει μηδὲν] ἤγουν ὑποχαλᾷ, ἐνδίδωσι τῇ φορᾷ τοῦ πνεύματος. τὸ δ' ὑπτίοις λέγει, ἐπειδὴ οἱ τὰς κώπας ἐλαύνοντες, πρηνεῖς νεύοντες ἐλαύνουσιν· ἀνατραπείσης οὖν τῆς νεώς, ἐξαίφνης ὕπτιοι γίνονται.

l. 735. Πρεσβεύειν πολὺ] τοῦτο ἀπὸ τοῦ Ἡσιόδου παρῴδηται, λέγοντος, Οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσει, καὶ τὰ ἑξῆς.

l. 738. Καὶ τῶν λεγόντων εὖ] μὴ λάβῃς εἰς τὸ λεγόντων, ἔξωθεν τὸ ἀπό, ἀλλὰ πρὸς τὸ μανθάνειν ἐστὶν ἡ γενική. ὥσπερ γράφομεν, ἥδε τῶν καλῶν μάθησις, οὕτω καὶ τοῦτο. ὁ γὰρ λέγων τὸ χρηστὸν, διὰ τὸ μανθάνειν δεῖ γενικῆς,

καὶ αἴτιος τοῖς ἄλλοις τούτου καθίσταται.

¶ Σχῆμ. Καὶ τῶν λέγ.] γνωμικόν.

¶ l. 741. Οἱ τηλικοίδε] τὸ σχῆμα δικανικόν.

l. 752. Ἀνδρὸς ἐστ' ἑνὸς] δεῖ γὰρ τὴν τῶν πολλῶν γνώμην περιέπειν τὸν ἄρχοντα, καὶ τοὺς πολλοὺς τὴν αὐτοῦ.

Pag. 275. l. 760. Θεῶν πατῶν] ἤγουν παραβαίνων· δεῖ γὰρ τὴν ἀρχὴν ἔννομον εἶναι, καὶ μὴ κατὰ θεῶν φέρεσθαι.

l. 763. Ο γοῦν λόγος σοὶ] ἰστέον ὅτι τὸ γοῦν ἐνταῦθα δύναμιν ἔχει τοῦ γάρ. καὶ εὕροις ἂν πανταχοῦ τῶν λογοποιῶν. εὕρηται δὲ καὶ τὸ γε μόνον ἀντὶ τοῦ γὰρ, ὡς ἔχει καὶ τὸ παρὰ Λιβανίῳ, Τοῖς μέν γε κάλλος οὐκ ἔπεστιν.

l. 767. Ἐπεξέρχῃ θρασὺς] εἰπόντος τοῦ Αἵμονος δι' ἑαυτὸν, καὶ θανοῦσα ὀλεῖ τινὰ, Κρέων δι' ἑαυτὸν τοῦτ' ἐνόησε· δέον δὲ εἰπεῖν θρασέως, θρασὺς εἶπε πρὸς τὸ ἐξέρχῃ.

l. 771. Μὴ κώτιλλέ με] ἤγουν, μὴ ἀπάτα με σὺ ἀνδράποδον, λέγων ὑπὲρ αὐτῆς ἐμοὶ δυσχεραίνειν τὴν πόλιν.

l. 775. Ὡς κατ' ὄμματ' αὐτίκα] τὸ κατ' ὄμματα καὶ τὸ πλησία ἐκ παραλλήλου.

l. 780. Μαίνῃ ξυνὼν] οὕτω τὸ μαίνῃ συντάσσων λέγε, ὡς καὶ ἵνα μαίνῃ καὶ ὀργίζῃ τοῖς θέλουσι τῶν φίλων ἐγὼ δὲ οὐχὶ θυμουμένῳ πείσομαι.

l. 782. Ἀλγήσας, βαρὺς] τὸ ἐστὶ πρὸς τὸ βαρὺς συναπτέον, οὕτως, ὁ τηλικοῦτος δὲ καὶ ὁ νέος νοῦς, ὁποῖος τοῦ Αἵμονος, ἀλγήσας καὶ λυπηθεὶς βαρύς ἐστιν.

l. 788. Ἀγων ἔρημος] Ἔθος ἦν τὸ παλαιὸν, βουλομένους καθειργνύναι τινὰ, ἀφοσιοῦσθαι καὶ βραχὺ τιθέναι τροφῆς. καὶ γὰρ ὑπενόουν καθάρσιον τὸ τοιοῦτον εἶναι. τοῦτο δὲ ἐποίουν ἵνα μὴ δοκῶσι λιμῷ ἀναιρεῖν· τοῦτο γὰρ ἀσεβές. σύνταξις δὲ οὕτω, κρύψω αὐτὴν ζῶσαν ἐν κατώρυχι καὶ ὀρύγματι πετρώδει· ἤγουν, πέτραν ὀρύξας ταύτην κατακρύψω ἄγων καὶ φέρων ἔνθα ἂν ᾖ καὶ ὑπάρχῃ ὁδὸς ἔρημος βροτῶν, ἤγουν ἔνθα οὐ διατρίβουσιν ἄνθρωποι· προσθεὶς καὶ ἔμπροσθεν αὐτῆς θεὶς τοσοῦτον μόνον τροφῆς, ὡς καὶ καθὰ ἄγος καὶ μίασμα, ἤγουν ὡς μισητῇ ἡμερινὴν αὐτῇ τροφὴν δοὺς, ὅπως καὶ ἐκφύγῃ ἡ πόλις πως καὶ κατά τινα τρόπον τὸ μίασμα καὶ τὴν ἁμαρτίαν καὶ παρὰ πάντων μέμψιν, ὡς λιμοκτονήσασα αὐτὴν ἀπώλεσε.

l. 793. Τὸ μὴ θανεῖν] τοῦτο πρὸς τὸ αἰτουμένη συναπτέον, καὶ οὐ πρὸς τὸ τεύξεται, οὕτως, κἀκεῖ τὸν ᾅδην ὃν μόνον σέβει θεῶν, αἰτουμένη καὶ ζητοῦσα τὸ μὴ θανεῖν, ἴσως τεύξεται τούτου.

l. 797. Ἔρως, ὃς ἐν κτήμασι] οὐ γὰρ μόνον ἀνθρώπων ἀλλὰ καὶ κτημάτων ἐρῶμεν, ὅθεν ἡ πλεονεξία γίνεται.

Pag. 277. l. 805. Ὁ δ' ἔχων, μέμηνεν] ἤγουν, τοῦ καθεστηκότος ἐξίσταται, καὶ κατέχειν ἑαυτὸν οὐ δύναται.

l. 806. Σὺ καὶ δικαίων] οἱ γὰρ σώφρονες καὶ δίκαιοι, οἱ μὲν ὑπὸ κάλλους γυναικῶν, οἱ δὲ ὑπὸ κτημάτων ἐπιθυμίας τὴν ἑαυτῶν φύσιν ἠρνήσαντο.

l. 810. Νικᾷ δ' ἐναργὴς] ἤγουν ὁ τῆς Ἀντιγόνης ἔρως πλέον ἴσχυσε τοῦ πατρικοῦ φίλτρου. δέον δὲ εἰπεῖν, νικᾷ ἐναργῶς, ἐναργὴς εἶπε, πρὸς τὸ ἵμερος.

l. 813. Πάρεδρος] πάρεδρον λέγει τὸν ἔρωτα τῶν μεγάλων ἐν ἀρχαῖς νόμων, ὡς κατακρατοῦντα ἀνθρώπων, καθάπερ καὶ τὰ μεγάλα παρὰ τῶν θεῶν νόμιμα.

l. 814. Ἄμαχος] πρὸς τὸ νικᾷ ἐστὶν ἡ κατασκευὴ, οὕτως, ἡ ἄμαχος γὰρ θεὸς Ἀφροδίτη ἐμπαίζει. τοῦτ' ἔστιν, ἡ τοῦ γάμου τῆς Ἀντιγόνης ἐγγύησις οὕτω διακεῖσθαι παρασκευάζει τὸν Αἵμονα.

l. 819. Παγκοίταν] εἰ μὲν τὸ παγκοίταν τὸν ᾅδην νοήσεις, ἀντὶ τοῦ πάγκοινον εἴποις· εἰ δὲ τὸν τάφον τῆς Ἀντιγόνης, ἀντὶ τοῦ εἰς ὃν ἀεὶ κοιτασθήσεται.

l. 822. Γᾶς πατρίας] πατρίας γράφε, μὴ πατρῴας. οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ οὕτως.

l. 830. Ἐπινυμφίδιος] ὁ πρέπων εἰς τοὺς νυμφίους ᾄδεσθαι.

Pag. 279. l. 832. Κλεινὴ] ἐπεὶ ἀδίκως καὶ παρὰ καιρὸν θνήσκεις.

l. 833. Κεῦθος] ὄρυγμα, ἔνθα κρυβεῖσα εἰς ᾅδην ἀφίξῃ. ξένην λέγει τὴν Νιόβην, ἢ ἀντὶ τοῦ φίλην, ὡς θυγατέρα τοῦ Ταντάλου. ἢ διὰ τὸ μὴ Ἑλληνίδα εἶναι. βάρβαροι γὰρ οἱ Φρύγες. ἢ διὰ τὸ δυστυχῆ εἶναι καθάπερ αὐτὴ, φίλην ἑαυτῆς λέγει.

l. 840. Σιπύλῳ πρὸς] Σίπυλον ὄρος ἐν Ἀσίᾳ, ὅπερ οἱ μὲν περὶ τὴν Σμύρναν εἶναί φασιν· οἱ δὲ ἀνωτέρω, ἃ νῦν Κουζινᾶς ὀνομάζεται, ἔνθα φασὶ τὴν Νιόβην κλαίουσαν τοὺς παῖδας, ὑπὸ Διὸς λελιθῶσθαι κατοικτείραντος αὐτήν.

l. 843.

l. 843. Ὀμβρῳ τακομέναν] ἤγουν, αὐτὴν τὴν Νιόβην τηκομένην καὶ δαμαζομένην ἐν ὄμβρῳ, ὥσπερ ὑπάρχει ἡ τῶν ἀνθρώπων φήμη, οὐδαμῶς λείπει ὄμβρος καὶ χιών. τοῦτ' ἔστι, λιθωθεῖσα, ὄμβρῳ καὶ χιόνι χειμάζεται.

l. 849. Θεογεννής] Τάνταλος γὰρ ὁ ταύτης πατὴρ, ἐκ Διός.

l. 863. Οἵα φίλων] ὁποία ἄκλαυτος τῶν φίλων, ἤγουν μὴ θρηνηθεῖσα ὑπὸ τῶν φίλων ἀξιωθεῖσα, ἐν οἵοις καὶ ὁποίοις νόμοις (οὐ γὰρ νενομοθέτηται οὕτωσὶ κατορύττειν) ἔρχομαι πρὸς ἔργμα τυμβόχωστον τάφου ποταινίου καὶ προσφάτου, ἤγουν πρὸς τὸν ὑπὸ γῆν κατωρυγμένον τάφον, μέτοικος. οὔτ' ἐν βροτοῖς ζῶσιν, οὔτ' ἐν νεκροῖς θανοῦσι. τοῦτ' ἔστιν, οὔτε πρὸς ζῶντας μετοικιζομένη, διὰ τὸ ὥσπερ νεκρὸς κατορύττεσθαι, καὶ αὐτίκα τεθνήξεσθαι· οὔτε πρὸς νεκροὺς, διὰ τὸ ζῶσα καὶ θανοῦσα κατορύττεσθαι. τὸ δὲ Ἰὼ δύστηνος, διὰ μέσου.

Pag. 281. l. 872. Πατρῷον ἐκτίνεις τίν'] ἤγουν, ὅσον δυστυχίας ἔμελλεν ἐκεῖνος δυστυχῆσαι, τοῦτο αὐτὴ ἀποπληροῖς τοιαύταις περιπεσοῦσα δυστυχίαις.

l. 877. Ἀμετέρου πότμου] δέον εἰπεῖν, ἡμῖν τοῖς κλεινοῖς Λαβδακίδαις, ἡμετέρου εἶπε πρὸς τὸ πότμου. ἢ οὕτως, ἐψαύσας τοῦ προπάντος καὶ ὅλου πότμου, τοῖς κλεινοῖς Λαβδακίδαις τοῖς ἡμετέροις, ἤγουν τοῦ συγγενικοῦ.

l. 895. Ἱερὸν ὄμμα] ἤγουν τὸν ἥλιον, ἢ τὸ τῆς λαμπάδος ὄμμα, ἀντὶ τοῦ τὸ τοῦ ἡλίου φῶς.

Pag. 283. l. 898. Πότμον ἀδάκρ.] τὸ ἀδάκρυτον σαφηνισμός ἐστι τοῦ, οὐδεὶς στενάξει. τὸ γὰρ παρ' οὐδενὸς στεναζόμενον, ἀδάκρυτόν ἐστιν.

l. 1000. Ἆρ' ἴσθ' ἀοιδὰς] ἆρα ἴστε καὶ γινώσκετε ὡς καὶ ὅτι οὐδεὶς ἂν παύσαιτο, εἰ χρεία εἴη, ἤγουν χρήσιμα αὐτῷ, λέγειν πρὸ τοῦ θανεῖν ἀοιδὰς καὶ γόους; τοῦτο δὲ λέγει ὀργιζόμενος τοῖς ἄγουσιν, Ἀντιγόνην, ὅτι εἴασαν αὐτὴν τοιαῦτα περὶ αὐτῆς διεξέρχεσθαι, καὶ οὐ ταχέως ἤγαγον πρὸς ὅπερ κατεδικάσθη ὄρυγμα.

¶ Σχήμ. Ἆρ' ἴσ' ἀοι.] ἐπιτίμησις Κρέοντος πρὸς ἄγοντας Ἀντιγόνην.

l. 1004. Ἀφεῖτ'] ἀφεῖτε χρὴ γράφειν, οὐκ ἄφετε, καὶ, ζῶσα τυμβεύσει. οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. τὸ ἀφεῖτε δὲ καὶ ἐν τινὶ τῶν παλαιῶν εὕρηται βιβλίων. συντάσσειν δὲ οὕτως, οὐκ ἄξετε ταχέως αὐτὴν, καὶ ἀφεῖτε μόνην ἔρημον, περιπτύξαντες ἐν τῷ κατηρεφεῖ τύμβῳ, ὡς εἴρηκα ἐγὼ, εἴτε χρὴ θανεῖν αὐτὴν, εἴτε τυμβεύσει ἐν τοιαύτῃ στέγῃ ζῶσα, ἤγουν ἐντάφιος κείσεται. ζῶσαν δὲ ὀφείλων εἰπεῖν, καὶ τυμβεύσειν, πρὸς τὴν ἄνω αἰτιατικὴν καὶ πρὸς τὸ θανεῖν, ὁ δὲ πρὸς εὐθεῖαν ἔτρεψε, τῇ τοῦ μέτρου ἀνάγκῃ. οὐ γὰρ ζῶσαν ὁ ποιητὴς ἔγραψεν, ὡς ἐν πολλοῖς τῶν βιβλίων εὕρηται, ἀλλ' οἱ συντάσσειν μὴ δυνηθέντες.

l. 1007. Τῆς ἄνω στερήσεται] ἤγουν, τοῦτο αὐτῇ ἔσται στέρησις καὶ ζημία, τὸ μετοικισθῆναι ἀπὸ τῶν ζώντων εἰς τοὺς θανόντας. δέον δὲ οὕτως εἰπεῖν, τῆς ἄνω διαίτης στερήσεται, ἐπειδὴ ἐκ τοῦ κόσμου στέρησις μετοικία ἐστὶ, μετοικίας εἶπεν. εἰ καὶ ἀγνοοῦντές τινες, τὸ μετοικίας ἀντὶ τοῦ τῆς μεθ' ἡμῶν διαγωγῆς λέγουσιν.

¶ Σχήμ. l. 1008. Ὦ τύμβος] θρῆνος Ἀντιγόνης ἐφ' ἑαυτῇ καὶ τῷ ἀδελφῷ.

l. 1011. Περσέφασσ' ὀλωλ.] Περσέφασσα ἡ Περσεφόνη, ἡ φέρουσ' ἄτας καὶ βλάβας, ὥς φησι Πλάτων ἐν Κρατύλῳ. διπλασιάζεται δὲ ἐνταῦθα τὸ σ, διὰ τὴν τοῦ μέτρου ἀνάγκην.

l. 1021. Τοῖς φρονοῦσιν εὖ] πάντες γὰρ οἱ νουνεχεῖς καὶ τὰ πράγματα ὡς δεῖ διακρίνοντες, ἠγάσαντό με τῆς περὶ σὲ σπουδῆς. συνάπτει δὲ τὸ εὖ πρὸς τὸ ἐτίμησα.

l. 1025. Τίνος νόμου] ἤγουν, τινὶ νόμῳ χαριζομένη καὶ στέργουσα καὶ ἀποδεχομένη τοῦτον, λέγω ταῦτα;

Pag. 285. l. 1045. Ἔτι τῶν αὐτῶν] τὸ ἀνέμων πρὸς τὸ ψυχῆς συνάπτε, ἵν' ᾖ, ἔτι αὐτῇ αἱ αὐταὶ κινήσεις τῶν ἀνέμων καὶ τῆς ὑπεροψίας τῆς ψυχῆς εἰσίν.

¶ Σχήμ. l. 1052. Μὴ οὐ τάδε] συνίζησις

l. 1056. Οἱ κοιρανίδαι] ἤγουν οἱ προὔχοντες τῶν Θηβαίων. ἢ κοιρανίδας λέγει τοὺς προγόνους αὐτῆς.

l. 1059. Τὴν εὐσεβίαν] οὕτω χρὴ γράφειν ἰωνικῶς, ἵν' εἴη οἰκεῖον τῷ μέτρῳ. ἐκεῖνοι γὰρ τῶν τοιούτων παροξυτόνων θηλυκῶν ὀνομάτων τὰς διφθόγγους συστέλλοντες, διὰ τοῦ ι μόνου ἐκφέρουσι παροξυτόνως. ἀλλὰ καὶ τὸ σεβίσασα ἀπὸ τοῦ σεβίζω ὀφείλεις λέγειν. οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ.

l. 1060. Ἔτλα καὶ Δανάας] παραμυθούμενος ὁ χορὸς τὴν Ἀντιγόνην, εἰς παράδειγμα τὴν Δανάην εἰσάγει, ὅτι κἀκείνην ὁ πατὴρ Ἀκρίσιος, διότι ἐν πύργῳ οὖσα ἔγκυος γέγονεν ὑπὸ Διὸς, χρυσοῦ γενομένου καὶ καταρρυέντος ἐπὶ ταύτην ἀπὸ τοῦ τέγους, ὀργισθεὶς ἐν χαλκῷ κιβωτίῳ μετὰ τοῦ παιδὸς ἐνέκλεισεν.

ἔστι

ἐστι δὲ τὸ χαλκοδέτοις αὔλαις καὶ τὸ τυμβήρει θαλάμῳ ταυτό.

Pag. 287. l. 1071. Παῖς ὁ Δρύαντος] Λυκοῦργος ὁ Δρύαντος παῖς, βασιλεὺς Μακεδόνων, τιμῶν πάντας τοὺς θεοὺς, ἀθέως διέκειτο πρὸς Διόνυσον. καὶ ἐπειρᾶτο τάς τε βάκχας αὐτοῦ καὶ τοὺς χορὺς καθαιρεῖν. ἐξενεχθεὶς οὖν ποτε εἰς πόλεμον καὶ ἥττης γενομένης, ἐπεὶ φθέγγειν ἤρξατο, συνεποδίσθη ἐν κλήματι ὑπὸ Διονύσου, καὶ ἀπορριφεὶς εἰς κρημνὸν, τὸ ζῆν ἀπολώλεκεν. ἕτεροι δὲ φασὶν ὡς λαβόντες αὐτὸν οἱ πολέμιοι συμποδισθέντα καὶ εἰς ἄντρον ἐμβαλόντες, καὶ τὴν εἴσοδον κλείσαντες, ἐλιμαγχόνησαν. ὃ καὶ κρεῖττον συνάδει γὰρ τῷ, πετρώδει δεσμῷ καταφρακτῆς. εἰ δὲ πρὸς τὸ ἄνω εἴποις τὸ πετρώδει, ἀντὶ τοῦ στερρῷ νοήσεις. λέγει δὲ τὴν Λυκούργου ἱστορίαν, οὐχ ὅτι καὶ ἡ Ἀντιγόνη ἀσεβὴς ἦν ὥσπερ ἐκεῖνος, ἀλλὰ διὰ μόνον τὸ πάθος.

l. 1076. Επέγνω μανίας] ἐπέγνω τὰς οἰκείας μανίας, ὡς εἰς κακὸν αὐτῷ ἐτελεύτησαν. λέγει ὅτι ταῦτα ἀποκερδαίνουσιν οἱ κακοὶ καὶ ἀσεβεῖς.

l. 1082. Παρὰ δὲ κυανέων] Βορέας κοῦδος συνῆψε τοῖς Ἀθηναίοις, ἁρπάσας Ὠρείθυιαν Ἐρεχθέως, ἐξ ἧς ἔσχε Ζῆθον καὶ Κάλαϊν καὶ Κλεοπάτραν· ἣν γήμας Φινεὺς δύο παῖδας ἐγέννησε, Πλήξιππον καὶ Παρδίονα. μετὰ δὲ τὸν Κλεοπάτρας θάνατον, ἐπέγημεν Ἰδαίαν τὴν Δαρδάνου, κατά δέ τινας Εἰδοθέαν τὴν Κάδμου ἀδελφὴν, ἥτις ἐξ ἐπιβουλῆς τυφλώσασα τοὺς Κλεοπάτρας παῖδας, ἐν τάφῳ καθεῖρξε ζῶντας· ἢ δι' ἐπιβουλῆς τοιαύτης κατεψεύσατο αὐτῶν πρὸς Φινέα ὡς δῆθεν πειρώντων αὐτήν. ἀπατηθεὶς οὖν Φινεὺς ἐξουσίαν αὐτῇ τούτων ἔδωκεν, ἕτεροι δὲ φασὶν ὅτι Φινεὺς ζῶσαν τὴν Κλεοπάτραν ἀπαξιώσας, τὴν Ἰδαίαν ἔγημε. Κλεοπάτρα οὖν ἀμυνομένη τοῦτον, τυφλοῖ τοὺς παῖδας αὐτῆς. ἡ σύνταξις, αἱ δὲ Βοσπόριαι καὶ Θρᾳκικαὶ ἀκταὶ τῆς ἁλὸς ἀπὸ τῶν κυανέων πετρῶν διδύμας καὶ διπλῆς, (εἰς δίχα γὰρ αἱ κυάνεαι πέτραι τὴν ἐκεῖ θάλασσαν τέμνουσιν. ἢ διότι αἱ πέτραι δύο, καὶ ἡ θάλασσα διδύμη ἐστὶ) καὶ ὁ Σαλμυδήσσιος πόταμος τῶν Θρᾳκῶν, ἵνα καὶ ὅπου ὁ Ἄρης ἀγχίπολις καὶ γείτων ἐστὶν (ἐκεῖ γὰρ τὸ ἱερὸν ἦν Ἄρεως) εἶδε καὶ ἐθεάσατο ἕλκος καὶ πλῆξιν ἀρατὸν καὶ καταράσιμον τοῖς δισσοῖς καὶ διπλοῖς Φινείδαις καὶ Φινέως παισὶ, Πληξίππῳ καὶ Πανδίονι· τυφλωθὲν ἐκ τῆς ἀγρίας δάμαρτος καὶ γυναικὸς τοῦ Φινέως τῆς Κλεοπάτρας τῆς ἑαυτῶν μητρὸς, ἢ τῆς μητρυιᾶς αὐτῶν τῆς Ἰδαίας τῆς θυγατρὸς Δαρδάνου, (ἄμφω γὰρ, ὡς εἴρηται, λέγεται) τυφλωθὲν, ἀλαὸν καὶ τυφλὸν, ἀραχθὲν καὶ πληγὲν οὐκ ἐν ἀκμαῖς καὶ ὀξύτησιν ἐγχέων καὶ ξιφῶν, ἀλλ' ὑπὸ αἱματηραῖς τε χερσὶ, καὶ ἐν ἀκμαῖς κερκίδων, ἤγουν σιδηρῶν ἀτράκτων. ἀραχθὲν ἐν τοῖς κύκλοις τῶν ὀμμάτων τοῖς ἄλαστόροις. ἐπειδὴ δ' ὁ Σαλμυδήσσιος εἰς τὰς Βοσπορείους ἀκτὰς εἰσβάλλει, διὰ τοῦτο πρὸς αὐτὸν τὴν σύνταξιν ἀπέδωκε τοῦ εἶδεν.

l. 1095. Ανύμφευτον] ἤγουν κακονύμφευτον μητρὸς γέννημα ὑπάρξαντες. δέον δ' εἰπεῖν ἀνυμφεύτου μητρὸς ἀνύμφευτον πρὸς τὸ γονὰν εἶπεν.

¶ Σχῆμ. 289. l. 1104. Θήβης ἄνακτες] ἄφιξις Τειρεσίου μέλλοντος εἰπεῖν τὰ συμβησόμενα.

¶ Σχῆμ. l. 1115. Εἰς γὰρ π.] διήγησις τινα ἦν ἃ εἶδε μαντευόμενος.

l. 1116. Οιωνοῦ λιμένα] ἤγουν συναγωγή. ἐκεῖ γὰρ συνάγων τοὺς ὄρνιθας, ὅταν τι βούλομαι μαντεύσασθαι, σκοπῶ τὴν αὐτῶν πτῆσιν καὶ τὰς φωνάς.

l. 1118. Κλάζοντας οἴστρῳ] δέον εἰπεῖν κλαζόντων πρὸς τὸ ὀρνίθων, κλάζοντας εἶπε πρὸς τὸ σημαινόμενον. τὸ γὰρ ἀκούω φθόγγον ὀρνίθων, ἀντὶ τοῦ ὄρνιθας. οἱ δὲ λέγοντες τὸ κλάζοντας πρὸς τὸ ἔγνων, ψυχροί τινές εἰσιν.

l. 1123. Μηρίων] ὅτι μετὰ τῶν μηρίων καὶ τὴν χολὴν τοῦ ζώου καὶ τὴν κύστιν παρετίθουν, ἀκριβῶς ἐν Αἰσχύλῳ εἰπομένου, εἰς τοὺς ἑπτὰ ἐπὶ Θήβαις. δέον δ' εἰπεῖν μεταρσίως καὶ καταρρυείσης τῆς πιμελῆς, μετάρσιοι εἶπε πρὸς τὸ χολαὶ, καὶ καταρρυεῖς πρὸς τὸ μηροί.

l. 1128. Οργίων] εἰκότως εἶπε τὸ ὀργίων. ὥσπερ γὰρ τὰ μυστήρια οὐδεὶς εἶδεν εἰ μὴ οἱ πεπειραμένοι, οὕτω καὶ τὰ μαντεύματα οἱ μάντεις μόνοι γινώσκοντες τοῖς ἄλλοις διασαφοῦσιν.

l. 1132. Εσχάραι τε] ἢ πρὸς τὸ παντελεῖς ὑποστικτέον, οὕτω, καὶ αἱ ἐσχάραι αἱ παντελεῖς, ἤγουν ἐν αἷς πᾶσαι αἱ θυσίαι τελοῦνται· ἢ πρὸς τὸ πλήρεις, οὕτως, οἱ γὰρ βωμοὶ ἡμῖν καὶ αἱ ἐσχάραι πλήρεις καὶ πεπληρωμέναι εἰσὶ παντελεῖς καὶ τέλειαι, τοῦ λόγου καὶ τοῦ υἱοῦ τοῦ Οἰδίποδος τοῦ πεπτωκότος καὶ πεσόντος δυσμόρου καὶ ἀθλίου. τὸ δ' ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς, ἑρμηνεία ἐστὶ τοῦ πῶς εἰσὶ πλήρεις.

l. 1136. Οὐδ' ὄρνις εὐσήμους] ἰστέον ὅτι ἑνικῶς πρῶτον εἰπὼν τὸ ὄρνις, ἐπειδὴ

ἐπειδὴ οὐχ εἷς ἦν ὁ ποιῶν τὴν βολὴν, ἀλλὰ πολλοί, πρὸς πληθυντικὸν ἀπέδωκε τὸ βεβρῶτες. εἰ καὶ ἀμαθεῖς τινες τὸ ὄρνις ἀντὶ τοῦ ὄρνιθες φασὶν, καὶ τὸ ῥοιβδεῖ ἀντὶ τοῦ ῥοιβδοῦσιν· οὐκ εἰδότες ὅτι μόνον ἐν οὐδετέροις πληθυντικοῖς τὰ ἐνικὰ τρίτα πρόσωπα τῶν ῥημάτων ἀντὶ πληθυντικῶν λαμβάνεται, ὡς ἄλλα τε πολλὰ μαρτυρεῖ, καὶ τὸ παρὰ Λιβανίῳ, Ἦρα γὰρ, φησὶ, τὰ μειράκια τοῦ γέροντος. εἰ καὶ ἐν Πινδάρῳ που εὕρηται μόνος, Ἦρα Μηδείας ἐπέων στίχες.

¶ Σχήμ. l. 1138. Ἀνθρώποισι γὰρ] γνωμικόν.

¶ l. 1140. Ἐπεὶ δ' ἁμάρτ.] γνωμικόν.

¶ Pag. 291. l. 1147. Τὸ μανθάνειν] γνωμικόν.

¶ l. 1149. Ὦ πρέσβυ] ὅτι βαρέως Κρέων τοῦ μάντεως δεξάμενος λόγον, δεινῶς κατ' αὐτοῦ φέρεται.

l. 1150. Τοξεύετ' ἄνδρες τοῦδε] μὴ λάβῃς εἰς τὸ τοῦδε ἔξωθεν ἐπὶ ἢ κατὰ, ἀλλ' ἐστὶν ἡ γενικὴ πρὸς τὸ σκοποῦ, τὸ δὲ σκοποῦ πρὸς τὸ τοξόται. οἱ γὰρ τοξόται, σκοποῦ τοξόται εἰσίν. ὦ πρέσβυ, πάντες ὡς τοξόται σκοποῦ τοῦδε τοῦ ἀνδρὸς, τοῦτ' ἔστιν ὥσπερ σκοπὸν ποιησάμενοί με, τοξεύετε.

l. 1151. Τῶνδ' ὕπαι γένυς] υἱὸς αὐτοῦ Μενοικεὺς, Τειρεσίου πρόσθεν εἰπόντος ὡς εἰ πρὸς τὸ σπήλαιον τοῦ δράκοντος ἑκὼν ἑαυτὸν ἀναιρήσει, σωτηρία ἔσται τῇ πόλει, ἀπελθὼν ἐκεῖσε, ἑαυτὸν διεχρήσατο.

l. 1153. Περὶ Σάρδεων] ἐν γὰρ τῇ Λυδίᾳ πλησίον τῶν Σάρδεων ὁ Πακτωλός ἐστι ποταμὸς ψήγματα χρυσοῦ τοῖς ἐκεῖ χορηγῶν. καλεῖ γοῦν τὸν χρυσὸν ἤλεκτρον, διὰ τὸ καθαρόν. τοιοῦτος γὰρ ὁ ἤλεκτρος. ἔστι δὲ καὶ ἐν τῇ Ἰνδίᾳ τόπος χρυσοῦ ψήγματα ἔχων, ὃν ἀνορύττουσι θηρία τινὰ, μύρμηκες καλούμενα, πτεροῖς κεχρημένα, ἀφ' ὧν οἱ Ἰνδοὶ μηχαναῖς τισι λαμβάνουσι τὸν χρυσόν.

¶ Σχήμ. l. 1159. Εὖ γὰρ οἶδ'] γνωμικόν.

¶ l. 1161. Πίπτουσι δ'] γνωμικόν.

¶ l. 1164. Φίλ'] τὸ σχῆμα δικανικόν.

l. 1169. Ἀντειπεῖν] ὥσπερ τὸ λέγω, μόνον πρὸς δοτικὴν συντάσσεται, μετὰ δὲ τοῦ κακῶς συντεθὲν, αἰτιατικῇ, οὕτως ἔχει καὶ τὸ ἀντειπεῖν, καὶ τὸ κακῶς ἀντειπεῖν. τὸ μὲν, δοτικῇ, τὸ δὲ κακῶς ἀντειπεῖν, αἰτιατικῇ.

l. 1173. Ἆρ' οἶσθα] ἄρα γινώσκεις λέγων ἡμᾶς ὄντας ταγοὺς, ἐκεῖνα ἃ λέγεις; τοῦτ' ἔστιν, ἄρα γινώσκεις οὐ τοὺς τυχόντας ὑβρίζων, ἀλλὰ βασιλεῖς;

l. 1176. Τἀκίνητα] τἀκίνητα γράφειν ἵνα εἴη μακρὸν τὸ Α ὡς ἐκ κράσεως ὄν. εἰ δ' ἄλλως γράψεις, οὐκ ὀρθὸν ἔσται.

¶ Σχήμ. l. 1180. Ἀλλ' εὖ γίγνου] προαγόρευσις ὧν μέλλει παθεῖν Κρέων.

l. 1181. Τροχοὺς ἁμιλλητῆρας] ὥσπερ ἐξ ἁμίλλης περιιόντας· λέγει δὲ τὰς ἡμέρας καὶ νύκτας. περιστρέφοντος γὰρ τοῦ οὐρανοῦ τὸν ἥλιον, ἀεὶ ἡμέρα καὶ νὺξ γίνεται.

l. 1185. Ψυχήν τ' ἀτίμως] τὸ ψυχὴν, καὶ πρὸς τὸ βαλὼν, καὶ πρὸς τὸ κατῴκισας λάμβανε κατὰ συνεκδοχήν.

Pag. 293. l. 1196. Ἐχθραὶ δὲ πᾶσαι] δέον ἐχθρῶς εἰπεῖν, ἐχθραὶ εἶπε πρὸς τὸ πόλεις. ἀπορήσειε δ' ἄν τις πῶς εἶπε συνταράττονται, καὶ οὐ συνταραχθήσονται. οὔπω γὰρ ἐταράχθησαν, ἀλλ' ἔμελλον. καὶ φαμὲν ὅτι ὁ ταραγμὸς αὐτῶν, εἰ καὶ μήπω γέγονεν, ἀλλ' ἐξότε περ εἰς αὐτὰς παρὰ κυνῶν ἢ οἰωνῶν τὰ σπαράγματα γέγονεν, ἐξ ἐκείνου τοῦ καιροῦ ἡ φθορὰ αὐταῖς ἐπεκρέματο. εἰς δὲ τὸ ὅσων μὴ λάβῃς ἔξωθεν ἐπί, ἀλλὰ πρὸς τὸ καθήγνισαν, οὕτω, καθ' ὅσων ἥγνισαν, ἤγουν μεμιασμένως ἔφερον. ἄγος γὰρ τὸ μύσος.

l. 1200. Ὥστε τοξότης] τοῦτο λέγει διὰ τὸν λόγον αὐτοῦ ὃν ἄνωθεν ἔφη, πάντες ὥσπερ τοξόται σκοποῦ τοξεύετ' ἄνδρες τοῦδε διὸ προσέθηκε καὶ τὸ βέβαια, δεικνὺς ἐντεῦθεν, ὅτι ἃ σὺ ὑπολαμβάνεις ἐξ ἡμῶν ἐπὶ σοὶ φέρεσθαι κέρδους χάριν, ψευδῶς λογίζῃ.

¶ Σχήμ. l. 1211. Ἔγνωκα καὐτὸς] μεταμέλεια Κρέοντος ἀκούσαντος τῶν λόγων τοῦ μάντεως.

l. 1212. Τό τ' εἰκαθεῖν] καὶ γὰρ τὸ εἰκαθεῖν καὶ ὑποτάσσεσθαι τῷ μάντει, καὶ θάπτειν ἐᾶν Πολυνείκην, καὶ Ἀντιγόνην ἐξελαύνειν τοῦ τάφου, δεινόν. πολλοὺς γὰρ εἰσαῦθις ὁμοίους εἶναι προτρέψαι, εἰδότας ὡς οὗτοι κακοὶ ὄντες οὐκ ἐκολάσθησαν. τὸ δ' ἀντιστάντα με αὐτοῦ πατάξαι τὸν θυμὸν αὐτοῦ ἐν ἄτῃ καὶ ἐν βλάβῃ, τοῦτ' ἔστι τὸ διὰ μάχης ἐλθεῖν με αὐτῷ, καὶ τὴν ἀναίδειαν καὶ θρασύτητα αὐτοῦ ἣν πρὸς ἐμὲ ἐνεδείξατο, τιμωρήσασθαι, ἐν δεινῷ πάρεστι. θεῖον γὰρ τὸ τῶν μάντεων γένος, καὶ οὐχ οὕτω δεῖ πρὸς αὐτοὺς ἀπαντᾶν,

παιδῶν, ἀλλὰ γεραίρειν τιμαῖς.

¶ Σχῆμ. l. 1219. Συντέμνουσι] γνωμικόν.

l. 1228. Αὐτός τ' ἔδυσα] ἤγουν ἐδέσμευσα καὶ εἰσήγαγον εἰς τὸ ὄρυγμα αὐτήν. ἢ δεσμὸν λέγει ὅνπερ εἶς τι αὐτὴν καὶ τὸν Πολυνείκην ἐκύρωσεν.

Pag. 295. l. 1230. Πολυώνυμε Καδμείας] πολυώνυμός ἐστιν ὁ Διόνυσος, ὅτι οἱ μὲν βακχεῖον, οἱ δὲ ἴακχον, οἱ δὲ εὔϊον, οἱ δὲ λύσιον, οἱ δὲ εἰραφιώτην, οἱ δὲ διμήτορον, οἱ δὲ διόνυσον, οἱ δὲ διθύραμβον αὐτὸν καλοῦσιν. ἄγαλμα δὲ Σεμέλης αὐτὸν καλεῖ, ὡς ἀπὸ ἐκείνης ἐπ' εὐδαιμονίᾳ καὶ λαμπρότητι Θηβῶν γεννηθέντα. ἐπικαλεῖται οὖν αὐτὸν ὁ χορός, φοβούμενος διὰ τοὺς τοῦ μάντεως λόγους.

l. 1238. Βακχᾶν μητρόπολιν] ἐπειδὴ ἐν Θήβαις ὁ Διόνυσος μὲν γέγονεν, αὐτὸς δὲ τὰς Βάκχας πεποίηκε, διὰ τοῦτο μητρόπολιν αὐτὴν τῶν βακχῶν λέγει.

l. 1245. Κωρύκιαι νύμφαι] Κωρύκιον ἐν Παρνασῷ ἄντρον. ἄλλοι δέ φασι πόλιν παρακειμένην αὐτῷ οὕτω καλουμένην.

l. 1248 Νυσαίων ὀρέων] Νύσα πόλις ὑπὲρ Αἰθιοπίαν παρακείμενον ἔχουσα ὄρος, ἐφ' οὗ ἐτιμᾶτο ὁ Διόνυσος.

l. 1250. Χλωρά τ' ἀκτὰ] ἤγουν ἀειθαλής, διὰ τὴν ἐκεῖ ἄμπελον τὴν καθ' ἑκάστην ἡμέραν βότρυς πεπαινομένους ἐκφέρουσαν, ὅθεν καὶ ἡ σπονδὴ τῷ Διονύσῳ. διὸ καὶ τὸν τόπον καλεῖ πολυστάφυλον, ὅς ἐστιν ἐν τῷ Παρνασῷ, ὡς Εὐριπίδης φησί. συναπτέον δὲ τὸ μὲν πέμπει, πρὸς τὸ σέ, τὸ δέ σε, πρὸς τὸ Θηβαίας ἀγυιὰς ἐπισκοποῦντα. τοῦτ' ἔστιν ἐκ Παρνασοῦ εἰς Θηβῶν χωρεῖς ἐπιτήρησιν. τὸ δὲ ἀβρότων ἐπέων εὐαζόντων, διὰ μέσου, ἀντὶ τῶν θείων ὕμνων εἰς σὲ φθομένων.

Pag. 297. l. 1264. Ὦ πῦρ] οὕτω χρὴ γράφειν, πῦρ πνεόντων ἄστρων χοραγέ, ἵν' ᾖ τὰ κῶλα ὅμοια τοῖς τῆς στροφῆς. ἀμαθεῖς γάρ τινες τῶν μέτρων τοῦτ' ἐνήλλαξαν, χορηγέ, ἄστρων γράψαντες. καλεῖ δὲ πῦρ πνέοντα ἄστρα, τὰς λαμπάδας ἃς ἐν νυκτὶ αἱ βάκχαι κατέχουσι.

l. 1266. Φθεγμάτων ἐπίσκοπε] ἤγουν ὕμνων τῶν βακχικῶν, ἐπειδὴ κατὰ τὴν νύκτα ἐγίνοντο τὰ τοῦ Διονύσου μυστήρια.

l. 1268. Προφάνηθι ξὺν Ναξίαις] ἤγουν ταῖς ἐκ Νάξου. κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος συμμιγεὶς Ἀριάδνῃ. ξὺν Ναξίαις δὲ γράφε. (οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ) καὶ, σαῖς θυίασι περιπόλοις. εἰ δ' ἄλλως γράψεις, οὐκ ὀρθῶς γράψεις.

¶ Σχῆμ. l. 1273. Κάδμου] ἄφιξις ἀγγέλου μηνύοντος τὸν θάνατον Αἵμονος.

¶ l. 1276. Τύχη γὰρ] γνωμικόν.

l. 1277. Δυστυχοῦντ' ἀεὶ] τὸ ἀεί, πρὸς τὸ ὀρθοῖ καὶ πρὸς τὸ καταρρέπει συναπτέον.

l. 1278. Καθεστώτων βροτ.] Τῶν συμβαινόντων, τῶν γινομένων, ὁποῖα ἔσται, εἰ ἀεὶ ὡσαύτως ἔχουσι.

¶ Σχῆμ. l. 1283. Τὰς γὰρ ἡδονὰς] γνωμικόν.

l. 1294. Πότερα πατρῴας] ἀπορήσειεν ἄν τις ἐνταῦθα πῶς τοῦ ἀγγέλου εἰπόντος αὐτόχειρ, ὁ χορὸς ἐρωτᾷ περὶ τοῦ φονεύσαντος· καὶ φαμέν, ὅτι οἱ δεχόμενοι ξυμφορῶν λόγους παρά τινος, ὥσπερ ἐκπληττόμενοι τῷ ἀκούσματι, οὐ πάντα τὸν λόγον ἀκριβῶς ἀκούουσιν, ἀλλὰ μόνην τὴν ἀρχὴν δεχόμενοι, αὖθις τὸν λέγοντα ἐπανέρονται.

l. 1300. Ἤτοι κλύουσα παιδὸς] μὴ λάβῃς εἰς τὸ παιδὸς ἔξωθεν τὸ περί, ἀλλὰ πρὸς τὸ κλύουσα ἐστὶν ἡ γενική. τὸ γὰρ κλύειν τοῦ παιδὸς ἦν. τοῦτ' ἔστιν ἐκεῖνος παρέσχε τοῦτο καὶ αἴτιος γέγονεν.

¶ Σχῆμ. l. 1301. Ὦ πάντες ἀστοί] ἔκπληξις Εὐρυδίκης ἐπὶ τῇ ἀκοῇ τοῦ θανάτου τοῦ υἱοῦ αὐτῆς.

Pag. 299. l. 1302. Παλλάδος θεᾶς] ἡ τοιαύτη γενικὴ τὸ Παλλάδος πρὸς τὸ ἔξοδον ἐστίν. αὕτη γὰρ ἦν ἡ τῆς ἐξόδου αἰτία. ἢ πρὸς τὸ στείχουσα ὑποστικτέον, ἵν' εἴη τὸ προσήγορος πρὸς τὸ Παλλάδος· (οὐ γὰρ μόνον τὸ προσήγορος πρὸς τὸ δεῖνα, ἀλλὰ καὶ τοῦ δεῖνος φαμέν) οὕτω, στείχουσα καὶ πορευομένη πρὸς ἔξοδον, ὅπως καὶ ἵνα ἱκοίμην καὶ ἔλθοιμι προσήγορος καὶ συνόμιλος τῆς Παλλάδος θεᾶς εὐγμάτων καὶ εὐχῶν. τοῦτ' ἔστιν, ἵν' εὐχὰς αὐτῇ προσφέρω. μὴ ξενισθῇς δὲ πρὸς τὰς δύο γενικάς, τὸ Παλλάδος καὶ τὸ εὐγμάτων. ὥσπερ γὰρ φαμέν, διδάσκαλος τῶν παίδων εἰμὶ μαθημάτων, οὕτως καὶ τοῦτο.

l. 1304. Ἀνασπάστου πύλης] ἤγουν, βεβαίως τὰ κλεῖθρα τῶν πυλῶν ἀνιέντων. οὐ γὰρ δύναμαι φέρειν τὴν ἀκοήν. δέον δὲ εἰπεῖν ἀνασπαστῶς, ἀνασπάστου πρὸς τὸ πύλης εἶπεν.

l. 1310. Ἐγώ, φίλη δέσποινα] τοῦτο

οὕτω

οὕτω συντάξεις, ὦ φίλη δέσποινα, ἐγὼ παρὼν ἐνταῦθα ἐρῶ καὶ εἴπω ὅσα δηλονότι περιέπιπτον, καὶ οὐδὲν ἔπος τῆς ἀληθείας παρήσω καὶ καταλείψω.

¶ l. 1310. Σχῆμ. Ἐγώ, φίλη] προκατάστασις καὶ διήγησις ὅπως εὗρεν τεθνηκότα τὸν Αἵμονα.

¶ l. 1313. Ὀρθὸν ἡ ἀλήθεια] γνωμικόν, καὶ συνίζησις.

l. 1314. Ἑσπόμην πόδι] ἀπορήσειεν ἄν τις πῶς τοῦ ἕπεσθαι καὶ ὁδηγεῖν ἐναντίων ὄντων, οὗτός φησιν, ἐγὼ δὲ σοῦ ποδαγὸς ἑσπόμην πόδι. καὶ φαμὲν ὅτι διὰ τοῦτο λέγει τὸ ἑσπόμην, διότι δοῦλος ἦν· οἱ δὲ δοῦλοι τῇ τῶν δεσποτῶν ἄγονται γνώμῃ. τὸ ποδαγὸς δέ, διότι οὗτος τότε τὸν αὐτῶν δεσπότην περιέπεμπεν.

l. 1316. Πολυνείκους ἔτι] τὸ ἔτι πρὸς τὸ ἔκειτο συναπτέον. ἐνοδίαν δὲ τὴν Περσεφόνην λέγει τὴν ἐν ταῖς τριόδοις πορδυομένην. ἡ αὐτὴ γάρ ἐστι τῇ Ἑκάτῃ, ὡς ἄλλοις τε πολλοῖς δοκεῖ καὶ Λυκόφρονι.

l. 1318. Εὐμενεῖς κατασχεθεῖν] δέον εὐμενῶς εἰπεῖν, εὐμενεῖς εἶπε πρὸς τὸ ὀργάς. κατασχεθεῖν δὲ λέγει εὐμενεῖς τὰς ὀργάς; διότι τὸ τὴν ὀργὴν ἐπέχειν, εὐμένειά ἐστιν.

l. 1323. Νυμφεῖον ᾅδου] τὸ νυμφεῖον πρὸς τὸ κόρης· τὸ δὲ κόρης πρὸς τὸ ᾅδου. τὸ γὰρ ὄρυγμα εἰς ὅπερ εἰσβέβληται, ὥσπερ θάλαμος ἦν αὐτῇ. αὕτη δὲ τοῦ ᾅδου. θάνατος γὰρ αὐτὴν ἐνταῦθα κατείληφε, καὶ οἱονεὶ ᾅδης αὐτὴν ἐνυμφεύσατο.

l. 1339. Τὴν μέν, κρεμαστὴν αὐχένος] μὴ λάβῃς εἰς τὸ αὐχένος ἔξωθεν τὸ ἐξ, ἀλλ' ἐστὶν ἡ τοιαύτη γενικὴ πρὸς τὸ κρεμαστήν. τὸ δὲ βρόχῳ μιτώδει σινδόνος, κυρίως τὴν ἀρπεδόνην τὴν ἐν τοῖς ὑφάσμασι φασίν· ἐνταῦθα δὲ λέγει τὴν ζώνην αὐτῆς, ἥτις στενοεπιμήκης ἦν τμῆμα σινδόνος. ἄλλοι δὲ τὸ αὐτῆς κρήδεμνον. οἱ δέ, τὸ τῆς σινδόνος μέρος μεθ' ἧς αὐτὴν ἐνεῖκαν ἐκεῖσε.

l. 1342. Εὐνῆς ἀποιμώζοντα] ἤγουν, ἀποκλαιόμενον πῶς θανούσης αὐτῆς τοῦ ταύτης λέχους ἐστέρηται. ἢ φθορὰν εὐνῆς λέγει τὴν ἐν ᾅδου αὐτῆς οἴκησιν.

l. 1344. Στυγνὸν οἰμώξας] τὸ στυγνόν, ἀρσενικόν. ἢ νοητέον πρὸς τὸ σφέ, ἢ οὐδέτερον πρὸς τὸ οἰμώξας.

Pag. 301. l. 1368. Δμωαῖς προθέσθαι πένθος] ἤγουν περιβαλέσθαι. τὸ δὲ προθέσθαι καὶ πρὸς τὸ ἐς πόλιν ἐκληπτέον.

l. 1369. Ὥστ' ἁμαρτάνειν] ἤγουν ἀνοίκεια ἑαυτῇ ἔργα ποιεῖν, λέγω δὴ τὸ δρᾶσαί τι περὶ αὐτὴν δυσχερὲς ἐπὶ τῷ παραδόξῳ τῆς τοῦ παιδὸς συμφορᾶς ἀκούσματι.

Pag. 303. l. 1390. Ἔπαισεν] τοῦτο πρὸς τό, ἐν δ' ἐμῷ κάρᾳ, λέγει, ἀντὶ τοῦ ἐξέστησε τὰς ἐμὰς φρένας, καὶ τοῦ λελογισμένου παρεκτροπὴν εἰργάσατο. οὐ γὰρ ἐγίνωσκον καθ' ἐμαυτοῦ κινῶν τὴν ἀνάγκην, τοιαῦτα κατ' Ἀντιγόνης ἐψηφισμένος. χαρὰν δέ φησιν, ἣν εἶχε διὰ τὸ τῆς ἀρχῆς ἐγκρατὴς γεγενῆσθαι.

l. 1391. Ὦ δέσποθ', ὡς] τοῦτο οὕτως εἴποις, ὦ δέσποτα, ἔοικας καὶ φαίνῃ ἥκειν καὶ ἐλθεῖν, ὄψεσθαι καὶ ἰδεῖν, καὶ τάδε ἐν δόμοις κακά. τάδε, ἤγουν τὸν Εὐρυδίκης θάνατον, ὡς ἔχων γε καὶ κεκτημένος. ταῦτα δ' ἐκ παραλλήλου εἴρηται. τὰ μὲν κακὰ δηλονότι πρὸ τῶν χειρῶν καὶ ἔμπροσθεν τῶν χειρῶν, ἤγουν τὸν Αἵμονα θανόντα τὸν σὸν παῖδα· τάδε, ἤγουν τὴν τῆς γυναικὸς συμφορὰν φέρων καὶ ὑπομένων. τριπλᾶ γὰρ ἐπῆλθεν αὐτῷ κακά, ὅ, τε Ἐτεοκλέους καὶ Πολυνείκους, καὶ τῆς αὐτῶν μητρὸς Ἰοκάστης καὶ τῆς ἀδελφῆς αὐτῶν Ἀντιγόνης θάνατος· ὅ, τε τῶν δύο υἱῶν αὐτοῦ Μενοικέως καὶ Αἵμονος, καὶ τελευταῖος πάντων, ὁ τῆς αὐτοῦ γυναικὸς Εὐρυδίκης.

l. 1399. Ἰὼ ἰὼ δυσκάθαρτος] ὁ γόων καὶ συμφορῶν ἀδιαλύτως ἔχων καθαίρεσθαι ᾅδης, εἰς ὃν πάντες μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν συνάγονται ὥσπερ εἰς λιμένα.

Pag. 305. l. 1413. Ἡ δ' ὀξυθήκτος] ἰστέον ὅτι ἡ τοῦ Κρέοντος γυνὴ περὶ βωμὸν ὄντα τῶν βασιλείων ἐντός, μαχαίρᾳ ἑαυτὴν ἀπέσφαξεν. ἐδήλωσε δὲ τὴν σφαγὴν διὰ τοῦ ὀξυθήκτου. δέον δ' εἰπεῖν ὀξυθήκτως, ὀξύθηκτος εἶπε πρὸς τὸ ἥδε. ὥσπερ ἐστὶ καὶ τὸ κελαινά· δέον γὰρ εἰπεῖν κελαινῶς, κελαινὰ εἶπε πρὸς τὸ βλέφαρα, οὕτω, λύει τὰ βλέφαρα καὶ τοὺς ὀφθαλμούς. ποταπά; κελαινά· τοῦτ' ἔστιν, ἐκάλυψε τοὺς ὀφθαλμοὺς αὐτῆς σκότος θανούσης. ἔκλυσις γὰρ καὶ ἀπαλλαγὴ φωτὸς ὁ θάνατος. Μεγαρέα δὲ λέγει ἐνταῦθα, ὡς μέν τινες φασίν, ἄνδρα αὐτῆς πρὸ τοῦ Κρέοντος ὄντα οὕτω καλούμενον· ὡς δ' ἄλλοι λέγουσιν, ὁ ἐν τῇ χειρὶ τοῦ δράκοντος ἀποσφαγείς, πρῶτος υἱὸς αὐτῆς Μενοικεύς, Μεγαρεὺς κατ' ἀρχὰς ἐκαλεῖτο. εἰ μὲν οὖν τὸ πρῶτον εἴποις, λέχος νοήσῃς τὴν πρὸς ἐκεῖνον γαμικὴν

συνάψειαν· εἰ δὲ τὸ δεύτερον, λέχος κοσμοῦται αὐτῇ ἐρεῖς, τὸ παρὰ καιρὸν αὐτὸν ἀπελθεῖν, καὶ μὴ τυχεῖν Ὑμεναίου· ὃ καὶ κρεῖττον. μαρτυρεῖ δὲ καὶ τὸ τοῦδε, λαμβάνον τὸ λέχος κατὰ συνεκδοχήν.

l. 1430. Ἀμφιθήκτῳ ξίφει] ἤγουν διστόμῳ. οὐ γὰρ δύναμαι φέρειν τὸ τῶν συμφορῶν πέλαγος· ὥστε θανὼν ἀναπαυθήσομαι ἴσως ἂν τούτων.

l. 1421. Ἄθλιος ἐγώ, φεῦ φεῦ] ἄθλιος χρὴ γράφειν ἐνταῦθα, ἵν᾽ ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. τὸ γὰρ δείλαιος οὐκ ὀρθόν.

l. 1424. Ἐπισκήπτου μόρων] συνάπτε τὸ μόρων πρὸς τὸ τῶνδε κἀκείνων, τὰ δὲ λοιπὰ διὰ μέσου λέγε· ἤγουν τῶν τοῦ Αἵμονος καὶ τοῦ Μενοικέως, διότι εἴασας αὐτοὺς ἀπολέσθαι καὶ οὐκ ἐκώλυσας.

l. 1427. Ἤδη τ᾽ ὀξυκώκυτον πάθος] ἤγουν ὅτι ὁ ἄγγελος τὸν περὶ τοῦ θανάτου αὐτῆς λόγον πρὸς ἡμᾶς διεξῄει. τὸ δ᾽ ὀξυκώκυτον, ἀντὶ τοῦ ὀξέος καὶ μεγάλου θρήνου δεόμενον. ἢ τὸ ὀξέως, ταχέως καὶ ἐξαίφνης θρῆνον ἐγεῖραν.

l. 1434. Κέρδη παραινεῖς] ἤγουν τὸ ἀπαχθῆναι τῶν ἐνταῦθα, ἵνα τῆς τούτων θέας ἀπὼν ὀλίγην ὀδύνην ἔχῃς. ἔλαττον γὰρ λυποῦσιν εἰ πόρρω τις τούτων γένοιτο.

l. 1437. Ὁ κάλλιστ᾽ ἐμῶν] τὸ ἐμῶν ἀντὶ τοῦ ἡμερῶν νοητέον πρὸς τὸ τερμίαν, οὕτως, ἄγων καὶ φέρων ἐμοὶ τερμίαν καὶ ἐσχάτην ἡμέραν τῶν ἐμῶν ἡμερῶν. ἢ τὸ ἐμῶν πρὸς τὸ μόρων, οὕτως, ὁ ὕπατος καὶ ἔξοχος τῶν μόρων, τοῦτ᾽ ἔστι, τὸ τέλος τῶν ἐμῶν δυστυχιῶν. μέχρι γὰρ ἄν τις ἐν ζῶσι τυγχάνῃ, καὶ συμφορῶν μέτοχός ἐστιν· ἐπὰν δὲ ἀπογένηται, καὶ τοῦ δυστυχεῖν παύεται. ὥστ᾽ ὁ θάνατος καὶ τέλος ἐστὶ συμφορῶν καὶ συμφορὰ ὑστάτη. τὸ γὰρ ζῆν, (ὃ μέγιστόν ἐστι κέρδος) ἀφαιρεῖται.

Pag. 307. l. 1442. Μέλει γὰρ τῶνδε] ἤγουν, φροντίς ἐστι τισίν, ἤγουν σοί. σὲ γὰρ ἄξιον φροντίζειν ὅπως Εὐρυδίκη καὶ Αἵμων τεθάψεται.

l. 1444. Ὡς πεπρωμένης] μεμοιραμένης. ὥστε ἐπειδὴ καὶ σοὶ τοιαῦτα παθεῖν πέπρωτο, μὴ δυσχέραινε, μηδὲ κατεύχου θανεῖν.

l. 1447. Οὐχ ἑκὼν κατέκτα] οὐ γὰρ ᾔδειν διὰ τὸν Ἀντιγόνης θάνατον καὶ αὐτὸν καὶ αὐτήν σε τεθνήξεσθαι.

l. 1449. Πᾷ καὶ θῶ] ἤγουν τί ποιήσω. οὐ γὰρ ἔχω πότερον θρηνήσω πρότερον· πότερον τὸ τῆς γυναικὸς πάθος, ἢ τὸ τοῦ παιδός.

l. 1452. Πολλῷ τὸ φρονεῖν] ἤγουν ἡ φρόνησις πολλῷ προτιμοτέρα καὶ κρείττων ἐστὶ τῆς εὐδαιμονίας, ὡς οὖσα αὐτῆς ἀρχή. ἡ γὰρ ἀρχὴ κρείττων τῶν μετ᾽ αὐτήν, ἐπειδὴ αἰτία ἐστί.

l. 1454. Μηδὲν ἀσεπτεῖν] ἤγουν ἀσεβεῖν. τοῦτο δὲ λέγει διὰ τὸ παροργίσαι τὸν Κρέοντα Πλούτωνα καὶ Περσεφόνην, διὰ τὸ Πολυνείκην ἄθαπτον ῥῖψαι.

ΣΟΛΙΑ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ Εἰς τὸν ΟΙΔΙΠ. ΕΠΙ ΚΟΛ.

Pag. 311. l. 22. Ὀυ μαθεῖν με δεῖ τόδε]

Οὐ χρείαν ἔχω (φησὶ) μαθεῖν ὅτι τυφλὸς εἶ, καὶ ὅτι δεῖ σε περιμυθείας τυχεῖν. δεδίδαγμαι γὰρ τοῦτο τῷ χρόνῳ σύνηθες ὂν, οὐ δεῖ με μαθεῖν τοῦτο νῦν.

¶ Σχῆμ. l. 29. Νῷν ὁρῶ] συνίζησις.

Pag. 313. l. 72. Κέρδανη μέγα] τοῦτο καὶ μετὰ ταῦτα ἐρεῖ. ὅτι οἱ μὲν δεξάμενοι αὐτὸν μεγάλα κερδανοῦσιν, οἱ δ' ἀποπεμψάμενοι, βλαβήσονται.

¶ Σχῆμ. Pag. 315. l. 114. Ἐν τῷ γὰρ] γνωμικόν.

Pag. 317. l. 144. Κἀπὶ σμικροῖς μέγας ὥρμων] τὸ ἐπὶ σμικροῖς μέγας ὥρμων, ἀντὶ τοῦ ἐπὶ εὐτελέσιν αἰτήμασιν ἐκ ἂν σφόδρα ἱκέτευον, εἰ μὴ λίαν δυσυχὴς. ἢ ὅτι μέγας ὢν κατὰ μέγεθος καὶ ἡλικίαν, ὑπὸ σμικρᾶς θυγατρὸς ὁρμῶ.

Pag. 327. l. 319. Ὦ σπέρμ' ὅμαιμον] διότι ἐκ τῆς μητρὸς αὐτοῦ ταύτην ἐγγόνησεν, ὅμαιμον σπέρμα ταύτην καλεῖ.

¶ Σχῆμ. Pag. 337. l. 559. Μὴ οὐ συνεκ.] συνίζησις.

¶ Σχῆμ. Pag. 339. l. 584. Θυμὸς δ' ἐν κακοῖς] γνωμικόν.

¶ Σχῆμ. Pag. 343. l. 680. Θεαῖν] συνίζησις.

Pag. 345. l. 690. Ἐγχέων] συνίζησις.

¶ l. 709. Νηρηΐδων] συνίζησις.

Pag. 355. l. 893. Σπουδῇ ἀπαὶ ρυτῆρος] ἤγουν ἀπὸ μιᾶς ὁρμῆς, ἀντὶ τοῦ ὡς εἶχε ἕκαστος σχήματος, εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν διωκόντων τινὰς στρατιωτῶν, καὶ πάσας ἡνίας χαλώντων ὥστε ταχύτερον φέρεσθαι. ρυτῆρας γὰρ τοὺς χαλινοὺς φασιν, οὐ τὰ ὑποδήματα, ὡς τὰ σχόλια λέγει.

¶ Pag. 357. l. 947. Θυμοῦ] γνωμικόν.

¶ Σχῆμ. Pag. 359. l. 1000. Θησέως] συνίζησις.

¶ Pag. 361. l. 1045. Κλῃεῖς] συνίζησις.

¶ Σχῆμ. Pag. 365. l. 1203. Θησέως] συνίζησις.

¶ l. 1211. Σφῷν] συνίζησις.

¶ Σχῆμ. Pag. 367. l. 1150. Μὴ εἰδότα] συνίζησις.

¶ Σχῆμ. Pag. 369. l. 1182. Τοί τοι κ.] γνωμικόν.

¶ Pag. 373. l. 1252. Σφῷν] συνίζησις.

¶ l. 1264. Τῶν γὰρ] γνωμικόν.

¶ Σχῆμ. Pag. 393. l. 1665. Νῷν] συνίζησις.

Pag. 397. l. 1739. Καὶ πάρος ἀπέφυγετον] καὶ πρότερον, φησὶν, ὡς εἰς καταφυγήν τινα πρὸς τὰ ἐνταῦθα κατεφύγετε, καὶ τοιαῦτα ὑβρίζετε, καὶ νῦν πῃ ζητεῖτε καταφυγεῖν.

¶ Σχῆμ. Pag. 399. l. 1757. Αἰγαίως] Συνίζησις.

ΣΧΟΛΙΑ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ ΕἸΣ ΤΡΑΧΙΝΙΑΣ.

Pag. 405. l. 1. Λόγος μὲν ἔστ' ἀρχαῖος] Τρόπος ἀναχρονισμός. μεταγενέστερος γὰρ τοῦ Ἡρακλέους ὁ Σόλων. φασὶ δὲ Ἀθηναίους αἰτήσασθαι Σόλωνα νόμων γραφήν, τὸν δὲ δεδιότα τὸ ἀφίκεσθαι αὐτήν, ὅρκον αἰτῆσαι αὐτούς. ἐπέμεινε δὲ σὺν αὐτοῖς δεκαετίαν· καὶ παραφυλαξάμενος μήποτε μέλλοντα αὐτὸν ἀναγκάσωσι μεταθεῖναί τι τῶν νομίμων, ἀναχωρῆσαι πρὸς Λυδοὺς καὶ Κροῖσον. δεξάμενος δὲ Κροῖσος αὐτόν, δείκνυσι πάντα τὸν πλοῦτον, καὶ στρατιώτας ἐν ὅπλοις χρυσοῖς, βωμόν τε Ἀπόλλωνος πάγχρυσον. καὶ καυχώμενος ἠρώτα αὐτὸν τίς αὐτοῦ πάντων ἀνθρώπων εὐδαιμονέστερος. ὁ δὲ ἔφη Κλέοβιν καὶ Βίτωνα. λυπηθεὶς δὲ ὁ βασιλεύς, ἠρώτα τὸν τὰ δεύτερα αὐτῶν φέροντα. τούτου δὲ πάλιν ἕτερον προβαλλομένου, ἠγανάκτησε Κροῖσος ὅτι μὴ τὰ δεύτερα τῆς εὐδαιμονίας αὐτῷ δέδωκεν. ὁ δὲ Σόλων συνεὶς τὴν λύπην, ἀπεφήνατο ὅτι τέλος δεῖ ὁρᾶν τοῦ βίου. φασὶ δὲ αὐτὸν τὸν μετὰ ταῦτα πόλεμον αἱρούμενον πρὸς Πέρσας, χρησθῆναι αὐτῷ παρὰ τοῦ θεοῦ, Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει. ὁ δέ, νομίσας περὶ τῆς Περσῶν ἀρχῆς αὐτὸν λέγειν, ἐπολέμησε, καὶ ἡττηθεὶς ἐν πυρὶ βέβληται ὑπὸ Κύρου. καιόμενος δέ, Σόλωνα ἐπεκαλεῖτο. Ἀπόλλων δὲ ὄμβρον ἐπιβαλών, ἔσβεσε τὸ πῦρ. Κύρου δὲ ἐρωτήσαντος, διηγήσατο αὐτῷ τὸ ἀπόφθεγμα τοῦ φιλοσόφου· ὅθεν θαυμάσας Κῦρος τὸ τῆς τύχης ἄδηλον, μετὰ τιμῆς ἀπέπεμψε τὸν Κροῖσον.

Pag. 413. l. 154. Ἀντὶ τοῦ εἰσίδοιτο] εἴ τις (φησὶν) ἔξω ἀμεριμνίας οὖσα, εἰς φροντίδας εἰσῆλθε γαμηθεῖσα, ἀπὸ τῆς πράξεως αὐτῆς, ἤγουν τῶν ἑαυτῆς παθῶν, ἅπερ δηλονότι ἐπράχθη ἐν αὐτῇ, ἴδοι καὶ τὰ κακὰ ἐν οἷς ἐγὼ λυποῦμαι.

¶ Σχῆμ. Pag. 419. l. 283. Τὸ μὲν γὰρ] γνωμικόν.

¶ Σχῆμ. Pag. 421. l. 324. Μὴ εἰδέναι] συνίζησις.

l. 353. Ἀγνοίᾳ μ' ἔχει] ἀγνοίᾳ χρὴ γράφειν ἐπὶ δοτικῆς διὰ τὸ μέτρον, καὶ οὐκ ἄγνοια, καὶ συντάσσειν οὕτως. ἐν ἀγνοίᾳ με ἔχει ἅπερ εἴρηκας, τουτέστιν, ἅπερ εἴρηκας, αἴτιά ἐστι τοῦ εἶναι ἐμὲ ἐν ἀγνοίᾳ διὰ τὸ ἀσαφῶς εἰρῆσθαι. ἐπεὶ γὰρ οὐκ ἔχω τὴν τούτων γνῶσιν, τρόπον δή τινα αὐτά με κατέχει ἐν τῇ ἀγνοίᾳ.

Pag. 423. l. 375. Καὶ ταῦτα] ἤγουν, τοσοῦτοι ἤκουσαν ταῦτα ὥστε καὶ ἐξελέγχειν αὐτὸν εἰ ἀρνήσοιτο· οὐ γὰρ εἶχον ἂν λέγειν κατ' αὐτοῦ τι, εἰ μὴ καὶ μαρτύρων ηὐπόρουν.

Pag. 423. l. 397. Δίδαξον. ὡς ἕρποντος] τοῦτο μᾶλλον ὅμοιόν ἐστιν, ὡς ἐμοὶ δοκεῖ, τῷ φράσον, ὡς ὄντος γε μὴ βαδιστικοῦ, παρ' Ἀριστοφάνει.

¶ Σχῆμ. l. 399. Αἰτεῖς] συνίζησις.

Pag. 425. l. 438. Ἄνθρωπος ὦ δέσποιν'] ὁ ἄνθρωπος (φησὶν) ὦ δέσποινα ἐπιστήτω ἤγουν παρελθὼν στήτω εἰς μέσον ὁ διελέγχων με. οἱ δὲ ἀποστήτω γράφοντες, οὐκ οἶδα τίνι λόγῳ τοῦτο γράφουσι.

Τὸ γὰρ νοσοῦντι ληρεῖν] καθολικῶς τὸν λόγον ἐπήγαγεν, ἵνα μὴ δόξῃ αὐτὴν διελέγχειν, καὶ ἀρσενικῶς προφέρει, λέγων, τὸ συμφλυαρεῖν τῷ νοσοῦντι καὶ ἐστὶ μαινομένῳ, ἀνδρός ἐστιν οὐχὶ σώφρονος. προσίτω οὖν ὁ ἄνθρωπος. οὐ γὰρ φιλονεικήσω πρὸς αὐτόν.

¶ Σχῆμ.

¶ Σχῆμ. Τὸ γὰρ] γνωμικόν.

Pag. 433. l. 599. Γνῶμα μὴ πεπειραμένη] γνῶμα, ἤτοι νοεῖν, καὶ ἔστιν ἐδέπεσιν, ἀντὶ τοῦ γνωματεῦμα καὶ νοεῖν· καὶ Εὐριπίδης, Ὡς ἐν γὰρ πᾶσι γνῶμα ταυτὸν ἐμπρέπει, ἤτοι γνωματεῦμα, νοῦς.

Pag. 439. l. 688. Καὶ ψῆ] ἤγουν διαφθείρῃ, ἔκλινεν; ἐκ μεταφορᾶς τῶν ψηνῶν, ἤτοι τῶν κλάδων.

¶ Σχῆμ. Pag. 441. l. 731. Ζῆν γὰρ κακῶς] γνωμικόν.

Σχῆμ. Pag. 447. l. 853. ἀϊστώντων] συνίζησις.

Pag. 461. l. 1141. Δεινοῦ λόγου] θαυμαστοῦ. ἄπιστον γὰρ ἐν παυσαμένῃ τῆς ὀργῆς ὅμως εἰπεῖν.

ΣΧΟΛΙΑ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ Εἰς ΦΙΛΟΚΤΗΤΗΝ.

¶ Σχήμ. Pag. 477. l. 132. Νῷϊν] Συνίζησις.

Pag. 487. l. 333. Θεοῦ δ' ὕπο τοξευτὸς] καὶ Ὅμηρος, Λαιψηρῶϊσιν ὀλέσθῃ Ἀπόλλωνος βελέεσσιν.

Pag. 489. l. 343. Ἦλθόν με νηΐ] μετῆλθόν με καὶ μετεπέμψαντο νηΐ, ἤτοι ἐζήτησαν, ὡς τὸ, μέτειμι τὴν ἄγραν.

Pag. 491. l. 410. Αἴας ὁ μείζων] ἤγουν ὁ Τελαμώνιος.

Pag. 493. l. 419. Οὐ δῆτ', ἐπίσω τοῦτο] τὸ ἐπίσω κατὰ πάθος ἐστίν. ἀπὸ γὰρ τοῦ ἐπίστασο γίνεται ἐπίσω κατ' ἀφαίρεσιν τοῦ Σ, ὡς καὶ ἀπὸ τοῦ ἐπίθεσο τὸ ἐπίθου, καὶ τοῦ ἔθεσο τὸ ἔθου.

Pag. 497. l. 523. Ὅρα σὺ] ὃν ἡμεῖς δύσκολον, τοῦτον δυσχερῆ λέγουσιν, ὥσπερ καὶ τὸ δύσκολον, δυσχερῆ. ὅρα οὖν (φησὶ) μὴ ταπεινῶς δυσχερὴς φαινόμενος ἐπὶ τῷ ἀπαγαγεῖν τὸν Φιλοκτήτην, ὕστερον δυσχερὴς γένῃ, ὅτε τῇ συνουσίᾳ τῆς νόσου πληρωθῇς ἐν τῇ νηΐ.

Pag. 519. l. 970. Τί δρῶμεν ἄνδρες] Μετανοήσας ὁ Νεοπτόλεμος ἤθελε δοῦναι τῷ Φιλοκτήτῃ τὰ ὅπλα αὐτοῦ· ἐλθὼν δ' ὁ Ὀδυσσεὺς καὶ θεασάμενος αὐτὸν, ταῦτά φησιν, Οὐκ εἶ με θεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;

Pag. 521. l. 1006. Ἀνάξιον μὲν σοῦ] Ἀνάξιος ἐμοῦ. (φησὶ) περιπατεῖν μετὰ σοῦ τοῦ δούλου καὶ σκολιοῦ· ἄξιος γὰρ μετ' ἐμοῦ εἶναι τοῦ οὐκ ὄντος δούλου.

Pag. 533. l. 1245. Ἀλλ' οὐδέ τοι σῇ χειρὶ] ἀλλ' οὐδὲ πεισθήσομαι τῇ σῇ χειρὶ, ἤγουν τῇ δυνάμει, ταῦτα ποιεῖν.

Pag. 535. l. 1256. Ἀμείψας] καταλιπών.

l. 1265. Ἀτηρὸς] βλαβερός. παρὰ τὴν ἄτην.

l. 1266. Ἀλλ' οὔ τι μὴ νῦν] δόλιος φανοῦμαι δηλονότι.

l. 1268. Μὴ λέξῃς πέρα] μὴ περαιτέρω εἴπῃς. ὅσα γὰρ ἂν εἴπῃς, μάταια λέξεις.

Pag. 537. l. 1299. Ψευδοκήρυκας] ἀντὶ τοῦ ψευδοπρεσβευτὰς, ἢ ψευδῶς κηρυκοστομοῦντας καὶ ἐγκωμιάζοντας.

Pag. 537. l 1318. Καὶ ταῦτ' ἐπίσω] παρὰ τὸ Ὁμηρικὸν, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.

Pag. 539. l. 1337. Καλὴ γὰρ ἡ 'πίκτησις] ἡ κλῆσις τῆς λέξης. καλὸν κλῆμα ὠφεληθῆναί σε κατ' ἀμφότερα, κλέος λαβόμενον ἐκ τῆς πορθήσεως τοῦ Ἰλίου, καὶ θεραπευόμενον.

Pag. 539. l. 1353. Οἷς γὰρ ἡ γνώμη κακῶν] ὅτι οἱ ἔχοντες φαύλην γνώμην ἀκόλουθα τῷ λογισμῷ διαπράττονται.

ΤΕΛΟΣ.